Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

Δημοτική Κεντρική Βιβλιοθήκη Πάρου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

GR VER 01271

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ

+200
Αριθ. εισ 2.688/1962

ΔΩΡΕΑ Αγ. Χατζη-
Μιχαηλου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλον εἰς σόδομα. ἄβραὰμ δὲ ἔλαβεν ἐσπουδακὼς γὰρ τὸν λυσεῖν. καὶ ἐγγίσας ἄβραὰμ εἶπε, μὴ συναπολέσεις δίκαιον μετὰ ἀσεβοῦς. καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἐκλεῖς αὐτούς; οὐκ αὐτοὺς ἀφήσεις ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ; μηδαμῶς σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς. καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. μηδαμῶς ὁ κρίνων πᾶσαν τὴν γῆν σὺ ποιήσεις κρίσιν. εἶπε δὲ κύριος· ἐὰν εὕρω ἐν Σοδόμοις πεντήκοντα δικαίους ἐν τῇ πόλει, ἀφήσω πάντα τὸν τόπον δι' αὐτούς. καὶ ἀποκριθεὶς ἄβραὰμ εἶπεν· νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν κύριόν μου, ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδός. ἐὰν δὲ ἐλαττονωθῶσιν οἱ πεντήκοντα δίκαιοι εἰς τεσσαρακοντα πέντε, ἀπολεῖς ἕνεκεν τῶν πέντε, πᾶσαν τὴν πόλιν; καὶ εἶπεν, οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ τεσσαρακοντα πέντε. καὶ προσέθηκεν ἔτι λαλῆσαι πρὸς αὐτὸν, καὶ εἶπεν· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαρακοντα. καὶ εἶπεν, οὐκ ἀπολῶ ἕνεκεν τῶν τεσσαρακοντα. καὶ εἶπε, μὴ δὴ κύριε ἐὰν λαλήσω. ἐὰν ᾖ εὑρεθῶσιν ἐκεῖ τριάκοντα; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τριάκοντα. καὶ εἶπεν, ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν κύριον. ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ εἴκοσι; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν εἴκοσι. καὶ εἶπε· μὴ τι κύριε ἐὰν λαλήσω ἔτι ἅπαξ. ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν· οὐκ ἀπολέσω ἕνεκεν τῶν δέκα. ἀνῆλθε δὲ κύριος ὡς ἐπαύσατο λαλῶν πρὸς ἄβραὰμ. καὶ ἄβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

ΚΕΦΑΛ. ιθ'. 19.

Ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς σόδομα ἑσπέρας. λὼτ δὲ ἐκάθητο παρὰ τὴν πύλην Σοδόμων. ἰδὼν δὲ λὼτ, ἀνέστη εἰς συναντησιν αὐτοῖς, καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν, καὶ εἶπεν· ἰδοὺ κύριοι ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν, καὶ καταλύσατε, καὶ νίψατε τοὺς πόδας ὑμῶν. καὶ ὀρθρίσαντες, ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. καὶ εἶπαν, οὐχί. ἀλλ' ἐν τῇ πλατείᾳ καταλύσομεν. καὶ κατεβιάζετο αὐτούς, καὶ ἐξέκλιναν πρὸς αὐτὸν, καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐποίησεν αὐτοῖς τόπον, καὶ ἄζυμας ἔπεμψεν αὐτοῖς, καὶ ἔφαγον πρὸ τοῦ κοιμηθῆναι. καὶ οἱ ἄνδρες τῆς πόλεως οἱ σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν, ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, ἅπας ὁ λαὸς ἅμα. καὶ ἐξεκαλοῦντο τὸν λὼτ, καὶ ἔλεγον πρὸς αὐτὸν· ποῦ εἰσὶν οἱ εἰσελθόντες πρὸς σὲ νύκτωρ; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγνωμέν αὐτοῖς. ἐξῆλθε δὲ λὼτ πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν δὲ θύραν προσέωξεν ὀπίσω αὐτοῦ. εἶπε δὲ πρὸς αὐτούς· μηδαμῶς ἀδελφοί, μὴ πονηρεύσησθε. εἰσὶ δέ μοι θυγατέρες αἳ οὐκ ἔγνωσαν ἄνδρα. ἐξάξω αὐτὰς πρὸς ὑμᾶς, καὶ χρᾶσθε αὐταῖς, καθὰ ἂν ἀρέσκῃ ὑμῖν. μόνον εἰς τοὺς ἄνδρας τούτους μὴ ποιήσητε ἄδικον, ὅτι εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου. εἶπαν δὲ, ἀπόστα ἐκεῖ. εἰσῆλθον πάροικος μὴ καὶ κρίσιν κρίνειν. νῦν σὲ κακώσομεν μᾶλλον ἢ ἐκείνους. καὶ παρεβιάζοντο τὸν ἄνδρα τὸν λὼτ σφόδρα, καὶ ἤγγισαν συντρίψαι τὴν θύραν. ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας, εἰσεσάσαντο τὸν λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν. τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου, ἐπάταξεν ἀορασίᾳ, ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν. εἶπαν δὲ οἱ ἄνδρες πρὸς τὸν λὼτ· ἔστι τίς σοι ὧδε, γαμβροί, ἢ υἱοί, ἢ θυγατέρες, ἢ εἴ τις σοι ἄλλος ὅσων ἐν τῇ πόλει, ἐξάγαγε ἐκ τοῦ τόπου τούτου. ὅτι ἡμεῖς ἀπολλύομεν τὸν τόπον τοῦτον, ὅτι ὑψώθη ἡ κραυγὴ αὐτῶν ἐναντίον κυρίου. καὶ ἀπέστειλεν ἡμᾶς κύριος ἐκτρίψαι αὐτήν. ἐξῆλθε δὲ λὼτ, καὶ ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς ἐληλυθότας τὰς θυγατέρας αὐτοῦ, καὶ εἶπεν· ἀνάστητε καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει κύριος τὴν πόλιν. ἐδόκει δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ. ἡνίκα δὲ ὄρθρος ἐγένετο, ἐπεσπούδαζον οἱ ἄγγελοι τὸν λὼτ λέγοντες· ἀνάστα, λάβε τὴν γυναῖκά σου καὶ τὰς δύο θυγατέρας σου τὰς ἐχούσας, καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ συναπόλῃ ταῖς ἀνομίαις τῆς πόλεως. καὶ ἐπραγματεύσαντο. καὶ ἐπιλαβόμενοι οἱ ἄγγελοι τῆς χειρὸς αὐτοῦ καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν χειρῶν τῶν δύο θυγατέρων αὐτοῦ, ὡς τοῦ φείσασθαι κύριον αὐτοῦ. καὶ ἐγένετο, ἡνίκα ἐξήγαγον αὐτοὺς ἔξω, καὶ εἶπαν· σῴζων σῴζε τὴν σεαυτοῦ ψυχήν, μὴ βλέψῃς εἰς τὰ ὀπίσω, μὴ δὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ. εἰς τὸ ὄρος σῴζου, μή ποτε συμπαραληφθῇς. εἶπε δὲ λὼτ πρὸς αὐτούς· δέομαι κύριε, ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου, καὶ ἐμεγαλώνασας τὸ δικαιοσύνῃ σου, ὃ ποιεῖς ἐπ' ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου. ἐγὼ δὲ οὐ δυνήσομαι σῳθῆναι εἰς τὸ ὄρος, μὴ καταλάβῃ με τὰ κακὰ, καὶ ἀποθάνω. ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, ἡ ὀλίγη. ἐκεῖ σωθήσομαι. ὀλίγη ἐστί; καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. καὶ εἶπεν αὐτῷ, ἰδοὺ ἐθαύμασά σε κατὰ πρόσωπον ὧν ἐλάλησας τοῦτο, τοῦ μὴ καταστρέψαι τὴν πόλιν περὶ ἧς ἐλάλησας. σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ. ὀνομάσθη γὰρ τὸ ὄνομα τῆς πόλεως ἐκείνης σιγώρ. ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ λὼτ εἰσῆλθεν εἰς σιγώρ. καὶ κύριος ἔβρεξεν ἐπὶ σόδομα καὶ γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ,

καὶ κατέστρεψε τὰς πόλεις ταύτας, καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι, πάντα τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς. καὶ ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός. ὤρθρισε δὲ Ἀβραὰμ τὸ πρωὶ εἰς τὸν τόπον ὃ εἱστήκει ἐναντίον Κυρίου. καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας. καὶ ὑπὲρ πρόσωπον τῆς γῆς τῆς περιχώρου, καὶ εἶδε, καὶ ἰδοὺ ἀνέβαινε φλὸξ ἐκ τῆς γῆς ὡσεὶ ἀτμὶς καμίνου. Καὶ ἐγένετο ἐν τῷ ἐκτρίψαι Κύριον τὰς πόλεις τῆς περιοίκου, ἐμνήσθη ὁ θεὸς τοῦ Ἀβραάμ, καὶ ἐξαπέστειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς ἐν τῷ καταστρέψαι Κύριον τὰς πόλεις, ἐν αἷς κατῴκει ἐν αὐταῖς Λὼτ. καὶ ἐξῆλθε Λὼτ ἐκ Σιγὼρ, καὶ ἐκάθητο ἐν τῷ ὄρει. καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ. ἐφοβήθη γὰρ κατοικῆσαι ἐν Σιγὼρ, καὶ ᾤκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς καὶ αἱ θυγατέρες αὐτοῦ μετ' αὐτοῦ. εἶπε δὲ ἡ πρωτοτόκη πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερός ἐστι, καὶ οὐδεὶς ἔστιν ἐν τῇ γῇ ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ. δεῦρο δώσομεν τὸν πατέρα ἡμῶν οἶνον, καὶ κοιμηθῶμεν μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον τὴν νύκτα ταύτην. καὶ εἰσελθοῦσα ἡ πρωτοτόκη, ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς· ἡ δὲ οὐκ ἔγνω τῇ νυκτὶ ἐκείνῃ τὸν πατέρα αὐτῆς οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα, ἐκοιμήθη μετὰ τὸν πατέρα αὐτῆς. καὶ οὐκ ἔδοξε γὰρ τοῦτο κοιμηθῆναι αὐτὸν, καὶ ἀναστῆναι. καὶ συνέλαβον αἱ δύο θυγατέρες Λὼτ ἐκ τοῦ πατρὸς αὐτῶν, καὶ ἔτεκεν ἡ πρωτοτόκη υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωάβ, λέγουσα, ἐκ τοῦ πατρός μου. οὗτος πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας. ἔτεκε δὲ καὶ ἡ νεωτέρα υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμάν· υἱὸς τοῦ γένους μου λέγουσα. οὗτος πατὴρ Ἀμμανιτῶν ἕως τῆς σήμερον ἡμέρας.

ΚΕΦΑΛ. κ'. 20.

Καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς λίβα. καὶ ᾤκησεν ἀνὰ μέσον Καδὴς, καὶ ἀνὰ μέσον Σούρ. καὶ παρῴκησεν ἐν Γεράροις. εἶπε δὲ Ἀβραὰμ περὶ Σάρρας τῆς γυναικὸς αὐτοῦ, ἀδελφή μού ἐστιν. ἐφοβήθη γὰρ εἰπεῖν, γυνή μού ἐστι. μή ποτε ἀποκτείνουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως, διὰ αὐτήν. ἀπέστειλε δὲ Ἀβιμέλεχ βασιλεὺς Γεράρων, καὶ ἔλαβε τὴν Σάρραν. καὶ εἰσῆλθεν ὁ θεὸς πρὸς Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα, καὶ εἶπεν αὐτῷ· ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικὸς ἧς ἔλαβες. αὕτη γὰρ ἔστι συνωκηκυῖα ἀνδρί. Ἀβιμέλεχ δὲ οὐχ ἥψατο αὐτῆς. καὶ εἶπε, Κύριε ἔθνος ἀγνοεῖ καὶ δίκαιον ἀπολεῖς; οὐκ αὐτός μοι εἶπεν, ἀδελφή μού ἐστι; καὶ αὕτη μοι εἶπεν, ἀδελφός μού ἐστιν· ἐν καθαρᾷ καρδίᾳ καὶ ἐν δικαιοσύνῃ χειρῶν μου ἐποίησα τοῦτο. εἶπε δὲ ὁ θεὸς καὶ ὕπνον· καὶ γὰρ ἐγὼ ἔγνων ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο, καὶ ἐφύλαξά σε ἐγὼ σοὶ, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ. ἕνεκα τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς. νῦν δὲ ἀπόδος τὴν γυναῖκα τοῦ ἀνθρώπου, ὅτι προφήτης ἐστὶ, καὶ προσεύξεται περὶ σοῦ καὶ ζήσεται· εἰ δὲ μὴ ἀποδίδως, γνῶσι ὅτι ἀποθνήσκεις σὺ καὶ πάντα τὰ σά. καὶ ὤρθρισεν Ἀβιμέλεχ τοῦ πρωΐ, καὶ ἐκάλεσε πάντας τοὺς παῖδας αὐτοῦ, καὶ ἐλάλησε πάντα τὰ ῥήματα τοῦτα εἰς τὰ ὦτα αὐτῶν. ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα. καὶ ἐκάλεσεν Ἀβιμέλεχ τὸν Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ· τί τοῦτο ἐποίησας ἡμῖν; μήτι ἡμάρτομέν εἰς σε, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; ἔργον ὃ οὐδεὶς ποιήσει, ἐποίησάς μοι. εἶπε δὲ Ἀβιμέλεχ τοῦ Ἀβραάμ· τί ἑώρακας ἐποίησας τοῦτο, εἶπε δὲ Ἀβραάμ· εἶπα γὰρ, μή ποτε οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ, ἐμὲ τε ἀποκτενοῦσιν ἕνεκεν τῆς γυναικός μου. καὶ γὰρ ἀληθῶς ἀδελφή μού ἐστιν ἐκ πατρός, ἀλλ' οὐκ ἐκ μητρός. ἐγένετο δέ μοι εἰς γυναῖκα. ἐγένετο δὲ ἡνίκα ἐξήγαγέ με ὁ θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ εἶπα αὐτῇ· τοῦτο τὸ ἔλεός σου ποιήσεις ἐπ' ἐμὲ εἰς πάντα τόπον οὗ ἐὰν εἰσέλθωμεν, ἐκεῖ εἶπον ἐμὲ ὅτι ἀδελφός μού ἐστιν. ἔλαβε δὲ Ἀβιμέλεχ χίλια δίδραγμα, πρόβατα καὶ μόσχους, παῖδας καὶ παιδίσκας, καὶ ἔδωκε τῷ Ἀβραάμ, καὶ ἀπέστειλεν αὐτῷ Σάρραν τὴν γυναῖκα αὐτοῦ, καὶ εἶπε Ἀβιμέλεχ τῷ Ἀβραάμ· ἰδοὺ ἡ γῆ ἐναντίον σου, οὗ ἂν σοὶ ἀρέσκῃ κατοίκει. τῇ δὲ Σάρρᾳ εἶπεν· ἰδοὺ δέδωκα χίλια δίδραγμα τῷ ἀδελφῷ σου. ταῦτά ἔστι σοι εἰς τιμὴν τοῦ προσώπου σου ἐν πάσαις ταῖς μετὰ σοῦ, καὶ πάντα ἀληθεύσομαι. προσηύξατο δὲ Ἀβραὰμ πρὸς τὸν θεὸν, καὶ ἰάσατο ὁ θεὸς τὸν Ἀβιμέλεχ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰς παιδίσκας αὐτοῦ, καὶ ἔτεκον. ὅτι συγκλείων συνέκλεισε Κύριος ἔξωθεν πᾶσαν τὴν μήτραν ἐν τῷ οἴκῳ Ἀβιμέλεχ, ἕνεκεν Σάρρας τῆς γυναικὸς Ἀβραάμ.

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. κα. 21.

Καὶ κύριος ἐπεσκέψατο τὴν Σάρραν, καθὰ εἶπε. καὶ ἐποίησε κύριος τῇ Σάρρᾳ, καθὰ ἐλάλησε. καὶ συλλαβοῦσα, ἔτεκε Σάρρα τῷ Ἀβραὰμ υἱὸν, εἰς γῆρας εἰς τὸν καιρὸν καθὰ ἐλάλησεν αὐτῷ κύριος. καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ γενομένου αὐτῷ, οὗ ἔτεκεν αὐτῷ Σάρρα, Ἰσαάκ. περιέτεμε δὲ Ἀβραὰμ τὸν Ἰσαὰκ τῇ ὀγδόῃ ἡμέρᾳ, καθὰ ἐνετείλατο αὐτῷ ὁ θεός. Ἀβραὰμ δὲ ἐκατὸν ἐτῶν, ἡνίκα ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ. εἶπε δὲ Σάρρα· γέλωτά μοι ἐποίησε κύριος. ὃς γὰρ ἀκούσῃ, συγχαρεῖταί μοι. καὶ εἶπε· τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ, ὅτι θηλάζει Σάρρα υἱὸν γήρει; ὅτι ἔτεκον υἱὸν ἐν τῷ γήρει μου. καὶ ηὐξήθη τὸ παιδίον, καὶ ἀπεγαλακτίσθη. καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην ἡμέρᾳ ἀπεγαλακτίσθη Ἰσαάκ. ὁ υἱὸς αὐτοῦ. ἰδοῦσα δὲ Σάρρα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγέννησε τῷ Ἀβραὰμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ, καὶ εἶπε τῷ Ἀβραὰμ· ἔκβαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς. ὁ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα σφόδρα γέροντι Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ Ἰσμαήλ. εἶπε δὲ ὁ θεὸς τῷ Ἀβραάμ· μὴ σκληρὸν ἔστω γέροντί σου περὶ τοῦ παιδίου, καὶ περὶ τῆς παιδίσκης. πάντα ὅσα ἂν εἴπῃ σοι Σάρρα, ἄκουε τῆς φωνῆς αὐτῆς. ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. καὶ τὸν υἱὸν δὲ τῆς παιδίσκης ταύτης, εἰς ἔθνος μέγα ποιήσω αὐτὸν, ὅτι σπέρμα σόν ἐστιν. Ἀνέστη δὲ Ἀβραὰμ τὸ πρωΐ, καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος, καὶ ἔδωκεν ἄγαρ, καὶ ἐπέθηκεν ὦμῳ τὸν ὦμον καὶ τὸ παιδίον, καὶ ἀπέστειλεν αὐτό. ἀπελθοῦσα δὲ, ἐπλανᾶτο τὴν ἔρημον Βαρσαβεὲ διὰ τὸ φρέαρ τοῦ ὅρκου. ἐξέλιπε δὲ τὸ ὕδωρ ἐκ τοῦ ἀσκοῦ, καὶ ἔῤῥιψε τὸ παιδίον ὑπὸ μίαν τῶν ἐλατῶν. ἀπελθοῦσα δὲ ἐκάθητο ἀπέναντι αὐτοῦ μακρόθεν, ὡσεὶ τόξου βολήν. εἶπε γάρ, ὃ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου. καὶ ἐκάθισεν ἀπέναντι αὐτοῦ μακρόθεν. καὶ ἐβόησε δὲ τὸ παιδίον ἔκλαυσεν. εἰσήκουσε δὲ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ ἦν, καὶ ἐκάλεσεν ἄγγελος θεοῦ τὴν ἄγαρ ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν αὐτῇ· τί ἔστιν ἄγαρ, μὴ φοβοῦ. ἐπακήκοε γὰρ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου σου ἐκ τοῦ τόπου οὗ ἦν. ἀνάστηθι καὶ λαβὲ τὸ παιδίον, καὶ κράτησον τῇ χειρί σου αὐτό, εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό. καὶ ἀνέῳξεν ὁ θεὸς τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ εἶδε φρέαρ ὕδατος ζῶντος· καὶ ἐπορεύθη, καὶ ἔπλησε τὸν ἀσκὸν τοῦ ὕδατος, καὶ ἐπότισε τὸ παιδίον, καὶ ἦν ὁ θεὸς μετὰ τοῦ παιδίου. καὶ ηὐξήθη, καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ. ἐγένετο δὲ τοξότης, καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ τῇ φαρὰν. καὶ ἔλαβεν αὐτῷ ἡ μήτηρ γυναῖκα ἐκ γῆς Αἰγύπτου. ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ εἶπεν Ἀβιμέλεχ καὶ ὁ χοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ, καὶ Φιλὸχ ὁ ἀρχιστράτηγος αὐτοῦ πρὸς Ἀβραὰμ λέγων· ὁ θεὸς μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐὰν ποιῇς. νῦν οὖν ὄμοσόν μοι τὸν θεὸν, μὴ ἀδικήσειν με, μηδὲ τὸ σπέρμα μου, μὴ δὲ τὸ ὄνομά μου. ἀλλὰ κατὰ τὸ δίκαιωσύνην ᾗ ἐποίησά μετὰ σοῦ, ποιήσεις μετ' ἐμοῦ καὶ τῆς γῆς ᾗ σὺ παρῴκησας ἐν αὐτῇ. καὶ εἶπεν Ἀβραάμ· ἐγὼ ὀμοῦμαι. καὶ ἤλεγξεν Ἀβραὰμ τὸν Ἀβιμέλεχ περὶ τῶν φρεάτων τοῦ ὕδατος, ὧν ἀφείλοντο οἱ παῖδες τοῦ Ἀβιμέλεχ. καὶ εἶπεν αὐτῷ Ἀβιμέλεχ· οὐκ ἔγνων τίς ἐποίησε τοῦτο τὸ πρᾶγμα τοῦτο. σὺ δὲ σύ μοι οὐκ ἀπήγγειλας, οὐδὲ ἐγὼ ἤκουσα ἀλλ' ἢ σήμερον. καὶ ἔλαβεν Ἀβραὰμ πρόβατα καὶ μόσχους, καὶ ἔδωκε τῷ Ἀβιμέλεχ. καὶ διέθεντο ἀμφότεροι διαθήκην. καὶ ἔστησεν Ἀβραὰμ ἑπτὰ ἀμνάδας τῆς βάτου μόνας, καὶ εἶπεν Ἀβιμέλεχ τῷ Ἀβραάμ. τί εἰσὶν αἱ ἑπτὰ ἀμνάδες τῶν προβάτων τούτων, ἃς ἔστησας μόνας; καὶ εἶπεν Ἀβραάμ· ὅτι τὰς ἑπτὰ ἀμνάδας ταύτας λήψῃ παρ' ἐμοῦ, ἵνα ὦσί μοι εἰς μαρτύριον, ὅτι ἐγὼ ὤρυξα τὸ φρέαρ τοῦτο. διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, φρέαρ ὁρκισμοῦ, ὅτι ἐκεῖ ὤμοσαν ἀμφότεροι, καὶ διέθεντο ἀμφότεροι διαθήκην ἐν τῷ φρέατι τοῦ ὁρκισμοῦ. ἀνέστη δὲ Ἀβιμέλεχ ὁ χοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ, καὶ Φιλὸχ ὁ ἀρχιστράτηγος αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς τὴν γῆν τῶν φυλιστιείμ. καὶ ἐφύτευσεν Ἀβραὰμ ἄλσος ἐν τῷ φρέατι τοῦ ὁρκου, καὶ ἐπεκαλέσατο ἐκεῖ τὸ ὄνομα κυρίου θεοῦ αἰωνίου. παρῴκησε δὲ Ἀβραὰμ ἐν τῇ γῇ τῶν φυλιστιείμ ἡμέρας πολλάς.

ΚΕΦΑΛ. κβ. 22.

Καὶ ἐγένετο μετὰ τὰ ῥήματα τοῦτα, ὁ θεὸς ἐπείραζε τὸν Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ· Ἀβραὰμ Ἀβραάμ. καὶ εἶπεν, ἰδοὺ ἐγώ. καὶ εἶπε· λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν σου ὃν ἠγάπησας τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν, καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐπὶ ἓν τῶν ὀρέων ὧν ἄν σοι εἴπω. ἀνάστας δὲ Ἀβραὰμ τὸ πρωΐ, ἐπέσαξε τὸν ὄνον αὐτοῦ. παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας, καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ. καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀνάστας ἐπορεύθη, καὶ ἦλθεν ἐπὶ τὸν τόπον οὗ εἶπεν αὐτῷ ὁ θεὸς τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς, εἶδε τὸν τόπον μακρόθεν. καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ μετὰ τοῦ ὄνου. ἐγὼ δὲ καὶ τὸ παιδάριον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ριον ἀπελθύσομεθα ἕως ὧδε, καὶ προσκυνήσαντες ἀναστρέψομεν πρὸς ὑμᾶς. ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως, καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας τὸ πῦρ καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ. ὁ δὲ εἶπε· τί ἐστι τέκνον. ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν. εἶπε δὲ Ἀβραάμ· ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. πορευθέντες δὲ ἀμφότεροι ἅμα, ἦλθον ἐπὶ τὸν τόπον οὗ εἶπεν αὐτῷ ὁ θεός. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ τὸ θυσιαστήριον, καὶ ἐπέθηκε τὰ ξύλα. καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ, λαβεῖν τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ. καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν· Ἀβραὰμ Ἀβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. καὶ εἶπε· μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μὴ δὲ ποιήσῃς αὐτῷ μηδέν. νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν θεόν. καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ ἀπ' ἐμοῦ. καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε. καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ σαβεκ τῷ κερατίνῳ. καὶ ἐπορεύθη Ἀβραάμ, καὶ ἔλαβε τὸν κριόν, καὶ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν αὐτὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ. καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, κύριος εἶδεν. ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει κύριος ὤφθη. καὶ ἐκάλεσεν ἄγγελος κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ λέγων, κατ' ἐμαυτοῦ ὀμνύω, λέγει κύριος. οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ, ἢ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ἐχθρῶν αὐτῶν. καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς. ἀπεστράφη δὲ Ἀβραὰμ πρὸς τοὺς παῖδας αὐτοῦ. καὶ ἀναστάντες ἐπορεύθησαν ἅμα τὸ φρέαρ τοῦ ὅρκου, καὶ κατῴκησεν Ἀβραὰμ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου. Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα, καὶ ἀνηγγέλη τῷ Ἀβραὰμ λέγοντες· ἰδοὺ τέτοκε μελχὰ, καὶ αὐτὴ υἱοὺς ναχὼρ τῷ ἀδελφῷ σου, τὸν πρωτότοκον, καὶ τὸν Βαὺξ ἀδελφὸν αὐτοῦ, καὶ τὸν καμουὴλ πατέρα Συρων, καὶ τὸν χασὰδ, καὶ τὸν ναζαῦ, καὶ τὸν φαλδίς, καὶ τὸν ιελδαφ, καὶ τὸν Βαθουήλ. Βαθουὴλ δὲ ἐγέννησε τὴν Ῥεβέκκαν. ὀκτὼ οὗτοι υἱοὺς ἔτεκε μελχὰ τῷ ναχὼρ τῷ ἀδελφῷ Ἀβραάμ. καὶ ἡ παλλακὶς αὐτοῦ ᾗ ὄνομα ῥεημὰ, ἔτεκε καὶ αὐτὴ τὸν ταβὲκ, καὶ τὸν ταὰμ, καὶ τὸν τοχὸς, καὶ τὸν μοχά.

ΚΕΦΑΛ. κγ'. 23.

Ἐγένετο δὲ ἡ ζωὴ σαῤῥᾶς, ἔτη ἑκατὸν εἰκοσιεπτά. καὶ ἀπέθανε σαῤῥᾶ ἐν πόλει ἀρβούκ, ἥ ἐστιν ἐν τῇ γῇ χαναάν. ἦλθε δὲ Ἀβραὰμ κόψασθαι σαῤῥᾶν, καὶ πενθῆσαι. καὶ ἀνέστη Ἀβραὰμ ἀπὸ τοῦ νεκροῦ αὐτοῦ. καὶ εἶπεν Ἀβραὰμ τοῖς υἱοῖς χετ λέγων· πάροικος καὶ παρεπίδημός εἰμι ἐγὼ μεθ' ὑμῶν. δότε μοι οὖν κτῆσιν τάφου μεθ' ὑμῶν, καὶ θάψω τὸν νεκρόν μου ἀπ' ἐμοῦ. ἀπεκρίθησαν δὲ οἱ υἱοὶ χετ πρὸς Ἀβραὰμ λέγοντες· μὴ κύριε. ἄκουσον δὲ ἡμῶν. βασιλεὺς παρὰ θεοῦ εἶ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου. οὐδεὶς γὰρ ἡμῶν τὸ μνημεῖον αὐτοῦ κωλύσει ἀπό σου, τοῦ θάψαι τὸν νεκρόν σου ἐκεῖ. ἀνέστη δὲ Ἀβραὰμ, προσεκύνησε τῷ λαῷ τῆς γῆς τοῖς υἱοῖς τοῦ χετ. καὶ ἐλάλησε πρὸς αὐτοὺς Ἀβραὰμ λέγων· εἰ ἔχετε τὴν ψυχὴν ὑμῶν, ὥστε θάψαι τὸν νεκρόν μου ἀπὸ προσώπου μου, ἀκούσατέ μου. καὶ λαλήσατε περὶ ἐμοῦ ἐφρὼν τῷ τοῦ σαάρ, καὶ δότω μοι τὸ σπήλαιον τὸ διπλοῦν ὃ ἔστιν αὐτῷ, τὸ ὂν ἐν μέρει τοῦ ἀγροῦ αὐτοῦ. ἀργυρίου τοῦ ἀξίου δότω μοι αὐτὸ ἐν ὑμῖν εἰς κτῆσιν μνημείου. ἐφρὼν δὲ ἐκάθητο ἐν μέσῳ τῶν υἱῶν χετ. ἀποκριθεὶς δὲ ἐφρὼν ὁ χετταῖος πρὸς Ἀβραάμ, εἶπεν· ἀκουόντων τῶν υἱῶν χετ, καὶ τῶν εἰσπορευομένων εἰς τὴν πόλιν πάντων λέγων, παρ' ἐμοὶ γένου κύριε, καὶ ἄκουσόν μου. τὸν ἀγρὸν καὶ τὸ σπήλαιον τὸ ἐν αὐτῷ, σοὶ δίδωμι. ἐνώπιον πάντων τῶν πολιτῶν μου δίδωμί σοι. θάψον τὸν νεκρόν σου. καὶ προσεκύνησεν Ἀβραὰμ ἐνώπιον τοῦ λαοῦ τῆς γῆς, καὶ τοῖς υἱοῖς τοῦ χετ. καὶ εἶπε πρὸς ἐφρὼν ἐν τοῖς ὠσὶ τοῦ λαοῦ τῆς γῆς· ἐὰν εἶ πῶς ἐμὲ εἰ, ἄκουσόν μου. τὸ ἀργύριον τοῦ ἀγροῦ λάβε παρ' ἐμοῦ, καὶ θάψω τὸν νεκρόν μου ἐκεῖ. ἀπεκρίθη δὲ ἐφρὼν τῷ Ἀβραὰμ λέγων· οὐχί κύριε. ἄκουσόν μου, ὅτι τετρακοσίων διδράχμων ἀργυρίου ἀπὸ μέσου ἐμοῦ καὶ σοῦ. τί ἐστιν ἐκεῖνο; σὺ δὲ τὸν νεκρόν σου θάψον. καὶ ἤκουσεν Ἀβραὰμ τοῦ ἐφρών. καὶ ἀπεμέτρησεν Ἀβραὰμ τῷ ἐφρὼν τὸ ἀργύριον ὃ ἐλάλησεν εἰς τὰ ὦτα τῶν υἱῶν χετ, τετρακόσια δίδραχμα ἀργυρίου δόκιμον ἐμπορικόν. καὶ ἔστιν ὁ ἀγρὸς ἐφρὼν ὃς ἦν ἐν τῷ διπλῷ ἀπέναντι, ὃς ἔστι κατὰ πρόσωπον Μαμβρῆ, ὁ ἀγρὸς καὶ τὸ σπήλαιον ὃ ἦν ἐν αὐτῷ, καὶ δένδρον ὃ ἦν ἐν τῷ ἀγρῷ ὃ ἔστιν ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ κύκλῳ τῷ Ἀβραάμ, εἰς κτῆσιν ἐναντίον τῶν υἱῶν χετ, καὶ πάν-

τῶν

τωρ τῶρ εἰσπορευομένων εἰς τὴν πόλιν. μετὰ ταῦτα ἔθαψαν Ἀβραὰμ σὺν Σάρραν τὴν γυναῖκα αὐτοῦ ἐν τῷ σπηλαίῳ τοῦ ἀγροῦ τῷ διπλῷ, ὃ ὅτιν ἀπέναντι Μαμβρῆ. αὕτη ἐστὶ Χεβρὼν ἐν τῇ γῇ Χαναάν. καὶ ἐκυρώθη ὁ ἀγρὸς καὶ τὸ σπήλαιον ὃ ἦν ἐν αὐτῷ, παρὰ Ἀβραὰμ εἰς κτῆσιν τάφου παρὰ τῶν υἱῶν Χέτ.

ΚΕΦΑΛ. κδ'. 24.

Καὶ Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκὼς ἡμέρων, καὶ Κύριος ηὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα. Καὶ εἶπεν Ἀβραὰμ τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ τῆς οἰκίας αὐτοῦ, τῷ ἄρχοντι πάντων τῶν αὐτοῦ· θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου. καὶ ὀρκίζω σε Κύριον τὸν θεὸν τοῦ οὐρανοῦ, καὶ τὸν θεὸν τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, μεθ' ὧν ἐγὼ οἰκῶ ἐν αὐτοῖς. ἀλλ' ἢ εἰς τὴν γῆν μου, οὗ ἐγενόμην πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν. εἶπε δὲ πρὸς αὐτὸν ὁ παῖς· μήποτε οὐ βούληται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ ὀπίσω εἰς τὴν γῆν ταύτην, ἀποστρέψω τὸν υἱόν σου εἰς τὴν γῆν, ὅθεν ἐξῆλθον ἐκεῖθεν. εἶπε δὲ πρὸς αὐτὸν Ἀβραάμ· πρόσεχε σεαυτῷ, μὴ ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. Κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ ὁ θεὸς τῆς γῆς, ὃς ἔλαβε με ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐκ τῆς γῆς ἧς ἐγεννήθην, ὃς ἐλάλησέ μοι, καὶ ὃς ὤμοσέ μοι λέγων· Σοὶ δώσω τὴν γῆν ταύτην, καὶ τῷ σπέρματί σου, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου. καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν. ἐὰν δὲ μὴ θέλῃ ἡ γυνὴ πορευθῆναι μετὰ σοῦ εἰς τὴν γῆν ταύτην, καθαρὸς ἔσῃ ἀπὸ τοῦ ὅρκου τούτου. μόνον τὸν υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ. καὶ ἔθηκεν ὁ παῖς τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν μηρὸν Ἀβραὰμ τοῦ Κυρίου αὐτοῦ, καὶ ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματος τούτου. Καὶ ἔλαβεν ὁ παῖς δέκα καμήλους ἀπὸ τῶν καμήλων τοῦ Κυρίου αὐτοῦ, καὶ ἀπὸ παντὸς τῶν ἀγαθῶν τοῦ Κυρίου αὐτοῦ μεθ' ἑαυτοῦ. καὶ ἀναστὰς ἐπορεύθη εἰς τὴν μεσοποταμίαν εἰς τὴν πόλιν Ναχώρ. καὶ ἐκοίμησε τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος τὸ πρὸς ἑσπέραν, ἡνίκα ἐκπορεύονται αἱ ὑδροφόραι. καὶ εἶπε· Κύριε ὁ θεὸς τοῦ Κυρίου μου Ἀβραάμ, εὐόδωσον ἐναντίον ἐμοῦ σήμερον, καὶ ποίησον ἔλεος μετὰ τοῦ Κυρίου μου Ἀβραάμ. ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς γῆς τοῦ ὕδατος. αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ. καὶ ἔσαι ἡ παρθένος ᾗ ἂν ἐγὼ εἴπω, ἐπίκλινον τὴν ὑδρίαν σου ἵνα πίω. καὶ εἴπῃ μοι, πίε σύ. καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πίνουσαι. ταύτην ἡτοίμασας τῷ παιδί σου τῷ Ἰσαάκ. καὶ ἐν τούτῳ γνώσομαι ὅτι ἐποίησας ἔλεος τῷ Κυρίῳ μου Ἀβραάμ. καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι αὐτὸν λαλοῦντα ἐν τῇ διανοίᾳ αὐτοῦ, καὶ ἰδοὺ Ῥεβέκκα ἐξεπορεύετο ἡ τεχθεῖσα Βαθουὴλ υἱῷ Μελχᾶς τῆς γυναικὸς Ναχώρ, ἀδελφοῦ δὲ Ἀβραὰμ ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων αὐτῆς. ἡ δὲ παρθένος λίαν καλὴ τῇ ὄψει σφόδρα. παρθένος λίαν. ἀνὴρ οὐκ ἔγνω αὐτήν. καταβᾶσα δὲ ἐπὶ τὴν πηγήν, ἔπλησε τὴν ὑδρίαν αὐτῆς, καὶ ἀνέβη. ἐπέδραμε δὲ ὁ παῖς εἰς συνάντησιν αὐτῆς, καὶ εἶπε· πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου. ἡ δὲ εἶπε, πίε κύριε. καὶ ἔσπευσε καὶ καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς, καὶ ἐπότισεν αὐτόν, ἕως ἐπαύσατο πίνων. καὶ εἶπε, καὶ τὰς καμήλους σου ποτιῶ καὶ ὑδροδύσομαι, ἕως ἂν πᾶσαι πίωσι. καὶ ἔσπευσε, καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον. καὶ ἐδραμεν ἔτι ἐπὶ τὸ φρέαρ ἀντλῆσαι ὕδωρ, καὶ ὑδροδύσατο πάσαις ταῖς καμήλοις. ὁ δὲ ἄνθρωπος κατεμάνθανεν αὐτήν, καὶ παρεσιώπα τοῦ γνῶναι εἰ εὐώδωσε Κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ. ἐγένετο δὲ ἡνίκα ἐπαύσαντο πᾶσαι αἱ καμηλοι πίνουσαι, ἔλαβεν ὁ ἄνθρωπος χρυσᾶ ἀνὰ δραχμὴν ὁλκῆς, καὶ δύο ψέλλια ἐπὶ τὰς χεῖρας αὐτῆς, δέκα χρυσῶν ὁλκὴν αὐτῶν. καὶ ἐπηρώτησεν αὐτήν, καὶ εἶπε· θυγάτηρ τίνος εἶ; ἀνάγγειλόν μοι εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος ἡμῖν τοῦ καταλῦσαι. ἡ δὲ εἶπεν αὐτῷ, θυγάτηρ Βαθουὴλ εἰμὶ τοῦ Μελχᾶ, ὃν ἔτεκε τῷ Ναχώρ. καὶ εἶπεν αὐτῷ· καὶ ἄχυρα καὶ χορτάσματα πολλὰ παρ' ἡμῖν, καὶ τόπος τοῦ καταλῦσαι. καὶ εὐλογήσας ὁ ἄνθρωπος, προσεκύνησε τῷ Κυρίῳ, καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ θεὸς τοῦ Κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν ἀπὸ τοῦ Κυρίου μου. ἐμὲ εὐώδωσε Κύριος εἰς οἶκον τοῦ ἀδελφοῦ τοῦ Κυρίου μου. καὶ δραμοῦσα ἡ παῖς ἀπήγγειλε τῇ μητρὶ αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα. τῇ δὲ Ῥεβέκκα ἀδελφὸς ἦν, ᾧ ὄνομα Λάβαν. καὶ ἔδραμε Λάβαν πρὸς τὸν ἄνθρωπον ἔξω ἐπὶ τὴν πηγήν. καὶ ἐγένετο ἡνίκα εἶδε τὰ ψέλλια ἐπὶ τὰς χεῖρας τῆς ἀδελφῆς αὐτοῦ, καὶ ὅτε ἤκουσε τὰ ῥήματα Ῥεβέκκας τῆς ἀδελφῆς αὐτοῦ λεγούσης· οὕτω λελάληκέ μοι ὁ ἄνθρωπος, ἦλθε πρὸς τὸν ἄνθρωπον ἑστηκότος αὐτοῦ ἐπὶ τῶν καμήλων ἐπὶ τῆς πηγῆς, καὶ εἶπεν αὐτῷ· δεῦρο εἴσελθε. εὐλογητὸς Κύριος, ἵνατί ἕστηκας ἔξω; ἐγὼ δὲ ἡτοίμασα τὴν οἰκίαν καὶ τὸν τόπον ταῖς καμήλοις. Εἰσῆλθε δὲ ὁ ἄνθρωπος εἰς τὴν οἰκίαν, καὶ ἀπέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαξε τὰς καμήλους, καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα τοῖς καμήλοις, καὶ ὕδωρ τοῖς ποσὶν αὐ-
τοῦ, καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ' αὐτοῦ. καὶ παρέθηκεν αὐτοῖς ἄρτους φαγεῖν, καὶ εἶπεν· οὐ
μὴ φάγω ἕως οὗ λαλήσω πρὸς σε τὰ ῥήματά μου. καὶ εἶπαν, λάλησον. ⁂ καὶ εἶπε· παῖς Ἀβραὰμ ἐγώ εἰ
μι. κύριος δὲ ηὐλόγησε τὸν κύριόν μου σφόδρα, ⁂ ὑψώθη. ⁂ ἔδωκεν αὐτῷ πρόβατα, καὶ μό
σχους, καὶ ἀργύριον καὶ χρυσίον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ ὄνους. καὶ ἔτεκε σάῤῥα ἡ γυ-
νὴ τοῦ κυρίου μου υἱὸν ᾧ τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτόν. καὶ ἔδωκεν αὐτῷ, ὅσα ἦν αὐ-
τῷ. καὶ ὥρκωσέ με ὁ κύριός μου λέγων· οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἀπὸ τῶν θυγατέρων τῶν χα-
ναναίων, ἐν οἷς ἐγὼ παροικῶ ἐν τῇ γῇ αὐτῶν. ἀλλ' ἢ εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ, καὶ εἰς
τὴν φυλήν μου, ⁂ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. εἶπα δὲ τῷ κυρίῳ μου, μή ποτε βούλη-
ται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ. ⁂ εἶπέ μοι κύριός ὁ θεός, ᾧ εὐηρέστησα ἐνώπιον αὐτοῦ, αὐτὸς
ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ μετὰ σοῦ, καὶ εὐοδώσει τὴν ὁδόν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου
ἐκ τῆς φυλῆς μου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου. τότε ἀθῷος ἔσῃ ἀπὸ τῶν ἀρῶν μου. νῦν ἐὰν ἔλ-
θῃς εἰς τὴν φυλήν μου, ⁂ μὴ δῶσι σώσωσι, καὶ ἔσῃ ἀθῷος ἀπὸ τοῦ ὁρκισμοῦ μου. καὶ ἦλθον σήμερον ἐπὶ τὴν
πηγὴν εἶπα, κύριε ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδὸν μου ἣν ἐγὼ πορεύο-
μαι ἐπ' αὐτήν· ἰδοὺ ἐφέστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, καὶ αἱ θυγατέρες τῶν ἀνθρώπων τῆς πό-
λεως ἐξελεύσονται ὑδροφορῆσαι ὕδωρ. καὶ ἔσται ἡ παρθένος ᾗ ἂν ἐγὼ εἴπω, πότισόν με ἐκ τῆς
ὑδρίας σου μικρὸν ὕδωρ. καὶ εἴπῃ μοι, καὶ σὺ πίε, καὶ τοῖς καμήλοις σου ὑδροδύσομαι. αὕτη ἡ γυ-
νὴ ἣν ἡτοίμασε κύριος τῷ ἑαυτοῦ θεράποντι Ἰσαάκ. καὶ ἐν τούτῳ γνώσομαι, ὅτι πεποίη-
κας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι με λαλοῦντα ἐν τῇ διανοίᾳ
μου, καὶ ἰδοὺ Ῥεβέκκα ἐξεπορεύετο ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων. καὶ κατέβη ἐπὶ τὴν πη-
γὴν, καὶ ὑδροδύσατο. εἶπα δὲ αὐτῇ, πότισόν με. καὶ σπεύσασα καθεῖλε τὴν ὑδρίαν ἀπὸ τοῦ ὤμου
βραχίονα αὐτῆς ἀφ' ἑαυτῆς, καὶ εἶπε· πίε σύ, καὶ τοὺς καμήλους σου ποτιῶ. καὶ ἔπιον, καὶ
τὰς καμήλους ἐπότισε. καὶ ἠρώτησα αὐτὴν, καὶ εἶπα· θυγάτηρ τίνος εἶ; ἡ δὲ ἔφη· θυγάτηρ
Βαθουὴλ εἰμὶ ἐγὼ ναχὼρ, ὃν ἔτεκεν αὐτῷ Μελχά. καὶ περιέθηκα αὐτῇ τὰ ἐνώτια ἐπὶ τὸν βρα
χίονα αὐτῆς, καὶ τὰ ψέλλια περὶ τὰς χεῖρας αὐτῆς, καὶ εὐλόγησας προσεκύνησα τῷ κυ-
ρίῳ, καὶ εὐλόγησα κύριον τὸν θεὸν τοῦ κυρίου μου Ἀβραάμ, ὃς εὐώδωσέ με ἐν ὁδῷ ἀληθείας,
λαβεῖν τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου τῷ υἱῷ αὐτοῦ. εἰ οὖν ποιεῖτε ὑμεῖς ἔλεος
καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου, ἀπαγγείλατέ μοι ἵνα ἐπιστρέψω εἰς δεξιὰν ἢ ἀριστε-
ρά. ἀποκριθεὶς δὲ Λαβὰν καὶ Βαθουὴλ εἶπαν· παρὰ κυρίου ἐξῆλθε τὸ πρᾶγμα τοῦτο. οὐ
δυνησόμεθά σοι αὐτεπάγγελτα κακὸν ἢ καλόν. ἰδοὺ Ῥεβέκκα ἐνώπιόν σου. λαβὼν ἀπότρεχε. καὶ
ἔσω γυνὴ τοῦ υἱοῦ τοῦ κυρίου σου, καθὰ ἐλάλησε κύριος. ἐγένετο δὲ ὡς ἤκουσε τὸν παῖ-
δα τοῦ Ἀβραὰμ τῶν ῥημάτων αὐτῶν, προσεκύνησε τῷ θεῷ τῷ κυρίῳ, καὶ ἐξενέγ-
κας ὁ παῖς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν, ἔδωκε Ῥεβέκκᾳ. καὶ δῶρα ἔδωκε τῇ
ἀδελφῷ αὐτῆς, καὶ τῇ μητρὶ αὐτῆς. καὶ ἔφαγον, καὶ ἔπιον καὶ αὐτὸς, καὶ οἱ ἀνδρῶν οἱ μετ' αὐ-
τοῦ ὄντες, καὶ ἐκοιμήθησαν. καὶ ἀνέστησαν πρωὶ εἶπεν· ἐκπέμψατέ με ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου.
εἶπαν δὲ οἱ ἀδελφοὶ αὐτῆς, καὶ ἡ μήτηρ. μεινάτω ἡ παρθένος μεθ' ἡμῶν ἡμέρας ὡσεὶ δέκα, καὶ
μετὰ ταῦτα ἀπελεύσεται. ὁ δὲ εἶπε πρὸς αὐτούς· μὴ κατέχετέ με. καὶ κύριος εὐώδωσε τὴν
ὁδὸν αὐτοῦ· ἐξαπέστειλέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. οἱ δὲ εἶπαν, καλέσωμεν
τὴν παῖδα, καὶ ἐρωτήσωμεν τὸ στόμα αὐτῆς. καὶ ἐκάλεσαν Ῥεβέκκαν, καὶ εἶπαν αὐτῇ· πορεύ-
σῃ μετὰ τοῦ ἀνθρώπου τούτου; ἡ δὲ εἶπε, πορεύσομαι. καὶ ἐξαπέστειλαν Ῥεβέκκαν τὴν ἀδελφὴν
αὐτῶν, καὶ τὰ ὑπάρχοντα αὐτῆς, καὶ τὸν παῖδα τοῦ Ἀβραὰμ καὶ τοὺς μετ' αὐτοῦ. καὶ εὐλόγησαν
Ῥεβέκκαν, καὶ εἶπαν αὐτῇ· ἀδελφὴ ἡμῶν εἶ, γίνου εἰς χιλιάδας μυριάδων, καὶ κληρονομη-
σάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων. ἀναστᾶσα δὲ Ῥεβέκκα καὶ αἱ ἅβραι αὐτῆς
ἐπέβησαν ἐπὶ τὰς καμήλους, καὶ ἐπορεύθησαν μετὰ τοῦ ἀνθρώπου. καὶ ἀνέλαβεν ὁ παῖς
τὴν Ῥεβέκκαν, καὶ ἀπῆλθεν. Ἰσαὰκ δὲ διεπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως
αὐτὸς ἦν κατοικῶν ἐν τῇ γῇ τῇ πρὸς λίβα. Καὶ ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ
πρὸς δείλην. καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε καμήλους ἐρχομένας. καὶ ἀνα-
βλέψασα Ῥεβέκκα τοῖς ὀφθαλμοῖς, εἶδε τὸν Ἰσαάκ, καὶ κατεπήδησεν ἀπὸ τῆς καμήλου, καὶ
εἶπε τῷ παιδί· τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος, ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συναντησιν
ἡμῖν; εἶπε δὲ ὁ παῖς· οὗτός ἐστιν ὁ κύριός μου. ἡ δὲ λαβοῦσα τὸ θέριστρον, περιεβάλετο. καὶ δι-
ηγήσατο ὁ παῖς τῷ Ἰσαὰκ πάντα τὰ ῥήματα ἃ ἐποίησεν. εἰσῆλθε δὲ Ἰσαὰκ εἰς τὸν οἶκον τῆς
μητρὸς αὐτοῦ, καὶ ἔλαβε τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτοῦ γυνή, καὶ ἠγάπησεν αὐτήν. καὶ
παρεκλήθη Ἰσαὰκ περὶ Σάῤῥας τῆς μητρὸς αὐτοῦ.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Προσθέμενος δὲ ἀβραὰμ, ἔλαβε γυναῖκα, ᾗ ὄνομα χετθούρα. ἔτεκε δὲ αὐτῷ τὸν ζομβρᾶν, καὶ τὸν ιεζάν, καὶ τὸν μαδάν, καὶ τὸν μαδιάμ, καὶ τὸν ιεβὼκ, καὶ τὸν σωέ. ιεζὰν δὲ ἐγέννησε τὸν σαβὰ, καὶ τὸν θαμάν, καὶ τὸν δεδάν. υἱοὶ δὲ δεδὰν, ἐγένοντο ῥαγουήλ, καὶ ναβδεήλ, καὶ ἀσουριείμ, καὶ λαττουριείμ, καὶ λεομείμ. υἱοὶ δὲ μαδιάμ, γεφὰρ, καὶ ἀφείρ, καὶ ἐνὼχ, καὶ ἀβειδὰ, καὶ ἐλδαγαά. πάντες οὗτοι ἦσαν υἱοὶ χετθούρας. ἔδωκε δὲ ἀβραὰμ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, ἰσαὰκ τῷ υἱῷ αὐτοῦ, καὶ τοῖς υἱοῖς τῶν παλλακῶν αὐτοῦ ἔδωκεν ἀβραὰμ δόματα, καὶ ἀφ' ἃ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ ἔτι ζῶντος αὐτοῦ, πρὸς ἀνατολὰς εἰς γῆν ἀνατολῶν. ταῦτα δὲ τὰ ἔτη ἡμερῶν ζωῆς ἀβραὰμ ὅσας ἔζησεν, ἑκατὸν ἑβδομήκοντα πέντε ἔτη. καὶ ἐκλείπων ἀπέθανεν ἀβραὰμ ἐν γήρᾳ καλῷ, πρεσβύτης καὶ πλήρης ἡμερῶν, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. καὶ ἔθαψαν αὐτὸν ἰσαὰκ, καὶ ἰσμαὴλ, οἱ δύο υἱοὶ αὐτοῦ εἰς τὸ σπήλαιον τὸ διπλοῦν, εἰς τὸν ἀγρὸν ἐφρὼν τοῦ υἱοῦ σαὼρ τοῦ χετθαίου, ὃς ἐστιν ἀπέναντι μαμβρῆ, τὸν ἀγρὸν καὶ τὸ σπήλαιον ὃ ἐκτήσατο ἀβραὰμ παρὰ τῶν υἱῶν χετθ. ἐκεῖ ἔθαψαν ἀβραὰμ, καὶ σαῤῥαν τὴν γυναῖκα αὐτοῦ. ἐγένετο δὲ μετὰ τὸ ἀποθανεῖν ἀβραὰμ, ἐὐλόγησεν ὁ θεὸς τὸν ἰσαὰκ υἱὸν αὐτοῦ. καὶ κατῴκησεν ἰσαὰκ παρὰ τὸ φρέαρ τῆς ὁράσεως. αὗται δὲ αἱ γενέσεις ἰσμαὴλ τοῦ υἱοῦ ἀβραὰμ, ὃν ἔτεκεν ἄγαρ ἡ παιδίσκη σαῤῥᾶς τῷ ἀβραὰμ, καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν ισμαὴλ κατ' ὄνομα τῶν γενεῶν αὐτοῦ. πρωτότοκος ἰσμαὴλ, καὶ ναβαιὼθ, καὶ κηδάρ, καὶ ναβδεήλ, καὶ μασσὰμ, καὶ μασμὰ, καὶ δουμὰ, καὶ μασσῆ, καὶ χοδδάδ, καὶ θαιμάν, καὶ ιετοὺρ, καὶ ναφὶς, καὶ κεδμά. οὗτοί εἰσιν οἱ υἱοὶ ἰσμαὴλ, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν ἐν ταῖς σκηναῖς αὐτῶν, καὶ ἐν ταῖς ἐπαύλεσιν αὐτῶν. δώδεκα ἀρχόντων κατὰ ἔθνη αὐτῶν. καὶ ταῦτα τὰ ἔτη τῆς ζωῆς ἰσμαὴλ, ἑκατὸν τριάκοντα ἑπτὰ ἔτη. καὶ ἐκλείπων ἀπέθανε, καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ. κατῴκησε δὲ ἀπὸ εὐιλὰτ ἕως σουρ, ἥ ἐστι κατὰ πρόσωπον αἰγύπτου ἕως ἐλθεῖν πρὸς ἀσσυρίους κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατῴκησε. Καὶ αὗται αἱ γενέσεις ἰσαὰκ τοῦ υἱοῦ ἀβραάμ. ἀβραὰμ ἐγέννησε τὸν ἰσαάκ. ἦν δὲ ἰσαὰκ ἐτῶν τεσσαράκοντα ὅτε ἔλαβε τὴν ῥεβέκκαν θυγατέρα βαθουὴλ τοῦ σύρου ἐκ μεσοποταμίας ἀδελφὴν λαβὰν τὸ δὲ ἰσαὰκ λυρίου πρὸ ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. εἰσήκουσε δὲ αὐτοῦ ὁ θεὸς, καὶ ἔλαβεν ἡ γαστὴρ ῥεβέκκα ἡ γυνὴ αὐτοῦ. ἐσκίρτων δὲ τὰ παιδία ἐν αὐτῇ. εἶπε δὲ, εἰ οὕτω μοι μέλλει γενέσθαι, ἵνατί μοι τοῦτο; ἐπορεύθη δὲ πυθέσθαι παρὰ κυρίου. καὶ εἶπε κύριος αὐτῇ· δύο ἔθνη ἐν γαστρί σου εἰσὶ, καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου διασταλήσονται, καὶ λαὸς λαὸν ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. καὶ ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ τῷδε ἐν τῇ κοιλίᾳ αὐτῆς. ἐξῆλθε δὲ ὁ υἱὸς ὁ πρωτότοκος πυῤῥάκης, ὅλος ὡσεὶ δορὰ δασύς. ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ ἡσαύ. καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πέρνης ἡσαύ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ιακώβ. ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἔτεκεν αὐτοὺς ῥεβέκκα. ηὐξήθησαν δὲ οἱ νεανίσκοι. καὶ ἦν ἡσαὺ ἄνθρωπος εἰδὼς κυνηγεῖν ἄγροικος. ιακὼβ δὲ, ἄνθρωπος ἄπλαστος, οἰκῶν ἐν οἰκίᾳ. ἠγάπησε δὲ ἰσαὰκ τὸν ἡσαὺ, ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ. ῥεβέκκα δὲ ἠγάπα τὸν ιακώβ. ἥψησε δὲ ιακὼβ ἕψημα. ἦλθε δὲ ἡσαὺ ἐκ τοῦ πεδίου ἐκλείπων, καὶ εἶπεν ἡσαὺ τῷ ιακώβ· γλύσόν μοι ἀπὸ τοῦ ἑψήματος τούτου τοῦ πυῤῥοῦ τούτου, ὅτι ἐκλείπω. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῷ, ἐδώμ. εἶπε δὲ ιακὼβ τῷ ἡσαύ· ἀπόδος μοι σήμερον τὰ πρωτοτόκιά σου ἐμοί. καὶ εἶπεν ἡσαύ· ἰδοὺ ἐγὼ πορεύομαι τελευτᾶν, καὶ ἵνατί μοι τοῦτο τὰ πρωτοτόκια. καὶ εἶπεν αὐτῷ ιακώβ· ὄμοσόν μοι σήμερον. καὶ ὤμοσεν αὐτῷ. ἀπέδοτο ὁ ἡσαὺ τὰ πρωτοτόκια τῷ ιακώβ. ιακὼβ δὲ ἔδωκε τῷ ἡσαὺ ἄρτον καὶ ἕψημα φακοῦ. καὶ ἔφαγε, καὶ ἔπιε. καὶ ἀνάστας ᾤχετο, καὶ ἐφαύλισεν ἡσαὺ τὰ πρωτοτόκια.

ΚΕΦΑΛ. κς. 26.

Ἐγένετο δὲ λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τοῖς χρόνοις τοῦ ἀβραάμ. ἐπορεύθη δὲ ἰσαὰκ πρὸς ἀβιμέλεχ βασιλέα φυλιστιείμ εἰς γεραρά. ὤφθη δὲ αὐτῷ κύριος, καὶ εἶπε. μὴ καταβῇς εἰς αἴγυπτον. κατοίκησον δὲ ἐν τῇ γῇ, ᾗ ἄν σοι εἴπω. καὶ παροικήσεις ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ, καὶ εὐλογήσω σε. σοὶ γὰρ καὶ τῷ σπέρματί σου δώσω πάσαν τὴν γῆν, καὶ στήσω τὸν ὅρκον μου ὃν ὤμοσα τῷ ἀβραὰμ τῷ πατρί σου. καὶ πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ δώσω τῷ σπέρματί σου πάσαν τὴν γῆν ταύτην. καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσεν ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ πρόσταγμά μου, καὶ τὰς ἐντολάς μου, καὶ τὰ δικαιώματά μου, καὶ τὰ νόμιμά μου. κατῴκησε δὲ ἰσαὰκ ἐν γεραροις. ἐπηρώτησαν δὲ οἱ ἄνδρες τὸν τόπον περὶ ῥεβέκκας τ γυναικὸς αὐτοῦ, καὶ εἶπεν· ἀδελφή μού ἐστιν. ἐφοβήθη γὰρ εἰ-

πᾶν, γυνή μου δέ, μή ποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τοῦ τόπου περὶ ῥεβέκκας, ὅτι ὡραία τῇ ὄψει ἐστίν. ἐγένετο δὲ πολυχρόνιον ἐκεῖ. καὶ παρακύψας ἀβιμέλεχ ὁ βασιλεὺς γεραρων διὰ θυρίδος, εἶδε τὸν ἰσαὰκ παίζοντα μετὰ ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ. ἐκάλεσε δὲ ἀβιμέλεχ τὸν ἰσαάκ, καὶ εἶπεν αὐτῷ· ἀραγε γυνή σου δέ; πῶς εἶπας, ἀδελφή μου δέ; εἶπε δὲ αὐτῷ ἰσαάκ· εἶπα γάρ, μή ποτε ἀποθάνω διὰ αὐτήν. εἶπε δὲ αὐτῷ ἀβιμέλεχ· τί τοῦτο ἐποίησας ἡμῖν; μικροῦ ἐκοιμήθη τις τοῦ γένους μου μετὰ τῆς γυναικός σου, καὶ ἐπήγαγες ἐφ' ἡμᾶς ἄγνοιαν. συνέταξε δὲ ἀβιμέλεχ παντὶ τῷ λαῷ αὐτοῦ λέγων· πᾶς ὁ ἁπτόμενος τοῦ ἀνθρώπου τούτου ἢ τῆς γυναικὸς αὐτοῦ, θανάτῳ θανατούσθω. ἔσπειρε δὲ ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ ἑκατονταπλασίονα κριθῶν. ἐθυλόγησε δὲ αὐτὸν κύριος, καὶ ὑψώθη ὁ ἄνθρωπος. καὶ προβαίνων, μείζων ἐγένετο ἕως οὗ μέγας ἐγένετο σφόδρα. ἐγένετο δὲ αὐτῷ κτήνη προβάτων, καὶ κτήνη βοῶν, καὶ γεώργια πολλά. ἐζήλωσαν δὲ αὐτὸν οἱ φυλιστιείμ, καὶ πάντα τὰ φρέατα ἃ ὤρυξαν οἱ παῖδες αὐτοῦ ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτὰ οἱ φυλιστιείμ, καὶ ἔπλησαν αὐτὰ γῆς. εἶπε δὲ ἀβιμέλεχ πρὸς ἰσαάκ· ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. καὶ ἀπῆλθεν ἐκεῖθεν ἰσαάκ, καὶ διατέλυσεν ἐν τῇ φάραγγι γεράρων, καὶ κατεσκήνωσεν ἐκεῖ. καὶ πάλιν ἰσαὰκ ὤρυξε τὰ φρέατα τοῦ ὕδατος, ἃ ὤρυξαν οἱ παῖδες ἀβραὰμ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐνέφραξαν αὐτὰ οἱ φυλιστιείμ μετὰ τὸ ἀποθανεῖν ἀβραὰμ πατέρα αὐτοῦ. καὶ ἐπωνόμασεν αὐτοῖς ὀνόματα, καὶ τὰ ὀνόματα ἃ ὠνόμασεν ὁ πατὴρ αὐτοῦ. καὶ ὤρυξαν οἱ παῖδες ἰσαὰκ ἐν τῇ φάραγγι γεράρων, καὶ εὗρον ἐκεῖ φρέαρ ὕδατος ζῶντος. καὶ ἐμαχέσαντο οἱ ποιμένες γεράρων μετὰ τῶν ποιμένων ἰσαὰκ φάσκοντες, αὐτῶν ἐστὶν τὸ ὕδωρ, καὶ ἐκάλεσαν τὸ ὄνομα τοῦ φρέατος ἀδικία. ἠδίκησαν γὰρ αὐτόν. ἀπάρας δὲ ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον. ἐκρίνοντο δὲ καὶ περὶ ἐκείνου. καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, ἐχθρία. ἀπάρας δὲ ἐκεῖθεν, ὤρυξε φρέαρ ἕτερον. καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ εὐρυχωρία, λέγων· διότι νῦν ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς. ἀνέβη δὲ ἐκεῖθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου. καὶ ὤφθη αὐτῷ κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπεν· ἐγώ εἰμι ὁ θεὸς ἀβραὰμ τοῦ πατρός σου, μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε. καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου. καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον. καὶ ἐπεκαλέσατο τὸ ὄνομα κυρίου. καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ. ὤρυξαν δὲ ἐκεῖ οἱ παῖδες ἰσαὰκ φρέαρ. καὶ ἀβιμέλεχ ἐπορεύθη πρὸς αὐτὸν ἀπὸ γεράρων, καὶ ὁ χολὰθ ὁ νυμφαγωγὸς αὐτοῦ, καὶ φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ. καὶ εἶπεν αὐτοῖς ἰσαάκ. ἵνατί ἤλθετε πρός με; ὑμεῖς δὲ ἐμισήσατέ με, καὶ ἀπεστείλατέ με ἀφ' ὑμῶν. οἱ δὲ εἶπαν, ἰδόντες ἑωράκαμεν ὅτι μὴν κύριος μετὰ σοῦ. καὶ εἴπαμεν, γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σου. καὶ διαθησόμεθά μετὰ σοῦ διαθήκην, μὴ ποιήσειν μεθ' ἡμῶν κακόν, καθότι ἡμεῖς οὐκ ἐβδελυξάμεθα. καὶ οὐ πρότερον ἐχρησάμεθά σοι καλῶς, καὶ ἐξαπέστειλαμέν σε μετ' εἰρήνης, καὶ νῦν σὺ εὐλογητὸς εἶ τοῦ κυρίου. καὶ ἐποίησεν αὐτοῖς δοχήν, καὶ ἔφαγον, καὶ ἔπιον. καὶ ὀρθρίσαντες τὸ πρωΐ, ὤμοσεν ἄνθρωπος τῷ πλησίον αὐτοῦ. καὶ ἐξαπέστειλεν αὐτοὺς ἰσαάκ, καὶ ἀπῴχοντο ἀπ' αὐτοῦ μετὰ σωτηρίας. ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ παραγενόμενοι οἱ παῖδες ἰσαάκ, ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος οὗ ὤρυξαν, καὶ εἶπαν· οὐχ εὕρομεν ὕδωρ. καὶ ἐκάλεσεν αὐτὸ, ὅρκον. διὰ τοῦτο ἐκάλεσεν ὄνομα τῇ πόλει φρέαρ ὅρκου, ἕως τῆς σήμερον ἡμέρας. ἦν δὲ ἐτῶν τεσσαράκοντα, καὶ ἔλαβε γυναῖκα ἰουδὶθ τὴν θυγατέρα βεὴλ τὴν χετταίαν, καὶ τὴν βασεμμὰθ θυγατέρα ἐλὼν τὴν δυαίαν. καὶ ἦσαν ἐρίζουσαι τῷ ἰσαὰκ καὶ τῇ ῥεβέκκᾳ.

ΚΕΦΑΛ. κζ. 27.

ΕΓένετο δὲ μετὰ τὸ γηρᾶσαι τὸν ἰσαάκ, καὶ ἠμβλύωθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾶν. καὶ ἐκάλεσεν ἡσαὺ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, καὶ εἶπεν αὐτῷ· υἱέ μου. καὶ εἶπεν, ἰδοὺ ἐγώ. καὶ εἶπεν αὐτῷ, ἰδοὺ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου. νῦν οὖν λαβὲ τὰ σκεύη σου, τόν τε φαρέτραν καὶ τὸ τόξον, καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ θήρευσόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα ὡς φιλῶ ἐγώ, καὶ ἐνεγκέ μοι ἵνα φάγω, ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου πρὶν ἀποθανεῖν με. ῥεβέκκα δὲ ἤκουε λαλούντος ἰσαὰκ πρὸς ἡσαὺ τὸν υἱὸν αὐτοῦ. ἐπορεύθη δὲ ἡσαὺ εἰς τὸ πεδίον, θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ. ῥεβέκκα δὲ εἶπε πρὸς τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω· ἰδὲ ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς ἡσαὺ τὸν ἀδελφόν σου λέγοντος· ἐνεγκόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐνώπιον κυρίου πρὸ τοῦ ἀποθανεῖν με. νῦν οὖν υἱέ μου ἄκουσόν μου, καθὰ ἐγώ σοι ἐντέλλομαι. καὶ πορεύθεις εἰς τὰ πρόβατα, λαβέ μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς, καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου ὡς φιλεῖ, καὶ εἰσοίσεις τῷ πατρί σου, καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν. εἶπε δὲ ἰακὼβ πρὸς ῥεβέκκαν τὴν μητέρα αὐτοῦ· ἰδοὺ ἡσαὺ ὁ ἀδελφός μου ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος. μή ποτε ψηλαφήσῃ με ὁ πατήρ, καὶ ἔσο-

μαι

μαι γναυτίον αὐτῶ ὡς μα τῆ φρονῶμ, καὶ ἐπάξω ἐπ' ἐμαυτὸν μα τάραν, καὶ οὐκ ὀλί-γων. εἶπε δὲ αὐτῷ ἡ μήτηρ· ἐπ' ἐμὲ ἡ μα τάρα σου τέκνον· μόνον ἐπάκουσόν μου τῆς φωνῆς, καὶ πορευθεὶς γένεγκέ μοι. πορευθεὶς δὲ, ἔλαβε καὶ ἤνεγκε τῇ μητρί· καὶ ἐποίησεν ἡ μήτηρ αὐτῶ ἐδέσματα, μαθὰ ἐφίλει ὁ πατὴρ αὐτῶ. καὶ λαβοῦσα ῥεβέκκα τὼ ἱματίω τὼ ὡραῖα τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὼ μαλλὼ, ἃ ἦν παρ' αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον. καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκεν ἐπὶ τοὺς βραχίονας αὐτοῦ, καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ. καὶ ἔδωκε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους οὓς ἐποίησεν, εἰς τὰς χεῖρας ἰακὼβ τοῦ υἱοῦ αὐτῆς, καὶ ἦνεγκε τῷ πατρὶ αὐτοῦ. εἶπε δὲ, πατήρ. ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. τίς εἶ σὺ τέκνον· καὶ εἶπεν ἰακὼβ τῷ πατρί· ἐγὼ πρωτότοκός σου, πεποίηκα μαθὰ ἐλάλησάς μοι. ἀνάστας μαθίσου, καὶ φάγε τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. εἶπε δὲ ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· τί ὅτι ταχὺ εὗρες, ὦ τέκνον. ὁ δὲ εἶπεν, ὅτι παρέδωκε κύριος ὁ θεός σου ἐνώπιόν μου. εἶπε δὲ ἰσαὰκ τῷ ἰακὼβ, ἐγγίσον μοι καὶ ψηλαφήσω σε τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου πρωτότοκος ἢ οὔ. ἤγγισεν ἰακὼβ πρὸς ἰσαὰκ τὸν πατέρα αὐτοῦ, καὶ ἐψηλάφησεν αὐτὸν, καὶ εἶπεν· ἡ μὲν φωνὴ, φωνὴ ἰακὼβ, αἱ δὲ χεῖρες, αἱ τοῦ ἡσαύ. καὶ οὐκ ἐπέγνω αὐτόν. ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ, ὡς αἱ χεῖρες τοῦ ἡσαὺ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι. καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν· σὺ εἶ ὁ υἱός μου ἡσαύ; ὁ δὲ εἶπεν, ἐγώ. καὶ εἶπε· προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου τέκνου, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. καὶ προσήγαγεν αὐτῷ, καὶ ἔφαγε. καὶ εἰσήνεγκεν αὐτῷ οἶνον, καὶ ἔπιε. καὶ εἶπεν αὐτῷ ἰσαὰκ ὁ πατὴρ αὐτοῦ· ἔγγισόν μοι, καὶ φίλησόν με τέκνον. καὶ ἐγγίσας ἐφίλησεν αὐτόν. καὶ ὡσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν· ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε κύριος. ☩ δώη σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου· καὶ δουλευσάτωσάν σοι ἔθνη· καὶ προσκυνησάτωσάν σοι ἄρχοντες. καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. ὁ καταρώμενός σε, ἐπικατάρατος. ὁ δὲ εὐλογῶν σε, εὐλογημένος. καὶ ἐγένετο μετὰ τὸ παύσασθαι ἰσαὰκ εὐλογοῦντα ἰακὼβ τὸν υἱὸν αὐτοῦ, καὶ ἐγένετο ὅσον ἐξῆλθεν ἰακὼβ ἀπὸ προσώπου ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ ἡσαὺ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας, καὶ ἐποίησε καὶ αὐτὸς ἐδέσματα, καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ. καὶ εἶπε τῷ πατρὶ· ἀνασήτω ὁ πατήρ μου, καὶ φαγέτω τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. καὶ εἶπεν αὐτῷ ἰσαὰκ ὁ πατὴρ αὐτοῦ· τίς εἶ σύ. ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος ἡσαύ. ἐξέστη δὲ ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα, καὶ εἶπε· τίς δέ ἐστιν ὁ θηρεύσας μοι θήραν, καὶ εἰσήνεγκάς μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ ἐλθεῖν σε, καὶ εὐλόγηκα αὐτὸν, καὶ εὐλογημένος ἔσται ἐγγύς. ἐγένετο δὲ ἡνίκα ἤκουσεν ἡσαὺ τὰ ῥήματα τοῦ πατρὸς αὐτοῦ ἰσαάκ, ἀνεβόησε φωνὴν μεγάλην καὶ πικρὰν σφόδρα, καὶ εἶπεν· εὐλόγησόν δὴ καὶ ἐμὲ πάτερ. εἶπε δὲ αὐτῷ· ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου, ἔλαβε τὴν εὐλογίαν σου. καὶ εἶπε· δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ ἰακώβ. ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο. τὰ πρωτοτόκειά μου ἔλαβε, καὶ νῦν ἔλαβε τὴν εὐλογίαν μου. καὶ εἶπεν ἡσαὺ τῷ πατρὶ αὐτοῦ· ἐχ' ἑνὶ λίπον μοι εὐλογίαν πάτερ; ἀποκριθεὶς ἰσαάκ, εἶπε τῷ ἡσαύ· εἰ μέγαν αὐτὸν πεποίηκά σε, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πεποίηκα αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐνίσχυσα αὐτόν, σοὶ δὲ τί ποιήσω τέκνου; εἶπε δὲ ἡσαὺ πρὸς τὸν πατέρα αὐτοῦ· μὴ εὐλογία μία σοί ἐστι πάτερ; εὐλόγησόν δὴ καὶ ἐμὲ πάτερ. καὶ ἀνυψώθη δὲ ἰσαὰκ, καὶ ἐβόησε φωνῇ μεγάλῃ λίαν, καὶ ἐκλαυσεν. ἀποκριθεὶς δὲ ἰσαὰκ ὁ πατὴρ αὐτοῦ, εἶπεν αὐτῷ· ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν, καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις. ἔσται δὲ ἡνίκα ἐὰν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. καὶ ἐγένοτο ἡσαὺ τῷ ἰακὼβ πρὸ τῆς εὐλογίας ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. εἶπε δὲ ἡσαὺ ἐν τῇ διανοίᾳ αὐτοῦ· ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω ἰακὼβ τὸν ἀδελφόν μου. ἀπηγγέλη δὲ ῥεβέκκᾳ τὰ ῥήματα ἡσαὺ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου. καὶ πέμψασα, ἐκάλεσεν ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, καὶ εἶπεν αὐτῷ· ἰδοὺ ἡσαὺ ὁ ἀδελφός σου ἀπειλεῖ σοι τοῦ ἀποκτεῖναί σε. νῦν οὖν τέκνου, ἄκουσόν μου τῆς φωνῆς, καὶ ἀνάστας ἀπόδραθι εἰς τὴν μεσοποταμίαν πρὸς λάβαν τὸν ἀδελφόν μου εἰς χαῤῥάν, καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινὰς, ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ὧν ἐποίησας αὐτῷ, καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν. μήποτε ἀτεκνωθῶ ἀπὸ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ. εἶπε δὲ ῥεβέκκα πρὸς ἰσαὰκ· προσώχθικα τῇ ζωῇ μου διὰ τὰς θυγατέρας τῶν υἱῶν χετ, ἐὰν λήψεται ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνατί μοι ζῶ;

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. κη'. 28.

Προσκαλεσαμενος δε ισαακ τον ιακωβ, ευλογησεν αυτον· και ενετειλατο αυτω λεγων· ου λημψη γυναικα εκ των θυγατερων χανααν. αναστας απελθε εις την μεσοποταμιαν, εις τον οικον βαθουηλ του πατρος της μητρος σου, και λαβε σεαυτω εκειθεν γυναικα εκ των θυγατερων λαβαν του αδελφου της μητρος σου. ο δε θεος μου ευλογησαι σε και αυξησαι σε και πληθυναι σε, και εσει εις συναγωγας εθνων. και δωη σοι την ευλογιαν αβρααμ τω πατρι μου, σοι και τω σπερματι σου μετα σε, κληρονομησαι την γην της παροικησεως σου, ην εδωκεν ο θεος τω αβρααμ. και αποστειλας ισαακ τον ιακωβ, και επορευθη εις την μεσοποταμιαν προς λαβαν τον υιον βαθουηλ του συρου, αδελφον ρεβεκκας της μητρος ιακωβ και ησαυ. ιδων δε ησαυ οτι ευλογησεν ισαακ τον ιακωβ, και απεστειλεν εις την μεσοποταμιαν συριας λαβειν εαυτω γυναικα εκειθεν εν τω ευλογειν αυτον, και ενετειλατο αυτω λεγων, ου λημψη γυναικα απο των θυγατερων χανααν. και ηκουσεν ιακωβ του πατρος και της μητρος αυτου, και επορευθη εις την μεσοποταμιαν συριας. ιδων δε ησαυ οτι πονηραι εισιν αι θυγατερες χανααν εναντιον ισαακ του πατρος αυτου, επορευθη ησαυ προς ισμαηλ, και ελαβε την μαελεθ θυγατερα ισμαηλ του υιου αβρααμ αδελφην ναβαιωθ, προς ταις γυναιξιν αυτου γυναικα. Και εξηλθεν ιακωβ απο του φρεατος του ορκου, και επορευθη εις χαρραν, και απηντησε τοπω, και κοιμηθη εκει, ελιου γαρ ο ηλιος. και ελαβεν απο των λιθων του τοπου, και εθηκε προς κεφαλης αυτου, και κοιμηθη εν τω τοπω εκεινω, και ενυπνιαζετο. και ιδου κλιμαξ εστηριγμενη εν τη γη, ης η κεφαλη απτομενη εις τον ουρανου. και οι αγγελοι του θεου ανεβαινον και καταβαινον επ' αυτης. ο δε κυριος επεστηρικτο επ' αυτης, και ειπεν· εγω ο θεος αβρααμ του πατρος σου, και ο θεος ισαακ, μη φοβου. η γην εφ' ης συ καθευδεις επ' αυτης, σοι δωσω αυτην και τω σπερματι σου. και εσαι το σπερμα σου ως ει αμμος της γης, και πλατυνθησεται θαλασσαν και λιβα και βορραν και ανατολας. και ενευλογηθησονται εν σοι πασαι αι φυλαι της γης, και εν τω σπερματι σου. και ιδου εγω ειμι μετα σου φυλασσων σε εν τη οδω πασης ου αν πορευθης. και αποστρεψω σε εις την γην ταυτην, ου μη σε εγκαταλιπω, εως του ποιησαι με παντα οσα ελαλησα σοι. και εξηγερθη ιακωβ εκ του υπνου αυτου, και ειπεν· οτι εστι κυριος εν τω τοπω τουτω, εγω δε ουκ ηδειν. και εφοβηθη, και ειπεν· ως φοβερος ο τοπος ουτος. ουκ εστι τουτο αλλ' η οικος θεου, και αυτη η πυλη του ουρανου. και ανεστη ιακωβ το πρωι, και ελαβε τον λιθον ον υπεθηκεν εκει προς κεφαλης αυτου, και εστησεν αυτον στηλην. και επεχεεν ελαιον επι το ακρον αυτου. και εκαλεσε το ονομα του τοπου εκεινου, οικος θεου. και ελαμμασ ην ονομα τη πολει το προτερον. και ηυξατο ιακωβ ευχην λεγων· εαν η κυριος ο θεος μετ' εμου, φυλαξει με εν τη οδω ταυτη η εγω πορευομαι, και δωη μοι αρτον φαγειν και ιματιον περιβαλεσθαι. και αποστρεψει μετα σωτηριας εις τον οικον του πατρος μου, και εσαι κυριος μοι εις θεον. και ο λιθος ος ου εστησα στηλην, εσαι μοι οικος θεου. και παντων ων εαν μοι δωης δεκατωσω αυτα σοι.

ΚΕΦΑΛ. κθ'. 29.

Και επηρας ιακωβ τους ποδας, επορευθη εις γην ανατολων προς λαβαν τον υιον βαθουηλ του συρου, αδελφον δε ρεβεκκας μητρος ιακωβ, και ησαυ· και ορα, και ιδου φρεαρ εν τω πεδιω. ησαν δε εκει τρια ποιμνια προβατων, αναπαυομενα επ' αυτου. εκ γαρ του φρεατος εκεινου, εποτιζον τα ποιμνια. λιθος δε ην μεγας επι τω στοματι του φρεατος. και συνηγοντο εκει παντα τα ποιμνια, και απεκυλιον τον λιθον απο του στοματος του φρεατος, και εποτιζον τα προβατα και αποκαθιστων τον λιθον εις το στομα του φρεατος εις τον τοπον αυτου. ειπε δε αυτοις ιακωβ· αδελφοι, ποθεν εστε υμεις; οι δε ειπαν· εκ χαρραν δυμεν, ειπε δε αυτοις· γινωσκετε λαβαν τον υιον ναχωρ; οι δε ειπαν, γινωσκομεν. ειπε δε αυτοις· υγιαινει; οι δε ειπαν, υγιαινει· και ιδου ραχηλ η θυγατηρ αυτου, ηρχετο μετα των προβατων. και ειπεν ιακωβ· επι δεκα ημερα πολλη; ουπω ωρα συναχθηναι τα κτηνη. ποτισαντες τα προβατα απελθοντες βοσκετε. οι δε ειπαν· ου δυνησομεθα εως του συναχθηναι παντας τους ποιμενας, και αποκυλισουσι τον λιθον απο του στοματος του φρεατος, και ποτιουμεν τα προβατα. επι αυτοις λαλουντος αυτοις, και ραχηλ η θυγατηρ λαβαν ηρχετο μετα των προβατων του πατρος αυτης. αυτη γαρ εβοσκε τα προβατα του πατρος αυτης. εγενετο δε ως ειδεν ιακωβ την ραχηλ την θυγατερα λαβαν αδελφου της μητρος αυτου, και τα προβατα λαβαν του αδελφου της μητρος αυτου, και προσελθων ιακωβ απεκυλισε τον λιθον απο του στοματος του φρεατος, και εποτιζε τα προβατα λαβαν του αδελφου της μητρος αυτου. και εφιλησεν ιακωβ την ραχηλ, και βοησας τη φωνη αυτου εκλαυσε, και απηγγειλε τη ραχηλ οτι αδελφος του πατρος αυτης εστι. και δραμουσα, απηγγειλε τω πατρι αυτης κατα τα ρηματα ταυτα. εγενετο δε ως ηκουσε λαβαν το ονομα ιακωβ του υιου της αδελφης αυτου, εδραμεν εις συναντησιν αυτω.

και

καὶ πορευθεὶς αὐτὸν ἐφίλησε, καὶ ἐσύναξεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, καὶ διηγήσατο τῷ Λάβαν πάντας τοὺς λόγους τούτους. καὶ εἶπεν αὐτῷ Λάβαν· ἔτι σὺ ἐμοῦ μέ καὶ ἐκ τῆς σαρκός μου εἶ σύ. καὶ ὡς μετ' αὐτοῦ μῆνας ἡμερῶν. εἶπε δὲ Λάβαν τοῦ Ἰακώβ· ὅτι γὰρ ἀδελφός μου εἶ, διὰ δουλεύσεις μοι δωρεάν; ἀπάγγειλόν μοι τίς ὁ μισθός σου ἐστί. τῷ δὲ Λάβαν ἦσαν δύο θυγατέρες, ὄνομα τῇ μείζονι Λεία, καὶ ὄνομα τῇ νεωτέρᾳ Ῥαχήλ. οἱ δὲ ὀφθαλμοὶ Λείας, ἀσθενεῖς· Ῥαχὴλ δὲ ἦν καλὴ τοῦ εἴδους, καὶ ὡραία τῇ ὄψει σφόδρα. ἠγάπησε δὲ Ἰακὼβ τὴν Ῥαχήλ, καὶ εἶπε· δουλεύσω σοι ἑπτὰ ἔτη περὶ τῆς Ῥαχήλ, τῆς θυγατρός σου τῆς νεωτέρας. εἶπε δὲ αὐτῷ Λάβαν, βέλτιον δοῦναί μοι αὐτὴν σοι, ἢ δοῦναί με αὐτὴν ἀνδρὶ ἑτέρῳ. οἴκησον μετ' ἐμοῦ. καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ῥαχὴλ ἑπτὰ ἔτη. καὶ ἦσαν ὡσανεὶ ὀλίγαι, διὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν. σκήνωσατε δὴ Λάβαν πάντας τοὺς ἄνδρας τοὺς τόπους, καὶ ἐποίησε γάμον. καὶ ἐγένετο ἑσπέρα· καὶ λαβὼν Λάβαν Λείαν τὴν θυγατέρα αὐτοῦ, εἰσήγαγεν αὐτὴν πρὸς Ἰακώβ. καὶ εἰσῆλθε πρὸς αὐτὴν Ἰακώβ. ἔδωκε δὲ Λάβαν Ζελφὰν Λείᾳ τῇ θυγατρὶ αὐτοῦ τὴν παιδίσκην. ἐγένετο δὲ πρωΐ, καὶ ἰδοὺ ἦν Λεία. εἶπε δὲ Ἰακὼβ τοῦ Λάβαν· τί τοῦτο ἐποίησάς μοι; οὐ πρὸ Ῥαχὴλ ἐδούλευσα παρὰ σοί; καὶ ἵνα τί παρελογίσω με; ἀπεκρίθη δὲ Λάβαν· οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, ποιῆσαι τὴν νεωτέραν πρὶν τὴν πρωτοτόκων. συντέλεσον δὴ τὰς ἑβδομάδας ταύτης, καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας ἧς ἐργᾷ παρ' ἐμοὶ ἔτη ἕτερα. ἐποίησε δὲ Ἰακὼβ οὕτως. καὶ ἀνεπλήρωσε τὰς ἑβδομάδας ταύτης. καὶ ἔδωκεν αὐτῷ Λάβαν Ῥαχὴλ τὴν θυγατέρα αὐτοῦ αὐτῷ γυναῖκα. ἔδωκε δὲ Λάβαν τῇ θυγατρὶ αὐτοῦ Βαλλὰ τὴν παιδίσκην, καὶ εἰσῆλθε πρὸς Ῥαχήλ. ἠγάπησε δὲ Ῥαχὴλ μᾶλλον, ἢ Λείαν. καὶ ἐδούλευσεν αὐτῷ ἕπτα ἔτη ἕτερα. ἰδὼν δὲ κύριος ὁ θεὸς ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα. καὶ συνέλαβε Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ. ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβίμ, λέγουσα· διότι εἶδέ μου κύριος τὴν ταπείνωσιν, καὶ ἔδωκέ μοι ἐμοῦ. νῦν δὴ ἀγαπήσει με ὁ ἀνήρ μου. καὶ συνέλαβε πάλιν Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ, καὶ εἶπεν· ὅτι ἤκουσε κύριος ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών. καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱόν, καὶ εἶπεν· ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου, τέτοκα γὰρ αὐτῷ τρεῖς υἱούς. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Λουεί. καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱόν, καὶ εἶπε· νῦν ἐπὶ τούτῳ ἐξομολογήσομαι κυρίῳ. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰούδαν, καὶ ἔστη τίκτειν.

ΚΕΦΑΛ. λ'. 30.

Ἰδοῦσα δὲ Ῥαχὴλ ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, καὶ ἐζήλωσε Ῥαχὴλ τὴν ἀδελφὴν αὐτῆς, καὶ εἶπε τῷ Ἰακώβ· δός μοι τέκνα, εἰ δὲ μή, τελευτήσω ἐγώ. θυμωθεὶς δὲ Ἰακὼβ τῇ Ῥαχήλ, εἶπεν αὐτῇ· μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας; εἶπε δὲ Ῥαχὴλ τῷ Ἰακώβ· ἰδοὺ ἡ παιδίσκη μου Βαλλά. εἴσελθε πρὸς αὐτήν, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου, καὶ ποιήσω μαι κἀγὼ ἐξ αὐτῆς· καὶ ἔδωκεν αὐτῷ Βαλλὰ τὴν παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα. καὶ εἰσῆλθε πρὸς αὐτὴν Ἰακώβ, καὶ συνέλαβε Βαλλὰ ἡ παιδίσκη Ῥαχήλ, καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν. καὶ εἶπε Ῥαχὴλ· ἔκρινέ μοι ὁ θεός, καὶ ἐπήκουσε τῆς φωνῆς μου, καὶ ἔδωκέ μοι υἱόν. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν. καὶ συνέλαβεν ἔτι Βαλλὰ ἡ παιδίσκη Ῥαχήλ, καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ. καὶ εἶπε Ῥαχὴλ· συνελάβετό μοι ὁ θεός, καὶ συνεκράφην τῇ ἀδελφῇ μου, καὶ ἠδυνάσθην· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νεφθαλείμ. εἶδε δὲ Λεία ὅτι ἔστη τίκτειν, καὶ ἔλαβε Ζελφὰν τὴν παιδίσκην αὐτῆς, καὶ ἔδωκεν αὐτὴν τῷ Ἰακὼβ γυναῖκα· καὶ συνέλαβε Ζελφὰ ἡ παιδίσκη Λείας, καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν. καὶ εἶπε Λεία· ἐν τύχῃ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Γάδ. καὶ συνέλαβεν ἔτι Ζελφὰ ἡ παιδίσκη Λείας, καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν δεύτερον. καὶ εἶπε Λεία· μακαρία ἐγώ, ὅτι μακαρίζουσί με αἱ γυναῖκες, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀσήρ. ἐπορεύθη δὲ Ῥουβὶμ ἐν ἡμέραις θερισμοῦ πυρῶν, καὶ εὗρε μῆλα μανδραγόρου ἐν τῷ ἀγρῷ, καὶ ἤνεγκεν αὐτὰ πρὸς Λείαν τὴν μητέρα αὐτοῦ. εἶπε δὲ Ῥαχὴλ τῇ Λείᾳ τῇ ἀδελφῇ αὐτῆς· δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου. εἶπε δὲ Λεία· οὐχ ἱκανόν σοι ὅτι ἔλαβες τὸν ἄνδρα μου, μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; εἶπε δὲ Ῥαχὴλ· ἀλλ οὕτως. κοιμηθήτω μετὰ σοῦ τὴν νύκτα ταύτην, ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ σου. εἰσῆλθεν Ἰακὼβ ἐξ ἀγροῦ ἑσπέρας· καὶ εἰσῆλθε Λεία εἰς συνάντησιν αὐτῷ, καὶ εἶπε· πρός ἐμὲ ἐλεύσῃ σήμερον, μεμισθωμαι γὰρ σε αὐτὴν ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ μου· καὶ ἐκοιμήθη μετ' αὐτῆς τὴν νύκτα ἐκείνην. καὶ ἐπήκουσεν ὁ θεὸς Λείας, καὶ συνέλαβεν ἔτι καὶ ἔτεκε τῷ Ἰακὼβ υἱὸν πέμπτον. καὶ εἶπε Λεία· ἔδωκεν ὁ θεὸς τὸν μισθόν μου ἀνθ' οὗ ἔδωκα τὴν παιδίσκην μου τῷ ἀνδρί μου. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Ἰσσάχαρ, ὃ ὅστι μισθός, καὶ συνέλαβεν ἔτι Λεία, καὶ ἔτεκεν υἱὸν ἕκτον τῷ Ἰακώβ. καὶ εἶπε Λεία· δεδώρηταί ὁ θεός μοι δῶρον καλόν. νῦν τῷ ἀνδρί μου συμβιώσει μοι ὁ ἀνήρ μου, τέτοκα γὰρ αὐτῷ υἱοὺς ἕξ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών. καὶ μετὰ ταῦτα ἔτεκε θυγατέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς

Δεῖνα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθαι. ἐμνήσθη δὲ ὁ θεὸς τῆς ῥαχὴλ, καὶ ἐπήκουσεν αὐτῆ ὁ θεὸς, καὶ ἀνέῳξεν αὐτῆς τὴν μήτραν, καὶ συλλαβοῦσα ἔτεκε υἱὸν ἰακὼβ ὑὸν. εἶπε δὲ ῥαχήλ· ἀφεῖλεν ὁ θεός μου τὸν ὀνειδισμόν. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἰωσήφ, λέγουσα· προσθέτω ὁ θεός μοι υἱὸν ἕτερον. ἐγένετο δὲ ὡς ἔτεκε ῥαχὴλ τὸν ἰωσήφ, εἶπεν ἰακὼβ τῷ λάβαν· ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου, καὶ εἰς τὴν γῆν μου. ἀπόδος τὰς γυναῖκάς μου καὶ τὰ παιδία περὶ ὧν ἐδούλευσά σοι, ἵνα ἀπέλθω. σὺ γὰρ γινώσκεις τὴν δουλείαν ἣν δεδούλευκά σοι. εἶπε δὲ αὐτῷ λάβαν· εἰ εὗρον χάριν ἐναντίον σου, οἰωνισάμην αὖ. ἐπέγνων γὰρ με ὁ θεὸς διὰ σέ. διάστειλον τὸν μισθόν σου πρός με, καὶ δώσω. εἶπε δὲ ἰακώβ, σὺ γινώσκεις ἃ δεδούλευκά σοι, καὶ ὅσα ἦν κτῆνά σου μετ' ἐμοῦ. μικρὰ γὰρ ἦν ὅσα σοι ἦν ἐναντίον ἐμοῦ, καὶ ηὐξήθη εἰς πλῆθος. καὶ ηὐλόγησέ σε κύριος ὁ θεὸς ὧδε τοῦ ποδός μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον. καὶ εἶπεν αὐτῷ λάβαν· τί σοι δῶ; εἶπε δὲ αὐτῷ ἰακώβ· οὐ δώσεις μοι οὐθέν. ἐὰν ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου, καὶ φυλάξω. παρελθέτω πάντα τὰ πρόβατά σου σήμερον, καὶ διαχωρίσω ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἀρνασι, καὶ ποικίλον καὶ ῥαντὸν ἐν τοῖς ἀρνασι καὶ ἐν ταῖς αἰξὶν ἔσαι μοι μισθός. καὶ ἔσται μοι, καὶ ἀπακούσεταί μοι ἡ δικαιοσύνη μου ἐν τῇ ἡμέρᾳ τῇ ἐπαύριον, ὅταν ἔλθῃ ὁ μισθός μου ἔναντίον σου. πᾶν ὃ ἐὰν μὴ ᾖ ῥαντὸν καὶ διαλελυκὸς ἐν ταῖς αἰξὶ, καὶ φαιὸν ἐν τοῖς ἀρνασι ἴσα κλεμμαῖόν ἔσαι παρ' ἐμοί. εἶπεν ἄν λάβαν· ἔστω κατὰ τὸ ῥῆμά σου. καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς, καὶ τοὺς διαλελυκότας, καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ διαλελυκότας, καὶ πᾶν ὃ ἦν λευκὸν ἐν αὐτοῖς, καὶ πᾶν ὃ ἦν φαιὸν ἐν τοῖς ἀρνασι. καὶ ἔδωκε διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ, καὶ ἀπέστησεν ὁδὸν ἡμερῶν, καὶ αὐτὰ μέσον αὐτοῦ καὶ αὐτὰ μέσον ἰακὼβ. ἰακὼβ δὲ ἐποίμαινε τὰ πρόβατα λάβαν, τὰ ὑπολειφθέντα. ἔλαβε δὲ αὐτῷ ἰακὼβ λεπίσματα λευκά. καὶ ἐξεσύρωσε τὸ λευκόν, ἐφαίνετο ἐπὶ ταῖς ῥάβδοις τὸ λευκόν, ὃ ἐλεύκανε ποικίλον. διὰ τοῦτο ἔθηκε τὰς ῥάβδους ἃς ἐλέπισεν ἐν ταῖς λίμναις τῶν ποτιστηρίων τῶν ὑδάτων. ἵνα ὡς ἂν ἔλθωσι τὰ πρόβατα πιεῖν ἐναντίον τῶν ῥάβδων, ἐλθόντων αὐτῶν εἰς τὸ πιεῖν, ἐγκυοῦσθωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους. καὶ ἔτικτον τὰ πρόβατα διαλελυκότα καὶ ποικίλα καὶ στροβειδιεῖ ῥαντά. τοὺς δὲ ἀμνοὺς διέστειλεν ἰακώβ, καὶ ἔστησεν ἐναντίον τῶν προβάτων λευκὸν διαλελυκός, καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς. καὶ διεχώρισεν ἑαυτῷ ποίμνια καθ' ἑαυτόν, καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα λάβαν. ἐγένετο δὲ ἐν τῷ καιρῷ, ᾧ ἐνεκύσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, ἔθηκεν ἰακὼβ τὰς ῥάβδους ἐναντίον τῶν προβάτων ἐν ταῖς λίμναις, τοῦ ἐγκυῆσαι αὐτὰ πρὸς τὰς ῥάβδους. πρόβατα δὲ αὐ ἔτικτε τὰ πρόβατα, οὐκ ἔτίθει. ἐγένετο δὲ τὰ ἄσημα τοῦ λάβαν, τὰ δὲ ἐπίσημα τοῦ ἰακώβ. καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφόδρα. καὶ ἐγένετο αὐτῷ κτήνη πολλὰ καὶ βόες, παῖδες καὶ παιδίσκαι, κάμηλοι καὶ ὄνοι.

ΚΕΦΑΛ. λά. 31.

ΗΚουσε δὲ ἰακὼβ τὰ ῥήματα τῶν υἱῶν λάβαν λεγόντων· εἴληφεν ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν, καὶ ἐκ τοῦ τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν δόξαν ταύτην. καὶ εἶδεν ἰακὼβ τὸ πρόσωπον τοῦ λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρόσωπον αὐτοῦ, ὡσεὶ χθὲς καὶ τρίτην ἡμέραν. εἶπε δὲ κύριος πρὸς ἰακώβ· ἀπόστρεφε εἰς τὴν γῆν τῶν πατέρων σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ. ἀπεστείλας δὲ ἰακὼβ ἐκάλεσε λείαν καὶ ῥαχὴλ εἰς τὸ πεδίον, ὃ τὰ ποίμνια, καὶ εἶπεν αὐτοῖς· ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὅτι οὐκ ἔστι πρός με ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. ὁ δὲ θεὸς τοῦ πατρός μου μετ' ἐμοῦ. καὶ αὐταὶ δὲ οἴδατε, ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδού λευκα τῷ πατρὶ ὑμῶν. ὁ δὲ πατὴρ ὑμῶν παρενέβαλέ με, καὶ ἤλλαξε τὸν μισθόν μου δέκα ἀμνούς. καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ θεὸς τοῦ πατρός μου ἵνα μὴ ποιήσαι με. ἐὰν ὅτως εἶπεν τὰ ποικίλα ἔσαι σοι μισθός, καὶ τίκτει πάντα τὰ πρόβατα ποικίλα. ἐὰν δὲ εἶπεν τὰ λευκά, ἔσαι σου μισθός, καὶ τίκτει πάντα τὰ πρόβατα λευκά. καὶ ἀφείλετο ὁ θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά. καὶ ἐγὼ ἐνίκησα γενέσιος τὰ πρόβατα, καὶ εἶδον τοῖς ὀφθαλμοῖς αὐτὰ ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι, καὶ οἱ κριοὶ ἀναβαίνοντες ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλελυκότες καὶ στροβοειδεῖς ῥαντοί. καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ κατ' ὕπνον, ἰακώβ. ἐγὼ δὲ εἶπα, τί ὅτι; καὶ εἶπεν· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἰδὲ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλελυκότες καὶ ποικίλοι καὶ στροβοειδεῖς ῥαντοί. ἑώρακα γὰρ ὅσα σοι λάβαν ποιεῖ. ἐγώ εἰμι ὁ θεὸς σου ὁ ὀφθείς σοι ἐν τῷ τόπῳ θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι ἐκεῖ εὐχήν. νῦν οὖν ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ ἀπέλθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ. καὶ ἀποκριθεῖσα ῥαχὴλ, καὶ λεία, εἶπαν αὐτῷ· μὴ ἔτι ἡμῖν ἔστι μερὶς ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; οὐχ ὡς ἀλλότριαι λελογίσμεθα αὐτῷ; ὅτε πρακτεύσατο ἡμᾶς, καὶ κατέβρωσε κατέφαγε τὸ ἀργύριον ἡμῶν, πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν ἣν ἀφείλε

τον ὁ

τὸ ὁ θεὸς τ̃ πατρός ἡμῶν, ἡμῖν ἔσαι, καὶ τοῖς τέκνοις ἡμῶν. νυῦ οὖ ὅσα σοι εἴρηκεν ὁ θεός, ποίει. ἀπασὰς δὲ ἰακὼβ, ἔλαβε τὰς γυναῖκας αὐτ̃, καὶ τὰ παιδία αὐτ̃ ὧδε τὰς καμήλους. ⁋ ἀπήγαγε πάντα τὰ ὑπάρχοντα αὐτῷ, καὶ πᾶσαν τ̀ ἀρσκόλιν αὐτ̃, ἣν ἐποίησεν ἐν τῇ μεσοποταμίᾳ, καὶ πάντα τὰ αὐτ̃, ἀπελθεῖν πρὸς ἰσαὰκ τ̃ πατέρα αὐτ̃ εἰς γῆν χαναάν. λαβὰν ὃ ὤχετο λαβεῖν τὰ πρόβατα αὐτοῦ. ἔκλεψε δὲ ῥαχὴλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς. ἔκρυψε δὲ ἰακὼβ λάβαν τὸν σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτ̃ ὅτι ἀπέδρα αὐτὸς, καὶ τὰ αὐτοῦ πάντα. καὶ διέβη τὸν ποταμόν, καὶ ὥρμησεν εἰς τὸ ὄρος γαλαάδ. ⁋ ἀνηγγέλη δὲ λάβαν τ̃ σύρῳ τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτι ἀπέδρα ἰακὼβ. καὶ παραλαβὼν πάντας τοὺς ἀδελφοὺς αὐτοῦ μεθ' ἑαυτοῦ, ἐδίωξεν ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτά. καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει τ̃ γαλαάδ. ἦλθε δὲ ἄγγελος πρὸς λάβαν τὸν σύρον διὰ ὕπνου τῆς νυκτὸς, καὶ εἶπεν αὐτ̃· φύλαξαι σεαυτὸν, μή ποτε λαλήσῃς πρὸς αὐτὸν πονηρά. καὶ κατέλαβε λάβαν τὸν ἰακώβ. ἰακὼβ δὲ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐν τ̃ ὄρει. λάβαν δὲ ἔσησε τοὺς ἀδελφοὺς αὐτοῦ ἐν τ̃ ὄρει γαλαάδ. εἶπε δὲ λάβαν τ̃ ἰακώβ· τί ἐποίησας; ἵνα τί ἠρυθρίασας, καὶ ἐκλοποφόρησάς με, καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρας; καὶ εἰ ἀπήγγειλάς μοι, ἐξαπέστειλα ἂν σε μετ' εὐφροσύνης ⁋ μετὰ μουσικῶν τυμπάνων καὶ κιθάρας. ⁋ οὐκ ἠξιώθην κατασιλῆσαι τὰ παιδία μου, καὶ τὰς θυγατέρας μου. νυῦ ἠφρόνως ἔπραξας. καὶ νυῦ ἰσχύει ἡ χεὶρ μου κακοποιῆσαί σε. ὁ δὲ θεὸς τ̃ πατρός σου χθὲς εἶπε πρός με, λέγων· φύλαξαι σεαυτὸν, μήποτε λαλήσῃς μετὰ ἰακὼβ πονηρά. νυῦ δὲ πεπόρευσαι. ὡθυμίᾳ γὰρ ἐπεθύμησας ἀπελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου, ἵνατί ἔκλεψάς μου θεούς; ἀρκεσθεὶς δὲ ἰακὼβ εἶπε τ̃ λάβαν· εἶπα γὰρ μήποτε ἀφέλῃ τὰς θυγατέρας σου ἀπ' ἐμοῦ καὶ πάντα τὰ ἐμά. ⁋ εἶπεν ἰακὼβ, παρ' ᾧ ἂν εὕρῃς σὺ θεούς σου, ἀζήτητος γινέσθω ἔμπροσθεν τῶν ἀδελφῶν ἡμῶν. ἐπίγνωθι τί ὅδε παρ' ἐμοὶ τ̃ σῶν, καὶ λαβέ. καὶ οὐκ ἐπέγνω παρ' αὐτῷ ὁ θεός. εἰσῆλθε δὲ ἰακὼβ ὅτι ῥαχὴλ ἡ γυνὴ αὐτ̃ ἔκλεψεν αὐτούς. εἰσελθὼν δὲ λάβαν παρὰ τὴν σκηνὴν τῆς λείας, καὶ ἐν τ̃ σκηνῇ τῶν δύο παιδισκῶν, καὶ οὐχ εὗρεν. εἰσῆλθε δὲ καὶ εἰς τὴν σκηνὴν ῥαχήλ. ῥαχὴλ δὲ ἔλαβε τὰ εἴδωλα, καὶ ἐνέβαλεν αὐτὰ εἰς τὰ σαγματα τ̃ καμήλου, καὶ ἐπεκάθισεν αὐτοῖς. καὶ ἦπε λάβαν πατρὶ αὐτ̃· μὴ βαρέως φέρε κύριε. οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὸ κατ' ἐθισμὸν τῶν γυναικῶν μοι ὄδιν. ἠρεύνησε λάβαν ἐν ὅλῳ τῷ οἴκῳ, καὶ οὐχ εὗρε τὰ εἴδωλα. ὠργίσθη δὲ ἰακὼβ, καὶ ἐμαχήσατο λάβαν. ἀποκριθεὶς δὲ ἰακὼβ εἶπε τῷ λάβαν· τί τὸ ἀνόμημά μου, καὶ τί τὸ ἁμάρτημά μου, ὅτι κατεδίωξας ὀπίσω μου, καὶ ὅτι ἠρεύνησας πάντα τὰ σκεύη τοῦ οἴκου μου. τί εὗρες ἀπὸ πάντων τῶν σκευῶν τοῦ οἴκου σου. θες ὧδε ἐναντίον τῶν ἀδελφῶν σου καὶ τῶν ἀδελφῶν μου, καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν τοῦτά μοι. εἴκοσι ἔτη ἐγώ εἰμι μετὰ σοῦ. τὰ πρόβατά σου καὶ αἱ αἶγές σου οὐκ ἐτεκνώθησαν, κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον. θηριάλωτον οὐκ ἐγίνοχά σοι. ἐγὼ ἀπετίννυον παρ' ἐμαυτοῦ κλέμματα ἡμέρας, καὶ κλέμματα νυκτός. ἐγενόμην τῇ ἡμέρᾳ συγκαιόμενος τῷ καύματι ⁋ τ̃ πάγετῷ τ̀ νυκτὸς, καὶ ἀπέστη ὁ ὕπνος ἀπ' ἐμοῦ ἀπὸ τῶν ὀφθαλμῶν μου. τοῦτά μοι, εἴκοσι ἔτη ἐγώ εἰμι ἐν τῇ οἰκίᾳ σου. ἐδούλευσά σοι δέκα τέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου, καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου, καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάδια. εἰ μὴ ὁ θεὸς τοῦ πατρός μου ἀβραὰμ καὶ ὁ φόβος ἰσαὰκ ἦν μοι, νυῦ ἂν κενόν με ἐξαπέστειλας. τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου εἶδεν ὁ θεός, καὶ ἤλεγξέ σε χθές. ἀποκριθεὶς δὲ λάβαν εἶπε τ̃ ἰακὼβ· ἄδε θυγατέρες, θυγατέρες μου. καὶ υἱοί, υἱοί μου. καὶ τὰ ἐκτίσματα, ἐκτίσματά μου. καὶ πάντα ὅσα σὺ ὁρᾷς, ἐμά ὅδε, καὶ τ̃ θυγατέρων μου. τί ποιήσω ταύτοις σήμερον, ἢ τοῖς τέκνοις αὐτῶν οἷς ἔτεκον; νυῦ οὖ δεῦρο διαθώμαι διαθήκην ἐγὼ καὶ σύ. καὶ ἔσαι εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ ⁋ σοῦ. εἶπε δὲ αὐτ̃ ἰδοὺ οὐθεὶς μεθ' ἡμῶν ὅδε. ἴδε, ὁ θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. λαβὼν δὲ ἰακὼβ λίθον, ἔστησεν αὐτὸν στήλην. εἶπε δὲ ἰακὼβ τοῖς ἀδελφοῖς αὐτοῦ, συλλέγετε λίθους. καὶ συνέλεξαν λίθους, ⁋ ἐποίησαν βουνόν. ⁋ ἔφαγον ἐκεῖ ἐπὶ τοῦ βουνοῦ. καὶ εἶπεν αὐτῷ λάβαν· ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ σήμερον. καὶ ἐκάλεσεν αὐτὸν λάβαν, βουνὸς τῆς μαρτυρίας. ἰακὼβ δὲ ἐκάλεσεν αὐτὸν, βουνὸς μάρτυς. εἶπε δὲ λάβαν τῷ ἰακώβ· ἰδοὺ ὁ βουνὸς οὗτος ⁋ ἡ στήλη ἣν ἔστακα ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, μαρτυρεῖ ὁ βουνὸς οὗτος, καὶ μαρτυρεῖ ἡ στήλη αὕτη. ἀλλ' οὐκ ἐκλήθη τὸ ὄνομα, βουνὸς μαρτυρεῖ, καὶ ἡ ὅρασις ἣν εἶδον ἐπίλοι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ὅτι ἀποσκοπούμεθα ἕτερος τοῦ ἑτέρου. εἰ ταπεινώσεις τὰς θυγατέρας μου, εἰ λήψῃ γυναῖκα ὧδε ταῖς θυγατράσι μου, ὅρα οὐθεὶς μεθ' ἡμῶν ἐστίν. ὅρα θεὸς μάρτυς μεταξὺ ἐμοῦ καὶ μεταξὺ σοῦ. καὶ εἶπε λάβαν τῷ ἰακώβ· ἰδοὺ ὁ σωρὸς οὗτος καὶ μάρτυς ἡ στήλη αὕτη. ἐάντε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σέ, μήτε σὺ διαβῇς πρός με τὸν βουνὸν τοῦτον καὶ τὴν στήλην ταύτην ὧδε κακίᾳ, ὁ θεὸς ἀβραὰμ καὶ ὁ θεὸς ναχὼρ, κρίναι ἀνὰ μέσον ἡμῶν. καὶ ὤμοσεν ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ ἰσαάκ. ⁋ ἔθυσεν ἰακὼβ θυσίαν ἐν τῷ ὄρει. ⁋ ἐκάλεσε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἐκοιμήθησαν

γῆ τοῦ ὄρει. καὶ ἀναστὰς δὲ λαβὰν τὸ πρωΐ, ἔστησε τὸν ὑὸν αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ συλλόγησεν αὐτούς. καὶ ἀπεστράφησαν λαβὰν, ἀπῆλθον εἰς τὸν τόπον αὐτοῦ.

ΚΕΦΑΛ. λϐ'. 32.

ΚΑὶ ἰακὼβ ἀπῆλθον εἰς τὴν ἑαυτοῦ ὁδόν. καὶ ἀναβλέψας, εἶδε παρεμβολὴν θεοῦ παρεμβεβληκυῖαν. καὶ σωλύτησαν αὐτοῦ οἱ ἄγγελοι τοῦ θεοῦ. εἶπε δὲ ἰακὼβ, νίνικα εἶδον αὐτούς· παρεμβολὴ θεοῦ αὕτη. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου παρεμβολαί. ἀπέστειλε δὲ ἰακὼβ ἀγγέλους ἔμπροσθεν αὐτοῦ πρὸς ἡσαὺ τὸν ἀδελφὸν αὐτοῦ εἰς γῆν σηείρ, εἰς χώραν ἐδώμ. καὶ ἐνετείλατο αὐτοῖς λέγων· οὕτως ἐρεῖτε τῷ κυρίῳ μου ἡσαύ. οὕτως λέγει ὁ παῖς σου ἰακώβ, μετὰ λαβὰν παρώκησα, καὶ ἐχρόνισα ἕως τοῦ νῦν. καὶ ἐγένοντό μοι βόδι, καὶ ὄνοι, καὶ πρόβατα, καὶ παῖδες, καὶ παιδίσκαι. καὶ ἀπέστειλα ἀναγγεῖλαι τῷ κυρίῳ μου ἡσαύ, ἵνα εὕρω ὁ παῖς σου χάριν ἐναντίον σου. καὶ ἀνέστρεψαν οἱ ἄγγελοι πρὸς ἰακὼβ, λέγοντες· ἤλθομεν πρὸς τὸν ἀδελφόν σου ἡσαύ. καὶ ἰδοὺ αὐτὸς ἔρχεται εἰς συναάντησίν σου, καὶ τετρακόσιοι ἄνδρες μετ' αὐτοῦ. ἐφοβήθη δὲ ἰακὼβ σφόδρα, καὶ ἠπορεῖτο. καὶ διέλε τὸν λαὸν τὸν μεθ' ἑαυτοῦ, καὶ τοὺς βόας καὶ τὰ πρόβατα, εἰς δύο παρεμβολάς. καὶ εἶπεν ἰακώβ· ἐὰν ἔλθῃ ἡσαὺ εἰς παρεμβολὴν μίαν, καὶ ἐκκόψῃ αὐτὴν, ἔσται ἡ παρεμβολὴ ἡ λοιπὴ εἰς τὸ σώζεσθαι. εἶπε δὲ ἰακώβ· ὁ θεὸς τοῦ πατρός μου ἀβραάμ, καὶ ὁ θεὸς τοῦ πατρός μου ἰσαάκ. κύριε ὁ θεός, ὁ εἰπάς μοι, ἀπόστρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ εὖ σε ποιήσω, ἱκανός εἰμι ἀπὸ πάσης δικαιοσυνῆς, καὶ ἀπὸ πάσης ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου. τῇ γὰρ τῇ ῥάβδῳ μου διέβαν τὸν ἰορδάνην τοῦτον. νυνὶ δὲ γέγονα εἰς δύο παρεμβολάς. ῥῦσαί με ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου ἡσαύ, ὅτι φοβοῦμαι ἐγὼ αὐτόν, μή ποτε ἐλθὼν πατάξῃ με, καὶ μητέρας ἐπὶ τέκνοις. σὺ δὲ εἶπας καλῶς· εὖ σε ποιήσω, καὶ θήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣν οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ πλήθους. καὶ ἐκοιμήθη ἐκεῖ τὴν νύκτα ἐκείνην, καὶ ἔλαβεν ὧν ἐφερεν ἐν χειρὶ αὐτοῦ δῶρα. καὶ ἔζευξεν ἡσαὺ τῷ ἀδελφῷ αὐτοῦ αἶγας ἑξακοσίας, τράγους εἴκοσι, πρόβατα διακόσια, κριοὺς εἴκοσι, καμήλους θηλαζούσας, καὶ τὰ παιδία αὐτῶν τριάκοντα, βόας τεσσαράκοντα, ταύρους δέκα, ὄνους εἴκοσι, καὶ πώλους δέκα. καὶ ἔδωκε διὰ χειρὸς τοῖς παισὶν αὐτοῦ ποίμνιον κατὰ μόνας. εἶπε δὲ τοῖς παισὶν αὐτοῦ· προπορεύεσθε ἔμπροσθέν μου, καὶ διάστημα ποιεῖτε ἀνὰ μέσον ποίμνης καὶ ποίμνης. καὶ ἐνετείλατο τῷ πρώτῳ λέγων· ἐάν σοι συναντήσῃ ὁ ἀδελφός μου, καὶ ἐρωτᾷ σε λέγων, τίνος εἶ; καὶ ποῦ πορεύῃ, καὶ τίνων ταῦτα τὰ προπορεύομενά σου; ἐρεῖς· τοῦ παιδός σου ἰακώβ. δῶρα ἀπέσταλκε τῷ κυρίῳ μου ἡσαύ, καὶ ἰδοὺ αὐτὸς ὀπίσω ἡμῶν. καὶ ἐνετείλατο τῷ πρώτῳ καὶ τῷ δευτέρῳ καὶ τῷ τρίτῳ, καὶ πᾶσι τοῖς προπορευομένοις ὀπίσω τῶν ποιμνίων τούτων, λέγων· καὶ τὸ ῥῆμα τοῦτο λαλήσατε πρὸς ἡσαύ, ἐν τῷ εὑρεῖν ὑμᾶς αὐτόν. καὶ ἐρεῖτε, ἰδοὺ ὁ παῖς σου ἰακὼβ κατόπισθεν ἡμῶν. εἶπε γάρ, ἐξιλάσομαι τὸ πρόσωπον αὐτοῦ ἐν δώροις τοῖς προπορευομένοις αὐτοῦ. καὶ μετὰ ταῦτα ὀψομαι τὸ πρόσωπον αὐτοῦ. ἴσως γὰρ προσλέξεταί μοι τὸ πρόσωπόν μου. καὶ προεπορεύοντο τὰ δῶρα κατὰ πρόσωπον αὐτοῦ. αὐτὸς δὲ ἐκοιμήθη τὴν νύκτα ἐκείνην ἐν τῇ παρεμβολῇ. ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην, ἔλαβε τὰς δύο γυναῖκας, καὶ τὰς δύο παιδίσκας, καὶ τὰ ἑνδέκα παιδία αὐτοῦ, καὶ διέβη τὴν διάβασιν τοῦ ἰακώβ, καὶ ἔλαβεν αὐτοὺς, καὶ διέβησαν τὴν χειμάῤῥουν, καὶ διεβίβασε πάντα τὰ αὐτοῦ. κατελείφθη ὁ ἰακὼβ μόνος. καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωΐ. εἶδε δὲ ὅτι οὐ δύναται πρὸς αὐτόν. καὶ ἥψατο τοῦ πλατυσμοῦ τοῦ μηροῦ αὐτοῦ, καὶ ἐξάρκησε τὸ πλάτος τοῦ μηροῦ ἰακώβ, ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ. καὶ εἶπεν αὐτῷ, ἀπόστειλόν με. ἀνέβη γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν· οὐ μή σε ἀφήσω, ἐὰν μὴ με εὐλογήσῃς. εἶπε δὲ αὐτῷ, τί τὸ ὄνομά σου ἐστίν; ὁ δὲ εἶπεν, ἰακώβ. καὶ εἶπεν, οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου ἰακώβ, ἀλλ' ἢ ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατός. ἠρώτησε δὲ ἰακώβ, καὶ εἶπεν· ἀπάγγειλόν μοι τὸ ὄνομά σου. καὶ εἶπεν· ἵνατί τοῦτο ἐρωτᾷς σὺ τὸ ὄνομά μου, ὃ ὅτι θαυμαστόν. καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ. καὶ ἐκάλεσεν ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, εἰσὶν θεοῦ. εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. ἀνέτειλε δὲ ὁ ἥλιος, νίνικα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ. αὐτὸς δὲ ἐπέσκαζε τοῦ μηροῦ αὐτοῦ. γέγονεν τότε τὸ μὴ φαγεῖν υἱοὶ ἰσραὴλ τὸ νεῦρον, ὃ ἐπάγη, ὃ ὅτι ἥψατο τοῦ πλάτους τοῦ μηροῦ, ἕως τῆς ἡμέρας ταύτης. ὅτι ἥψατο τοῦ πλάτους τοῦ μηροῦ ἰακὼβ τοῦ νεύρου, καὶ ἐπάγη.

ΚΕΦΑΛ. λγ'. 33.

ΑΝαβλέψας δὲ ἰακὼβ εἶδε, καὶ ἰδοὺ ἦσαν ὁ ἀδελφὸς αὐτοῦ ἐρχόμενος, καὶ τετρακόσιοι ἄνδρες μετ' αὐτοῦ. καὶ ὡς διέλεγεν ἰακὼβ τὰ παιδία ὡδὶ λέαν καὶ ὡδὶ ῥαχήλ, καὶ τὰς δύο παιδίσκας. καὶ ἐποίησε τὰς δύο παιδίσκας, καὶ τοὺς υἱοὺς αὐτῶν ἐν πρώτοις, καὶ λέαν καὶ τὰ παιδία αὐτῆς ὀπίσω, καὶ ῥαχὴλ καὶ ἰωσὴφ ἐσχάτους. αὐτὸς δὲ προῆλθεν ἔμπροσθεν αὐτῶν, καὶ προσεκύνησεν ὡδὶ τὴν γῆν ἑπτάκις, ἕως τοῦ ἐγγίσαι τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ προσέδραμεν ἡσαὺ εἰς συναάντησιν αὐτῷ. καὶ περιλαβὼν αὐτὸν ἐφίλησε, καὶ προσέπεσεν ὡδὶ ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτὸν, καὶ ἔκλαυσαν ἀμφότεροι. καὶ ἀναβλέψας εἶδε τὰς γυναῖκας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παῖδας καὶ τὰ παιδία, καὶ εἶπαν· τί ταῦτά σοί ἐστιν; ὁ δὲ εἶπεν· τὰ παιδία οἷς ἐχάρισατο ὁ θεὸς τῷ πατρί σου. καὶ προσελθοῦσαι αἱ παιδίσκαι καὶ τὰ τέκνα αὐτῶν, καὶ προσεκύνησαν. καὶ προσήγισε λεία καὶ τὰ τέκνα αὐτῆς, καὶ προσεκύνησαν. καὶ μετὰ ταῦτα προσήγισε Ραχὴλ, καὶ Ἰωσὴφ, καὶ προσεκύνησαν. καὶ εἶπεν· τί ταῦτά σοι ἐστὶν αὐτοῦ αἱ παρεμβολαὶ αἷς ἀπήντησας; ὁ δὲ εἶπεν· ἵνα εὕρω ὁ πᾶς σου χάριν ἐναντίον σου κύριε. εἶπε δὲ ἡσαύ· ἔστι μοι πολλά ἀδελφέ· ἔστω σοι τὰ σά. εἶπε δὲ Ἰακώβ· εἰ εὕρηκα χάριν ἐναντίον σου, δέξαι τὰ δῶρα ἐκ τῶν ἐμῶν χειρῶν. ἕνεκεν τούτου εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον θεοῦ, καὶ εὐδοκήσεις με. λαβὲ τὰς εὐλογίας μου ἃς ἤνεγκαί σοι, ὅτι ἐλέησέ με ὁ θεός, καὶ ἔστι μοι πάντα· καὶ ἐβιάσατο αὐτὸν, καὶ ἔλαβε. καὶ εἶπεν· ἀπάραντες πορευσώμεθα ἔτι εὐθείαν. εἶπε δὲ αὐτῷ· ὁ κύριός μου γινώσκει ὅτι τὰ παιδία ἁπαλώτερα, καὶ τὰ πρόβατα καὶ αἱ βόες χωλεύοντα ἐπ' ἐμοί. ἐὰν οὖν καταλείψω αὐτὰ ἡμέραν μίαν, ἀποθανοῦνται πάντα τὰ κτήνη. προέλθέτω ὁ κύριός μου ἔμπροσθεν τοῦ παιδὸς αὐτοῦ. ἐγὼ δὲ ἡγήσομαι τῇ ὁδῷ ἧ ἔστι πρόσω τῶν παιδαρίων, ἕως ἂν ἔλθω πρὸς τὸν κύριόν μου εἰς σηείρ. εἶπε δὲ ἡσαύ· καταλείψω μετὰ σοῦ τὸν λαὸν τὸν μετ' ἐμοῦ. ὁ δὲ εἶπεν· ἵνατί τοῦτο; ἱκανόν ὅτι εὕρομεν χάριν ἐναντίον σου κύριε. ἀπέστρεψε δὲ ἡσαὺ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἰς τὴν ὁδὸν αὐτοῦ εἰς σηείρ. Ἰακὼβ δὲ ἀπάρει εἰς σκηνάς. Ἐποίησεν ἑαυτῷ ἐκεῖ οἰκίας, καὶ τοῖς κτήνεσιν αὐτοῦ ἐποίησε σκηνάς. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου σκηναί, καὶ ἦλθεν Ἰακὼβ εἰς σαλὴμ πόλιν Σικίμων, ἣ ἐστὶν ἐν τῇ γῇ Χανανάν, ὅτε ἐπανῆλθεν ἐκ τῆς Μεσοποταμίας Συρίας, καὶ παῴκησε κατὰ πρόσωπον τῆς πόλεως, καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ οὗ ἔπηξεν ἐκεῖ τὸν σκηνὸν αὐτοῦ παρὰ ἐμμὼρ πατρὸς συχὲμ ἑκατὸν ἀμνῶν. καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν θεὸν Ἰσραήλ.

ΚΕΦΑΛ. λδ'. 34.

Ἐξῆλθε δὲ Δείνα ἡ θυγάτηρ Λείας, ἣν ἔτεκε τῷ Ἰακὼβ καταμαθεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων. καὶ εἶδεν αὐτὰς συχὲμ ὁ υἱὸς ἐμμὼρ ὁ χορβαῖος, ὁ ἄρχων τῆς γῆς. καὶ λαβὼν αὐτὰς, ἐνοιμήθη μετ' αὐτῆς. καὶ ἔτεκε, καὶ ἐπαπέπωσεν αὐτῇ. καὶ προσέσχε τῇ ψυχῇ Δείνας τῆς θυγατρὸς Ἰακώβ, καὶ ἠγάπησε τὴν παρθένον. καὶ ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ. εἶπε συχὲμ ὁ υἱὸς ἐμμὼρ τὸν πρὸς πατέρα αὐτοῦ λέγων· λαβέ μοι τὴν παιδίσκην ταύτην εἰς γυναῖκα. Ἰακὼβ δὲ ἤκουσεν ὅτι ἐμίανεν ὁ υἱὸς ἐμμὼρ Δείναν τὴν θυγατέρα αὐτοῦ, οἱ δὲ υἱοὶ αὐτοῦ ἦσαν μετὰ τῶν κτηνῶν αὐτοῦ ἐν τῷ πεδίῳ. παρεσιώπησε δὲ Ἰακὼβ ἕως τοῦ ἐλθεῖν αὐτούς. ἐξῆλθε δὲ ἐμμὼρ ὁ πατὴρ συχὲμ πρὸς Ἰακὼβ, λαλῆσαι αὐτῷ. οἱ δὲ υἱοὶ Ἰακὼβ ἦλθον ἐκ τοῦ πεδίου. ὡς δὲ ἤκουσαν διετρώγησαν οἱ ἄνδρες, καὶ λυπηρὸν ἦν αὐτοῖς σφόδρα ὅτι ἄσχημον ἐποίησεν ἐν Ἰσραὴλ ἀοίμηθεὶς μετὰ τῆς θυγατρὸς Ἰακώβ. καὶ οὐχ οὕτως ἔσται. καὶ ἐλάλησεν ἐμμὼρ αὐτοῖς λέγων· συχὲμ ὁ υἱός μου πόθεν τῇ ψυχῇ τὴν θυγατέρα ὑμῶν. δότε αὐτὴν αὐτῷ γυναῖκα, συνεπιγαμβρεύσασθε ἡμῖν. τὰς θυγατέρας ὑμῶν δότε ἡμῖν, καὶ τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς ὑμῶν. καὶ ἐν ἡμῖν κατοικεῖτε. καὶ ἡ γῆ ἰδοὺ πλατεῖα ἐναντίον ὑμῶν. κατοικεῖτε καὶ ἐμπορεύεσθε ἐν αὐτῇ. καὶ ἐγκτᾶσθε ἐν αὐτῇ. εἶπε δὲ συχὲμ πρὸς τὸν πατέρα αὐτῆς, καὶ πρὸς τοὺς ἀδελφοὺς αὐτῆς. εὕροιμι χάριν ἐναντίον ὑμῶν. καὶ ὃ ἐὰν εἴπητε, δώσομεν. πληθύνατε τὸν φόρον σφόδρα, καὶ δώσω καθότι ἂν εἴπητέ μοι. καὶ δώσετέ μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα. ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Ἰακὼβ τῷ συχὲμ, καὶ ἐμμὼρ τῷ πατρὶ αὐτοῦ μετὰ δόλου, καὶ ἐλάλησαν αὐτοῖς ὅτι ἐμίανεν Δείναν τὴν ἀδελφὴν αὐτῶν. καὶ εἶπαν αὐτοῖς συμφωνοῦμεν καὶ λύσει οἱ ἀδελφοὶ Δείνας, οἱ υἱοὶ Λείας· οὐ δώσομεν τὴν θυγατέρα ἡμῶν τῷ ἀδελφῷ ἡμῶν ἀνθρώπῳ ὃς ἔχει ἀκροβυσίαν. ἔστι γὰρ ὄνειδος ἡμῖν. ἐν τούτῳ ὁμοιωθησόμεθα ὑμῖν, καὶ κατοικήσομεν ἐν ὑμῖν, ἐὰν γένησθε ὡς ἡμεῖς καὶ ὑμεῖς ἐν τῷ περιτμηθῆναι ὑμῶν πᾶν ἀρσενικόν, καὶ δώσομεν τὰς θυγατέρας ἡμῶν ὑμῖν, καὶ ἀπὸ τῶν θυγατέρων ὑμῶν λήψόμεθα ἡμῖν γυναῖκας, καὶ οἰκήσομεν παρ' ὑμῖν, καὶ ἐσόμεθα ὡς γένος ἕν. ἐὰν δὲ ἐισακούσητε ἡμῶν τοῦ περιτεμέσθαι, λαβόντες τὰς θυγατέρας ὑμῶν ἀπελευσόμεθα. καὶ ἤρεσαν οἱ λόγοι ἐναντίον ἐμμὼρ, καὶ ἐναντίον συχὲμ τοῦ υἱοῦ ἐμμὼρ. καὶ οὐκ ἐχρόνισεν ὁ νεανίσκος τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο, ἐνεκεῖτο γὰρ τῇ θυγατρὶ Ἰακώβ. αὐτὸς δὲ ἦν ἐνδοξότατος πάντων τῶν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. ἦλθε δὲ ἐμμὼρ καὶ συχὲμ ὁ υἱὸς αὐτοῦ πρὸς τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ ἐλάλησαν πρὸς τοὺς ἄνδρας τῆς πόλεως αὐτῶν λέγοντες· οἱ ἄνθρωποι οὗτοι, εἰρηνικοί εἰσι μεθ' ἡμῶν. οἰκείτωσαν ἐν τῇ γῇ, καὶ ἐμπορευέσθωσαν αὐτήν. ἡ δὲ γῆ ἰδοὺ πλατεῖα ἐναντίον αὐτῶν. τὰς θυγατέρας αὐτῶν λήψόμεθα ἡμῖν γυναῖκας, καὶ τὰς θυγατέρας ἡμῶν δώσομεν αὐτοῖς. ἐν τούτῳ μόνον ὁμοιωθήσονται ἡμῖν οἱ ἄνθρωποι τοῦ κατοικεῖν μεθ' ἡμῶν, ὥστε εἶναι λαὸν ἕνα. ἐν τῷ περιτεμέσθαι ἡμῶν πᾶν ἀρσενικόν, καθὰ καὶ αὐτοὶ περιτέτμηνται. καὶ τὰ κτήνη αὐτῶν καὶ τὰ τετράποδα καὶ τὰ ὑπάρχοντα αὐτῶν, οὐχ ἡμῶν ἔσται; μόνον ἐν τούτῳ ὁμοιωθῶμεν αὐτοῖς, καὶ οἰκήσουσι μεθ' ἡμῶν. καὶ ἐσπήκουσεν ἐμμὼρ συχὲμ τῷ υἱῷ αὐτοῦ, καὶ πάντες οἱ ἐκπορευόμενοι τῆς πύλης τῆς πόλεως αὐτῶν, καὶ περιετμήθησαν τὸ σάρκα τῆς ἀκροβυσίας αὐτῶν πᾶς ἀρσην. ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτε ἦσαν ἐν

τοῦ πόνου, ἔλαβον οἱ δύο υἱοὶ ἰακὼβ συμεὼν καὶ λευὶ ἀδελφοὶ δ' ἑνὸς, ἕκαστος τὴν μαχαιραν αὐτοῦ, καὶ εἰσῆλθον εἰς τὴν πόλιν ἀσφαλῶς, καὶ ἀπέκτειναν παῦ ἀρσενικόν. πάντε ἐμμὼρ ἠ συχέμ τὸν υἱὸν αὐτοῦ, ἀπὼ ἐκτάνεν γὼ τῷ σόματι μαχαίρας. καὶ ἔλαβον τὴν δίναν ἐκ τοῦ οἴκα συχέμ, καὶ ἐξῆλθον. οἱ δὲ υἱοὶ ἰακὼβ εἰσῆλθον ἐπὶ τοὺς θραυματίας, καὶ ἀφήρπαζαν τὴν πόλιν γὼ ἡ ἐμίαναν δίναν τὴν ἀδελφὴν αὐτῶν. καὶ τὰ πρόβατα αὐτῶν, καὶ τοὺς βόας αὐτῶν, καὶ τοὺς ὄνους αὐτῶν, ὅσα τε ἦν γὼ τῇ πόλει, καὶ ὅσα ἦν γὼ τῷ πεδίῳ ἔλαβον, καὶ πάντα τὰ σώματα αὐτῶν, καὶ πᾶσαν τὴν ἀρσενικὴν αὐτῶν, καὶ τὰς γυναῖκας αὐτῶν ἠχμαλώτευσαν καὶ ἀφήρπασαν. ὅσα τε ἦν γὼ τῇ πόλει, καὶ ὅσα ἦν γὼ ταῖς οἰκίαις. εἶπε δὲ ἰακὼβ πρὸς συμεὼν καὶ λευί· μισητόν με πεποιήκατε, ὥς τε φαυλρὸν με εἶναι τοῖς κατοικοῦσι τὴν γῆν, ἔντε τοῖς χαναναίοις καὶ τοῖς φερεζαίοις. ἐγὼ δὲ ὀλιγοστός εἰμι γὼ ἀριθμῷ. καὶ συναχθήσονται ἐπ' ἐμὲ, συνκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγὼ καὶ ὁ οἶκός μου. οἱ δὲ εἶπαν, ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν;

ΚΕΦΑΛ. λέ. 35.

ΕΙπε δὲ ὁ θεὸς πρὸς ἰακὼβ· ἀνάστας ἀνάβηθι εἰς τὸν τόπον βαιθὴλ, καὶ οἴκει ἐκεῖ. καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ θεῷ τῷ ὀφθέντι σοι γὼ τῷ ἀποδιδράσκειν ἀπὸ προσώπου ἡσαῦ τοῦ ἀδελφοῦ σου. εἶπε δὲ ἰακὼβ τοῖς οἴκῳ αὐτοῦ, καὶ πᾶσι τοῖς μετ' αὐτοῦ· ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ἡμῶν. καὶ καταρίθητε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ ἀνάστα τοῦ ἀναβῶμεν εἰς βαιθήλ. καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ θεῷ, τῷ ἐπακούσαντί μου γὼ ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ, καὶ σῴσασά με γὼ τῇ ὁδῷ ᾗ ἐπορεύμην. καὶ ἔδωκαν τῷ ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν γὼ ταῖς χερσὶν αὐτῶν. καὶ τὰ γώτια τὰ γὼ τοῖς ὠσὶν αὐτῶν, καὶ κατέκρυψεν αὐτὰ ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν γὼ σικίμοις, καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας. καὶ ἐξῆρεν ἰσραὴλ ἐκ σικίμων, καὶ ἐγένετο φόβος θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν ἰσραήλ. ἦλθε δὲ ἰακὼβ εἰς λαζᾶ, ἥ ἐστιν γῇ χαναάν, ἥ ἐστι βαιθήλ, αὐτὸς καὶ πᾶς ὁ λαὸς ὃς ἦν μετ' αὐτοῦ. καὶ ὠκοδόμησεν ἐκεῖ θυσιαστήριον. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου βαιθήλ· ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ θεὸς γὼ τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου ἁσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ. ἀπέθανε δὲ δεβόρρα ἡ τροφὸς ῥεβέκκας, καὶ ἐτάφη κατώτερον βαιθὴλ ὑπὸ τὴν βάλανον. καὶ ἐκάλεσεν ἰακὼβ τὸ ὄνομα αὐτῆς, βάλανον θρήνους. ὤφθη δὲ ὁ θεὸς τῷ ἰακὼβ, ἔτι γὼ λαζᾶ, ὅτε παρῆν γὼ ἐκεῖσε ἐκ μεσοποταμίας τῆς συρίας. καὶ εὐλόγησεν αὐτὸν ὁ θεός. καὶ εἶπεν αὐτῷ ὁ θεός· τὸ ὄνομά σου ἰακὼβ, οὐ κληθήσεται ἔτι ἰακὼβ, ἀλλ' ἰσραὴλ ἔσται τὸ ὄνομά σου. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἰσραήλ. εἶπε δὲ αὐτῷ ὁ θεός, ἐγὼ ὁ θεός σου. αὔξανου καὶ πληθύνου. ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ φοσφύος σου ἐξελεύσονται. καὶ τὴν γῆν ἣν δέδωκα τῷ ἀβραὰμ καὶ ἰσαὰκ, σοὶ δέδωκα αὐτὴν, καὶ σοὶ ἔσαι, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην εἰς τὰς γενεὰς αὐτῶν. ἀνέβη ὁ θεὸς ἀπ' αὐτοῦ ἐκ τοῦ τόπου, οὗ ἐλάλησε μετ' αὐτοῦ. καὶ ἔστησεν ἰακὼβ στήλην γὼ τῷ τόπῳ ᾧ ἐλάλησε μετ' αὐτοῦ, στήλην λιθίνην. καὶ ἔσπεισεν ἐπ' αὐτῆς σπουδήν, καὶ ἐπέχεεν ἐπ' αὐτῆς ἔλαιον, καὶ ἐκάλεσεν ἰακὼβ τὸ ὄνομα τοῦ τόπου γὼ ᾧ ἐλάλησε μετ' αὐτοῦ ὁ θεὸς βαιθήλ. ἀπάρας δὲ ἰακὼβ ἐκ βαιθήλ, ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου γαδέρ. ἐγένετο δὲ ἡνίκα ἤγγισεν εἰς χαφραθᾶ, τοῦ ἐλθεῖν εἰς γῆν ἐφραθᾶ, ἔτεκε ῥαχήλ, καὶ ἐδυσόκησεν γὼ τῷ τεκεῖν αὐτήν. ἐγένετο δὲ ἡ γὼ τῷ σκληρῶς αὐτὴν τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα· θάρσει, ἡ γὰρ ἔτός σοι ὄβιν υἱόν. ἐγένετο δὲ γὼ τῷ ἀφιέναι αὐτὴν τὴν ψυχὴν, ἀπέθνησκε γάρ, ἐκάλεσε τὸ ὄνομα αὐτοῦ υἱὸς ὀδύνης μου. ὁ δὲ πατὴρ ἐκάλεσεν αὐτὸν βενιαμίν. ἀπέθανε δὲ ῥαχήλ, καὶ ἐτάφη γὼ τῇ ὁδῷ ἐφραθᾶ. αὕτη ἐστὶ βηθλεέμ. καὶ ἔστησεν ἰακὼβ στήλην ἐπὶ τοῦ μνημείου αὐτῆς. αὕτη ἐστὶν στήλη μνημείου ῥαχὴλ ἕως τῆς σήμερον ἡμέρας. καὶ ἀπῆρεν ἰσραὴλ, καὶ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου γαδέρ. ἐγένετο δὲ ἡνίκα κατῴκησεν ἰσραὴλ γὼ τῇ γῇ ἐκείνῃ, ἐπορεύθη ῥουβὶμ καὶ ἐκοιμήθη μετὰ βάλλας τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ, καὶ ἤκουσεν ἰσραήλ, καὶ πονηρὸν ἐφάνη γὼ αὐτῷ. ἦσαν δὲ οἱ υἱοὶ ἰακὼβ δώδεκα, υἱοὶ λείας. ῥουβὶμ ὁ πρωτότοκος ἰακὼβ, συμεὼν, λευὶ, ἰούδας, ἰσσαχὰρ, ζαβουλών. υἱοὶ δὲ ῥαχὴλ, ἰωσὴφ καὶ βενιαμίν. υἱοὶ δὲ βάλλας παιδίσκης ῥαχὴλ, δὰν, καὶ νεφθαλείμ. υἱοὶ δὲ ζελφὰς παιδίσκης λείας, γὰδ καὶ ἀσήρ. οὗτοι υἱοὶ ἰακὼβ, οἳ ἐγενοῦντο αὐτῷ γὼ μεσοποταμίᾳ τῆς συρίας. ἦλθε δὲ ἰακὼβ πρὸς ἰσαὰκ τὸν πατέρα αὐτοῦ, ἔτι ζῶντος αὐτοῦ εἰς μαμβρῆ εἰς πόλιν τῆς πενθίας. αὕτη δέ ἐστι χεβρὼν γὼ τῇ γῇ χαναάν, ὃ κατῴκησεν ἀβραὰμ καὶ ἰσαάκ. ἐγένοντο δὲ αἱ ἡμέραι ἰσαὰκ ἃς ἔζησεν, ἔτη ἑκατὸν ὀγδοήκοντα, καὶ ἐκλείπων ἀπέθανε. καὶ πρόσκειται πρὸς τὸ γῆρος αὐτοῦ πρόθυμος καὶ πλήρης ἡμερῶν. καὶ ἔθαψαν αὐτὸν ἥ τε αὐτοῦ καὶ ἰακὼβ οἱ δύο υἱοὶ αὐτοῦ.

ΚΕΦΑΛ. λς. 36.

ΑΥται δὲ αἱ γενέσεις ἡσαῦ. αὐτὸς ἐστιν ἐδώμ. ἡσαῦ δὲ ἔλαβε γυναῖκας αὐτῷ ἀπὸ τῶν θυγατέρων τῶν χαναναίων, τὴν ἀδὰ θυγατέρα ἀλὼμ τὸ χετταίου, καὶ τὴν ὁλιβεμὰ θυγατέρα ανὰ τοῦ υἱοῦ σεβεγὼν τοῦ ὐαίου, καὶ τὴν βασεμμὰθ θυγατέρα ἰσμαὴλ ἀδελφὴν ναβαιὼθ. ἔτεκε δὲ ἡ ἀδὰ τῷ ἡσαῦ τὸν ἐλιφάς. καὶ βασεμμὰθ ἔτεκε τὸν ῥαγουήλ. καὶ ὁλιβεμὰ ἔτεκε τὸν ἰεὺς. καὶ τὸν ἰεγλόμ.

καὶ τὴν Λωρὲ. ὅτοι ἡσαὺ, οἳ ἐγένοντο αὐτῷ ἐν γῇ χαναάν. ἔλαβε δὲ ἡσαὺ τὰς γυναῖκας αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ πάντα τὰ σώματα τοῦ οἴκου αὐτοῦ, καὶ πάντα τὰ κτήνη τὰ ὑπάρχοντα αὐτοῦ, καὶ πάντα τὰ ἀτίμια, καὶ πάντα ὅσα ἐκτήσατο, καὶ ὅσα πεποιήκει ἐν γῇ χαναάν. καὶ ἐπορεύθη εἰς γῆς χαναάν ἀπὸ προσώπου ἰακὼβ τοῦ ἀδελφοῦ αὐτοῦ. ἦν γὰρ αὐτῷ τὰ ὑπάρχοντα πολλὰ τοῦ οἰκεῖν ἅμα, καὶ οὐκ ἠδυνάσατο ἡ γῆ τῆς παροικήσεως αὐτῶν, φέρειν αὐτούς, ἀπὸ τὸ πλήθους τῶν ὑπαρχόντων αὐτῶν. κατῴκησε δὲ ἡσαὺ ἐν τῷ ὄρει σηείρ. ἡσαὺ αὐτός ἐστιν Ἐδώμ. αὗται δὲ αἱ γενέσεις ἡσαὺ πατρὸς Ἐδὼμ ἐν τῷ ὄρει σηείρ, καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν ἡσαύ. ἐλιφὰς υἱὸς Ἀδὰς γυναικὸς ἡσαύ, καὶ Ῥαγουὴλ υἱὸς Βασεμμὰθ γυναικὸς ἡσαύ. ἐγένοντο δὲ ἐλιφὰς υἱοὶ θαιμάν, ὠμάν, σωφάρ, γοθόμ, καὶ Κενέζ, θαμνὰ δὲ ἐν παλλακὴ ἐλιφὰς τοῦ υἱοῦ ἡσαύ, καὶ ἔτεκε τῷ ἐλιφὰς ἐν Ἀμαλήκ. οὗτοι υἱοὶ Ἀδὰς γυναικὸς ἡσαύ. οὗτοι δὲ υἱοὶ Ῥαγουὴλ. ναχὼθ, Ζαρὲ, σομὲ, καὶ μοζέ. οὗτοι ἦσαν υἱοὶ Βασεμμὰθ γυναικὸς ἡσαύ. οὗτοι δὲ υἱοὶ Ὁλιβεμὰς θυγατρὸς Ἀνὰ τοῦ υἱοῦ Σεβεγὼν γυναικὸς ἡσαύ. ἔτεκε δὲ τῷ ἡσαὺ, τὸν Ἰεούς, καὶ τὸν Ἰεγλόμ, καὶ τὸν Κορὲ, ὅτοι ἡγεμόνες υἱοὶ ἦσαν. υἱοὶ ἐλιφὰς πρωτότοκος ἦσαν, ἡγεμὼν θαιμάν, ἡγεμὼν ὠμάρ, ἡγεμὼν σωφάρ, ἡγεμὼν Κενέζ, ἡγεμὼν Κορέ, ἡγεμὼν γοθόμ, ἡγεμὼν Ἀμαλήκ. οὗτοι ἡγεμόνες ἐλιφὰς ἐν τῇ ἰδουμαίᾳ, οὗτοι δὲ υἱοὶ Ἀδὰς. καὶ οὗτοι υἱοὶ Ῥαγουὴλ υἱοὶ ἦσαύ. ἡγεμὼν ναχώθ, ἡγεμὼν Ζαρὲ, ἡγεμὼν σομέ, ἡγεμὼν μοζὲ, ἡγεμόνες Ῥαγουὴλ ἐν γῇ Ἐδώμ. οὗτοι υἱοὶ Βασεμμὰθ γυναικὸς ἡσαύ. οὗτοι ἦ υἱοὶ Ὁλιβεμὰς γυναικὸς ἡσαύ, ἡγεμὼν Ἰεούλ, ἡγεμὼν Ἰεγλόμ, ἡγεμὼν Κορέ. οὗτοι ἡγεμόνες Ὁλιβεμὰς θυγατρὸς Ἀνὰ γυναικὸς ἡσαύ, ὅτοί εἰσιν υἱοὶ ἦσαύ, καὶ ὅτοί ἡγεμόνες αὐτῶν. ὅτοί εἰσιν υἱοὶ Ἐδώμ. ὅτοι δὲ υἱοὶ σηείρ τοῦ χορραίου τοῦ κατοικοῦντος γῆν λωταύ, σωβαλ, σεβεγών, ἀνὰ, καὶ δησών, καὶ ἀσαρ, καὶ ῥισών. οὗτοι ἡγεμόνες τοῦ χορραίου τοῦ υἱοῦ σηείρ ἐν τῇ γῇ Ἐδώμ. ἐγένοντο δὲ υἱοὶ λωταὺ χορρί, καὶ ἀιμαύ. ἀδελφὴ δὲ λωταύ, θαμνά. οὗτοι δὲ υἱοὶ σωβάλ, γωλώμ, καὶ μαναχάθ, καὶ γαιβήλ, σωφάρ, καὶ ὠμαύ. καὶ ὅτοι υἱοὶ σεβεγών, Ἀϊὰ, καὶ Ἀνανά. οὗτός ἐστιν Ἀνάν, ὃς εὗρε τοὺς ἰαμεὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ ὑποζύγια Σεβεγὼν τοῦ πατρὸς αὐτοῦ. ὅτοι δὲ υἱοὶ Ἀνὰ, δησὼν, καὶ Ὁλιβεμὰ θυγάτηρ Ἀνά. οὗτοι δὲ υἱοὶ δησών. ἀμαδὰ καὶ ἀσβάν, καὶ ἰεσθρὰν, καὶ χαρράν. ὅτοι δὲ υἱοὶ ἀσὰρ, Βαλὰμ καὶ ζουκάμ, καὶ Ἰωυκάν, καὶ Ἀκάμ. ὅτοι δὲ υἱοὶ ῥισών, ὧς καὶ Ἀρούκ. οὗτοι δὲ ἡγεμόνες χορρί, ἡγεμὼν λωταύ, ἡγεμὼν σωβάλ, ἡγεμὼν σεβεγών, ἡγεμὼν Ἀνά, ἡγεμὼν δησών, ἡγεμὼν Ἀσάρ, ἡγεμὼν ῥισών, οὗτοι ἡγεμόνες χορρὶ ἐν ταῖς ἡγεμονίαις αὐτῶν ἐν γῇ Ἐδώμ. καὶ ὅτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν γῇ Ἐδώμ, πρὸ τοῦ βασιλεῦσαι βασιλέα ἐν Ἰσραήλ. καὶ ἐβασίλευσεν ἐν Ἐδώμ Βαλὰκ υἱὸς τοῦ Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δεννάβα. ἀπέθανε δὲ Βαλαάκ, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ ἰωβὰκ υἱὸς ζαρὰ ἐκ Βοσόρας. ἀπέθανε δὲ ἰωβάκ, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ ἀσὰμ ἐκ γῆς θαιμανών. ἀπέθανε δὲ ἀσὰμ ὁ ἐκ τῆς θαιμανών, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ ἀδὰδ υἱὸς βαραδ, ὁ ἐκκόψας μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ. καὶ ὄνομα τῇ πόλει αὐτοῦ γεθθαίμ. ἀπέθανε δὲ ἀδὰδ, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ σαμαδὰ ἐκ μασεκηκὰ. ἀπέθανε δὲ Σαμαδὰ, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ σαοὺλ ἐκ ῥοβωὼθ τῆ παρὰ ποταμόν. ἀπέθανε δὲ σαοὺλ, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ βαλλαγνὼν υἱὸς ἀχοβώρ. ἀπέθανε δὲ βαλλαγνὼν υἱὸς ἀχοβώρ, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ ἀραδὰδ υἱὸς βαραδ. ὄνομα τῇ πόλει αὐτοῦ φογώρ, ὄνομα δὲ τῇ γυναικὶ αὐτοῦ μετεβεὴλ θυγάτηρ ματραὶθ, ἧς μαιζοὼβ. Ταῦτα τὰ ὀνόματα τῶν ἡγεμόνων ἐκ Ἠσαύ, ἐν ταῖς φυλαῖς αὐτῶν καὶ τόποις αὐτῶν, ἐν ὀνόμασιν αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν, καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν. ἡγεμὼν θαμνά, ἡγεμὼν γωλά, ἡγεμὼν ἰεθαρ, ἡγεμὼν ὁλιβεμάς, ἡγεμὼν ἠλάς, ἡγεμὼν Φινών, ἡγεμὼν Κενέζ, ἡγεμὼν θαιμάν, ἡγεμὼν μαζάρ, ἡγεμὼν μαγδιήλ, ἡγεμὼν ζαφώ. ὅτοι ἡγεμόνες Ἐδώμ ἐν ταῖς κατοικοδομημέναις ἐν τῇ γῇ κτήσεως αὐτῶν. ὅτος ἦσαὺ πατὴρ Ἐδώμ. κατῴκει δὲ ἰακὼβ ἐν τῇ γῇ ὅ προσώκησεν Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ ἐν γῇ χαναάν. αὗται δὲ αἱ γενέσεις ἰακώβ.

ΚΕΦΑΛ. λζ'. 37.

Ἰωσὴφ δὲ ἑπτὰ ἐτῶν ἦν ποιμαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀδελφῶν αὐτοῦ, ὢν νέος μετὰ τῶν υἱῶν Βαλλὰς, καὶ μετὰ τῶν υἱῶν Ζελφὰς, τῶν γυναικῶν τοῦ πατρὸς αὐτοῦ. κατηγάγομεν ἡ κατὰ ἰωσὴφ λόγον πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν. Ἰακὼβ δὲ ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρους ἦν αὐτῷ. ἐποίησε δὲ αὐτῷ χιτῶνα ποικίλον. ἰδόντες δὲ οἱ ἀδελφοὶ αὐτοῦ, ὅτι αὐτὸν ὁ πατὴρ φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτὸν, καὶ οὐκ ἠδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν. ἐνυπνιασθεὶς δὲ Ἰωσὴφ ἐνύπνιον, ἀπήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἶπαν αὐτοῖς· ἀκούσατε τὸ ἐνύπνιόν τοῦτον ὃ ἐνυπνιάσθην. ὡμίλουν ὑμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ, καὶ ἀνέστη τὸ ἐμὸν δράγμα, καὶ ὠρθώθη. προσκυφέντα δὲ τὰ δράγματα ὑμῶν, προσεκύνησαν τὸ ἐμὸν δράγμα. εἶπαν δὲ αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ· μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμᾶς, ἢ κυριεύων κυριεύσεις ἡμῶν; καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυπνίων αὐτοῦ, καὶ ἕνεκεν τῶν ῥημάτων αὐτοῦ. εἶπε δὲ ἐνύπνιον ἕτερον, καὶ διηγήσατο τῷ πατρὶ αὐτοῦ, καὶ τοῖς ἀδελφοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῷ, καὶ εἶπαν· ἰδοὺ γὰρ ὑπνιασάμην ὑπνιον ἕτερον. ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ, καὶ εἶπαν αὐτῷ· τί τὸ ὑπνιον τοῦτο ὃ ὑπνιάσω; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; ἐζήλωσαν δὲ αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ. ὁ δὲ πατὴρ αὐτοῦ διετήρησε τὸ ῥῆμα. ἐπορεύθησαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ βόσκειν τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν εἰς Συχέμ. καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσήφ· οὐχὶ οἱ ἀδελφοί σου ποιμαίνουσιν εἰς Συχέμ; δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. εἶπε δὲ αὐτῷ· ἰδοὺ ἐγώ. εἶπε δὲ αὐτῷ· ἰσραήλ· πορεύθεὶς ἴδε εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι, καὶ ἀπέστειλεν αὐτὸν ἐκ φάραγγος Χεβρών, καὶ ἦλθεν εἰς Συχέμ. καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ. ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος λέγων, τί ζητεῖς; ὁ δὲ εἶπε· τοὺς ἀδελφούς μου ζητῶ. ἀπάγγειλόν μοι πῦ βόσκουσιν. εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος· ἀπῆραν ἐντεῦθεν. ἤκουσα γὰρ αὐτῶν λεγόντων, πορεύθωμεν εἰς Δωθαείμ. καὶ ἐπορεύθη Ἰωσὴφ κατόπισθε τῶν ἀδελφῶν αὐτοῦ, καὶ εὗρεν αὐτοὺς ἐν Δωθαείμ. προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι πρὸς αὐτούς, καὶ ἐπονηρεύοντο τοῦ ἀπολέσαι αὐτόν. εἶπε δὲ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· ἰδοὺ ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται. νῦν οὖν δεῦτε ἀποκτείνωμεν αὐτόν, καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων, καὶ ἐροῦμεν θηρίον πονηρὸν κατέφαγεν αὐτόν, καὶ ὀψόμεθα τί ἔσται τὰ ἐνύπνια αὐτοῦ. ἀκούσας δὲ Ρουβὴμ, ἐβούλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ εἶπεν· ὁ πατὴρ ἡμῶν ἐστὶν καὶ ἦλθεν Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ. ἐβούλευσαν τὸν Ἰωσὴφ ἀπὸ χιτῶνα τὸν ποικίλον τὸν περὶ αὐτόν. καὶ λαβόντες αὐτὸν, ἔῤῥιψαν αὐτὸν εἰς τὸν λάκκον. ὁ δὲ λάκκος λάκκος, ὕδωρ οὐκ εἶχεν. ἐκάθισαν δὲ φαγεῖν ἄρτον, καὶ ἀναβλέψαντες τοῖς ὀφθαλμοῖς εἶδον. καὶ ἰδοὺ ὁδοιπόροι Ἰσμαηλῖται ἤρχοντο ἐκ γῆς Γαλαάδ, καὶ αἱ κάμηλοι αὐτῶν ἔγεμον θυμιαμάτων καὶ ῥητίνης καὶ σαπρί. ἐπορεύοντο δὲ καταγαγεῖν εἰς Αἴγυπτον. εἶπε δὲ Ἰούδας πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· τί χρήσιμον ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν, καὶ λεύψωμεν τὸ αἷμα αὐτοῦ. δεῦτε ἀποδώμεθα αὐτὸν τοῖς Ἰσμαηλίταις τούτοις. αἱ δὲ χεῖρες ἡμῶν μὴ ἔσονται ἐπ' αὐτόν, ὅτι ἀδελφὸς ἡμῶν καὶ σὰρξ ἡμῶν ἐστίν. ἤκουσαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ. καὶ παρεπορεύοντο οἱ ἄνθρωποι οἱ Μαδιηναῖοι ἔμποροι. καὶ ἐξείλκυσαν, καὶ ἀνεβίβασαν τὸν Ἰωσὴφ ἐκ τοῦ λάκκου, καὶ ἀπέδοντο αὐτὸν τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν. καὶ ἀπήγαγον τὸν Ἰωσὴφ εἰς Αἴγυπτον. ἀνέστρεψε δὲ Ρουβὴμ ὠὴ τὸν λάκκον, καὶ οὐκ ὁρᾷ τὸν Ἰωσὴφ ἐν τῷ λάκκῳ, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέστρεψε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ εἶπεν· τὸ παιδάριον οὐκ ὄντι. ἐγὼ δὲ πῦ πορεύομαι ἔτι; λαβόντες δὲ τὸν χιτῶνα τοῦ Ἰωσὴφ, ἔσφαξαν ἔριφον αἰγῶν, καὶ ἐμόλυναν τὸν χιτῶνα τῷ αἵματι, καὶ ἀπέστειλαν τὸν χιτῶνα τὸν ποικίλον, καὶ εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν, καὶ εἶπαν· τοῦτον εὕρομεν. ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν, ἢ οὔ. καὶ ἐπέγνω αὐτὸν καὶ εἶπεν· χιτὼν τοῦ υἱοῦ μού ἐστι. θηρίον πονηρὸν κατέφαγεν αὐτόν. θηρίον ἥρπασε τὸν Ἰωσήφ. διέῤῥηξε δὲ Ἰακὼβ τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθετο σάκκον ἐπὶ τοῖς ὀσφυῶν αὐτοῦ, καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς. συνήχθησαν δὲ πάντες οἱ υἱοὶ αὐτοῦ, καὶ αἱ θυγατέρες αὐτοῦ, καὶ ἦλθον παρακαλέσαι αὐτὸν, καὶ οὐκ ἤθελε παρακαλεῖσθαι, λέγων, ὅτι καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου. καὶ ἔκλαυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. οἱ δὲ Μαδιηναῖοι, ἀπέδοντο τὸν Ἰωσὴφ εἰς Αἴγυπτον τῷ Φραὼ τῷ πάντα φρὴ τῷ πάντα ἀρχιμαγείρῳ.

ΚΕΦΑΛ. λή. 38.

Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ κατέβη Ἰούδας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἀπῆλθεν ἕως πρὸς ἄνθρωπον τινὰ Ὀδολαμίτην ᾧ ὄνομα Εἰρᾶς. καὶ εἶδεν ἐκεῖ Ἰούδας θυγατέρα ἀνθρώπου Χαναναίου. ᾧ ὄνομα Σαβά, καὶ ἔλαβεν αὐτὴν, καὶ εἰσῆλθε πρὸς αὐτήν. καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἠρ. καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν ἔτι, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ὠνάν. καὶ προσθεῖσα ἔτι, ἔτεκεν υἱὸν ἕτερον τρίτον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σηλώμ. αὕτη δὲ ἦν ἐν Χασβί, ἡνίκα ἔτεκεν αὐτούς. καὶ ἔλαβεν Ἰούδας γυναῖκα Ἠρ τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θαμάρ. ἐγένετο δὲ Ἠρ πρωτότοκος Ἰούδα, πονηρὸς ἐνώπιον Κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ θεός. εἶπε δὲ Ἰούδας τῷ Ὠνάν· εἴσελθε πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου, καὶ γαμβρεύσει αὐτὴν, καὶ ἀνάστησον σπέρμα τῷ ἀδελφῷ σου. γνοὺς δὲ Ὠνὰν ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ἐγίνετο ὅταν εἰσήρχετο πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἐφύλασσεν τοῦ μὴ δοῦναι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. πονηρὸν δὲ ἐφάνη τὸ ῥῆμα ἐναντίον τοῦ θεοῦ, ὅτι ἐποίησε καὶ τοῦτο. καὶ ἐθανάτωσε καὶ τοῦτον. εἶπε δὲ Ἰούδας Θάμαρ τῇ νύμφῃ αὐτοῦ, μεῖνον χήρα ἐν τῷ οἴκῳ τοῦ πατρός σου, ἕως μέγας γένηται Σηλὼμ ὁ υἱός μου. εἶπε γὰρ μή ποτε ἀποθάνῃ καὶ οὗτος ὥσπερ οἱ ἀδελφοὶ αὐτοῦ. ἀπελθοῦσα δὲ Θάμαρ, ἐκάθητο ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς. ἐπληθύνθησαν δὲ αἱ ἡμέραι, καὶ ἀπέθανε σαυὰ ἡ γυνὴ Ἰούδα. καὶ παρακληθεὶς Ἰούδας, ἀνέβη ἐπὶ τοὺς κείροντας τὰ πρόβατα αὐτοῦ αὐτός, καὶ Εἰρᾶς ὁ φί-

μὼ αὐτοῦ ὁ ἀδελφὸς αὐτοῦ εἰς βαμνὰ μετ' αὐτοῦ. καὶ ἀπηγγέλη θάμαρ τῇ νύμφῃ αὐτοῦ λέγοντες· ἰδοὺ ὁ πενθερός σου ἀναβαίνει εἰς βαμνὰ, κεῖραι τὰ πρόβατα αὐτοῦ. καὶ περιελομένη τὰ ἱμάτια τῆς χηρείας ἀφ' ἑαυτῆς, περιβαλε τὸ θέριστρον, καὶ ἐκαλλωπίζατο, καὶ ἐκάθισε πρὸς τοὺς πύλας Αἰνάν, ἣ ἐστιν ἐπὶ πρόσωπα βαμνά. ἰδὲ γὰρ ὅτι μέγας γέγονε Σηλὼμ, αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτὴν αὐτῷ εἰς γυναῖκα. καὶ ἰδὼν αὐτὴν Ἰούδας, ἔδοξεν αὐτὴν πόρνην εἶναι. κατεκαλύψατο γὰρ τὸ πρόσωπον αὐτῆς, καὶ οὐκ ἐπέγνω αὐτήν. ἐξεκλινε δὲ πρὸς αὐτὴν τὴν ὁδὸν, καὶ εἶπεν αὐτῇ· ἔασόν με εἰσελθεῖν πρὸς σε. ὁ γὰρ ἔγνω ὅτι ἡ νύμφη αὐτοῦ ἐστιν. ἡ δὲ εἶπεν· τί μοι δώσεις ἐὰν εἰσέλθῃς πρός με; ὁ δὲ εἶπεν· ἐγώ σοι ἀποστελλω ἔριφον αἰγῶν ἐκ τῶν προβάτων μου. ἡ δὲ εἶπεν· ἐὰν δῶς ἀρραβῶνα ἕως τοῦ ἀποστεῖλαί σε. ὁ δὲ εἶπε· τίνα σοι ἀρραβῶνα σοι δῶ; ἡ δὲ εἶπε· τὸν δακτύλιόν σου, καὶ τὸν ὁρμίσκον, καὶ τὴν ῥάβδον τὴν ἐν τῇ χειρί σου. καὶ ἔδωκεν αὐτῇ, καὶ εἰσῆλθε πρὸς αὐτὴν, καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ. καὶ ἀναστᾶσα ἀπῆλθε, καὶ περιείλετο τὸ θέριστρον ἀφ' ἑαυτῆς, καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς χηρείας αὐτῆς. ἀπέστειλε δὲ Ἰούδας τὸν ἔριφον ἐξ αἰγῶν ἐν χειρὶ τοῦ πιμνοῦ αὐτοῦ ὁ Ἀδολλομίτης, κομίζεσθαι παρὰ τῆς γυναικὸς τὸν ἀρραβῶνα, καὶ οὐχ εὗρεν αὐτήν. ἐπηρώτησε δὲ τοὺς ἀνδρας τοὺς ἐκεῖ τόπου, καὶ εἶπεν αὐτοῖς· ποῦ ἐστιν ἡ πόρνη ἡ γινομένη ἐν Αἰνὰν ἐπὶ τοῦ ὁδοῦ; καὶ εἶπαν· οὐκ ἦν ἐνταῦθα πόρνη. καὶ ἀπέστρεψε πρὸς Ἰούδαν, καὶ εἶπεν· οὐχ εὗρον· καὶ οἱ ἄνδρες τοῦ τόπου λέγουσι, μὴ εἶναι ὧδε πόρνην. εἶπε δὲ Ἰούδας· ἐχέτω αὐτά, ἀλλὰ μὴ ποτε καταγελασθῶμεν· ἐγὼ μὲν ἀπέστειλα τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὗρηκας. ἐγένετο δὲ μετὰ τρίμηνον, καὶ ἀνηγγέλη τῷ Ἰούδᾳ λέγοντες· ὅτι ἐπόρνευσε θάμαρ ἡ νύμφη σου, καὶ ἰδοὺ ἐν γαστρὶ ἔχει ἐκ πορνείας. εἶπε δὲ Ἰούδας· ἐξαγάγετε αὐτήν, καὶ κατακαυθήτω. αὐτὴ δὲ ἀγομένη, ἀπέστειλε πρὸς τὸν πενθερὸν αὐτῆς λέγουσα· ἐκ τοῦ ἀνδρός, τίνος ταῦτά ἐστιν, ἐγὼ ἐν γαστρὶ ἔχω. καὶ εἶπεν· ἐπίγνωθι τίνος ὁ δακτύλιος, καὶ ὁ ὁρμίσκος, καὶ ἡ ῥάβδος αὕτη. ἐπέγνω δὲ Ἰούδας, καὶ εἶπε· δεδικαίωται θάμαρ ἢ ἐγώ· ἕνεκεν οὗ οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου. καὶ οὐ προσέθετο ἔτι τοῦ γνῶναι αὐτήν. ἐγένετο δὲ ἡνίκα ἔτεκε, καὶ τῶδε ἦν δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς. ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτὴν, ὃς εἰς προέβαλεν χεῖρα· καὶ λαβοῦσα δὲ ἡ μαῖα, ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον, λέγουσα· οὗτος ἐξελεύσεται πρότερος. ὡς δὲ ὑπέστρεψε τὴν χεῖρα, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐξῆλθε· καὶ εἶπε· τί διέκοψας διʼ σεαυτοῦ φραγμόν; καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές. καὶ μετὰ ταῦτα ὁ ἀδελφὸς αὐτοῦ, ἐφʼ ᾧ ἦν ὁ κόκκινος ἐπὶ τῇ χειρὶ αὐτοῦ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαρά.

ΚΕΦΑΛ. λθ'. 39.

Ἰωσὴφ δὲ κατήχθη εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν Πεντεφρῆς ὁ εὐνοῦχος Φαραὼ ὁ ἀρχιμαγείρος ἀνὴρ Αἰγύπτιος ἐκ χειρὸς Ἰσμαηλιτῶν, οὗ κατήγαγον αὐτὸν ἐκεῖ. καὶ ἦν κύριος μετὰ Ἰωσήφ. καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων. καὶ ἐγένετο ἐν τῷ οἴκῳ παρὰ τῷ κυρίῳ αὐτοῦ τῷ Αἰγυπτίῳ. ἤδει δὲ ὁ κύριος αὐτοῦ, ὅτι ὁ κύριος ἦν μετʼ αὐτοῦ. καὶ ὅσα ἐὰν ποιῇ, κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ εὗρεν Ἰωσὴφ χάριν ἐνώπιον τοῦ κυρίου αὐτοῦ, καὶ ὑπηρέτει αὐτῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ καὶ πάντα ὅσα ἦν αὐτῷ, ἔδωκε διὰ χειρὸς Ἰωσήφ. ἐγένετο δὲ μετὰ τὸ κατεστακέναι αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ, καὶ ἐπὶ πάντα ὅσα ἦν αὐτῷ, ἐνηύλογησε κύριος τὸν οἶκον τοῦ Αἰγυπτίου διὰ Ἰωσήφ, καὶ ἐγενήθη εὐλογία κυρίου ἐν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ ἐν τῷ οἴκῳ καὶ ἐν τῷ ἀγρῷ αὐτοῦ. καὶ ἐπέτρεψε πάντα ὅσα ἦν αὐτῷ, εἰς χεῖρας Ἰωσήφ. καὶ οὐκ ἤδει τὰ λοιπὰ οὐδὲν ἐπʼ αὐτῷ, πλὴν τοῦ ἄρτου ὃν ἤσθιεν αὐτός. καὶ ἦν Ἰωσὴφ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει σφόδρα. καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ Ἰωσήφ, καὶ εἶπεν αὐτῷ· κοιμήθητι μετʼ ἐμοῦ. ὁ δὲ οὐκ ἤθελεν. εἶπε δὲ τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ· εἰ ὁ κύριός μου οὐ γινώσκει μοι ἐμὲ οὐδὲν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, ἀλλὰ πάντα ὅσα ἔδωκεν αὐτῷ, εἰσῆλθεν εἰς τὰς χεῖράς μου, καὶ οὐχ ὑπάρχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐθὲν ἐκτὸς ἐμοῦ, οὐδὲ ὑπεξῄρηται ἀπʼ ἐμοῦ οὐδέν, πλὴν σοῦ, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι, πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐνώπιον τοῦ θεοῦ; ἡνίκα δὲ ἐλάλει τῷ Ἰωσὴφ ἡμέραν ἐξ ἡμέρας. καὶ οὐχ ὑπήκουεν αὐτῇ, καθεύδειν μετʼ αὐτῆς τοῦ συγγενέσθαι αὐτῇ. ἐγένετο δὲ τοιαύτης τῆς ἡμέρας. εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐθεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω. καὶ ἐπελαβόμενος αὐτὸν τοῦ ἱματίου λέγουσα· κοιμήθητι μετʼ ἐμοῦ. ὁ δὲ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς, ἔφυγε, καὶ ἐξῆλθεν ἔξω. καὶ ἐκάλεσε τοὺς ὄντας ἐν τῇ οἰκίᾳ, ὡς ἰδὼν ὅτι καταλέλοιπε τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς, καὶ εἶπεν αὐτοῖς λέγουσα· ἴδετε εἰσήγαγεν ἡμῖν παῖδα Ἑβραῖον, ἐμπαίζειν ἡμῖν. εἰσῆλθε πρός με λέγων· κοιμήθητι μετʼ ἐμοῦ. καὶ ἐβόησα φωνῇ μεγάλῃ. ἐν δὲ τῷ ἀκοῦσαι αὐτὸν ὅτι ὕψωσα τὴν φωνήν μου, καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ' ἐμοί, ἔφυγε καὶ ἐξῆλθεν ἔξω. καὶ κατέλιπεν τὰ ἱμάτια παρ' ἐαυτῷ, ἕως ἦλθεν ὁ κύριος εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐλάλησεν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα λέγουσα· εἰσῆλθε πρός με ὁ παῖς ὁ Ἑβραῖος οὗ εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί μοι, καὶ εἶπέ μοι· κοιμηθήσομαι μετὰ σοῦ. ὡς δὲ ἤκουσεν ὅτι ὕψωσα τὴν φωνήν μου, καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ' ἐμοί, ἔφυγε καὶ ἐξῆλθεν ἔξω. ἐνώπιον δὲ ὡς ἤκουσεν ὁ κύριος αὐτοῦ τὰ ῥήματα τῶν λόγων

κὸς αὐτοῦ, ὅσα ἐλάλησε πρὸς αὐτὸν λέγουσα· οὕτως ἐποίησέ μοι ὁ παῖς σου, καὶ ἐθυμώθη ὀργῇ. καὶ λαβὼν ὁ Λιβὲρ Ἰωσὴφ, ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα εἰς τὸν τόπον ὧ οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται ἐκεῖ· ἦν δὲ ἐκεῖ ὀχυρώματι. καὶ ἦν Λιβρι μετὰ Ἰωσήφ, καὶ κατέχεν αὐτοῦ ἔλεον. καὶ ἔδωκεν αὐτῷ χάριν ἐναντίον τοῦ ἀρχιδεσμοφύλακος· καὶ ἔδωκεν ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον σὺν χειρὸς Ἰωσήφ, καὶ πάντας τοὺς ἀπηγμένους ὅσοι ἦν ἐν τῷ δεσμωτηρίῳ. καὶ πάντα ὅσα ποιοῦσιν ἐκεῖ, αὐτὸς ἦν ποιῶν· οὐκ ἦν ὁ ἀρχιδεσμοφύλαξ τοῦ δεσμωτηρίου γινώσκων δι' αὐτὸν οὐθέν· πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσήφ, διὰ τὸ ἦν μετ' αὐτοῦ εἶναι. καὶ ὅσα αὐτὸς ἐποίει, Λιβρι οὐώδου ἦν χορσὶν αὐτοῦ.

ΚΕΦΑΛ. μ'. 40.

Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα, ἥμαρτον ὁ ἀρχιοινοχόος τοῦ Βασιλέως Αἰγύπτου, καὶ ὁ ἀρχισιτοποιὸς τοῦ Λιβρὶ αὐτῶν Βασιλεῖ Αἰγύπτου. καὶ ὠργίσθη φαραὼ ἐπὶ τοῖς δυσὶν εὐνούχοις αὐτοῦ, ἐπὶ τοῦ ἀρχιοινοχόου, καὶ ἐπὶ τοῦ ἀρχισιτοποιοῦ. καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ εἰς τὸ δεσμωτήριον, εἰς τὸν τόπον οὗ Ἰωσὴφ ἀπῆκτο ἐκεῖ. καὶ συνέκρινεν ὁ ἀρχιδεσμώτης τοῦ Ἰωσὴφ αὐτούς, καὶ παρέκρινεν αὐτοὺς αὐτοῦ. ἦσαν δὲ ἡμέρας ἐν τῇ φυλακῇ. καὶ εἶδον ἀμφότεροι ἐνύπνιον ἐν μιᾷ νυκτί, ἡ δὲ ὅρασις τοῦ ἐνυπνίου τοῦ ἀρχιοινοχόου, καὶ ἀρχισιτοποιοῦ οἳ ἦσαν τοῦ Βασιλέως Αἰγύπτου, οἱ ὄντες ἐν τοῦ δεσμωτηρίῳ, ἦν αὕτη. εἰσῆλθε πρὸς αὐτοὺς Ἰωσὴφ τὸ πρωΐ, καὶ εἶδεν αὐτούς, καὶ ἦσαν τεταραγμένοι. καὶ ἠρώτα τοὺς δυνούχους φαραὼ, οἳ ἦσαν μετ' αὐτοῦ ἐν τῇ φυλακῇ, λέγων· τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον; οἱ δὲ εἶπαν αὐτῷ· ἐνύπνιον εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. εἶπε δὲ αὐτοῖς Ἰωσήφ· οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι; διηγήσασθέ μοι. καὶ διηγήσατο ὁ ἀρχιοινοχόος τὸ ἐνύπνιον αὐτοῦ τῷ Ἰωσήφ, καὶ εἶπεν· ἐν τῷ ὕπνῳ μου ἦν ἄμπελος ἐναντίον μου. ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς θυμιάδες, ἡ αὐτὴ θαλλούσα ἀνενλωχυΐα βλαστούς, καὶ πέπειροι οἱ βότρυδες σταφυλῆς. καὶ τὸ ποτήριον φαραὼ ἐν τῇ χειρί μου. καὶ ἔλαβον τὴν σταφυλὴν, καὶ ἐξέθλιψα αὐτὴν εἰς τὸ ποτήριον φαραὼ, καὶ ἔδωκα τὸ ποτήριον εἰς τὰς χεῖρας φαραώ. εἶπεν αὐτῷ Ἰωσήφ· αὕτη ἡ σύγκρισις αὐτοῦ. οἱ τρεῖς θυμιάδες, τρεῖς ἡμέραι εἰσίν. ἔτι τρεῖς ἡμέραι καὶ μνησθήσεται φαραὼ τῆς ἀρχῆς σου, καὶ ἀποκαταστήσει σε ἐπὶ τὴν ἀρχιοινοχοείαν σου, καὶ δώσεις τὸ ποτήριον φαραὼ εἰς τὴν χεῖρα αὐτοῦ, καὶ κατὰ τὴν ἀρχήν σου τὴν πρότερον ὡς ἦσθα οἰνοχοῶν. ἀλλὰ μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ γένηταί σοι, καὶ ποιήσεις ἔλεος μετ' ἐμοῦ, καὶ μνησθήσῃ περὶ ἐμοῦ φαραὼ, καὶ ἐξαγάγεις με ἐκ τοῦ ὀχυρώματος τούτου. ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἢ ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον. καὶ εἶδεν ὁ ἀρχισιτοποιὸς ὅτι ὀρθῶς συνέκρινε, καὶ εἶπε τοῦ Ἰωσήφ· διὰ γὰρ ἐγὼ εἶδον ἐνύπνιον. καὶ ὤμην τρία κανᾶ χονδρίτου ἐπάνω τῆς κεφαλῆς μου. ἐν δὲ τῷ κανῷ τοῦ ἐπάνω, ἀπὸ πάντων τῶν γενῶν ὧν ὁ βασιλεὺς φαραὼ ἐδίετο ἔργον σιτοποιοῦ, καὶ τὰ πετεινὰ κατήδιεν αὐτὰ ἀπὸ τοῦ κανοῦ τοῦ ἐπάνω τῆς κεφαλῆς μου. ἀποκριθεὶς δὲ Ἰωσήφ, εἶπεν αὐτοῦ· αὕτη ἡ σύγκρισις αὐτοῦ. τὰ τρία κανᾶ, τρεῖς ἡμέραι εἰσίν. ἔτι τριῶν ἡμερῶν ἀφελεῖ φαραὼ τὴν κεφαλήν σου ἀπὸ σοῦ, καὶ κρεμάσει σε ἐπὶ ξύλου, καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς σάρκας ἀπὸ σοῦ. ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἡμέρᾳ γενέσεως ἦν φαραὼ, καὶ ἐποίει πότον πᾶσι τοῖς παισὶν αὐτοῦ. καὶ ἐμνήσθη τῆς ἀρχῆς τοῦ οἰνοχόου, καὶ τῆς ἀρχῆς τοῦ σιτοποιοῦ ἐν μέσῳ τῶν παίδων αὐτοῦ. καὶ ἀποκατέστησε τὸν ἀρχιοινοχόον, ἐπὶ τὴν ἀρχὴν αὐτοῦ. καὶ ἔδωκε τὸ ποτήριον εἰς τὴν χεῖρα φαραώ. τὸν δὲ ἀρχισιτοποιὸν ἐκρέμασεν ἐπὶ ξύλου, καθὰ συνέκρινεν αὐτοῖς Ἰωσήφ. οὐκ ἐμνήσθη δὲ ὁ ἀρχιοινοχόος τοῦ Ἰωσήφ, ἀλλ' ἐπελάθετο αὐτοῦ.

ΚΕΦΑΛ. μα'. 41.

Ἐγένετο δὲ μετὰ δύο ἡμέρας, φαραὼ εἶδεν ἐνύπνιον. ὡς ἑστάναι ἐπὶ τοῦ ποταμοῦ, καὶ ἰδοὺ ὡσεὶ ἐπὶ τοῦ ποταμοῦ ἀναβαίνουσι ἑπτὰ βόες καλαὶ τῇ εἴδει, καὶ ἐκλεκταὶ ταῖς σαρξί, καὶ ἐβόσκοντο ἐν τῇ ὀχθῃ. ἄλλαι δὲ ἑπτὰ βόες ἀναβαίνουσι μετὰ ταύτας ἐκ τοῦ ποταμοῦ ἐχραὶ τῷ εἴδει, καὶ λεπταὶ ταῖς σαρξί, καὶ ἐστάθησαν παρὰ τὰς βόας ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ. καὶ κατέφαγον αἱ ἑπτὰ βόες αἱ ἐχραὶ καὶ λεπταὶ ταῖς σαρξί, τὰς ἑπτὰ βόας τὰς καλὰς τῷ εἴδει, καὶ τὰς ἐκλεκτὰς ταῖς σαρξί. καὶ ἐξύπνισε φαραώ. καὶ ἰδοὺ ἐνύπνιον ἐνυπνιάσθη, ὅτι εἰσῆλθον εἰς τὰς βοιλίας αὐτῶν. ἠγέρθη δὲ φαραώ, καὶ ἐνυπνιάσθη τὸ δεύτερον. καὶ ἰδοὺ ἑπτὰ σταχυδρ ἀναβαίνουσιν ἐν τῷ πυθμένι ἑνὶ, ἐκλεκτοὶ καὶ καλοί. ἄλλοι δὲ ἑπτὰ σταχυδρ λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο μετ' αὐτούς. καὶ κατέπιον οἱ ἑπτὰ σταχυδρ οἱ λεπτοὶ, τοὺς ἑπτὰ σταχυας τοὺς ἐκλεκτοὺς καὶ τοὺς πλήρεις. ἠγέρθη δὲ φαραώ, καὶ ἦν ἐνύπνιον. ἐγένετο δὲ πρωΐ, καὶ ἐταράχθη ἡ ψυχὴ αὐτοῦ. καὶ ἀποστείλας ἐκάλεσε πάντας τοὺς ἐξηγητὰς αἰγύπτου, καὶ πάντας τοὺς σοφοὺς αὐτῆς. καὶ διηγήσατο αὐτοῖς φαραὼ τὸ ἐνύπνιον, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων αὐτὸ τῷ φαραώ. καὶ ἐλάλησεν ὁ ἀρχιοινοχόος πρὸς φαραὼ λέγων· τὰς ἁμαρτίας μου αὐταμυνήσκω σήμερον. φαραὼ ὠργίσθη τοῖς παισὶν αὐτοῦ, καὶ ἔθετο ἡμᾶς ἐν φυλακῇ ἐν τῷ οἴκῳ τοῦ ἀρχιμαγείρου ἐμέ τε καὶ τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, εἰς τὸν τόπον τοῦ χαναναίου, καὶ χετταίου, καὶ ἀμορῥαίου, καὶ φορεζαίου,

καὶ

καὶ γογγυσαίωμ, καὶ ἐνβουσαίωμ. καὶ νῦν ἰδοὺ λεραωὴ τῶν ὑῶν ἰσραὴλ ἥκει πρός με, διὰ γὰ ἑώρακα τὸν θλιμμόν, ὃν οἱ αἰγύπτιοι θλίβουσιν αὐτούς. καὶ νῦν δεῦρο ἀποστέλλω σε πρὸς φαραὼ βασιλέα αἰγύπτου. καὶ ἐξαγάγεις τὸν λαόν μου τοὺς ὑοὺς ἰσραὴλ ἐκ γῆς αἰγύπτου. καὶ εἶπε μωϋσῆς πρὸς τὸν θεόν· τίς εἰμὶ ἐγὼ ὅτι πορεύσομαι πρὸς φαραὼ βασιλέα αἰγύπτου, καὶ ὅτι ἐξάξω τοὺς ὑοὺς ἰσραὴλ ἐκ γῆς αἰγύπτου; εἶπε δὲ ὁ θεὸς τῷ μωϋσεῖ λέγων· ὅτι ἔσομαι μετὰ σοῦ. καὶ τοῦτο σοι τὸ σημεῖον, ὅτι ἐγώ σε ἐξαπέστειλα ϗ τῷ ἐξαγαγεῖν σε τὸν λαόν μου ἐξ αἰγύπτου, ϗ λατρεύσετε τῷ θεῷ ϗ τῷ ὄρει τούτῳ. καὶ εἶπε μωϋσῆς πρὸς τὸν θεόν· ἰδοὺ ἐγὼ ἐλεύσομαι πρὸς τοὺς ὑοὺς ἰσραὴλ, καὶ ἐρῶ πρὸς αὐτούς· ὁ θεὸς τῶν πατέρων ὑμῶν ἀπέσταλκέ με πρὸς ὑμᾶς, καὶ ἐρωτήσουσί με τί ὄνομα αὐτῷ, τί ἐρῶ πρὸς αὐτούς; καὶ εἶπεν ὁ θεὸς πρὸς μωϋσῆν· ἐγώ εἰμι ὁ ὤν. καὶ εἶπεν· οὕτως ἐρεῖς τοῖς ὑοῖς ἰσραήλ· ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. καὶ εἶπεν ὁ θεὸς πάλιν πρὸς μωϋσῆν· ὅτως ἐρεῖς τοῖς ὑοῖς ἰσραὴλ. κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν, ὁ θεὸς ἀβραὰμ, καὶ ὁ θεὸς ἰσαὰκ, καὶ ὁ θεὸς ἰακὼβ, ἀπέσταλκέ με πρὸς ὑμᾶς. τοῦτό μου ἔστω ὄνομα αἰώνιον, καὶ μνημόσυνον γενεῶν γενεᾶς. ἐλθὼν οὖν συναγαγε τὴν γερουσίαν τῶν ὑῶν ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν ὤφθαί μοι, ὁ θεὸς ἀβραὰμ, καὶ ὁ θεὸς ἰσαὰκ, ϗ ὁ θεὸς ἰακὼβ, λέγων· ἐπισκοπῇ ἐπεσκεμμαι ὑμᾶς, καὶ ὅσα συμβέβηκεν ὑμῖν ἐν αἰγύπτῳ. καὶ εἶπον, ἀναβιβάσω ὑμᾶς ἐκ τῆς ἰακὼβ θλίψεως τῶν αἰγυπτίων εἰς τὴν γῆν τῶν χαναναίων, ϗ χετταίων, καὶ ἀμορῥαίων, καὶ φερεζαίων, καὶ γεργεσαίων, καὶ ἰεβουσαίων, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ εἰσακούσονταί σου τῆς φωνῆς τῶν ὑῶν, ϗ εἰσελεύσῃ σὺ ϗ ἡ γερουσία ἰσραὴλ πρὸς φαραὼ βασιλέα αἰγύπτου, καὶ ἐρεῖς πρὸς αὐτόν· κύριος ὁ θεὸς τῶν ἑβραίων, προσκέκληταί ἡμᾶς. πορεύσομεθα δὴ ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ἵνα θύσωμεν κυρίῳ τῷ θεῷ ἡμῶν. ἐγὼ δὲ οἶδα ὅτι οὐ προσθήσεταί σου φαραὼ βασιλεὺς αἰγύπτου πορευθῆναι, ἐὰν μὴ μετὰ χειρὸς κραταιᾶς. καὶ ἐκτενῶ τὴν χεῖρά μου, ϗ πατάξω τὸν αἰγυπτίους ϗ πᾶσι τοῖς θαυμασίοις μου, οἷς ποιήσω ϗ αὐτοῖς. καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς, καὶ δώσω χάριν τοῦ λαοῦ τούτου ϗ τῶν αἰγυπτίων. ὅταν δὲ ἀπορεύησθε, οὐκ ἀπελεύσεσθε κενοί, ἀλλ' αἰτήσει γυνὴ παρὰ γείτονος καὶ συσκηνούσης αὐτῇ σκεύη ἀργυρᾶ καὶ χρυσᾶ, καὶ ἱματισμόν, καὶ ἐπιθήσετε ἐπὶ τοὺς υἱοὺς ὑμῶν, καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν, καὶ συσκυλεύσετε τοὺς αἰγυπτίους.

ΚΕΦΑΛ. δ'. 4.

Ἀποκριθεὶς δὲ μωϋσῆς, καὶ εἶπεν· ἐὰν μὴ πιστεύσωσί μοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς μου, ἐροῦσι γὰρ ὅτι οὐκ ὤφθαί σοι ὁ θεός, τί ἐρῶ πρὸς αὐτούς; εἶπε δὲ αὐτῷ κύριος· τί τοῦτο ἐν τῇ χειρί σου; ὁ δὲ εἶπε· ῥάβδος. καὶ εἶπεν αὐτῷ· ῥῖψον αὐτὴν εἰς τὴν γῆν. καὶ ἔῤῥιψεν αὐτὴν εἰς τὴν γῆν, καὶ ἐγένετο ὄφις. καὶ ἔφυγε μωϋσῆς ἀπ' αὐτοῦ. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· ἔκτεινον τὴν χεῖρα, καὶ λαβὲ τῆς οὐρᾶς. καὶ ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο τῆς οὐρᾶς, καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ. καὶ εἶπεν αὐτῷ· ἵνα πιστεύσωσί σοι ὅτι ὤφθαί σοι κύριος ὁ θεὸς τῶν πατέρων αὐτῶν, ὁ θεὸς ἀβραὰμ, καὶ ὁ θεὸς ἰσαὰκ, καὶ ὁ θεὸς ἰακώβ. εἶπε δὲ αὐτῷ κύριος πάλιν· εἴσωνεγκαι τὴν χεῖρά σε εἰς τὸν κόλπον σε, καὶ εἰσήνεγκε τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ, καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ ἐγεγόνει ἡ χεὶρ αὐτοῦ λεπρὰ ὡσεὶ χιών. καὶ εἶπεν αὐτῷ κύριος πάλιν· εἴσωνεγκαι τὴν χεῖρά σε εἰς τὸν κόλπον σε. καὶ εἰσήνεγκε τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ, καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ πάλιν ἀπεκατέστη εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτοῦ. ἐὰν δὲ μὴ πιστεύσωσί σοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσί σοι τῇ φωνῇ τοῦ σημείου τοῦ ἐσχάτου. ἔσται ἐὰν μὴ πιστεύσωσί σοι τοῖς δυσὶ σημείοις τούτοις, μηδὲ εἰσακούσωσι τῆς φωνῆς σου, λήψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ, καὶ ἐκχεῖς αὐτὸ τὸ ξηρόν. καὶ ἔσται τὸ ὕδωρ ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ, αἷμα ἐπὶ τοῦ ξηροῦ. εἶπε δὲ μωϋσῆς πρὸς κύριον· δέομαι κύριε, οὐχ ἱκανός εἰμι πρὸ τοῦ χθὲς, οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας, οὐδ' ἀφ' οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου, ἰσχνόφωνος ϗ βραδύγλωσσος ἐγώ εἰμι. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· τίς ἐδωκε στόμα ἀνθρώπῳ, ϗ τίς ἐποίησε κωφὸν ἢ ἄφωνον, βλέποντα ἢ τυφλόν; οὐκ ἐγὼ κύριος ὁ θεός; ἢ νῦν πορεύου, ϗ ἐγὼ ἀνοίξω τὸ στόμα σου, ἢ συμβιβάσω σε ἃ μέλλεις λαλῆσαι. καὶ εἶπε μωϋσῆς· δέομαι κύριε, πέμψον ὃν ἂν ἀποστελεῖς. καὶ θυμωθεὶς ὀργῇ κύριος τῷ μωϋσῆν, εἶπεν· οὐκ ἰδοὺ ἀαρὼν ὁ ἀδελφός σου ὁ λευίτης, ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός σοι. ϗ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συναντησίν σοι, ϗ ἰδὼν σε χαρήσεται ἐν αὐτῷ. ϗ ἐρεῖς πρὸς αὐτόν, καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα αὐτοῦ, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ τὸ στόμα αὐτοῦ, καὶ συμβιβάσω ὑμᾶς ἃ ποιήσετε. καὶ αὐτὸς σοι προσλαλήσει πρὸς τὸν λαόν, καὶ αὐτὸς ἔσται σου στόμα. σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν θεόν, καὶ τὴν ῥάβδον ταύτην λάβε εἰς τὰς χεῖρας σου, ἐν ᾗ ποιήσεις ἐν αὐτῇ τὰ σημεῖα. ἐπορεύθη δὲ μωϋσῆς, ϗ ἀνέστρεψε πρὸς ἰοθὼρ τὸν γαμβρὸν αὐτοῦ, καὶ λέγει· πορεύσομαι καὶ ἀναστρέψω πρὸς τοὺς ἀδελφούς μου τοὺς ἐν αἰγύπτῳ, καὶ ὄψομαι εἰ ἔτι ζῶσι. καὶ εἶπεν ἰοθὼρ πρὸς μωϋσῆν· βάδιζε ὑγιαίνων. μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας, ἐτελεύτησεν ὁ βασιλεὺς αἰγύπτου. εἶπε δὲ κύριος πρὸς μωϋσῆν ἐν γῇ μαδιάμ· βάδιζε ἄπελθε εἰς αἴγυπτον, τεθνήκασι γὰρ πάντες οἱ ζητοῦντές

τοντές σε τ̃ ψυχλῶ. ἀναλαβὼν ὁ μωϋσῆς τ̃ γυναῖκα αὐτ̃, ⁊ τὰ παιδία, ἀνεβίβασεν αὐτὰ ὠθ̃ τὰ ὑποζύγια, ⁊ ἀπέστρεψεν εἰς αἴγυπτον. ἔλαβε δὲ μωϋσῆς τ̃ ῥάβδον τ̃ θεοῦ ἐν τ̃ χειρὶ αὐτ̃. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· πορευομένῳ σε, ⁊ ἀποστρέφοντος εἰς αἴγυπτον, ὅρα πάντα τὰ τέρατα ἃ ἐδέδωκά σοι ἐν ταῖς χερσί σε, ποιήσεις αὐτὰ ἐναντίον φαραώ. ἐγὼ δὲ σκληρυνῶ αὐτ̃ τὴν καρδίαν, ⁊ οὐ μὴ ἐξαποστείλῃ τ̃ λαόν. σὺ δὲ ἐρεῖς τῷ φαραώ. τάδε λέγει κύριος ὁ θεὸς τ̃ ἑβραίων, υἱός πρωτότοκός μου ἰσραήλ. εἶπα δέ σοι, ἐξαπόστειλον τ̃ λαόν μου, ἵνα μοι λατρεύσῃ. σὺ δὲ οὐκ ἐβούλου ἐξαποστεῖλαι αὐτόν. ὅρα δή, ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον. ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι, συνήντησεν αὐτ̃ ὁ ἄγγελος κυρίου, καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι. καὶ λαβοῦσα σεπφώρα ψῆφον, περιέτεμε τὴν ἀκροβυστίαν τ̃ υἱοῦ αὐτ̃, καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ, καὶ εἶπεν· ἔσπασται μοι ἡ περιτομή τ̃ παιδίου μου. εἶπεν δὲ κύριος πρὸς ἀαρών· πορεύθητι εἰς συναντησιν μωϋσῇ εἰς τὴν ἔρημον. καὶ ἐπορεύθη, καὶ συνήντησεν αὐτῷ ἐν τῷ ὄρει τ̃ θεοῦ, καὶ κατεφίλησεν αὐτόν. ⁊ ἀνήγγειλε μωϋσῆς τ̃ ἀαρών, πάντας τοὺς λόγους κυρίου, οὓς ἀπέστειλε, καὶ πάντα τὰ σημεῖα ἃ ἐνετείλατο αὐτῷ. ἐπορεύθη δὲ μωϋσῆς καὶ ἀαρών, καὶ συνήγαγον πᾶσαν τὴν γερουσίαν τ̃ υἱῶν ἰσραήλ. καὶ ἐλάλησεν αὐτοῖς ἀαρὼν πάντα τὰ ῥήματα ἃ ἐλάλησεν ὁ θεὸς πρὸς μωϋσῆν, καὶ ἐποίησε τὰ σημεῖα ἐναντίον τ̃ λαοῦ, καὶ ἐπίστευσεν αὐτοῖς ὁ λαός, καὶ ἐχάρη ὅτι ἐπεσκέψατο ὁ θεὸς τοὺς υἱοὺς ἰσραήλ, καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλῖψιν. λύσας δὲ ὁ λαὸς προσεκύνησε.

ΚΕΦΑΛ. ε. 5.

ΚΑΙ μετὰ ταῦτα εἰσῆλθε μωϋσῆς καὶ ἀαρὼν πρὸς φαραώ, καὶ εἶπαν αὐτῷ· τάδε λέγει κύριος ὁ θεὸς ἰσραήλ, ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι ἑορτάσωσιν ἐν τῇ ἐρήμῳ. καὶ εἶπε φαραώ· τίς ὅτι οὐ εἰσακούσομαι τ̃ φωνῆς αὐτοῦ, ὥς τε ἐξαποστεῖλαι τοὺς υἱοὺς ἰσραήλ; οὐκ οἶδα τὸν κύριον, καὶ τὸν ἰσραὴλ οὐκ ἐξαποστέλλω. καὶ λέγουσιν αὐτῷ· ὁ θεὸς τῶν ἑβραίων προσκέκληται ἡμᾶς, πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ὅπως θύσωμεν κυρίῳ τῷ θεῷ ἡμῶν, μή ποτε σωσωτήσῃ ἡμῖν θάνατος ἢ φόνος. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς αἰγύπτου· ἵνατί μωϋσῆ καὶ ἀαρὼν διασκίδνατε τὸν λαὸν ἀπὸ τῶν ἔργων; ἀπέλθετε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ. καὶ εἶπεν ὁ φαραώ· ἰδοὺ νῦν πολυπληθεῖς ὁ λαός οὗτος ἐπὶ τ̃ γ̃ς, μὴ οὖν καταπαύσωμεν αὐτοὺς ἀπὸ τῶν ἔργων. συνέταξε δὲ φαραὼ τοῖς ἐργοδιώκταις τ̃ λαοῦ, καὶ τοῖς γραμματεῦσι, λέγων· οὐκέτι προστεθήσεσθε διδόναι ἄχυρον τῷ λαῷ εἰς τὴν πλινθουργίαν, καθὰ πρὸ χθές, καὶ τρίτην ἡμέραν, καὶ τὸ τῆς σήμερον. ἀλλ' αὐτοὶ προελεύσωνται, καὶ συναγαγέτωσαν ἑαυτοῖς τὰ ἄχυρα, καὶ τὸν συντάξιν τ̃ πλινθουργίας, ἣν αὐτοὶ ποιοῦσι, ποιήσουσι. καὶ καθ' ἑκάστην ἡμέραν ἐπιβαλεῖτε αὐτοῖς, καὶ οὐκ ἀφελεῖτε οὐδὲν ἀπ' αὐτῶν. σχολάζουσι γὰρ διὰ τοῦτο λέγοντες· πορευθῶμεν καὶ θύσωμεν τῷ θεῷ ἡμῶν. βαρυνέσθω τὰ ἔργα τῶν ἀνθρώπων τούτων, καὶ μεριμνάτωσαν ταῦτα, καὶ μὴ μεριμνάτωσαν ἐν λόγοις ψευδέσι. κατέστησαν δὲ αὐτοὺς οἱ ἐργοδιῶκται τ̃ λαοῦ, καὶ γραμματεῖς, καὶ ἔλεγον πρὸς τὸν λαὸν λέγοντες· τάδε λέγει φαραώ, ἐγὼ δίδωμι ὑμῖν ἄχυρα, αὐτοὶ ἡμεῖς προσδόμενοι συλλίπετε ἑαυτοῖς ἄχυρα, ὅθεν ἐὰν εὕρητε. οὐ γὰρ ἀφαιρεῖται ἀπὸ τ̃ συντάξεως ὑμῶν οὐθέν. καὶ διεσπάρη ὁ λαὸς ἐν ὅλῃ γ̃ αἰγύπτου συναγαγεῖν καλάμην εἰς ἄχυρα. οἱ δὲ ἐργοδιῶκται κατέσπευδον αὐτούς, λέγοντες· συντελεῖτε τὰ ἔργα ὑμῶν τὰ καθήκοντα καθ' ἡμέραν, καθάπερ καὶ ὅτε ἐδίδοτο ὑμῖν ἄχυρον. καὶ ἐμαστιγώθησαν οἱ γραμματεῖς τοῦ γένους τ̃ υἱῶν ἰσραήλ, οἱ καταστάντες ἐπ' αὐτοῖς ὑπὸ τ̃ υἱῶν φαραώ τοῦ φαραώ, λέγοντες· διατί οὐ συντελέσατε τὰς συντάξεις ὑμῶν τ̃ πλινθουργίας, καθὰ πρὸ χθές, καὶ τρίτην ἡμέραν, καὶ τὸ τῆς σήμερον; εἰσελθόντες δὲ οἱ γραμματεῖς τ̃ υἱῶν ἰσραήλ, κατεβόησαν πρὸς φαραὼ λέγοντες· ἵνατί σὺ ἄτιμος ποιεῖς τοῖς σοῖς οἰκέτας; ἄχυρον οὐ δίδοται τοῖς οἰκέταις σου, καὶ τὴν πλίνθον ἡμῖν λέγουσι ποιεῖν καὶ ἰδοὺ οἱ παῖδές σε μεμαστίγωνται. ἀδικήσεις οὖν τὸν λαόν σου; καὶ εἶπαν αὐτοῖς· σχολάζετε, σχολάζετε. διὰ τοῦτο λέγετε· πορευθέντες θύσωμεν τῷ θεῷ ἡμῶν. νῦν οὖν ἀπελθόντες ἐργάζεσθε. τὰ γὰρ ἄχυρον ὑμῖν οὐ δοθήσεται, καὶ τὴν συντάξιν τῆς πλινθείας ἀποδώσετε. ἑώρων δὲ οἱ γραμματεῖς τ̃ υἱῶν ἰσραὴλ ἑαυτοὺς ἐν κακοῖς, λέγοντες· οὐκ ἀπολείψετε ἀπὸ τ̃ πλινθείας τὸ καθῆκον τ̃ ἡμέρας. συνήντησαν δὲ μωϋσῆ καὶ ἀαρὼν ἐρχομένοις εἰς συναντησιν αὐτοῖς ἐκπορευομένων αὐτ̃ ἀπὸ φαραώ, καὶ εἶπαν αὐτοῖς· ἐπίδοι ὁ θεὸς ἡμᾶς, καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ὑμῶν ἐναντίον φαραὼ, καὶ ἐναντίον τ̃ θεραπόντων αὐτ̃, δόμφαίαν ἐν ταῖς χερσὶν αὐτῶν ἀποκτεῖναι ἡμᾶς. ἐπέστρεψε δὲ μωϋσῆς πρὸς κύριον, καὶ εἶπε· κύριε διὰ τ̃ ἐπάκωσε τὸν λαὸν τοῦτον; καὶ ἵνατί ἀπέσταλκάς με; καὶ ἀφ' οὗ εἰσπορεύομαι πρὸς φαραὼ λαλῆσαι ὠθ̃ τῷ ὀνόματί σου, ἐκάκωσε τὸν λαὸν τοῦτον, καὶ οὐκ ἐρρύσω τὸν λαόν σου.

ΚΕΦΑΛ. ς'. 6.

ΚΑΙ εἶπε κύριος πρὸς μωϋσῆν· ἤδη ὄψει ἃ ποιήσω τῷ φαραὼ. ἐν γὰρ χειρὶ κραταιᾷ ἐξαποστελεῖ αὐτούς, καὶ ἐν βραχίονι ὑψηλῷ ἐκβαλεῖ αὐτοὺς ἐκ τ̃ γ̃ς αὐτοῦ. ἐλάλησε δὲ ὁ θεὸς πρὸς μωϋσῆν, καὶ εἶπε πρὸς αὐτόν· ἐγὼ κύριος, καὶ ὤφθην πρὸς ἀβραάμ, καὶ ἰσαάκ, καὶ

ἰακὼβ

ἰακὼβ, θεὸς ὢν αὐτῶν. καὶ τὸ ὄνομά μου κύριος οὐκ ἐδηλώθη αὐτοῖς, καὶ ἔστησα τὴν διαθήκην μου πρὸς αὐτοὺς, ὥστε δοῦναι αὐτοῖς τὴν γῆν τῶν χαναναίων, τὴν γῆν ἣν παρῴκησαν ἐν αὐτῇ. καὶ ἐγὼ ἐσήκουσα τὸν στεναγμὸν τῶν υἱῶν ἰσραὴλ, ὃν οἱ αἰγύπτιοι διαπεδουλεύοντο αὐτούς, καὶ ἐμνήσθην τῆς διαθήκης ὑμῶν. διὰ τοῦτο εἰπὸν τοῖς υἱοῖς ἰσραὴλ λέγων· ἐγὼ κύριος ὁ θεός, καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δουλείας τῶν αἰγυπτίων, καὶ ῥύσομαι ὑμᾶς ἐκ τῆς δουλείας αὐτῶν, καὶ λυτρώσομαι ὑμᾶς ἐν βραχίονι ὑψηλῷ, καὶ κρίσει μεγάλῃ, καὶ λήψομαι ἐμαυτῷ ὑμᾶς εἰς λαὸν ἐμοί. καὶ ἔσομαι ὑμῶν θεός, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ τῆς αἰγύπτου, καὶ ἐκ τῆς διαπεδουλείας τῶν αἰγυπτίων. καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν, εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου, δοῦναι αὐτὴν τῷ Ἀβραὰμ, καὶ ἰσαὰκ, καὶ ἰακὼβ. καὶ δώσω ὑμῖν αὐτὴν κληρονομίαν, ἐγὼ κύριος. ἐλάλησε δὲ μωϋσῆς οὕτω τοῖς υἱοῖς ἰσραὴλ, καὶ οὐκ εἰσήκουσαν μωϋσῆ ἀπὸ τῆς ὀλιγοψυχίας, καὶ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν. εἶπε δὲ κύριος πρὸς μωϋσῆν λέγων· εἰσελθὲ λάλησον πρὸς φαραὼ βασιλέα αἰγύπτου, ἵνα ἐξαποστείλῃ τοὺς υἱοὺς ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ. ἐλάλησε δὲ μωϋσῆς ἐνώπιον κυρίου λέγων· ἰδοὺ υἱοὶ ἰσραὴλ οὐκ εἰσήκουσάν μου, καὶ πῶς εἰσακούσεταί μου φαραώ; ἐγὼ δὲ ἄλογός εἰμι. εἶπε δὲ κύριος πρὸς μωϋσῆν καὶ ἀαρών. καὶ συνέταξεν αὐτοῖς τοῦ εἰσελθεῖν πρὸς φαραὼ βασιλέα αἰγύπτου, ὡς τοῦ ἐξαγαγεῖν τοὺς υἱοὺς ἰσραὴλ ἐκ γῆς αἰγύπτου. καὶ οὗτοι ἀρχηγοὶ οἴκων πατριῶν αὐτῶν. υἱοὶ ῥουβὶμ πρωτοτόκου ἰσραὴλ, ἐνὼχ, καὶ φαλλούς, ἀσρὼμ, καὶ χαρμί. αὕτη ἡ συγγένεια ῥουβίμ. καὶ υἱοὶ συμεών, ἰεμουὴλ, καὶ ἰαμείμ, καὶ ἀώδ, καὶ ἰαχείν, καὶ σααρ, καὶ σαοὺλ ὁ ἐκ τῆς φοινίσσης. αὗται αἱ πατριαὶ τῶν υἱῶν συμεών. καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν λευὶ, κατὰ τὰς συγγενείας αὐτῶν, γηρσών, καάθ, καὶ μεραρί. καὶ τὰ ἔτη τῆς ζωῆς λευὶ, ἑκατὸν τριάκοντα ἑπτά. καὶ οὗτοι υἱοὶ γηρσών, λοβνεὶ, καὶ σεμεί. οἶκοι πατριῶν αὐτῶν. καὶ υἱοὶ καάθ, ἀμραμ, καὶ ἰσααρ, χεβρών, καὶ ὀζιήλ. καὶ τὰ ἔτη τῆς ζωῆς καάθ, ἑκατὸν τριάκοντα ἔτη. καὶ υἱοὶ μεραρεί, μοολεὶ, καὶ ὁμουσεί. οὗτοι οἱ οἶκοι πατριῶν λευὶ κατὰ συγγενείας αὐτῶν. καὶ ἔλαβεν ἀμραὰμ τὴν ἰωχαβὲδ θυγατέρα τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ ἑαυτῷ εἰς γυναῖκα, καὶ ἐγέννησεν αὐτῷ τόν τε ἀαρών, καὶ τὸν μωϋσῆν, καὶ μαριὰμ τὴν ἀδελφὴν αὐτῶν. τὰ δὲ ἔτη ζωῆς ἀμραὰμ, ἑκατὸν τριάκοντα ἑπτὰ ἔτη. καὶ υἱοὶ ἰσσααρ, λοβὲ, καὶ νεφὲκ, καὶ ζεχρεί. καὶ υἱοὶ ὀζιὴλ, μισαὴλ, καὶ ἐλισαφάν, καὶ σεχρεί. ἔλαβε δὲ ἀαρὼν τὴν ἐλισαβὲτ θυγατέρα, ἀμιναδὰβ ἀδελφὴν ναασσὼν αὐτῷ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τόν τε ναδὰβ, καὶ ἀβιούδ, καὶ ἐλεαζάρ, καὶ ἰωθαμάρ. υἱοὶ δὲ λοβὲ, ἀσείρ, καὶ ἐλκανά, καὶ ἀβιάζαρ. αὗται αἱ γενέσεις λοβί. καὶ ἐλεαζὰρ ὁ τοῦ ἀαρών. ἔλαβε δὲ ἐκ τῶν θυγατέρων φουτιὰλ αὐτῷ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τὸν φινεές. αὗται αἱ ἀρχαὶ πατριῶν λευιτῶν, κατὰ γενέσεις αὐτῶν. οὗτος ἀαρὼν, καὶ μωϋσῆς, οἷς εἶπεν ὁ θεὸς αὐτοῖς, ἐξαγαγεῖν τοὺς υἱοὺς ἰσραὴλ ἐξ αἰγύπτου σὺν δυνάμει αὐτῶν. οὗτοί εἰσιν οἱ διαλεγόμενοι πρὸς φαραὼ βασιλέα αἰγύπτου, ὡς τοῦ ἐξαγαγεῖν τοὺς υἱοὺς ἰσραὴλ ἐξ αἰγύπτου, αὐτὸς ἀαρὼν καὶ μωϋσῆς, ᾗ ἡμέρᾳ ἐλάλησε κύριος μωυσεῖ γῇ γῇ αἰγύπτου. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ἐγὼ κύριος, λάλησον πρὸς φαραὼ βασιλέα αἰγύπτου, ὅσα ἐγὼ λέγω πρὸς σέ. καὶ εἶπε μωϋσῆς ἐνώπιον κυρίου· ἰδοὺ ἐγὼ ἰγνόφωνός εἰμι, καὶ πῶς εἰσακούσεταί μου φαραώ;

ΚΕΦΑΛ. ζ'. 7.

Καὶ εἶπε κύριος πρὸς μωϋσῆν, λέγων· ἰδοὺ ἐγὼ δέδωκά σε θεὸν φαραώ, καὶ ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης, σὺ δὲ λαλήσεις αὐτῷ πάντα ὅσα ἐντέλλομαί σοι. ὁ δὲ ἀαρὼν ὁ ἀδελφός σου λαλήσει πρὸς φαραώ, ὥς τε ἐξαποστεῖλαι τοὺς υἱοὺς ἰσραὴλ ἐκ γῆς αὐτοῦ. ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν φαραώ, καὶ πληθυνῶ τὰ σημεῖα μου, καὶ τὰ τέρατά μου ἐν γῇ αἰγύπτου, καὶ οὐκ εἰσακούσεταί ὑμῶν φαραώ. καὶ ἐπιβαλῶ τὴν χεῖρά μου ἐπ' αἴγυπτον, καὶ ἐξάξω σὺν δυνάμει μου τὸν λαόν μου τοὺς υἱοὺς ἰσραὴλ ἐκ γῆς αἰγύπτου, σὺν ἐκδικήσει μεγάλῃ. καὶ γνώσονται πάντες οἱ αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος ἐκτείνων τὴν χεῖρά μου ἐπ' αἴγυπτον, καὶ ἐξάξω τοὺς υἱοὺς ἰσραὴλ ἐκ μέσου αὐτῶν. ἐποίησε δὲ μωϋσῆς, καὶ ἀαρών, καθὼς προσέταξεν αὐτοῖς ὁ κύριος. μωϋσῆς δὲ ἐτῶν ὀγδοήκοντα, ἀαρὼν δὲ ὀγδοήκοντα τριῶν ἐτῶν, ἡνίκα ἐλάλησαν πρὸς φαραώ. καὶ εἶπε κύριος πρὸς μωϋσῆν καὶ ἀαρὼν λέγων· καὶ ἐὰν λαλήσῃ πρὸς ὑμᾶς φαραὼ, λέγων· δότε ἡμῖν σημεῖον ἢ τέρας. καὶ ἐρεῖς ἀαρὼν τῷ ἀδελφῷ σου· λάβε τὴν ῥάβδον σου, καὶ ῥῖψον αὐτὴν ἐπὶ τὴν γῆν ἐνώπιον φαραώ, καὶ ἐνώπιον τῶν θεραπόντων αὐτοῦ, καὶ ἔσται δράκων. εἰσῆλθε δὲ μωϋσῆς καὶ ἀαρὼν ἐνώπιον φαραὼ, καὶ ἐθεράποντων αὐτοῦ, καὶ ἐποίησαν οὕτως καθάπερ ἐνετείλατο αὐτοῖς κύριος. καὶ ἔρριψεν ἀαρὼν τὴν ῥάβδον αὐτοῦ ἐνώπιον φαραὼ, καὶ ἐνώπιον τῶν θεραπόντων αὐτοῦ, καὶ ἐγένετο δράκων, συνεκάλεσε δὲ τοὺς σοφιστὰς αἰγύπτου ὁ φαραὼ, καὶ οὗτοι φαρμακοὺς, καὶ ἐποίησαν καὶ

οἱ ἔπαοι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ ἐπαοιδοὶ τῶν αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν ὡσαύτως. καὶ ἔρριψαν ἕκαστος τὴν ῥάβδον αὐτοῦ, καὶ ἐγένοντο δράκοντες, καὶ κατέπιεν ἡ ῥάβδος τὰς ἐκείνων ῥάβδους. καὶ κατίσχυσεν ἡ καρδία φαραὼ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν καθάπερ ἐλάλησεν κύριος. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· βεβάρυνται ἡ καρδία φαραὼ, τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν. βάδισον πρὸς φαραὼ τοπρωΐ, ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ, καὶ ἕστη συναντῆσαι αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ τὴν ῥάβδον τὴν γραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί σου, καὶ ἐρεῖς πρὸς αὐτόν· κύριος ὁ θεὸς τῶν ἑβραίων ἀπέσταλκέ με πρὸς σέ, λέγων· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσωσιν ἐν τῇ ἐρήμῳ, καὶ ἰδοὺ οὐκ εἰσήκουσας ἕως τούτου. καὶ νῦν τάδε λέγει κύριος· ἐν τούτῳ γνώσῃ ὅτι ἐγὼ κύριος. ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν τῇ χειρί μου, ἐπὶ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα, καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ τελευτήσουσι, καὶ ἐπόζησεν ὁ ποταμός, καὶ οὐ δυνήσονται οἱ αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· εἰπὸν ἀαρὼν τῷ ἀδελφῷ σου, λαβὲ τὴν ῥάβδον σου, καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα αἰγύπτου, καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν, καὶ ἐπὶ τὰς διώρυχας αὐτῶν, καὶ ἐπὶ τὰ ἕλη αὐτῶν, καὶ ἐπὶ πᾶσαν συναγωγὴν ὕδατος αὐτῶν, καὶ ἔσαι αἷμα ἐν πάσῃ γῇ αἰγύπτου, ἔν τε τοῖς ξύλοις καὶ ἐν τοῖς λίθοις. καὶ ἐποίησεν οὕτως μωϋσῆς καὶ ἀαρὼν, καθάπερ ἐνετείλατο αὐτοῖς κύριος. καὶ ἐπάρας ἀαρὼν τὴν ῥάβδον αὐτοῦ, ἐπάταξε τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ ἐναντίον φαραὼ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ μετέβαλε πᾶν τὸ ὕδωρ ἐν τῷ ποταμῷ εἰς αἷμα, καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν, καὶ ἐπώζεσεν ὁ ποταμός, καὶ οὐκ ἠδυνάσαντο οἱ αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ αἰγύπτου. ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν αἰγυπτίων, ταῖς φαρμακείαις αὐτῶν. καὶ ἐσκληρύνθη ἡ καρδία φαραὼ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπε κύριος. ἐπιστραφεὶς δὲ φαραὼ, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ οὐκ ἐπέστησε τὸν νοῦν αὐτοῦ οὐδὲ ἐπὶ τούτῳ. ὤρυξαν δὲ πάντες οἱ αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ, ὥστε πιεῖν ὕδωρ. καὶ οὐκ ἠδυνάσαντο πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ, καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι μετὰ τὸ πατάξαι κύριον τὸν ποταμόν.

ΚΕΦΑΛ. η'. 8.

ΕΙπε δὲ κύριος πρὸς μωϋσῆν· εἴσελθε πρὸς φαραὼ, καὶ ἐρεῖς πρὸς αὐτόν· τάδε λέγει κύριος, ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύσωσιν. εἰ δὲ μὴ βούλῃ σὺ ἐξαποστεῖλαι αὐτούς, ἰδοὺ ἐγὼ τύπτω πάντα τὰ ὅριά σου βατράχοις, καὶ ἐξερεύξεται ὁ ποταμὸς βατράχους, καὶ ἀναβάντες οἱ βάτραχοι, εἰσελεύσονται εἰς σὸν οἶκον σου, καὶ εἰς τὰ ταμεῖα τῆς κοιτῶνός σου. καὶ ἐπὶ τὴν κλίνην σου, καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων σου, καὶ τοῦ λαοῦ σου, καὶ ἐν τοῖς φυραμασί σου, καὶ ἐν τοῖς κλιβάνοις σου, καὶ ἐπὶ σέ, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ πάντας θεράποντάς σου ἀναβήσονται οἱ βάτραχοι. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· εἰπὸν ἀαρὼν τῷ ἀδελφῷ σου· ἔκτεινον τὴν χεῖρά σου τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμούς, καὶ ἐπὶ τὰς διώρυχας, καὶ ἐπὶ τὰ ἕλη, καὶ ἀνάγαγε τοὺς βατράχους ἐπὶ τὴν γῆν αἰγύπτου. καὶ ἐξέτεινεν ἀαρὼν τὴν χεῖρα ἐπὶ τὰ ὕδατα αἰγύπτου, καὶ ἀνήγαγε τοὺς βατράχους ἐπὶ τὴν γῆν αἰγύπτου, καὶ ἀνεβίβασθη ὁ βάτραχος καὶ ἐκάλυψε πᾶσαν τὴν γῆν αἰγύπτου. ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν αἰγυπτίων ἐν ταῖς ἐπαοιδίαις αὐτῶν, καὶ ἀνήγαγον τοὺς βατράχους ἐπὶ γῆν αἰγύπτου. ἐκάλεσε δὲ φαραὼ μωϋσῆν καὶ ἀαρὼν, καὶ εἶπεν· εὔξασθε πρὸς ἐμὲ πρὸς κύριον, καὶ περιελέτω τοὺς βατράχους ἀπ' ἐμοῦ, καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ, καὶ θύσουσι κυρίῳ. εἶπε δὲ μωϋσῆς πρὸς φαραώ· τάξαι πρός με, πότε εὔξωμαι περί σου, καὶ περὶ τῶν θεραπόντων σου, καὶ περὶ τοῦ λαοῦ σου, ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ, καὶ ἀπὸ τοῦ λαοῦ σου, καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν πλὴν ἐν τῷ ποταμῷ καταλειφθήσονται. ὁ δὲ εἶπεν· εἰς αὔριον. εἶπεν οὖν· ὡς εἰρήκας. ἵνα εἰδῇς ὅτι οὐκ ἔστιν ἄλλος πλὴν κύριος, καὶ περιαιρεθήσονται οἱ βάτραχοι ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν οἰκιῶν ὑμῶν, καὶ ἀπὸ τῶν ἐπαύλεων, καὶ ἀπὸ τῶν θεραπόντων σου, καὶ ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν τῷ ποταμῷ καταλειφθήσονται. ἐξῆλθε δὲ μωϋσῆς καὶ ἀαρὼν ἀπὸ φαραὼ, καὶ ἐβόησε μωϋσῆς πρὸς κύριον περὶ τοῦ ὁρισμοῦ τῶν βατράχων, ὡς ἐτάξατο φαραώ. ἐποίησε δὲ κύριος καθὰ εἶπε μωϋσῆς. καὶ ἐτελεύτησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν, καὶ ἐκ τῶν ἐπαύλεων, καὶ ἐκ τῶν ἀγρῶν, καὶ συνήγαγον αὐτοὺς θυμωνίας θυμωνίας, καὶ ἐπώζεσεν ἡ γῆ. ἰδὼν δὲ φαραὼ ὅτι γέγονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησε κύριος. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· εἶπον ἀαρών· ἔκτεινον τὴν χεῖρά σου τὴν ῥάβδον σου, καὶ πάταξον τὸν χοῦν τῆς γῆς, καὶ ἔσονται σκνῖπες ἐν τοῖς ἀνθρώποις, καὶ ἐν τοῖς κτήνεσι, καὶ ἐν πάσῃ φαραὼ, καὶ ἐπὶ τοὺς οἴκους αὐτῶν, καὶ ἐπὶ τοὺς θεραπεύοντας αὐτόν, καὶ ἐν παντὶ τῷ χώματι τῆς γῆς ἐγένοντο οἱ σκνῖπες ἐν πάσῃ γῇ αἰγύπτου. ἐποίησαν δὴ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ ταῖς φαρμακείαις αὐτῶν ἐξαγαγεῖν τὰ σκνῖπα, καὶ ἀπηδυνάσαντο. καὶ ἐγένοντο οἱ σκνῖπες ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς κτήνεσι, καὶ ἐν παντὶ χώματι τῆς γῆς ἐγένοντο οἱ σκνῖπες ἐν πάσῃ γῇ αἰγύπτου. καὶ εἶπον οἱ ἐπαοιδοὶ τῷ φαραὼ· δάκτυλος θεοῦ ἐστιν αὕτη. καὶ ἐκραταιώθη ἡ καρδία φαραὼ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησε κύριος. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· ὄρθρισον τὸ πρωΐ, καὶ στήσῃ ἐναντίον φαραὼ, ἰδοὺ αὐτὸς ἐκπορεύεται εἰς τὸ ὕδωρ, καὶ ἐρεῖς πρὸς αὐτόν· τάδε λέγει κύριος· ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύσωσιν. εἰ δὲ μὴ ἐξαποστέλλεις τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐξαποστέλλω ἐπὶ σὲ καὶ ἐπὶ τοὺς θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τοὺς οἴκους σου τὸν κυνόμυιαν, καὶ πλησθήσονται οἱ οἶκοι τῶν αἰγυπτίων τῆς κυνομυίας, καὶ ἐφ' ἃ ἐὰν ὦσιν ἐπ' αὐτῶν. καὶ διαστελῶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν γῆν γεσὲμ ἐν ᾗ ὁ λαός μου παρεστήκει ἐπ' αὐτῆς, τοῦ μὴ γενέσθαι ἐκεῖ κυνομυίαν, ἵνα γνῷς ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς ἐν μέσῳ τῆς γῆς. καὶ θήσω διαστολὴν ἀνὰ μέσον τοῦ λαοῦ μου καὶ ἀνὰ μέσον τοῦ λαοῦ σου· ἐν τῷ σημείῳ τούτῳ ἔσται αὔριον. καὶ ἐποίησε κύριος οὕτως· καὶ ἦλθε κυνομυῖα πολλὴ σφόδρα εἰς τὸν οἶκον φαραὼ καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων αὐτοῦ, καὶ ἐν πάσῃ γῇ αἰγύπτου ἐφθάρη ἡ γῆ ἀπὸ τῆς κυνομυίας. καὶ ἐκάλεσε φαραὼ μωϋσῆν καὶ ἀαρὼν, καὶ εἶπεν· θύσατε τῷ θεῷ ὑμῶν ἐν τῇ γῇ ταύτῃ. καὶ εἶπε μωϋσῆς πρὸς φαραώ· οὐ δυνατὸν οὕτως ποιῆσαι· τὰ γὰρ θυόμενα ὑπὸ αἰγυπτίων τῷ θεῷ ἡμῶν βδέλυγμα ἐστὶ τοῖς αἰγυπτίοις. ἐὰν οὖν θύσωμεν τὰ βδελύγματα τῶν αἰγυπτίων ἐναντίον αὐτῶν, οὐ λιθοβολήσουσιν ἡμᾶς; ὁδὸν τριῶν ἡμερῶν πορευθήσεται ἐν τῇ ἐρήμῳ, καὶ θύσομεν τῷ θεῷ ἡμῶν καθὰ ἐρεῖ ἡμῖν. εἶπε δὲ φαραὼ· ἐγὼ ἐξαποστελῶ ὑμᾶς, καὶ θύσετε τῷ θεῷ ὑμῶν ἐν τῇ ἐρήμῳ, πλὴν μακρὰν μὴ ἀπέλθητε· καὶ εὔξασθε περὶ ἐμοῦ. εἶπε δὲ μωϋσῆς· ἰδοὺ ἐγὼ ἐξέρχομαι ἀπὸ σοῦ, καὶ εὔξομαι πρὸς κύριον, καὶ ἀποστήσεται ἡ κυνομυῖα ἀπὸ φαραὼ καὶ ἀπὸ τῶν θεραπόντων αὐτοῦ καὶ ἀπὸ τοῦ λαοῦ αὐτοῦ αὔριον· μὴ προσθέτω φαραὼ τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαὸν θῦσαι τῷ θεῷ. ἐξῆλθε δὲ μωϋσῆς ἀπὸ φαραὼ καὶ εὔξατο πρὸς κύριον. καὶ ἐποίησε κύριος καθὰ ἐλάλησε μωϋσῆς, καὶ ἀπέστησε τὴν κυνομυῖαν ἀπὸ φαραὼ καὶ ἀπὸ τῶν θεραπόντων αὐτοῦ καὶ ἀπὸ τοῦ λαοῦ αὐτοῦ· οὐ κατελείφθη μία. καὶ ἐβαρύνθη ἡ καρδία φαραὼ καὶ οὐκ ἐξαπέστειλε τὸν λαὸν θῦσαι τῷ θεῷ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θρώποις καὶ γὰρ τὰς τετραπόδων. εἶπαν δὲ οἱ ἐπαοιδοὶ τῷ φαραὼ· δάκτυλος θεοῦ ἐστι τοῦτο, καὶ οὐκ ἐπιστεύθη ἡ καρδία φαραὼ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθὰ προεῖπε κύριος. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· ὄρθρισον τὸ πρωΐ, καὶ στῆθι γναντίον φαραώ, καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται ἐπὶ τὸ ὕδωρ, καὶ ἐρεῖς πρὸς αὐτόν· τάδε λέγει κύριος, ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύσῃ γὰρ τῇ ἐρήμῳ. ἐὰν δὲ μὴ βούλῃ ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐξαποστελῶ ὕμῖν σὲ, καὶ ἐπὶ σοὺς θεράποντάς σου, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τοὺς οἴκους σου κωμυίαν. καὶ πλησθήσονται αἱ οἰκίαι τῶν κωμυιῶν, καὶ ἐπὶ τῆς γῆς ἐφ' ἧς εἰσὶν ἐπ' αὐτῆς, καὶ παραδοξάσω γὰρ τὴν ἡμέραν ἐκείνην τὴν γῆν γοσὲμ, ἐφ' ἧς ὁ λαός μου ἐστὶν ἐπ' αὐτῆς, ἐφ' ᾗ οὐκ ἔσαι ἐκεῖ ἡ κωμυία, ἵνα εἰδῇς ὅτι ἐγώ εἰμι κύριος παντοκράτωρ πάσης τῆς γῆς. καὶ διώσω διασολῶ ἀνὰ μέσον τοῦ ἐμοῦ λαοῦ, καὶ ἀνὰ μέσον τοῦ σοῦ λαοῦ. γὰρ δὲ τῇ αὔριον ἔσαι τὸ σημεῖον τοῦτο ἐπὶ τῆς γῆς. ἐποίησε δὲ κύριος οὕτως. καὶ παρεγένετο ἡ κωμυία, πλῆθος εἰς τοὺς οἴκους φαραὼ, καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων αὐτοῦ, καὶ εἰς πᾶσαν γῆν αἰγύπτου, καὶ ἐξωλεθρεύθη ἡ γῆ ἀπὸ τῆς κωμυίας. ἐκάλεσε δὲ φαραὼ μωϋσῆν καὶ ἀαρὼν λέγων, ἐλθόντες θύσατε κυρίῳ τῷ θεῷ ὑμῶν γὰρ τῇ γῇ ταύτῃ. καὶ εἶπε μωϋσῆς· οὐ δυνατὸν γενέσθαι οὕτως. τὰ γὰρ βδελύγματα τῶν αἰγυπτίων θύσομεν κυρίῳ τῷ θεῷ ἡμῶν. ἐὰν γὰρ θύσωμεν τὰ βδελύγματα τῶν αἰγυπτίων γναντίον αὐτῶν, λιθοβοληθησόμεθα. ὁδὸν τριῶν ἡμερῶν πορευσόμεθα εἰς τὴν ἔρημον, καὶ θύσομεν κυρίῳ τῷ θεῷ ὑμῶν καθάπερ εἶπεν ἡμῖν. καὶ εἶπε φαραώ, ἐγὼ ἐξαποστελῶ ὑμᾶς, καὶ θύσετε κυρίῳ τῷ θεῷ ὑμῶν γὰρ τῇ ἐρήμῳ. πλὴν οὐ μακρὰν ἀποτενεῖτε πορευθῆναι. εὔξασθε οὖν περὶ ἐμοῦ πρὸς κύριον. εἶπε δὲ μωϋσῆς· ὡς ἂν ἐγὼ ἐξελεύσομαι ἀπὸ σοῦ, καὶ εὔξομαι πρὸς τὸν θεόν, καὶ ἀπελεύσεται ἡ κωμυία ἀπὸ φαραὼ καὶ ἀπὸ τῶν θεραπόντων αὐτοῦ καὶ ἀπὸ τοῦ λαοῦ αὐτοῦ αὔριον. μὴ προσθῇς ἔτι φαραὼ ἐξαπατῆσαι, τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαὸν θῦσαι κυρίῳ. ἐξῆλθε δὲ μωϋσῆς ἀπὸ φαραὼ, καὶ ηὔξατο πρὸς τὸν θεόν. ἐποίησε δὲ κύριος καθάπερ εἶπε μωϋσῆς, καὶ ἐποίησε τὴν κωμυίαν ἀπὸ φαραὼ καὶ ἀπὸ τῶν θεραπόντων αὐτοῦ καὶ ἀπὸ τοῦ λαοῦ αὐτοῦ, καὶ οὐ κατελείφθη οὐδεμία. καὶ ἐβάρυνε φαραὼ τὴν καρδίαν αὐτοῦ, καὶ ἐπὶ τοῦ καιροῦ τούτου, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τὸν λαόν.

ΚΕΦΑΛ. Θ'. 9.

ΕΙπε δὲ κύριος πρὸς μωϋσῆν· εἴσελθε πρὸς φαραὼ, καὶ ἐρεῖς αὐτῷ· τάδε λέγει κύριος ὁ θεὸς τῶν ἑβραίων. ἐξαπόστειλον τὸν λαόν μου ἵνα λατρεύσωσί μοι. εἰ μὲν οὖν μὴ βούλῃ ἐξαποστεῖλαι τὸν λαόν μου, ἀλλ' ἔτι ἐγκρατεῖς αὐτοῦ, ἰδοὺ χεὶρ κυρίου ἔσαι ἐν τοῖς κτήνεσί σου ἐν τοῖς ἵπποις, καὶ ἐν τοῖς ὄνοις, καὶ ἐν τοῖς κτήνεσι τοῖς ζυγίοις, καὶ ταῖς καμήλοις, καὶ βουσὶ, καὶ προβάτοις θάνατος μέγας σφόδρα. καὶ παραδοξάσω ἐγὼ ἐν τῇ καιρῷ ἐκείνῳ ἀνὰ μέσον τῶν κτηνῶν τῶν αἰγυπτίων, καὶ ἀνὰ μέσον τῶν κτηνῶν τῶν υἱῶν ἰσραὴλ, καὶ οὐ τελευτήσει ἀπὸ παντὸς τῶν κτηνῶν τῶν υἱῶν ἰσραὴλ ῥῆμα. καὶ ἔδωκεν ὁ θεὸς ὅρον λέγων· ἐν τῇ αὔριον ποιήσει κύριος τὸ ῥῆμα τοῦτο ἐπὶ τῆς γῆς. καὶ ἐποίησε κύριος τὸ ῥῆμα τοῦτο ἐπαύριον, καὶ ἐτελεύτησε παντὰ τὰ κτήνη τῶν αἰγυπτίων. ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν ἰσραὴλ οὐκ ἐτελεύτησεν οὐδέν. ἰδὼν δὲ φαραὼ ὅτι οὐκ ἐτελεύτησεν ἀπὸ παντὸς τῶν κτηνῶν τῶν υἱῶν ἰσραὴλ οὐδὲν, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ ἐξαπέστειλε τὸν λαόν. εἶπε δὲ μωϋσῆς πρὸς μωϋσῆν καὶ ἀαρὼν λέγων· λάβετε ὑμεῖς πλήρεις τὰς χεῖρας αἰθάλης καμινιαίας, καὶ πασάτω μωϋσῆς εἰς τὸν οὐρανόν, γναντίον φαραὼ καὶ γναντίον τῶν θεραπόντων αὐτοῦ. καὶ γενηθήτω κονιορτὸς ἐπὶ πᾶσαν γῆν αἰγύπτου. καὶ ἔσαι ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ τετράποδα ἕλκη φλυκτίδων ἀναζέουσαι ἐν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι καὶ ἐν πάσῃ γῇ αἰγύπτου. καὶ ἔλαβον τὴν αἰθάλην τῆς καμινιαίας γναντίον φαραὼ, καὶ ἔπασεν αὐτὴν μωϋσῆς εἰς τὸν οὐρανόν. καὶ ἐγένοντο ἕλκη φλυκτίδων, ἀναζέουσαι ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι. καὶ οὐκ ἠδυνάσθησαν οἱ φαρμακοὶ στῆναι γναντίον μωϋσῆ διὰ τὰ ἕλκη. ἐγένετο γὰρ τὰ ἕλκη, καὶ ἐν τοῖς φαρμακοῖς καὶ ἐν πάσῃ γῇ αἰγύπτου. ἐσκλήρυνε δὲ κύριος τὴν καρδίαν φαραὼ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθὰ συνέταξε κύριος τῷ μωϋσῆ. εἶπε δὲ κύριος πρὸς μωϋσῆν, ὄρθρισον τὸ πρωΐ, καὶ στῆθι γναντίον φαραὼ, καὶ ἐρεῖς πρὸς αὐτόν· τάδε λέγει κύριος ὁ θεὸς τῶν ἑβραίων. ἐξαπόστειλον τὸν λαόν μου ἵνα λατρεύσωσί μοι. ἐν γὰρ τῷ νῦν καιρῷ, ἐγὼ ἐξαποστελῶ πάντα τὰ σωματήματά μου εἰς τὴν καρδίαν σου, καὶ τῶν θεραπόντων σου, καὶ τοῦ λαοῦ σου, ἵνα εἰδῇς ὅτι οὐκ ἔστιν ὡς ἐγὼ ἄλλος ἐν πάσῃ τῇ γῇ. νῦν γὰρ ἀποστείλας τὴν χεῖρά μου, πατάξω σε καὶ τὸν λαόν σου θανάτῳ. καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς. καὶ ἕνεκεν τούτου διετηρήθης ἕως τοῦ νῦν, ἵνα ἐνδείξωμαί σοι τὴν ἰσχύν μου, καὶ ὅπως διαγγέλλῃ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. ἔτι σὺ ἐμποιῇ τοῦ λαοῦ μου, τοῦ μὴ ἐξαποστεῖλαι αὐτούς; ἰδοὺ ἐγὼ νῦν τὴν ὥραν ταύτην αὔριον, χάλαζαν πολλὴν σφόδρα, ἣ τις οἵαύτη οὐ γέγονεν ἐν αἰγύπτῳ ἀφ' ἧς ἡμέρας ἔκτισαι, ἕως τῆς ἡμέρας ταύτης. νῦν οὖν καταπαύσω συναγαγεῖν τὰ κτήνη σου, καὶ ὅσα σοι ὄντα ἐν τοῖς πεδίοις. πάντα γὰρ οἱ ἄνθρωποι καὶ τὰ κτήνη ὅσα ἐὰν

ἐὰν εὑρεθῇ ἐν τοῖς πεδίοις, καὶ μὴ εἰσέλθῃ εἰς οἰκίαν, καὶ σὺ δὲ ἐπ' αὐτὰ ἡ χάλαζα, πελυτήσει. ὁ φοβούμενος τὸ ῥῆμα κυρίου τῶν θραπόντων φαραὼ, συνήγαγε τὰ κτήνη αὐτοῦ εἰς τοὺς οἴκους. ὃς δὲ μὴ προσέσχε τῇ διανοίᾳ εἰς τὸ ῥῆμα κυρίου, ἀφῆκε τὰ κτήνη ἐν τοῖς πεδίοις. Εἶπε δὲ κύριος πρὸς μωϋσῆν· ἔκτεινον τὴν χεῖρά σου εἰς τὸν οὐρανὸν, καὶ ἔσαι χάλαζα ἐπὶ πάσαν γῆν αἰγύπτου, ἐπί τε τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πᾶσαν βοτάνην τὴν ἐπὶ τῆς γῆς. ἐξέτεινε δὴ μωϋσῆς τὴν χεῖρα εἰς τὸν οὐρανὸν, καὶ κύριος ἔδωκε φωνὰς καὶ χάλαζαν, καὶ διέπρεχε τὸ πῦρ ἐπὶ τῆς γῆς, καὶ ἔβρεξε κύριος χάλαζαν ἐπὶ πᾶσαν γῆν αἰγύπτου. ἦν δὲ ἡ χάλαζα καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ. ἦν δὲ χάλαζα πολλὴ σφόδρα σφόδρα, ἣ τις οὐ γέγονε τοιαύτη ἐν αἰγύπτῳ ἀφ' οὗ γεγόνηται ἐπ' αὐτῆς ἔθνος. ἐπάταξε δὲ ἡ χάλαζα ἐν πάσῃ γῇ αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους. καὶ πᾶσαν βοτάνην τὴν ἐν τῷ πεδίῳ ἐπάταξεν ἡ χάλαζα, καὶ πάντα τὰ ξύλα τὰ ἐν τοῖς πεδίοις συνέτριψε. πλὴν ἐν γῇ γεσεμ οὗ ἦσαν οἱ υἱοὶ ἰσραὴλ, οὐκ ἐγένετο ἡ χάλαζα. ἀποστέλας δὲ φαραὼ, ἐκάλεσε μωϋσῆν καὶ ἀαρὼν, καὶ εἶπεν αὐτοῖς· ἡμάρτηκα τὸν νῦν. ὁ κύριος δίκαιος· ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβεῖς. εὔξασθε οὖν πρὸς κύριον πρὸ ἐμοῦ, καὶ παυσάσθω τὸ γενέσθαι φωνὰς θεοῦ, καὶ χάλαζαν καὶ πῦρ ἐπὶ τῆς γῆς, καὶ ἐξαποστελῶ ὑμᾶς, καὶ οὐκέτι προστεθήσεσθε μένειν. εἶπε δὲ αὐτῷ μωϋσῆς· ὡς ἂν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖράς μου πρὸς τὸν κύριον εἰς τὸν οὐρανὸν, καὶ αἱ φωναὶ παύσονται, καὶ ἡ χάλαζα καὶ ὁ ὑετὸς οὐκ ἔσαι ἔτι, ἵνα γνῶς ὅτι τοῦ κυρίου ἡ γῆ, καὶ σὺ καὶ οἱ θεραπόντες σου. ἐπίσαμαι δὲ ὅτι οὐδέπω προσέβητε πρὸ κυρίου. τὸ δὲ λίνον καὶ ἡ κριθὴ ἐπλήγη. ἡ γὰρ κριθὴ παρεφυκυῖα, καὶ τὸ λίνον ἀνθηρὸν ἦν. ὄψιμα γὰρ ἦν. ἐξῆλθε δὴ μωϋσῆς ἀπὸ φαραὼ ἐκτὸς τῆς πόλεως, καὶ ἐξεπέτασε τὰς χεῖρας αὐτοῦ πρὸς κύριον, καὶ αἱ φωναὶ ἐπαύσαντο, καὶ ἡ χάλαζα, καὶ ὁ ὑετὸς, οὐκέτι ἔσαξεν ἔτι ἐπὶ τὴν γῆν. ἰδὼν δὲ φαραὼ ὅτι πέπαυται ὁ ὑετὸς καὶ ἡ χάλαζα καὶ αἱ φωναί, προσέθετο ἔτι τοῦ ἁμαρτάνειν. καὶ ἐβάρυνεν αὐτοῦ τὴν καρδίαν, καὶ τῶν θεραπόντων αὐτοῦ. καὶ ἐσκληρύνθη ἡ καρδία αὐτοῦ, καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς ἰσραὴλ, καθάπερ ἐλάλησε κύριος τῷ μωϋσῆ.

ΚΕΦΑΛ. ι'. 10.

Εἶπε δὲ κύριος πρὸς μωϋσῆν λέγων· εἴσελθε πρὸς φαραώ. ἐγὼ γὰρ ἐβαρυνα τὴν καρδίαν αὐτοῦ, καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἐξῇς ἐπέλθῃ τὰ σημεῖα ταῦτα ἐπ' αὐτούς. ὅπως διηγήσηθε εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν, καὶ τοῖς τέκνοις τῶν τέκνων ὑμῶν, ὅσα ἐμπέπαικα τοῖς αἰγυπτίοις, καὶ τὰ σημεῖά μου ἃ ἐποίησα ἐν αὐτοῖς. καὶ γνώσεσθε, ὅτι ἐγώ εἰμι κύριος. εἰσῆλθε δὲ μωϋσῆς καὶ ἀαρὼν πρὸς φαραώ, καὶ εἶπαν αὐτῷ· τάδε λέγει κύριος ὁ θεὸς τῶν ἑβραίων. ἕως τίνος οὐ βούλει ἐντρέπεσθαί με; ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι. ἐὰν δὲ μὴ θελήσῃς ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐπάξω ταύτῃ τῇ ὥρᾳ αὔριον, ἀκρίδας πολλὰς ἐπὶ πάντα τὰ ὅριά σου, καὶ καλύψει τὸν ὀφθαλμὸν τῆς γῆς, καὶ οὐ δυνήσῃ κατιδεῖν τὴν γῆν, καὶ κατέδεται πᾶν τὸ περισσὸν τὸ καταλειφθέν, ὃ κατέλειπεν ὑμῖν ἡ χάλαζα. καὶ κατέδεται πᾶν τὸ ξύλον τὸ φυόμενον ὑμῖν ἐπὶ τῆς γῆς, καὶ πλησθήσονταί σου αἱ οἰκίαι καὶ αἱ οἰκίαι τῶν θεραπόντων σου, καὶ πᾶσαι αἱ οἰκίαι ἐν πάσῃ γῇ αἰγύπτου, ὃ οὐδέποτε ἑωράκασιν οἱ πατέρες σου, οὐδ' οἱ πρόπαπποι αὐτῶν, ἀφ' ἧς ἡμέρας γεγόνασιν ἐπὶ τῆς γῆς, ἕως τῆς σήμερον ἡμέρας. καὶ ἐκκλίνας, ἐξῆλθεν ἀπὸ φαραώ. λέγουσι δὲ οἱ θεράποντες φαραὼ πρὸς αὐτόν· ἕως τίνος τοῦτο ἔσαι ἡμῖν σκῶλον; ἐξαπόστειλον τοὺς ἀνθρώπους, ὅπως θύσωσι κυρίῳ τῷ θεῷ αὐτῶν. ἢ εἰδέναι βούλῃ, ὅτι ἀπόλωλεν αἴγυπτος; καὶ ἐπεστρέψαν τόν τε μωϋσῆν καὶ ἀαρὼν πρὸς φαραώ, καὶ εἶπεν αὐτοῖς φαραώ· πορεύεσθε καὶ λατρεύσατε κυρίῳ τῷ θεῷ ὑμῶν. τίνες δὲ καὶ τίνες εἰσὶν οἱ πορευόμενοι; καὶ λέγει μωϋσῆς· σὺν τοῖς νεανίσκοις ἡμῶν καὶ τοῖς πρεσβύταις πορευσόμεθα, σὺν τοῖς υἱοῖς καὶ θυγατράσι καὶ προβάτοις καὶ βουσὶν ἡμῶν. ἔσαι γὰρ ἡ ἑορτὴ κυρίῳ τοῦ θεοῦ ἡμῶν. καὶ εἶπε φαραὼ πρὸς αὐτούς· ἔσω οὕτω. κύριος μεθ' ὑμῶν, καθότι ἀφήσω ὑμᾶς. μὴ καὶ τὸν ἀρσενικὸν ὑμῶν; ἴδετε ὅτι πονηρία πρόκειται ὑμῖν. μὴ οὕτως. ἀλλὰ πορευέσθωσαν οἱ ἄνδρες, καὶ λατρεύσατε τῷ θεῷ. τοῦτο γὰρ αὐτοὶ ζητεῖτε. ἐξέβαλον δὲ αὐτοὺς ἀπὸ προσώπου φαραώ. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· ἔκτεινον τὴν χεῖρά σου ἐπὶ γῆν αἰγύπτου, καὶ ἀναβήτω ἀκρὶς ἐπὶ τὴν γῆν, καὶ κατέδεται πᾶσαν βοτάνην τῆς γῆς, καὶ πάντα τὰ καρπὸν τῶν ξύλων ἃ ἐγκατελείφθη ἡ χάλαζα. καὶ ἐπῆρε μωϋσῆς τὴν ῥάβδον εἰς τὸν οὐρανὸν, καὶ κύριος ἐπήγαγεν ἄνεμον νότον ἐπὶ τὴν γῆν, ὅλην τὴν ἡμέραν ἐκείνην, καὶ ὅλην τὴν νύκτα. τὸ πρωῒ ἐγένηθη ὁ ἄνεμος ὁ νότος, καὶ ἔβαλε τὴν ἀκρίδα, καὶ ἀνήγαγεν αὐτὴν ἐπὶ πᾶσαν γῆν αἰγύπτου, καὶ κατέπαυσεν ἐπὶ πάντα τὰ ὅρια αἰγύπτου πολλὴ σφόδρα. πρότερα οὐκ ἐγένετο τοιαύτη ἀκρὶς, καὶ μετὰ ταύτην οὐκ ἔσαι οὕτως. καὶ ἐκάλυψε τὸν ὀφθαλμὸν τῆς γῆς, καὶ ἐφθάρη ἡ γῆ, καὶ κατέφαγε πᾶσαν τὴν βοτάνην τῆς γῆς, καὶ πάντα τὸν καρπὸν τῶν ξύλων ὃς ἐγκατελείφθη ἀπὸ τῆς χαλάζης. οὐ κατελείφθη χλωρὸν οὐδὲν ἐν τοῖς ξύλοις, καὶ ἐν πάσῃ βοτάνῃ τοῦ πεδίου ἐν πάσῃ γῇ αἰγύπτου. κατέπεσον δὲ φαραὼ καλέσαι μωϋσῆν καὶ ἀαρὼν, λέγων· ἥμαρτηκα ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν,

καὶ εἰς

καὶ εἰς ὑμᾶς. πῶς σὲ ἐξαδε οἰῶ μου τὴν ἁμαρτίαν ἔτι νῦν, καὶ πῶς σὺ ἐξαδε πῶς λύειν τὸν θεὸν ὑμῶν, καὶ πῶς ἐλέτω ἀπ' ἐμοῦ τὸν θάνατον τοῦτον. ἐξῆλθε δὲ μωϋσῆς ἀπὸ φαραὼ, καὶ ἠύξατο πῶς λύριον, καὶ μετέβαλε λύειν ἀπὸ θαλάσσης ἄνεμον σφοδρὸν, καὶ αὐέλαβε τὴν ἀηρέλα, καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν θαλασσαν τὴν ἐρυθρὰν, καὶ οὐκ ἀπελείφθη ἀκείς μία ἐν παση γῆ αἰγύπτου. καὶ ὠκλήρωσε λύειν τὴν καρδίαν φαραὼ, καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς ἰσραήλ. εἶπε δὲ λύειν πῶς μωϋσῆν ἔκτεινον τὴν χεῖρά σου εἰς τὸν οὐρανὸν, καὶ γενήθητω σκότος ὑπὲρ γῆς αἰγύπτου, ψηλαφητὸν σκότος. ἐξέτεινε δὲ μωϋσῆς τὴν χεῖρα αὐτοῦ εἰς τὸν ἀέρα, καὶ ἐγένετο σκότος, γνόφος, θύελλα, ὑπὲρ πᾶσαν γῆν αἰγύπτου ἡμέρας τρεῖς ἡμέρας. οὐκ εἶδεν ἀδελφὸς τὸν ἀδελφὸν αὐτοῦ, καὶ οὐκ ἐξανέστη ἀδελφὸς ἐκ τῆς κοίτης αὐτοῦ ἡμέρας τρεῖς ἡμέρας. πᾶσι δὲ τοῖς υἱοῖς ἰσραὴλ ἦν φῶς, ἐν πᾶσιν εἰς καταγίνοντο. καὶ ἐκάλεσε φαραὼ μωϋσῆν καὶ ἀαρὼν λέγων· βαδίζετε, λατρεύσατε κυρίῳ τῷ θεῷ ὑμῶν, πλὴν τῶν προβάτων καὶ τῶν βοῶν ὑπολείπεσθε, καὶ ἡ ἀποσκευὴ ὑμῶν ἀπορευέσθω μεθ' ὑμῶν. καὶ εἶπε μωϋσῆς, ὅτι ἀλλὰ καὶ σὺ δώσεις ἡμῖν ὁλοκαυτώματα καὶ θυσίας, ἃ ποιήσομεν κυρίῳ τῷ θεῷ ἡμῶν, καὶ τὰ κτήνη ἡμῶν πορεύσεται μεθ' ἡμῶν, καὶ οὐχ ὑπολειφθήσεται ὄπλον, ἀπ' αὐτῶν γὰρ λημψόμεθα λατρεύειν κυρίῳ τῷ θεῷ ἡμῶν. ἡμεῖς δὲ οὐκ οἴδαμεν τί λατρεύσομεν κυρίῳ τῷ θεῷ ὑμῶν, ἕως τοῦ ἐλθεῖν ἡμᾶς ἐκεῖ. ὠκλήρωσε δὲ κύριος τὴν καρδίαν φαραὼ, καὶ οὐκ ἐβούλητο ἐξαποστεῖλαι αὐτούς. καὶ λέγει αὐτῷ φαραώ· ἄπελθε ἀπ' ἐμοῦ, πρόσεχε σεαυτῷ ἔτι προσθεῖναι ἰδεῖν μου τὸ πρόσωπον. ᾗ δ' ἂν ἡμέρᾳ ὀφθῇς μοι, ἀποθανῇ. λέγει δὲ μωϋσῆς· καθὼς εἴρηκας, οὐκ ἔτι ὀφθήσομαί σοι εἰς πρόσωπον.

ΚΕΦΑΛ. ιά. ΙΙ.

Εἶπε δὲ κύριος πῶς μωϋσῆν ἔτι μίαν πληγὴν ἐγὼ ἐπάξω ἐπὶ φαραὼ καὶ ἐπ' αἰγύπτου, καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς ἐντεῦθεν. ὅταν δὲ ἐξαποστείλῃ ὑμᾶς, σὺν πάσῃ ἐκβολῇ ἐκβαλεῖ ὑμᾶς. λαλήσον δὴ λεγὸν εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ αἰτησάτω ἕκαστος παρὰ τοῦ πλησίον, καὶ γυνὴ παρὰ τῆς πλησίον αὐτῆς σκεύη ἀργυρᾶ, καὶ χρυσᾶ, καὶ ἱματισμόν. κύριος δὲ ἔδωκε τὴν χάριν τοῦ λαῶ αὐτοῦ ἐναντίον τῶν αἰγυπτίων, καὶ ἔχρησεν αὐτοῖς. καὶ ὁ ἄνθρωπος μωϋσῆς μέγας ἐγένηθη σφόδρα ἐναντίον τῶν αἰγυπτίων, καὶ ἐναντίον φαραὼ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ. καὶ εἶπε μωϋσῆς· τάδε λέγει κύριος, περὶ μέσας νύκτας ἐγὼ εἰσπορεύσομαι εἰς μέσον αἰγύπτου, καὶ τελευτήσῃ πᾶν πρωτότοκον ἐν γῇ αἰγύπτου, ἀπὸ πρωτοτόκου φαραὼ, ὃς κάθηται ἐπὶ τοῦ θρόνου, ἕως τοῦ πρωτοτόκου τῆς θεραπαίνης τῆς πίσω τοῦ μύλου, καὶ ἕως πρωτοτόκου παντὸς κτήνους. καὶ ἔσαι κραυγὴ μεγάλη κατὰ πᾶσαν γῆν αἰγύπτου, ἥτις τοιαύτη οὐ γέγονε, καὶ τοιαύτη οὐκέτι προστεθήσεται. ἐν δὲ πᾶσι τοῖς υἱοῖς ἰσραὴλ οὐ γρύξει κύων τῇ γλώσσῃ αὐτοῦ, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ὅπως εἰδῆς ὅσα παραδοξάσει κύριος ἀνὰ μέσον τῶν αἰγυπτίων, καὶ ἀνὰ μέσον τῶν ὑῶν ἰσραὴλ, καὶ καταβήσονται πάντες οἱ παῖδες οὗτοι πρός με, καὶ προσκυνήσουσί με, λέγοντες· ἔξελθε σὺ, καὶ πᾶς ὁ λαός σου, ὃς σὺ ἀφηγῇ, καὶ μετὰ ταῦτα ἐξελεύσομαι. ἐξῆλθε δὲ μωϋσῆς ἀπὸ φαραὼ μετὰ θυμοῦ. εἶπε δὲ κύριος πῶς μωϋσῆν· οὐκ εἰσακούσεται ὑμῶν φαραώ, ἵνα πληθύνω τὰ σημεῖά μου, καὶ τὰ τέρατά μου ἐν γῇ αἰγύπτῳ. μωϋσῆς δὲ καὶ ἀαρὼν, ἐποίησαν τὰ σημεῖα, καὶ πάντα τὰ τέρατα ταῦτα ἐναντίον φαραώ. ὠκλήρωσε δὲ κύριος τὴν καρδίαν φαραὼ, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τοὺς υἱοὺς ἰσραὴλ ἐκ γῆς αἰγύπτου.

ΚΕΦΑΛ. ιβ'. ΙΒ.

Εἶπε δὲ κύριος πῶς μωϋσῆν καὶ ἀαρὼν ἐν γῇ αἰγύπτου, λέγων· ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν πρῶτος ὑμῖν ἔσται ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ· λάλησον πῶς πᾶσαν συναγωγὴν υἱῶν ἰσραὴλ, λέγων· τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἴκους πατριῶν, πρόβατον κατ' οἰκίαν. ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν ἐν τῇ οἰκίᾳ, ὡς τε μὴ ἱκανοὺς εἶναι εἰς πρόβατον, συλλήψεται μετ' ἐαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ κατὰ ἀριθμὸν ψυχῶν, ἕκαστος τὸ ἀρκοῦν αὐτοῦ συναριθμήσεται εἰς πρόβατον. πρόβατον τέλειον, ἄρσεν, ἄμωμον, ἐνιαύσιον ἔσαι ὑμῖν. ἀπὸ τῶν ἀμνῶν, καὶ τῶν ἐρίφων λήψεσθε, καὶ ἔσαι ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου, καὶ σφαξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν ἰσραὴλ πρὸς ἑσπέραν, καὶ λήψονται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν, καὶ ἐπὶ τὴν φλιὰν ἐν τοῖς οἴκοις, ἐν οἷς φαγωσιν αὐτὸ ἐν αὐτοῖς, καὶ φαγονται τὰ κρέα τὴν νύκτα ταύτην ὀπτὰ πυρί, καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται. οὐκ ἐδεσθε ἐπ' αὐτοῦ ὠμόν, οὐδὲ ἥψημένον ἐν ὕδατι, ἀλλ' ὀπτὰ πυρί, κεφαλὴ σὺν τοῖς ποσὶ καὶ τοῖς ἐνδοθίοις. οὐκ ἀπολείψεται ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ, καὶ ὅσον οὐ συντρίψετε ἀπ' αὐτοῦ. τὰ δὲ καταλειπόμενα ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ, ἐν πυρὶ κατακαύσετε. οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωμέναι, καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν, καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς. πάσχα ἐστὶ κυρίου. καὶ διελεύσομαι ἐν γῇ αἰγύπτου ἐν τῇ νυκτὶ ταύτῃ, καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ αἰγύπτου, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ

γῆ ταῦτη θεοῖς ἀλλογενέων ποιήσω τῷ ἐκλείκνυμι. ἐγὼ Κύριος· καὶ ἔσαι τὸ αἷμα ὑμῖν ἐν σημείῳ ἐπὶ τῶν οἰκιῶν, ἐν αἷς ὑμεῖς ἐστε ἐκεῖ, καὶ ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσαι ἐν ὑμῖν πληγὴ τοῦ ἐκτριβῶσαι, ὅταν παίω ἐν γῇ Αἰγύπτῳ. καὶ ἔσαι ἡ ἡμέρα αὕτη ὑμῖν μνημόσυνον, καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν Κυρίῳ εἰς τὰς γενεὰς ὑμῶν νόμιμον αἰώνιον, ἑορτάσετε αὐτήν. ἑπτὰ ἡμέρας ἐσθίεσθε ἄζυμα. ἀπὸ δὲ τῆς πρώτης ἡμέρας ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζύμην, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ, ἀπὸ τῆς ἡμέρας τῆς πρώτης, ἕως τῆς ἡμέρας τῆς ἑβδόμης. καὶ ἡ ἡμέρα ἡ πρώτη κεκλήσεται ἁγία, καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσαι ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο μόνον ποιηθήσεται ὑμῖν. καὶ φυλάξεσθε τὴν ἡμέραν ταύτην. ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξάξω τὴν δύναμιν ὑμῶν ἐκ γῆς Αἰγύπτου, καὶ ποιήσετε τὴν ἡμέραν ταύτην εἰς τὰς γενεὰς ὑμῶν νόμιμον αἰώνιον. ἐν ἀρχομένῳ τοῦ πρωὶ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου, ἕως ἑσπέρας ἐσθίεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ μηνὸς ἕως ἑσπέρας. ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται ἐν ταῖς οἰκίαις ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζυμωτὸν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ συναγωγῆς υἱῶν Ἰσραήλ, ἔν τε τοῖς γειώραις, καὶ αὐτόχθοσι τῆς γῆς. πᾶν ζυμωτὸν οὐκ ἐσθίεσθε, ἀλλ' ἐν πάντι καταλύματι ὑμῶν ἐσθίεσθε ἄζυμα. ἐκάλεσε δὲ Μωϋσῆς πᾶσαν γερουσίαν Ἰσραήλ, καὶ εἶπε πρὸς αὐτούς· ἀπελθόντες, λάβετε ὑμῖν αὐτοῖς πρόβατα κατὰ συγγενείας ὑμῶν, καὶ θύσατε τὸ πάσχα, καὶ λήψεσθε σίσυμον ὑσσώπου, καὶ βαλοῦντες ἀπὸ τοῦ αἵματος τοῦ παρὰ τὴν θύραν, καθίζετε ἐπὶ τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν ἀπὸ τοῦ αἵματος, ὃ ἐστι παρὰ τὴν θύραν. καὶ ὑμεῖς δὲ οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ, ἕως πρωΐ. καὶ παρελεύσεται Κύριος πατάξας τοὺς Αἰγυπτίους, καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν. καὶ παρελεύσεται Κύριος τὴν θύραν, καὶ οὐκ ἀφήσει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι. καὶ φυλάξεσθε τὸ ῥῆμα τοῦτο νόμιμον αἰώνιον σεαυτῷ, καὶ τοῖς υἱοῖς σου, ἕως τοῦ αἰῶνος. ἐὰν δὲ εἰσέλθητε εἰς τὴν γῆν ἣν δίδωσιν Κύριος ὑμῖν, καθότι ἐλάλησε, φυλάξεσθε τὴν λατρείαν ταύτην. καὶ ἔσαι ἐὰν λέγωσι πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν, τίς ἡ λατρεία αὕτη; καὶ ἐρεῖτε αὐτοῖς· θυσία τὸ πάσχα τοῦτο Κυρίῳ, ὃς ὑπέπασε τοὺς οἴκους τῶν υἱῶν Ἰσραὴλ ἐν γῇ Αἰγύπτῳ, ἡνίκα ἐπάταξε τοὺς Αἰγυπτίους, τοὺς δὲ οἴκους ἡμῶν ἐῤῥύσατο. καὶ κύψας ὁ λαὸς προσεκύνησε. καὶ ἀπελθόντες ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ ἐνετείλατο Κύριος τῷ Μωϋσεῖ καὶ Ἀαρών, οὕτως ἐποίησαν. ἐγεννήθη δὲ μεσούσης τῆς νυκτὸς, καὶ Κύριος ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ πρωτοτόκου Φαραὼ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἕως τοῦ πρωτοτόκου τῆς αἰχμαλώτιδος τῆς ἐν τῷ λάκκῳ, καὶ πᾶν πρωτότοκον κτήνους. καὶ ἀνέστη Φαραὼ νυκτὸς, καὶ πάντες οἱ θεράποντες αὐτοῦ, καὶ πάντες οἱ Αἰγύπτιοι, καὶ ἐγένετο κραυγὴ μεγάλη ἐν πάσῃ γῇ Αἰγύπτῳ. οὐ γὰρ ἦν οἰκία, ἐν ᾗ οὐκ ἦν ἐν αὐτῇ τεθνηκός. καὶ ἐκάλεσε Φαραὼ Μωϋσῆν καὶ Ἀαρὼν νυκτὸς, καὶ εἶπεν αὐτοῖς· ἀναστῆτε καὶ ἐξέλθετε ἐκ τοῦ λαοῦ μου, καὶ ὑμεῖς καὶ οἱ υἱοὶ Ἰσραήλ, βαδίζετε λατρεύετε Κυρίῳ τῷ θεῷ ὑμῶν, καθὰ λέγετε. καὶ τὰ πρόβατα, καὶ τοὺς βόας ὑμῶν ἀναλαβόντες πορεύεσθε, εὐλογήσατε δὲ κἀμέ. καὶ κατεβιάζοντο οἱ Αἰγύπτιοι τὸν λαὸν τοῦ ταχυσθῆναι ἐκβαλεῖν αὐτοὺς ἐκ τῆς γῆς. εἶπαν γάρ, ὅτι πάντες ἡμεῖς ἀποθνήσκομεν. ἀνέλαβε δὲ ὁ λαὸς τὸ σαὶς αὐτῶν πρὸ τοῦ ζυμωθῆναι τὰ φυράματα αὐτῶν, σκύβαλα δεδεμένα ἐν τοῖς ἱματίοις αὐτῶν ἐπὶ τῶν ὤμων. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐποίησαν, καθὰ συνέταξεν αὐτοῖς Μωϋσῆς, καὶ ᾔτησαν παρὰ τῶν Αἰγυπτίων σκεύη ἀργυρᾶ, καὶ χρυσᾶ, καὶ ἱματισμόν. καὶ Κύριος ἔδωκε τὴν χάριν τοῦ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων, καὶ ἐχρήσαν αὐτοῖς, καὶ ἐσκύλευσαν τοὺς Αἰγυπτίους. ἀπῆραν δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ εἰς ἑξακοσίας χιλιάδας πεζῶν οἱ ἄνδρες, πλὴν τῶν ἀποσκευῶν, καὶ ἐπίμικτον πολὺς συναναβὰν αὐτοῖς, καὶ πρόβατα, καὶ βόας, καὶ κτήνη πολλὰ σφόδρα. καὶ ἔπεμψαν τὰς σαὶς, ὃ ἐξέκλινεν ἐξ Αἰγύπτου ἐγκρυφίας ἀζύμους. οὐ γὰρ ἐζυμώθη, ἐξέβαλον γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι, καὶ οὐκ ἐδυνάσθησαν ὑπομεῖναι, οὐδὲ ἐπισιτισμὸν ἐποίησαν ἑαυτοῖς εἰς τὴν ὁδόν. ἡ δὲ παροίκησις τῶν υἱῶν Ἰσραὴλ, ὧν κατῴκησαν ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν γῇ Χαναάν, αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν, ἔτη τετρακόσια τριάκοντα. καὶ ἐγένετο μετὰ τὰ τετρακόσια τριάκοντα ἔτη, ἐξῆλθε πᾶσα ἡ δύναμις Κυρίου ἐκ τῆς Αἰγύπτου. νὺξ προφυλακὴ ἦν τῷ Κυρίῳ, ὡς τε ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. ἐκείνη ἡ νὺξ αὕτη προφυλακὴ Κυρίῳ, ὡς τε πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ εἶναι εἰς γενεὰς αὐτῶν. εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρών· οὗτος ὁ νόμος τοῦ πάσχα. πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ, καὶ πᾶν οἰκέτην ἀνὸς καὶ ἀργυρώνητον περιτεμεῖς αὐτὸν, καὶ τότε φάγεται ἀπ' αὐτοῦ. πάροικος καὶ μισθωτὸς οὐκ ἔδεται ἀπ' αὐτοῦ. ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, οὐ διαπαλεῖτε ἀπὸ τῶν κρεῶν εἰς τὸ πρωΐ, οὐκ ἐξοίσετε ἐκ τῆς οἰκίας τῶν κρεῶν ἔξω, καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. πᾶσα συναγωγὴ τῶν υἱῶν Ἰσραὴλ ποιήσει ταῦτα. ἐὰν δέ τις προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος, καὶ ποιήσῃ τὸ πάσχα Κυρίῳ, περιτεμεῖς αὐτοῦ πᾶν ἀρσενικὸν, καὶ τότε προσελεύσεται ποιῆσαι αὐτό, καὶ ἔσαι ὡσεὶ ὁ αὐτόχθων τῆς γῆς. πᾶς ἀπερίτμητος οὐκ ἔδεται ἀπ' αὐτοῦ. νόμος

εἷς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς ἔσαι τοῦ ἐγχωρίου, καὶ τοῦ προσελθόντι προσηλύτῳ ἐν ὑμῖν. καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ, καθὰ ἐνετείλατο Κυρίῳ τῷ Μωϋσεῖ καὶ Ααρὼν, οὕτως ἐποίησαν. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξήγαγε Κύριος τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου, συνὼν δυνάμει αὐτῶν.

ΚΕΦΑΛ. ιγ'. 13.

Ἔτι δὲ Κύριος πρὸς Μωϋσῆν, λέγων· ἁγίασόν μοι παν πρωτότοκον πρωτογενὲς, καὶ αὐτοῖ γον πᾶσαν μήτραν ἐν τοῖς υἱοῖς Ισραηλ, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ὅτι ἐμοί ἐσιν. εἶπε δὲ Μωϋσῆς πρὸς τὸν λαόν· μνημονεύετε τὴν ἡμέραν ταύτην, ἐν ᾗ ἐξήλθετε ἐξ Αἰγύπτου, ἐξ οἴκου δουλείας. ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγεν ὑμᾶς Κύριος ἐντεῦθεν, καὶ οὐ βρωθήσεται ζύμη. ἐν τῇ σήμερον ὑμεῖς ἐκπορεύεσθε ἐν μηνὶ τῶν νέων, καὶ ἔσαι ἐὰν εἰσαγάγῃ σε Κύριος ὁ θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων, καὶ Χετταίων, καὶ Αμορραίων, καὶ Ευαίων, καὶ Ιεβουσαίων, καὶ γογγυσαίων, καὶ φορεζαίων, ἣν ὤμοσε τοῖς πατράσι σου, δοῦναί σοι γῆν ἐξουσαν γάλα καὶ μέλι, καὶ ποιήσεις τὴν λατρείαν ταύτην ἐν τῷ μηνὶ τούτῳ. ἑξ ἡμέρας ἔδεσθε ἄζυμα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἑορτὴ Κυρίου. ἄζυμα ἔδεσθε τὰς ἑπτὰ ἡμέρας, οὐκ ὀφθήσεταί σοι ζύμωμα, οὐδὲ ἔσαι σοι ζύμη ἐν πᾶσι τοῖς ὁρίοις σου. ἀναγγελεῖς τῷ υἱῷ σου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· διὰ τοῦτο ἐποίησε Κύριος ὁ θεός μοι, ὡς ἐξεπορευόμην ἐξ Αἰγύπτου. καὶ ἔσαι σοι εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ μνημόσυνον πρὸ ὀφθαλμῶν σου, ὅπως ἂν γένηται ὁ νόμος Κυρίου ἐν τῷ στόματί σου. ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε Κύριος ἐξ Αἰγύπτου. καὶ φυλάξασθε τὸν νόμον τοῦτον κατὰ καιρούς ὡρῶν, ἀφ' ἡμερῶν εἰς ἡμέρας. καὶ ἔσαι ὡς ἂν εἰσαγάγῃ σε Κύριος ὁ θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ δώσει αὐτήν. καὶ ἀφορίεις παν διανοίγον μήτραν τὰ ἀρσενικὰ τῷ Κυρίῳ, παν διανοίγον μήτραν ἐκ βεκολίων, ἃ ἐν τοῖς κτήνεσί σου, ὅσα ἂν γένηταί σοι τὰ ἀρσενικὰ ἁγιάσεις αὐτὰ τῷ Κυρίῳ. παν διανοίγον μήτραν ὄνου ἀλλάξεις αὐτὸ πρόβατον. ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό. καὶ παν πρωτότοκον ἀνθρώπου τῶν υἱῶν σου λυτρώσῃ. ἐὰν δέ ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα, λέγων, τί τοῦτο; ἐρεῖς αὐτῷ· ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας, ὅτε ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε παν πρωτότοκον ἐν τῇ Αἰγύπτῳ ἀπὸ πρωτοτόκου ἀνθρώπου, ἕως πρωτοτόκου κτήνους, διὰ τοῦτο ἐγὼ θύω τῷ Κυρίῳ παν διανοίγον μήτραν, τὰ ἀρσενικὰ τοῦ Κυρίου, τὸν παν πρωτότοκον τῶν υἱῶν μου λυτρώσομαι. καὶ ἔσαι εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν σου. ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε Κύριος ἐξ Αἰγύπτου. ὡς δὲ ἐξαπέστειλε Φαραὼ τὸν λαόν, οὐχ ὡδήγησεν αὐτοὺς ὁ θεὸς ὁδὸν γῆς φυλισιείμ, ὅτι ἐγγύς ἐστιν. εἶπε γὰρ ὁ θεὸς· μή ποτε μεταμελήσῃ τοῦ λαοῦ ἰδόντα πόλεμον, καὶ ἀποστρέψῃ εἰς Αἴγυπτον. καὶ ἐκύκλωσεν ὁ θεὸς τὸν λαὸν ὁδὸν τὴν εἰς τὴν ἔρημον, εἰς τὴν ἐρυθρὰν θάλασσαν. πεμπτὴ δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ισραηλ ἐκ γῆς Αἰγύπτου, καὶ ἔλαβε Μωϋσῆς τὰ ὀστᾶ Ιωσὴφ μεθ' ἑαυτοῦ. ὅρκῳ γὰρ ὥρκισεν Ιωσὴφ τοὺς υἱοὺς Ισραηλ, λέγων· ἐπισκοπὴ ἐπισκέψεται Κύριος ὑμᾶς, καὶ συνανοίσετέ μου τὰ ὀστᾶ ἐντεῦθεν μεθ' ὑμῶν. ἐξαραντες δὲ οἱ υἱοὶ Ισραηλ ἐκ σοκχωθ, ἐστρατοπέδευσαν ἐν Αἰθάμ, παρὰ τὴν ἔρημον. ὁ δὲ θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης διᾶξαι αὐτοὺς τὴν ὁδὸν, τὴν δὲ νύκτα ἐν στύλῳ πυρός. τοῦ φαίνειν δὲ αὐτοῖς οὐκ ἐξέλιπεν ὁ στύλος τῆς νεφέλης ἡμέρας, καὶ ὁ στύλος τοῦ πυρὸς νυκτὸς ἐναντίον παντὸς τοῦ λαοῦ.

ΚΕΦΑΛ. ιδ'. 14.

Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς Ισραηλ, καὶ ἀποστρέψαντες στρατοπεδευσάτωσαν ἀπέναντι τῆς ἐπαύλεως αὐλὰ μέσον Μαγδώλου, καὶ αὐλὰ μέσον τῆς θαλάσσης ἐξέναντίας Βεελσεφῶν. ἐνώπιον αὐτῶν στρατοπεδεύσεις ἐπὶ τῆς θαλάσσης. καὶ ἐρεῖ Φαραὼ τοῦ λαῷ αὐτοῦ περὶ τῶν υἱῶν Ισραηλ, ὅτι πλανῶνται οὗτοι ἐν τῇ γῇ, συγκέκλεικε γὰρ αὐτοὺς ἡ ἔρημος. ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, καὶ καταδιώξεται ὀπίσω αὐτῶν, καὶ ἐνδοξασθήσομαι ἐν Φαραὼ, καὶ ἐν πάσῃ τῇ στρατείᾳ αὐτοῦ. καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγώ εἰμι Κύριος. καὶ ἐποίησαν οὕτως. καὶ ἀνηγγέλη τοῦ Βασιλεῖ τῶν Αἰγυπτίων ὅτι πέφευγεν ὁ λαός. καὶ μετεστράφη ἡ καρδία Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ ἐπὶ τὸν λαόν, καὶ εἶπον· τί τοῦτο πεποιήκαμεν, ἐξαποστείλαντες τοὺς υἱοὺς Ισραηλ τοῦ μὴ δουλεύειν ἡμῖν. ἔζευξε δὲ Φαραὼ τὰ ἅρματα αὐτοῦ, καὶ πάντα τὸν λαὸν αὐτοῦ συνανήγαγε μεθ' ἑαυτοῦ, καὶ ἔλαβεν ἑξακόσια ἅρματα ἐπίλεκτα, καὶ πᾶσαν τὴν ἵππον τῶν Αἰγυπτίων, καὶ τριστάτας ἐπὶ πάντων. καὶ ἐσκλήρυνε Κύριος τὴν καρδίαν Φαραὼ Βασιλέως Αἰγύπτου, καὶ κατεδίωξεν ὀπίσω τῶν υἱῶν Ισραηλ. οἱ δὲ υἱοὶ Ισραηλ ἐπορεύοντο ἐν χειρὶ ὑψηλῇ, καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι ὀπίσω αὐτῶν, καὶ εὗρον αὐτοὺς παρεμβεβληκότας παρὰ τὴν θάλασσαν. καὶ πᾶσα ἡ ἵππος καὶ τὰ ἅρματα Φαραὼ, καὶ οἱ ἱππεῖς, καὶ ἡ στρατεία αὐτοῦ, ἀπέναντι τοῦ ἐπαύλεως ἐξέναντίας Βεελσεφῶν· καὶ Φαραὼ προσῆγε. καὶ ἀναβλέψαντες οἱ υἱοὶ Ισραηλ τοῖς ὀφθαλμοῖς ὁρῶσι. καὶ ἰδοὺ οἱ Αἰγύπτιοι ἐστρατοπεδεύκασαν ὀπίσω αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. ἀνέβησαν δὲ οἱ υἱοὶ Ισραηλ πρὸς Κύριον, καὶ εἶπαν πρὸς Μωϋσῆν· παρὰ τὸ μὴ ὑπάρχειν

μνήματα ἐν αἰγύπτῳ, ὅτι ἀγαγες ἡμᾶς θανατῶσαι ἐν τῇ ἐρήμῳ; τί τοῦτο ἐποίησας ἡμῖν, ὅτι ἀγαγες ἡμᾶς ὅτι αἰγύπτου; οὐ τοῦτο λόγον ὃ ἐλαλήσαμεν ἐν αἰγύπτῳ πρός σε, λέγοντες· πάρες ἡμᾶς ὅπως δουλεύσωμεν τοῖς αἰγυπτίοις. κρεῖσσον γὰρ ἡμᾶς δουλεύειν τοῖς αἰγυπτίοις, ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ. εἶπε δὲ μωϋσῆς πρὸς τὸν λαόν· θαρσεῖτε, στῆτε, καὶ ὁρᾶτε τὸ σωτήριον τοῦ παρὰ τοῦ κυρίου, ὃ ποιήσει ὑμῖν σήμερον. οὓς γὰρ ἑωράκατε τοὺς αἰγυπτίους σήμερον, οὐ προσθήσεσθε ἔτι ἰδεῖν αὐτοὺς εἰς τὸν αἰῶνα χρόνον. κύριος πολεμήσει περὶ ὑμῶν, καὶ ὑμεῖς σιγήσετε. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· τί βοᾷς πρός με; λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ἀναζευξάτωσαν. καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου, καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ῥῆξον αὐτήν, καὶ εἰσελθέτωσαν οἱ υἱοὶ ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν. καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν φαραὼ, καὶ τῶν αἰγυπτίων πάντων, καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν, καὶ δοξασθήσομαι ἐν φαραὼ, καὶ ἐν πάσῃ τῇ στρατείᾳ αὐτοῦ, καὶ ἐν τοῖς ἅρμασι καὶ ἐν τοῖς ἵπποις αὐτοῦ, καὶ γνώσονται πάντες οἱ αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος, δοξαζομένου μου ἐν φαραὼ, καὶ ἐν τοῖς ἅρμασι, καὶ ἐν τοῖς ἵπποις αὐτοῦ. ἆρε δὲ ὁ ἄγγελος τοῦ θεοῦ ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν υἱῶν ἰσραὴλ, καὶ ἐπορεύθη ἐκ τῶν ὀπίσθων. ἆρε δὲ καὶ ὁ στῦλος τῆς νεφέλης ἀπὸ προσώπου αὐτῶν, καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν. καὶ εἰσῆλθεν ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν αἰγυπτίων, καὶ ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν υἱῶν ἰσραὴλ. καὶ ἐγένετο σκότος, καὶ γνόφος, καὶ διῆλθεν ἡ νύξ, καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα. ἐξέτεινε δὲ μωϋσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀπήγαγε κύριος τὴν θάλασσαν, ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα, καὶ ἐποίησε τὴν θάλασσαν ξηράν, καὶ διεχίσθη τὸ ὕδωρ. καὶ εἰσῆλθον οἱ υἱοὶ ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν. καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων. κατεδίωξαν δὲ οἱ αἰγύπτιοι, καὶ εἰσῆλθον ὀπίσω αὐτῶν, πᾶσα ἡ ἵππος φαραὼ, καὶ τὰ ἅρματα, καὶ οἱ ἀναβάται εἰς μέσον τῆς θαλάσσης. ἐγένετο δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ, καὶ ἐπέβλεψε κύριος εἰς τὴν παρεμβολὴν τῶν αἰγυπτίων ἐν στύλῳ πυρὸς καὶ νεφέλης, καὶ συνετάραξε τὴν παρεμβολὴν αὐτῶν, καὶ συνέδησε τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἤγαγον αὐτοὺς μετὰ βίας. καὶ εἶπαν οἱ αἰγύπτιοι· φύγωμεν ἀπὸ προσώπου ἰσραὴλ, ὁ γὰρ κύριος πολεμεῖ ὑπὲρ αὐτῶν τοῖς αἰγυπτίοις. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκατασήτω τὸ ὕδωρ, καὶ ἐπικαλυψάτω τοὺς αἰγυπτίους ἐπί τε τὰ ἅρματα, καὶ ἐπὶ τοὺς ἀναβάτας. ἐξέτεινε δὲ μωϋσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκατέστη τὸ ὕδωρ πρὸς ἡμέραν ἐπὶ χώρας. οἱ δὲ αἰγύπτιοι ἔφυγον ὑπὸ τὸ ὕδωρ, καὶ ἐξετίναξε κύριος τοὺς αἰγυπτίους εἰς μέσον τῆς θαλάσσης, καὶ ἐπανασπάφη τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρματα, καὶ τοὺς ἀναβάτας, καὶ πᾶσαν τὴν δυνάμιν φαραὼ, τοὺς εἰσπορευομένους ὀπίσω αὐτῶν εἰς τὴν θάλασσαν, οὐκ ἀπελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. οἱ δὲ υἱοὶ ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης, τὸ δὲ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων. καὶ ἐρρύσατο κύριος τὸν ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρὸς τῶν αἰγυπτίων. καὶ εἶδον υἱοὶ ἰσραὴλ τοὺς αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης. εἶδε δὲ ἰσραὴλ τὴν χεῖρα τὴν μεγάλην, ἣ ἐποίησε κύριος τοῖς αἰγυπτίοις, καὶ ἐφοβήθη ὁ λαὸς τὸν κύριον, καὶ ἐπίστευσαν τῷ θεῷ, καὶ μωϋσεῖ τῷ θεράποντι αὐτοῦ. τότε ᾖσε μωϋσῆς, καὶ οἱ υἱοὶ ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ κυρίῳ, καὶ εἶπαν τῷ λέγειν.

ΚΕΦΑΛ. ιε'. 15.

Ασωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. οὗτός μου θεός, καὶ δοξάσω αὐτόν, θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν. κύριος συντρίβων πολέμους, κύριος ὄνομα αὐτῷ, ἅρματα φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν, ἐπίλεκτους ἀναβάτας τρισσοὺς κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ, πόντῳ ἐκάλυψεν αὐτούς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. ἡ δεξιά σου κύριε δεδόξασται ἐν ἰσχύι. ἡ δεξιά σου χεὶρ κύριε ἔθραυσεν ἐχθρούς, καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. ἀπέστειλας τὸν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην, καὶ ἐν πνεύματι τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ. ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης. εἶπεν ὁ ἐχθρός, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω τὴν ψυχήν μου, ἀνελῶ τὴν μαχαίρα μου, κυριεύσει ἡ χείρ μου. ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, ἐβύθισαν ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ. τίς ὅμοιός σοι ἐν θεοῖς κύριε, τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα. ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ. ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω, παρεκάλεσας τῇ ἰσχύι σου εἰς κατάλυμα ἅγιόν σου. ἤκουσαν ἔθνη καὶ ὠργίσθησαν, ὠδῖνες ἔλαβον κατοικοῦντας φυλιστιείμ. τότε ἐταράχθησαν ἡγεμόνες ἐδώμ, καὶ ἄρχοντες μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος· ἐτάκησαν πάντες οἱ κατοικοῦντες χανανάν, ἐπέπεσεν ἐπ' αὐτοὺς φόβος καὶ τρόμος· μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν, ἕως ἂν παρέλθῃ

παρελθη ὁ λαός σου οὗτος ὃν ἐκτήσω. εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον καταικητήριόν σου, ὃ κατειργάσω κύριε. ἁγίασμα κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου. κύριος βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι. ὅτι εἰσῆλθον ἵπποι φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θαλασσαν, καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς κύριος τὸ ὕδωρ τῆς θαλάσσης· οἱ δὲ υἱοὶ ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης. ἔλαβε δὲ μαριὰμ ἡ προφῆτις ἡ ἀδελφὴ ἀαρὼν τὸ τύμπανον ἐν τῇ χειρὶ αὐτῆς, καὶ ἐξῆλθοσαν πᾶσαι αἱ γυναῖκες ὀπίσω αὐτῆς μετὰ τυμπάνων καὶ χορῶν. ἐξῆρχε δὲ αὐτῶν μαριὰμ, λέγουσα· ἄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. ἐξῆρε δὲ μωϋσῆς τοὺς υἱοὺς ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον σούρ. καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ εὕρισκον ὕδωρ ὥς τε πεῖν. ἦλθον δὲ εἰς μερρὰ, καὶ οὐκ ἠδύναντο πεῖν ὕδωρ ἐκ μερρᾶς, πικρὸν γὰρ ἦν. διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, πικρία. καὶ διεγόγγυζον ὁ λαὸς κατὰ μωϋσῆ, λέγοντες· τί πόμεθα; ἐβόησε δὲ μωϋσῆς πρὸς κύριον, καὶ ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἔβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη. ἐκεῖ ἔθετο αὐτῷ δικαιώματα, καὶ κρίσεις. καὶ ἐκεῖ αὐτὸν ἐπείρασε, καὶ εἶπεν· ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ, καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον οὐ ἐπάξω ἐπὶ σὲ ἃς ἐπήγαγον τοῖς αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σὲ. ἐγὼ γάρ εἰμι κύριος ὁ ἰώμενός σε. καὶ ἦλθοσαν εἰς ἐλείμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα σελὴχ φοινίκων. παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα.

ΚΕΦΑΛ. ις'. 16.

Ἀπῆραν δὲ ἐξ ἐλείμ, καὶ ἦλθον πᾶσα συναγωγὴ υἱῶν ἰσραὴλ εἰς τὴν ἔρημον σίν, ὃ ἐστιν ἀνὰ μέσον ἐλείμ, καὶ ἀνὰ μέσον σινᾶ. τῇ δὲ πεντεκαιδεκάτῃ ἡμέρᾳ, τοῦ μηνὸς τοῦ δευτέρου, ἐξεληλυθότων αὐτῶν ἐκ γῆς αἰγύπτου, διεγόγγυσε πᾶσα συναγωγὴ υἱῶν ἰσραὴλ ἐπὶ μωϋσῆν καὶ ἀαρών, καὶ εἶπαν πρὸς αὐτοὺς οἱ υἱοὶ ἰσραὴλ· ὤφελον ἀπεθάνομεν πληγέντες ὑπὸ κυρίου ἐν γῇ αἰγύπτου, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν, καὶ ἐδιόμεν ἄρτους εἰς πλησμονήν, ὅτι ἐξηγάγετε ἡμᾶς εἰς τὴν ἔρημον ταύτην, ἀποκτεῖναι πᾶσαν τὴν συναγωγὴν ταύτην ἐν λιμῷ. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· ἰδοὺ ἐγὼ ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ, καὶ ἐξελεύσεται ὁ λαὸς, καὶ συλλέξουσι τὸ καθ' ἡμέραν εἰς ἡμέραν, ὅπως πειράσω αὐτοὺς εἰ πορεύσονται τῷ νόμῳ μου, ἢ οὔ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ, καὶ ἑτοιμάσουσι ὃ ἂν εἰσενέγκωσι, καὶ ἔσται διπλοῦν ὃ ἂν συναγάγωσι τὸ καθ' ἡμέραν εἰς ἡμέραν. εἶπε δὲ μωϋσῆς καὶ ἀαρών, πρὸς πᾶσαν συναγωγὴν υἱῶν ἰσραὴλ· ἑσπέρας γνώσεσθε ὅτι κύριος ἐξήγαγεν ὑμᾶς ἐκ γῆς αἰγύπτου, καὶ πρωὶ ὄψεσθε τὴν δόξαν κυρίου, ἐν τῷ εἰσακοῦσαι κύριον τὴν γογγυσμὸν ὑμῶν ἐπὶ τῷ θεῷ. ἡμεῖς γὰρ τί ἐσμεν, ὅτι γογγύζετε καθ' ἡμῶν; καὶ εἶπε μωϋσῆς· ἐν τῷ δοῦναι κύριον ὑμῖν ἑσπέρας κρέα φαγεῖν καὶ ἄρτους τὸ πρωὶ εἰς πλησμονήν, ἐν τῷ εἰσακοῦσαι κύριον τὸν γογγυσμὸν ὑμῶν, ὃν ὑμεῖς διαγογγύζετε καθ' ἡμῶν. ἡμεῖς δὲ τί ἐσμέν; οὐ γὰρ καθ' ἡμῶν ὁ γογγυσμὸς ὑμῶν ἐστιν, ἀλλ' ἢ κατὰ τοῦ θεοῦ. εἶπε δὲ μωϋσῆς πρὸς ἀαρών· εἶπον πάσῃ συναγωγῇ υἱῶν ἰσραὴλ· πρόσελθετε ἐναντίον τοῦ θεοῦ, εἰσακήκοε γὰρ τὸν γογγυσμὸν ὑμῶν. μόνον δὲ ἐλάλησε ἀαρὼν πάσῃ συναγωγῇ υἱῶν ἰσραὴλ, καὶ ἀπεστράφησαν εἰς τὴν ἔρημον, καὶ ἡ δόξα κυρίου ὤφθη ἐν νεφέλῃ, καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· εἰσακήκοα τὸν γογγυσμὸν τῶν υἱῶν ἰσραὴλ, λάλησον πρὸς αὐτοὺς λέγων· πρὸς ἑσπέραν ἔδεσθε κρέα, καὶ τὸ πρωὶ πλησθήσεσθε ἄρτων, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. ἐγένετο δὲ ἑσπέρας, καὶ ἀνέβη ὀρτυγομήτρα, καὶ ἐκάλυψε τὴν παρεμβολήν. τὸ πρωὶ δὲ ἐγένετο κατάπαυσις δρόσου κύκλῳ τῆς παρεμβολῆς, καὶ ἰδοὺ ὡσεὶ πρόσωπον τῆς ἐρήμου λεπτὸν ὡσεὶ κόριον λευκὸν, ὡσεὶ πάχος ὑπὸ τὴν γῆν. ἰδόντες δὲ αὐτὸ οἱ υἱοὶ ἰσραὴλ, εἶπαν ἕτερος τῷ ἑτέρῳ· τί ἐστιν τοῦτο; οὐ γὰρ ᾔδεισαν τί ἦν. εἶπε δὲ μωϋσῆς πρὸς αὐτούς· οὗτος ὁ ἄρτος ὃν ἔδωκε κύριος ὑμῖν φαγεῖν, καὶ τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος, συναγάγετε ἀφ' αὐτοῦ ἕκαστος εἰς τὸν καθήκοντα γομόρ, κατὰ κεφαλὴν κατὰ ἀριθμὸν ψυχῶν ὑμῶν, ἕκαστος τοὺς συσκήνους ὑμῶν συλλέξατε. καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ ἰσραὴλ, καὶ συνέλεξαν ὃ μὲν πολύ, καὶ ὃ μὲν ἔλαττον, καὶ ἐμέτρησαν τὸν γομόρ, καὶ οὐκ ἐπλεόνασεν ὃ τὸ πολύ, καὶ ὃ τὸ ἔλαττον, οὐκ ἠλαττόνησεν ἕκαστος εἰς τὸν καθήκοντα γομόρ. ἔλεγε δὲ μωϋσῆς πρὸς αὐτούς· μηδεὶς καταλιπέτω εἰς τὸ πρωὶ ἀπ' αὐτοῦ. καὶ οὐκ ἤκουσαν μωϋσῆ, ἀλλὰ κατέλιπόν τινες ἀφ' αὐτοῦ εἰς τὸ πρωί, καὶ ἐξέζεσε σκώληκας, καὶ ἐπώζεσε. καὶ ὠργίσθη μωϋσῆς ἐπ' αὐτούς. καὶ συνέλεξαν αὐτὸ πρωὶ πρωί, ἕκαστος τὸ καθῆκον αὐτῷ. ἡνίκα δὲ διεθέρμαινεν ὁ ἥλιος, ἐτήκετο. ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ ἕκτῃ, συνέλεξαν τὰ διπλᾶ, δύο γομὸρ ἀνὰ ἕνα. εἰσῆλθοσαν δὲ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς, καὶ ἀνήγγειλαν τῷ μωϋσῆ. εἶπε δὲ μωϋσῆς πρὸς αὐτούς· τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε κύριος, σάββατα ἀνάπαυσις ἁγία τῷ κυρίῳ, αὔριον ὅσα ἂν θέλητε θέσθαι, καὶ ὅσα ἂν ἕψητε ἕψεται, καὶ πᾶν τὸ πλεονάζον καταλείπετε αὐτὸ εἰς ἀφύλακτον τὸ πρωί. καὶ κατέλιπον ἀπ' αὐτοῦ ἕως πρωί,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαβὰ σωὶ ταξεν αὐτοῖς μωϋσῆς, καὶ ὀκ ἐπώζεσεν, οὐδὲ σκώληξ ἐγένετο ἐν αὐτῷ. εἶπε δὲ αὐτοῖς μωϋσῆς· φάγετε σήμερον, ἔστι γὰρ σάββατα κυρίῳ, σήμερον οὐχ εὑρήσετε ἐν τῷ πεδίῳ. ἓξ ἡμέρας συλλέξετε, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ὅτι οὐχ εὑρήσετε ἐν αὐτῇ. ἐγένετο δὲ ἐν ἑβδόμῃ ἡμέρᾳ, καὶ ἐξῆλθον τινες ἐκ τοῦ λαοῦ συλλέξαι, καὶ οὐχ εὗρον. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· ἕως τίνος οὐ βούλεσθε εἰσακούειν τὰς ἐντολάς μου, καὶ τὸν νόμον μου; ἰδέτε, ὁ γὰρ κύριος ἔδωκεν ὑμῖν σάββατα τῇ ἡμέραν ταύτην, διὰ τοῦτο αὐτὸς ἔδωκεν ὑμῖν τῇ ἡμέρᾳ τῇ ἕκτῃ ἄρτους δύο ἡμερῶν. καθίσασθε ἕκαστος παρ' ἑαυτῷ εἰς τοὺς οἴκους ὑμῶν, μηδεὶς ὑμῶν ἐκπορευέσθω ἐκ τοῦ τόπου αὐτοῦ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. καὶ ἐσαββάτισεν ὁ λαὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἐπωνόμασεν αὐτὸ οἶκος Ἰσραὴλ τὸ ὄνομα αὐτοῦ, μαν. ἦν δὲ ὡσεὶ σπέρμα κοριάνδρου λευκόν, τὸ δὲ γεῦμα αὐτοῦ ὡς ἐγκρὶς μέλιτι. εἶπε δὲ αὐτοῖς μωϋσῆς· τοῦτο τὸ ῥῆμα ὃ συνέταξεν ὁ κύριος, πλήσατε τὸ γομορ τοῦ μαν, εἰς ἀποθήκην εἰς τὰς γενεὰς ὑμῶν, ἵνα ἴδωσι τὸν ἄρτον ὃν ἐφάγετε ὑμεῖς ἐν τῇ ἐρήμῳ, ὡς ἀπήγαγον ὑμᾶς κύριος ἐκ γῆς Αἰγύπτου. καὶ εἶπε μωϋσῆς πρὸς ἀαρών· λάβε σεμνὸν χρυσοῦν ἕνα, καὶ ἐμβαλεῖς εἰς αὐτὸν πλῆρες τὸ γομορ τοῦ μαν, καὶ ἀποθήσεις αὐτὸ ἐναντίον τοῦ θεοῦ, εἰς διατήρησιν εἰς τὰς γενεὰς ὑμῶν, ὃν τρόπον συνέταξε κύριος μωϋσεῖ. καὶ ἀπέθηκεν ἀαρὼν ἐναντίον τοῦ μαρτυρίου εἰς διατήρησιν. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἔφαγον τὸ μαν ἔτη τεσσαράκοντα, ἕως ἦλθον εἰς γῆν οἰκουμένην. τὸ μαν ἔφαγον, ἕως παρεγένοντο εἰς μέρος τῆς Φοινίκης. τὸ δὲ γομορ, τὸ δέκατον τῶν τριῶν μέτρων ἐστίν.

ΚΕΦΑΛ. ιζ'. 17.

ΚΑΙ ἀπῆρε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἐκ τῆς ἐρήμου Σίν, κατὰ παρεμβολὰς αὐτῶν διὰ ῥήματος θεοῦ. καὶ παρεγένετο ἐν Ῥαφιδείμ. οὐκ ἦν δὲ ὕδωρ τῷ λαῷ πιεῖν. καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς μωϋσῆν, καὶ ἔλεγον· δὸς ἡμῖν ὕδωρ, ἵνα πίωμεν. καὶ εἶπεν αὐτοῖς μωϋσῆς· τί λοιδορεῖσθέ μοι, καὶ τί πειράζετε κύριον; ἐδίψησε δὲ ἐκεῖ ὁ λαὸς ὕδατι, καὶ διεγόγγυζεν ὁ λαὸς ἐπὶ μωϋσῆν, λέγοντες· ἵνατί τοῦτο ἀνεβίβασας ἡμᾶς ἐξ Αἰγύπτου, ἀποκτεῖναι ἡμᾶς, καὶ τὰ τέκνα ἡμῶν, καὶ τὰ κτήνη ἡμῶν τῷ δίψει; ἐβόησε δὲ μωϋσῆς πρὸς κύριον λέγων· τί ποιήσω τῷ λαῷ τούτῳ; ἔτι μικρὸν καὶ καταλιθοβολήσουσί με. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· πρόσπορεύου τοῦ λαοῦ τούτου, λάβε δὲ μετὰ σεαυτοῦ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ τὴν ῥάβδον σου, ἣν ἐπάταξας τὸν ποταμόν, λαβὲ ἐν τῇ χειρί σου, καὶ πορεύσῃ, ὥσπερ ἐγὼ ἔστηκα πρὸ τοῦ ἐκεῖ σε ἐλθεῖν ἐπὶ τὴν πέτραν ἐν Χωρήβ, καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ, καὶ πίεται ὁ λαός. καὶ ἐποίησε μωϋσῆς οὕτως ἐναντίον τῶν υἱῶν Ἰσραήλ. καὶ ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, πρόφασις καὶ λοιδορήσεις, διὰ τὴν λοιδορίαν τῶν υἱῶν Ἰσραήλ, καὶ διὰ τὸ πειράζειν κύριον λέγοντας, εἰ ἔστι κύριος ἐν ἡμῖν ἢ οὔ. ἦλθε δὲ Ἀμαλήκ, καὶ ἐπολέμει τῷ Ἰσραὴλ ἐν Ῥαφιδείμ. εἶπε δὲ μωϋσῆς τῷ Ἰησοῦ· ἐπίλεξαι σεαυτῷ ἄνδρας, καὶ ἐξελθὼν πρόταξαι τῷ Ἀμαλὴκ αὔριον. καὶ ἰδοὺ ἐγὼ ἔστηκα ἐπὶ τοῦ βουνοῦ τὴν κορυφὴν τοῦ βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ θεοῦ ἐν τῇ χειρί μου. καὶ ἐποίησεν Ἰησοῦς καθάπερ εἶπεν αὐτῷ μωϋσῆς, καὶ προετάξατο τῷ Ἀμαλήκ. καὶ μωϋσῆς, καὶ ἀαρὼν, καὶ ὡρ ἀνέβησαν ἐπὶ τὸν κορυφαῖον τοῦ βουνοῦ. καὶ ἐγένετο ὅταν ἐπῆρε μωϋσῆς τὰς χεῖρας αὐτοῦ, κατίσχυεν Ἰσραήλ. ὅταν δὲ καθῆκε τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ. αἱ δὲ χεῖρες μωϋσῆ βαρεῖαι, καὶ λαβόντες λίθον ὑπέθηκαν ὑπ' αὐτόν, καὶ ἐκάθητο ἐπ' αὐτοῦ, καὶ ἀαρὼν καὶ ὡρ ἐστήριζον τὰς χεῖρας αὐτοῦ ἐντεῦθεν εἷς, καὶ ἐντεῦθεν εἷς. καὶ ἐγένοντο αἱ χεῖρες μωϋσέως ἐστηριγμέναι, ἕως δυσμῶν ἡλίου. καὶ ἐτρέψατο Ἰησοῦς τὸν Ἀμαλὴκ, καὶ πάντα τὸν λαὸν αὐτοῦ, ἐν φόνῳ μαχαίρας. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· γράψον τοῦτο εἰς μνημόσυνον ἐν βιβλίῳ, καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῦ, ὅτι ἀλοιφῇ ἐξαλείψω τὸ μνημόσυνον Ἀμαλὴκ, ἐκ τοῦ ὑποκάτω τῶν οὐρανῶν. καὶ ᾠκοδόμησε μωϋσῆς θυσιαστήριον τῷ κυρίῳ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, κύριός μου καταφυγή, ὅτι ἐν χειρὶ κυρίου πολεμεῖ κύριος ἐπὶ Ἀμαλὴκ, ἀπὸ γενεῶν εἰς γενεάς.

ΚΕΦΑΛ. ιή. 18.

ΗΚουσε δὲ ἰωθὼρ ἱερεὺς Μαδιὰμ ὁ πενθερὸς μωϋσῆ, πάντα ὅσα ἐποίησε κύριος Ἰσραὴλ τῷ ἑαυτοῦ λαῷ, ἐξήγαγε γὰρ κύριος τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου. ἔλαβε δὲ ἰωθὼρ ὁ πενθερὸς μωϋσῆ, σεπφώραν τὴν γυναῖκα μωϋσῆ, μετὰ τὴν ἄφεσιν αὐτῆς, καὶ τοὺς δύο υἱοὺς αὐτῆς, ὄνομα τῷ ἑνὶ Γηρσάμ, λέγων· πάροικος ἤμην ἐν γῇ ἀλλοτρίᾳ. καὶ ὄνομα τῷ δευτέρῳ Ἐλιέζερ, λέγων· ὁ γὰρ θεὸς τοῦ πατρός μου βοηθός μου, καὶ ἐξείλετό με ἐκ χειρὸς Φαραώ. καὶ ἦλθεν ἰωθὼρ ὁ πενθερὸς μωϋσῆ, καὶ οἱ υἱοὶ, καὶ ἡ γυνὴ πρὸς μωϋσῆν εἰς τὴν ἔρημον, οὗ παρενέβαλεν ἐκεῖ ὄρος τοῦ θεοῦ. ἀπήγγειλε δὲ μωϋσῆ λέγοντες· ἰδοὺ ἰωθὼρ ὁ πενθερός σε παραγίνεται πρὸς σέ, καὶ οἱ δύο υἱοί σου μετ' αὐτοῦ. ἐξῆλθε δὲ μωϋσῆς εἰς συνάντησιν τῷ πενθερῷ αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ, καὶ ἐφίλησεν αὐτὸν, καὶ ἠσπάσαντο ἀλλήλους, καὶ εἰσήγαγεν αὐτὸν μωϋσῆς εἰς τὴν σκηνήν, καὶ διηγήσατο μωϋσῆς τῷ πενθερῷ αὐτοῦ πάντα ὅσα ἐποίησε κύριος τῷ Φαραὼ, καὶ τοῖς αἰγυπτίοις ἕνεκεν τοῦ Ἰσραήλ. καὶ πάντα τὸν μόχθον τὸν γενόμενον αὐτοῖς ἐν τῇ ὁδῷ, καὶ ὅτι ἐξείλετο αὐτοὺς κύριος ἐκ χειρὸς Φαραὼ, καὶ ἐκ χειρὸς Αἰγυπτίων. ἐξε-

su

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ση δὲ Ἰωθὼρ ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς, οἷς ἐποίησε Κύριος αὐτοῖς, ὅτι ἐξεῖλε αὐτοὺς Κύριος ἐκ χειρὸς τῶν Αἰγυπτίων, καὶ ἐκ χειρὸς Φαραώ. καὶ εἶπεν Ἰωθὼρ· εὐλογητὸς Κύριος, ὅτι ἐξείλετο τὸν λαὸν αὐτοῦ ἐκ χειρὸς τῶν Αἰγυπτίων, καὶ ἐκ χειρὸς Φαραώ. νῦν ἔγνων ὅτι μέγας Κύριος παρὰ πάντας τοὺς θεούς, ὧν ἕνεκεν τούτου ὅτι ἐταπείνωσε αὐτούς. καὶ ἔλαβεν Ἰωθὼρ ὁ πενθερὸς Μωϋσῆ, ὁλοκαυτώματα καὶ θυσίας τῷ θεῷ. παρεγένετο δὲ Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ συμφαγεῖν ἄρτον μετὰ τοῦ πενθεροῦ Μωϋσῆ ἔναντι τοῦ θεοῦ. καὶ ἐγένετο μετὰ τὸ ἐπαύριον, συνεκάθισε Μωϋσῆς κρῖναι τὸν λαόν. παρεστήκει δὲ τοῖς ὁ λαὸς Μωϋσῆ ἀπὸ πρωΐθεν ἕως ἑσπέρας. καὶ ἰδὼν Ἰωθὼρ πάντα ὅσα ἐποίει τῷ λαῷ, λέγει· τί τοῦτο ὃ σὺ ποιεῖς τῷ λαῷ; διατὶ μόνος κάθησαι, πᾶς δὲ ὁ λαὸς παρέστηκε σοι ἀπὸ πρωΐθεν ἕως δείλης. καὶ λέγει Μωϋσῆς τῷ πενθερῷ· ὅτι παραγίνεται ὁ λαὸς πρός με, ἐκζητῆσαι κρίσιν παρὰ τοῦ θεοῦ. ὅταν γὰρ γένηται αὐτοῖς ἀντιλογία, καὶ ἔλθωσι πρός με, διακρίνω ἕκαστον, καὶ συμβιβάζω αὐτοὺς τὰ προστάγματα τοῦ θεοῦ, καὶ τὸν νόμον αὐτοῦ. εἶπε δὲ ὁ πενθερὸς Μωϋσῆ πρὸς αὐτόν· οὐκ ὀρθῶς σὺ ποιεῖς ῥῆμα τοῦτο· φθορᾷ κατεφθαρήσῃ καὶ σύ, καὶ πᾶς ὁ λαὸς οὗτος ὃς ἐστι μετὰ σοῦ. βαρύ σοι τὸ ῥῆμα τοῦτο, δ᾽ ἰσχύσῃ ποιεῖν σὺ μόνος. νῦν οὖν ἄκουσόν μου, καὶ συμβουλεύσω σοι, καὶ ἔσται ὁ θεὸς μετὰ σοῦ. γίνου σὺ τῷ λαῷ τὰ πρὸς τὸν θεόν, καὶ αἰσεις τοὺς λόγους αὐτῶν πρὸς τὸν θεόν, καὶ διαμαρτύρῃ αὐτοῖς τὰ προστάγματα τοῦ θεοῦ, καὶ τὸν νόμον αὐτοῦ, καὶ σημανεῖς αὐτοῖς τὰς ὁδοὺς ἃς πορεύσονται ἐν αὐταῖς, καὶ τὰ ἔργα ἃ ποιήσουσι. καὶ σὺ σκεψαι ἀπὸ παντὸς τοῦ λαοῦ ἄνδρας δυνατοὺς, καὶ θεοσεβεῖς, ἄνδρας δικαίους, μισοῦντας συμφοράν, καὶ κατάστησεις αὐτοὺς ἐπ᾽ αὐτοῦ χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκαδάρχους, καὶ γραμματοεισαγωγεῖς, καὶ κρινοῦσι τὸν λαὸν πᾶσαν ὥραν. τὸ δὲ ῥῆμα τὸ χαλεπὸν ἀνοίσουσι πρὸς σέ, τὰ δὲ βραχέα τῶν κριμάτων κρινοῦσι αὐτοί, καὶ κουφιοῦσι ἀπὸ σοῦ, καὶ συναντιλήψονταί σοι. ἐὰν τὸ ῥῆμα τοῦτο ποιήσῃς, κατισχύσει σε ὁ θεός, καὶ δυνήσῃ παρασῆναι· καὶ πᾶς ὁ λαὸς οὗτος ἥξει εἰς τὸν ἑαυτοῦ τόπον μετ᾽ εἰρήνης. ἤκουσε δὲ Μωϋσῆς τῆς φωνῆς τοῦ πενθεροῦ αὐτοῦ, καὶ ἐποίησε πάντα ὅσα εἶπεν αὐτῷ. καὶ ἐπέλεξε Μωϋσῆς ἄνδρας δυνατοὺς ἀπὸ παντὸς Ἰσραὴλ, καὶ ἐποίησεν αὐτοὺς ἐπ᾽ αὐτῶν χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκαδάρχους, καὶ γραμματοεισαγωγεῖς, καὶ ἐκρινον τὸν λαὸν πᾶσαν ὥραν. τὸ δὲ ῥῆμα τὸ χαλεπὸν ἀνέφερον ἐπὶ Μωϋσῆν, πᾶν δὲ ῥῆμα ἐλαφρὸν ἔκρινον αὐτοί. ἐξαπέστειλε δὲ Μωϋσῆς τὸν πενθερὸν αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

ΚΕΦΑΛ. ιθ'. 19.

Τοῦ δὲ μηνὸς τοῦ τρίτου τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου τῇ ἡμέρᾳ ταύτῃ ἦλθον εἰς τὴν ἔρημον Σινᾶ, καὶ ἐξῆραν ἐκ Ῥαφιδείμ, καὶ ἦλθον εἰς τὴν ἔρημον τοῦ Σινᾶ, καὶ παρενέβαλον ἐκεῖ Ἰσραὴλ κατέναντι τοῦ ὄρους. καὶ Μωϋσῆς ἀνέβη εἰς τὸ ὄρος τοῦ θεοῦ, καὶ ἐκάλεσεν αὐτὸν ὁ θεὸς ἐκ τοῦ ὄρους λέγων· τάδε ἐρεῖς τῷ οἴκῳ Ἰακώβ, καὶ ἀναγγελεῖς τοῖς υἱοῖς Ἰσραήλ· αὐτοὶ ἑωράκατε ὅσα πεποίηκα τοῖς Αἰγυπτίοις, καὶ ἀνέλαβον ὑμᾶς ὡς ἐπὶ πτερύγων ἀετῶν, καὶ προσηγαγόμην ὑμᾶς πρός ἐμαυτόν, καὶ νῦν ἐὰν ἀκοῇ ἀκούσητε τῆς φωνῆς μου, καὶ φυλάξητε τὴν διαθήκην μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν. ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ. ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα, καὶ ἔθνος ἅγιον. ταῦτα τὰ ῥήματα ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ. ἦλθε δὲ Μωϋσῆς, καὶ ἐλάλησε πρὸς οὓς προσετάξατο αὐτῷ λαόν· καὶ εἶπε, καὶ παρέθηκεν αὐτοῖς πάντας τοὺς λόγους τούτους, οὓς συνέταξεν αὐτοῖς ὁ θεός. ἀπεκρίθη δὲ πᾶς ὁ λαὸς ὁμοθυμαδόν, καὶ εἶπαν· πάντα ὅσα εἶπεν ὁ θεὸς ποιήσομεν, καὶ ἀκουσόμεθα. καὶ ἀνήγγειλε Μωϋσῆς τοὺς λόγους τοῦ λαοῦ πρὸς τὸν θεόν. εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· ἰδοὺ ἐγὼ παραγίνομαι πρός σε ἐν νεφέλῃ, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρός σε, καὶ εἰς τὸν αἰῶνα. ἀνήγγειλε δὲ Μωϋσῆς τὰ ῥήματα τοῦ λαοῦ πρὸς τὸν Κύριον. εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· κατάβας διαμαρτύρω τῷ λαῷ, καὶ ἁγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην. τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ, καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, ἐναντίον παντὸς τοῦ λαοῦ. καὶ ἀφοριεῖς τὸν λαὸν κύκλῳ, λέγων· προσέχετε ἑαυτοῖς τοῦ ἀναβαίνειν εἰς τὸ ὄρος, καὶ θίγειν τι αὐτοῦ. πᾶς ὁ ἁψάμενος τοῦ ὄρους, θανάτῳ τελευτήσει. οὐχ ἅψεται αὐτοῦ χείρ. ἐν γὰρ λίθοις λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται. ἐάν τε κτῆνος, ἐάν τε ἄνθρωπος, οὐ ζήσεται. ὅταν δὲ αἱ φωναὶ καὶ αἱ σάλπιγγες καὶ ἡ νεφέλη ἀπέλθῃ ἀπὸ τοῦ ὄρους, ἐκεῖνοι ἀναβήσονται εἰς τὸ ὄρος. κατέβη δὲ Μωϋσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαόν, καὶ ἡγίασεν αὐτούς, καὶ ἔπλυναν τὰ ἱμάτια αὐτῶν. καὶ εἶπε τῷ λαῷ· γίνεσθε ἕτοιμοι, τρεῖς ἡμέρας μὴ προσέλθητε γυναικί. ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρωΐ, ἤρξαντο φωναὶ, καὶ ἀστραπαὶ, καὶ νεφέλαι γνοφώδεις ἐπ᾽ ὄρους Σινᾶ, φωνὴ σάλπιγγος ἦχει μέγα. καὶ ἐπτοήθη πᾶς ὁ λαὸς, ὁ ἐν τῇ παρεμβολῇ, καὶ ἐξήγαγε Μωϋσῆς τὸν λαὸν εἰς τὴν συναντησιν τοῦ θεοῦ, ἐκ τῆς παρεμβολῆς, καὶ παρέστησαν ὑπὸ τὸ ὄρος. τὸ ὄρος τὸ Σινᾶ ἐκαπνίζετο ὅλον, διὰ τὸ καταβεβηκέναι ἐπ᾽ αὐτὸ τὸν θεὸν ἐν πυρί. ἀνέβαινε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ὁ λαὸς, ὡσεὶ λαοῦ μόνου, καὶ ἔστη πᾶς ὁ λαὸς σφόδρα. ἐγένοντο δὲ αἱ φωναὶ ἡ σάλπιγξ, προβαίνουσα ἰσχυρότερα σφόδρα. μωϋσῆς ἐλάλει, ὁ δὲ θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ. κατέβη δὲ κύριος ἐπὶ τὸ ὄρος τὸ σινᾶ, ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἐκάλεσε κύριος μωϋσῆν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἀνέβη μωϋσῆς. καὶ εἶπεν ὁ θεὸς πρὸς αὐτὸν λέγων· καταβὰς διαμαρτύρασαι τῷ λαῷ, μήποτε ἐγγίσωσι πρὸς τὸν θεὸν καταπαῦσαι, καὶ πέσωσιν ἐξ αὐτῶν πλῆθος. οἱ δὲ ἐγγιζόντων ἱερεῖς κυρίῳ τῷ θεῷ ἁγιασθήτωσαν, μήποτε ἀπαλλάξῃ ἀπ' αὐτῶν κύριος. καὶ εἶπε μωϋσῆς πρὸς τὸν θεόν· ὁ λαὸς προσαναβῆναι εἰς τὸ ὄρος τὸ σινᾶ, σὺ γὰρ διεμαρτύρησαι ἡμῖν, λέγων· ἄφορισαι τὸ ὄρος, καὶ ἁγίασαι αὐτό. καὶ εἶπεν αὐτῷ κύριος· βάδιζε, κατάβηθι, καὶ ἀναβήθι σὺ καὶ ἀαρὼν μετὰ σοῦ, οἱ δὲ ἱερεῖς καὶ ὁ λαὸς μὴ βιαζέσθωσαν ἀναβῆναι πρὸς τὸν θεόν, μήποτε ἀπολέσῃ ἀπ' αὐτῶν κύριος. καταβὰς δὲ μωϋσῆς πρὸς τὸν λαὸν, καὶ εἶπεν αὐτοῖς.

ΚΕΦΑΛ. κ'. 20.

Καὶ ἐλάλησε κύριος πάντας τοὺς λόγους τούτους πρὸς μωϋσῆν, λέγων· ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς αἰγύπτου, ἐξ οἴκου δουλείας, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ, οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑπὸ κάτω τῆς γῆς, οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου. οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ, οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων, ἁγιάζειν αὐτήν. ἓξ ἡμέρας ἐργᾷ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου. τῇ ἑβδόμῃ ἡμέρᾳ σάββατα κυρίῳ τῷ θεῷ σου, οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ οἱ υἱοί σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν σου, καὶ παν κτῆνός σου, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί. ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε κύριος τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. διὰ τοῦτο εὐλόγησε κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν. τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς ἧς κύριος ὁ θεός σου δίδωσί σοι. οὐ φονεύσεις. οὐ μοιχεύσεις. οὐ κλέψεις. οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ, ὅσα τοῦ πλησίον σού ἐστι. πᾶς δὲ ὁ λαὸς ἑώρα τὴν φωνὴν, καὶ τὰς λαμπάδας, καὶ τὴν φωνὴν τῆς σάλπιγγος, καὶ τὸ ὄρος καπνίζον. φοβηθέντες δὲ πᾶς ὁ λαὸς ἔστησαν μακρόθεν, καὶ εἶπε πρὸς μωϋσῆν· λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, μήποτε ἀποθάνωμεν. καὶ λέγει αὐτοῖς μωϋσῆς· θαρσεῖτε, γνῶναι γὰρ τὸ πειρᾶσαι ὑμᾶς ἦλθεν ὁ θεὸς πρὸς ὑμᾶς, ὅπως αὖ γένηται ὁ φόβος αὐτοῦ ἐν ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε. εἰσῆκει δὲ πᾶς ὁ λαὸς μακρόθεν, μωϋσῆς δὲ εἰσῆλθεν εἰς τὸν γνόφον ἔνθα ὁ θεός. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· τάδε ἐρεῖς τοῖς οἴκῳ ἰακὼβ, καὶ ἀναγγελεῖς τοῖς υἱοῖς ἰσραήλ· ὑμεῖς ἑωράκατε ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα πρὸς ὑμᾶς, οὐ ποιήσετε ἑαυτοῖς θεοὺς ἀργυροῦς, καὶ θεοὺς χρυσοῦς, οὐ ποιήσετε ὑμῖν αὐτοῖς θυσιαστήριον. ἐκ γῆς ποιήσετέ μοι, καὶ θύσετε ἐπ' αὐτῷ τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ σωτήρια ὑμῶν, τὰ πρόβατα, καὶ τοὺς μόσχους ὑμῶν· ἐν παντὶ τόπῳ, οὗ ἐὰν ἐπονομάσω τὸ ὄνομά μου ἐκεῖ. καὶ ἥξω πρὸς σε, καὶ εὐλογήσω σε. ἐὰν δὲ θυσιαστήριον ἐκ λίθων ποιήσῃς μοι, οὐκ οἰκοδομήσεις αὐτοὺς τμητούς. ὁ γὰρ ἐγχειρίδιόν σου ἐπιβέβληκας ἐπ' αὐτὸ, καὶ μεμίανται. οὐκ ἀναβήσῃ ἀναβαθμίσιν ἐπὶ τὸ θυσιαστήριόν μου, ὅπως μὴ ἀποκαλύψῃς τὴν ἀσχημοσύνην σου ἐπ' αὐτό.

ΚΕΦΑΛ. κά. 21.

Καὶ ταῦτα τὰ δικαιώματα ἃ παραθήσεις αὐτοῖς. ἐὰν κτήσῃ παῖδα ἑβραῖον, ἓξ ἔτη δουλεύσει σοι, τῷ δὲ ἑβδόμῳ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον δωρεάν. ἐὰν δὲ αὐτὸς μόνος εἰσέλθῃ, καὶ μόνος ἐξελεύσεται· ἐὰν δὲ γυνὴ συνεισέλθῃ μετ' αὐτοῦ, καὶ ἡ γυνὴ συνεξελεύσεται μετ' αὐτοῦ. ἐὰν δὲ ὁ κύριος δῶ αὐτῷ γυναῖκα, καὶ τέκνοι αὐτῷ ἔσονται, καὶ θυγατέρας, ἡ γυνὴ καὶ τὰ παιδία ἔσται τοῦ κυρίου αὐτοῦ, αὐτὸς δὲ μόνος ἐξελεύσεται μετ' αὐτοῦ. ἐὰν δὲ ἀποκριθεὶς εἴπῃ ὁ παῖς, ἠγάπηκα τὸν κύριόν μου, καὶ τὴν γυναῖκά μου, καὶ τὰ παιδία μου, οὐκ ἀποστρέχω ἐλεύθερος, προσαχθήσεται αὐτὸν ὁ κύριος αὐτοῦ πρὸς τὸ κριτήριον τοῦ θεοῦ, καὶ τότε προσαχθήσεται αὐτὸν πρὸς τὴν θύραν ἐπὶ τὸν σταθμόν, καὶ τρυπήσει αὐτοῦ ὁ κύριος τὸ οὖς τῷ ὀπητίῳ, καὶ δουλεύσει αὐτῷ εἰς τὸν αἰῶνα. ἐὰν δέ τις ἀποδῶται τὴν ἑαυτοῦ θυγατέρα οἰκέτην, οὐκ ἐξελεύσεται ὡσαύτως ἀφ' ἧς ἐδούλευε. ἐὰν μὴ ἀρέσῃ τῷ δεσπότῃ

φθαλμοῖς

φθαλμοῖς τῷ λυρίῳ αὐτῆς, ἵνα οὐ λαθωμολογήσατο αὐτῷ, ἀπολυτρώσει αὐτῷ. ἔθνει δὲ ἀλλοτρίῳ οὐ κύριος ὅτι πωλεῖν αὐτῷ, διότι ἠθέτησεν ἐν αὐτῇ. ἐὰν δὲ τῷ υἱῷ αὐτοῦ λαθωμολογήσηται αὐτῷ, κατὰ τὸ δίκαιωμα τῶν θυγατέρων ποιήσει αὐτῇ. ἐὰν δὲ ἄλλην λάβῃ ἑαυτῷ, τὰ δέοντα, καὶ τὴν ὁμαλισμόν, καὶ τὴν ὁμιλίαν αὐτῆς οὐκ ἀπερεῖται. ἐὰν δὲ τὰ τρία ταῦτα μὴ ποιήσῃ αὐτῇ, ἐξελεύσεται δωρεὰν ἄνευ ἀργυρίου. ἐὰν ὃ πατάξῃ τις ἄνδρα, καὶ ἀποθάνῃ, θανάτῳ θανατωθήσεται. εἰ δὲ οὐκ ἐπῆν, ἀλλὰ ὁ θεὸς παρέδωκεν εἰς τὰς χεῖρας αὐτοῦ, δώσω σοι τόπον, οὗ φεύξεται ἐκεῖ ὁ φονεύσας. ἐὰν δέ τις ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ, καὶ καταφύγῃ ἀπὸ τοῦ θυσιαστηρίου, ἀπὸ τοῦ θυσιαστηρίου μου λήψῃ αὐτὸν θανατῶσαι. Ος τύπτει πατέρα αὐτοῦ, ἢ μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω. ὁ καταλοιδορῶν πατέρα αὐτοῦ, ἢ μητέρα αὐτοῦ, θανάτῳ τελευτάτω. Ος ἐὰν κλέψῃ τίς ἄνδρα τῶν υἱῶν Ἰσραὴλ, καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, καὶ εὑρεθῇ ἐν αὐτῷ, θανάτῳ τελευτάτω. Ἐὰν δὲ λοιδορῶνται δύο ἄνδρες, καὶ πατάξωσι τὸν πλησίον λίθῳ ἢ πυγμῇ, καὶ μὴ ἀποθάνῃ, καταπεσὼν δὲ ἐπὶ τὴν κλίνην, ἐὰν ἀναστὰς ὁ ἄνθρωπος περιπατήσῃ ἔξω ἐπὶ ῥάβδου, ἀθῷος ἔσται ὁ πατάξας, πλὴν τὴν ἀργίας αὐτοῦ ἀποτίσει, καὶ τὰ ἰατρεῖα. ἐὰν δέ τις πατάξῃ τὸν παῖδα αὐτοῦ, ἢ τὴν παιδίσκην αὐτοῦ ἐν ῥάβδῳ, καὶ ἀποθάνῃ ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκῃ ἐκδικηθήσεται. ἐὰν δὲ ἡμέραν μίαν, ἢ δύο, οὐκ ἐκδικηθήσεται. τὸ γὰρ ἀργύριον αὐτοῦ ἐστιν. Ἐὰν δὲ μάχωνται δύο ἄνδρες, καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἐχούσαν, καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ζημίωσις ζημιωθήσεται, καθότι ἐὰν ἐπιβάλῃ ὁ ἀνὴρ τῆς γυναικὸς, καὶ δώσει μετὰ ἀξιώματος. ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρός, πόδα ἀντὶ ποδός, καῦσιν ἀντὶ καυσίματος, τραῦμα ἀντὶ τραύματος, μώλωπα ἀντὶ μώλωπος. ἐὰν δέ τις πατάξῃ τὸν ὀφθαλμὸν τοῦ οἰκέτου αὐτοῦ, ἢ τὸν ὀφθαλμὸν τῆς θεραπαίνης αὐτοῦ, καὶ ἐκτυφλώσῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς αὐτὶ τοῦ ὀφθαλμοῦ αὐτῶν. ἐὰν δὲ τὸν ὀδόντα τοῦ οἰκέτου, ἢ τὸν ὀδόντα τῆς θεραπαίνης αὐτοῦ ἐκκόψῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς αὐτὶ τοῦ ὀδόντος αὐτῶν. ἐὰν δὲ διορατίσηται ἄνδρας ἢ γυναῖκα, καὶ ἀποθάνῃ, λίθοις λιθοβοληθήσεται ὁ ταῦρος, καὶ οὐ βρωτὸν τὰ μέρη αὐτοῦ. ὁ δὲ κύριος τοῦ ταύρου ἀθῷος ἔσται. ἐὰν δὲ ὁ ταῦρος διερασθὴς τις ἦν πρὸ τοῦ χθὲς, καὶ πρὸ τοῦ τρίτης, καὶ διαμεμαρτύρωνται τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀνέλῃ δὲ ἄνδρα ἢ γυναῖκα, λιθοβοληθήσεται ὁ ταῦρος, καὶ ὁ κύριος αὐτοῦ θανατωθήσεται. ἐὰν δὲ λύτρα ἐπιβαρυνθῇ αὐτῷ, δώσει λύτρα τῆς ψυχῆς αὐτοῦ, ὅσα ἐὰν ἐπιβάλωσιν αὐτῷ. ἐὰν δὲ υἱὸν ἢ θυγατέρα διορατίσῃ, κατὰ τὸ δίκαιωμα τοῦτο ποιήσουσιν αὐτῷ. ἐὰν δὲ παῖδα διερατίσῃ ὁ ταῦρος, ἢ παιδίσκην, ἀργύριον τριάκοντα δίδραχμα δώσει τῷ κυρίῳ αὐτῶν, καὶ ὁ ταῦρος λιθοβοληθήσεται. ἐὰν δέ τις ἀνοίξῃ λάκκον, ἢ λατομήσῃ λάκκον, καὶ μὴ καλύψῃ αὐτὸν, ἐμπέσῃ δὲ ἐκεῖ μόσχος, ἢ ὄνος, ὁ κύριος τοῦ λάκκου ἀποτίσει, ἀργύριον δώσει τῷ κυρίῳ αὐτῶν, τὸ δὲ τεθνηκὸς αὐτῷ ἔσται. Ἐὰν δὲ διορατίσῃ τινὸς ταῦρος τοῦ ταῦρον τοῦ πλησίον, καὶ τελευτήσῃ, ἀποδώσουσι τὸν ταῦρον τὸν ζῶντα, καὶ διελοῦσι τὸ ἀργύριον αὐτοῦ. καὶ τὸν τεθνηκότα ταῦρον διελοῦσι. ἐὰν δὲ γνωρίζηται ὁ ταῦρος ὅτι διορατὴς ὁδὸς τοῦ χθὲς καὶ πρὸ τῆς τρίτης, καὶ διεμεμαρτυρημένοι ὦσι τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀποτίσει ταῦρον ἀντὶ ταύρου, τὸ δὲ τεθνηκὸς αὐτῷ ἔσται.

ΚΕΦΑΛ. κβ'. 22.

Ἐὰν δέ τις κλέψῃ μόσχον, ἢ πρόβατον, καὶ σφάξῃ αὐτὸ, καὶ ἀποδῶται, πέντε μόσχους ἀποτίσει ἀντὶ τοῦ μόσχου, καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου. Ἐὰν δὲ ἐν τοίχῳ δι' ὀρύγματι εὑρεθῇ ὁ κλέπτης, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος. ἐὰν δὲ ἥλιος ἀνατείλῃ ἐπ' αὐτῷ, φόνος ἐστὶν, αὐτὰ ἀποθανεῖται. ἐὰν δὲ μὴ ἔχῃ αὐτῷ, πραθήτω ἀντὶ τοῦ κλέμματος. ἐὰν δὲ καταληφθῇ, καὶ εὑρεθῇ ἐν τῇ χειρὶ αὐτοῦ τὸ κλέμμα ἀπὸ βοὸς ἕως προβάτου ζῶντα, διπλᾶ αὐτὰ ἀποτίσει. Ἐὰν δὲ καταβοσκήσῃ τις ἀγρὸν, ἢ ἀμπελῶνα, καὶ ἀφῇ τὸ κτῆνος αὐτοῦ, καταβοσκῆσαι ἀγρὸν ἕτερον, ἀποτίσει ἐκ τοῦ ἀγροῦ αὐτοῦ κατὰ τὸ γένημα αὐτοῦ. ἐὰν δὲ πάντα τὸν ἀγρὸν καταβοσκήσῃ, τὰ βέλτιστα τοῦ ἀγροῦ αὐτοῦ, καὶ τὰ βέλτιστα τοῦ ἀμπελῶνος αὐτοῦ ἀποτίσει. Ἐὰν δὲ ἐξελθὼν πῦρ εὕρῃ ἀκάνθας, καὶ προσεμπρήσῃ ἅλωνας, ἢ σωρὸν, ἢ πεδίον, ἀποτίσει ὁ ἐμπρήσας. Ἐὰν δέ τις δῷ τῷ πλησίον ἀργύριον, ἢ σκεῦη φυλάξαι, καὶ κλαπῇ ἐκ τῆς οἰκίας τοῦ ἀνθρώπου, ἐὰν εὑρεθῇ ὁ κλέψας, ἀποτίσει διπλοῦν. ἐὰν δὲ μὴ εὑρεθῇ ὁ κλέψας, προσελεύσεται ὁ κύριος τῆς οἰκίας ἐνώπιον τοῦ θεοῦ, καὶ ὀμεῖται ἢ μὴν μὴ αὐτὸς ἐπονηρεύσατο ἐφ' ὅλης τῆς παρακαταθήκης τοῦ πλησίον κατὰ πᾶν ῥῆμα ἀδίκημα, περὶ τε μόσχου, καὶ ὑποζυγίου, καὶ προβάτου, καὶ ἱματίου, καὶ πάσης ἀπωλείας τῆς ἐγκαλουμένης. ὅτι ἐὰν ὀμῇ ἐνώπιον τοῦ θεοῦ, ἐλεύσεται ἡ λύσις ἀμφοτέρων. καὶ ὃν ἂν ὁ θεὸς, δώσει τοῦ θεοῦ, ἀποτίσει διπλοῦν τῷ πλησίον. ἐὰν δέ τις δῷ τῷ πλησίον ὑποζύγιον, ἢ μόσχον, ἢ πρόβατον, ἢ πᾶν κτῆνος φυλάξαι, καὶ σωτηρίβῃ, ἢ τελευτήσῃ, ἢ αἰχμάλωτον γένηται, καὶ μηδεὶς γνῷ, ὅρκος ἔσται ἐκ τοῦ θεοῦ ἀνὰ μέσον ἀμφοτέρων, ἢ μὴν μὴ αὐτὸς

ἐπονη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεπονηρδῦ ἀπ μετ᾽ αὐτ᾽ καθόλου τῆς παρακαταθήκης τοῦ πλησίου, καὶ οὕτως προσλήψεται ὁ
κύριος αὐτό, καὶ οὐ μὴ ἀποτίσει. ἐὰν δὲ κλαπῇ παρ᾽ αὐτοῦ, ἀποτίσει τῷ κυρίῳ. ἐὰν δὲ θηριάλ-
λωτον γένηται, ἄξει αὐτὸ ἐπὶ τὸ θήραν, καὶ οὐκ ἀποτίσει. ἐὰν δὲ αὐτόματα τὰ πρὸς τοῦ πλησί-
ου, καὶ συντριβῇ, ἢ ἀποθάνῃ, ἢ αἰχμάλωτον γένηται, ὁ δὲ κύριος μὴ ἦ μετ᾽ αὐτοῦ, ἀποτίσει. ἐὰν
δὲ ὁ κύριος αὐτοῦ ἦ μετ᾽ αὐτοῦ, οὐκ ἀποτίσει. ἐὰν δὲ μισθωτὸς ἦ, ἔσται αὐτῷ ἀντὶ τοῦ μισθοῦ αὐτοῦ.
ἐὰν δὲ ἁπατήσῃ τις παρθένον ἀμνήστευτον, καὶ κοιμηθῇ μετ᾽ αὐτῆς, φερνῇ φερνιεῖ αὐτὴν ἑαυτῷ
εἰς γυναῖκα. ἐὰν δὲ ἀναδύσῃ ἀναδύσει, καὶ μὴ βούληται ὁ πατὴρ αὐτῆς δοῦναι αὐτὴν αὐτῷ
γυναῖκα, ἀργύριον ἀποτίσει αὐτὸς τῷ πατρί, κατὰ ὅσον δώσει ἡ φερνὴ τῶν παρθένων. φαρμακοὺς
οὐ περιβιώσεται. πᾶς κοιμώμενος μετὰ κτήνους, θανάτῳ ἀποκτενεῖτε. ὁ θυσιάζων θεοῖς, ἐξολο-
θρευθήσεται, πλὴν κυρίῳ μόνῳ. καὶ προσήλυτον οὐ κακώσεται, οὐδὲ μὴ θλίψητε αὐτόν. ἦτε γὰρ
προσήλυτοι ἐν γῇ Αἰγύπτου. πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε. ἐὰν δὲ κακίᾳ κακώσητε
αὐτούς, καὶ βοήσωσι πρός με, ἀκοῇ εἰσακούσομαι τῆς φωνῆς αὐτῶν, καὶ ὀργισθή-
σομαι θυμῷ, καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι, καὶ τὰ παι-
δία ὑμῶν ὀρφανά. Ἐὰν δὲ ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ τῷ πρὸς σοί, οὐκ
ἔσῃ αὐτῷ κατεπείγων, οὐκ ὠθήσεις αὐτῷ τόκον. ἐὰν δὲ ἐνεχύρασμα ἐνεχυράσῃ τὸ ἱμάτιον
τοῦ πλησίου, πρὸ δυσμῶν ἡλίου ἀποδώσεις αὐτῷ. ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτοῦ μόνον, τοῦτο
τὸ ἱμάτιον ἀχημοσύνης αὐτοῦ, ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν κατα βοήσῃ πρός με, εἰσακούσο-
μαι αὐτοῦ, ἐλεήμων γάρ εἰμι. θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. ἀ-
πηχὰς ἄλωνος καὶ ληνοῦ σου, οὐ καθυστερήσεις. τὰ πρωτότοκα τῶν υἱῶν σου, δώσεις ἐμοί. οὕτω
ποιήσεις περὶ μόσχου σου, καὶ περὶ προβάτου σου, καὶ περὶ ὑποζυγίου σου, ἑπτὰ ἡμέρας ἔσται ὑπὸ τὴν μη-
τέρα, τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ ἀποδώσεις μοι αὐτό. καὶ ἄνδρες ἅγιοι ἔσεσθέ μοι, καὶ κρέας θηριά-
λωτον οὐκ ἔδεσθε, ἀλλὰ ἐκβρίψατε αὐτό.

ΚΕΦΑΛ. κγ'. 23.

Οὐ παραδέξῃ ἀκοὴν ματαίαν, ὁ συγκατατεθήσῃ μετὰ τοῦ ἀδίκου, γενέσθαι μάρτυς ἄδι-
κον. οὐκ ἔσῃ μετὰ πλείονων ὥστε κακίαν, οὐ προσθήσῃ μετὰ πλήθους ἐγκλῖναι μετὰ τῶν πλεί-
ονων ὥς τε ἐκκλῖναι κρίσιν, καὶ τὸν πένητα οὐκ ἐλεήσεις ἐν κρίσει. ἐὰν δὲ συναντήσῃς τοῦ βοός τοῦ
ἐχθροῦ σου, ἢ τοῦ ὑποζυγίου αὐτοῦ πλανωμένους, ἀποστρέψας ἀποδώσεις αὐτῷ. ἐὰν δὲ ἴδῃς τὸ ὑπο-
ζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτό, ἀλλὰ συνεγερεῖς αὐτὸ μετ᾽
αὐτοῦ· οὐ διαστρέψεις κρίμα πτωχοῦ ἐν κρίσει αὐτοῦ, ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀπέχεσθε. ἀθῷον καὶ
δίκαιον οὐκ ἀποκτενεῖς, καὶ οὐ δικαιώσεις τὸν ἀσεβῆ ἕνεκεν δώρων, οὐ δῶρα οὐ μὴ λήψῃ. τὰ γὰρ
δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται ῥήματα δίκαια. καὶ προσήλυτον οὐ κα-
κώσεις, οὐδὲ μὴ θλίψητε· ἐπεὶ ὑμεῖς οἴδατε τὴν ψυχὴν τοῦ προσηλύτου. αὐτοὶ γὰρ προσήλυτοι ἦτε
ἐν γῇ Αἰγύπτῳ. ἓξ ἔτη σπερεῖς τὴν γῆν σου, καὶ συνάξεις τὰ γεννήματα αὐτῆς. τῷ δὲ ἑβδόμῳ ἄφεσιν
ποιήσεις, καὶ οὐ λήμψεσθε αὐτῶν, καὶ ἔσονται οἱ πτωχοὶ τοῦ ἔθνους σου, τὰ δὲ ὑπολελειμμένα ἔσονται τὰ θη-
ρία τοῦ ἀγροῦ. οὕτω ποιήσεις τῷ ἀμπελῶνί σου καὶ τῷ ἐλαιῶνί σου. ἓξ ἡμέρας ποιήσεις τὰ ἔργα σου, τῇ
δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἀναπαύσῃ, ἵνα ἀναπαύσηται ὁ βοῦς σου, καὶ ὁ ὑποζύγιόν σου, καὶ ἵνα ἀνα-
ψύξῃ ὁ υἱὸς τῆς παιδίσκης σου, καὶ ὁ προσήλυτος. πάντα ὅσα λελάληκα πρὸς ὑμᾶς, φυλάξα-
σθε. καὶ ὄνομα θεῶν ἑτέρων οὐκ ἀναμνησθήσεσθε, οὐδὲ μὴ ἀκουσθῇ ἐκ τοῦ στόματος ὑμῶν. τρεῖς καιρούς
μοι ἑορτάσετέ μοι, τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξασθε· ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα,
καθάπερ ἐνετειλάμην σοι κατὰ τὸν καιρὸν τοῦ μηνὸς τῶν νέων. ἐν γὰρ αὐτῷ ἐξῆλθον ἐξ Αἰ-
γύπτου. οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός, καὶ ἑορτὴν τοῦ θερισμοῦ πρωτογεννημάτων ποιήσεις τῶν ἔρ-
γων σου, ὧν ἐὰν σπείρῃς ἐν τῷ ἀγρῷ σου. καὶ ἑορτὴν συντελείας ἐπ᾽ ἐξόδου τοῦ ἐνιαυτοῦ ἐν τῇ
συναγωγῇ τῶν ἔργων σου, τῶν ἐκ τοῦ ἀγροῦ σου. τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρ-
σενικόν σου ἐνώπιον κυρίου τοῦ θεοῦ σου. ὅταν γὰρ ἐκβάλω τὰ ἔθνη ἀπὸ προσώπου σου, καὶ ἐμπλα-
τύνω τὰ ὅριά σου, οὐκ ὠθυμήσει ἀθεὶς τὴν γῆν σου. οὐ θύσεις ἐπὶ ζύμῃ αἷμα θυσιάσματός μου, οὐ-
δὲ μὴ κοιμηθήσεται στέαρ τῆς ἑορτῆς μου ἕως πρωΐ. τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων τῆς
γῆς σου, εἰσοίσεις εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ σου. οὐχ ἑψήσεις ἀρνὸν ἐν γάλακτι μητρὸς αὐτοῦ.
καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως
εἰσαγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι. πρόσεχε σὺ αὐτῷ, καὶ εἰσάκουε αὐτοῦ, καὶ μὴ ἀπει-
θεῖ. οὐ γὰρ μὴ ὑπομείνῃ σε. τὸ γὰρ ὄνομά μου ἐπ᾽ αὐτῷ. ἐὰν ἀκούσῃς τῆς φωνῆς μου, καὶ
ποιήσῃς πάντα ὅσα ἂν εἴπω σοι, ἐχθρεύσω τοῖς ἐχθροῖς σου, καὶ ἀντικείσομαι τοῖς ἀντικειμέ-
νοις σοι. πορεύσεται γὰρ ὁ ἄγγελός μου ἡγούμενός σου, καὶ εἰσάξει σε πρὸς τὸν Ἀμορραῖον, καὶ
Χεττταῖον, καὶ Φερεζαῖον, καὶ Χαναναῖον, καὶ Γεργεσαῖον, καὶ Εὐαῖον, καὶ Ἰεβουσαῖον, καὶ ἐκτρίψω
αὐτοὺς ἀπὸ προσώπου ὑμῶν. οὐ προσκυνήσεις τοῖς θεοῖς αὐτῶν, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς, οὐ
ποιήσεις κατὰ τὰ ἔργα αὐτῶν, ἀλλὰ καθαιρέσει καθελεῖς τοὺς βωμοὺς αὐτῶν, καὶ συντρίβων
συντρίψεις τὰς στήλας αὐτῶν, καὶ λατρεύσεις κυρίῳ τῷ θεῷ σου, καὶ εὐλογήσω τὸν ἄρτον σου,
καὶ τὸν

καὶ τὸν οἶνόν σου, καὶ τὸ ὕδωρ σου, καὶ ἀποστρέψω μαλακίαν ἀφ' ὑμῶν. οὐκ ἔσαι ἄγονος, οὐδὲ σείρα ἐπὶ τῆς γῆς σου. τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρῶν ἀναπληρώσω, καὶ τὸν φόβον ἀποστελῶ ἡγουμένόν σου, καὶ ἐκπίσω πάντα τὰ ἔθνη, εἰς οὓς σὺ εἰσπορεύῃ εἰς αὐτούς. καὶ δώσω πάντας τοὺς ὑπεναντίους σου φυγαδίας, καὶ ἀποστελῶ τὰς σφηκίας πρὸ τοῦ προσώπου σου, καὶ ἐκβαλῶ τοὺς ἀμορῥαίους, καὶ τοὺς εὐαίους, καὶ τοὺς χαναναίους, καὶ τοὺς χετταίους ἀπὸ σοῦ, οὐκ ἐκβαλῶ αὐτοὺς ἐν ἐνιαυτῷ ἑνί, ἵνα μὴ γένηται ἡ γῆ ἔρημος, καὶ πολλὰ γένηται ἐπὶ σὲ τὰ θηρία τῆς γῆς. κατὰ μικρὸν μικρὸν ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ, ἕως ἂν αὐξηθῇς, καὶ κληρονομήσῃς τὴν γῆν. καὶ θήσω τὰ ὅρια σου ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης ἕως τῆς θαλάσσης τῶν ἀλλοφύλων, καὶ ἀπὸ τῆς ἐρήμου ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου. καὶ παραδώσω εἰς τὰς χεῖρας ὑμῶν τοὺς ἐγκαθημένους ἐν τῇ γῇ, καὶ ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ. οὐ συγκαταθήσῃ αὐτοῖς, καὶ τοῖς θεοῖς αὐτῶν οὐ διαθήκῃ. καὶ οὐ συγκαταθήσονται ἐν τῇ γῇ σου, ἵνα μὴ ἁμαρτάνειν σε ποιήσωσι πρός με. ἐὰν γὰρ σὺ λατρεύσῃς τοῖς θεοῖς αὐτῶν, ἔσται σοι πρόσκομμα.

ΚΕΦΑΛ. κδ'. 24.

Καὶ τῷ Μωϋσῇ εἶπεν· ἀνάβηθι πρὸς Κύριον σύ, καὶ Ἀαρών, καὶ Ναδὰβ, καὶ Ἀβιούδ, καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων Ἰσραήλ, καὶ προσκυνήσουσι μακρόθεν τῷ Κυρίῳ. καὶ ἐγγιεῖ Μωϋσῆς μόνος πρὸς τὸν θεόν, αὐτοὶ δὲ οὐκ ἐγγιοῦσιν. ὁ δὲ λαὸς οὐ συναναβήσεται μετ' αὐτοῦ. εἰσῆλθε δὲ Μωϋσῆς, καὶ διηγήσατο τῷ λαῷ πάντα τὰ ῥήματα τοῦ θεοῦ, καὶ τὰ δικαιώματα. ἀπεκρίθη δὲ πᾶς ὁ λαὸς, φωνῇ μιᾷ λέγοντες· πάντας τοὺς λόγους οὓς ἐλάλησε Κύριος, ποιήσομεν, καὶ ἀκουσόμεθα. καὶ ἔγραψε Μωϋσῆς πάντα τὰ ῥήματα Κυρίου. ὀρθρίσας δὲ Μωϋσῆς τοπρωΐ, ᾠκοδόμησε θυσιαστήριον ὑπὸ τὸ ὄρος, καὶ δώδεκα λίθους εἰς τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ, καὶ ὤξαπέστειλε τοὺς νεανίσκους τῶν υἱῶν Ἰσραήλ, καὶ ἀνήνεγκαν ὁλοκαυτώματα, καὶ ἔθυσαν θυσίαν σωτηρίου Κυρίῳ τῷ θεῷ, μοσχάρια. λαβὼν δὲ Μωϋσῆς τὸ ἥμισυ τοῦ αἵματος, ἔθηκεν εἰς κρατῆρα, τὸ δὲ ἥμισυ προσέχεε πρὸς τὸ θυσιαστήριον. καὶ λαβὼν τὸ βιβλίον τῆς διαθήκης, ἀνέγνω εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ εἶπαν· πάντα ὅσα ἐλάλησε Κύριος, ποιήσομεν, καὶ ἀκουσόμεθα. λαβὼν δὲ Μωϋσῆς τὸ αἷμα, διετρόσκιδασε τοῦ λαοῦ, καὶ εἶπεν· ἰδοὺ τὸ αἷμα τῆς διαθήκης ἧς διέθετο Κύριος πρὸς ἡμᾶς, περὶ πάντων τῶν λόγων τούτων. καὶ ἀνέβη Μωϋσῆς, καὶ Ἀαρών, καὶ Ναδὰβ, καὶ Ἀβιούδ, καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων Ἰσραήλ, καὶ εἶδον τὸν τόπον οὗ εἱστήκει ἐκεῖ ὁ θεὸς τοῦ Ἰσραήλ, καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ, ὡσεὶ ἔργον πλίνθου σαπφείρου, καὶ ὡσπερ εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ καθαριότητι. καὶ τῶν ἐπιλέκτων τοῦ Ἰσραήλ οὐ διεφώνησαν οὐδείς. καὶ ὤφθησαν ἐν τῷ τόπῳ τοῦ θεοῦ, καὶ ἔφαγον καὶ ἔπιον. καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν· ἀνάβηθι πρός με εἰς τὸ ὄρος, καὶ ἴσθι ἐκεῖ. καὶ δώσω σοι τὰ πυξία τὰ λίθινα, τὸν νόμον καὶ τὰς ἐντολὰς, ἃς ἔγραψα νομοθετῆσαι αὐτοῖς. καὶ ἀνέστη Μωϋσῆς, καὶ Ἰησοῦς, ὁ παρεστηκὼς αὐτῷ, καὶ ἀνέβησαν εἰς τὸ ὄρος τοῦ θεοῦ, καὶ τοῖς πρεσβυτέροις εἶπεν, ἡσυχάζετε αὐτοῦ ἕως ἀναστρέψωμεν πρὸς ὑμᾶς. καὶ ἰδοὺ Ἀαρὼν, καὶ Ὡρ μεθ' ὑμῶν. ἐάν τινι συμβαίνῃ κρίσις, προσφωνήσατε αὐτοῖς. καὶ ἀνέβη Μωϋσῆς εἰς τὸ ὄρος, καὶ ἐκάλυψεν ἡ νεφέλη τὸ ὄρος, καὶ κατέβη ἡ δόξα τοῦ θεοῦ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, καὶ ἐκάλυψεν αὐτὸ ἡ νεφέλη ἓξ ἡμέρας. καὶ ἐκάλεσε Κύριος τὸν Μωϋσῆν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐκ μέσου τῆς νεφέλης. ἡ δὲ δόξα τοῦ Κυρίου ὡσεὶ πῦρ φλέγον ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, ἐναντίον τῶν υἱῶν Ἰσραήλ. καὶ εἰσῆλθε Μωϋσῆς εἰς τὸ μέσον τῆς νεφέλης, καὶ ἀνέβη εἰς τὸ ὄρος, καὶ ἦν ἐκεῖ ἐπὶ τῷ ὄρει τεσσαρακοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας.

ΚΕΦΑΛ. κε'. 25.

Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· εἶπον τοῖς υἱοῖς Ἰσραήλ, καὶ λάβετέ μοι ἀπαρχὰς παρὰ παντὸς, οὗ ἂν δώσῃ τὴν καρδίαν αὐτοῦ. λήψεσθε τὰς ἀπαρχάς μου. καὶ αὕτη ἐστὶν ἡ ἀπαρχὴ ἣν λήψεσθε παρ' αὐτῶν, χρυσίον, ἀργύριον, χαλκόν, ὑάκινθον, πορφύραν, κόκκινον, βύσσον λελογισμένην, καὶ τρίχας αἰγείας, καὶ δέρματα κριῶν ἠρυθροδανωμένα, καὶ δέρματα ὑακίνθινα, καὶ ξύλα ἄσηπτα, καὶ λίθους σαρδίνους, καὶ ἔλαιον εἰς τὸν φωτισμὸν, θυμιάματα εἰς τὸ ἔλαιον τῆς χρίσεως, καὶ εἰς τὸν σύνθετον τοῦ θυμιάματος, καὶ λίθους εἰς τὸν ὠλφὸν εἰς τὸν ἐπωμίδα, καὶ τὸν θώρηκα. καὶ ποιήσεις μοι ἁγίασμα, καὶ ὀφθήσομαι ἐν ὑμῖν. καὶ ποιήσεις μοι κατὰ πάντα ὅσα ἐγὼ δείκνυμί σοι ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς, καὶ τὸ παράδειγμα πάντων τῶν σκευῶν αὐτῆς, οὕτω ποιήσεις. καὶ ποιήσεις διβωτὸν μαρτυρίου ἐκ ξύλων ἀσήπτων, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος, καὶ πήχεος καὶ ἡμίσους τὸ πλάτος, καὶ πήχεος καὶ ἡμίσους τὸ ὕψος. καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ καθαρῷ, ἔσωθεν καὶ ἔξωθεν χρυσώσεις αὐτό, καὶ ποιήσεις αὐτῷ γυμάτια χρυσᾶ στρεπτὰ κύκλῳ, καὶ χωνεύσεις αὐτῷ τέσσαρας δακτυλίους χρυσοῦς, καὶ ἐπιθήσεις ὑπὸ τὰ τέσσαρα κλίτη αὐτοῦ δύο δακτυλίους ὑπὸ τὸ κλίτος τὸ ἓν, καὶ δύο δακτυλίους ὑπὸ τὸ κλίτος τὸ δεύτερον. ποιήσεις δὲ ἀναφορεῖς ἐκ ξύλων ἀσήπτων, καὶ καταχρυσώσεις αὐτοὺς χρυσίῳ καθαρῷ. καὶ εἰσάξεις τοὺς

κιβωτόν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ωἀφορεῖς εἰς αὖ λακτυλίους, τοὺς γὰ τοῖς λιτέσι τῆς λιβωτοῦ, αἴρειν τὴν λιβωτὸν γὰ αὐτῶν, γὰ τοῖς δ' ακτυλίοις τῆς λιαθήκης ἔσονται οἱ ἀναφορεῖς ἀπίνητοι, καὶ ἐμβαλεῖς εἰς τὴν λιβωτὸν τὰ μαρτύρια ἃ αὖ δῶ σοι. καὶ ποιήσεις ἱλαστήριον ἐπίθεμα χρυσίν χυτὸν λαθαρὸν, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος, καὶ πήχεως καὶ ἡμίσους τὸ πλάτος. καὶ ποιήσεις δύο χερουβὶμ χρυσᾶ τορευτά, γὴ ἀθήσεις αὐτὰ ἐξ ἀμφοτέρων τῶν λιτῶν τοῦ ἱλαστηρίου. ποιήσοντ δὲ χερουβὶμ εἷς ἐκ τοῦ λιτέος τοῦτο, καὶ εἷς ἐκ τοῦ λιτέος τοῦ λιστέρου τοῦ ἱλαστηρίου. καὶ ποιήσεις τοὺς δύο χερουβὶμ. ὠδὶ τὰ δύο λιτία, ἔσονται οἱ δύο χερουβὶμ, ἐκτείνοντες τὰς πτέρυγας ἐπάνωθεν, συσκιάζοντες ταῖς πτέρυξιν αὐτῶν ὠδὶ τοῦ ἱλαστηρίου, καὶ τὰ πρόσωπα αὐτῶν εἰς ἄλληλα. εἰς τὸ ἱλαστήριον ἔσονται τὰ πρόσωπα τῶν χερουβὶμ, καὶ ἀθήσεις τὸ ἱλαστήριον ὠδὶ τὴν λιβωτὸν ἄνωθεν, καὶ εἰς τὴν λιβωτὸν ἐμβαλεῖς τὰ μαρτύρια ἅπερ δῶ σοι. Κ γνωδήσομαί σοι ἐκεῖθεν, καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου, ἀνὰ μέσον τῶν δύο χερουβὶμ, τῶν ὄντων ἐπὶ τῆς λιβωτοῦ τοῦ μαρτυρίου, καὶ λατὰ πάντα ὅσα ἐὰν γὰ τέλωμαί σοι πρὸς τοὺς υἱοὺς ἰσραήλ. καὶ ποιήσεις τράπεζαν ξύλου ἀσήπτου, δύο πήχεων τὸ μῆκος, καὶ πήχεως τὸ εὖρος, καὶ πήχεως καὶ ἡμίσους τὸ ὕψος, καὶ λατα χρυσώσεις αὐτὴν, χρυσίῳ λαθαρῷ, καὶ ποιήσεις αὐτῇ στεπτὰ λυμαντια χρυσᾶ λύκλῳ, καὶ ποιήσεις αὐτῇ σεφάνιν παλαιστοῦ λύκλῳ, καὶ ποιήσεις στεπτὸν λυμάτιον τῇ σεφάνῃ λύκλῳ, καὶ ποιήσεις τέσσαρας δακτυλίους χρυσοῦς, καὶ ἐπιθήσεις τοὺς δακτυλίους ἐπὶ τὰ τέσσαρα μέρη τῶν ποδῶν αὐτῆς ὑπὸ τὴν σεφάνην. καὶ ἔσονται οἱ δακτύλιοι εἰς θήκας τοῖς ἀναφορεῦσιν, ὥς τε αἴρειν γὰ αὐτοῖς τὴν τράπεζαν. καὶ ποιήσεις τοὺς ἀναφορεῖς ἐκ ξύλου ἀσήπτου, καὶ λατα χρυσώσεις αὐτοὺς χρυσίῳ λαθαρῷ, καὶ ἀρθήσεται γὰ αὐτοῖς ἡ τράπεζα. καὶ ποιήσεις τὰ τρυβλία αὐτῆς, καὶ τὰς θυίσκας, καὶ τὰ σπονδεῖα, καὶ τοὺς λυαλθους γὰ οἷς σπείσεις γὰ αὐτοῖς, ἐκ χρυσίου λαθαροῦ ποιήσεις αὐτά. καὶ ἐπιθήσεις ὠδὶ τὴν τράπεζαν ἄρτους γὰνωπίους γὰντίον μου διαπαντός. καὶ ποιήσεις λυχνίαν ἐκ χρυσίου λαθαροῦ, τορευτὴν ποιήσεις τὴν λυχνίαν. ὁ λαυλὸς αὐτῆ, καὶ οἱ λαλαμίσκοι, καὶ οἱ λρατῆρες, καὶ οἱ σφαιρωτῆρες, καὶ τὰ λρίνα ἐξ αὐτῆς ἔσονται. ἓξ λαλαμίσκοι ἐκπορδυόμενοι ἐκ πλαγίων, τρεῖς λαλαμίσκοι τῆς λυχνίας ἐκ τοῦ λιτέος τοῦ ἑνὸς αὐτῆς, καὶ τρεῖς λαλαμίσκοι τῆς λυχνίας ἐκ τοῦ λιτέος τοῦ δευτέρου, καὶ τρεῖς λρατῆρες ἐκτετυπωμένοι λαρυΐσκοις. γὰ λαλαμίσκω τρεῖς ἐνὶ σφαιρωτῆρι, καὶ λρίνον. οὕτω τοῖς ἓξ λαλαμίσκοις τοῖς ἐκπορδυομένοις ἐκ τῆς λυχνίας, καὶ γὰ τῇ λυχνίᾳ τέσσαρες λρατῆρες ἐκτετυπωμένοι λαρυΐσκοις, γὰ τρεῖς ἐνὶ λαλαμίσκῳ οἱ σφαιρωτῆρες, καὶ τὰ λρίνα αὐτῆς, ὁ σφαιρωτὴρ ὑπὸ τοὺς δύο λαλαμίσκους ἐξ αὐτῆς, καὶ σφαιρωτὴρ ὑπὸ τοὺς τέσσαρας λαλαμίσκους ἐξ αὐτῆς, οὕτω τοῖς ἓξ λαλαμίσκοις τοῖς ἐκπορδυομένοις ἐκ τῆς λυχνίας, καὶ γὰ τῇ λυχνίᾳ τέσσαρες λρατῆρες ἐκτετυπωμένοι λαρυΐσκοις. οἱ σφαιρωτῆρες, καὶ οἱ λαλαμίσκοι ἐξ αὐτῆς, ἔσωσαν ὅλη τορευτὴ ἐξ ἑνὸς χρυσίου λαθαροῦ. καὶ ποιήσεις τοὺς λύχνους αὐτῆ ἑπτά, καὶ ἀθήσεις τοὺς λύχνους αὐτῆ, καὶ φανοῦσιν ἐπὶ προσώπου τοῦ προσώπου. καὶ τὸν ἐπαρυστῆρα αὐτῆ, καὶ τὰ ὑποθέματα αὐτῆ ἐκ χρυσίου λαθαροῦ ποιήσεις. πάλαντον χρυσίου λαθαροῦ ποιήσεις, πάντα τὰ σκεύη ταῦτα. ὅρα ποιήσεις λατὰ τὸν τύπον τὸν δεδειγμένον σοι γὰ ἐν ὄρει.

ΚΕΦΑΛ. κς'. 26.

ΚΑὶ τὴν σκηνὴν ποιήσεις δέκα αὐλαίας ἐκ βύσσου λεκλωσμένης, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ λοκκίνου λεκλωσμένου χρουβὶμ, ἐργασίᾳ ὑφάντου ποιήσεις αὐτάς. μῆκος ἑνὸς αὐλαίας ἑνὸς μιᾶς ὀκτὼ καὶ εἴκοσι πήχεων, καὶ εὖρος τεσσάρων πήχεων, ἡ αὐλαία ἡ μία ἴσαι, μέτρον τὸ αὐτὸ ἔσαι πάσαις ταῖς αὐλαίαις. πῶγε δὲ αὐλαίαι ἔσονται ἐξ ἀλλήλων ἐχόμεναι ἡ ἑτέρα ἐκ τῆς ἑτέρας, καὶ πῶγε αὐλαῖαι ἔσονται συνεχόμεναι ἑτέρα ἐκ τῆς ἑτέρας. καὶ ποιήσεις αὐτὰς ἀγκύλας ὑακινθίνας ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς μιᾶς, ἐκ τοῦ ἑνὸς μέρους εἰς τὴν συμβολήν. καὶ οὕτω ποιήσεις ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς ἐξωτέρας πρὸς τὴν συμβολὴν τὴν δευτέραν. πεντήκοντα δὲ ἀγκύλας ποιήσεις τῇ αὐλαίᾳ τῇ μιᾷ, καὶ πεντήκοντα ἀγκύλας ποιήσεις ἐκ τοῦ μέρους τῆς αὐλαίας λατὰ τὴν συμβολὴν τῆς δευτέρας, ἀντιπρόσωποι αὐτὶ πὶ πᾶσαι εἰς ἀλλήλας ἑκάστη. καὶ ποιήσεις λρίκους πεντήκοντα χρυσοῦς. καὶ συναψεις τὰς αὐλαίας ἑτέραν τῇ ἑτέρᾳ ταῖς λρίκοις. καὶ ἔσαι ἡ σκηνὴ μία. καὶ ποιήσεις δέρρεις τρίχινας σκέπην, ἐπὶ τῆς σκηνῆς. ἕνδεκα δέρρεις ποιήσεις αὐτάς. τὸ μῆκος τῆς δέρρεως τῆς μιᾶς, ἔσαι τριάκοντα πήχεων. καὶ τεσσάρων πήχεων ἔσαι τὸ εὖρος τῆς δέρρεως τῆς μιᾶς. μέτρον τὸ αὐτὸ ἔσαι ταῖς ἕνδεκα δέρρεσι. καὶ συναψεις τὰς πέντε δέρρεις ὠδὶ τὸ αὐτὸ, καὶ τὰς ἓξ δέρρεις ὠδὶ τὸ αὐτό. καὶ ἐπιδιπλώσεις τὴν δέρριν τὴν ἕκτην λατὰ πρόσωπον τῆς σκηνῆς. καὶ ποιήσεις ἀγκύλας πεντήκοντα ὠδὶ τοῦ χείλους τῆς δέρρεως τῆς μιᾶς, τῆς ἀνὰ μέσον λατὰ τὴν συμβολήν. καὶ πεντήκοντα ἀγκύλας ποιήσεις ἐπὶ τοῦ χείλους τῆς δέρρεως τῆς συναπτούσης τῇ δευτέρᾳ. καὶ ποιήσεις λρίκους χαλκοῦς πεντήκοντα, καὶ συναψεις τοὺς λρίκους ἐκ τῶν ἀγκυλῶν τῶν λιφαλίδων. καὶ συναψεις τὰς δέρρεις, καὶ ἔσαι γῶ. γὴ ὑποθήσεις τὸ

πλεονάζον

πλεονάζον γὼ ταῖς λιτρύσεσι τ σκηνῆς, τὸ ἥμισυ τ λιτρύσεως τὸ ὑπολελειμμένον ἀρκαλύψεις, τὸ πλεονάζον τῆ λιτρύσεως τ σκηνῆς ὀπίσω τ σκηνῆς, πῆχυν ἕνα ἐκ τούτου καὶ πῆχυν ἀπ ἐκείνα, ἐκ τ ὑπερέχοντος τῆ λιτρύσεως τ μήκους ἐκ τῆ λιτρύσεως τ σκηνῆς. καὶ ἔσαι συγκαλύπτον ὠδὶ τὰ πλάγια τ σκηνῆς γύθεν καὶ γύθεν, ἵνα καλύπτῃ. καὶ ποιήσεις καταπέτασμα τῆ σκηνῆ λίναμα τριπλοῦν ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου δισανθοῦ, καὶ βύσσου νενησμένης. ἔργον ὑφάντου ποιήσεις αὐτὸ χερουβείμ, καὶ ὧδε θήσεις αὐτὸ ὠδὶ τεσσάρων στύλων ἀκακίνων λελυσμένων χρυσίῳ, καὶ αἱ λεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις αὐτῶν τεσσάρων ἀργυραῖ. καὶ θήσεις τὸ καταπέτασμα ὠδὶ τοῦ στύλους. καὶ εἰσοίσεις ἐκεῖ γὼ δόστρον τοῦ καταπετάσματος τὴν διαθήκην τοῦ μαρτυρίου, καὶ διορεῖ τὸ καταπέτασμα ὑμῖν αὐτὰ μέσον τοῦ ἁγίου, καὶ αὐτὰ μέσον τ ἁγίου τῆ ἁγίων. καὶ καταλύψεις τῷ καταπετάσματι τὴν διαθήκην τοῦ μαρτυρίου γὼ τῷ ἁγίῳ τῆ ἁγίων. καὶ θήσεις τὴν τραπέζαν ἔξωθεν τ καταπετάσματος, καὶ τὴν λυχνίαν ἀπεναντι τ τραπέζης ὠδὶ μέρος τ σκηνῆς πρὸς νότον, ἡ τὴν τράπεζαν θήσεις ὠδὶ μέρος τ σκηνῆς πρὸς βορραῖον. καὶ ποιήσεις ἐπὶ πασαλον τῇ θύρᾳ τ σκηνῆς ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου δισανθοῦ, καὶ βύσσου νενησμένης, ἔργον ποικίλου. καὶ ποιήσεις τῷ καταπετάσματι πῆχυς στύλους ἀκακίνους, καὶ χρυσώσεις αὐτοὺς χρυσίῳ, ἡ αἱ λεφαλίδες αὐτῶν χρυσαῖ. καὶ χωνεύσεις αὐτοῖς πῆχυς βάσεις χαλκᾶς.

ΚΕΦΑΛ. κζ'. 27.

ΚΑὶ ποιήσεις θυσιαστήριον ἐκ ξύλων ἀκακίνων, πῆχυς πήχεως τὸ μῆκος, καὶ πῆχυς πήχεως τὸ εὖρος. τετράγωνον ἔσαι τὸ θυσιαστήριον, καὶ τριῶν πήχεως τὸ ὕψος αὐτοῦ. καὶ ποιήσεις τὰ λέρατα ἐπὶ τῶν τεσσάρων γωνιῶν, ἐκ αὐτοῦ ἔσαι τὰ λέρατα, ἡ καλύψεις αὐτὰ χαλκῷ· καὶ ποιήσεις στεφάνην τῷ θυσιαστηρίῳ, καὶ τὸν λακυτὴρα αὐτοῦ, καὶ τὰς φιάλας αὐτοῦ, ἡ τὰς λρεάγρας αὐτοῦ, καὶ τὸ πυρεῖον αὐτοῦ, ἡ πάντα τὰ σκεύη αὐτοῦ ποιήσῃς χαλκᾶ. ἡ ποιήσεις αὐτῷ ἐσχάραν ἔργῳ δικτυωτῷ χαλκῷ, καὶ ποιήσεις τῇ ἐσχάρᾳ τέσσαρας δακτυλίους χαλκοῦς ἐπὶ τὰ τέσσαρα λίτρα, καὶ ὑποθήσεις αὐτὴν ὑπὸ τὴν ἐσχάραν τ θυσιαστηρίου κάτωθεν. ἔσαι δὲ ἡ ἐσχάρα ἕως τ ἡμίσους τ θυσιαστηρίου. καὶ ποιήσεις τῷ θυσιαστηρίῳ ἀναφορεῖς ἐκ ξύλων ἀκακίνων, καὶ περιχαλκώσεις αὐτὰ χαλκῷ. καὶ εἰσοίσεις τοὺς ἀναφορεῖς εἰς τοὺς δακτυλίους, καὶ ἔσωσαν οἱ φορεῖς κατὰ τὰ δύο πλευρὰ τ θυσιαστηρίου γὼ τῷ αἴρειν αὐτό. κοίλον σανιδωτὸν ποιήσεις αὐτὸ κατὰ τὸ παραδειχθέν σοι γὼ τῷ ὄρει, οὕτω ποιήσεις. καὶ ποιήσεις αὐλὴν τῇ σκηνῇ, εἰς τὸ λίτος τὸ πρὸς νότον, ἱσία αἱ αὐλαὶ ἐκ βύσσου λελωσμένης. μῆκος ἑκατὸν πήχεων τῷ ἑνὶ λίτει, ἡ στύλοι αὐτῶν εἴκοσι, ἡ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ. ἡ οἱ λρίκοι αὐτῶν, ἡ αἱ ψαλίδες αὐτῶν ἀργυραῖ. οὕτως τῷ λίτει τὸ πρὸς βορρᾶν ἱσία ἑκατὸν πήχεων μῆκος, καὶ οἱ στύλοι αὐτῶν εἴκοσι χαλκοῖ, ἡ οἱ λρίκοι αὐτῶν, ἡ αἱ ψαλίδες τῶν στύλων, ἡ αἱ βάσεις πόδικ γυρωμέναι ἀργυρίῳ. τὸ ὁ εὖρος τ αὐλῆς, τὸ κατὰ θάλασσαν, ἱσία πεντήκοντα πήχεων. οἱ στύλοι αὐτῶν δέκα, ἡ βάσεις αὐτῶν δέκα. καὶ εὖρος τ αὐλῆς τ πρὸς ἀνατολάς, ἱσία πεντήκοντα πήχεων, στύλοι αὐτῶν δέκα, καὶ βάσεις αὐτῶν δέκα, καὶ πεντεκαίδεκα πήχεων τὸ ὕψος τῶν ἱσίων τοῦ λίτεος τοῦ ἑνί, στύλοι αὐτῶν τρεῖς, καὶ βάσεις αὐ

τῶν πρεῖς. καὶ ὁ λιθ τὸ πλάτος πηχεως, τῶν ἰσίων τὸ ὕψος, σύλοι αὐτῶν πρεῖς, καὶ βάσεις αὐτῶν πρεῖς. καὶ τὴ πύλη τῆ αὐλῆς καλλυμμα εἴκοσι πήχεων τὸ ὕψος, βύσσου κακίνθου καὶ πορφύρας, καὶ κοκκίνου δικλωσμένου, καὶ βύσσου νενησμένης τῆ ποικιλία τ βαφιδίου. σύλοι αὐτῶν τέσσαρες, καὶ βάσεις αὐτῶν τέσσαρες. πάντες οἱ σύλοι τῆς αὐλῆς κύκλῳ δικτυργυρωμένοι ἀργυρίῳ, καὶ αἱ ἀφαλίσεις αὐτῶν ἀργυραῖ, καὶ αἱ βάσεις αὐτῶν χαλκαῖ, τὸ δὲ μῆκος τῆς αὐλῆς ἑκατὸν ἐφ' ἑκατόν, καὶ τὸ εὖρος πεντήκοντα ἐπὶ πεντήκοντα, καὶ τὸ ὕψος πέντε πήχεων ἐκ βύσσου δικλωσμένης, καὶ αἱ βάσεις αὐτῶν χαλκαῖ. καὶ πᾶσα ἡ κατασκευὴ, καὶ πάντα τὰ σκεύη, καὶ οἱ πάσσαλοι τῆς αὐλῆς χαλκοῖ. καὶ ποιήσεις ἱμάτια κακίνθινα, καὶ πορφύραν, καὶ κόκκινα τοῦ λειτουργεῖν ἐν αὐτοῖς ἐν τοῖς ἁγίοις. καὶ σὺ σύναξον τοὺς υἱούς ἰσραὴλ, καὶ λαβέτωσάν σοι ἔλαιον ἐξ ἐλαιῶν ἄπρυγον, καθαρὸν, δικεκομμένον εἰς φῶς, ἵνα καίηται λύχνος διαπαντὸς ἐπὶ τῆ σκηνῆ τοῦ μαρτυρίου. ἔξωθεν τοῦ καταπετάσματος οὗ ἐπὶ τῆς διαθήκης, καύσει αὐτὸν ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀφ' ἑσπέρας ἕως πρωΐ ἐναντίον κυρίου, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν παρὰ τῶν υἱῶν ἰσραήλ.

ΚΕΦΑΛ. κή. 28.

Καὶ σὺ πρόσαγου πρὸς σαυτὸν, τόν τε ἀαρὼν τὸν ἀδελφόν σου καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐκ τῶν υἱῶν ἰσραὴλ ἱερατεύειν μοι ἀαρὼν καὶ ναδὰβ καὶ ἀβιοὺδ καὶ ἐλεάζαρ καὶ ἰθαμαρ υἱοὺς ἀαρών. καὶ ποιήσεις στολὴν ἁγίαν ἀαρὼν τῷ ἀδελφῷ σου εἰς τιμὴν καὶ δόξαν. καὶ σὺ λαλήσον πᾶσι τοῖς σοφοῖς τῇ διανοίᾳ ὃς ἐνέπλησα πνεύματος σοφίας καὶ ἀδαήσεως, καὶ ποιήσουσι στολὴν τὴν ἁγίαν ἀαρὼν εἰς τὸ ἅγιον καὶ ἱερατεύσει μοι. καὶ αὗται αἱ στολαὶ ἃς ποιήσουσι, τὸ πρασινήθιον καὶ τὴ ἐπωμίδα καὶ τὸν ποδήρη καὶ χιτῶνα κεκυμβωτὸν καὶ μίτραν καὶ ζώνην. καὶ ποιήσουσι στολὰς ἁγίας ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς τὸ ἱερατεύειν μοι. καὶ αὐτοὶ λήψονται τὸ χρυσίον καὶ τὴ ὑακίνθου, καὶ τὴ πορφύραν καὶ τὸ κόκκινον καὶ τὴ βύσσον, καὶ ποιήσουσι τὴν ἐπωμίδα ἐκ βύσσου δικλωσμένης ἔργον ὑφαντὸν ποικίλου. δύο ἐπωμίδες ἔσονται αὐτῷ συνέχουσαι αὐτῷ ἑτέραι ἑτέραν ἐπὶ τοῖς δυσὶ μέρεσιν ἐξηρτημέναι. καὶ τὸ ὕφασμα τῆς ἐπωμίδος ὁ ἔσται ἐπ' αὐτῷ καὶ τὴ ποίησιν ἐξ αὐτοῦ, ἔσαι ἐκ χρυσίου καθαροῦ καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου δικεκλωσμένου, καὶ βύσσου δικλωσμένης. καὶ λήψῃ δύο λίθους σμαράγδου, καὶ γλύψεις ἐν αὐτοῖς τὰ ὀνόματα τῶν υἱῶν ἰσραήλ. ἓξ ὀνόματα ἐπὶ τὸν λίθον τὸν ἕνα, καὶ τὰ ἓξ ὀνόματα τὰ λοιπὰ ἐπὶ τὸν λίθον τὸν δεύτερον κατὰ τὰς γενέσεις αὐτῶν, ἔργον λιθουργικῆς τέχνης, γλύμμα σφραγίδος δικεκολυμμένης δύο λίθους ἐπὶ τοῖς ὀνόμασι τῶν υἱῶν ἰσραήλ. καὶ θήσεις τοὺς δύο λίθους ἐπὶ τῶν ὤμων τῆς ἐπωμίδος, λίθους μνημοσύνου ἔσονται τοῖς υἱοῖς ἰσραήλ. καὶ ἀνοίσει ἀαρὼν τὰ ὀνόματα τῶν υἱῶν ἰσραήλ, ἐναντίον κυρίου ἐπὶ τῶν δύο ὤμων αὐτοῦ μνημόσυνον πρὸς αὐτῶν. καὶ ποιήσεις ἀσπίδας ἐκ χρυσίου καθαροῦ, καὶ ποιήσεις δύο κροσωτὰς ἐκ χρυσίου καθαροῦ κατατετυμμένα ἐν ἄνθεσιν ἔργον πλοκῆς, καὶ ἐπιθήσεις τὰ κροσωτὰ πεπλεγμένα ἐπὶ τὰς ἀσπίδας τὰς πρωμίδας αὐτῶν, ἐκ τῶν ἐμπροσθίων. καὶ ποιήσεις λόγιον κρίσεως ἔργον ποικίλον τὸν ῥυθμὸν τῆς ἐπωμίδος ποιήσεις αὐτὸ ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου δικεκλωσμένου, καὶ βύσσου δικεκλωσμένης. ποιήσεις αὐτὸ τετράγωνον, ἔσαι διπλοῦν σπιθαμῆς τὸ μῆκος, καὶ σπιθαμῆς τὸ εὖρος. καὶ καθυφανεῖς ἐν αὐτῷ ὑφάσματα τὴ λίθου τετράσιχον. σίχος λίθων ἔσαι σάρδιον, τοπάζιον, σμάραγδος ὁ σίχος ὁ εἷς. καὶ ὁ σίχος ὁ δεύτερος ἄνθραξ καὶ σάπφειρος καὶ ἴασπις. καὶ ὁ σίχος ὁ τρίτος, ἀρύγυριον καὶ ἀχάτης καὶ ἀμέθυστος. καὶ ὁ σίχος ὁ τέταρτος, χρυσόλιθος καὶ βηρύλλιον καὶ ὀνύχιον, πεδεκεκαλυμμένα χρυσίῳ ἔσονται ἐν χρυσίῳ ἐν τοῖς σίχοις αὐτῶν. καὶ οἱ λίθοι ἔσονται ἐκ τῶν ὀνομάτων τῶν υἱῶν ἰσραὴλ δώδεκα ἐναντίον κυρίου. ἐπὶ τῶν δύο ὤμων αὐτοῦ δώδεκα τὰ ὀνόματα αὐτῶν. καὶ τὰς γλυφὰς σφραγίδων ἕκαστον κατὰ τὸ ὄνομα ἔσονται εἰς τοὺς δώδεκα φυλάς. καὶ ποιήσεις ἐπὶ τὸ λόγιον κροσοὺς συμπεπλεγμένους, ἔργον ἁλυσιδωτὸν χρυσίου καθαροῦ, καὶ λήψεται ἀαρὼν τὰ ὀνόματα τῶν υἱῶν ἰσραὴλ ἐπὶ τοῦ λογίου τῆς κρίσεως ἐπὶ τοῦ στήθους εἰσιόντος εἰς τὸ ἅγιον μνημόσυνον ἐναντίον τοῦ θεοῦ. καὶ θήσεις ἐπὶ τὸ λόγιον τῆς κρίσεως τοὺς κροσοὺς τὰ ἁλυσιδωτὰ ἐπ' ἀμφοτέρων τῶν κλιτῶν τοῦ λογίου ἐπιθήσεις. καὶ τὰς δύο ἀσπίδας ἐπιθήσεις ἐπ' ἀμφοτέρους τοὺς ὤμους τῆς ἐπωμίδος κατὰ πρόσωπον. καὶ ἐπιθήσεις ἐπὶ τὸ λόγιον τῆς κρίσεως, τὴ δήλωσιν καὶ τὴν ἀλήθειαν. καὶ ἔσαι ἐπὶ τοῦ στήθους ἀαρών, ὅταν εἰσπορεύηται εἰς τὸ ἅγιον ἐναντίον κυρίου. καὶ θήσει ἀαρὼν τὰς κρίσεις τῶν υἱῶν ἰσραὴλ ἐπὶ τοῦ στήθους ἐναντίον κυρίου διαπαντός. καὶ ποιήσεις ὑποδύτην ποδήρη ὅλον ὑακίνθινον, καὶ ἔσαι τὸ πρασινόμιον ἐξ αὐτοῦ μέσον, ὥσαν ἔχῃ κύκλῳ τοῦ πρασινομίου, ὄργον ὑφάντου τὴ συμπλοκῆ συνυφασμένῃ ἐξ αὐτοῦ, ἵνα μὴ ῥαγῇ. καὶ ποιήσεις ἐπὶ τὸ λῶμα τοῦ ὑποδύτου κάτωθεν ὥσει ἐξανθοῦσας ῥόας ῥοΐσκους ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου δικεκλωσμένου,

καὶ

κὴ βύσσε λελικωσμένης ἐπὶ τ̃ λώματ@ τ̃ ὑσσοπίου λύκλῳ. καὶ ἦ αὐτὸ εἰλ@ βοΐσκας χρυσοῦς, κὴ λώδ'ωνας αὐτὰ μέσον τούτων πρὸς λύκλῳ. παρὰ βοΐσκον χρυσᾶ λώδωνα καὶ κώδωνον ὧδε τ̃ λώματ@ τ̃ ὑσσοπίου λύκλῳ. κὴ ἔσαι ἀαρὼμ γ' τῷ λειτουργεῖν ἀκουσθ'ναι φωνὴ αὐτ̃ εἰσιόντι εἰς τὸ ἅγιον γ'ναντι κυρίε, κὴ ἐξιόντι ἵνα μὴ ἀποθάνῃ. καὶ ποιήσεις πέταλον χρυσοῦν καθαρόν, κὴ ἐντυπώσεις γ' αὐτῷ ἐντύπωμα σφραγίδ@ ἁγίασμα κυρίε. κὴ ἐπιθήσεις αὐτὸ ἐπὶ ὑακίνθ@ λελικωσμένης, κὴ ἔσαι ἐπὶ τ̃ μίτρας, κὴ πρόσωπον τ̃ μίτρας ἔσαι. κὴ ἔσαι ἐπὶ τ̃ μετώπου ἀαρὼμ. κὴ ἀξαρεῖ ἀαρὼμ τὰ ἁμαρτήματα τῶν ἁγίων, ὅσα ἂν ἁγιάσωσιν οἱ υἱοὶ ἰσραὴλ πάντ@ δώματ@ τῶν ἁγίων αὐτῶν. @ ἔσαι ἐπὶ τ̃ μετώπου ἀαρὼμ διαπαντὸς δεκτὸν αὐτοῖς γ'ναντι κυρίε. καὶ οἱ λόσυμβοι τ̃ χιτῶνων ἐκ βύσσου. κὴ ποιήσεις λίσδαειμ βυσσίνῳ, @ ζώνῃ ποιήσεις ἔργον ποικιλ τ̃. κὴ τοῖς υἱοῖς ἀαρὼμ ποιήσεις χιτῶνας @ ζώνας· κὴ λιδάρεις ποιήσεις αὐτοῖς εἰς τιμὴν καὶ δόξαν. καὶ γ'δύσεις αὐτὰ ἀαρὼμ τὸν ἀδ'λφόν σε, κὴ τοὺς υἱοὺς αὐτ̃ μετ' αὐτοῦ. καὶ χρίσεις αὐτοὺς, @ ἐμπλήσεις αὐτῶν τὰς χεῖρας. καὶ ἁγιάσεις αὐτοὺς ἵνα ἱδρατεύσωσί μοι. κὴ ποιήσεις αὐτοῖς ποδισκελῆ λινᾶ καλύψαι ἀχημοσύνῃ χρωτὸς αὐτῶν, ἀπὸ ὀσφύ@ ἕως μηρῶν ἔσαι. κὴ ἄξ ἀαρὼμ αὐτὰ καὶ οἱ υἱοὶ αὐτοῦ, ὅταν εἰσπορεύονται εἰς τὴν σκιλωὴν τ̃ μαρτυρίου, ὅταν προσπορεύωνται λειτουργεῖν πρὸς τὸ θυσιαστήριον τοῦ ἁγίου. καὶ οὐκ ἐπωξονται ἐφ' ἑαυτοὺς ἁμαρτίαν, ἵνα μὴ ἀποθάνωσι νόμιμον αἰώνιον αὐτῷ, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν.

ΚΕΦΑΛ. κθ'. 29.

ΚΑὶ ταῦτά ἐστιν ἃ ποιήσεις αὐτοῖς, ἁγίασαι αὐτοὺς, ὡς τε ἱδρατεύεσθαί μοι αὐτούς. λήψη μοσχάριον ἐκ βοῶν ἕν, καὶ κριοὺς ἀμώμους δύο, καὶ ἄρτους ἀζύμους περφυραμένους γ' ἐλαίῳ, καὶ λαγανα ἄζυμα κεχρισμένα γ' ἐλαίῳ, σεμιδάλιν ἐκ πυρῶν ποιήσεις αὐτά, καὶ θήσεις αὐτὰ ἐπὶ κανοῦν ἕν. οἴσεις καὶ προσοίσεις αὐτὰ ἐπὶ τῷ κανῷ, καὶ τὸ μοσχάριον, καὶ τοὺς δύο κριούς, καὶ ἀαρὼμ, καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις ὧδε τὰς θύρας τ̃ σκιλωῆς τοῦ μαρτυρίου, καὶ λούσεις αὐτοὺς γ' ὕδατι. κὴ λαβὼν τὰς στολὰς, γ'δύσεις ἀαρὼμ τὸν ἀδ'λφόν σε, καὶ τὸν χιτῶνα τὸν ποδήρη, καὶ τὴν ἐπωμίδα, καὶ τὸ λόγιον. καὶ συναψεῖς αὐτὸ τὸ λόγιον πρὸς τ̃ ἐπωμίδα, κὴ ἐπιθήσῃς τ̃ μίτραν ἐπὶ τ̃ κεφαλὴν αὐτ̃, @ ἐπιθήσῃς τὸ πέταλον τὸ ἅγιασμα ἐπὶ τ̃ μίτραν. κὴ λήψη τ̃ ἐλαίου τ̃ χρίσματος, κὴ ἐπιχεεῖς αὐτὸ ἐπὶ τ̃ κεφαλὴν αὐτ̃, κὴ χρίσεις αὐτόν. καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις, καὶ γ'δύσεις αὐτοὺς χιτῶνας, καὶ ζώσεις αὐτοὺς ταῖς ζώναις, καὶ περιθήσεις αὐτοῖς τὰς κιδάρεις, καὶ ἔσαι αὐτοῖς ἱδρατεία ἐμοὶ εἰς τὸν αἰῶνα, καὶ τελειώσεις τὰς χεῖρας ἀαρὼμ καὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ, καὶ προσάξεις τὸν μόσχον ἐπὶ τὰς θύρας τῆς σκιλωῆς τοῦ μαρτυρίου. καὶ σπιθήσουσιν ἀαρὼμ καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου γ'ναντι κυρίου, παρὰ τὰς θύρας τῆς σκιλωῆς τοῦ μαρτυρίου, καὶ σφάξεις τὸν μόσχον ἔναντι κυρίου παρὰ τὰς θύρας τῆς σκιλωῆς τοῦ μαρτυρίου, καὶ λήψη ἀπὸ τοῦ αἵματ@ τοῦ μόσχου, καὶ σπιθήσεις ἐπὶ τῶν κεράτων τοῦ θυσιαστηρίου δ@ λακτύλῳ σου, τὸ δὲ λοιπὸν πᾶν αἷμα ἐκχεεῖς παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου. καὶ λήψη πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ τὸν λοβὸν τοῦ ἥπατ@, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ συνθήσεις ἐπὶ τὸ θυσιαστήριον. τὰ δὲ κρέατα τοῦ μόσχου, καὶ τὸ δέρμα, καὶ τὴν κόπρον κατακαύσεις πυρὶ, ἔξω τῆς παρεμβολῆς. ἁμαρτίας γάρ ἐστι. καὶ τὸν κριὸν λήψη τὸν ἕνα, κὴ ἐπιθήσουσιν ἀαρὼμ κὴ οἱ υἱοὶ αὐτοῦ, τὰς χεῖρας αὐτ̃ ἐπὶ τὴν κεφαλὴν τ̃ κριοῦ, κὴ σφάξεις τὸν κριὸν, κὴ λαβὼν τὸ αἷμα προσεκχεεῖς ἐπὶ τὸ θυσιαστήριον κύκλῳ. κὴ τὸν κριὸν δὲ χοσμήσεις κὴ τὰ μέλη, καὶ πλυνεῖς τὰ γ'δύδια καὶ τοὺς πόδας ὕδατι, καὶ ἐπιθήσεις ἐπὶ τὰ δ'χοσμήματα σὺν τῇ κεφαλῇ, καὶ ἀνοίσεις τ̃ κριὸν ὅλον ἐπὶ τὸ θυσιαστήριον ὁλοκαύτωμα τῷ κυρίῳ εἰς ὀσμὴν εὐωδίας, θυσίασμα κυρίῳ ἐστί. κὴ λήψη τ̃ κριοῦ τ̃ δ'ύτερον, καὶ ἐπιθήσῃ ἀαρὼμ κὴ οἱ υἱοὶ αὐτ̃ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τ̃ κριοῦ, καὶ σφάξεις αὐτὸν, καὶ λήψη τ̃ αἵματ@ αὐτ̃, κὴ ἐπιθήσεις ἐπὶ τὸν λοβὸν τ̃ οὖς ἀαρὼμ τ̃ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τ̃ χειρὸς τ̃ δεξιᾶς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ, καὶ ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων υἱῶν αὐτοῦ τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν. καὶ λήψη ἀπὸ τοῦ αἵματ@ τοῦ θυσιαστηρίου, καὶ ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως, καὶ ῥανεῖς ἐπὶ ἀαρὼμ, καὶ ἐπὶ τὴν στολὴν αὐτοῦ, καὶ ἐπὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐπὶ τὰς στολὰς τῶν υἱῶν αὐτ̃ μετ' αὐτοῦ, καὶ ἁγιασθήσεται αὐτὸς, καὶ ἡ στολὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτ̃, καὶ αἱ στολαὶ τῶν υἱῶν αὐτοῦ μετ' αὐτ̃. καὶ ἦ αἷμα τ̃ κριοῦ προσχεεῖς πρὸς τὸ θυσιαστήριον κύκλῳ, καὶ λήψη ἀπὸ τοῦ κριοῦ τὸ στέαρ αὐτοῦ, καὶ τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν αὐτ̃, κὴ τ̃ λοβὸν τοῦ ἥπατ@, @ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτ̃, κὴ τὸν βραχίονα τὸν δεξιόν. ἔστι γὰρ τελείωσις αὕτη. καὶ ἄρτον ἕνα ἐξ ἐλαίου, καὶ λάγανον ἕν ἀπὸ τοῦ λανοῦ τῶν ἀζύμων τῶν προτεθειμένων ἐναντι κυρίου, κὴ ἐπιθήσεις τὰ πάντα ἐπὶ τὰς χεῖρας ἀαρὼμ, @ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ, καὶ ἀφορεῖς αὐτοὺς ἀφόρισμα ἔναντι κυρίου, καὶ ἐπιθήσεις τὰ πάν-

τα υδη τας χειρας αὐτῶν, καὶ λέξει αὐτὰ ἐκ τῶν χειρῶν αὐτῶν, καὶ αὐήσεις υδη τὸ θυσιαστήριον τ ὁλοκαυτώσεως ἐς ὀσμὴν ἀνωδίας ἐναντι κυρίε, καλέπωμά ὅτι κυρίω. καὶ λήψη τὸ σκεύασμα ἀπὸ τῦ μέρους τ τελειώσεως, ὃ ὅτιν ἀαρών, καὶ ἀφορίσεις αὐτὸ ἀφόρισμα ἐναντι κυρίου, καὶ ἔσαι σοι μερίδι. καὶ ἁγιάσεις τὸ σκεύασμα ἀφόρισμα, καὶ τὸν βραχίονα τῦ ἀφαιρέματος, ὃς ἀφώρισαι, καὶ ὃς ἀφηρέται ἀπὸ τῦ μέρους τ τελειώσεως ἀπὸ τῦ ἀαρών, καὶ ἀπὸ τῶν υἱῶν αὐτῦ. καὶ ἔσαι ἀαρών καὶ τοῖς υἱοῖς αὐτῦ νόμιμον αἰώνιον παρὰ τῶν υἱῶν ἰσραήλ. ἔστι γὰρ ἀφαίρεμα ἔστω, καὶ ἀφόρισμα ἔσαι παρὰ τῶν υἱῶν ἰσραήλ ἀπὸ τῶν θυσιασμάτων τῶν σωτηρίων ἀφαίρεμα τ κυρίω. καὶ ἡ στολὴ τῦ ἁγίου ἣ ὅτιν ἀαρών, ἔσαι τοῖς υἱοῖς αὐτῦ μετ' αὐτόν, χρισθῆναι αὐτοὺς ἐν αὐτοῖς, καὶ τελειῶσαι τὰς χεῖρας αὐτῶν. ἑπτὰ ἡμέρας ἐνδύσεται αὐτὰ ὁ ἱερεὺς ὁ μέγας αὐτ' αὐτῦ ἐκ τῶν υἱῶν αὐτῦ, ὃς εἰσελεύσεται εἰς τὴν σκηνὴν τῦ μαρτυρίου λειτουργεῖν ἐν τοῖς ἁγίοις. καὶ τὸν μόσχον τ τελειώσεως λήψη, καὶ ἑψήσεις τὰ κρέα ἐν τόπῳ ἁγίῳ, καὶ ἔδονται ἀαρών καὶ οἱ υἱοὶ αὐτῦ τὰ κρέα τῦ μόσχου, καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ παρὰ τὰς θύρας τ σκηνῆς τῦ μαρτυρίου. ἔδονται αὐτὰ ἐν οἷς ἡγιάσθησαν ἐν αὐτοῖς τελειῶσαι τὰς χεῖρας αὐτῶν ἁγιάσαι αὐτούς. καὶ ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτῶν, ἔστι γὰρ ἅγια. ἐὰν δὲ καταλειφθῇ ἀπὸ τῶν κρεῶν τ θυσίας τ τελειώσεως, καὶ τῶν ἄρτων ἕως πρωΐ, κατακαύσεις τὰ λοιπὰ πυρί, οὐ βρωθήσεται. ἁγίασμα γάρ ὅτι. καὶ ποιήσεις ἀαρών καὶ τοῖς υἱοῖς αὐτῦ οὕτω κατὰ πάντα ὅσα ἐνετειλάμην σοι. ἑπτὰ ἡμέρας τελειώσεις τὰς χεῖρας αὐτῶν, καὶ τὸ μοσχάριον τὸ τ ἁμαρτίας ποιήσεις τῇ ἡμέρᾳ τοῦ καθαρισμοῦ. καὶ καθαριεῖς τὸ θυσιαστήριον ἐν τῷ ἀγιάζειν σε ἐπ' αὐτῷ, καὶ χρίσεις αὐτὸ ὥς τε ἁγιάσαι αὐτό. ἑπτὰ ἡμέρας καθαριεῖς τὸ θυσιαστήριον, καὶ ἁγιάσεις αὐτό, καὶ ἔσαι τὸ θυσιαστήριον ἅγιον τῶν ἁγίων. πᾶς ὁ ἁπτόμενος τ θυσιαστηρίου, ἁγιασθήσεται. καὶ τοῦτό ὅτιν ὅσα ποιήσεις ὑδὴ τῷ θυσιαστηρίῳ, ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τῇ ἡμέραν ἐνδελεχῶς καρπωμα ἐνδελεχισμόν. τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ πρωΐ, καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν, καὶ δέκατον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ λεκομμένῳ τῷ τετάρτῳ τῷ εἵν, καὶ σπονδὴν τὸ τέταρτον τ εἵν οἶνον τῷ ἀμνῷ τῷ ἑνί. καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινὸν κατὰ τὴν θυσίαν τὴν πρωϊνὴν, καὶ κατὰ τὴν σπονδὴν αὐτ, ποιήσεις εἰς ὀσμὴν ἀνωδίας καρπωμα κυρίω, θυσίαν ἐνδελεχισμὸν εἰς τὰς γενεὰς ὑμῶν, ὑδὴ τὰς θύρας τ σκηνῆς τ μαρτυρίου ἐναντι κυρίε. ἐν οἷς γνωδήσομαί σοι ἐκεῖ, ὥστε λαλῆσαί σοι, καὶ πάξομαι ἐκεῖ τοῖς υἱοῖς ἰσραήλ, καὶ ἁγιασθήσομαι ἐν δόξῃ μου. καὶ ἁγιάσω τ σκηνὴν τ μαρτυρίου, καὶ τὸ θυσιαστήριον. καὶ ἀαρὼν καὶ οἱ υἱοὶ αὐτ ἁγιάσω ἱεράτευμά μοι. καὶ κατασκηνώσω ἐν τοῖς υἱοῖς ἰσραήλ, καὶ ἔσομαι αὐτ θεός, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν, ὁ ἐξαγαγὼν αὐτοὺς ἐκ γῆς αἰγύπτου τοῦ κατασκηνῶσαι αὐτοῖς, καὶ εἶν αὐτῶν θεός.

ΚΕΦΑΛ. λ'. 30.

ΚΑὶ ποιήσεις θυσιαστήριον θυμιάματος ἐκ ξύλων ἀσήπτων, καὶ ποιήσεις αὐτὸ πῆχεως τὸ μῆκος, καὶ πήχεως τὸ εὖρος τετράγωνον ἔσαι, καὶ δύο πήχεων τὸ ὕψος. ἐξ αὐτ ἔσαι τὰ κέρατα αὐτῦ, καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ καθαρῷ, τὴν ἐσχάρίδα αὐτ, καὶ τοὺς πλαγίους αὐτ κύκλῳ, καὶ τὰ κέρατα αὐτ. καὶ ποιήσεις αὐτῷ στεφάνην στεφάνην χρυσῆν κύκλῳ. καὶ δύο δακτυλίους χρυσοῦς καθαροὺς ποιήσεις αὐτῷ ὑπὸ τὴν στεφάνην στεφάνην αὐτ, εἰς τὰ δύο μέλη ποιήσεις ἐπὶ τοῖς δυσὶ πλευραῖς. καὶ ἔσονται φαλίδες τοῦ σκυτάλας, ὥστε αἴρειν αὐτὸ ἐν αὐταῖς. καὶ ποιήσεις σκυτάλας ἐκ ξύλων ἀσήπτων, καὶ καταχρυσώσεις αὐτὰς χρυσίῳ, καὶ θήσεις αὐτὸ ἀπέναντι τῦ καταπετάσματος τοῦ ὄντος ὑδὴ τ κιβωτῷ τῶν μαρτυρίων, ἐν οἷς γνωδήσομαί σοι ἐκεῖ. καὶ θυμιάσει ἀαρὼν ἐπ' αὐτ θυμίαμα σύνθετον λεπτὸν τὸ πρωΐ πρωΐ, ὅταν ἀποσκοσμίζῃ τοὺς λύχνους, θυμιάσει ἐπ' αὐτῦ. καὶ ὅταν ἅπτῃ ἀαρὼν τοὺς λύχνους ὀψέ, θυμιάσει ἐπ' αὐτῦ θυμίαμα ἐνδελεχισμοῦ διαπαντὸς ἐναντι κυρίου, εἰς τὰς γενεὰς αὐτῶν. καὶ οὐκ ἀνοίσετε ἐπ' αὐτ θυμίαμα ἕτερον. λάρπωμα, θυσίαν, καὶ σπονδὴν οὐ ποιήσετε ἐπ' αὐτῦ. καὶ ἐξιλάσεται ἀαρὼν ἐπὶ τῶν κεράτων αὐτοῦ ἅπαξ τοῦ ἐνιαυτοῦ, ἀπὸ τοῦ αἵματος τοῦ καθαρισμοῦ τῶν ἁμαρτιῶν τοῦ ἐξιλασμοῦ, ἅπαξ τοῦ ἐνιαυτοῦ καθαριεῖ αὐτὸ εἰς τὰς γενεὰς αὐτῶν, ἅγιον τῶν ἁγίων ὅτι κυρίω. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ἐὰν λάβῃς τὸν συλλογισμὸν τῶν υἱῶν ἰσραήλ ἐν τῇ ἐπισκοπῇ αὐτῶν, καὶ δώσουσιν ἕκαστος λύτρα περὶ τῆς ψυχῆς αὐτῶν τ κυρίω, καὶ οὐκ ἔσαι ἐν αὐτοῖς πτῶσις ἐν τῇ ἐπισκοπῇ αὐτῶν. καὶ τοῦτο ὅτιν ὃ δώσουσιν. ὅσοι ἂν παραπορεύωνται τὴν ἐπίσκεψιν, τὸ ἥμισυ τοῦ διδράχμου, κατὰ τὸ δίδραχμον τὸ ἅγιον. εἴκοσι ὀβολοὶ τὸ δίδραχμον, τὸ δὲ ἥμισυ τοῦ διδράχμου εἰσφορὰ κυρίω. πᾶς ὁ παραπορευόμενος εἰς τὴν ἐπίσκεψιν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, δώσουσι τὴν εἰσφορὰν κυρίω. ὁ πλούτων οὐ πλεονάσει, καὶ ὁ πτωχεύων οὐκ ἐλαττονήσει ἀπὸ τοῦ ἡμίσεως τοῦ διδράχμου ἐν τῷ διδόναι τὴν εἰσφορὰν κυρίω, περὶ τῶν υἱῶν ἰσραήλ, ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν. καὶ λήψη τὸ ἀργύριον τῆς εἰσ-

φορᾶς

φορᾶς πρὸ τῶν υἱῶν ἰσραὴλ, καὶ δώσεις αὐτὸ εἰς τὸ λατρεύειν τὴν σκηνῆς τοῦ μαρτυρίου, καὶ ἔσαι τοῖς υἱοῖς ἰσραὴλ μνημόσυνον ἔναντι κυρίου, ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ποίησον λουτῆρα χαλκοῦν, καὶ βάσιν αὐτοῦ χαλκῆν, ὥστε νίπτεσθαι, καὶ θήσεις αὐτὸν ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἀνὰ μέσον τοῦ θυσιαστηρίου, καὶ ἐκχεεῖς εἰς αὐτὸν ὕδωρ, καὶ νίψεται ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἐξ αὐτοῦ τὰς χεῖρας αὐτῶν, καὶ τοὺς πόδας, ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου νίψονται ὕδατι, καὶ οὐκ ἀποθανοῦνται. ἢ ὅταν προσπορεύωνται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν, καὶ ἀναφέρειν τὰ ὁλοκαυτώματα κυρίῳ, νίψονται τὰς χεῖρας καὶ τοὺς πόδας ὕδατι, ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἵνα μὴ ἀποθανοῦσι. καὶ ἔσαι αὐτοῖς νόμιμον αἰώνιον αὐτῷ, καὶ τοῖς γένεσιν αὐτῶν μετ' αὐτόν. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· καὶ σὺ λάβε ἡδύσματα ἄνθος σμύρνης ἐκλεκτῆ πεντακοσίας σίκλους, κινναμώμου δυϊστίας τὸ ἥμισυ τούτου διακοσίας πεντήκοντα, καὶ καλάμου δυϊστίας διακοσίας πεντήκοντα, καὶ ἱερεῖον πεντακοσίους σίκλους τοῦ ἁγίου, καὶ ἔλαιον ἐξ ἐλαίων εἷν, καὶ ποιήσεις αὐτὸ ἔλαιον χρίσματος ἅγιον, μύρον μυρεψικὸν τέχνῃ μυρεψοῦ. ἔλαιον χρίσματος ἅγιον ἔσαι, καὶ χρίσεις ἐξ αὐτοῦ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὴν κιβωτὸν τοῦ μαρτυρίου, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν λυχνίαν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος, καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων, καὶ πάντα αὐτοῦ τὰ σκεύη. καὶ τὴν τραπέζαν, καὶ πάντα τὰ σκεύη αὐτῆς. καὶ τὸν λουτῆρα, καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἁγιάσεις αὐτὰ, καὶ ἔσαι ἅγια τὰ ἅγια. πᾶς ὁ ἁπτόμενος αὐτῶν, ἁγιασθήσεται. καὶ ἀαρὼν, καὶ τοὺς υἱοὺς αὐτοῦ χρίσεις, καὶ ἁγιάσεις αὐτοὺς ἱερατεύειν μοι. καὶ τοῖς υἱοῖς ἰσραὴλ λαλήσεις, λέγων· ἔλαιον ἄλιμμα χρίσεως ἅγιον ἔσαι τοῦτο ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν. ὡὴ σάρκα ἀνθρώπου ἐπὶ χοὶ θήσεται, καὶ κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς ὡσαύτως. ἅγιόν ἐστι, καὶ ἁγίασμα ἔσαι ὑμῖν, ὃς ἂν ποιήσῃ ὡσαύτως, καὶ ὃς ἂν δῷ ἀπ' αὐτοῦ ἀλλογενεῖ, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· λάβε σεαυτῷ ἡδύσματα, σακτὴν, καὶ ὄνυχα, καὶ χαλβάνην ἡδυσμοῦ, καὶ λίβανον διαφανῆ, ἴσον ἴσῳ ἔσαι, καὶ ποιήσουσιν αὐτὸ θυμίαμα μυρεψικὸν ἔργον μυρεψικῆς συνθέσεως, καθαρὸν ἔργον ἅγιον. καὶ συγκόψεις ἐκ τούτων λεπτὸν, καὶ θήσεις ἀπέναντι τῶν μαρτυρίων ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν. ἅγιον τῶν ἁγίων ἔσαι ὑμῖν θυμίαμα. κατὰ τὴν σύνθεσιν ταύτην ὃ ποιήσετε ὑμῖν ἑαυτοῖς. ἅγιασμα ἔσαι ὑμῖν κυρίῳ. ὃς ἂν ποιήσῃ ὡσαύτως, ὥς τε ὀσφραίνεσθαι ἐν αὐτῷ, ἐξολεθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτοῦ.

ΚΕΦΑΛ. λϛ. 31.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ἰδοὺ ἀνακέκληκα ἐξ ὀνόματος τὸν Βεσελεὴλ τὸν τοῦ οὐρὶ υἱοῦ ὤρ, ἐκ τῆς φυλῆς ἰούδα, καὶ ἀνεπλήρωσα αὐτὸν πνεύματι θεοῦ σοφίας, καὶ συνέσεως, καὶ ἐπιστήμης ἐν παντὶ ἔργῳ διανοεῖσθαι, καὶ ἀρχιτεκτονεῖν ὀργάζεσθαι τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ τὸν χαλκὸν, καὶ τὴν ὑακινθον, καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον τὸ νηθὲν, καὶ τὴν βύσσον τὴν λεπτοσυνθέτην, καὶ τὰ λιθουργικὰ εἰς τὰ ὀργανα, καὶ τὰ τεκτονικὰ τῶν ξύλων ὀργάζεσθαι κατὰ πάντα τὰ ὀργανα. καὶ ἐγὼ διέθηκα αὐτῷ, καὶ τὸν ἐλιαὰβ τὸν τοῦ ἀχισαμὰχ ἐκ φυλῆς δαν. καὶ παντὶ συνετῷ καρδίᾳ διέθηκα σύνεσιν. καὶ ποιήσουσι, καὶ ποιήσουσι πάντα ὅσα συνέταξά σοι. τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὴν κιβωτὸν τοῦ διαθήκης, καὶ τὸ ἱλαστήριον τὸ ἐπ' αὐτῆς, καὶ τὴν διασκευὴν τῆς σκηνῆς, καὶ τὸ θυσιαστήριον, καὶ τὴν τραπέζαν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν λυχνίαν τὴν καθαρὰν, καὶ πάντα τὰ σκεύη αὐτῆς. καὶ τὸν λουτῆρα, καὶ τὴν βάσιν αὐτοῦ, καὶ τὰς στολὰς τὰς λειτουργικὰς ἀαρὼν, καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ, εἰς τὸ ἱερατεύειν μοι. καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸ θυμίαμα τῆς συνθέσεως τοῦ ἁγίου, κατὰ πάντα ὅσα ἐγὼ συντέταλμαί σοι, ποιήσουσι. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν, λέγων· καὶ σὺ σύνταξον τοῖς υἱοῖς ἰσραὴλ, λέγων· ὁρᾶτε, τὰ σάββατά μου φυλάξασθε. ἔστι γὰρ σημεῖον παρ' ἐμοὶ, καὶ ἐν ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν, ἵνα γνῶτε ὅτι ἐγὼ κύριος ὁ ἁγιάζων ὑμᾶς. καὶ φυλάξασθε τὸ σάββατον, ὅτι ἅγιον τοῦτο κυρίῳ, καὶ ὑμῖν, ὁ βεβηλῶν αὐτὸ, θανάτῳ θανατωθήσεται. πᾶς ὃς τις ποιήσει ἐν αὐτῷ ὀργον, ἐξολεθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ μέσου τοῦ λαοῦ αὐτῆς. ἓξ ἡμέρας ποιήσεις ὀργα, τῇ δὲ ἡμέρᾳ ἑβδόμῃ σάββατα, ἀνάπαυσις ἁγία τοῦ κυρίου. πᾶς ὃς ποιήσει ἔργον τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, θανάτῳ θανατωθήσεται. καὶ φυλάξουσιν οἱ υἱοὶ ἰσραὴλ τὰ σάββατα, ποιεῖν αὐτὰ εἰς τὰς γενεὰς αὐτῶν. διαθήκη αἰώνιος ἐν ἐμοὶ, καὶ τοῖς υἱοῖς ἰσραὴλ σημεῖόν ἐστιν αἰώνιον. ὅτι ἐν ἓξ ἡμέραις ἐποίησε κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐπαύσατο, καὶ κατέπαυσε. καὶ ἔδωκε μωϋσεῖ, ὡνίκα κατέπαυσε λαλῶν αὐτῷ ἐν τῷ ὄρει τῷ σινᾶ, τὰς δύο πλάκας τοῦ μαρτυρίου, πλάκας λιθίνας γεγραμμένας τοῦ δακτύλου τοῦ θεοῦ.

ΚΕΦΑΛ. λϛ. 32.

Καὶ ἰδὼν ὁ λαὸς ὅτι μεχρόνικε μωϋσῆς καταβῆναι ἐκ τοῦ ὄρους, συνέστη ὁ λαὸς ὡὴ ἀαρὼν, καὶ λέγουσιν αὐτῷ· ἀνάστηθι, καὶ ποίησον ἡμῖν θεοὺς οἳ πορεύσονται ἡμῶν. ὁ γὰρ μωϋ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σης οὗτος ὁ ἀνὴρ, ὃς ἐξήγαγέν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. καὶ λέγει αὐτοῖς Ἀαρών· περιέλεσθε τὰ χρύσια τὰ ἐν τοῖς ὠσὶ τῶν γυναικῶν ὑμῶν, καὶ τῶν υἱῶν ὑμῶν, καὶ τῶν θυγατέρων, καὶ φέρετε πρός με. καὶ περιεῖλοντο πᾶς ὁ λαὸς τὰ χρύσια τὰ ἐν τοῖς ὠσὶ τῶν γυναικῶν αὐτῶν, καὶ ἤνεγκαν πρὸς Ἀαρών, καὶ ἔλαβε ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἔπλασεν αὐτὰ ἐν τῇ γραφίδι, καὶ ἐποίησεν αὐτὰ μόσχον χωνευτόν, καὶ εἶπαν· οὗτοί σου οἱ θεοί Ισραηλ οἱ τινές σε ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου. καὶ ἰδὼν Ἀαρών, ᾠκοδόμησε θυσιαστήριον κατέναντι αὐτοῦ, καὶ ἐκήρυξεν Ἀαρὼν λέγων· ἑορτὴ τῷ Κυρίῳ αὔριον. καὶ ὀρθρίσαντες τῇ ἐπαύριον ἀνεβίβασαν ὁλοκαυτώματα, καὶ προσήνεγκε θυσίαν σωτηρίου. καὶ ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πεῖν, καὶ ἀνέστησαν παίζειν. καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων· Βάδιζε, κατάβηθι γὰρ κατέβηθι, ἠνόμησε γὰρ ὁ λαός σου ὃν ἐξήγαγες ἐκ γῆς Αἰγύπτου, παρεβήσαν ταχὺ ἐκ τῆς ὁδοῦ ἧς ἐνετείλω αὐτοῖς. ἐποίησαν ἑαυτοῖς μόσχον, καὶ προσκεκυνήκασιν αὐτῷ, καὶ τεθύκασιν αὐτῷ, καὶ εἶπαν· οὗτοί σου οἱ θεοί Ισραηλ, οἵ τινές σε ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου. καὶ νῦν ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ ἐξολεθρεύσω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα. καὶ ἐδεήθη Μωϋσῆς κατέναντι Κυρίου τοῦ θεοῦ αὐτοῦ, καὶ εἶπεν· ἵνα τί Κύριε θυμοῖ ὀργῇ ἐπὶ τὸν λαόν σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου, ἐν ἰσχύϊ μεγάλῃ, καὶ ἐν χειρὶ βραχίονί σου ὑψηλῷ; μή ποτε εἴπωσιν οἱ Αἰγύπτιοι λέγοντες, μετὰ πονηρίας ἐξήγαγεν αὐτοὺς ἀποκτεῖναι ἐν τοῖς ὄρεσι, καὶ ἐξαναλῶσαι αὐτοὺς ἀπὸ τῆς γῆς. παῦσαι τῆς ὀργῆς τοῦ θυμοῦ σου, καὶ ἵλεως γενοῦ ἐπὶ τῇ κακίᾳ τοῦ λαοῦ σου, μνήσθητι Ἀβραὰμ καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ τῶν θεραπόντων σου οἷς ὤμοσας αὐτοῖς κατὰ σεαυτοῦ, καὶ ἐλάλησας πρὸς αὐτοὺς λέγων· πολύ πληθυνῶ τὸ σπέρμα ὑμῶν, ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. καὶ πᾶσαν τὴν γῆν ταύτην, ἣν εἶπας δώσειν τῷ σπέρματι αὐτῶν, καὶ καθέξουσιν αὐτὴν εἰς τὸν αἰῶνα. καὶ ἐλάθετο Κύριος τοῦ κακίας, ἧς εἶπε ποιῆσαι τῷ λαῷ αὐτοῦ. καὶ ἀποστρέψας Μωϋσῆς, κατέβη ἐκ τοῦ ὄρους, καὶ αἱ δύο πλάκες τὸ μαρτύριον ἐν ταῖς χερσὶν αὐτοῦ, πλάκες λίθιναι κατεγεγραμμέναι ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῶν, ἔνθεν καὶ ἔνθεν ἦσαν κατεγεγραμμέναι, καὶ αἱ πλάκες ἔργον θεοῦ ἦσαν, καὶ ἡ γραφὴ, γραφὴ θεοῦ ὄντι κεκολαμμένη ἐν ταῖς πλαξί. καὶ ἀκούσας Ἰησοῦς τὴν φωνὴν τοῦ λαοῦ ἱεραζόντων, λέγει πρὸς Μωϋσῆν· φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ. καὶ λέγει Μωϋσῆς· οὐκ ἔστι φωνὴ ἐξ ἀρχόντων κατ' ἰσχύν, οὐδὲ φωνὴ ἐξ ἀρχόντων βροπῆς, ἀλλὰ φωνὴν ἐξ ἀρχόντων οἴνου ἐγὼ ἀκούω. νίνικα δὲ ἤγγικε τῇ παρεμβολῇ, ὁρᾷς τὸν μόσχον, καὶ τοὺς χορούς. καὶ ὀργισθεὶς θυμῷ Μωϋσῆς, ἔῤῥιψεν ἀπὸ τῶν χειρῶν αὐτοῦ τὰς δύο πλάκας, καὶ συνέτριψεν αὐτὰς ὑπὸ τὸ ὄρος. καὶ λαβὼν τὸν μόσχον ὃν ἐποίησαν, κατέκαυσεν αὐτὸν πυρί, καὶ κατέλεσεν αὐτὸν λεπτόν, καὶ ἔπασεν αὐτὸν ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισεν αὐτὸ τοὺς υἱοὺς Ισραηλ. καὶ εἶπε Μωϋσῆς πρὸς Ἀαρών· τί ἐποίησέ σοι ὁ λαὸς οὗτος ὅτι ἐπήγαγες ἐπ' αὐτὸν ἁμαρτίαν μεγάλην; καὶ εἶπεν Ἀαρὼν πρὸς Μωϋσῆν· μὴ ὀργίζου Κύριε. σὺ γὰρ οἶδας τὸν λαὸν τοῦτον τὸ ὁρμητικόν. λέγουσι γάρ μοι· ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν. ὁ γὰρ Μωϋσῆς οὗτος ὁ ἄνθρωπος ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. καὶ εἶπα αὐτοῖς· τίνι ὑπάρχει χρυσία, περιέλεσθε. καὶ περιείλοντο, καὶ ἔδωκάν μοι, καὶ ἔῤῥιψα αὐτὰ εἰς τὸ πῦρ, καὶ ἐξῆλθεν ὁ μόσχος οὗτος. καὶ ἰδὼν Μωϋσῆς τὸν λαὸν ὅτι διεσκέδασται (διεσκέδασε γὰρ αὐτοὺς Ἀαρὼν ἐπίχαρμα τοῖς ὑπεναντίοις αὐτῶν) ἔστη Μωϋσῆς ἐπὶ τῆς πύλης τῆς παρεμβολῆς, καὶ εἶπε· τίς πρὸς Κύριον, ἴτω πρός με. συνήλθοσαν οὖν πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Λευΐ, καὶ εἶπεν αὐτοῖς· τάδε λέγει Κύριος ὁ θεὸς Ισραηλ. θέσθε ἕκαστος τὴν ἑαυτοῦ ῥομφαίαν ἐπὶ τὸν μηρὸν, καὶ διέλθετε, καὶ ἀναστρέψατε ἀπὸ πύλης ἐπὶ πύλην διὰ τῆς παρεμβολῆς, καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ. καὶ ἐποίησαν οἱ υἱοὶ Λευὶ κατὰ τὰ λαληθέντα ὑπὸ Μωϋσῆ. καὶ ἔπεσον ἐκ τοῦ λαοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τρισχιλίους ἄνδρας. καὶ εἶπεν αὐτοῖς Μωϋσῆς· ἐκπληρώσατε τὰς χεῖρας ὑμῶν σήμερον Κυρίῳ ἕκαστος ἐν τῷ υἱῷ αὐτοῦ καὶ ἐν τῷ ἀδελφῷ αὐτοῦ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν. καὶ ἐγένετο μετὰ τὴν ἐπαύριον, εἶπε Μωϋσῆς πρὸς τὸν λαόν· ὑμεῖς ἡμαρτήκατε ἁμαρτίαν μεγάλην, καὶ νῦν ἀναβήσομαι πρὸς τὸν θεόν, ἵνα ἐξιλάσωμαι περὶ τῆς ἁμαρτίας ὑμῶν. ἐπέστρεψε δὲ Μωϋσῆς πρὸς Κύριον, καὶ εἶπε· δέομαι Κύριε, ἡμάρτηκεν ὁ λαὸς οὗτος ἁμαρτίαν μεγάλην. καὶ ἐποίησαν ἑαυτοῖς θεοὺς χρυσοῦς. καὶ νῦν εἰ μὲν ἄφες αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου ἧς ἔγραψας. καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν· εἴ τις ἥμαρτηκέν μοι, ἐξαλείψω αὐτὸν ἐκ τῆς βίβλου μου. νῦν δὲ βάδιζε καὶ καταβήθι, καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον, οὗ εἶπά σοι. ἰδοὺ ὁ ἄγγελός μου προπορεύσεται πρὸ προσώπου σου. ἡ δ' ἂν ἡμέρᾳ ἐπισκέψωμαι, ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν. καὶ ἔπαξε Κύριος τὸν λαὸν περὶ τῆς ποιήσεως τοῦ μόσχου, οὗ ἐποίησαν Ἀαρών.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. λγ'. 33.

ΚΑὶ εἶπε κύριος πρὸς μωϋσῆν· πορεύου, ἀνάβηθι ἐντοῦθεν σὺ καὶ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς αἰγύπτου, εἰς τὴν γῆν ἣν ὤμοσα τῷ ἀβραὰμ, καὶ ἰσαὰκ, καὶ ἰακὼβ, λέγων· τῷ σπέρματι ὑμῶν δώσω αὐτήν, καὶ σωαποστελῶ πρὸ προσώπου σε τὸν ἄγγελόν μου, καὶ ἐκβαλεῖς τὸν χαναναῖον, τὸν ἀμορῥαῖον, καὶ χετταῖον, καὶ φορεζαῖον, καὶ γεργεσαῖον, καὶ εὐαῖον, καὶ ἰεβουσαῖον, καὶ εἰσάξω σε εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι. ἐγὼ μὴ σωαναβῶ μετὰ σοῦ διὰ τὸ τὸν λαὸν σκληροτράχηλον εἶναι, ἵνα μὴ ἐξαναλώσω σε ἐν τῇ ὁδῷ. καὶ ἀκούσας ὁ λαὸς τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, κατεπενθήσαν ἐν πένθει μεγάλῳ. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· λάλησον τοῖς υἱοῖς ἰσραὴλ. ὑμεῖς λαὸς σκληροτράχηλος, ὁρᾶτε μὴ πλησίον ἄλλων ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς, καὶ ἐξαναλώσω ὑμᾶς. νῦν οὖν ἀφέλεσθε τὰς στολὰς τῆς δόξης ὑμῶν, καὶ θήσω κόσμον, καὶ δείξω ἃ ποιήσω σοι. καὶ περιείλοντο οἱ υἱοὶ ἰσραὴλ τὸν κόσμον αὐτῶν, καὶ τῶν πρώτων ἀπὸ τοῦ ὄρους τοῦ χωρήβ. καὶ λαβὼν μωϋσῆς τὴν σκηνὴν αὐτοῦ, ἔπηξεν ἔξω τῆς παρεμβολῆς μακρὰν ἀπὸ τῆς παρεμβολῆς, καὶ ἐκλήθη σκηνὴ μαρτυρίου. καὶ ἐγένετο, πᾶς ὁ ζητῶν κύριον ἐξεπορεύετο εἰς τὴν σκηνὴν ἔξω τῆς παρεμβολῆς. ἡνίκα δ' ἂν εἰσεπορεύετο μωϋσῆς εἰς τὴν σκηνὴν ἔξω τῆς παρεμβολῆς, εἱστήκει πᾶς ὁ λαὸς σκοπεύοντες ἕκαστος παρὰ τὰς θύρας τῆς σκηνῆς αὐτοῦ, καὶ διατενόουν ὀπίσω μωϋσῆ, ἕως τοῦ εἰσελθεῖν αὐτὸν εἰς τὴν σκηνήν. ὡς δ' ἂν εἰσῆλθε μωϋσῆς εἰς τὴν σκηνὴν, διεστέλλετο ὁ στύλος τῆς νεφέλης, καὶ ἵστατο ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ ἐλάλει μωϋσῆ. καὶ ἑώρα πᾶς ὁ λαὸς τὸν στύλον τῆς νεφέλης ἑστῶτα ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ ἀνέστη πᾶς ὁ λαὸς προσκυνήσαι ἕκαστος ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν, ἐνώπιον ἐνωπίῳ, ὡς εἴ τις λαλήσαι πρὸς ἑαυτὸν φίλον. καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν. ὁ δὲ θεράπων ἰησοῦς υἱὸς ναυῆ νεὸς, οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς. καὶ εἶπε μωϋσῆς πρὸς κύριον. ἰδοὺ σύ μοι λέγεις, ἀνάγαγε τὸν λαὸν τοῦτον. σὺ δὲ οὐκ ἐδήλωσάς μοι ὃν σωαποστελεῖς μετ' ἐμοῦ. σὺ δέ μοι εἶπας, οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ' ἐμοί. εἰ οὖν εὕρηκα χάριν ἐνώπιόν σου, ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς, ἵνα σε, ἅπως ἂν εὑρηκὼς χάριν ἐνώπιόν σου, καὶ ἵνα γνῶ ὅτι λαός σου τὸ ἔθνος τοῦτο. καὶ λέγει· αὐτός σοι προπορεύσομαί σε, καὶ καταπαύσω σε. καὶ εἶπε πρὸς αὐτόν· εἰ μὴ σὺ αὐτὸς συμπορεύσῃ μεθ' ἡμῶν, μή με ἀναγάγῃς ἐντοῦθεν. καὶ πῶς γνωσθήσεται ἐγὼ καὶ ὁ λαός σου ὅτι εὕρηκα χάριν παρὰ σοὶ ἐγώ τε, καὶ ὁ λαός σου; ἀλλ' ἢ συμπορευομένου σε μεθ' ἡμῶν, καὶ δοξασθήσομαι ἐγώ τε, καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς ἐστιν. εἶπε δὲ κύριος πρὸς μωϋσῆν· καὶ τοῦτό σοι τὸ ῥῆμα λόγου ὃν εἴρηκας, ποιήσω. εὕρηκας γὰρ χάριν ἐνώπιόν μου, καὶ οἶδά σε παρὰ πάντας, καὶ λέγει· δείξον μοι τὴν σεαυτοῦ δόξαν. καὶ εἶπε· ἐγὼ παρελεύσομαί πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω τὸ ὄνομα κυρίου ἐνώπιόν σου, καὶ ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. καὶ εἶπε· οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου. οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται. καὶ εἶπε κύριος· ἰδοὺ τόπος παρ' ἐμοί, καὶ στήσῃ ἐπὶ τῆς πέτρας. ἡνίκα δ' ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας, καὶ σκεπάσω τῇ χειρί μου ἐπί σε, ἕως ἂν παρέλθω καὶ ἀφελῶ τὴν χεῖρά μου. καὶ ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.

ΚΕΦΑΛ. λδ'. 34.

ΚΑὶ εἶπε κύριος πρὸς μωϋσῆν· λάξευσον σεαυτῷ δύο πλάκας λιθίνας, καθὼς καὶ πρῶτον, καὶ ἀνάβηθι πρός με εἰς τὸ ὄρος, καὶ γράψω ἐπὶ τῶν πλακῶν τὰ ῥήματα ἃ ἦν ἐπὶ ταῖς πλαξὶ ταῖς πρώταις, ἃς συνέτριψας. καὶ γίνου ἕτοιμος εἰς τὸ πρωΐ· καὶ ἀναβήσῃ εἰς τὸ ὄρος τὸ σινᾶ, καὶ στήσομαί σοι ἐκεῖ ἐπ' ἄκρου τοῦ ὄρους, καὶ μηδεὶς ἀναβάτω μετὰ σοῦ, καὶ μηδεὶς ὀφθήτω ἐν παντὶ τῷ ὄρει. καὶ τὰ πρόβατα, καὶ οἱ βόες μὴ νεμέσθωσαν πλησίον τοῦ ὄρους ἐκείνου. καὶ ἐλάξευσε δύο πλάκας λιθίνας, καθὰς πρῶτον. καὶ ὀρθρίσας μωϋσῆς πρωΐ, ἀνέβη εἰς τὸ ὄρος τὸ σινᾶ, καθὰ συνέταξεν αὐτῷ κύριος. καὶ ἔλαβε μωϋσῆς μεθ' ἑαυτοῦ τὰς δύο πλάκας τὰς λιθίνας, καὶ κατέβη κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ. καὶ ἐκάλεσε τῷ ὀνόματι κυρίου· καὶ παρῆλθε κύριος πρὸ προσώπου αὐτοῦ, καὶ ἐκάλεσε κύριος, κύριος ὁ θεὸς οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός, καὶ δικαιοσύνην τηρῶν, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας, καὶ ἁμαρτίας, καὶ ἐκκαθαίρων, ἐπάγων ἁμαρτίας πατέρων ἐπὶ τέκνα, καὶ ἐπὶ τέκνα τέκνων ἐπὶ τρίτην καὶ τετάρτην γενεάν. καὶ σπεύσας μωϋσῆς κύψας ἐπὶ τὴν γῆν, προσεκύνησε καὶ εἶπεν· εἰ εὕρηκα χάριν ἐνώπιόν σου, συμπορευθήτω κύριος μεθ' ἡμῶν. ὁ λαὸς γὰρ σκληροτράχηλός ἐστι, καὶ ἀφελεῖς σὺ τὰς ἁμαρτίας, καὶ τὰς ἀνομίας ἡμῶν, καὶ ἔσομαί σοι. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· ἰδοὺ ἐγὼ τίθημί σοι διαθήκην ἐνώπιον παντὸς τοῦ λαοῦ σου, καὶ ποιήσω ἐνδοξα ἃ οὐ γέγονεν ἐν πάσῃ τῇ γῇ, καὶ ἐν παντὶ ἔθνει. καὶ ὄψεται πᾶς ὁ λαός ἐν οἷς εἰσι τὰ ἔργα κυρίου, ὅτι θαυμαστά ἐστι, ἃ ἐγὼ ποιήσω σοι, πρόσεχε σὺ πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι. ἰδοὺ ἐγὼ ἐκβαλῶ ἀπὸ προσώπου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμῶν τὸν ἀμορραῖον, καὶ τὸν χαναναῖον, καὶ τὸν χετταῖον, καὶ τὸν φορεζαῖον, καὶ τὸν εὐαῖον, καὶ
τὸν γεργεσαῖον, καὶ τὸν ἰεβουσαῖον. πρόσεχε σεαυτῷ, μή ποτε θῆς διαθήκην τοῖς ἐγκαθημένοις
ἐπὶ τῆς γῆς, εἰς ἣν εἰσπορεύῃ εἰς αὐτὴν, μή ποτε γένηται πρόσκομμα ἐν ὑμῖν. τὰς βωμοὺς αὐτῶν
καθελεῖτε, καὶ τὰς στήλας αὐτῶν συντρίψετε, καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν
θεῶν αὐτῶν κατακαύσετε πυρί. οὐ γὰρ μὴ προσκυνήσητε θεῷ ἑτέρῳ. ὁ γὰρ κύριος ὁ θεὸς ζη-
λωτὸν ὄνομα, θεὸς ζηλωτής ἐστι. μή ποτε θῆς διαθήκην τοῖς ἐγκαθημένοις ἐπὶ τῆς γῆς, καὶ ἐκπορ-
νεύσωσιν ὀπίσω τῶν θεῶν αὐτῶν, καὶ θύσωσι τοῖς θεοῖς αὐτῶν, καὶ καλέσωσί σε, καὶ φάγῃς τῶν
θυσιῶν αὐτῶν, καὶ λάβῃς τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς σου, καὶ τῶν θυγατέρων σου δῶς τοῖς
υἱοῖς αὐτῶν, καὶ ἐκπορνεύσωσιν αἱ θυγατέρες σου ὀπίσω τῶν θεῶν αὐτῶν, καὶ ἐκπορνεύσωσι
καὶ τοὺς υἱούς σου ὀπίσω τῶν θεῶν αὐτῶν. καὶ θεὸς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ, καὶ τὴν ἑορ-
τὴν τῶν ἀζύμων φυλάξῃ. ἑπτὰ ἡμέρας φαγῇ ἄζυμα, καθὼς πρόσταγμά σοι, κατὰ τὸν καιρὸν
τοῦ μηνὸς τῶν νέων. ἐν γὰρ τῷ μηνὶ τῶν νέων ἐξῆλθες ἐξ αἰγύπτου. πᾶν διανοῖγον μήτραν
ἐμοὶ τὰ ἀρσενικὰ πρωτότοκον μόσχου, καὶ πρωτότοκον προβάτου, καὶ πρωτότοκον ὄνου ζων-
γίῳ, λυτρώσῃ προβάτῳ. ἐὰν δὲ μὴ λυτρώσῃ, τιμὴν δώσεις αὐτοῦ. πᾶν πρωτότοκον τῶν υἱῶν
σου λυτρώσῃ, καὶ οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός. ἓξ ἡμέρας ἐργᾶ, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ κατα-παύ-
σεις τῷ ἀρότρῳ, καὶ τῷ ἀμητῷ καταπαύσεις. καὶ ἑορτὴν ἑβδομάδων ποιήσεις μοι, ἀρχὴν θε-
ερισμῶν πυρῶν, καὶ ἑορτὴν συναγωγῆς μεσοῦντος τοῦ ἐνιαυτοῦ. τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθή-
σεται πᾶν ἀρσενικόν σου ἐνώπιον κυρίου τοῦ θεοῦ Ἰσραήλ. ὅταν γὰρ ἐκβάλω τὰ ἔθνη ἀπὸ προσώ-
που σου, καὶ ἐμπλατύνω τὰ ὅριά σου, οὐκ ὠθυμήσει οὐθεὶς τῆς γῆς σου, ἡνίκα ἐὰν ἀναβαίνῃς ὀ-
φθῆναι ἐνώπιον κυρίου τοῦ θεοῦ σου. τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ οὐ σφαγεῖς ἐπὶ ζύμῃ αἷμα θυσια-
σμάτων μου. καὶ οὐ κοιμηθήσεται εἰς τὸ πρωὶ θῦμα ἑορτῆς τοῦ πάσχα. τὰ πρωτογεννήματα τῆς
γῆς σου εἰσοίσεις εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ σου. οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ. καὶ
εἶπε κύριος πρὸς μωϋσῆν· γράψον σεαυτῷ τὰ ῥήματα ταῦτα. κατὰ γὰρ τὸν λόγον τούτων τέ-
θειμαί σοι διαθήκην, καὶ τῷ Ἰσραήλ. καὶ ἦν ἐκεῖ μωϋσῆς ἐνώπιον κυρίου, τεσσαράκοντα ἡμέρας
καὶ τεσσαράκοντα νύκτας. ἄρτον οὐκ ἔφαγε, καὶ ὕδωρ οὐκ ἔπιε. καὶ ἔγραψεν ἐπὶ τῶν πλακῶν τὰ
ῥήματα ταῦτα τῆς διαθήκης τοὺς δέκα λόγους. ὡς δὲ κατέβαινε μωϋσῆς ἐκ τοῦ ὄρους σινᾶ, καὶ ἰσθὺς
αἱ πλάκες ἐν τῇ χειρὶ μωϋσῆ. καταβαίνοντος δὲ αὐτοῦ ἀπὸ τοῦ ὄρους, καὶ μωϋσῆς οὐκ ᾔδει ὅ-
τι δεδόξασται ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ, ἐν τῷ λαλεῖν αὐτὸν αὐτῷ. καὶ εἶδεν ἀα-
ρὼν καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ τὸν μωϋσῆν, καὶ ἰδοὺ δεδόξασμένη ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώ-
που αὐτοῦ, καὶ ἐφοβήθησαν ἐγγίσαι αὐτῷ. καὶ ἐκάλεσεν αὐτοὺς μωϋσῆς, καὶ ἀπεστράφησαν
πρὸς αὐτὸν ἀαρὼν, καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς, καὶ ἐλάλησε μωϋσῆς πρὸς αὐ-
τούς. καὶ μετὰ ταῦτα προσῆλθον πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐνετείλατο αὐτοῖς
πάντα ὅσα ἐλάλησε κύριος πρὸς αὐτὸν ἐν τῷ ὄρει σινᾶ. ἐπειδὴ κατέπαυσε λαλῶν πρὸς
αὐτούς, ἐπέθηκεν ἐπὶ πρόσωπον αὐτοῦ κάλυμμα. ἡνίκα δ' ἂν εἰσπορεύῃ μωϋσῆς ἐνώπιον κυ-
ρίου, λαλεῖν αὐτῷ, περιῃρεῖτο τὸ κάλυμμα ἕως τῆς ἐκπορεύσεως, καὶ ἐξελθὼν ἐλάλει πᾶ-
σι τοῖς υἱοῖς Ἰσραήλ, ὅσα ἐνετείλατο αὐτῷ κύριος. καὶ εἶδον οἱ υἱοὶ Ἰσραὴλ τὸ πρόσωπον μωϋ-
σέως ὅτι δεδόξασται, καὶ περιέθηκε μωϋσῆς κάλυμμα ἐπὶ τὸ πρόσωπον αὐτοῦ, ἕως ἂν εἰσέλ-
θῃ συλλαλεῖν αὐτῷ.

ΚΕΦΑΛ. λέ. 35.

ΚΑΙ συνήθροισε μωϋσῆς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ, καὶ εἶπε πρὸς αὐτούς· οὗτοι
οἱ λόγοι οὓς εἶπε κύριος ποιῆσαι αὐτούς. ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβ-
δόμῃ διαπαύσεις. ἅγια σάββατα ἀνάπαυσις τῷ κυρίῳ. πᾶς ὁ ποιῶν ἔργον ἐν αὐτῇ, τελευ-
τάτω. οὐ καύσετε πῦρ ἐν πάσῃ κατοικίᾳ ὑμῶν, ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων. ἐγὼ κύριος. καὶ
εἶπε μωϋσῆς πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ, λέγων· οὗτος ὁ ῥῆμα ὃ συνέταξε κύριος
λέγων· λάβετε παρ' ὑμῶν αὐτῶν ἀφαίρεμα κυρίῳ. πᾶς ὁ καταδιεγόμενος ἐν τῇ καρδίᾳ,
οἴσουσι τὰς ἀπαρχὰς κυρίῳ, χρυσίον, ἀργύριον, χαλκόν, ὑάκινθον, πορφύραν, κόκκινον δι-
πλοῦν διανγνισμένον, καὶ βύσσον κεκλωσμένην, καὶ τρίχας αἰγείας, καὶ δέρματα κριῶν ἠ-
ρυθρωδιανωμένα, καὶ δέρματα ὑακίνθινα, καὶ ξύλα ἀσηπτα, καὶ λίθους σαρδίους, καὶ λίθους εἰς
τὴν γλυφὴν εἰς τὴν ἐπωμίδα, καὶ τὸν ποδήρη. καὶ πᾶς σοφὸς τῇ διανοίᾳ ἐν ὑμῖν, ἐλθὼν ὀ-
γαζέσθω πάντα, ὅσα συνέταξε κύριος. τὴν σκηνὴν, καὶ τὰ παραρύματα, καὶ τὰ καλύμμα-
τα, καὶ τὰ διατόνια, καὶ τοὺς μοχλοὺς, καὶ τοὺς στύλους, καὶ τὴν λιβωτὸν τοῦ μαρτυρίου, καὶ τοὺς
ἀναφορεῖς αὐτῆς, καὶ τὸ ἱλαστήριον αὐτῆς, καὶ τὸ καταπέτασμα, καὶ τὰ ἱστία τῆς αὐλῆς, καὶ τοὺς στύ-
λους αὐτῆς, καὶ τοὺς λίθους τοὺς τῆς σμαράγδου, καὶ τὰ θυμιάματα, καὶ τὸ ἔλαιον τοῦ χρίσματος,
καὶ ἔλαιον εἰς τὸ φῶς, καὶ ἀρώματα εἰς τὸ ἔλαιον τῆς χρίσεως, καὶ εἰς τὸ θυμίαμα τῆς συνθέ-
σεως, καὶ τὴν τράπεζαν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν λυχνίαν τοῦ φωτὸς, καὶ πάντα
τὰ σκεύη αὐτῆς, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸ θυμίαμα τῆς συνθέσεως, καὶ τὸ ἐπίθεμα τοῦ

θύρας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θύρας τῆς σκηνῆς, καὶ τὸ θυσιαστήριον, καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ τὰς σπλάς τὰς ἁγίας
ἀαρὼν τοῦ ἱερέως, καὶ τὰς σπλάς τῶν υἱῶν λειτουργῆσιν τῶν αὐταῖς τῶν ἁγίῳ, καὶ τοὺς χιτῶνας
τοῖς ἁγίοις ἀαρὼν τῆς ἱερατείας. καὶ ἐξῆλθε πᾶσα συναγωγὴ υἱῶν ἰσραὴλ ἀπὸ μωϋσέως, καὶ ἤ-
νεγκαν ἕκας ὃν ἔφερεν ἡ καρδία αὐτῶν. καὶ οἷς ἔδωκε τὴ ψυχὴ αὐτῶν, ἤνεγκαν ἀφαίρεμα κυ-
ρίῳ εἰς πάντα τὰ ὄργανα τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ εἰς πάντα τὰ κάτοργα αὐτῆς, καὶ εἰς πά-
σας τὰς σπλάς τοῦ ἁγίου. καὶ ἤνεγκαν οἱ ἄνδρες ἐπὶ τὰς γυναῖκας, πᾶς ὃ ἔδωκε τῇ διανοίᾳ, ἤ-
νεγκαν σφραγίδας, καὶ ψέλια, καὶ δακτυλίους, καὶ ἐμπλόκια, καὶ περιδέξια, πᾶν σκεῦος
χρυσοῦν. καὶ πάντες ὅσοι ἤνεγκαν ἀφαίρεμα τῷ χρυσίῳ κυρίῳ, καὶ πᾶς ᾧ εὑρέθη βύσος καὶ
αὐτῷ, καὶ πᾶς ᾧ εὑρέθη παρ' αὐτῷ δέρματα κριῶν ἠρυθρο δανομένα ἤνεγκαν, καὶ δέρμα
τα ὑακίνθινα. πᾶς ὁ ἀφαιρῶν ἀφαίρεμα ἀργύριον, καὶ χαλκόν, ἤνεγκαν τὰ ἀφαιρέματα κυ-
ρίῳ. καὶ παρ' οἷς εὑρέθη ξύλα ἄσηπτα, εἰς πάντα τὰ ὄργανα τῆς πρασκευῆς ἤνεγκαν, καὶ πᾶσα
γυνὴ σοφὴ τῇ διανοίᾳ ταῖς χερσὶ νήθειν, ἤνεγκαν νενησμένα, τὴν ὑακίνθον, καὶ τὴν πορφύ-
ραν, καὶ τὸ κόκκινον, καὶ τὴν βύσσον. καὶ πᾶσαι αἱ γυναῖκες αἷς ἔδωκε τῇ διανοίᾳ αὐτῶν τὴν
σοφίαν, ἔνησαν τὰς τρίχας τὰς αἰγείας. οἱ δὲ ἄρχοντες ἤνεγκαν τοὺς λίθους τῆς σμαράγδου, καὶ
τοὺς λίθους τοὺς τῆς πληρώσεως εἰς τὴν ἐπωμίδα, καὶ εἰς τὸ λόγιον, καὶ εἰς τὰς σωθήκας, καὶ εἰς
τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος. καὶ πᾶς ἀνὴρ καὶ γυνὴ, ὧν ἔφερεν
ἡ διάνοια αὐτῶν εἰσελθόντας ποιῆσαι πάντα τὰ ὄργανα ὅσα συνέταξε κύριος ποιῆσαι αὐτὰ διὰ
μωϋσῆ, ἤνεγκαν οἱ υἱοὶ ἰσραὴλ ἀφαίρεμα κυρίῳ. καὶ εἶπε μωϋσῆς τοῖς υἱοῖς ἰσραὴλ· ἰδοὺ κέ-
κληκεν ὁ θεὸς ἐξ ὀνόματος ἐν Βεσελεὴλ τὸν τοῦ υἱοῦ ὡρὶ, υἱὸν τοῦ φυλῆς ἰούδα, καὶ ἐνέπλη-
σεν αὐτὸν πνεῦμα θεοῦ σοφίας, καὶ συνέσεως, καὶ ἐπιστήμης παντὸς ἀρχιτεκτονεῖν καὶ πάν
τα τὰ ὄργανα τῆς ἀρχιτεκτονίας, ποιεῖν τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ τὸν χαλκόν, καὶ λιθουρ-
γίσαι τὸν λίθον, καὶ κατεργάζεσθαι τὰ ξύλα, καὶ ποιεῖν ἐν παντὶ ὀργάνῳ σοφίας. καὶ προσεβά
λετο γε ἐλωκεν ἐν τῇ διανοίᾳ αὐτοῦ τε, καὶ τοῦ ἐλιὰβ τοῦ τοῦ ἀχισαμὰχ ἐκ τῆς φυλῆς δαν. καὶ
ἐνέπλησεν αὐτοὺς σοφίας, συνέσεως, διανοίας, παντὸς συνίγναι ποιῆσαι τὰ ὄργανα τῶν ἁγίων, τὰ
ὑφαντὰ, καὶ ποικίλα τὰ ὑφαίνειν τοῦ κοκκίνου, καὶ τῇ πορφύρᾳ, καὶ τῇ βύσσῳ ποιεῖν παῦ ὄρ-
γον ἀρχιτεκτονίας ποικιλίας.

ΚΕΦΑΛ. λς'. 36.

Καὶ ἐποίησε βεσελεὴλ, καὶ ἐλιὰβ, καὶ πᾶς σοφὸς τῇ διανοίᾳ, ᾧ ἔδωκε σοφία καὶ ὑπόστη-
μη ἐν αὐτοῖς τοῦ συνίγναι, ὥστε ποιεῖν πάντα τὰ ὄργανα, κατὰ τὰ ἅγια καθήκοντα, κατὰ
πάντα ὅσα συνέταξε κύριος. καὶ ἐκάλεσε μωϋσῆς τὸν βεσελεὴλ, καὶ ἐλιὰβ, καὶ πάντας τοὺς
ἔχοντας τὴν σοφίαν, οἷς ἔδωκεν ὁ θεὸς ἐπιστήμην ἐν τῇ καρδίᾳ, καὶ πάντας τοὺς ἑκουσίως
βουλομένους προσπορεύεσθαι πρὸς τὰ ὄργανα, ὥστε συντελεῖν αὐτά. καὶ ἔλαβον παρὰ μωϋ-
σῆ πάντα τὰ ἀφαιρέματα, ἃ ἤνεγκαν οἱ υἱοὶ ἰσραὴλ εἰς πάντα τὰ ἔργα τοῦ ἁγίου ποιεῖν αὐ-
τά. καὶ αὐτοὶ προσεδέχοντο ἐπὶ τὰ προσφερόμενα παρὰ τῶν φερόντων τὸ πρωΐ πρωΐ. καὶ πα
ραγινόμενοι πάντες οἱ σοφοὶ, οἱ ποιοῦντες τὰ ἔργα τοῦ ἁγίου, ἕκας κατὰ τὸ αὐτοῦ ἔργον, ὃ
αὐτοὶ εἰργάζοντο, καὶ εἶπαν πρὸς μωϋσῆν· ὅτι πλήθει φέρει ὁ λαὸς παρὰ τὰ ἔργα, ὅσα συνέ
ταξε κύριος ποιῆσαι. καὶ προσέταξε μωϋσῆς, καὶ ἐκήρυξεν ἐν τῇ παρεμβολῇ λέγων· ἀνὴρ
καὶ γυνὴ μηκέτι ὀργαζέσθωσαν εἰς τὰς ἀπαρχὰς τοῦ ἁγίου. καὶ ἐκωλύθη ὁ λαὸς ἐπὶ προσφέ-
ρειν. καὶ τὰ ἔργα ἦν αὐτοῖς ἱκανὰ εἰς τὴν κατασκευὴν ποιῆσαι, καὶ προσκατέλιπον. καὶ ἐ-
ποίησε πᾶς σοφὸς ἐν τοῖς ὀργαζομένοις τὰς σπλάς τῶν ἁγίων, αἳ εἰσιν ἀαρὼν τοῦ ἱερέως, καθὰ συ-
νέταξε κύριος τοῦ μωϋσέως. καὶ ἐποίησαν τὴν ἐπωμίδα ἐκ χρυσίου, καὶ ὑακίνθου, καὶ πορφύ-
ρας, καὶ κοκκίνου νενησμένης, καὶ βύσσου λελυκωσμένης. καὶ ἐτμήθη τὰ πέταλα τοῦ χρυσίου τρὶ
χθα, ὥστε συυφαίνειν σὺν τῇ ὑακίνθῳ, καὶ τῇ πορφύρᾳ, καὶ σὺν τοῦ κοκκίνῳ τοῦ διανυσ-
μένῳ, καὶ σὺν τῇ βύσσῳ τῇ λελυκωσμένῃ, ἔργον ὑφαντὸν ἐποίησαν εἰς αὐτὸ, ἐπωμίδας συνα
χθείσας δὲ ἀμφοτέρων τῶν μερῶν αὐτοῦ ἔργον ὑφαντὸν, εἰς ἄλληλα συμπεπλεγμένα καθ' ἑαυ
τό. δὲ αὐτῇ ἐποίησαν αὐτὸ κατὰ τὸ αὐτοῦ ποίημα ἐκ χρυσίου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκί
νου διανυσμένου, καὶ βύσσου λελυκωσμένης, καθὰ πρόσταξε κύριος τῷ μωϋσεῖ. καὶ ἐποίησαν
ἀμφοτέρους τοὺς λίθους τῆς σμαράγδου συμπεπορπημένους, καὶ πεπερισταλωμένους χρυσίῳ, γε-
γλυμμένους, καὶ ἐκκολαμμένους ἐγκόλαμμα σφραγίδος ἐκ τῶν ὀνομάτων τῶν υἱῶν ἰσραὴλ. καὶ
ἐπέθηκαν αὐτοὺς ὑπὲρ τοὺς ὤμους τῆς ἐπωμίδος, λίθους μνημοσύνου τῶν υἱῶν ἰσραὴλ, καθὰ
συνέταξε κύριος τῷ μωϋσεῖ. καὶ ἐποίησαν λόγιον κρίσεως ὄργον ὑφαντὸν ποικιλίας, κατὰ τὸ ὄργον
τῆς ἐπωμίδος ἐκ χρυσίου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου διανυσμένου, καὶ βύσ-
σου λελυκωσμένης. τετράγωνον διπλοῦν ἐποίησαν τὸ λόγιον, σπιθαμῆς τὸ μῆκος αὐτοῦ, καὶ
σπιθαμῆς τὸ εὖρος αὐτοῦ διπλοῦν. καὶ συυφάνθη γὰρ αὐτῷ ὕφασμα καττάλιθον τετράστι-
χον, στίχος λίθων, σάρδιον, καὶ τοπάζιον, καὶ σμάραγδος, ὁ στίχος ὁ εἷς. καὶ ὁ στίχος ὁ δεύτε-
ρος, ἄνθραξ, καὶ σάπφειρος, καὶ ἴασπις. ὁ στίχος ὁ τρίτος, λιγύριον, καὶ ἀχάτης, καὶ ἀμέθυστος.

καὶ ὁ

καὶ ὁ σίχος ὁ τέταρτος, χρυσόλιθος, καὶ βηρύλλιον, καὶ ὀνύχιον, πεπικεκλωσμένα χρυσίῳ, καὶ σιὼν δεδεμένα ἐν χρυσίῳ. καὶ οἱ λίθοι ἦσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ισραὴλ. δώδεκα κατὰ τὰ ὀνόματα αὐτῶν ἐγγεγλυμμένα σφραγῖσιν, ἕκαστος ἐκ τοῦ ἰδίου ὀνόματος, εἰς τὰς δώδεκα φυλάς. καὶ ἐποίησαν ἐπὶ τὸ λόγιον κρόσσας συμπεπλεγμένας, ἔργον ἐκπλοκῆς ἐκ χρυσίου καθαροῦ. καὶ ἐποίησαν δύο ἀσπιδίσκας χρυσᾶς, καὶ δύο δακτυλίους χρυσοῦς. καὶ ἐπέθηκαν αὐτοὺς ἐπ' ἀμφοτέρας τὰς ἀρχὰς τοῦ λογίου. καὶ ἐπέθηκαν τὰ ἐμπλόκια ἐκ χρυσίου, ἐπὶ τοὺς δύο δακτυλίους ἐπ' ἀμφοτέρων τῶν μερῶν τοῦ λογίου. καὶ εἰς τὰς δύο συμβολὰς τὰ δύο ἐμπλόκια, καὶ ἐπέθηκαν ἐπὶ τὰς δύο ἀσπιδίσκας, καὶ ἐπέθηκαν ἐπὶ τοὺς δύο ὤμους τῆς ἐπωμίδος ἐξ ἐναντίας κατὰ πρόσωπον αὐτοῦ. καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς, καὶ ἐπέθηκαν ἐπὶ τὰ δύο πτερύγια ἐπ' ἄκρου τοῦ λογίου, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ὑποδύτου ἐπωμίδος ἐσωθεν. καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς, καὶ ἐπέθηκαν ἐπ' ἀμφοτέρους τοὺς ὤμους τῆς ἐπωμίδος διάτωθεν αὐτοῦ, κατὰ πρόσωπον, κατὰ τὴν συμβολὴν, ἄνωθεν τῆς σωναφῆς τῆς ἐπωμίδος. καὶ συνέσφιγξε τὸ λόγιον ἀπὸ τῶν δακτυλίων, τῶν ἐπ' αὐτοὺς εἰς τοὺς δακτυλίους τῆς ἐπωμίδος, συνεχομένους ἐκ τῆς ὑακίνθου, συμπεπλεγμένους εἰς τὸ ὕφασμα τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται τὸ λόγιον ἀπὸ τῆς ἐπωμίδος, καθὰ συνέταξε Κύριος τῷ Μωϋσεῖ. καὶ ἐποίησαν τὸν ὑποδύτην ὑπὸ τὴν ἐπωμίδα, ἔργον ὑφάντου ὅλον ὑακίνθινον. τὸ δὲ περιτόμιον τοῦ ὑποδύτου ἦν μέσον διυφασμένον συμπεπλεγμένον, ὡσὰν ἔχῃ λύκιλον τὸ περιτόμιον ἀδιάλυτον. καὶ ἐποίησαν ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου διάτωθεν, ὡς ἐξανθούσης τῆς ῥόας ῥοΐσκους ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου νηματουργοῦ, καὶ βύσσου κεκλωσμένης. καὶ ἐποίησαν κώδωνας χρυσοῦς, καὶ ἐπέθηκαν αὐτοὺς ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ ἀνὰ μέσον τῶν ῥοΐσκων. κώδωνα χρυσοῦν, καὶ ῥοΐσκος ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ εἰς τὸ λειτουργεῖν, καθὰ συνέταξε Κύριος τῷ Μωϋσεῖ. καὶ ἐποίησαν χιτῶνας βυσσίνους ὄργου ὑφάντου, ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ μιτάρας ἐκ βύσσου, καὶ τὴν μίτραν ἐκ βύσσου, καὶ τὰ περισκελῆ ἐκ βύσσου κεκλωσμένης, καὶ τὰς ζώνας αὐτῶν ἐκ βύσσου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου δαμασκηνοῦ, ὄργου ποικίλου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσεῖ. καὶ ἐποίησαν τὸ πέταλον τὸ χρυσοῦν, ἀφόρισμα τοῦ ἁγίου, χρυσίου καθαροῦ, καὶ ἔγραψεν ἐπ' αὐτοῦ γράμματα ἐκτετυπωμένα σφραγῖδι· ἁγίασμα Κυρίῳ. καὶ ἐπέθηκαν ἐπ' αὐτῷ λῶμα ὑακίνθινον, ὥστε εἶναι κεῖσθαι ὑπὲρ τὴν μίτραν ἄνωθεν, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσεῖ. καὶ ἐποίησαν τὴν σκηνὴν δέκα αὐλάς. ὀκτὼ καὶ εἴκοσι πήχεων μῆκος ἡ αὐλαία ἡ μία, τὸ αὐτὸ ἦσαν πᾶσαι, καὶ τεσσάρων πήχεων τὸ εὖρος ἡ αὐλαία ἡ μία. καὶ ἐποίησαν τὸ καταπέτασμα ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου δαμασκηνοῦ, καὶ βύσσου κεκλωσμένης, ὄργου ὑφάντου χερουβίμ, καὶ ἐπέθηκαν αὐτὸ ἐπὶ τέσσαρας κύλους ἀσήπτους κατακεχρυσωμένους ἐν χρυσίῳ. καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες ἀργυραῖ. καὶ ἐποίησαν τὸ καταπέτασμα τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου δαμασκηνοῦ, καὶ βύσσου κεκλωσμένης, ὄργου ὑφάντου χερουβίμ. καὶ τοὺς κύλους αὐτῶν πεντε, καὶ τοὺς κρίκους αὐτῶν, καὶ τὰς κεφαλίδας αὐτῶν, καὶ τὰς ψαλίδας αὐτῶν κατεχρύσωσαν χρυσίῳ, καὶ αἱ βάσεις αὐτῶν πεντε χαλκαῖ. καὶ ἐποίησαν τὴν αὐλὴν τὰ πρὸς νότον ἐσία τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης, ἑκατὸν ἐφ' ἑκατὸν, καὶ κύλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ. καὶ τὸ κλίτος τὸ πρὸς βορρᾶν, ἑκατὸν πρὸς ἑκατὸν. καὶ οἱ κύλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ. καὶ τὸ κλίτος τὸ πρὸς βορρᾶν, ἑκατὸν ἐφ' ἑκατὸν, καὶ οἱ κύλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ. καὶ τὸ κλίτος τὸ πρὸς θάλασσαν, αὐλαῖαι πεντήκοντα πήχεων, κύλοι αὐτῶν δέκα, καὶ αἱ βάσεις αὐτῶν δέκα. καὶ τὸ κλίτος τὸ πρὸς ἀνατολάς, πεντήκοντα πήχεων, ἐσία πεντεκαίδεκα πήχεων τὸ μῆκος νότου, καὶ οἱ κύλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς, καὶ ὧδε τὸ νότου δεύτερον, ἔνθεν καὶ ἔνθεν, μετὰ τὴν πύλην τῆς αὐλῆς, αὐλαῖαι πεντεκαίδεκα πήχεων, κύλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς. πᾶσαι αἱ αὐλαῖαι τῆς σκηνῆς ἐκ βύσσου κεκλωσμένης, καὶ αἱ βάσεις τῶν κύλων αὐτῶν χαλκαῖ. καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ αἱ κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ, καὶ οἱ κύλοι αὐτῶν περιηργυρωμένοι ἀργυρίῳ πάντων οἱ κύλοι τῆς αὐλῆς. καὶ τὸ καταπέτασμα τῆς πύλης τῆς αὐλῆς ἔργον ποικίλου ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου δαμασκηνοῦ, καὶ βύσσου κεκλωσμένης, εἴκοσι πήχεων τὸ μῆκος, καὶ ὕψος, καὶ εὖρος πεντήκοντα πήχεων ἰσόμετρον τοῖς ἰσίοις τῆς αὐλῆς. καὶ οἱ κύλοι αὐτῶν τέσσαρες, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ αἱ κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ, καὶ πάντες οἱ πάσσαλοι τῆς αὐλῆς κύκλῳ χαλκοῖ. καὶ αὕτη ἡ σύνταξις τῆς σκηνῆς τοῦ μαρτυρίου, καθὰ συνέταξε Κύριος τῷ Μωϋσεῖ, τὴν λειτουργίαν τῶν υἱῶν Λευὶ διὰ Ιθαμαρ τοῦ υἱοῦ ἀαρὼν τοῦ ἱερέως. καὶ Βεσελεὴλ ὁ τοῦ Ουρὶ, ἐκ τῆς φυλῆς Ιούδα, ἐποίησε καθὰ συνέταξε Κύριος τῷ Μωϋσεῖ. καὶ ἐλιὰβ ὁ τοῦ Αχισαμὰ, ἐκ φυλῆς Δαὰν, ὃς ἠρχιτεκτόνησε τὰ ὑφαντὰ, καὶ τὰ ῥαφιδωτὰ, καὶ ποικιλτικὰ, ὑφάναι τῇ κοκκίνῳ, καὶ τῇ βύσσῳ. καὶ ἐποίησε Βεσελεὴλ τὴν

λιβανωτὸν

λιβωτὸν, καὶ λατεχρύσωσεν αὐτὴν χρυσίῳ λαθαρῷ ἔσωθεν καὶ ἔξωθεν· καὶ ἐποίησεν αὐτῇ λυμάτιον χρυσοῦν κύκλῳ, καὶ ἐχώνδυσεν αὐτῇ τέσσαρας δακτυλίους χρυσοῦς ὑπὲρ τὰ τέσσαρα μέρη αὐτῆς. δύο ὑπὲρ τὸ λελίτος τὸ ἓν, καὶ δύο ὑπὲρ τὸ λελίτος τὸ δεύτερον, δύρειος τοῖς δισσήρσιν ὥστε αἴρειν αὐτὴν ἐν αὐτοῖς. καὶ ἐποίησε τὸ ἱλαστήριον ἐπάνωθεν ἐκ λιβωτοῦ ἐκ χρυσίου λαθαροῦ, καὶ τοὺς δύο χοροβίμ χρυσοῦς. χοροβὶμ ἕνα ὑπὲρ τὸ ἄκρον τοῦ ἱλαστηρίου ἐντεῦθεν, καὶ χοροβὶμ ἕνα ὑπὲρ τὸ ἄκρον τὸ δεύτερον τοῦ ἱλαστηρίου συνεπιάζοντα τὰς πτέρυγας αὐτῶν ἐπὶ τὸ ἱλαστήριον. καὶ ἐποίησε τὴν τράπεζαν τῆς προθέσεως ἐκ χρυσίου λαθαροῦ, καὶ ἐχώνδυσεν αὐτῇ τέσσαρας δακτυλίους χρυσοῦς. δύο δακτυλίους ὑπὲρ τοῦ λελίτους τοῦ ἑνὸς, καὶ δύο δακτυλίους ἐπὶ τοῦ λελίτους τοῦ δευτέρου ὥστε αἴρειν ἐπ' αὐτοῖς. καὶ δισσῆρας ἐκ λιβωτοῦ καὶ ἐκ τραπέζης ἐποίησε, καὶ λατεχρύσωσεν αὐτοὺς χρυσίῳ. καὶ ἐποίησε τὰ σκεύη τῆς τραπέζης, τά τε θυμιατήρια, καὶ τὰς θυίσκας, καὶ τοὺς λυχνίας, καὶ τὰ σπονδεῖα, ἐν οἷς σπείσει ἐν αὐτοῖς, χρυσᾶ. καὶ ἐποίησε τὴν λυχνίαν ἐκ φωτίζειν χρυσῶν, σφυρηλάτην, ἐκ μιᾶς καυλοῦ, καὶ τοὺς καλαμίσκους, ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῆς, ἐκ τῶν καλαμίσκων αὐτῆς οἱ βλαστοὶ ἐξέχοντες, τρεῖς ἐκ τούτου, καὶ τρεῖς ἐκ τούτου ἐξ ἰσόμυροι ἀλλήλοις, καὶ τὰ λαμπάδια αὐτῶν, ἃ ἐνάπτουσιν ὑπὲρ τῶν ἄκρων αὐτῶν, καρυωτὰ ἐξ αὐτῶν, καὶ τὰ ἀνθέμια ἐξ αὐτῶν, ἵνα ὦσιν οἱ λύχνοι ἐπ' αὐτῶν. καὶ τὸ ἀνθέμιον τὸ ἕβδομον, τὸ ἐπ' ἄκρου τοῦ λαμπαδίου ἐπὶ τῆς κορυφῆς ἄνωθεν σφυρόν, ὅλον χρυσοῦν. καὶ ἐπτὰ λύχνους αὐτῆς, ἐπ' αὐτῆς χρυσοῦς, καὶ τὰς λαβίδας αὐτῆς χρυσᾶς, καὶ τὰς ἐπιψυστρίδας αὐτῆς χρυσᾶς. ὅτου ἐποίησε τὸν σύλλογον, καὶ ἐχώνδυσε τοῖς σύλλοις δακτυλίους χρυσοῦς, καὶ ἐχώνδυσε καὶ ἐχρύσωσε τοὺς μοχλοὺς χρυσίῳ, καὶ λατεχρύσωσε τὰς σύλλας τοῦ λατασπειτάσματος χρυσίῳ, καὶ ἐποίησε τὰς ἀγκύλας χρυσᾶς. ὅτου ἐποίησε καὶ τοὺς λρίκας ἐκ σκληῆς χρυσοῦς, καὶ τοὺς λρίκας ἐκ αὐλῆς, καὶ λρίκας εἰς τὸ ἐκτείνειν τὸ λατασκάλυμμα ἄνωθεν χαλκᾶς. ὅτου ἐχώνδυσε τὰς φιάλας τὰς ἀργυρᾶς ἐκ σκηνῆς, καὶ τὰς κεφαλίδας τὰς χαλκᾶς ἐκ θύρας ἐκ σκληῆς, καὶ τὸν πύλωνα ἐκ αὐλῆς, καὶ ἀγκύλας ἐποίησεν ἀργυρᾶς ὑπὲρ τὸν σύλλον. ὅτου ἐποίησε τοὺς παρασάλους ἐκ σκληῆς, καὶ τοὺς παρασάλους ἐκ αὐλῆς χαλκοῦς. ὅτου ἐποίησε τὸ θυσιαστήριον τὸ χαλκοῦν, ἐκ τῶν πυρείων τῶν χαλκῶν, ἃ ἦσαν τοῖς ἀνδράσι τοῖς λατασασάσαι μετὰ ἐκ κορὲ σωαγωγῆς. ὅτου ἐποίησε πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου, καὶ τὸν βάσιν αὐτοῦ, καὶ τὸ πυρεῖον αὐτοῦ, καὶ τὰς φιάλας, καὶ τὰς λρεάγρας τὰς χαλκᾶς. οὗτος ἐποίησε τῷ θυσιαστηρίῳ πρίθεμα δίκτυον ὀργὸν δίκτυω τὸν λάτωθεν τοῦ πυρείου, ὑπὸ τὸ αὐτὸ ἕως τοῦ ἡμίσεως αὐτοῦ. καὶ ἐπέθηκεν αὐτῷ τέσσαρας δακτυλίους ἐπὶ τῶν τεσσάρων μερῶν τοῦ θυσιαστηρίου χαλκᾶς, δύρειος τοῖς μοχλοῖς ὥστε αἴρειν τὸ θυσιαστήριον ἐπ' αὐτοῖς. ὅτου ἐποίησε τὸ ἔλαιον τῆς χρίσεως τὸ ἅγιον, καὶ τὸ σύνθεσιν τοῦ θυμιάματος λαθαρὸν ὀργὸν μυρεψικόν. ὅτου ἐποίησε τὸν λατῆρα τοῦ χαλκοῦ, καὶ τὴν βάσιν αὐτοῦ χαλκῆν ἐκ τῶν λατοπτρῶν τῶν νηστευσασῶν, αἳ ἐνήστευσαν πρὸς τὰς θύρας τῆς σκληῆς τοῦ μαρτυρίου, ἐν ᾗ ἡμέρᾳ ἐπηξεν αὐτὴν. καὶ ἐποίησε τὸν λατῆρα ἵνα νίπτωνται ἐξ αὐτοῦ μωϋσῆς, καὶ ἀαρὼν, καὶ οἱ υἱοὶ αὐτοῦ, τὰς χεῖρας αὐτῶν, καὶ τοὺς πόδας εἰσπορευομένων αὐτῶν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου. ἢ ὅταν προσπορεύωνται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν, ἐνίπτοντο ἐξ αὐτοῦ, καθὰ προσέταξε κύριος τῷ μωϋσεῖ. καὶ τὸ χρυσίον ὃ λατεργάσθη εἰς τὰ ὄργανα, καὶ πᾶσαν τὴν ὀργασίαν τῆς ἁγίας τῶν ἁγίων, ἐγένετο χρυσίου τοῦ τῆς ἀπαρχῆς, ἑνὸς καὶ εἴκοσι τάλαντα, καὶ ἑπτακόσιοι καὶ εἴκοσι σίκλοι κατὰ τὸν σίκλον τὸν ἅγιον. καὶ ἀργυρίου ἀφαιρέματα πρὸς τῶν ἐπισκεμμένων αὐτῶν τῆς συναγωγῆς, ἑκατὸν τάλαντα, καὶ χίλιοι ἑπτακόσιοι ἑβδομήκοντα πέντε σίκλοι. δραχμὴ μία τὴν κεφαλὴν ἥμισυ τοῦ σίκλου κατὰ τὸν σίκλον τὸν ἅγιον. πᾶς ὁ πορευόμενος πρὸς τὴν ἐπισκεψιν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, εἰς τὰς ἑξήκοντα μυριάδας, καὶ τρισχιλίους πεντακοσίους πεντήκοντα. καὶ ἐγένετο τὰ ἑκατὸν τάλαντα τοῦ ἀργυρίου εἰς τὴν χώνευσιν τῶν ἑκατὸν κεφαλίδων τῆς σκληῆς, καὶ εἰς τὰς κεφαλίδας τὸ λατασπειτάσματος, ἑκατὸν κεφαλίδων εἰς τὰ ἑκατὸν τάλαντα, τάλαντον τὴν κεφαλίδα. καὶ τοὺς χιλίους ἑπτακοσίους ἑβδομήκοντα πέντε σίκλους, ἐποίησεν εἰς τὰς ἀγκύλας τῶν σύλλων. καὶ λατεχρύσωσε τὰς κεφαλίδας αὐτοῦ, καὶ λατεκόσμησεν αὐτούς. καὶ ὁ χαλκὸς τοῦ ἀφαιρέματος, ἑβδομήκοντα τάλαντα καὶ δισχίλιοι τετρακόσιοι σίκλοι. καὶ ἐποίησεν ἐξ αὐτοῦ τὰς βάσεις τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰς βάσεις τῆς αὐλῆς κύκλῳ, καὶ τὰς βάσεις τῆς πύλης τῆς αὐλῆς, καὶ τοὺς παρασάλους τῆς σκληῆς, καὶ τοὺς παρασάλους τῆς αὐλῆς κύκλῳ, καὶ τὸ πρόθεμα τὸ χαλκοῦν κύκλῳ τοῦ θυσιαστηρίου, καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου, καὶ πάντα τὰ ὀργανεῖα τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ καθὰ προσέταξε κύριος τῷ μωϋσεῖ, ὅτως ἐποίησαν. τὸ δὲ λοιπὸν χρυσίον τοῦ ἀφαιρέματος, ἐποίησαν σκεύη εἰς τὸ λειτουργεῖν ἐν αὐτοῖς ἅγια ἁγίων. καὶ τὴν καταλειφθεῖσαν ὑακινθον, καὶ πορφύραν, καὶ τὸ κόκκινον, καὶ τὸ βύσσον, ἐποίησαν στολὰς λειτουργικὰς ἀαρὼν, ὥστε λειτουργεῖν ἐν αὐταῖς ἐν τοῖς ἁγίοις. καὶ ἐνέγκαν τὰς στολὰς πρὸς μωϋσῆν, καὶ τὴν σκηνὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς. καὶ τοὺς μοχλοὺς, καὶ τοὺς σύλλους καὶ τὰς βάσεις αὐτῆς, καὶ τὴν λιβωτὸν τῆς διαθήκης, καὶ τοὺς δισσῆρας αὐτῆς, καὶ τὸ θυσιαστή-

ριον, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ειον, καὶ πάντα τὰ σκεύη αὐτ, ἡ ὲλαιον ϑ χρίσεως, καὶ ὸ θυμίαμα ϑ συνθέσεως, ἡ τὴν λυχνίαν τὴν καθαρὰν, καὶ τοὺς λύχνους αὐϑ, λύχνους ϑ καύσεως, καὶ τὸ ἔλαιον τοῦ φωτος, καὶ τὴν τράπεζαν ϑ προθέσεως, καὶ πάντα τὰ σκεύη αὐτης. καὶ τοὺς ἄρτους τοὺς προκειμένους. καὶ τὰς σπόλας τοῦ ἁγίσαι, αἷ εἰσιν ἀαρών. καὶ τὰς σολὰς ϑῦ ὕδωρ αὐτοῦ εἰς τὴν ἱερατείαν. καὶ τὰ ἱστία ϑ αὐλῆς, καὶ τοὺς σύλους καὶ τὰς βάσεις αὐτης, καὶ τὸ καταπέτασμα ϑ θύρας τῆς σκηνῆς, καὶ ϑ πύλης ϑ αὐλῆς, καὶ πάντα τὰ σκεύη τῆς σκηνῆς, καὶ πάντα τὰ ὄργανα λεῖα αὐτης, καὶ τὰς ὑφθόρας, ὅρμα τὰ ἱερεῖν περιβεβλαμμένα. καὶ τὰ καλύμματα ὑ ὄρμα ὑακίνθινα, καὶ ϑῦ λοιπὸν τὰ ὧν καλύμματα, καὶ τοὺς πασσάλους, καὶ πάντα τὰ ὄργανα λεῖα, τὰ εἰς τὰ ὄργα ϑ σκηνῆς τοῦ μαρτυρίου, ὅσα συνέταξε κύριος ϑ μωϋσεῖ. οὕτως ἐποίησαν οἱ ὑοὶ ἰσραὴλ πᾶσαν τὴν ἀρσκευὴν. καὶ εἶδε μωϋσῆς πάντα τὰ ὄργα, καὶ ἦσαν πεποιηκότες αὐτὰ, ὃν τρόπον συνέταξε κύριος ϑ μωϋσεῖ, ἅτως ἐποίησαν αὐτά, καὶ ὐλόγησεν αὐτοὺς μωϋσῆς.

ΚΕΦΑΛ. λζ'. 37.

ΚΑὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ϕὴ ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ πρώτου νουμηνίᾳ, στήσεις τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ θήσεις τὴν διαθήκην τοῦ μαρτυρίου, καὶ σκεπάσεις τὴν διαθήκην ϑ καταπετάσματι, καὶ εἰσοίσεις τὴν τράπεζαν, καὶ προθήσεις τὴν πρόθεσιν αὐτης, καὶ εἰσοίσεις τὴν λυχνίαν, καὶ ὧν θήσεις τοὺς λύχνους αὐτης, καὶ θήσεις τὸ θυσιαστήριον τὸ χρυσοῦν, εἰς τὸ θυμιᾶν ϕναντίον ϑ διαθήκης τοῦ μαρτυρίου, καὶ ὧν θήσεις τὸ κάλυμμα τοῦ καταπετάσματος, ὧν τὴν θύραν ϑ σκηνῆς τοῦ μαρτυρίου. καὶ τὸ θυσιαστήριον ϑῦ καρπωμάτων θήσεις παρὰ τὰς θύρας ϑ σκηνῆς τοῦ μαρτυρίου, καὶ πρόθήσεις τὴν σκάφην, καὶ πάντα τὰ ϕ αὐτῆ ἁγιάσεις λύκλῳ, καὶ λήψη τὸ ἔλαιον τοῦ χρίσματος, καὶ χρίσεις τὴν σκηνὴν, καὶ πάντα τὰ ϕ αὐτῆ, καὶ ἁγιάσεις αὐτὴν, καὶ πάντα τὰ σκεύη αὐτης, καὶ ἔσται ἁγία. καὶ χρίσεις τὸ θυσιαστήριον ϑῦ καρπωμάτων, καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ ἁγιάσεις τὸ θυσιαστήριον, καὶ ἔσαι τὸ θυσιαστήριον ἅγιον ϑῦ ἁγίων. καὶ προσάξεις ἀαρὼν, ἡ τοὺς ὑοὺς αὐτοῦ ὠπὶ τὰς θύρας ϑ σκηνῆς τοῦ μαρτυρίου, καὶ λούσεις αὐτοὺς ὕδατι. καὶ ϕόσεις ἀαρὼν τὰς σολὰς τὰς ἁγίας, καὶ χρίσεις αὐτὸν, καὶ ἁγιάσεις αὐτὸν, καὶ ἱερατεύσει μοι. καὶ τοὺς ὑοὺς αὐτοῦ προσάξεις, καὶ ϕόσεις αὐτοὺς χιτῶνας, καὶ ἀλείψεις αὐτοὺς, ὃν τρόπον ἤλειψας τὸν πατέρα αὐτῶν, καὶ ἱερατεύσουσί μοι· καὶ ἔσαι ὥστε εἶναι αὐτοῖς χρίσμα ἱερατείας, εἰς τὸν αἰῶνα εἰς τὰς γενεὰς αὐτῶν. ἡ ἐποίησε μωϋσῆς πάντα ὅσα ϕετείλατο αὐτῷ κύριος ὅτως ἐποίησε. καὶ ἐγένετο ϕ τῆ μιᾷ τοῦ πρώτου, τοῦ δευτέρου ἔτει ἐκπορευομένων αὐτῶν ἐξ αἰγύπτου τῇ μιᾷ, ἐσάθη ἡ σκηνὴ, καὶ ἔστησε μωϋσῆς τὴν σκηνὴν, ἡ ἐπέθηκε τὰς κεφαλίδας αὐτης, ἡ διέβαλε τοὺς μοχλοὺς, καὶ ἔστησε τοὺς σύλους αὐτῆ, καὶ ἐξέτεινε τὰς αὐλαίας ὠπὶ τὴν σκηνὴν. ἡ ἐπέθηκε τὸ κατακάλυμμα ϑ σκηνῆς ἐπ' αὐτὴν ἄνωθεν, καθὰ συνέταξε κύριος ϑ μωϋσεῖ. καὶ λαβὼν τὰ μαρτύρια, ἐνέβαλεν εἰς τὴν λιβωτόν. καὶ ἐπέθηκε τοὺς ἀναβάτας ὑπὸ τὴν λιβωτὸν, καὶ εἰσήνεγκε τὴν λιβωτὸν εἰς τὴν σκηνὴν, καὶ ἐπέθηκε τὸ κάλυμμα τοῦ καταπετάσματος, καὶ ὐσκέπασε τὴν λιβωτὸν τ μαρτυρίου, ὃν τρόπον συνέταξε κύριος ϑ μωϋσεῖ. ἡ ἐπέθηκε τὴν τράπεζαν εἰς τὸν σκηνὴν τοῦ μαρτυρίου. ὠπὶ τὸ πλάϊ ϑ σκηνῆς τοῦ μαρτυρίου, τὸ πρὸς βορρᾶν ἔξωθεν τοῦ καταπετάσματος ϑ σκηνῆς, ἡ προέθηκεν ἐπ' αὐτῆ ἄρτους ϑ προθέσεως ϕναντίον κυρίου, ὃν τρόπον συνέταξε κύριος ϑ μωϋσεῖ. καὶ ἐπέθηκε τὴν λυχνίαν εἰς τὸν σκηνὴν τοῦ μαρτυρίου, εἰς τὸ πλάϊ ϑ σκηνῆς τὸ πρὸς νότον. καὶ ἐπέθηκε τοὺς λύχνους αὐτῆ ϕναντίον κυρίου, ὃν τρόπον συνέταξε κύριος ϑ μωϋσεῖ. καὶ ἐπέθηκε τὸ θυσιαστήριον τὸ χρυσοῦν ϕ τῇ σκηνῇ τοῦ μαρτυρίου ἀπ ϕαντι τοῦ καταπετάσματος, καὶ ἐθυμίασεν ἐπ' αὐτοῦ θυμίαμα ϑ συνθέσεως, καθάπερ συνέταξε κύριος ϑ μωϋσεῖ. ἡ τὸ θυσιαστήριον ϑῦ καρπωμάτων, ἐπέθηκε πρὸ τὰς θύρας ϑ σκηνῆς τοῦ μαρτυρίου, ἡ ἔθυσε τὴν αὐλὴν κύκλῳ ϑ σκηνῆς καὶ τοῦ θυσιαστηρίου. καὶ συνετέλεσε μωϋσῆς πάντα τὰ ὄργα, καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ δόξης κυρίου ἐπλήσθη ἡ σκηνή. καὶ ὐκ ἐδύνηθη μωϋσῆς εἰσελθεῖν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ' αὐτὴν ἡ νεφέλη, καὶ δόξης κυρίου ἐνεπλήσθη ἡ σκηνή. ἡνίκα δ' ἂν ἀνέβη ἡ νεφέλη ἀπὸ ϑ σκηνῆς, ἀνεζεύγνυσαν οἱ ὑοὶ ἰσραὴλ σὺν τῇ ἀποσκευῇ αὐτῶν. εἰ δὲ μὴ ἀνέβη ἡ νεφέλη, ὐκ ἀνεζεύγνυσαν ἕως ϑ ἡμέρας, ἧς ἀνέβη ἡ νεφέλη. ἡ νεφέλη γὰρ ἦν ὠπὶ τ σκηνῆς ἡμέρας, καὶ πῦρ ἦν ἐπ' αὐτῆς νυκτὸς ϕαντίον παντὸς ἰσραὴλ, ϕ πάσαις ταῖς ἀναζυγαῖς αὐτῶν.

Τέλος ϑ ἐξόδου.

Δευτερο-

ΛΕΥΙΤΙΚΟΝ

ΚΕΦΑΛ. ά. ι.

ΚΑΙ ἐκάλεσε κύριος μωϋσῆν, καὶ ἐλάλησεν αὐτῷ ἐκ τῆς σκηνῆς τοῦ μαρτυρίου, λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἄνθρωπος ὃς ἂν ὑμῶν ἐὰν προσάξῃ δῶρα τῷ κυρίῳ, ἀπὸ τῶν κτηνῶν, καὶ ἀπὸ τῶν βοῶν, καὶ ἀπὸ τῶν προβάτων, προσοίσετε τὰ δῶρα ὑμῶν. ἐὰν ὁλοκαυτώματα, ᾖ δῶρον αὐτοῦ ἐκ τῶν βοῶν ἄρσεν ἄμωμον προσάξει πρὸς τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προσδέσει αὐτὸ δεκτὸν γενέσθαι κυρίου. καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ ὁλοκαυτώματος, δεκτὸν αὐτῷ, ἐξιλάσασθαι περὶ αὐτοῦ. καὶ σφάξουσι τὸν μόσχον ἔναντίον κυρίου, καὶ προσοίσουσιν οἱ υἱοὶ ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα, καὶ προχεοῦσι τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ τὸ ἐπὶ τῆς θυρῶς τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ διαιρήσουσι τὸ ὁλοκαύτωμα, μελιοῦσιν αὐτὸ κατὰ μέλη. καὶ ἐπιθήσουσιν οἱ υἱοὶ ἀαρὼν οἱ ἱερεῖς πῦρ ἐπὶ τὸ θυσιαστήριον, καὶ συνθήσουσι ξύλα ἐπὶ τοῦ πυρός. καὶ συνθήσουσιν οἱ υἱοὶ ἀαρὼν οἱ ἱερεῖς τὰ διχοτομήματα, καὶ τὴν κεφαλὴν, καὶ τὸ στέαρ ἐπὶ τὰ ξύλα ἐπὶ τοῦ πυρὸς τὰ ἐπὶ τοῦ θυσιαστηρίου. τὰ δὲ ἐγκοίλια, καὶ τοὺς πόδας πλυνοῦσιν ὕδατι. καὶ ἐπιθήσει ὁ ἱερεὺς τὰ πάντα ἐπὶ τὸ θυσιαστήριον. κάρπωμά ἐστι θυσία ὀσμὴ εὐωδίας κυρίῳ, ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ τοῦ κυρίῳ, ἀπὸ τῶν ἀρνῶν καὶ τῶν ἐρίφων εἰς ὁλοκαυτώματα, ἄρσεν ἄμωμον προσάξει αὐτὸ, καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ σφάξουσιν αὐτὸ ἐκ πλαγίων τοῦ θυσιαστηρίου πρὸς βορρᾶν ἔναντίον κυρίου, καὶ προχεοῦσιν οἱ υἱοὶ ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον, καὶ διελοῦσιν αὐτὸ κατὰ μέλη. καὶ τὴν κεφαλὴν καὶ τὸ στέαρ αὐτοῦ, ἐπιθήσουσιν οἱ ἱερεῖς αὐτὰ ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς, τοῦ ἐπὶ τοῦ θυσιαστηρίου. καὶ τὰ ἐγκοίλια, καὶ τοὺς πόδας πλυνοῦσιν ὕδατι. καὶ προσοίσει ὁ ἱερεὺς τὰ πάντα, καὶ ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον. κάρπωμά ἐστι θυσία, ὀσμὴ εὐωδίας τοῦ κυρίῳ. καὶ προσοίσει ἀπὸ τῶν προγόνων, ἢ ἀπὸ τῶν προσηλύτων τὸ δῶρον αὐτοῦ, καὶ προσοίσει ὁ ἱερεὺς πρὸς τὸ θυσιαστήριον, καὶ ἀποκνίσει τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον ὁ ἱερεύς, καὶ στάξιγι τὸ αἷμα πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου, καὶ ἀφελεῖ τὴν πρόβολην σὺν τοῖς πτεροῖς, καὶ ἐκβαλεῖ αὐτὰ παρὰ τὸ θυσιαστήριον, κατ' ἀνατολὰς, εἰς τὸν τόπον τῆς σποδοῦ. καὶ ἐκκλάσει αὐτὸν ἐκ τῶν πτερύγων, καὶ οὐ διελεῖ. καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὰ ξύλα, τὰ ἐπὶ τοῦ πυρός. κάρπωμά ἐστι θυσία, ὀσμὴ εὐωδίας τοῦ κυρίῳ.

ΚΕΦΑΛ. β. ι.

ΕΑΝ δὲ ψυχὴ προσφορὰν δῶρον θυσίαν τοῦ κυρίῳ, σεμίδαλις ἔσαι τὸ δῶρον αὐτοῦ, καὶ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον, καὶ ἐπιθήσει ἐπ' αὐτὸ λίβανον, θυσία ἐστὶ, καὶ οἴσει αὐτὸ πρὸς τοὺς υἱοὺς ἀαρὼν τοὺς ἱερεῖς. καὶ δραξάμενος ἀπ' αὐτῆς πλήρη τὸ δράκα ἀπὸ τῆς σεμιδάλεως σὺν τοῦ ἐλαίου, καὶ πάντα τὸν λίβανον αὐτῆς, καὶ ἐπιθήσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς ἐπὶ τὸ θυσιαστήριον, θυσία ὀσμὴ εὐωδίας τοῦ κυρίῳ. καὶ τὸ λοιπὸν ἀπὸ τῆς θυσίας ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ, ἅγιον τῶν ἁγίων, ἀπὸ τῶν θυσιῶν κυρίου. ἐὰν δὲ προσφορὰς δῶρον, θυσίαν πεπεμμένην ἐν κλιβάνῳ ἐκ σεμιδάλεως, ἄρτους ἀζύμους πεφυραμένους ἐν ἐλαίῳ. καὶ λάγανα ἄζυμα διαχεχρισμένα ἐν ἐλαίῳ. ἐὰν δὲ θυσία ἀπὸ τηγάνου τὸ δῶρόν σου, σεμίδαλις πεφυραμένη ἐν ἐλαίῳ, ἄζυμα ἔσαι. καὶ διαθρύψεις αὐτὰ κλάσματα, καὶ ἐπιχεεῖς ἐπ' αὐτὰ ἔλαιον, θυσία ἐστὶ κυρίῳ. ἐὰν δὲ θυσία ἀπὸ ἐχάρας τὸ δῶρόν σου, σεμίδαλις ἐν ἐλαίῳ ποιηθήσεται, καὶ προσοίσει τὴν θυσίαν ἣν ἂν ποιήσῃ ἐκ τούτων τοῦ κυρίῳ, καὶ προσοίσει πρὸς τὸν ἱερέα, καὶ προσεγγίσας πρὸς τὸ θυσιαστήριον, ἀφελεῖ ὁ ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς, καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, καρπώματος ὀσμὴ εὐωδίας τοῦ κυρίῳ. τὸ δὲ κατάλειφθὲν ἀπὸ τῆς θυσίας, ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ, ἅγια τῶν ἁγίων, ἀπὸ τῶν καρπωμάτων κυρίου. πᾶσαν θυσίαν ἣν ἂν προσφέρητε κυρίῳ, οὐ ποιήσετε ζυμωτόν. πᾶσαν γὰρ ζύμην καὶ πᾶν μέλι, οὐ προσοίσετε ἀπ' αὐτοῦ καρπῶσαι τοῦ κυρίῳ δῶρον. ἀπ' ἀρχῆς προσοίσετε αὐτὰ κυρίῳ, ἐπὶ δὲ τὸ θυσιαστήριον οὐκ ἀναβιβασθήσεται εἰς ὀσμὴν εὐωδίας κυρίῳ. καὶ πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλισθήσεται, καὶ οὐ διαπαύσεται ἅλας διαθήκης κυρίου ἀπὸ θυσιασμάτων ὑμῶν, ἐπὶ πάντος δώρου προσοίσετε ἅλας. ἐὰν δὲ προσφορὰς θυσίαν πρωτογενημάτων τοῦ κυρίῳ, νέα πεφρυγμένα χίδρα ἐλικτὰ τοῦ κυρίῳ. καὶ προσοίσεις τὴν θυσίαν τῶν πρωτογενημάτων, καὶ ἐπιχεεῖς ἐπ' αὐτὴν ἔλαιον, καὶ ἐπιθήσεις ἐπ' αὐτὴν λίβανον, θυσία ἐστί. καὶ καύσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς, ἀπὸ τῶν χίδρων σὺν τοῦ ἐλαίου, καὶ πάντα τὸν λίβανον αὐτῆς, κάρπωμά ἐστι κυρίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. γ'. 3.

Ἐὰν δὲ θυσία σωτηρίου τὸ δῶρον αὐτοῦ τῷ κυρίῳ, ἐὰν μὲν ἐκ τῶν βοῶν αὐτὸ προσάγῃ, ἐάν τε ἄρσεν, ἐάν τε θῆλυ, ἄμωμον προσάξει ἐνώπιον κυρίου. καὶ ἐπιθήσει τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου, καὶ σφάξει αὐτὸ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ προχεάσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον, καὶ προσάξουσιν ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου, καυτωμα κυρίῳ, πρὸς τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν τὸ ἐπὶ τῶν μηρῶν, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ, καὶ ἀνοίσουσιν αὐτὰ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον, ἐπὶ τὰ ὁλοκαυτώματα, ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρός, κάρπωμα ὀσμὴ εὐωδίας τῷ κυρίῳ. ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ θυσία σωτηρίου τῷ κυρίῳ, ἄρσεν ἢ θῆλυ, ἄμωμον προσοίσει αὐτό. ἐὰν ἄρνα προσαγάγῃ τὸ δῶρον αὐτοῦ, προσάξει αὐτὸ ἐνώπιον κυρίου, καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου αὐτοῦ, καὶ σφάξει αὐτὸ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ προχεάσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, καὶ προσοίσει ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου καυτωμα τῷ κυρίῳ, τὸ στέαρ, καὶ τὴν ὀσφὺν ἄμωμον σὺν ταῖς ψόαις περιελεῖ αὐτὸ, καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ ἀμφοτέρους τοὺς νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν τὸ ἐπὶ τῶν μηρῶν, καὶ ἐπὶ λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελῶν, ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον ὁσμὴν εὐωδίας καυτωμα τῷ κυρίῳ. ἐὰν δὲ ἀπὸ τῶν αἰγῶν τὸ δῶρον αὐτοῦ τῷ κυρίῳ, καὶ προσάξει ἐνώπιον κυρίου, καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ σφάξουσιν αὐτὸ ἐνώπιον κυρίου, παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, καὶ ἀνοίσει ἀπ' αὐτοῦ καυτωμα τῷ κυρίῳ τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ τοὺς δύο νεφροὺς, καὶ πᾶν τὸ στέαρ τὸ ἐπ' αὐτῶν τὸ ἐπὶ τῶν μηρῶν, καὶ τὸν λοβὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ, καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον κάρπωμα, ὀσμὴ εὐωδίας τῷ κυρίῳ. πᾶν στέαρ τῷ κυρίῳ νόμιμον εἰς τὸν αἰῶνα εἰς τὰς γενεὰς ὑμῶν, ἐν πάσῃ κατοικίᾳ ὑμῶν. πᾶν στέαρ καὶ πᾶν αἷμα, οὐκ ἔδεσθε.

ΚΕΦΑΛ. δ'. 4.

Καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων· λάλησον πρὸς τοὺς υἱοὺς Ἰσραὴλ λέγων· Ψυχὴ ἐὰν ἁμάρτῃ ἐνώπιον κυρίου ἀκουσίως, ἀπὸ παντῶν τῶν προσταγμάτων κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ ποιήσει ἓν τι ἀπ' αὐτῶν. ἐὰν μὲν ὁ ἀρχιερεὺς ὁ χριόμενος ἁμάρτῃ, εἰς τὸν λαὸν ἁμαρτεῖν, καὶ προσάξει περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε μόσχον ἐκ βοῶν ἄμωμον τῷ κυρίῳ, περὶ τῆς ἁμαρτίας, καὶ προσάξει τὸν μόσχον παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐνώπιον κυρίου, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου, καὶ σφάξει τὸν μόσχον ἐνώπιον κυρίου. καὶ λαβὼν ὁ ἱερεὺς ὁ χριὸς ὁ τετελειωμένος τὰς χεῖρας ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ εἰσοίσει αὐτὸ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον εἰς τὸ αἷμα, καὶ προσραντεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις τοῦ δακτύλου ἐνώπιον κυρίου, κατὰ τὸ καταπέτασμα τὸ ἅγιον. καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τοῦ θυμιάματος τοῦ συνθέσεως τοῦ ἐνώπιον κυρίου, ὃ ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ πᾶν τὸ αἷμα τοῦ μόσχου ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τοῦ ὁλοκαυτώσεως, ὃ ἐστι πρὸς τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ πᾶν τὸ στέαρ τοῦ μόσχου τοῦ περὶ ἁμαρτίας, περιελεῖ ἀπ' αὐτοῦ τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐνδόσθια, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐνδοσθίων, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν ὃ ἐστιν ἐπὶ τῶν μηρῶν, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ αὐτοῦ, ὃν τρόπον ἀφαιρεῖται ἀπὸ τοῦ μόσχου τοῦ θυσίας τοῦ σωτηρίου. καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον τῆς καρπώσεως, καὶ τὸ δέρμα τοῦ μόσχου, καὶ πᾶσαν αὐτοῦ τὴν σάρκα σὺν τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῖς ἀκρωτηρίοις, καὶ τῇ κοιλίᾳ, καὶ τῇ κόπρῳ. καὶ ἐξοίσουσιν ὅλον τὸν μόσχον ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρὸν, ὃ ἐκχεοῦσι τὴν σποδιάν, καὶ κατακαύσουσιν αὐτὸν ἐπὶ ξύλων ἐν πυρὶ ἐπὶ τῆς ἐκχύσεως τῆς σποδιᾶς κατακαήσεται. ἐὰν δὲ πᾶσα συναγωγὴ τῶν υἱῶν Ἰσραὴλ ἀγνοήσῃ καὶ λάθῃ ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς, καὶ ποιήσωσι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου, ἃ οὐ ποιηθήσεται, καὶ πλημμελήσωσι, καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία ἣν ἥμαρτον ἐν αὐτῇ, καὶ προσάξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον περὶ τῆς ἁμαρτίας, καὶ προσάξει αὐτὸν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐπιθήσουσιν οἱ πρεσβύτεροι τῆς συναγωγῆς τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἐνώπιον κυρίου, καὶ σφάξουσι τὸν μόσχον ἐνώπιον κυρίου, καὶ εἰσοίσει ὁ ἱερεὺς ὁ χριὸς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον αὐτοῦ ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ ῥανεῖ ἑπτάκις ἐνώπιον κυρίου κατὰ πρόσωπον τοῦ καταπετάσματος

τοῦ

τοῦ ἁγίου, καὶ ἀπὸ τοῦ αἵματος ῥανθήσεται ὁ ἱερεὺς ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων τῆς συναντήσεως, ὅ ἐστιν γνώμων λυσίτελος, ὅ ὄντος γνώμονος τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὸ λοιπὸν αἷμα ἐκχεεῖ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν καρπώσεων τοῦ ὄντος πρὸς τῇ θύρᾳ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὸ λοιπὸν στέαρ αὐτοῦ περιελεῖ ἀπ' αὐτοῦ, καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον, καὶ ποιήσει τὸν μόσχον, ὃν τρόπον ἐποίησε τὸν μόσχον τὸν τῆς ἁμαρτίας. οὕτω ποιήσεται, καὶ ἐξιλάσεται περὶ αὐτῶν ὁ ἱερεύς, καὶ ἀφεθήσεται αὐτοῖς ἡ ἁμαρτία. καὶ ἐξοίσουσι τὸν μόσχον ἔξω τῆς παρεμβολῆς, καὶ κατακαύσουσι τὸν μόσχον, ὃν τρόπον κατέκαυσαν τὸν μόσχον τὸν πρότερον, ἁμαρτίας συναγωγῆς ἐστίν, ἐὰν δὲ ὁ ἄρχων ἁμάρτῃ, καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου τοῦ θεοῦ αὐτοῦ, ἃ οὐ ποιηθήσεται ἀκουσίως, καὶ πλημμελήσῃ, καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ προσοίσει τὸ δῶρον αὐτοῦ χίμαρον ἐξ αἰγῶν ἄρσεν ἄμωμον περὶ ἁμαρτίας, καὶ ἐπιθήσει τὰς χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου, καὶ σφάξουσιν αὐτὸν ἐν τόπῳ, οὗ σφάζουσι τὰ ὁλοκαυτώματα ἐνώπιον κυρίου, ἁμαρτίας ἐστί. καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ περὶ ἁμαρτίας, τῷ δακτύλῳ ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, καὶ τὸ λοιπὸν αἷμα αὐτοῦ ἐκχεεῖ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, καὶ τὸ λοιπὸν στέαρ αὐτοῦ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον, ὥσπερ τὸ στέαρ τῆς θυσίας τοῦ σωτηρίου. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ. καὶ ἀφεθήσεται αὐτῷ. ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς, ἐν τῷ ποιῆσαι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου, ἃ οὐ ποιηθήσεται, καὶ πλημμελήσῃ, καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ οἴσει τὸ δῶρον αὐτοῦ χίμαιραν ἐξ αἰγῶν, θήλειαν ἄμωμον οἴσει περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ ἁμαρτήματος αὐτοῦ, καὶ σφάξουσι τὴν χίμαιραν τὴν περὶ ἁμαρτίας, ἐν τῷ τόπῳ οὗ σφάζουσι τὰ ὁλοκαυτώματα. καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος αὐτῆς τῷ δακτύλῳ αὐτοῦ, καὶ ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, καὶ τὸ λοιπὸν αἷμα αὐτῆς ἐκχεεῖ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, καὶ τὸ λοιπὸν στέαρ περιελεῖ, ὃν τρόπον περιαιρεῖται στέαρ ἀπὸ θυσίας τοῦ σωτηρίου, καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ ὀσμὴν εὐωδίας κυρίῳ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεύς, καὶ ἀφεθήσεται αὐτῷ. ἐὰν δὲ πρόβατον προσφέρῃ τὸ δῶρον αὐτοῦ περὶ τῆς ἁμαρτίας, θήλυ ἄμωμον προσοίσει αὐτό, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ περὶ ἁμαρτίας, καὶ σφάξουσι αὐτὸ περὶ ἁμαρτίας, ὃ σφάζουσι τὰ ὁλοκαυτώματα ἐν τόπῳ ἁγίῳ. καὶ λαβὼν ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ περὶ ἁμαρτίας τῷ δακτύλῳ αὐτοῦ, ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως, καὶ τὸ λοιπὸν αἷμα ἐκχεεῖ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως. καὶ τὸ λοιπὸν αὐτοῦ τὸ στέαρ περιελεῖ, ὃν τρόπον περιαιρεῖται στέαρ ἀπὸ θυσίας τοῦ σωτηρίου, καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὸ ὁλοκάυτωμα κυρίου, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ.

ΚΕΦΑΛ. ε'. 5.

Ἐὰν δὲ ψυχὴ ἁμάρτῃ, καὶ ἀκούσῃ φωνὴν ὁρκισμοῦ, καὶ οὗτος μάρτυς ἢ ἑώρακεν, ἢ σύνοιδεν, ἐὰν μὴ ἀπαγγείλῃ, καὶ λήψεται τὴν ἁμαρτίαν αὐτοῦ· ἢ ψυχὴ ἐκείνη ἣ τις ἐὰν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ θηρίου ἀκαθάρτου, ἢ κτήνους ἀκαθάρτου, ἢ τῶν θηρίων τῶν ἀκαθάρτων, ἢ τῶν ἑρπετῶν τῶν ἀκαθάρτων, καὶ λάθῃ ἀπ' αὐτοῦ, καὶ μεμίανται, ἢ ἅψηται ἀπὸ ἀκαθαρσίας ἀνθρώπου, ἢ ἀπὸ πάσης ἀκαθαρσίας αὐτοῦ, ἧς ἂν ἅψηται ὁ μιανθῇ, καὶ ἔλαθεν αὐτόν· μετὰ δὲ ταῦτα γνῷ, καὶ πλημμελήσῃ ἡ ψυχὴ, ἢ ἄνομον, ἢ ὀμοσέλεσε τοῖς χείλεσι καλοποιῆσαι, ἢ κακοποιῆσαι ἢ περὶ παντὸς ὅσα ἐὰν ὀμοσέλη ὁ ἄνθρωπος μετ' ὅρκου, καὶ λάθῃ αὐτὸν, καὶ ὕστερον γνῷ, ἐν ἁμάρτῃ ἓν τούτων, καὶ ἐξαγορεύσει τὴν ἁμαρτίαν περὶ ἧς ἥμαρτηκε κατ' αὐτῆς, καὶ οἴσει περὶ ὧν ἐπλημμέλησε τῷ κυρίῳ περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε θῆλυ ἀπὸ τῶν προβάτων, ἀμνάδα ἢ χίμαιραν ἐξ αἰγῶν περὶ ἁμαρτίας, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς, περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία. ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν εἰς πρόβατον, οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν κυρίῳ, ἕνα περὶ ἁμαρτίας, καὶ ἕνα εἰς ὁλοκάυτωμα, καὶ οἴσει αὐτὰ πρὸς τὸν ἱερέα, καὶ προσάξει ὁ ἱερεὺς τὸ περὶ τῆς ἁμαρτίας πρότερον, καὶ ἀποκνίσει ὁ ἱερεὺς τὴν κεφαλὴν αὐτοῦ ἀπὸ τοῦ σφονδύλου, καὶ δ' ἐλεῖ, καὶ ῥανεῖ ἀπὸ τοῦ αἵματος τοῦ περὶ τῆς ἁμαρτίας ἐπὶ τὸν τοῖχον τοῦ θυσιαστηρίου. τὸ δὲ καταλοιπὸν τοῦ αἵματος καταστραγγιεῖ ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου, ἁμαρτία γάρ ἐστι. καὶ τὸ δεύτερον ποιήσει ὁλοκάυτωμα ὡς καθήκει, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ. ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν, καὶ οἴσει τὸ δῶρον αὐτοῦ περὶ ὧν ἥμαρτε τὸ δέκατον τοῦ ὑφὶ σεμιδάλεως περὶ ἁμαρτίας, οὐκ ἐπιχεεῖ ἐπ' αὐτὴν ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ' αὐτὴν λίβα-

νου, ὅτι πρὸι ἁμαρτίας ἐστὶ. καὶ οἴσει αὐτὸν πρὸς τὴν θύρα. καὶ θλαξάμενος ὁ ἱερεὺς, ἀπ' αὐτοῦ πλήρη τὴν θλάκα αὐτοῦ, τὸ μνημόσυνον αὐτοῦ ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον ὑδὶ τῶν ὁλοκαυτωμάτων κυρίου, ἁμαρτίας ἐστὶ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτεν ἀφ' ἑνὸς τούτων, καὶ ἀφεθήσεται αὐτῷ. τὸ δὲ καταλειφθὲν ἔσαι τοῦ ἱερέως, ὡς θυσία τοῦ σεμιδάλεως. Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ψυχὴ ἣ ἂν λάθῃ αὐτὸν λάθη, καὶ ἁμάρτῃ ἀκουσίως ἀπὸ τῶν ἁγίων κυρίου, καὶ οἴσει τὴν πλημμελείας αὐτοῦ τοῦ κυρίου κριὸν ἄμωμον ἐκ τῶν προβάτων, τιμῆς ἀργυρίου σίκλων τοῦ σίκλου τοῦ ἁγίου, περὶ ὧν ἐπλημμέλησε, καὶ ὃ ἥμαρτεν ἀπὸ τῶν ἁγίων ἀποτίσει, καὶ ἐπίπεμπτον προσθήσει ἐπ' αὐτὸ, καὶ δώσει αὐτὸ τοῦ ἱερεῖ, καὶ ὁ ἱερεὺς ἐξιλάσεται περὶ αὐτοῦ τοῦ κριοῦ τῆς πλημμελείας, καὶ ἀφεθήσεται αὐτῷ. καὶ ἡ ψυχὴ ἣ ἂν ἁμάρτῃ, καὶ ποιήσει μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου ὧν οὐ δεῖ ποιεῖν καὶ ὑπ' ἔγνω, καὶ πλημμελήσει, καὶ λάβῃ τὴν ἁμαρτίαν αὐτοῦ, καὶ οἴσει κριὸν ἄμωμον ἐκ τῶν προβάτων, τιμῆς ἀργυρίου εἰς πλημμέλειαν πρὸς τὴν ἱερέα, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἀγνοίας αὐτοῦ ἧς ἠγνόησε, καὶ αὐτὸς οὐκ ᾔδει, καὶ ἀφεθήσεται αὐτῷ· ἐπλημμέλησε γὰρ πλημμελείᾳ πλημμέλησιν τῷ κυρίῳ.

ΚΕΦΑΛ. ε'. 6.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ψυχὴ ἣ ἂν ἁμάρτῃ, καὶ ἀκοὴν ἀκοῆς, καὶ μαρτυρήσῃ τὰς φυτολὰς κυρίου, καὶ ψεύσεται τὰ πρὸς τὸν πλησίον τῷ παραθήκῃ, ἢ περὶ κοινωνίας, ἢ περὶ ἁρπαγῆς, ἢ ἀδίκησέ τι τὸν πλησίον, ἢ εὗρεν ἀπώλειαν, καὶ ψεύσεται περὶ αὐτῆς, καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς ἀπὸ παντὸς ὧν ἂν ποιήσῃ ἄνθρωπος, ὥστε ἁμαρτάνειν τῷ τούτοις, καὶ ἔσαι ἡνίκα ἂν ἁμάρτῃ, καὶ πλημμελήσῃ, καὶ ἀποδώσει τὸ ἅρπαγμα ὃ ἥρπασεν, ἢ τὸ ἀδίκημα ὃ ἠδίκησεν, ἢ τὴν παραθήκην ἣ τις παρετέθη αὐτῷ, ἢ τὴν ἀπώλειαν ἣν ἂν εὗρεν ἀπὸ πάντων ὧν ἐπίορκος ἐστὶ, καὶ ἀποδώσει αὐτὸ τὸ κεφάλαιον, καὶ τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ' αὐτὸ, τίνος ἐστὶν, αὐτῷ ἀποδώσει ἧς ἂν ἡμέρας ἐλεγχθῇ, καὶ τὸ πλημμελείας αὐτοῦ οἴσει τοῦ κυρίῳ κριὸν ἄμωμον, τιμῆς εἰς ὃ ἐπλημμέλησε, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι κυρίου, καὶ ἀφεθήσεται αὐτῷ περὶ ἑνὸς ἀπὸ πάντων ὧν ἐποίησε καὶ ἐπλημμέλησεν ἐν αὐτοῖς. Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ἔντειλαι τοῖς ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· οὗτος ὁ νόμος τῆς ὁλοκαυτώσεως. αὐτὴ ἡ ὁλοκάυτωσις ὑπὲρ τῆς καύσεως αὐτῆς ὑπὲρ τοῦ θυσιαστηρίου ὅλην τὴν νύκτα καυθήσεται ἕως τοῦ πρωΐ, καὶ τὸ σβεσθήσεται ἐπ' αὐτῷ τὸ ὑπὲρ τοῦ θυσιαστηρίου αὐτοῦ, καὶ ἐνδύσεται ὁ ἱερεὺς χιτῶνα λινοῦν, καὶ περισκελὲς λινοῦν ἐνδύσεται περὶ τὸ σῶμα αὐτοῦ, καὶ ἀφελεῖ τὴν κατακάρπωσιν, ἣν ἂν κατανάλωσι τὸ πῦρ τὴν ὁλοκάυτωσιν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ θήσει αὐτὴν ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ ἐκδύσεται τὴν στολὴν αὐτοῦ, καὶ ἐνδύσεται στολὴν ἄλλην, καὶ ἐξοίσει τὴν κατακάρπωσιν, ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν. καὶ τὸ πῦρ ὑπὲρ τὸ θυσιαστήριον καυθήσεται ἐπ' αὐτοῦ, καὶ σβεσθήσεται. καὶ καύσει ἐπ' αὐτὸ ὁ ἱερεὺς ξύλα τὸ πρωΐ πρωΐ, καὶ συβάσει ἐπ' αὐτοῦ τὴν ὁλοκάυτωσιν, καὶ ὑπιθήσει ἐπ' αὐτὸ τὰ στέαρ τῆς σωτηρίου, καὶ πῦρ διὰ παντὸς καυθήσεται ὑπὲρ τὸ θυσιαστήριον, καὶ σβεσθήσεται. ἕτος ὁ νόμος τῆς θυσίας ἣν προσοίσουσι αὐτῇ οἱ υἱοὶ ἀαρὼν οἱ ἱερεῖς, ἀπέναντι κυρίου, ἀπέναντι τοῦ θυσιαστηρίου, καὶ ἀφελεῖ ἀπ' αὐτοῦ ὁ ἱερεὺς τῇ δρακί, ἀπὸ τῆς σεμιδάλεως τῆς θυσίας σὺν τοῦ ἐλαίου αὐτῆς, καὶ σὺν παντὶ τῷ λιβανῷ αὐτῆς, τὰ ὄντα ὑπὲρ τῆς θυσίας. καὶ αὐσθήσει ὑπὲρ τὸ θυσιαστήριον εὐῶδες ὀσμὴν ὁλοκαύτωσις, τὸ μνημόσυνον αὐτῆς τοῦ κυρίου. τὸ δὲ καταλειφθὲν ἀπ' αὐτῆς, ἔδονται ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἄζυμα βρωθήσεται ἐν τόπῳ ἁγίῳ, ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου ἔδονται αὐτό. οὐ πεφθήσεται ἐζυμωμένον, μερίδας αὐτοῖς αὐτῆς δέδωκα ἀπὸ τῶν καρπωμάτων κυρίου, ἁγία ἁγίων ἐστὶν, ὡς περὶ τὸ περὶ ἁμαρτίας καὶ ὡσπερὶ τὸ περὶ πλημμελείας. πᾶν ἀρσενικὸν τῶν ἱερέων ἔδονται αὐτῆς, νόμιμον αἰώνιον εἰς τὰς γενεάς ὑμῶν, ἀπὸ τῶν καρπωμάτων κυρίου. πᾶς ὃς ἐὰν ἅψηται αὐτῶν, ἁγιασθήσεται. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· δῶρον τὸ θλῶρον ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ, ὃ προσοίσουσι τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ ἣ ἂν χρισθῇ αὐτὸν, τὸ θλέκατον τοῦ ὑφὶ σεμιδάλεως εἰς θυσίαν θλὰ παντὸς, τὸ ἥμισυ αὐτῆς τὸ πρωΐ, καὶ τὸ ἥμισυ αὐτῆς τὸ δειλινόν. ὧν τηγάνῳ ἐν ἐλαίῳ ποιηθήσεται, πεφυραμένῳ οἴσει αὐτὸν ἐλικτὰ, θυσίαν ἐκ κλασμάτων, θυσίαν εἰς ὀσμὴν εὐωδίας κυρίῳ. ὁ ἱερεὺς ὁ χρισὸς ὁ αὐτοῦ αὐτοῦ, ἐκ τῶν υἱῶν αὐτοῦ, ποιήσει αὐτὴν νόμιμον αἰώνιον. ἅπαν ὁλοκαυτωθήσεται, καὶ πᾶσα θυσία ἱερέως ὁλόκαυτος ἔσαι, καὶ οὐ βρωθήσεται. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τῷ ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· οὗτος ὁ νόμος τῆς ἁμαρτίας, ἐν τόπῳ οὗ σφάζουσι τὰ ὁλοκαυτώματα, σφαγήσεται κατὰ πρόσωπον κυρίου, ἁγία ἁγίων ἐστὶν. ὁ ἱερεὺς ὁ ἀναφέρων αὐτὸ, ἔδεται αὐτὸ, ἐν τόπῳ ἁγίῳ βρωθήσεται, ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου. πᾶς ὁ ἁπτόμενος τῶν κρεῶν αὐτῆς ἁγιασθήσεται, καὶ ὃ ἐὰν ῥαντισθῇ ἀπὸ τοῦ αἵματος αὐτῆς ἐπὶ τὸ ἱμάτιον, ὃ ἂν ῥαντισθῇ ἐπ' αὐτὸ, πλυθήσεται ἐν τόπῳ ἁγίῳ. καὶ σκεῦος ὀστράκινον οὗ ἐὰν ἑφθῇ ἐν αὐτοῖς, συντριβήσεται· ἐὰν δὲ ἐν σκεύει χαλκῷ ἑφθῇ, ἐκτριφήσεται καὶ πλυθήσεται ὕδατι. πᾶς

ἄρσενι

ἀφ᾽σλω γὰρ τοῖς ἱδρλῦσι φάγεται αὐτὰ, ἅγια ἁγίων ὅτι τοῦ κυρίου. καὶ πάντα τὰ πρὶ τῆς ἁ-
μαρτίας, ὧν αὐ εἰσηνεχθῆ ἀφ᾽ τοῦ αἵματος αὐτῶν, εἰς τὸ σκηνὸν τοῦ μαρτυρίου ἐξιλάσασθαι
ἐν τοῦ ἁγίῳ, ὁ βρωθήσεται, ἐν πυρὶ κατακαυθήσεται. καὶ οὕτως ὁ νόμος τοῦ ἱερέως τοῦ πυρὸς
τῆ πλημμελείας, ἅγια ἁγίων ὅτι. ἐν τόπῳ ὃ σφάζουσι τὰ ὁλοκαυτώματα, σφάξουσι τὸ ἱερεῖον
τῆ πλημμελείας ἐναντίον κυρίου, καὶ τὸ αἷμα προχεῖ ὧν τὸ βάσιν τοῦ θυσιαστηρίου κύκλῳ,
καὶ πᾶν τὸ στέαρ αὐτοῦ προσοίσει ἀπ᾽ αὐτοῦ, καὶ τὸν ὀσφὺν, καὶ τὸ στέαρ τὸ κατακαλύπτον τὰ
ἐνδόδια, καὶ πᾶν τὸ στέαρ τὸ ὂν ἐπὶ τῶν ἐνδοδίων, καὶ δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν
τὸ ὂν ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ὂν ἐπὶ τοῦ ἥπατος, σὺν τοῖς νεφροῖς περιελεῖ αὐτὰ, καὶ ἀ-
ναθήσει αὐτὰ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, κάρπωμα ὀσμὴν εὐωδίας κυρίῳ, πρὶ πλημμελείας
ἐστὶ. πᾶς ἄρσεν ἐκ τῶν ἱερέων ἔδεται αὐτό. ἐν τόπῳ ἁγίῳ βρωθήσεται, ἅγια ἁγίων ἐστίν. ὡς
περ τὸ περὶ τῆς ἁμαρτίας, οὕτως καὶ τὸ τῆς πλημμελείας νόμος εἷς αὐτῶν. ὁ ἱερεὺς ὃς ἂν ἐξιλάσε-
ται ἐν αὐτῷ, αὐτοῦ ἔσται. καὶ ὁ ἱερεὺς ὁ προσάγων ὁλοκάυτωμα ἀνθρώπου, τὸ δέρμα τῆς
ὁλοκαυτώσεως ἧς προσάγει αὐτὸς, αὐτοῦ ἔσται. καὶ πᾶσα θυσία ἣ ἂν ποιηθήσεται ἐν λιβάνῳ,
καὶ πᾶσα ἥτις ποιηθήσεται ἐπ᾽ ἐχάρας, ἢ ἐν τηγάνῳ, τοῦ ἱερέως τοῦ προσφέροντος αὐ-
τῷ, αὐτοῦ ἔσται. καὶ πᾶσα θυσία ἀνάπεπτοιμμένη ἐν ἐλαίῳ, καὶ μὴ ἀνάπεπτοιμμένη, πᾶσι τοῖς
υἱοῖς ἀαρὼν ἔσται, ἑκάστῳ τὸ ἴσον.

ΚΕΦΑΛ. ζ'. 7.

Οὗτος ὁ νόμος θυσίας σωτηρίου τῷ προσφέροντι κυρίῳ, ἐὰν μὲν περὶ αἰνέσεως προσ-
φορὰν αὐτῷ, καὶ προσοίσει ἐν τῆς θυσίας τῆς αἰνέσεως ἄρτους σεμιδάλεως ἀνάπε-
πτοιμμένους ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα διαχεχρισμένα ἐν ἐλαίῳ, καὶ σεμίδαλιν πεφυραμέ-
νην ἐν ἐλαίῳ, ἐπ᾽ ἄρτοις ἀζύμοις προσοίσει τὰ δῶρα αὐτοῦ ὧν θυσίαν αἰνέσεως σωτηρίου
αὐτοῦ, καὶ προσάξει ἀπ᾽ αὐτοῦ ἐν, ἀφ᾽ παντὸς τοῦ δώρου αὐτοῦ ἀφαίρεμα κυρίῳ. τοῦ ἱερέως
τοῦ προχέοντι τὸ αἷμα τοῦ σωτηρίου αὐτοῦ ἔσται, καὶ τὰ κρέα θυσίας αἰνέσεως σωτηρίου, αὐ-
τοῦ ἔσται. καὶ ἐν ἡμέρᾳ δώρου αὐτοῦ βρωθήσεται, οὐ καταλείψουσιν ἀπ᾽ αὐτοῦ εἰς πρωΐ. καὶ
ἐὰν σύχνιν ἐπούσιον θυσιάσῃ τὸ δῶρον αὐτοῦ, ἢ αὐ ἡμέρᾳ προσάγῃ τὴν θυσίαν αὐτοῦ, βρω-
θήσεται, καὶ τῇ αὔριον, καὶ ὃ καταλειφθὲν ἀφ᾽ τοῦ κρεῶν τῆς θυσίας, ἕως ἡμέρας τρίτης, ἐν
πυρὶ κατακαυθήσεται. ἐὰν δὲ φαγὼν φάγῃ ἀφ᾽ τῶν κρεῶν τῇ ἡμέρᾳ τῇ τρίτῃ, οὐ λογισθήσεται
τοῦ προσφέροντι αὐτὸ, δυσωδίασμα γὰρ ἔσται. ἡ δὲ ψυχὴ ἥτις ἐὰν φάγῃ ἀπ᾽
αὐτοῦ, τὴν ἁμαρτίαν λήψεται, καὶ κρέα ὅσα ἐὰν ἅψηται παντὸς ἀκαθάρτου, οὐ βρωθήσε-
ται, ἐν πυρὶ κατακαυθήσεται. πᾶς καθαρὸς φάγεται κρέα, καὶ ἡ ψυχὴ ἥτις ἐὰν φάγῃ ἀφ᾽ τῶν
κρεῶν τοῦ θυσίας τοῦ σωτηρίου, ὃ ἔστι κυρίου, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ᾽ αὐτοῦ, ἀπολεῖται ἡ
ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. καὶ ἡ ψυχὴ ἥ ἂν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ
ἀφ᾽ ἀκαθαρσίας ἀνθρώπου, ἢ τῶν τετραπόδων τῶν ἀκαθάρτων, ἢ παντὸς βδελύγματος ἀκα
θάρτου, καὶ φάγῃ ἀφ᾽ τῶν κρεῶν τοῦ θυσίας τοῦ σωτηρίου, ὃ ἐστι τοῦ κυρίου, ἀφανισθήσεται ἡ ψυχὴ ἐκεί-
νη ἐκ τοῦ λαοῦ αὐτοῦ. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ λέ-
γων· παν στέαρ βοὸς καὶ προβάτου καὶ αἰγὸς οὐκ ἔδεσθε, καὶ στέαρ θνησιμαίου, καὶ θηριάλ-
λωτον ποιηθήσεται εἰς παν ὄργον, καὶ εἰς βρῶσιν οὐ βρωθήσεται. πᾶς ὃ ἐὰν ἐσθίων στέαρ ἀφ᾽ τῶν
κτηνῶν ὧν προσάξετε ἀπ᾽ αὐτῶν κάρπωμα κυρίῳ, ἀφανισθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐ-
τῆς. παν αἷμα οὐκ ἔδεσθε, ἐν πάσῃ κατοικίᾳ ὑμῶν ἀπὸ τῶν κτηνῶν καὶ ἀφ᾽ τῶν πετεινῶν.
πᾶσα ψυχὴ ἐὰν φάγῃ αἷμα, ἀφανισθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐ-
τῆς. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· καὶ τοῖς υἱοῖς ἰσραὴλ λαλήσεις λέγων· ὁ προσφέρων θυσίαν σωτηρίου αὐ-
τοῦ τῷ κυρίῳ, οἴσει τὸ δῶρον αὐτοῦ τῷ κυρίῳ, ἀφ᾽ τῆς θυσίας τοῦ σωτηρίου αὐτοῦ, αἱ χεῖρες αὐ-
τοῦ προσοίσουσι τὰ καρπώματα κυρίῳ, τὸ στέαρ τὸ ὂν τοῦ σπλαγχνίσαι, καὶ τὸν λοβὸν τὸν ὂν τοῦ
ἥπατος προσοίσει αὐτῷ, ὥστε ἐπιθῆναι δῶμα ἐναντίον κυρίου. καὶ αἱροίσει ὁ ἱερεὺς τὸ στέαρ
τὸ ὂν τοῦ σπλαγχνίσαι ἐπὶ τὸ θυσιαστήριον, καὶ ἔσται τὸ σπλάγχνον ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ. καὶ τὸν
βραχίονα τὸν δεξιὸν δώσετε ἀφαίρεμα τοῦ ἱερεῖ, ἀφ᾽ τῶν θυσιῶν τῶν σωτηρίων ὑμῶν. ὁ προ-
σφέρων τὸ αἷμα τοῦ σωτηρίου, καὶ τὸ στέαρ ἀφ᾽ τῶν ὑμῶν ἀαρὼν, αὐτῷ ἔσται ὁ βραχίων ὁ δεξιὸς ἐν
μερίδι. τὸ γὰρ σπλάγχνον τοῦ ἐπιθέματος, καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος ἔλαφα παρὰ τῶν
υἱῶν ἰσραὴλ ἀφ᾽ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν, καὶ ἔδωκα αὐτὰ ἀαρὼν τοῦ ἱερεῖ καὶ τοῖς υἱοῖς
αὐτοῦ νόμιμον αἰώνιον παρὰ τῶν υἱῶν ἰσραὴλ. αὕτη ἡ χρίσις ἀαρὼν καὶ ἡ χρίσις τῶν υἱῶν αὐτοῦ
ἀπὸ τῶν καρπωμάτων τοῦ κυρίου, ἐν ᾗ ἡμέρᾳ προσήγαγε αὐτοὺς τοῦ ἱερατεύειν κυρίῳ, καθό-
τι ἐνετείλατο κύριος δοῦναι αὐτοῖς, ἣ ἡμέρᾳ ἔχρισεν αὐτοὺς παρὰ τῶν υἱῶν ἰσραὴλ, νόμιμον
αἰώνιον εἰς τὰς γενεὰς αὐτῶν. οὗτος ὁ νόμος τῶν ὁλοκαυτωμάτων καὶ θυσίας, καὶ πρὶ ἁμαρ
τίας, καὶ τῆς πλημμελείας, καὶ τῆς τελειώσεως, καὶ τῆς θυσίας τοῦ σωτηρίου, ὃν τρόπον ἐνετείλα-
το κύριος τῷ μωϋσῇ ἐν τῷ ὄρει σινᾶ, ἣ ἡμέρᾳ ἐνετείλατο τοῖς υἱοῖς ἰσραὴλ προσφέρειν τὰ
δῶρα αὐτῶν ἐναντι κυρίου ἐν τῇ ἐρήμῳ σινᾶ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. η'. θ'.

Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· λαβὲ τὸν Ἀαρὼν, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς στολὰς αὐτοῦ, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ τοὺς δύο κριοὺς, καὶ τὸ κανοῦν τῶν ἀζύμων, καὶ πᾶσαν τὴν συναγωγὴν ἐκκλησίας, ἣ ἐστὶ θύρα τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ ἐποίησε Μωϋσῆς, ὃν τρόπον συνέταξεν αὐτῷ Κύριος, καὶ ἐξεκλησίασε πᾶσαν τὴν συναγωγὴν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ εἶπε Μωϋσῆς πρὸς συναγωγήν· τοῦτό ἐστι τὸ ῥῆμα ὃ ἐνετείλατο Κύριος ποιῆσαι. καὶ προσήγαγε Μωϋσῆς τὸν Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἔλουσεν αὐτοὺς ὕδατι, καὶ ἐνέδυσεν αὐτὸν τὸν χιτῶνα, καὶ ἔζωσεν αὐτὸν τὴν ζώνην, καὶ ἐνέδυσεν αὐτὸν τὸν ποδήρη τὴν, καὶ ἐπέθηκεν ἐπ' αὐτὸν τὴν ἐπωμίδα, καὶ ἔζωσεν αὐτὸν κατὰ τὴν ποίησιν τῆς ἐπωμίδος, καὶ συνέσφιγξεν αὐτὴν ἐν αὐτῇ, καὶ ἐπέθηκεν ἐπ' αὐτὸν τὸν λόγιον, καὶ ἐπέθηκεν εἰς τὸ λόγιον τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν, καὶ ἐπέθηκε τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπέθηκεν ἐπὶ τῆς μίτρας ἐπὶ πρόσωπον αὐτοῦ, τὸ πέταλον τὸ χρυσοῦν τὸ καθηγιασμένον ἅγιον, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσεῖ. καὶ ἔλαβε Μωϋσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως, καὶ ἔῤῥανεν ἐπ' αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ἑπτάκις, καὶ ἔχρισεν τὸ θυσιαστήριον, καὶ ἡγίασεν αὐτὸ, καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ τὸν λουτῆρα, καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἡγίασεν αὐτά. καὶ ἔχρισε τὴν σκηνὴν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ ἡγίασεν αὐτήν. καὶ ἐπέχεε Μωϋσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως ἐπὶ τὴν κεφαλὴν Ἀαρὼν, καὶ ἔχρισεν αὐτὸν, καὶ ἡγίασεν αὐτόν. καὶ προσήγαγε Μωϋσῆς τοὺς υἱοὺς Ἀαρὼν, καὶ ἐνέδυσεν αὐτοὺς χιτῶνας, καὶ ἔζωσεν αὐτοὺς ζώνας, καὶ περιέθηκεν αὐτοῖς μισθαρεῖς, καθὼς συνέταξε Κύριος τῷ Μωϋσεῖ. καὶ προσήγαγε Μωϋσῆς τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ ἐπέθηκαν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου τοῦ περὶ τῆς ἁμαρτίας, καὶ ἔσφαξεν αὐτὸν, καὶ ἔλαβε Μωϋσῆς ἀπὸ τοῦ αἵματος, καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ, τῷ δακτύλῳ αὐτοῦ, καὶ ἐκαθάρισε τὸ θυσιαστήριον. καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου, καὶ ἡγίασεν αὐτὸ τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ. καὶ ἔλαβε Μωϋσῆς πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐγκοιλίων, καὶ τὸν λοβὸν τοῦ ἥπατος, καὶ ἀμφοτέρους τοὺς νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ ἀνέκαυσε Μωϋσῆς ἐπὶ τὸ θυσιαστήριον, καὶ τὸν μόσχον καὶ τὴν βύρσαν αὐτοῦ. καὶ τὰ κρέα αὐτοῦ, καὶ τὴν κόπρον αὐτοῦ, κατέκαυσεν αὐτὰ πυρὶ ἔξω τῆς παρεμβολῆς, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσεῖ. καὶ προσήγαγε Μωϋσῆς τὸν κριὸν τὸν εἰς ὁλοκάυτωμα, καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ, καὶ ἔσφαξε Μωϋσῆς τὸν κριὸν, καὶ προσέχεε Μωϋσῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, καὶ τὸν κριὸν ἐκρεανόμησε κατὰ μέλη αὐτοῦ, καὶ ἀνέκαυσε Μωϋσῆς τὴν κεφαλὴν, καὶ τὰ μέλη, καὶ τὸ στέαρ, καὶ τὴν πολίαν, καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι. καὶ ἀνέκαυσε Μωϋσῆς ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον, ὁλοκάυτωμα ὀσμὴ εὐωδίας, κάρπωμα δῶρα Κυρίῳ, καθὼς ἐνετείλατο Κύριος τῷ Μωϋσεῖ. καὶ προσήγαγε Μωϋσῆς τὸν κριὸν, τὸν δεύτερον κριὸν τελειώσεως, καὶ ἐπέθηκαν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ, καὶ ἔσφαξεν αὐτὸν. καὶ ἔλαβε Μωϋσῆς ἀπὸ τοῦ αἵματος αὐτοῦ, καὶ ἐπέθηκεν ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς Ἀαρὼν τοῦ δεξιοῦ. καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς. καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ. καὶ προσήγαγε Μωϋσῆς τοὺς υἱοὺς Ἀαρὼν, καὶ ἐπέθηκε Μωϋσῆς ἀπὸ τοῦ αἵματος ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων αὐτῶν τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν, καὶ προσέχεε Μωϋσῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, καὶ ἔλαβε Μωϋσῆς τὸ στέαρ καὶ τὴν ὀσφῦν, καὶ τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ τὸν λοβὸν τοῦ ἥπατος, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ τὸν βραχίονα τὸν δεξιὸν, καὶ ἀπὸ τοῦ ἄζυμου τῆς τελειώσεως τοῦ ὄντος ἐναντίον τοῦ Κυρίου. καὶ ἔλαβεν ἄρτον ἓν ἄζυμον, καὶ ἄρτον ἓν ἔλαιτης ἔνα, καὶ λάγανον ἕν, καὶ ἐπέθηκεν ἐπὶ τὸ στέαρ, καὶ τὸν βραχίονα τὸν δεξιὸν, καὶ ἐπέθηκε τὰ πάντα ἐπὶ τὰς χεῖρας Ἀαρὼν, καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ, καὶ ἀνέκαυσεν αὐτὰ ἀφαίρεμα ἔναντι Κυρίου. καὶ ἔλαβεν αὐτὰ Μωϋσῆς ἀπὸ τῶν χειρῶν αὐτῶν, καὶ ἀνέκαυσεν αὐτὰ ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὸ ὁλοκάυτωμα τῆς τελειώσεως, ὀσμὴ εὐωδίας, κάρπωμα δῶρα Κυρίῳ. καὶ λαβὼν Μωϋσῆς τὸ στῆθος, ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἔναντι Κυρίου ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως. καὶ ἐγένετο Μωϋσεῖ ἐν μερίδι, καθὰ ἐνετείλατο Κύριος τῷ Μωϋσεῖ. Καὶ ἔλαβε Μωϋσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως, καὶ ἀπὸ τοῦ αἵματος τοῦ ἐπὶ τοῦ θυσιαστηρίου, καὶ προσέῤῥανεν ἐπὶ Ἀαρὼν, καὶ ἐπὶ τὰς στολὰς αὐτοῦ, καὶ ἐπὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐπὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ. καὶ ἡγίασε τὸν Ἀαρὼν καὶ τὰς στολὰς αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτ. καὶ εἶπε μωϋσῆς πρὸς ἀαρὼν καὶ οὺς υἱοὺς αὐτ ἐνήσατε τὰ ἱερεῖα ἐν τῇ αὐλῇ τ σκηνῆς τ μαρτυρίου ἐν τόπῳ ἁγίῳ, καὶ ἐκεῖ φαγεσθε αὐτὰ, καὶ οὺς ἄρτους οὺς ἐπὶ τ λαῶν τ πλειώσεως, ὃν πρόσωπον σωτέτακταί μοι λέγων· ἀαρὼν καὶ υἱοὶ αὐτ, φαγονται αὐτὰ, καὶ τὸ λοιπὸν λειφθὲν τ ἱερεῖων καὶ τῶν ἄρτων ἐν πυρὶ κατακαύσατε. καὶ ἀπὸ τ θύρας τ σκηνῆς τ μαρτυρίου οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέρας, ἕως ἡμέρα πληρωθῇ ἡμέρα τελειώσεως ὑμῶν. ἑπτὰ γὰρ ἡμέρας τελειώσει τὰς χεῖρας ὑμῶν, καθάπερ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ. ἐνετείλατο κύριος ποιῆσαι, ὥστε ἐξιλάσασθαι περὶ ὑμῶν. καὶ ἐπὶ τὴν θύραν τ σκηνῆς τ μαρτυρίου καθήσεσθε ἑπτὰ ἡμέρας, ἡμέραν καὶ νύκτα, καὶ φυλάξεσθε τὰ φυλάγματα κυρίου, ἵνα μὴ ἀποθάνητε. οὕτω γὰρ ἐνετείλατό μοι κύριος. καὶ ἐποίησεν ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ, πάντας οὺς λόγους οὓς συνέταξε κύριος τῷ μωϋσεῖ.

ΚΕΦΑΛ. θ'. 9.

Καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐκάλεσε μωϋσῆς τὸν ἀαρὼν καὶ οὺς υἱοὺς αὐτοῦ, καὶ τὸν γερουσίαν ἰσραήλ, καὶ εἶπε μωϋσῆς πρὸς ἀαρών· λάβε σεαυτῷ μοσχάριον ἐκ βοῶν περὶ ἁμαρτίας, καὶ κριὸν εἰς ὁλοκάυτωμα, ἄμωμα, καὶ προσένεγκε αὐτὰ ἐναντι κυρίου. καὶ τῇ γερουσίᾳ ἰσραὴλ λαλήσεις λέγων· λάβετε χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ μοσχάριον καὶ ἀμνὸν ἐνιαύσιον εἰς ὁλοκαρπωσιν ἄμωμα, καὶ μόσχον ἐκ βοῶν, καὶ κριὸν εἰς θυσίαν σωτηρίου ἐναντίον κυρίου, καὶ σεμίδαλιν ἀναπεφυραμένην ἐν ἐλαίῳ, ὅτι σήμερον κύριος ὀφθήσεται ἐν ὑμῖν. καὶ ἔλαβον καθότι ἐνετείλατο μωϋσῆς, ἀπέναντι τῆς σκηνῆς τ μαρτυρίου, καὶ προσῆλθον πᾶσα συναγωγὴ, καὶ ἔστησαν ἐναντι κυρίου. καὶ εἶπε μωϋσῆς· οὗτο τὸ ῥῆμα ὃ εἶπε κύριος, ποιήσατε, καὶ ὀφθήσεται ἐν ὑμῖν ἡ δόξα κυρίου. καὶ εἶπε μωϋσῆς τῷ ἀαρών· πρόσελθε πρὸς τὸ θυσιαστήριον, καὶ ποίησον τὸ περὶ τῆς ἁμαρτίας σου, καὶ τὸ ὁλοκάυτωμά σου, καὶ ἐξίλασαι περὶ σεαυτοῦ καὶ τοῦ οἴκου σου, καὶ ποίησον τὰ δῶρα τοῦ λαοῦ, καὶ ἐξίλασαι περὶ αὐτῶν, καθάπερ ἐνετείλατο κύριος, καὶ προσῆλθεν ἀαρὼν πρὸς τὸ θυσιαστήριον, καὶ ἔσφαξε τὸ μοσχάριον τὸ περὶ τῆς ἁμαρτίας αὐτοῦ, καὶ προσήνεγκαν οἱ υἱοὶ ἀαρὼν τὸ αἷμα πρὸς αὐτόν, καὶ ἐβαψε τὸν δάκτυλον αὐτοῦ εἰς τὸ αἷμα, καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου, καὶ τὸ αἷμα ἐξέχεε παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου, καὶ τὸ στέαρ καὶ τοὺς δύο νεφροὺς, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος τ περὶ τ ἁμαρτίας, ἀνέθυσεν ἐπὶ τὸ θυσιαστήριον, ὃν τρόπον ἐνετείλατο κύριος τῷ μωϋσεῖ. καὶ τὰ κρέα καὶ τὴν βύρσαν κατέκαυσε πυρὶ, ἔξω τῆς παρεμβολῆς. καὶ ἔσφαξε τὸ ὁλοκάυτωμα, καὶ προσήνεγκαν οἱ υἱοὶ ἀαρὼν τὸ αἷμα πρὸς αὐτόν, καὶ προσέχεεν ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, καὶ τὸ ὁλοκάυτωμα προσήνεγκαν αὐτῷ, καὶ τὰ μέλη αὐτὰ, καὶ τὴν κεφαλὴν ἐπέθηκεν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἔπλυνε τὴν κοιλίαν καὶ τοὺς πόδας ὕδατι, καὶ ἐπέθηκε τὸ ὁλοκάυτωμα ἐπὶ τὸ θυσιαστήριον, καὶ προσήνεγκε τὸ δῶρον τοῦ λαοῦ. καὶ ἔλαβε τὸν χίμαρον τὸν περὶ τ ἁμαρτίας τ λαοῦ, καὶ ἔσφαξεν αὐτόν, καὶ ἐκαθάρισεν αὐτὸν καθὰ κὺ τὸν πρῶτον. καὶ προσήνεγκε τὸ ὁλοκάυτωμα, καὶ ἐποίησεν αὐτὸ ὡς καθήκει. καὶ προσήνεγκε τὴν θυσίαν, καὶ ἔπλησε τὰς χεῖρας ἀπ' αὐτῆ, καὶ ἐπέθηκεν ἐπὶ τὸ θυσιαστήριον χωρὶς τοῦ ὁλοκαυτώματος τοῦ πρωϊνοῦ. καὶ ἔσφαξε τὸν μόσχον, καὶ τὸν κριὸν τῆς θυσίας τοῦ σωτηρίου τῆς τοῦ λαοῦ, καὶ προσήνεγκαν οἱ υἱοὶ ἀαρὼν τὸ αἷμα πρὸς αὐτὸν, καὶ προσέχεε πρὸς τὸ θυσιαστήριον κύκλῳ, καὶ τὸ στέαρ τὸ ἀπὸ τοῦ μόσχου, καὶ ἀπὸ τοῦ κριοῦ τὴν ὀσφῦν, καὶ τὸ στέαρ τὸ κατακαλύπτον ἐπὶ τὴν κοιλίαν, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος, καὶ ἐπέθηκε τὰ στέατα ἐπὶ τὰ σκθώνια, καὶ ἀνέλυσε τὰ στέατα ἐπὶ τὸ θυσιαστήριον, καὶ τὸ σκθώνιον καὶ τὸν βραχίονα τὸν δεξιὸν ἀφεῖλεν ἀαρὼν ἀφαίρεμα ἐναντι κυρίου, ὃν τρόπον συνέταξε μωϋσῆς. καὶ ἐξάρας ἀαρὼν τὰς χεῖρας ἐπὶ τὸν λαὸν, εὐλόγησεν αὐτούς, καὶ κατέβη ποιῆσαι τὸ περὶ τ ἁμαρτίας, καὶ τὰ ὁλοκαυτώματα, καὶ τὰ τ σωτηρίου. καὶ εἰσῆλθε μωϋσῆς καὶ ἀαρὼν εἰς τὴν σκηνὴν τ μαρτυρίου, καὶ ἐξελθόντες εὐλόγησαν πάντα τὸν λαὸν, καὶ ὤφθη δόξα κυρίου παντὶ τῷ λαῷ. καὶ ἐξῆλθε πῦρ παρὰ κυρίου, καὶ κατέφαγε τὰ ἐπὶ τ θυσιαστηρίου, τά τε ὁλοκαυτώματα καὶ τὰ στέατα, καὶ εἶδε πᾶς ὁ λαὸς, καὶ ἐξέστη καὶ ἔπεσον ἐπὶ πρόσωπον.

ΚΕΦΑΛ. ί. 10.

Καὶ λαβόντες οἱ δύο υἱοὶ ἀαρὼν ναδὰβ καὶ ἀβιοὺδ ἕκαστος τὸ πυρεῖον αὐτοῦ, ἐπέθηκαν ἐπ' αὐτὰ πῦρ, καὶ ἐπέβαλον ἐπ' αὐτὰ θυμίαμα, καὶ προσήνεγκαν ἐναντίον κυρίου πῦρ ἀλλότριον, ὃ οὐ προσέταξε κύριος αὐτοῖς. καὶ ἐξῆλθε πῦρ παρὰ κυρίου, καὶ κατέφαγεν αὐτοὺς, καὶ ἀπεθάνοσαν ἐναντι κυρίου. καὶ εἶπε μωϋσῆς πρὸς ἀαρών· τοῦτό ἐστιν ὃ εἶπε κύριος λέγων· ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι, καὶ ἐν πάσῃ τῇ συναγωγῇ δοξασθήσομαι. καὶ κατενύχθη ἀαρών. καὶ ἐκάλεσε μωϋσῆς τὸν μισαὴλ καὶ τὸν ἐλισαφὰν υἱὸς ὀζιὴλ, υἱοὺς τοῦ ἀδελφοῦ τοῦ πατρὸς ἀαρών, καὶ εἶπεν αὐτοῖς· προσέλθετε καὶ ἄρατε τοὺς ἀδελφοὺς ὑμῶν ἐκ προσώπου τῶν ἁγίων, ἔξω τῆς παρεμβολῆς, καὶ προσῆλθον, καὶ ἦραν αὐτοὺς ἐν τοῖς χιτῶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν αὐτῶν ἔξω τῆς παρεμβολῆς, ὃν τρόπον ἔσωσε μωϋσῆς. καὶ ἔσωσε μωϋσῆς πρὸς ἀαρὼν καὶ ἐλεαζαρ καὶ ἰθαμαρ τοὺς υἱοὺς αὐτοῦ τοὺς λοιπαλειμμένους· τὴν λευιτικὴν ὑμῶν οὐκ ἀποκαλύψετε, καὶ τὰ ἱμάτια ὑμῶν οὐ διαῤῥήξετε, ἵνα μὴ ἀποθάνητε, καὶ ἐπὶ πᾶσαν τὴν συναγωγὴν ἔσται θυμός. οἱ δὲ ἀδελφοὶ ὑμῶν πᾶς οἶκος ἰσραὴλ κλαύσονται τὸν ἐμπυρισμόν, ὃν ἐνεπυρίσθησαν ὑπὸ κυρίου. καὶ ἀπὸ τῆς θύρας τοῦ σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε, ἵνα μὴ ἀποθάνητε, ὅτι ἔλαιον χρίσεως τοῦ παρὰ κυρίου ἐφ' ὑμῖν ἐστι. καὶ ἐποίησαν κατὰ τὸ ῥῆμα μωϋσῆ. καὶ ἐλάλησε κύριος τῷ ἀαρὼν λέγων· οἶνον καὶ σίκερα οὐ πίεσθε σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ, ὅταν εἰσπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προσπορευομένων ὑμῶν πρὸς τὸ θυσιαστήριον, καὶ οὐ μὴ ἀποθάνητε. νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν, διαστεῖλαι ἀνὰ μέσον τῶν ἁγίων, καὶ ἀνὰ μέσον τῶν ἀκαθάρτων, καὶ ἀνὰ μέσον τῶν καθαρῶν, καὶ συμβιβάζειν τοὺς υἱοὺς ἰσραὴλ, πάντα τὰ νόμιμα ὅσα ἐλάλησε κύριος πρὸς αὐτοὺς διὰ χειρὸς μωϋσῆ. καὶ ἔσωσε μωϋσῆς πρὸς ἀαρὼν καὶ πρὸς ἐλεαζαρ καὶ πρὸς ἰθαμαρ τοὺς υἱοὺς αὐτοῦ τοὺς λοιπαλειφθέντας· λάβετε τὴν θυσίαν τὴν λοιπαλειφθεῖσαν ἀπὸ τῶν καρπωμάτων κυρίου, καὶ φάγετε ἄζυμα παρὰ τὸ θυσιαστήριον, ἅγια ἁγίων ἐστί. καὶ φάγεσθε αὐτὰ ἐν τόπῳ ἁγίῳ. νόμιμον γάρ σοι ὅδε, καὶ νόμιμον τοῖς υἱοῖς σου ὅδε ἀπὸ τῶν καρπωμάτων κυρίου. οὕτω γὰρ ἐντέταλταί μοι κύριος, καὶ τὸ σκεύασμα τοῦ ἀφορίσματος, καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος φαγέσθε ἐν τόπῳ ἁγίῳ, σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκός σου μετὰ σοῦ. νόμιμον γάρ σοι καὶ νόμιμον τοῖς υἱοῖς σου ἐδόθη, ἀπὸ τῶν θυσιῶν τῶν σωτηρίων τῶν υἱῶν ἰσραὴλ, τὸν βραχίονα τοῦ ἀφαιρέματος, καὶ τὸ σκεύασμα τοῦ ἀφορίσματος, ὃ δι' τῶν καρπωμάτων τῶν στέατων προσοίσουσιν ἀφόρισμα ἀφορίσαι ἐναντι κυρίου. καὶ ἔσαι σοι καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου μετὰ σοῦ νόμιμον αἰώνιον, ὃν τρόπον συνέταξε κύριος τῷ μωϋσεῖ. καὶ τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας, ζητῶν ἐζήτησε μωϋσῆς, καὶ ὠργίσθη ἐναντίον ἐλεαζαρ καὶ ἰθαμαρ τοὺς υἱοὺς ἀαρὼν τοὺς λοιπαλειμμένους λέγων· διατί οὐκ ἐφάγετε τὸ περὶ τῆς ἁμαρτίας ἐν τόπῳ ἁγίῳ; ὅτι γὰρ ἅγια ἁγίων ἐστί, τοῦτο ἐδόθη ὑμῖν φαγεῖν, ἵνα ἀφέλητε τὴν ἁμαρτίαν τῆς συναγωγῆς, καὶ ἐξιλάσησθε περὶ αὐτῆς ἐναντι κυρίου. οὐ γὰρ εἰσηνέχθη τὸ αἷμα αὐτοῦ εἰς τὸ ἅγιον κατὰ πρόσωπον ἔσω. φαγέσθε αὐτὸ ἐν τόπῳ ἁγίῳ, ὃν τρόπον συνετάγη μοι. καὶ ἐλάλησεν ἀαρὼν πρὸς μωϋσῆν λέγων· εἰ σήμερον προσηνέχθησαν τὰ περὶ τῆς ἁμαρτίας αὐτῶν, καὶ τὰ ὁλοκαυτώματα αὐτῶν ἐναντι κυρίου, καὶ συμβέβηκέ μοι τοιαῦτα, καὶ φάγομαι τὸ περὶ τῆς ἁμαρτίας σήμερον, μὴ ἀρεστὸν ἔσαι τῷ κυρίῳ; καὶ ἤκουσε μωϋσῆς, καὶ ἤρεσεν αὐτῷ.

ΚΕΦΑΛ. ιαʹ. ιβʹ.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν καὶ ἀαρὼν λέγων· λαλήσατε τοῖς υἱοῖς ἰσραὴλ λέγοντες· ταῦτα τὰ κτήνη ἃ φάγεσθε ἀπὸ παντὸς τοῦ κτήνους τοῦ ἐπὶ τῆς γῆς. παν ὃπην ὀνύχων χηλὴν ὁπλὴν, καὶ ὀνυχισπῆρας ὀνυχίζον δίνυχα χηλάς, καὶ ἀναγον μηρυκισμὸν ἐν τοῖς κτήνεσι, ταῦτα φάγεσθε. πλὴν ἀπὸ τούτων ἃ φάγεσθε, ἀπὸ τοῦ μὴ ἀναγόντων μηρυκισμὸν, καὶ ἀπὸ τῶν μὴ διχηλούντων τὰς ὁπλάς, καὶ ὀνυχιζόντων ὀνυχισπῆρας. τὸ καμηλον ὅτι ἀνάγει μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν. καὶ τὸν δασύποδα ὅτι ἀναγὲ μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν. καὶ τὸν χοιρογρύλλιον ὅτι ἀναγει μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν. καὶ τὸν ὗν, ὁλοδιχηλεῖ ὁπλὴν τοῦτο, καὶ ὀνυχίζει ὄνυχας ὁπλῆς, καὶ τοῦτο οὐκ ἀναγὲ μηρυκισμὸν, ἀκάθαρτον τοῦτο ὑμῖν. ἀπὸ τῶν κρεῶν αὐτῶν οὐ φάγεσθε, καὶ ἀπὸ τῶν θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε. ἀκάθαρτα ταῦτα ὑμῖν. καὶ ταῦτα φάγεσθε ἀπὸ παντὸς τῶν ἐν τοῖς ὕδασι, πάντα ὅσα ὕδατα αὐτοῖς πτέρυγια καὶ λεπίδας ἐν τοῖς ὕδασι, καὶ ἐν ταῖς θαλάσσαις, καὶ ἐν τοῖς χειμάῤῥοις, ταῦτα φάγεσθε. καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτέρυγια, οὐδὲ λεπίδας ἐν τοῖς ὕδασιν ἐν ταῖς θαλάσσαις καὶ ἐν τοῖς χειμάῤῥοις, ἀπὸ πάντων ὧν ἑρπύγεται τὰ ὕδατα, καὶ ἀπὸ πάσης ψυχῆς τῆς ζώσης ἐν τοῖς ὕδασι, βδέλυγμα ἔσται ὑμῖν. ἀπὸ τῶν κρεῶν αὐτῶν οὐκ ἔδεσθε, καὶ τὰ θνησιμαῖα αὐτῶν βδελύξεσθε. καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτέρυγια, οὐδὲ λεπίδας τῶν ἐν τοῖς ὕδασι, βδέλυγμα τοῦτό ἐστιν ὑμῖν. καὶ ταῦτα βδελύξεσθε ἀπὸ τῶν πετεινῶν, καὶ ὁ βρωθήσεται, βδέλυγμά ἐστι, τὸν ἀετὸν, καὶ τὸν γρῦπα, καὶ τὸν ἁλιάετον, καὶ τὸν γύπα, καὶ τὸν ἰκτῖνον, καὶ τὰ ὅμοια αὐτῷ, καὶ στρουθὸν, καὶ γλαῦκα, καὶ λαρὸν, καὶ τὰ ὅμοια, καὶ ἔρακα, καὶ τὰ ὅμοια αὐτῷ, καὶ νυκτικόρακα, καὶ καταῤῥάκτην, καὶ ἶβιν, καὶ πορφυρίωνα, καὶ πελεκᾶνα, καὶ λύκνον, καὶ δρυοκολάπτην, καὶ χαραδριὸν, καὶ τὰ ὅμοια αὐτῷ, καὶ ἔποπα, καὶ νυκτερίδα. καὶ πάντα τὰ ἑρπετὰ τῶν πετεινῶν ἃ πορεύεται ἐπὶ τετραπόδων, βδελύγματά ἐστιν ὑμῖν. ἀλλ' ἢ τοῦτο φάγεσθε ἀπὸ τῶν ἑρπετῶν πάντων τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τετραπόδων, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν αὐτοῦ πηδᾶν ἐν αὐτοῖς ἐπὶ τῆς γῆς. καὶ τοῦτα φάγεσθε ἀπ' αὐτῶν, τὸν βροῦχον καὶ τὰ ὅμοια αὐτῷ, καὶ τὸν ἀκρίδα καὶ τὸν ἐφιαλτην καὶ τὰ ὅμοια αὐτῷ, καὶ τὸν τὰ-

ἀκρίδα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκρίλα καὶ τὰ ὅμοια αὐτῆ, καὶ πᾶν ἑρπετὸν ἀερ τῶν πετεινῶν οἷς εἰσι πόσαρδυ πόλδυ, βδέλυγμά ὑμῖν ὅτι, καὶ γὲ τούτοις μιανθήσεδε. πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσαι, ἕως ἑσπέρας. καὶ πᾶς ὁ αἴρων τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας. γὲ πᾶσι τοῖς κτήνεσιν ὃ ὄνυξ σχιζὸν δίχηλον ὁπλὴν, καὶ ὀνυχίζει ὀνυχίζει, καὶ μηρυκισμὸν οὐ μηρυκᾶται, ἀκάθαρτα ἔσονται ὑμῖν. πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας. καὶ πᾶς ὃς πορεύεται ἐπὶ χειρῶν γὲ πᾶσι τοῖς θηρίοις ἃ πορεύεται ἐπὶ τετράρων, ἀκάθαρτά ὅσιν ὑμῖν. πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας. καὶ ὁ αἴρων τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας. ἀκάθαρτα τοῦτα ἔσαι ὑμῖν. καὶ τοῦτα ὑμῖν ἀκάθαρτα τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς· ἡ γαλῆ, καὶ ὁ μῦς, καὶ ὁ ἱερακόσελιλος ὁ χορσαῖος, μυγαλῆ, καὶ χαμαιλέων, καὶ λαλαβώτης, καὶ σαύρα, καὶ ασπλαξ. τοῦτα ἀκάθαρτά ὅσιν ὑμῖν ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ὑπὶ τῆς γῆς. πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας. καὶ παῦ ἐφ' ὃ ἂν πέσῃ ἀπ' αὐτῶν ἐπί τι, πεθυμένον αὐτῶν ἀκάθαρτον ἔσαι ἀπὸ παντὸς σκεύους ξυλίνου ἢ ἱματίου, ἢ δέρματος, ἢ σάκκου. πᾶν σκεῦος ὃ ἂν ποιηθῇ ἔργον γὲ αὐτοῖς, εἰς ὕδωρ βαφήσεται, καὶ ἀκάθαρτον ἔσαι ἕως ἑσπέρας, καὶ μετὰ τοῦτα καθαρὸν ἔσαι. καὶ παῦ ἄγγος ὀστράκινον εἰς ὃ ἂν ἐμπέσῃ ἀπὸ τούτων γὲ ὅλον, ὅσα ἂν ἔνδον ᾖ, ἀκάθαρτα ἔσαι, καὶ αὐτὸ συντριβήσεται. καὶ πᾶν βρῶμα ὃ ἔδεται εἰς ὃ ἂν ἐπέλθῃ ἐπ' αὐτὸ ὕδωρ, ἀκάθαρτον ἔσαι ὑμῖν. καὶ πᾶν ποτὸν ὃ πίνεται γὲ πάντι ἀγγείῳ, ἀκάθαρτον ἔσαι. καὶ πᾶν ὃ ἐὰν ἐμπέσῃ ἀπὸ τῶν θνησιμαίων αὐτῶν ἐπ' αὐτό, ἀκάθαρτον ἔσαι, λίβανοι καὶ χυτροπόδια καθαιρεθήσονται, ἀκάθαρτα τοῦτά ὅσι καὶ ἀκάθαρτα ἔσονται ὑμῖν. πλὴν πηγὴ ὕδατος, καὶ λάκκου, καὶ συναγωγῆς ὕδατος, ἔσαι καθαρόν. ὁ δὲ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσαι. ἐὰν δὲ πέσῃ ἀπὸ τῶν θνησιμαίων αὐτῶν ὑπὶ παῦ σπέρμα σπόριμον ὃ σπείρεται, καθαρὸν ἔσαι. ἐὰν δὲ πέσῃ ὑδὶ ὕδωρ ὑπὶ παῦ σπέρμα, καὶ πέσῃ τῶν θνησιμαίων αὐτῶν ἐπ' αὐτό, ἀκάθαρτόν ὅσιν ὑμῖν. ἐὰν δὲ ἀποθάνῃ τῶν κτηνῶν ὃ ὅσιν ὑμῖν φαγεῖν ἔσται, ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας. καὶ ὁ ἐσθίων ἀπὸ τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας. καὶ ὁ αἴρων ἀπὸ τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας. καὶ παῦ ἑρπετὸν ὃ ἕρπει ὑπὶ τῆς γῆς, βδέλυγμα ὅσι, οὐκ ὑμῖν οὐ βρωθήσεται. καὶ πᾶς ὁ πορευόμενος ὑπὶ κοιλίας, καὶ πᾶς ὁ πορευόμενος ὑπὶ τετράρων ἕως πολυπλεθῆ ποσὶν γὲ πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, οὐ φαγεσδε αὐτό, ὅτι βδέλυγμα ὑμῖν ὅσι. καὶ οὐ μὴ βδελύξητε τὰς ψυχὰς ὑμῶν γὲ πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, καὶ οὐ μιανθήσεδε γὲ τούτοις, καὶ οὐκ ἀκάθαρτοι ἔσεδε γὲ τούτοις, ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν, καὶ ἁγιασθήσεδε, καὶ ἅγιοι ἔσεδε, ὅτι ἅγιός εἰμι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. καὶ οὐ μιανεῖτε τὰς ψυχὰς ὑμῶν γὲ πᾶσι τοῖς ἑρπετοῖς, τοῖς κινουμένοις ἐπὶ τῆς γῆς, ὅτι ἐγώ εἰμι κύριος ὁ ἀναγαγὼν ὑμᾶς ἐκ γῆς αἰγύπτου, εἶναι ὑμῶν θεός, καὶ ἔσεδε ἅγιοι, ὅτι ἅγιός εἰμι ἐγώ. οὗτος ὁ νόμος περὶ τῶν κτηνῶν καὶ τῶν πετεινῶν καὶ πάσης ψυχῆς ἕρπουσης γὲ ὕδατι, καὶ πάσης ψυχῆς ἑρπούσης ἐπὶ τῆς γῆς, διακρῖναι ἀνὰ μέσον τῶν ἀκαθάρτων καὶ ἀνὰ μέσον τῶν καθαρῶν, καὶ συμβιβάζειν τοὺς υἱοὺς ἰσραὴλ ἀνὰ μέσον τῶν ζωογονουμένων τὰ ἐδιόμενα, καὶ ἀνὰ μέσον τῶν ζωογονουμένων τὰ μὴ ἐδιόμενα.

ΚΕΦΑΛ. ιβ'. 12.

ΚΑΙ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ῥεῖς πρὸς αὐτοὺς λέγων· γυνὴ ἣ τις ἐὰν σπορὰν σπερῇ καὶ τέκνα ἄρσενα, καὶ ἀκάθαρτος ἔσαι ἑπτὰ ἡμέρας, κατὰ τὰς ἡμέρας τοῦ χωρισμοῦ τῆς ἀφέδρου αὐτῆς ἀκάθαρτος ἔσαι, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτμεῖ τὴν σάρκα τῆς ἀκροβυσίας αὐτοῦ, καὶ τριακοντα καὶ τρεῖς ἡμέρας καθίσει τὸν αἷματι καθαρῷ αὐτῆς, παντὸς ἁγίου οὐκ ἅψεται, καὶ εἰς τὸ ἁγιαστήριον οὐκ εἰσελεύσεται, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς. ἐὰν δὲ θῆλυ τέκῃ, καὶ ἀκάθαρτος ἔσαι, δίς ἑπτὰ ἡμέρας κατὰ τὸν ἀφεδρον αὐτῆς, καὶ ἑξήκοντα ἡμέρας κῇ ἓξ καθεδεῖται ἐπὶ αἵματι καθαρῷ αὐτῆς. καὶ ὅταν ἂν πληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς, ἐφ' υἱῷ ἢ ἐπὶ θυγατρί, προσοίσει ἀμνὸν ἐνιαύσιον ἄμωμον εἰς ὁλοκάρπωμα, κῇ νεοσσὸν περιστερᾶς ἢ τρυγόνα περὶ ἁμαρτίας, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν ἱερέα, καὶ προσοίσει αὐτὸν ἐναντίον κυρίου, καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεύς, κῇ καθαρεῖ αὐτὴν ἀπὸ τῆς πηγῆς τοῦ αἵματος αὐτῆς. οὗτος ὁ νόμος τῆς τεκούσης ἄρσεν ἢ θῆλυ. ἐὰν δὲ μὴ εὑρίσκει ἡ χεὶρ αὐτῆς τὸ ἱκανὸν εἰς ἀμνόν, κῇ λήψεται δύο τρυγόνας ἢ δύο νεοσσοὺς περιστερῶν, μίαν εἰς ὁλοκάρπωμα, κῇ μίαν περὶ ἁμαρτίας, κῇ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεύς, κῇ καθαρεισθήσεται.

Κεφά-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. ιγ'. 13.

ΚΑΙ ἐλαλησε κύριος πρὸς μωϋσῆν καὶ ἀαρὼν λέγων· ἀνθρώπῳ ἐὰν ἔνι γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ οὐλὴ σημασίας, ἢ τηλαυγὴς, καὶ γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ ἀφὴ λέπρας, καὶ ἐλεύσεται πρὸς ἀαρὼν τὸν ἱερέα, ἢ ἕνα τῶν υἱῶν αὐτοῦ τῶν ἱερέων, καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν ἐν δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ ἡ θρὶξ ἐν τῇ ἁφῇ μετέβαλλεν λευκὴ, καὶ ἡ ὄψις τῆς ἁφῆς ταπεινὴ, ἀπὸ τοῦ δέρματος τοῦ χρωτὸς αὐτοῦ ἁφὴ λέπρας ἐστὶ, καὶ ὄψεται ὁ ἱερεὺς καὶ μιανεῖ αὐτόν. ἐὰν δὲ καὶ τηλαυγὴς λευκὴ ᾖ, ἐν δὲ δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ ταπεινὴ μὴ ᾖ ἡ ὄψις αὐτῆς ἀπὸ τοῦ δέρματος, καὶ ἡ θρὶξ αὐτοῦ οὐ μετέβαλε λευκὴ, αὐτὴ δὲ ἐσκότωται ἀμαυρά, καὶ ἀφορεῖ ὁ ἱερεὺς τὴν ἁφὴν ἑπτὰ ἡμέρας, καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. καὶ ἰδοὺ ἡ ἁφὴ μένει ἐνώπιον αὐτοῦ, οὐ μετέπεσεν ἡ ἁφὴ ἐν δέρματι, καὶ ἀφορεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας τὸ δεύτερον, καὶ ὄψεται ὁ ἱερεὺς αὐτὸν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ δεύτερον, καὶ ἰδοὺ ἀμαυρὰ ἡ ἁφὴ, οὐ μετέπεσεν ἡ ἁφὴ ἐν δέρματι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς, σημασία γάρ ἐστι, καὶ πλυνάμενος τὰ ἱμάτια αὐτοῦ, καθαρὸς ἔσται. ἐὰν δὲ μεταβαλοῦσα μεταπέσῃ ἡ σημασία ἐν δέρματι, μετὰ τὸ ἰδεῖν αὐτὸν τὸν ἱερέα τοῦ καθαρίσαι αὐτὸν, καὶ ὀφθήσεται τὸ δεύτερον τῷ ἱερεῖ, καὶ ὄψεται αὐτὸν ὁ ἱερεύς. καὶ ἰδοὺ μετέπεσεν ἡ σημασία ἐν δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς, λέπρα ἐστί. καὶ ἁφὴ λέπρας ἐὰν γένηται ἐν ἀνθρώπῳ, καὶ ἐλεύσεται πρὸς τὸν ἱερέα, καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ οὐλὴ λευκὴ ἐν δέρματι, καὶ αὕτη μετέβαλε τρίχα λευκήν, καὶ ἀπὸ τοῦ ὑγιοῦς σαρκὸς ζώσης ἐν τῇ οὐλῇ, λέπρα παλαιουμένη ἐστὶν ἐν δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, καὶ ἀφορεῖ αὐτὸν, ὅτι ἀκάθαρτός ἐστιν. ἐὰν δὲ ἐξανθοῦσα ἐξανθήσῃ λέπρα ἐν τῷ δέρματι, καὶ καλύψῃ ἡ λέπρα πᾶν τὸ δέρμα ἀπὸ κεφαλῆς ἕως ποδῶν αὐτοῦ, κατ' ὄλιν τὴν ὅρασιν τοῦ ἱερέως, καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἐκάλυψεν ἡ λέπρα πᾶν τὸ δέρμα τοῦ χρωτὸς αὐτοῦ, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεὺς τὴν ἁφὴν ὅτι πᾶν μετέβαλε λευκὸν, καθαρόν ἐστι. καὶ ᾗ ἂν ἡμέρᾳ ὀφθῇ ἐν αὐτῷ χρὼς ζῶν, μιανθήσεται, καὶ ὄψεται ὁ ἱερεὺς τὸν χρῶτα τὸν ὑγιῆ, καὶ μιανεῖ αὐτόν. ὁ χρὼς ὁ ὑγιὴς, ἀκάθαρτός ἐστι, λέπρα ἐστίν. ἐὰν δὲ ἀποκατασταθῇ ὁ χρὼς ὁ ὑγιὴς, καὶ μεταβάλῃ λευκόν, καὶ ἐλεύσεται πρὸς τὸν ἱερέα, καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ μετέβαλεν ἡ ἁφὴ εἰς τὸ λευκόν, καὶ καθαριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν, καθαρός ἐστι. καὶ σὰρξ ἐὰν γένηται ἐν τῷ δέρματι αὐτοῦ ἕλκος, καὶ ὑγιασθῇ, καὶ γένηται ἐν τῷ τόπῳ τοῦ ἕλκους οὐλὴ λευκὴ, ἢ τηλαυγὴς, λευκαίνουσα ἢ πυρρίζουσα, καὶ ὀφθήσεται τῷ ἱερεῖ, καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἡ ὄψις ταπεινοτέρα τοῦ δέρματος, καὶ ἡ θρὶξ αὐτῆς μετέβαλεν εἰς λευκὸν, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἁφὴ λέπρας ἐστὶν, ἐν τῷ ἕλκει ἐξέλυθησεν. ἐὰν δὲ ἴδῃ ὁ ἱερεὺς, καὶ ἰδοὺ ἀνέσιν ἐν αὐτῷ θρὶξ λευκὴ, καὶ ταπεινὸν μὴ ᾖ ἀπὸ τοῦ δέρματος τοῦ χρωτὸς, καὶ αὐτὴ ἡ ἀμαυρὰ, καὶ ἀφορεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας, ἐὰν δὲ διαχύσει διαχύσει ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἁφὴ λέπρας ἐστὶν, ἐν τῷ ἕλκει ἐξέλυθησεν. ἐὰν δὲ στῇ χώραν αὐτοῦ μένουσα ἡ τηλαύγημα, καὶ μὴ διαχύσει, οὐλὴ τοῦ ἕλκους ἐστὶ, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς. καὶ σὰρξ ἐὰν γένηται ἐν τῷ δέρματι αὐτοῦ καταπαύματος πυρὸς, καὶ γένηται ἐν τῷ δέρματι αὐτοῦ τοῦ ἀθροῦς ἡ ὑγιασθεῖσα τοῦ καταπαύματος αὐγάζουσα ἢ πυρρίζουσα, ἢ ἕκλευκον, καὶ ὄψεται αὐτὸν ὁ ἱερεύς, καὶ ἰδοὺ μετέβαλε τρίχα λευκὴν εἰς τὸ αὐγάζουσα, καὶ ἡ ὄψις αὐτοῦ ταπεινὴ ἀπὸ τοῦ δέρματος, λέπρα ἐστὶν, ἐν τῷ καταπαύματι ἐξέλυθησε, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἁφὴ λέπρας ἐστὶν. ἐὰν δὲ ἴδῃ αὐτὸν ὁ ἱερεύς, καὶ ἰδοὺ οὐκ ἔσιν ἐν αὐτῷ θρὶξ λευκὴ, καὶ ταπεινὸν μὴ ᾖ ἀπὸ τοῦ δέρματος, αὐτὸ δὲ ἀμαυρόν, καὶ ἀφορεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας, καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἐὰν δὲ διαχύσει διαχύσει ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἁφὴ λέπρας ἐστὶν, ἐν τῷ ἕλκει ἐξέλυθησεν. ἐὰν δὲ στῇ χώραν αὐτοῦ μένουσα τὸ αὐγάζουσα, καὶ μὴ διαχυθῇ ἐν τῷ δέρματι, αὐτὴ δὲ ἀμαυρὰ, ἡ οὐλὴ τοῦ καταπαύματός ἐστι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς. ὁ γὰρ χαρακτὴρ τοῦ καταπαύματός ἐστι. ἢ αὐδρὶ ἢ γυναικὶ, ᾧ ἐὰν γένηται ἐν αὐτοῖς ἁφὴ λέπρας ἐν τῇ κεφαλῇ, ἢ ἐν τῷ πώγωνι, καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν, καὶ ἰδοὺ ἡ ὄψις αὐτῆς κοιλοτέρα τοῦ δέρματος, ἐν αὐτῇ δὲ θρὶξ ξανθίζουσα λεπτή. καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, θραῦσμά ἐστι. λέπρα ἐστὶ κεφαλῆς, ἢ λέπρα τοῦ πώγωνός ἐστι. καὶ ἐὰν ἴδῃ ὁ ἱερεὺς τὴν ἁφὴν τοῦ θραύσματος, καὶ ἰδοὺ οὐχ ἡ ὄψις ἐγκοιλοτέρα τοῦ δέρματος, καὶ θρὶξ ξανθίζουσα οὐκ ἔσιν ἐν αὐτῇ, καὶ ἀφορεῖ ὁ ἱερεὺς τὴν ἁφὴν τοῦ θραύσματος ἑπτὰ ἡμέρας, καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διαχύθη τὸ θραῦσμα, καὶ θρὶξ ξανθίζουσα οὐκ ἔσιν ἐν αὐτῇ, καὶ ἡ ὄψις τοῦ θραύσματος οὐκ ἔστι κοίλη ἀπὸ τοῦ δέρματος, καὶ ξυρηθήσεται τὸ σέρμα, τὸ δὲ θραῦσμα οὐ ξυρηθήσεται, καὶ ἀφορεῖ ὁ ἱερεὺς τὸ θραῦσμα ἑπτὰ ἡμέρας τὸ δεύτερον, καὶ ὄψεται ὁ ἱερεὺς τὸ θραῦσμα τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διαχύθη τὸ θραῦσμα ἐν τῷ δέρματι μετὰ τὸ ξυρηθῆναι αὐτόν, καὶ ἡ ὄψις τοῦ θραύσματος οὐκ ἔστι κοίλη ἀπὸ τοῦ δέρματος, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεὺς, καὶ πλυνάμενος τὰ ἱμάτια, καθαρός ἐστι. ἐὰν δὲ διαχύσει διαχύσει τὸ θραῦσμα ἐν τῷ

δέρματι

πλέρματι μετὰ τὸ καθαρισθῆναι αὐτὸν, καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς, καὶ ἰδοὺ διακέχυται τὸ βραῦσμα ἐν τῷ πλέρματι, οὐκ ἀπόπτυστός ἐστιν ὁ ἱερεὺς πορὶ τῆς τριχὸς τῆς ξανθιζούσης, ἀκάθαρτός ἐστιν. ἐὰν δὲ ἐνώπιον αὐτοῦ μένῃ ἐπὶ χώρας τὸ βραῦσμα, καὶ θρὶξ μέλαινα ἀνατέλλῃ ἐν αὐτῷ, ὑγίακεν τὸ βραῦσμα, καθαρός ἐστι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς. καὶ ἀνὴρ ἢ γυναικὶ ὃς ἂν γένηται ἐν πλέρματι τῆς σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευκανθίζοντα, καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἐν πλέρματι τῆς σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευκανθίζοντα, ἀλφός ἐστιν. ἐξανθεῖ ἐν τῷ πλέρματι τῆς σαρκὸς αὐτοῦ, καθαρός ἐστιν. ἐὰν δέ τινι μασθὸν ἢ κεφαλὴν αὐτοῦ, φαλακρὸς ἐστιν, καθαρός ἐστιν. ἐὰν δὲ κατὰ πρόσωπον μασθὸν ἢ κεφαλὴ αὐτοῦ, ἀναφάλαντός ἐστι, καθαρός ἐστιν. ἐὰν δὲ γένηται ἐν τῷ φαλακρώματι αὐτοῦ, ἢ ἐν τῷ ἀναφαλαντώματι αὐτοῦ ἀφὴ λευκὴ ἢ πυρρίζουσα, λέπρα ἐξανθοῦσά ἐστιν ἐν τῷ φαλακρώματι αὐτῆς, ἢ ἐν τῷ ἀναφαλαντώματι αὐτοῦ, καὶ ὄψεται αὐτὸν ὁ ἱερεύς, καὶ ἰδοὺ ἡ ὄψις τῆς ἀφῆς λευκὴ ἢ πυρρίζουσα ἐν τῷ φαλακρώματι, ἢ ἐν τῷ φαλαντώματι αὐτῆς, ὡς εἶδος λέπρας ἐν σάρξι ἢ πλέρματι ἢ σαρκός, ἄνθρωπός λεπρός ἐστι, μιάνσει μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἐν τῇ κεφαλῇ αὐτοῦ ἡ ἀφὴ αὐτοῦ. καὶ ὁ λεπρὸς ἐν ᾧ ἐστιν ἡ ἀφὴ, τὰ ἱμάτια αὐτοῦ ἔσται παραλελυμένα, καὶ ἡ κεφαλὴ αὐτοῦ ἀκατακάλυπτος, καὶ πορὶ τὸ σόμα αὐτοῦ περιβαλεῖται, καὶ ἀκάθαρτος κεκλήσεται πάσας τὰς ἡμέρας, ὅσας ἐὰν ἡ ἐπ' αὐτὸν ἡ ἀφὴ, ἀκάθαρτος ὢν, ἀκάθαρτος ἔσται, κεχωρισμένος καθήσεται, ἔξω τῆς παρεμβολῆς ἔσται αὐτῷ ἡ διατριβή. καὶ ἱματίῳ ἐὰν γένηται ἀφὴ ἐν αὐτῷ λέπρας ἐν ἱματίῳ ἐρεῷ, ἢ ἐν ἱματίῳ σιπποΐνῳ, ἢ ἐν σήμονι, ἢ ἐν λεπίδι, ἢ ἐν τοῖς λινοῖς, ἢ ἐν τοῖς δρεῖοις, ἢ ἐν πλέρματι, ἢ ἐν παντὶ ὀργασίμῳ πλέρματι, καὶ γένηται ἡ ἀφὴ χλωρίζουσα ἢ πυρρίζουσα ἐν τῷ πλέρματι, ἢ ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ σήμονι, ἢ ἐν τῇ λεπίδι, ἢ ἐν παντὶ σκεύει ὀργασίμῳ πλέρματος ἀφὴ λέπρας ἔσται. καὶ δείξει τῷ ἱερεῖ, καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέρας, καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. ἐὰν δὲ διαχέηται ἡ ἀφὴ ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ σήμονι, ἢ ἐν τῇ λεπίδι, ἢ ἐν τῷ πλέρματι, κατὰ πάντα ὅσα ἐὰν ποιηθῇ πλέρματα ἐν τῇ ὀργασίᾳ, λέπρα ἔμμονός ἐστιν, ἡ ἀφὴ ἀκάθαρτός ἐστι, κατακαύσει τὸ ἱμάτιον, ἢ τὸν σήμονα, ἢ τὴν λεπίδα, ἢ ἐν τοῖς δρεῖοις, ἢ ἐν τοῖς λινοῖς, ἢ ἐν παντὶ σκεύει πλερματίνῳ, ἐν ᾧ ἂν ᾖ ἐν αὐτῷ ἡ ἀφὴ, ὅτι λέπρα ἔμμονός ἐστι, ἐν πυρὶ κατακαυθήσεται. ἐὰν δὲ ἴδῃ ὁ ἱερεύς, καὶ μὴ διαχέηται ἡ ἀφὴ ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ σήμονι, ἢ ἐν τῇ λεπίδι, ἢ ἐν παντὶ σκεύει πλερματίνῳ, καὶ σωτάξει ὁ ἱερεύς, καὶ πλυνεῖ ἐφ' ὅ ἐὰν ἢ ἐπ' αὐτῷ ἡ ἀφὴ, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέρας τὸ δεύτερον, καὶ ὄψεται ὁ ἱερεὺς μετὰ τὸ πλυθῆναι αὐτῷ τὴν ἀφὴν· καὶ ἴδε ἡ μὴ μεταβάλῃ ἡ ἀφὴ τὴν ὄψιν αὐτῆς, καὶ ἡ ἀφὴ ὁ διαχέηται, ἀκάθαρτόν ἐστιν, ἐν πυρὶ κατακαυθήσεται, ἐσήμηται ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ σήμονι, ἢ ἐν τῇ λεπίδι. καὶ ἐὰν ἴδῃ ὁ ἱερεὺς καὶ ἡ ἀμαυρὰ ἡ ἀφὴ μετὰ τὸ πλυθῆναι αὐτὸ, καὶ ἀπορρήξει αὐτὸ ἀπὸ τοῦ ἱματίου, ἢ ἀπὸ τοῦ σήμονος, ἢ ἀπὸ τῆς λεπίδος, ἢ ἀπὸ τοῦ πλέρματος. ἐὰν δὲ ὀφθῇ ἔτι ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ σήμονι, ἢ ἐν τῇ λεπίδι, ἢ ἐν παντὶ σκεύει πλερματίνῳ, λέπρα ἐξανθοῦσά ἐστιν, ἐν πυρὶ κατακαυθήσεται, ἐν ᾧ ἐστιν ἡ ἀφὴ, καὶ τὸ ἱμάτιον, ἢ ὁ σήμων, ἢ ἡ λεπίδι, ἢ παῦ σκεύος πλερματίνου ὃ πλυθήσεται, καὶ ἀφεθήσεται ἀπ' αὐτοῦ ἡ ἀφὴ, καὶ πλυθήσεται τὸ δεύτερον καὶ καθαρὸν ἔσται. οὗτος ὁ νόμος ἀφῆς λέπρας ἱματίου ἐρεᾶ, ἢ σιπποΐνου, ἢ σήμονος, ἢ λεπίδος, ἢ παντὸς σκεύους πλερματίνου εἰς τὸ καθαρίσαι αὐτὸ, ἢ μιᾶναι αὐτό.

ΚΕΦΑΛ. ιδ'. 14.

ΚΑὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· οὗτος ὁ νόμος τοῦ λεπροῦ, ἧς ἂν ἡμέρας καθαρισθῇ, καὶ προσαχθήσεται πρὸς τὸν ἱερέα, καὶ ἐξελεύσεται ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς, καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἴαται ἡ ἀφὴ τῆς λέπρας ἀπὸ τοῦ λεπροῦ, καὶ προστάξει ὁ ἱερεὺς καὶ λήψονται τῷ καθαρισθέντι δύο ὄρνιθια ζῶντα καθαρὰ, καὶ ξύλον κέδρινον, καὶ κεκλωσμένον κόκκινον καὶ ὕσσωπον, καὶ προστάξει ὁ ἱερεὺς καὶ σφάξουσι τὸ ὀρνίθιον, τὸ ἓν εἰς ἀγγεῖον ὀστράκινον ἐφ' ὕδατι ζῶντι, καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτό, καὶ τὸ ξύλον τὸ κέδρινον, καὶ τὸ κλωστὸν κόκκινον καὶ τὸν ὕσσωπον, καὶ βάψει αὐτὰ καὶ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ σφαγέντος ἐφ' ὕδατι ζῶντι, καὶ περιῤῥανεῖ ἐπὶ τὸν καθαριζόμενον ἀπὸ τῆς λέπρας ἑπτάκις καὶ καθαρὸς ἔσται, καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον, καὶ πλυνεῖ ὁ καθαριζόμενος τὰ ἱμάτια αὐτοῦ, καὶ ξυρήσεται αὐτοῦ πᾶσαν τὴν τρίχα, καὶ λούσεται ἐν ὕδατι, καὶ καθαρὸς ἔσται. καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς τὴν παρεμβολήν, καὶ διατρίψει ἔξω τοῦ οἴκου αὐτοῦ ἑπτὰ ἡμέρας. καὶ ἔσται τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρήσεται πᾶσαν τὴν τρίχα αὐτοῦ, τὴν κεφαλὴν αὐτοῦ καὶ τὸν πώγωνα, καὶ τοὺς ὀφρῦς, καὶ πᾶσαν τὴν τρίχα αὐτοῦ ξυρηθήσεται, καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ καθαρὸς ἔσται. καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται δύο ἀμνοὺς ἀμώμους γιαισίας, καὶ πρόβατον ἓν ἄμωμον γιαύσιον, καὶ τρία δέκατα σεμιδάλεως εἰς θυσίαν πεφυραμένης ἐν ἐλαίῳ, καὶ κοτύλην ἐλαίου μίαν, καὶ στήσει ὁ ἱερεὺς ὁ καθαρίζων τὸν ἄνθρωπον τὸν καθα-

ριζόμενον

γενεὰς τῶν γεννημάτων παλαιὰ, ἕως τοῦ ἔτους τοῦ γνάτου, ἕως ἂν ἔλθῃ τὰ γενήματα αὐτῆς, φάγεσθε παλαιὰ παλαιῶν. καὶ ἡ γῆ οὐ πωληθήσεται εἰς βεβήλωσιν, ἐμὴ γάρ ἐστιν ἡ γῆ. διότι πάροικοι καὶ πάροικοι ὑμεῖς ἐστε γναντίον ἐμοῦ. καὶ ἐν πάσαν γῆν κατοχίσεως ὑμῶν, λύτρα δώσετε τῇ γῇ. ἐὰν δὲ πένηται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ, καὶ ἀσθενῶται ἡ χεὶρ τοῦ παρὰ σοῦ, καὶ ἔλθῃ ὁ ἀγχιστεύων ὁ ἀγχιστεύς αὐτοῦ, καὶ λυτρώσεται τὰ πραθέντα τοῦ ἀδελφοῦ αὐτοῦ, ἐὰν μὴ ἡ τινι ὁ ἀγχιστεύων, καὶ εὑρεθῇ αὐτῷ τὰ ἱκανὰ λύτρα αὐτοῦ, καὶ συλλογιεῖται τὰ ἔτη τῆς πράσεως αὐτοῦ, καὶ ἀποδώσει ὅπερ ἔχει τοῦ ἀνθρώπου οὗ ἀπέδοτο αὐτὸν ἑαυτῷ, καὶ ἐπανελεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ. ἐὰν δὲ μὴ εὑρεθῇ αὐτοῦ ἡ χεὶρ, τὰ ἱκανὰ ὥστε ἀποδοῦναι αὐτῷ, καὶ ἔσαι ἡ πρᾶσις τοῦ πεπρακότος αὐτὰ ἕως τοῦ ἐνιαυτοῦ τοῦ ἀφέσεως, καὶ ἐξελεύσεται ἐν τῇ ἀφέσει, καὶ ἐπανελεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ. ἐὰν δέ τις ἀποδῶται οἰκίαν οἰκητὴν ἐν πόλει τετειχισμένῃ, καὶ ἔσαι ἡ λύτρωσις αὐτῆς ἕως πληρωθῇ ἐνιαυτὸς ἡμερῶν ἔσαι ἡ λύτρωσις αὐτῆς. ἐὰν δὲ μὴ λυτρωθῇ, ἕως ἂν πληρωθῇ ἐνιαυτὸς ὅλος, καὶ λυτρωθήσεται ἡ οἰκία ἡ ὅσα ἐν τῇ πόλει τῇ ἐχούσῃ τεῖχος βεβαίως τοῦ κατασταθέντος αὐτῇ, εἰς τὰς γενεὰς αὐτοῦ, καὶ οὐκ ἐξελεύσεται ἐν τῇ ἀφέσει. αἱ δὲ οἰκίαι αἱ ἐν ἐπαύλεσιν, αἳς οὐκ ἔστιν αὐτοῖς τεῖχος κύκλῳ πῶς ἀγροῦ τῆς γῆς λογισθήσονται, λυτρωτὰ ἔσται αὐτοῖς, καὶ ἐν τῇ ἀφέσει ἐξελεύσονται. καὶ αἱ πόλεις τῶν λευιτῶν οἰκίαι τῶν λευιτῶν κατασχέσεως αὐτῶν, λυτρωταὶ ἔσται ἀπαντὸς ἔσονται τοῖς λευίταις, καὶ ὃς ἂν λυτρώσεται παρὰ τῶν λευιτῶν, καὶ ἐξελεύσεται ἡ διάπρασις οἰκιῶν πόλεως κατασχέσεως αὐτῶν ἐν τῇ ἀφέσει. ὅτι αἱ οἰκίαι τῶν πόλεων τῶν λευιτῶν κατάσχεσις αὐτῶν ἐν μέσῳ υἱῶν ἰσραὴλ. καὶ οἱ ἀγροὶ οἱ ἀφωρισμένοι ταῖς πόλεσιν αὐτῶν, οὐ πραθήσονται, ὅτι κατάσχεσις αἰωνίου ἔστιν αὐτῶν ὄντως. ἐὰν δὲ πωγήνται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ, καὶ ἀσθενήσῃ ταῖς χερσὶ παρὰ σοί, ἀντιλήψῃ αὐτοῦ ὡς προσηλύτου καὶ παροίκου, καὶ ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ. ἀργύριόν σου οὐ δώσεις αὐτῷ ὠδῖν τόκου, καὶ ὠδῖν πλεονασμοῦ οὐ δώσεις αὐτῷ τὰ βρώματά σου. ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς αἰγύπτου, δοῦναι ὑμῖν τὴν γῆν χαναάν, ὥστε εἶναι ὑμῶν θεός. ἐὰν δὲ πτωχευθῇ ὁ ἀδελφός σου παρὰ σοί, καὶ πραθῇ σοι, οὐ δουλεύσει σοι δουλείαν οἰκέτου, ὡς μισθωτὸς ἢ πάροικος ἔσαι σοι. ἕως τοῦ ἔτους τοῦ ἀφέσεως ἐργᾶται παρὰ σοί, καὶ ἐξελεύσεται τῇ ἀφέσει καὶ τὰ τέκνα αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀπελεύσεται εἰς τὸ γενεὰν αὐτοῦ, καὶ εἰς τὴν κατάσχεσιν τοῦ πατρικοῦ αὐτοῦ ἀναδραμεῖται. διότι οἰκέται μού εἰσιν οὗτοι, οὓς ἐξήγαγον ἐκ γῆς αἰγύπτου, οὐ πραθήσεται ὡς πράσει οἰκέτου, οὐ κατατγεῖς αὐτὸν ἐν τῷ μόχθῳ, καὶ φοβηθήσῃ κύριον τὸν θεόν σου. καὶ παῖς καὶ παιδίσκη ὅσοι ἂν γένωνται σοι ἀπὸ τῶν ἐθνῶν, ὅσοι κύκλῳ σου εἰσὶν ἀπ' αὐτῶν, κτήσεσθε δοῦλον καὶ δούλην, καὶ ἀπὸ τῶν υἱῶν τῶν παροίκων τῶν ὄντων ἐν ὑμῖν ἀπὸ τούτων κτήσεσθε, καὶ ἀπὸ τῶν συγγενῶν αὐτῶν, ὅσοι ἂν γένωνται ἐν τῇ γῇ ὑμῶν, ἔστωσαν ὑμῖν εἰς κατάσχεσιν, καὶ κατακληρονομήσετε αὐτοὺς τοῖς τέκνοις ὑμῶν μεθ' ὑμᾶς, καὶ ἔσονται ὑμῖν κατόχιμοι εἰς τὸν αἰῶνα. τῶν δὲ ἀδελφῶν ὑμῶν τῶν υἱῶν ἰσραὴλ, ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ οὐ κατατενεῖ αὐτὸν, ἐν τοῖς μόχθοις. ἐὰν δὲ εὑρῇ ἡ χεὶρ τοῦ προσηλύτου, ἢ τοῦ πάροικος τοῦ παρὰ σοί, καὶ ἀσθενὴς ὁ ἀδελφός σου παρὰ τοῦ προσηλύτου, ἢ τοῦ πάροικος τοῦ παρὰ σοί, ἢ ἐκ γενετῆς προσηλύτου, μετὰ τὸ πραθῆναι αὐτὸν, λύτρωσις ἔσαι αὐτῷ. εἷς τῶν ἀδελφῶν αὐτοῦ λυτρώσεται αὐτὸν, ὁ ἀδελφὸς πατρὸς αὐτοῦ, ἢ υἱὸς ἀδελφοῦ πατρὸς αὐτοῦ, λυτρώσεται αὐτὸν, ἢ ἀπὸ τῶν οἰκείων τῆς σαρκὸς ἐκ τῆς φυλῆς αὐτοῦ λυτρώσεται αὐτόν. ἐὰν δὲ δυνηθεὶς ταῖς χερσὶ λυτρώσεται ἑαυτὸν, καὶ συλλογιεῖται πρὸς τὸν ἐκπεπραμένον ἑαυτὸν, ἀπὸ τοῦ ἔτους ᾧ ἀπέδοτο ἑαυτὸν αὐτῷ, ἕως τοῦ γνιαυτοῦ τῆς ἀφέσεως, καὶ ἔσαι τὸ ἀργύριον τῆς πράσεως αὐτοῦ ὡς ἡμέρας μισθωτοῦ, ἔτος ἓξ ἔτους ἔσαι μετ' αὐτοῦ. ἐὰν δέ τινι πλείους τῶν ἐτῶν ἢ πρὸς ταῦτα, ἀπὸ τοῦ ἀργυρίου τῆς πράσεως αὐτοῦ, ἀπὸ τοῦ ἀργυρίου αὐτοῦ. ἐὰν δὲ ὀλίγοις ἐκταλειφθῇ ἀπὸ τῶν ἐτῶν εἰς τὸν γνιαυτὸν τῆς ἀφέσεως, καὶ συλλογιεῖται αὐτῷ κατὰ τὰ ἔτη αὐτοῦ, καὶ ἀποδώσει τὰ λύτρα αὐτοῦ ὡς μισθωτὸς, γνιαυτὸν ἐξ γνιαυτοῦ ἔσαι μετ' αὐτοῦ, οὐ κατατενεῖς αὐτὸν ἐν τῷ μόχθῳ ἐνώπιόν σου. ἐὰν δὲ μὴ λυτρῶται κατὰ ταῦτα, καὶ ἐξελεύσεται ἐν τῷ ἔτει τῆς ἀφέσεως αὐτὸς, καὶ τὰ παιδία αὐτοῦ μετ' αὐτοῦ, ὅτι ἐμοὶ οἱ υἱοὶ ἰσραὴλ, οἰκέται παισί μου αὐτοί εἰσιν οὓς ἐξήγαγον ἐκ γῆς αἰγύπτου.

ΚΕΦΑΛ. κϛ'. 26.

Ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. οὐ ποιήσετε ὑμῖν αὐτοῖς χειροποίητα, οὐδὲ γλυπτὰ, οὐδὲ στήλην ἀναστήσετε ὑμῖν, οὐδὲ λίθον σκοπὸν θήσετε ἐν τῇ γῇ ὑμῶν προσκυνῆσαι αὐτῷ. ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. τὰ σάββατά μου φυλάξεσθε, καὶ ἀπὸ τῶν ἁγίων μου φοβηθήσεσθε, ἐγώ εἰμι κύριος. ἐὰν ταῖς πρεσάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάσσησθε, καὶ ποιήσετε αὐτὰς, καὶ δώσω τὸν ὑετὸν ὑμῖν ἐν τῷ καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γενήματα αὐτῆς, καὶ τὰ ξύλα τοῦ πεδίου ἀποδώσει τὸν καρπὸν αὐτῶν, καὶ καταλήψεται ὑμῖν ὁ ἄλοητὸς τὸν τρυγητὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὴν, καὶ ὁ προυγκὼς λιαπελιῶται τὴν ἀσφορον, καὶ φάγεσθε τὸν αἶτον ὑμῶν εἰς πλησμονὴν, καὶ λιατοικήσετε μετὰ ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν, καὶ δώσω εἰρήνην ἐν τῇ γῇ ὑμῶν, καὶ κοιμηθήσεσθε, καὶ οὐκ ἔσται ὑμᾶς ὁ ἐκφοβῶν. καὶ ἀπολῶ θηρία πονηρὰ ἐκ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν, καὶ διώξεσθε τοὺς ἐχθροὺς ὑμῶν, καὶ πεσοῦνται ἔμπροσθεν ὑμῶν φόνῳ. καὶ διώξονται ἐξ ὑμῶν πέντε ἑκατὸν, καὶ ἑκατὸν ὑμῶν διώξονται μυριάδας, καὶ πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐνώπιον ὑμῶν μαχαίρᾳ. καὶ ἐπιβλέψω ἐφ' ὑμᾶς, καὶ αὐξανῶ ὑμᾶς, καὶ πληθυνῶ ὑμᾶς, καὶ στήσω τὴν διαθήκην μου μεθ' ὑμῶν, καὶ φάγεσθε παλαιὰ καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε, καὶ θήσω τὴν διαθήκην μου ἐν ὑμῖν, καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς, καὶ ἐμπεριπατήσω ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν θεὸς, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός. Ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, τοῦ μὴ δουλεύειν ὑμᾶς αὐτοῖς, καὶ συνέτριψα τὸν ζυγὸν τοῦ ζυγοῦ ὑμῶν, καὶ ἤγαγον ὑμᾶς μετὰ παῤῥησίας. ἐὰν δὲ μὴ ὑπακούσητέ μου, μηδὲ ποιήσητε τὰ προστάγματά μου ταῦτα, ἀλλὰ ἀπιθήσητε αὐτοῖς, καὶ τοῖς κρίμασί μου προσοχθίσῃ ἡ ψυχὴ ὑμῶν, ὥστε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, ὥστε διασκεδάσαι τὴν διαθήκην μου, κἀγὼ ποιήσω ὅτως ὑμῖν, καὶ ἐπισκοπὴν ἐφ' ὑμᾶς τὴν ἀπορίαν, τήν τε ψώραν, καὶ τὸν ἵππερον σφακελίζοντα τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ τὴν ψυχὴν ὑμῶν ἐκτήκουσαν, καὶ σπερεῖτε διακενῶς τὰ σπέρματα ὑμῶν, καὶ ἔδονται οἱ ἐναντίοι ὑμῶν. καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ' ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξονται ὑμᾶς οἱ μισοῦντες ὑμᾶς, καὶ φεύξεσθε ὀπίσω φεύγοντος ὑμᾶς. καὶ ἐὰν ἕως τούτου μὴ ὑπακούσητέ μου, καὶ προσθήσω παιδεῦσαι ὑμᾶς πληγαῖς ἑπτάκις διὰ τὰς ἁμαρτίας ὑμῶν. καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν, καὶ θήσω τὸν οὐρανὸν ὑμῖν ὡς σίδηρον, καὶ τὴν γῆν ὑμῶν ὡσεὶ χαλκῆν, καὶ ἔσται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν, καὶ ὁ σῖτος ἡ γῆ ὑμῶν τὸν καρπὸν αὐτῆς, καὶ τὸ ξύλον τῆς ἀγρᾶς ὑμῶν ὁ σῖτος τὸν καρπὸν αὐτοῦ. καὶ ἐὰν μετατεθῆτε πορεύεσθε πλάγιοι, καὶ μὴ βούλησθε ὑπακοῦσαί μου, προσθήσω ὑμῖν πληγὰς ἑπτὰ ἐπὶ τὰς ἁμαρτίας ὑμῶν, καὶ ἀποστελῶ ἐφ' ὑμᾶς τὰ θηρία τὰ ἄγρια τῆς γῆς, καὶ κατέδεται ὑμᾶς, καὶ ἐξαναλώσει τὰ κτήνη ὑμῶν, καὶ ὀλιγοστοὺς ποιήσω ὑμᾶς, καὶ ὀρήμοι ἔσονται αἱ ὁδοὶ ὑμῶν. καὶ ὧδε τούτοις ἐὰν μὴ παιδευθῆτε, ἀλλὰ πορεύσησθε πρός με πλάγιοι, πορεύσομαι καὶ ἐγὼ μεθ' ὑμῶν θυμῷ πλαγίῳ, καὶ παιδεύσω ὑμᾶς ἑπτάκις διὰ τὰς ἁμαρτίας ὑμῶν, καὶ ἐπάξω ἐφ' ὑμᾶς μάχαιραν, ἐκδικοῦσαν δίκην διαθήκης, καὶ καταφεύξεσθε εἰς τὰς πόλεις ὑμῶν, καὶ ἐπαποστελῶ θάνατον ἐφ' ὑμᾶς, καὶ παραδοθήσεσθε εἰς χεῖρας τῶν ἐχθρῶν ὑμῶν, διὰ τοῦ θλίψαι ὑμᾶς στενοχωρίᾳ αὐτῶν. καὶ ὠμώσουσι δέκα γυναῖκοι τοὺς ἄρτους ὑμῶν ἐν κλιβάνῳ ἑνί, καὶ ἀποδώσουσι τοὺς ἄρτους ὑμῶν ἐν σταθμῷ, καὶ φάγεσθε, καὶ οὐ μὴ ἐμπλησθῆτε. ἐὰν δὲ ὧδε τούτοις μὴ ὑπακούσητέ μου, ἀλλὰ πορεύσησθε πρός με πλάγιοι, καὶ αὐτὸς πορεύσομαι μεθ' ὑμῶν ἐν θυμῷ πλαγίῳ, καὶ παιδεύσω ὑμᾶς καὶ ἐγὼ ἑπτάκις διὰ τὰς ἁμαρτίας ὑμῶν, καὶ φάγεσθε τὰς σάρκας τῶν υἱῶν ὑμῶν, καὶ τὰς σάρκας τῶν θυγατέρων ὑμῶν φάγεσθε, καὶ ὀρημώσω τὰς κλίνας ὑμῶν, καὶ ἐξολεθρεύσω τὰ ξύλινα χειροποίητα ὑμῶν, καὶ θήσω τὰ εἴδωλα ὑμῶν ὧδε τὰ εἴδωλα τῶν εἰδώλων ὑμῶν. καὶ θήσω τὰς πόλεις ὑμῶν ὀρήμους, καὶ ἐξορημώσω τὰ ἅγια ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ὀσμῇ τῶν θυσιῶν ὑμῶν, καὶ ἐξορημώσω ἐγὼ τὴν γῆν ὑμῶν, καὶ θαυμάσονται ἐπ' αὐτῇ οἱ ἐχθροὶ ὑμῶν, οἱ κατοικοῦντες ἐν αὐτῇ. καὶ διασπερῶ ὑμᾶς εἰς τὰ ἔθνη, καὶ ἐξαναλώσει ὑμᾶς ὀπίσω πορευομένων ἡ μάχαιρα, καὶ ἔσται ἡ γῆ ὑμῶν ὄρημα, καὶ αἱ πόλεις ὑμῶν ἔσονται ὄρημοι, καὶ ὑμεῖς ἔσεσθε ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν. τότε σαββατιεῖ ἡ γῆ, καὶ εὐδοκήσει τὰ σάββατα αὐτῆς, πάσας τὰς ἡμέρας τῆς ὀρημώσεως αὐτῆς σαββατιεῖ ἃ οὐκ ἐσαββάτισεν ἐν τοῖς σαββάτοις ὑμῶν, ἡνίκα κατῴκειτε αὐτήν. καὶ τοῖς καταλειφθεῖσιν ἐξ ὑμῶν ἐπάξω δουλείαν εἰς τὴν καρδίαν αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν, καὶ διώξεται αὐτοὺς φωνὴ φύλλου φερομένου, καὶ φεύξονται ὡς φεύγοντος ἀπὸ πολέμου, καὶ πεσοῦνται ἀθρόως διώκοντος, καὶ προσόψονται ὁ ἀδελφὸς τὸν ἀδελφόν, ὡσεὶ ἐν πολέμῳ μηδενὸς καταδιώκοντος. καὶ οὐ δυνήσεσθε αὐτοῖς ἀντιστῆναι τοῖς ἐχθροῖς ὑμῶν, καὶ ἀπολεῖσθε ἐν τοῖς ἔθνεσι, καὶ κατέδεται ὑμᾶς ἡ γῆ τῶν ἐχθρῶν ὑμῶν. καὶ οἱ καταλειφθέντες ἐξ ὑμῶν, καταφθαρήσονται διὰ τὰς ἁμαρτίας αὐτῶν, καὶ διὰ τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν, ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν λακήσονται, καὶ ἐξαγορεύσουσι τὰς ἁμαρτίας αὐτῶν, καὶ τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν, ὅτι ἠγνόησαν καὶ ὑπερεῖδόν με, καὶ ὅτι ἐπορεύθησαν ἐναντίον μου πλάγιοι, καὶ ἐγὼ ἐπορεύθην μετ' αὐτῶν, ἐν θυμῷ πλαγίῳ, καὶ ἀπῆλθ αὐτοὺς ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν, τότε ἐντραπήσεται ἡ καρδία αὐτῶν ἡ ἀπερίτμητος, καὶ τότε δεδεκήσουσι τὰς ἁμαρτίας αὐτῶν. καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακώβ, καὶ τῆς διαθήκης Ἰσαὰκ, καὶ τῆς διαθήκης Ἀβραὰμ μνησθήσομαι, καὶ τῆς γῆς μνησθήσομαι. καὶ ἡ γῆ ἐγκαταλειφθήσεται ὑπ' αὐτῶν. τότε προσδέξεται ἡ γῆ τὰ σάββατα αὐτῆς, ἐν τῷ ἐρημωθῆναι αὐτὴν δι' αὐτούς. καὶ αὐτοὶ προσδέξονται τὰς ἑαυτῶν ἀνομίας, ἀνθ' ὧν τὰ δικαιώματά μου ὑπερεῖδον, καὶ τοῖς προστάγμασί μου προσώχθισαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαν γὼ τῇ ψυχῇ αὐτῶν. κὴ ὁσὶ ὄντων αὐτῶν γὼ τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν, οὐχ ὑπορεῖσθην αὐτοὺς, οὐδὲ προσώχθισα αὐτοῖς, ὥστε ἐξαναλῶσαι αὐτοὺς, τοῦ διασκεδάσαι τὴν διαθήκην μου τὴν πρὸς αὐτούς. ἐγὼ γάρ εἰμι κύριος ὁ θεὸς αὐτῶν. καὶ μνησθήσομαι διαθήκης αὐτῶν τῆς πρωτογενείας, ὅτε ἐξήγαγον αὐτοὺς ἐκ γῆς αἰγύπτου, ἐξ οἴκου δουλείας γένεσθαι τῶν ἐθνῶν, τοῦ εἶναι αὐτῶν θεός, ἐγὼ κύριος. ταῦτα τὰ κρίματα, καὶ τὰ προστάγματα, καὶ ὁ νόμος ὃν ἔδωκε κύριος ἀνὰ μέσον αὐτοῦ, καὶ ἀνὰ μέσον τῶν υἱῶν ἰσραὴλ, γῆ τοῦ ὄρει σινᾶ γὼ χειρὶ μωϋσῆ.

ΚΕΦΑΛ. κζ'. 27.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ῥεῖς πρὸς αὐτοὺς λέγων· ἄνθρωπος ὃς ἂν διύξηται διύχιν ὥστε τιμὴν τὴν ψυχῆς αὐτοῦ τοῦ κυρίου, ἔσαι ἡ τιμὴ τοῦ ἄρσενος ἀπὸ εἰκοσαετοῦς ἕως ἑξηκονταετοῦς, ἔσαι αὐτοῦ ἡ τιμὴ σεκτίκονται δὲ δραχμαὶ ἀργυρίου τοῦ σταθμοῦ τοῦ ἁγίου, τὴν δὲ θηλείας ἔσαι ἡ σωτίμησις τριάκοντα δίδραχμα. ἐὰν δὲ ἀπὸ πεντετοῦς, ἕως εἴκοσι ἐτῶν, ἔσαι ἡ τιμὴ τοῦ ἄρσενος, εἴκοσι δίδραχμα, τὴν δὲ θηλείας δέκα δίδραχμα. ἀπὸ δὲ μηνιαίου ἕως πεντετοῦς, ἔσαι ἡ τιμὴ τοῦ ἄρσενος πέντε δίδραχμα ἀργυρίου, τὴν δὲ θηλείας τρία δίδραχμα ἀργυρίου. ἐὰν δὲ ἀπὸ ἑξήκοντα ἐτῶν καὶ ἐπάνω, ἐὰν μὲν ἄρρεν ᾖ, ἔσαι ἡ τιμὴ αὐτοῦ πεντεκαίδεκα δίδραχμα ἀργυρίου, τὴν δὲ θηλείας δέκα δίδραχμα. ἐὰν δὲ ταπεινὸς ᾖ τῇ τιμῇ αὐτοῦ, στήσεται ἐναντίον τοῦ ἱερέως, καὶ τιμήσεται αὐτὸν ὁ ἱερεὺς κατὰ δύναμιν ἰσχύει ἡ χεὶρ τοῦ δύξαμένου, οὕτω τιμήσεται αὐτὸν ὁ ἱερεύς. ἐὰν δὲ ἀπὸ τῶν κτημάτων τῶν προσφερομένων τῷ κυρίῳ δῶρον τοῦ κυρίου, ὅς ἂν δῷ ἀπὸ τούτων τοῦ κυρίου, ἔσαι ἅγιον, οὐκ ἀλλάξει αὐτὸ καλὸν πονηρῷ, οὐδὲ πονηρὸν καλῷ. ἐὰν δὲ ἀλλάσσων ἀλλάξῃ αὐτὸ κτήνει, ἔσαι αὐτὸ καὶ τὸ ἄλλαγμα, ἅγια. ἐὰν δὲ πᾶν κτῆνος οὐκάθαρτον ἀφ' ὧν ὁ προσφέρεται ἀπ' αὐτῶν δῶρον τοῦ κυρίου, στήσει τὸ κτῆνος ἐναντίον τοῦ ἱερέως, καὶ τιμήσεται αὐτὸ ὁ ἱερεὺς ἀνὰ μέσον καλοῦ, καὶ ἀνὰ μέσον πονηροῦ, καθότι ἂν τιμήσηται αὐτὸ ὁ ἱερεύς, οὕτω στήσεται. ἐὰν δὲ λυτρούμενος λυτρώσηται αὐτὸ, προσθήσει τὸ ἐπίπεμπτον τοῦ ἀργυρίου τῷ τιμήματι αὐτοῦ. καὶ ἄνθρωπος ὃς ἂν ἁγιάσῃ τῷ κυρίῳ οἰκίαν αὐτοῦ ἁγίαν τοῦ κυρίου, καὶ τιμήσεται αὐτὴν ὁ ἱερεὺς ἀνὰ μέσον καλῆς, ἢ ἀνὰ μέσον πονηρᾶς, ὡς ἂν τιμήσηται αὐτὴν ὁ ἱερεύς, οὕτω στήσεται. ἐὰν δὲ ὁ ἁγιάσας αὐτὴν λυτρῶται τὴν οἰκίαν αὐτοῦ, προσθήσει ἐπ' αὐτὸ τὸ ἐπίπεμπτον τοῦ ἀργυρίου τῆς τιμῆς, καὶ ἔσαι αὐτῷ. ἐὰν δὲ ἀπὸ τοῦ ἀγροῦ τῆς κατασχέσεως αὐτοῦ ἁγιάσῃ ἄνθρωπος τῷ κυρίῳ, καὶ ἔσαι ἡ τιμὴ κατὰ τὸν σπόρον αὐτοῦ, κόρος κριθῶν, πεντήκοντα δίδραχμα ἀργυρίου. ἐὰν δὲ ἀπὸ τοῦ γενέσεως ἀφέσεως ἁγιάσῃ τὸν ἀγρὸν αὐτοῦ, κατὰ τὴν τιμὴν αὐτοῦ στήσεται. ἐὰν δὲ ἔτος μετὰ τὴν ἄφεσιν ἁγιάσῃ τὸν ἀγρὸν αὐτοῦ, προσλογιεῖται αὐτῷ ὁ ἱερεὺς τὸ ἀργύριον, ἕως τὰ ἐπίλοιπα ἕως εἰς τὸν γενέσεως καὶ ἀφεθήσεται ἀπὸ τῆς σωτιμήσεως αὐτοῦ. καὶ ἐὰν λυτρῶται τὸν ἀγρὸν ὁ ἁγιάσας αὐτὸν, προσθήσει τὸ ἐπίπεμπτον τοῦ ἀργυρίου πρὸς τὴν τιμὴν αὐτοῦ, καὶ ἔσαι αὐτῷ. ἐὰν δὲ μὴ λυτρῶται τὸν ἀγρὸν, καὶ ἀπὸ δῶται τὸν ἀγρὸν ἀνθρώπῳ ἑτέρῳ, οὐκέτι μὴ λυτρώσηται αὐτὸν, ἀλλ' ἔσαι ὁ ἀγρὸς ἐξελεύθερος ἀπὸ τῆς κατασχέσεως ἁγίου αἰωνίου τοῦ κυρίου, ὥσπερ ἡ γῆ ἡ ἀφωρισμένη τοῦ ἱερέως ἔσαι ἡ κατάσχεσις αὐτοῦ. ἐὰν δὲ ἀπὸ τοῦ ἀγροῦ κέκτηται ὃς οὐκ ἔστιν ἀπὸ τοῦ ἀγροῦ τῆς κατασχέσεως αὐτοῦ, ἁγιάσῃ τοῦ κυρίου, λογιεῖται πρὸς αὐτὸν ὁ ἱερεὺς τὸ τέλος τῆς τιμῆς ἕως τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως, καὶ ἀποδώσει τὴν τιμὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἁγίαν τοῦ κυρίου, καὶ ἐν τοῦ ἐνιαυτῷ τῆς ἀφέσεως ἀποστραφήσεται ὁ ἀγρὸς τοῦ ἀνθρώπου, παρ' ὃ κέκτηται αὐτὸν, ὃ ὢν ἡ κατάσχεσις τῆς γῆς. καὶ πᾶσα τιμὴ ἔσαι σταθμοῖς ἁγίοις, εἴκοσι ὀβολοὶ ἔσαι τὸ δίδραχμον. καὶ πᾶν πρωτότοκον ὃ ἐὰν γένηται ἐν τοῖς κτήνεσί σου, ἔσαι τοῦ κυρίου, καὶ οὐ καθαγιάσει αὐτὸ οὐδεὶς, ἐάν τε μόσχον, ἐάν τε πρόβατον τοῦ κυρίου ἐστίν. ἐὰν δὲ τῶν τι πρακτόν ᾖ ἀκάθαρτον ἀλλάξῃ ἀντὶ τοῦ τιμήματος αὐτοῦ, καὶ προσθήσει τὸ ἐπίπεμπτον αὐτοῦ πρὸς αὐτὸ, καὶ ἔσαι αὐτοῦ. ἐὰν δὲ μὴ λυτρῶται, πραθήσεται κατὰ τὸ τίμημα αὐτοῦ. πᾶν δὲ ἀνάθημα ὃ ἂν ἀναθῇ ἄνθρωπος τοῦ κυρίου, ἀπὸ πάντων τῶν ὅσα ἂν τοῦ ᾖσιν, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἀγροῦ κατασχέσεως αὐτοῦ, οὐκ ἀποδοθήσεται, οὐδὲ λυτρώσεται. πᾶν ἀνάθημα ἅγιον τῶν ἁγίων ἔσαι τοῦ κυρίου· καὶ πᾶν ἀνάθημα ὃ ἐὰν ἀναστεθῇ ἀπὸ τῶν ἀνθρώπων, οὐ λυτρωθήσεται, ἀλλὰ θανάτῳ θανατωθήσεται. πᾶσα δεκάτη τῆς γῆς ἀπὸ τοῦ σπέρματος τῆς γῆς, καὶ ἀπὸ τοῦ καρποῦ τοῦ ξυλίνου, τοῦ κυρίου ἅγιον τοῦ κυρίου. ἐὰν δὲ λυτρούμενος λυτρῶται ἄνθρωπος τὶ δεκάτῃ αὐτοῦ, τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ' αὐτῷ, καὶ ἔσαι αὐτῷ. καὶ πᾶσα δεκάτη βοῶν καὶ προβάτων, καὶ πᾶν ὃ ἂν διέλθῃ τῷ ἀριθμῷ τοῦ ῥάβδου, τὸ δέκατον ἔσαι ἅγιον τῷ κυρίῳ. οὐκ ἀλλάξεις αὐτὸ καλὸν πονηρῷ, οὐδὲ πονηρὸν καλῷ. ἐὰν δὲ ἀλλάσσων ἀπαλλάξῃς αὐτὸ, καὶ τὸ ἄλλαγμα αὐτοῦ ἔσαι ἅγιον, οὐ λυτρωθήσεται. οὗτοι εἰσὶν αἱ ἐντολαὶ ἃς ἐνετείλατο κύριος τῷ μωϋσῇ πρὸς τοὺς υἱοὺς ἰσραὴλ ἐν τῷ ὄρει σινᾶ.

Τέλος τοῦ λευιτικοῦ.

Αριθμοί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ΑΡΙΘΜΟΙ

ΚΕΦΑΛ. ά. 1.

ΚΑὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν ἐν τῇ ἐρήμῳ τοῦ σινᾶ, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐν μιᾷ τοῦ μηνὸς, ἔτους τοῦ δευτέρου, ἐξελθόντων αὐτῶν ἐκ γῆς αἰγύπτου λέγων· λάβετε ἀρχὴν πάσης συναγωγῆς υἱῶν ἰσραὴλ κατὰ συγγενείας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ἐξ ὀνόματος αὐτῶν κατὰ κεφαλὴν αὐτῶν. πᾶς ἄρσην ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν δυνάμει ἐξαριθμήσατε αὐτοὺς σὺ καὶ ἀαρὼν κατὰ στρατιὰς αὐτῶν. σὺν καὶ ἀαρὼν σκεφθήσεσθε αὐτούς, καὶ μεθ' ὑμῶν ἔσονται σὺν δυνάμει αὐτῶν ἕνας ἕνας κατὰ φυλὴν ἕκαστον ἄρχοντα κατ' οἴκους πατριῶν ἔσονται. καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οἳ σταθήσονται μεθ' ὑμῶν, τῷ ῥουβὴν, ἐλισοὺρ, υἱὸς σεδιούρ. τῷ συμεὼν, σελαμιὴλ, υἱὸς σουρισαδαΐ. τῷ ἰούδα, ναασσὼν, υἱὸς ἀμιναδάβ. τῷ ἰσάχαρ, ναθαναὴλ, υἱὸς σωγάρ. τῷ ζαβουλὼν, ἐλιὰβ, υἱὸς χαιλών. τῷ υἱῷ ἰωσὴφ· τῷ ἐφραὶμ, ἐλισαμὰ, υἱὸς σεμιούδ. τῷ μανασσῆ, γαμαλιὴλ, υἱὸς φαδασσούρ. τῷ βενιαμεὶν, ἀβιδὰν, υἱὸς γαδωνί. τῷ δὰν, ἀχιεζὲρ, υἱὸς ἀμισαδαΐ. τῷ ἀσὴρ, φαγαὴλ, υἱὸς ὀχράν. τῷ γὰδ, ἐλισὰφ, υἱὸς ῥαγουὴλ. τῷ νεφθαλεὶμ, ἀχειρὲ, υἱὸς αἰνάν. οὗτοι ἐπίκλητοι τῆς συναγωγῆς, ἄρχοντες τῶν φυλῶν κατὰ πατριὰς αὐτῶν χιλίαρχοι ἰσραὴλ εἰσι. καὶ ἔλαβε μωϋσῆς καὶ ἀαρὼν οὓς ἀνεδείξατε τούτους οὓς ἀνεκλήθησαν ἐξ ὀνόματος, καὶ πᾶσαν τὴν συναγωγὴν συνήγαγον, ἐν μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου ἔτους, καὶ ἐπεδιεκρίθησαν κατὰ γενέσεις αὐτῶν, κατὰ πατριὰς αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω. πᾶν ἀρσενικὸν κατὰ κεφαλὴν αὐτῶν, ὃν πρόσταγμα συνέταξε κύριος τῷ μωϋσεῖ. καὶ ἐπεδιεκρίθησαν αὐτοὶ ἐν τῇ ἐρήμῳ τοῦ σινᾶ. καὶ ἐγένοντο υἱοὶ ῥουβὴν πρωτοτόκου ἰσραὴλ κατὰ συγγενείας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω. πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν ἐν τῇ φυλῇ ῥουβὴν, ἓξ καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑπτακόσιοι. καὶ τοῖς υἱοῖς συμεὼν κατὰ συγγενείας αὐτῶν, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν. πᾶν ἀρσενικὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν ἐν τῇ φυλῇ συμεὼν, δύο καὶ πεντήκοντα χιλιάδες καὶ τριακόσιοι. τοῖς υἱοῖς ἰούδα κατὰ συγγενείας αὐτῶν, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς ἰούδα τέσσαρες καὶ ἑβδομήκοντα χιλιάδες καὶ ἑξακόσιοι. τοῖς υἱοῖς ἰσάχαρ κατὰ συγγενείας αὐτῶν, καὶ κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς ἰσάχαρ, τέσσαρες καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. τοῖς υἱοῖς ζαβουλὼν κατὰ συγγενείας, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω. πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς ζαβουλὼν κατὰ συγγενείας αὐτῶν, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν, ἑπτὰ καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. τοῖς υἱοῖς ἰωσὴφ υἱοῖς ἐφραὶμ κατὰ συγγενείας αὐτῶν, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς ἐφραὶμ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. τοῖς υἱοῖς μανασσῆ κατὰ συγγενείας αὐτῶν, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω. πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς μανασσῆ, δύο καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι. τοῖς υἱοῖς βενιαμεὶν κατὰ συγγενείας αὐτῶν, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω. πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς βενιαμὶν, πεντήκοντα καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι. τοῖς υἱοῖς γὰδ, κατὰ συγγενείας αὐτῶν, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς γὰδ, πεντήκοντα καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑξακόσιοι καὶ πεντήκοντα. τοῖς υἱοῖς δὰν κατὰ συγγενείας αὐτῶν, κατὰ φύλας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πᾶν τὸ ἀρσενικὸν αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορεύομενος ἐν τῇ στρατιᾷ, ἡ ἐπίσκεψις αὐτῶν. ἐκ τῆς φυλῆς Ρουβὴν, δύο καὶ ἑξήκοντα χιλιάδες, καὶ ἐπτακόσιοι. τοῖς υἱοῖς Ασὴρ κατὰ συγγενείας αὐτῶν, κατὰ φυλὰς αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ λεφαλὶς αὐτῶν, πάντα ἀρσενικὰ αὐτῶν, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορεύομενος ἐν τῇ στρατιᾷ, ἡ ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς Ασὴρ, μία καὶ τεσσαρακοντα χιλιάδες καὶ τριακόσιοι. τοῖς υἱοῖς νεφθαλείμ, κατὰ συγγενείας αὐτῶν, κατὰ φυλὰς αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ λεφαλὶς αὐτῶν, πάντα ἀρσενικὰ αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορεύομενος ἐν τῇ στρατιᾷ, ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς νεφθαλείμ, τρεῖς καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. αὕτη ἡ ἐπίσκεψις ἣν ἐποιήσατο μωϋσῆς καὶ ἀαρὼν, καὶ οἱ ἄρχοντες ἰσραὴλ, δώδεκα ἄνδρες, ἀνὴρ εἷς κατὰ φυλὴν μίαν, κατὰ φυλὴν οἴκου πατριᾶς αὐτῶν ἦσαν. καὶ ἐγένετο πᾶσα ἡ ἐπίσκεψις τῶν υἱῶν ἰσραὴλ σὺν τῇ στρατιᾷ αὐτῶν, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορεύομενος παρατάξασθαι ἐν ἰσραὴλ, ἑξακόσιαι χιλιάδες, καὶ τρισχίλιοι καὶ πεντακόσιοι καὶ πεντήκοντα. οἱ δὲ λευῖται ἐκ τῆς φυλῆς πατριᾶς αὐτῶν, οὐ συνεπισθησκέπησαν ἐν τοῖς υἱοῖς ἰσραὴλ, καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ὅρα τὴν φυλὴν τοῦ λευεὶ ὁ συνεπισκέψῃ, καὶ ἐν ἀριθμῷ αὐτῶν ἀπὸ λήψῃ ἐν μέσῳ τῶν υἱῶν ἰσραὴλ. καὶ συνεπίσησον αὐτοὺς λευίτας ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἐπὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ ἐπὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ, ἀρεῦσιν αὐτοὶ τὴν σκηνὴν καὶ πάντα τὰ σκεύη αὐτῆς. καὶ αὐτοὶ λειτουργήσουσιν ἐν αὐτῇ, καὶ κύκλῳ τῆς σκηνῆς παρεμβαλοῦσι, καὶ ἐν τῷ ἄραι τὴν σκηνὴν, καθελοῦσιν αὐτὴν οἱ λευῖται, καὶ ἐν τῷ παρεμβαλεῖν τὴν σκηνὴν ἀναστήσουσι, καὶ ὁ ἀλλογενὴς ὁ προσπορευόμενος ἀποθανεῖται. καὶ παρεμβαλοῦσι οἱ υἱοὶ ἰσραὴλ, ἀνὴρ ἐπὶ τῇ ἑαυτοῦ τάξει, καὶ ἀνὴρ ἐπὶ τὴν ἑαυτοῦ ἡγεμονίαν σὺν στρατιᾷ αὐτῶν. οἱ δὲ λευῖται, παρεμβαλέτωσαν κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ὀργὴ ἔσται ἐπὶ τοῖς υἱοῖς ἰσραὴλ. καὶ φυλάξουσιν οἱ λευῖται αὐτοὶ, τὴν φυλακὴν τοῦ μαρτυρίου. καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ ἐπὶ πάντα ἃ ἐνετείλατο κύριος μωϋσεῖ καὶ ἀαρὼν, οὕτως ἐποίησαν.

ΚΕΦΑΛ. β'. 2.

ΚΑΙ ἐλάλησε κύριος πρὸς μωϋσῆν καὶ ἀαρὼν λέγων· ἄνθρωπος κύκλῳ τὴν σκηνὴν αὐτοῦ, καὶ κατὰ τὰς σημασίας, κατ' οἴκους πατριῶν αὐτῶν, παρεμβαλέτωσαν οἱ υἱοὶ ἰσραὴλ γναντίον κυρίου, κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου παρεμβαλοῦσιν οἱ υἱοὶ ἰσραὴλ, καὶ οἱ παρεμβάλλοντες πρῶτοι, ἐπὶ ἀναστολὰς τάγμα παρεμβολῆς ἰούδα σὺν στρατιᾷ αὐτοῦ. καὶ ὁ ἄρχων τῶν υἱῶν ἰούδα ναασσὼν υἱὸς ἀμιναδὰβ, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι τεσσαράκοντα καὶ ἑβδομήκοντα χιλιάδες καὶ ἑξακόσιοι, καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς ἰσσάχαρ, καὶ ὁ ἄρχων τῶν υἱῶν ἰσσάχαρ ναθαναὴλ υἱὸς σωγάρ, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι τεσσαράκοντα καὶ πεντήκοντα χιλιάδες, καὶ τετρακόσιοι. καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς ζαβουλών, καὶ ὁ ἄρχων τῶν υἱῶν ζαβουλὼν, ἐλιὰβ υἱὸς χαιλών, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι, ἑπτὰ καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. πάντες οἱ ἠριθμημένοι ἐκ τῆς παρεμβολῆς ἰούδα, ἑκατὸν καὶ ὀγδοήκοντα χιλιάδες καὶ ἑξακισχίλιοι καὶ τετρακόσιοι, σὺν στρατιᾷ αὐτῶν πρῶτοι ἀρεῦσι, τάγματα παρεμβολῆς ῥουβὶμ πρὸς νότον σὺν στρατιᾷ αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν ῥουβὶμ ἐλισοὺρ υἱὸς σεδιούρ, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι ἓξ καὶ τεσσαράκοντα χιλιάδες, καὶ πεντακόσιοι. καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς συμεών, καὶ ὁ ἄρχων τῶν υἱῶν συμεὼν σελαμιὴλ, υἱὸς σουρισαδαΐ, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι, ἕνδεκα καὶ πεντήκοντα χιλιάδες καὶ τριακόσιοι. καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ, φυλὴ γαδ, καὶ ὁ ἄρχων τῶν υἱῶν γαδ, ἐλισαφὰ υἱὸς ῥαγουὴλ, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι, πέντε καὶ τεσσαράκοντα χιλιάδες, καὶ ἑξακόσιοι καὶ πεντήκοντα. πάντες οἱ ἠριθμημένοι ἐν παρεμβολῇ ῥουβὶμ, μία καὶ πεντήκοντα καὶ ἑκατὸν χιλιάδες καὶ τετρακόσιοι καὶ πεντήκοντα σὺν στρατιᾷ αὐτῶν, δεύτεροι ἀρεῦσι. καὶ ἀρθήσεται ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ ἡ παρεμβολὴ τῶν λευιτῶν, μέσον τῶν παρεμβολῶν, ὡς παρεμβαλοῦσιν, οὕτω καὶ ἀρεῦσιν, ἕκαστος ἐν τῷ τάγματι αὐτοῦ, τάγματα παρεμβολῆς ἐφραὶμ πρὸς θάλασσαν σὺν στρατιᾷ αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν ἐφραὶμ, ἐλισαμὰ υἱὸς ἐμιούδ, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι, τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλὴ μανασσῆ, καὶ ὁ ἄρχων τῶν υἱῶν μανασσῆ, γαμαλιὴλ υἱὸς φασδασσούρ, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι δύο καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι. καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλὴ βενιαμείν, καὶ ὁ ἄρχων τῶν υἱῶν βενιαμεὶν ἀβιδὰν, υἱὸς γαδεωνί, στρατιὰ αὐτοῦ οἱ ἐπισκεπτόμενοι πέντε καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι. πάντες οἱ ἠριθμημένοι ἐν παρεμβολῇ ἐφραὶμ, ἑκατὸν χιλιάδες καὶ ὀκτακισχίλιοι καὶ ἑκατὸν, σὺν στρατιᾷ αὐτῶν. τρίτοι ἀρεῦσι τάγμα παρεμβολῆς δὰν πρὸς βορρᾶν σὺν στρατιᾷ αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν δὰν ἀχιέζερ υἱὸς ἀμισαδαΐ, στρατιὰ αὐτοῦ οἱ ἐπι-

σκεπτόμενοι

σκεμμηνοι δύο ϗ ἑξήκοντα χιλιάδ᾽δν καὶ ἑπτακόσιοι. καὶ οἱ πρεμβάλλοντες, ἐχόμενοι αὐτ φυλῆς ἀσὴρ, καὶ ὁ ἄρχων τῶ ὑῶν ἀσὴρ φαγιὴλ υἱὸς ἐχρὰν, δωδέκμειος αὐτῶ οἱ ἐπὶ δυσκεμμηνοι μίας ϗ τεσσαράκοντα χιλιάδδν καὶ πεντακόσιοι. καὶ οἱ πρεμβάλλοντες, ἐχόμενοι φυλῆς νεφθαλείμ, καὶ ὁ ἄρχων τῶ ὑῶν νεφθαλείμ ἀχιρὲ, υἱὸς αἰνάν, δωδέκμειος αὐτῶ οἱ ἐπὶ δυσκεμμηνοι, πρεῖς καὶ πεντήκοντα χιλιάδ᾽δν καὶ τετρακόσιοι. πάντδν οἱ ἠριθμημηνοι τῆ πρεμβολῆς δ᾽αὐ, ἑκατὸν καὶ πεντήκοντα καὶ ἑπτὰ χιλιάδδν ϗ ἑξακόσιοι, σὺν δωδέκμει αὐτῶ, ἕκαστοι ἀφ᾽ἁρδσι τῆ τάγμα αὐτῶ. αὕτη ἡ ἐπίσκεψις τῶ υἱῶν ἰσραὴλ κατ᾽οἴκους πατριῶν, πᾶσα ἡ ἐπίσκεψις τῶ πρεμβολῶν σὺν ταῖς δωδέκμεσιν αὐτῶ, ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι καὶ πεντακόσιοι καὶ πεντήκοντα. οἱ δὲ λδῖται, ἀ σωεπεσκέπησαν ἐν τοῖς υἱοῖς ἰσραὴλ, καθὰ ἐνετείλατο κύριος τῶ μωϋσῆ. καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ κατὰ πάντα ὅσα σωέταξε κύριος τῶ μωϋσῆ, οὕτω πρεγέβαλον κατὰ τάγμα αὐτ, καὶ οὕτως ἐξῆρον ἕκαστος ἐχόμενοι κατὰ φύλας αὐτ, κατ᾽οἴκους πατριῶν αὐτ.

ΚΕΦΑΛ. γ. 3.

Καὶ αὗται αἱ γενέσεις ἀαρὼν καὶ μωϋσῆ ἐν ἡμέρᾳ ἐλάλησε κύριος τῶ μωϋσῆ ἐν ὄρει σινᾶ. καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν ἀαρών. πρωτότοκος ναδὰβ, καὶ ἀβιοὺδ, καὶ ἐλεαζὰρ, καὶ ἰθάμαρ, ταῦτα τὰ ὀνόματα τῶν υἱῶν ἀαρών. οἱ ἱερεῖς οἱ ἠλειμμένοι ὃς ἐτελείωσαν τὰς χεῖρας αὐτῶν τοῦ ἱερατεύειν, καὶ ἐτελείτησαν ναδὰβ καὶ ἀβιοὺδ ἐναντι κυρίου, προσφερόντων αὐτῶν πῦρ ἀλλότριον ἐναντι κυρίου ἐν τῇ ἐρήμῳ σινᾶ, καὶ παιδία οὐκ ἦν αὐτοῖς, καὶ ἱεράτευσαν ἐλεαζὰρ καὶ ἰθάμαρ, μετὰ ἀαρὼν τοῦ πατρὸς αὐτῶν. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάβε τὴν φυλὴν τὴν λδυὶ, καὶ στήσεις αὐτὴν ἐναντίον ἀαρὼν τοῦ ἱερέως, καὶ λειτουργήσουσιν αὐτῷ, καὶ φυλάξουσι τὰς φυλακὰς αὐτ, καὶ τὰς φυλακὰς τῶ υἱῶν ἰσραὴλ ἔναντι τῆ σκηνῆς τοῦ μαρτυρίου, ἐργάζεσθαι τὰ ἔργα τῆ σκηνῆς. καὶ φυλάξουσι πάντα τὰ σκεύη τῆ σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰς φυλακὰς τῶν υἱῶν ἰσραὴλ καὶ πάντα τὰ ἔργα τῆ σκηνῆς. καὶ δώσεις τοὺς λδυίτας ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, τοῖς ἰσραὴλ δόμα. δεδομμένοι ἔσονται μοι εἰσὶν ἀπὸ τῶν υἱῶν ἰσραὴλ, καὶ ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ καταστήσεις ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ φυλάξουσι τὴν ἱερατείαν αὐτῶν, καὶ πᾶν τὰ κατὰ τὸ βωμόν, καὶ τὰ ἔσω τοῦ καταπετάσματος, καὶ ὁ ἀλλογενὴς ὁ ἀπροσμενος ἀποθανεῖται. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· καὶ ἰδοὺ ἐγὼ εἴληφα τοὺς λδυίτας ἐκ μέσου τῶν υἱῶν ἰσραὴλ, ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος μήτραν, παρὰ τῶν υἱῶν ἰσραὴλ, λύτρα αὐτῶν ἔσονται, καὶ ἔσονται ἐμοὶ οἱ λδυῖται. ἐμοὶ γὰρ πᾶν πρωτότοκον, ἐν ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ αἰγύπτῳ, ἡγίασα ἐμοὶ πᾶν πρωτότοκον ἐν ἰσραὴλ, ἀπ᾽ ἀνθρώπου ἕως κτήνους ἐμοὶ ἔσονται, ἐγὼ κύριος. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν ἐν τῇ ἐρήμῳ σινᾶ λέγων· ἐπίσκεψαι τοὺς υἱοὺς λδυὶ, κατ᾽οἴκους πατριῶν αὐτῶν, καὶ φυλὰς αὐτῶν, καὶ συγγενείας αὐτῶν. πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, σὺν ἐπίσκεψαι αὐτούς. καὶ ἐποίησε αὐτοὺς μωϋσῆς καὶ ἀαρὼν ἀπὸ φωνῆς κυρίου, ὃν τρόπον συνέταξεν αὐτοῖς κύριος. καὶ ἦσαν δὲ οἱ υἱοὶ λδυὶ, ἀπ᾽ ὀνομάτων αὐτῶν γεδσὼν, καὰθ, καὶ μεραρί. καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν γεδσὼν, κατὰ φυλὰς αὐτῶν. λοβνεὶ καὶ σεμεΐ. καὶ υἱοὶ καὰθ, κατὰ φυλὰς αὐτῶν· ἀμβρὰμ καὶ ἰοσαὰρ, χεβρὼν καὶ ὀζιήλ. καὶ υἱοὶ μεραρὶ κατὰ φυλὰς αὐτῶν. μοολεὶ καὶ ὁ μουσί. ἔστι αἱ σὶν φυλαὶ τῶν λδυιτῶν κατ᾽οἴκους πατριῶν αὐτῶν. τοῦ γεδσὼν φυλὴ τοῦ λοβνεὶ καὶ φυλὴ τοῦ σεμεΐ, ἔστι φυλαὶ τοῦ γεδσών. ἡ ἐπίσκεψις αὐτῶν κατὰ ἀριθμὸν πάντος ἀρσενικοῦ ἀπὸ μηνιαίου καὶ ἐπάνω, ὁ ἀριθμὸς αὐτῶν ἑπτακισχίλιοι καὶ πεντακόσιοι. καὶ οἱ υἱοὶ γεδσὼν ὀπίσω τῆ σκηνῆς πρεμβαλοῦσι κατὰ θάλασσαν. καὶ ὁ ἄρχων οἴκου πατριᾶς τοῦ φυλῆς τοῦ γεδσὼν, ἐλισαὰθ, υἱὸς δαὴλ. καὶ ἡ φυλακὴ υἱῶν γεδσὼν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἡ σκηνὴ καὶ τὸ κατακάλυμμα αὐτῆς, καὶ τὸ κάλυμμα τῆ θύρας τῆ σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰ ἱσία τῆ αὐλῆς, καὶ τὸ καταπέτασμα τῆ πύλης τῆ αὐλῆς τῆ ὄσης κύκλῳ τῆ σκηνῆς, καὶ τὰ κατάλοιπα πάντων τῶν ἔργων αὐτοῦ. τοῦ καὰθ φυλὴ ὁ ἀμβρὰμ ἐξ, καὶ φυλὴ ὁ ἰοσαὰρ ἐξ, καὶ φυλὴ ὁ χεβρὼν ἐξ, καὶ φυλὴ ὁ ὀζιὴλ ἐξ, οὗτοί εἰσιν οἱ φυλαὶ τοῦ καὰθ κατὰ ἀριθμόν. πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ὀκτακισχίλιοι καὶ ἑξακόσιοι, φυλάσσοντες τὰς φυλακὰς τῶν ἁγίων. οἱ φυλαὶ τῶν υἱῶν καὰθ παρεμβαλοῦσιν ἐκ πλαγίου τῆ σκηνῆς κατὰ νότον, καὶ ὁ ἄρχων οἴκου πατριᾶς τῶν φυλῶν τοῦ καὰθ, ἐλισαφὰν υἱὸς ὀζιήλ, καὶ ἡ φυλακὴ αὐτῶν, ἡ λιβωτὸς καὶ ἡ τράπεζα, καὶ ἡ λυχνία, καὶ τὰ θυσιαστήρια, καὶ τὰ σκεύη τοῦ ἁγίου, ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς, καὶ τὸ καταπέτασμα, καὶ πάντα τὰ ἔργα αὐτῶν. καὶ ὁ ἄρχων ὁ ὢν τῶν ἀρχόντων τῶν λδυιτῶν, ἐλεαζὰρ υἱὸς ἀαρὼν τοῦ ἱερέως καθεστάμενος φυλάσσειν τὰς φυλακὰς τῶν ἁγίων. τοῦ μεραρὶ φυλὴ ὁ μοολεὶ, καὶ φυλὴ ὁ ὁμουσεί. οὗτοί εἰσι φυλαὶ τοῦ μεραρί, ἡ ἐπίσκεψις αὐτῶν κατὰ ἀριθμόν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἑξακισχίλιοι καὶ πεντήκοντα. καὶ ὁ ἄρχων οἴκου πατριᾶς τοῦ φυλῆς τοῦ μεραρί, σουριὴλ υἱὸς ἀβιχαΐα, ἐκ πλαγίου τῆς σκηνῆς παρεμβαλοῦσι πρὸς βορρᾶν. ἡ ἐπίσκεψις τῶν φυλαλιῆς υἱῶν μεραρί, τὰς λιφαλίσας τῆς σκηνῆς καὶ τοὺς μοχλοὺς αὐτῆς, καὶ τοὺς σύλους

αὐτῆς, καὶ τὰς βάσεις αὐτῆς, καὶ πάντα τὰ σκεύη αὐτῶν, καὶ πάντα τὰ ἔργα αὐτῶν, ἐν αὐτῇ σύλους ⸗ αὐλῆς κύκλῳ, καὶ τὰς βάσεις αὐτῶν, καὶ τὸν παραπέτασιν αὐτῆς, καὶ τοὺς πασσάλους αὐτῆς, καὶ τοὺς κάλους αὐτῆς, οἱ παρεμβαλοῦσιν ἐπὶ πρόσωπον ⸗ σκηνῆς τοῦ μαρτυρίου ἀπὸ ἀνατολῶν, μωϋσῆς καὶ ἀαρὼν καὶ υἱοὶ αὐτοῦ φυλάσσοντες τὰς φυλακὰς τοῦ ἁγίου, εἰς τὰς φυλακὰς τῶν υἱῶν ἰσραήλ. καὶ ὁ ἀλλογενὴς ὁ προσπορευόμενος, ἀποθανεῖται. πᾶσα ἐπίσκεψις τῶν λευιτῶν ὃς ἐπεσκέψατο μωϋσῆς καὶ ἀαρὼν ⸗ φωνῆς κυρίου ⸗ κατὰ μέρος αὐτῶν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω δύο καὶ εἴκοσι χιλιάδες. καὶ εἶπε κύριος πρὸς μωϋσῆν λέγων· ἐπίσκεψαι πᾶν πρωτότοκον ἄρσεν τῶν υἱῶν ἰσραὴλ ἀπὸ μηνιαίου καὶ ἐπάνω, καὶ λάβε τὸν ἀριθμὸν αὐτῶν ⸗ ὀνόματος, καὶ λήψῃ τοὺς λευίτας ἐμοί, ἐγὼ κύριος, ἀντὶ παντὸς τοῦ πρωτοτόκου τῶν υἱῶν ἰσραὴλ, καὶ τὰ κτήνη τῶν λευιτῶν ἀντὶ παντὸς τοῦ πρωτοτόκου ⸗ τοῖς κτήνεσι τῶν υἱῶν ἰσραήλ. καὶ ἐποίησε μωϋσῆς ὃν τρόπον ⸗ τέλαττο κύριος αὐτῷ, πᾶν πρωτότοκον ⸗ τοῖς υἱοῖς ἰσραήλ. καὶ ἐγένετο πάντα τὰ πρωτότοκα ἀρσενικὰ, ⸗ ἀριθμὸν ⸗ ὀνόματος ἀπὸ μηνιαίου καὶ ἐπάνω ⸗ ἐπισκέψεως αὐτῶν, δύο ⸗ εἴκοσι χιλιάδες ἑβδομήκοντα καὶ ἑξακόσιοι. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάβε τοὺς λευίτας ἀντὶ παντὸς τοῦ πρωτοτόκου ὑδὼρ ἰσραήλ. καὶ τὰ κτήνη τῶν λευιτῶν ἀντὶ τῶν κτηνῶν αὐτῶν, καὶ ἔσονται ἐμοὶ οἱ λευῖται, ἐγὼ κύριος, καὶ τὰ λύτρα τριῶν καὶ ἑβδομήκοντα καὶ ἑξακοσίων, οἱ πλεονάζοντες πρὸς τοὺς λευίτας, ἀπὸ τῶν πρωτοτόκων τῶν υἱῶν ἰσραήλ. καὶ λήψῃ πέντε σίκλους, ⸗ κεφαλήν, ⸗ τὸ δίδραχμον τὸ ἅγιον λήψῃ, εἴκοσι ὀβολοὶ ὁ σίκλος, καὶ δώσεις τὸ ἀργύριον ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λύτρα τῶν πλεοναζόντων ἐν αὐτοῖς. καὶ ἔλαβε μωϋσῆς τὸ ἀργύριον τὰ λύτρα τῶν πλεοναζόντων εἰς τὴν ἐκλύτρωσιν τῶν λευιτῶν. πρὸ τῶν πρωτοτόκων τῶν υἱῶν ἰσραήλ, ἔλαβε τὸ ἀργύριον πάντα καὶ ἐξήκοντα καὶ τριακοσίους καὶ χιλίους σίκλους, ⸗ τὸν σίκλον τὸν ἅγιον. καὶ ἔδωκε μωϋσῆς τὸ ἀργύριον τὰ λύτρα τῶν πλεοναζόντων ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ ⸗ φωνῆς κυρίου, ὃν τρόπον ἐνετείλατο κύριος ⸗ μωϋσεῖ.

ΚΕΦΑΛ. δ'. 4.

ΚΑὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν καὶ ἀαρὼν λέγων· λάβε τὸ κεφάλαιον τῶν υἱῶν καὰθ ἐκ μέσου υἱῶν λευὶ, ⸗ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, ἀπὸ εἴκοσι καὶ πενταετοῦς καὶ ἐπάνω, ἕως πενταετηκοντούτου, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν ποιῆσαι πάντα τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. καὶ τοῦτο τὰ ἔργα τῶν υἱῶν καὰθ, ἐκ μέσου υἱῶν λευὶ ⸗ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἅγιον τῶν ἁγίων. καὶ εἰσελεύσονται ἀαρὼν καὶ υἱοὶ αὐτοῦ ὅταν ἐξαίρῃ ἡ παρεμβολὴ, καὶ καθελοῦσι τὸ καταπέτασμα τὸ συσκιάζον, καὶ κατακαλύψουσιν ἐν αὐτῷ τὴν διφθέραν τοῦ μαρτυρίου, καὶ ἐπιβήσουσιν ἐπ' αὐτὸ κατακάλυμμα ὑακίνθινον ὅλον, καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὅλον ὑακίνθινον ἄνωθεν, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς, καὶ ἐν τῇ τραπέζῃ τῆς προκειμένης ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὅλον πορφυροῦν καὶ τὰ τρυβλία, ⸗ τὰς θυΐσκας, ⸗ τοὺς λυχνίους, καὶ τὰ σπονδεῖα ἐν οἷς σπένδει. καὶ οἱ ἄρτοι οἱ ἀπαντοῦς ἐπ' αὐτῆς ἔσονται, καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον κόκκινον, καὶ καλύψουσιν αὐτὴν καλύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτῆς. καὶ λήψονται ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσι τὴν λυχνίαν τὴν φωτίζουσαν. καὶ τοὺς λύχνους αὐτῆς, καὶ τὰς λαβίδας αὐτῆς, καὶ τὰς ἐπαρυσρίδας αὐτῆς, καὶ πάντα τὰ ἀγγεῖα τοῦ ἐλαίου αὐτῆς, ὅσοις λειτουργοῦσιν ἐν αὐτοῖς. καὶ ἐμβαλοῦσιν αὐτὴν καὶ πάντα τὰ σκεύη αὐτῆς εἰς κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ ἐπιβήσουσιν αὐτὴν ἐπ' ἀναφορέων. καὶ ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν ἐπιβήσουσιν ἱμάτιον ὑακίνθινον, καὶ ἐπικαλύψουσιν αὐτὸ καλύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ, καὶ λήψονται πάντα τὰ σκεύη τὰ λειτουργικὰ ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς ἐν τοῖς ἁγίοις, καὶ ἐμβαλοῦσιν εἰς ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσιν αὐτὰ καλύμματι δερματίνῳ ὑακινθίνῳ. καὶ ἐπιβήσουσιν ἐπὶ ἀναφορεῖς, καὶ τὴν καλυπτῆρα ἐπιβήσει ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπικαλύψουσιν ἐπ' αὐτὸ ἱμάτιον ὅλον πορφυροῦν, καὶ ἐπιβήσουσιν ἐπ' αὐτὸ πάντα τὰ σκεύη αὐτοῦ, ὅσοις λειτουργοῦσιν ἐν αὐτοῖς, καὶ τὰ πυρεῖα, καὶ τὰς κρεάγρας, καὶ τὰς φιάλας, καὶ τὴν καλυπτῆρα, καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου. καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὸ κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ, καὶ λήψονται ἱμάτιον πορφυροῦν, καὶ συγκατακαλύψουσι τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἐμβαλοῦσιν αὐτὰ εἰς κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ ἐπιβήσουσιν ἐπ' ἀναφορεῖς, καὶ σωτελέσουσιν ἀαρὼν ⸗ οἱ υἱοὶ αὐτοῦ καλύπτοντοι τὰ ἅγια, καὶ πάντα τὰ σκεύη τὰ ἅγια, ἐν τῷ ἐξαίρειν τὴν παρεμβολήν. καὶ μετὰ ταῦτα εἰσελεύσονται οἱ υἱοὶ καὰθ αἴρειν, ⸗ οὐχ ἅψονται τῶν ἁγίων, ἵνα μὴ ἀποθάνωσι. ταῦτα ἀρέσει οἱ υἱοὶ καὰθ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. ἐπίσκοπος ἐλεάζαρ υἱὸς ἀαρὼν τοῦ ἱερέως, τὸ ἔλαιον τοῦ φωτὸς, ⸗ τὸ θυμίαμα ⸗ συνθέσεως, καὶ ἡ θυσία καθ' ἡμέραν, καὶ τὸ ἔλαιον ⸗ χρίσεως, καὶ ὅλης ⸗ σκηνῆς, καὶ ὅσα ἐὰν ἐν αὐτῇ ἐν τοῖ ἁγίῳ καὶ ἐν πᾶσι τοῖς ἐρ-

γοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γοις. καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν λέγων· μὴ ὀλοθρεύσητε τὴν φυλὴν τῶν
μου τῶν Καάθ ἐκ μέσου τῶν Λευιτῶν, οὕτω ποιήσατε αὐτοῖς καὶ ζήσονται, καὶ οὐ μὴ ἀσθενήσωσι
πρὸς τὸ ὀρθρεύσαι αὐτῶν πρὸς τὰ ἅγια τῶν ἁγίων, Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ εἰσπορεύεσθωσαν,
καὶ καταστήσουσιν αὐτοὺς ἕκαστον ἐπὶ τὴν ἀναφορὰν αὐτοῦ, καὶ ὁ μὴ εἰσέλθωσιν ἰδεῖν ὡς ἅπαξ τὸ
τὸ ἅγιον, καὶ ἀποθανοῦνται. καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· λάβε τὸν ἀρχιὼ τῶν
υἱῶν Γεδσών, καὶ τοὺς κατ' οἴκους πατριῶν αὐτῶν, ἐπὶ δήμους αὐτῶν, ἀπὸ τριάκοντα καὶ ἐ-
νὸς ἐτῶν καὶ ἐπάνω, ἕως τριακοντούτους ἐπισκέψασθε αὐτούς, πᾶς ὁ εἰσπορευόμενος λει-
τουργεῖν καὶ ποιεῖν τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. αὕτη ἡ λειτουργία τοῦ δήμου τοῦ Γεδ-
σών, λειτουργεῖν καὶ ἄρειν, καὶ ἀρεῖ τὰς δέρρεις ἐν τῇ σκηνῇ, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐν
τὸ κάλυμμα αὐτῆς, καὶ τὸ κατακάλυμμα τὸ ὑακίνθινον τὸ ὂν ἐπ' αὐτῇ ἄνωθεν, καὶ τὸ κατα-
κάλυμμα τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰ ἱσία τῆς αὐλῆς, καὶ τὸ ἐπίπαστρον τῆς θύ
ρας τῆς αὐλῆς ὅσα ὧν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ὧν τοῦ θυσιαστηρίου κύκλῳ, καὶ τὰ σχοι-
νία αὐτῶν, καὶ πάντα τὰ σκεύη τὰ λειτουργικὰ αὐτῶν, καὶ πάντα ὅσα λειτουργήσουσιν ἐν
αὐτοῖς ποιήσουσι. κατὰ στόμα Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ ἔσαι πᾶσα ἡ λειτουργία τῶν υἱῶν Γεδ
σὼν κατὰ πάσας τὰς λειτουργίας αὐτῶν, καὶ ἐν πάντα τὰ ὄργανα αὐτῶν, καὶ ὧν σκέψη
αὐτοὺς ἐξ ὀνομάτων, πάντα τὰ ὄργανα τὰ δὴ αὐτῶν. αὕτη ἡ λειτουργία τοῦ δήμου τῶν υἱῶν Γεδ-
σών, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἡ φυλακὴ αὐτῶν ἐν χειρὶ Ἰθαμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱε-
ρέως. οἱ υἱοὶ μεραρὶ κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, ὧν σκέψασθε αὐτούς ἀπ-
ὸ τριάκοντα καὶ ἐνὸς ἐτῶν καὶ ἐπάνω, ἕως πεντηκοντούτους ὧν σκέψασθε αὐτούς, πᾶς ὁ εἰσ-
πορευόμενος λειτουργεῖν τὰ ὄργανα τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ τοῦτα τὰ φυλάγματα τῶν
αἰρομένων ὑπ' αὐτῶν, κατὰ πάντα τὰ ὄργανα αὐτῶν, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, τοὺς λεφα-
λίδας τῆς σκηνῆς καὶ τοὺς μοχλοὺς αὐτῆς, καὶ τοὺς σύλους αὐτῆς, καὶ τὰς βάσεις αὐτῆς, καὶ τὸ
κατακάλυμμα, καὶ αἱ βάσεις αὐτῶν, καὶ οἱ σύλοι αὐτῶν, καὶ τὸ κατακάλυμμα τῆς θύρας
τῆς σκηνῆς, καὶ τοὺς σύλους τῆς αὐλῆς κύκλῳ, καὶ αἱ βάσεις αὐτῶν, καὶ τοὺς σύλους τοῦ κατα-
πετάσματος τῆς πύλης τῆς αὐλῆς, καὶ τὰς βάσεις αὐτῶν, καὶ τοὺς παρασκλους αὐτῶν, καὶ
τοὺς κάλους αὐτῶν, καὶ πάντα τὰ σκεύη αὐτῶν, καὶ πάντα τὰ λειτουργήματα αὐτῶν, ἐξ ὀ-
νομάτων ὧν σκέψασθε αὐτούς, καὶ πάντα τὰ σκεύη τῆς φυλακῆς ὧν αἰρομένων ὑπ' αὐτῶν.
αὕτη ἡ λειτουργία δήμου υἱῶν μεραρὶ, ἐν πᾶσι τοῖς ὀργάνοις αὐτῶν, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου,
ἐν χειρὶ Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως. καὶ ἐπεσκέψατο Μωϋσῆς καὶ Ἀαρὼν, καὶ οἱ ἄρχον-
τες υἱῶν Ἰσραὴλ τοὺς υἱοὺς Καάθ, κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, ἀπὸ τριάκοντα καὶ
ἐνὸς ἐτῶν καὶ ἐπάνω, ἕως πεντηκοντούτους, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν καὶ ποιεῖν
τὰ ὄργανα τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν κατὰ δήμους αὐτῶν, δι-
σχίλιοι ἑπτακόσιοι πεντήκοντα. αὕτη ἡ ἐπίσκεψις δήμου Καάθ. πᾶς ὁ λειτουργῶν ἐν τῇ σκη-
νῇ τοῦ μαρτυρίου, καθὼς ἐπεσκέψατο Μωϋσῆς, καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου ἐν χειρὶ Μωϋσῆ.
καὶ ἐπεσκέψαντο οἱ υἱοὶ Γεδσὼν ἀπὸ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, ἀπὸ τριάκοντα
καὶ ἐνὸς ἐτῶν καὶ ἐπάνω, ἕως πεντηκοντούτους, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν καὶ ποιεῖν
τὰ ὄργανα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν κατὰ δήμους αὐτῶν, κατ' οἴ-
κους πατριῶν αὐτῶν, διακόσιοι ἑξακόσιοι τριάκοντα. αὕτη ἡ ἐπίσκεψις δήμου υἱῶν Γεδσών,
πᾶς ὁ λειτουργῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, οὓς ἐπεσκέψατο Μωϋσῆς καὶ Ἀαρὼν διὰ φωνῆς
Κυρίου ἐν χειρὶ Μωϋσῆ. ἐπεσκέψαντο δὲ καὶ δήμῳ υἱῶν μεραρὶ κατὰ δήμους αὐτῶν, κατ' οἴ-
κους πατριῶν αὐτῶν, ἀπὸ τριάκοντα καὶ ἐνὸς ἐτῶν καὶ ἐπάνω, ἕως πεντηκοντούτους, πᾶς ὁ εἰσ-
πορευόμενος λειτουργεῖν πρὸς τὰ ὄργανα τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ ἐγένετο ἡ ἐπίσκεψις
τῆς συγγενείας αὐτῶν κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, τρισχίλιοι καὶ διακόσιοι.
αὕτη ἡ ἐπίσκεψις δήμου υἱῶν μεραρὶ, οὓς ἐπεσκέψατο Μωϋσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου
ἐν χειρὶ Μωϋσῆ. πάντες οἱ ἐπεσκεμμένοι οὓς ἐπεσκέψατο Μωϋσῆς καὶ Ἀαρὼν, καὶ οἱ ἄρχον-
τες υἱῶν Ἰσραὴλ τοὺς λευίτας, κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, ἀπὸ τριάκοντα
καὶ ἐνὸς ἐτῶν καὶ ἐπάνω, ἕως πεντηκοντούτους, πᾶς ὁ εἰσπορευόμενος πρὸς τὸ ὄργον τῶν
ὄργων, καὶ τὰ ἔργα τὰ αἰρόμενα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐγένοντο οἱ ἐπεσκεμμένοι, ὀκ-
τακισχίλιοι τριακόσιοι ὀγδοήκοντα, διὰ φωνῆς Κυρίου, ἐπεσκέψατο αὐτοὺς ἐν χειρὶ Μωϋσῆ,
ἄνδρα κατ' ἄνδρα ἐπὶ τῶν ἔργων αὐτῶν, καὶ ἐπὶ ὧν αἴρουσιν αὐτοί, καὶ ἐπεσκέψαντο ὃν τρόπον
συνέταξε Κύριος τῷ Μωϋσῆ.

ΚΕΦΑΛ. ε'. 5.

Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· πρόσταξον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐξαποστειλά
τωσαν ἐκ τῆς παρεμβολῆς πάντα λεπρὸν, καὶ πάντα γονορρυῆ, καὶ πάντα ἀκάθαρτον
ἐπὶ ψυχῇ ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ ἐξαποστέλατε ἔξω τῆς παρεμβολῆς, καὶ οὐ μιανοῦσι τὰς πα-
ρεμβολὰς αὐτῶν, ἐν οἷς ἐγὼ κατασκηνῶ ἐν αὐτοῖς. καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐξε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πέσειλαν αὐτούς ἔξω ϛ παρεμβολῆς, καθὰ ἐλάλησε κύριος τῷ μωϋσεῖ, ὅτως ἐποίησαν οἱ υἱοὶ ἰσραήλ. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ λέγων· ἀνὴρ ἢ γυνὴ ὃς τις ἂν ποιήσῃ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν τῶν ἀνθρωπίνων, καὶ παρεισιὼν παρέσῃ γὼ κυρίῳ, καὶ πλημμελήσῃ ἡ ψυχὴ ἐκείνη, ἐξαγορεύσει τὴν ἁμαρτίαν ἣν ἐποίησε, καὶ ἀποδώσει τὴν πλημμέλειαν τὸ κεφάλαιον, καὶ τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ' αὐτό, καὶ ἀφελεῖται τινι ἐπλημμέλησεν αὐτῷ. ἐὰν δὲ μὴ ᾖ τῷ ἀνθρώπῳ ὁ ἀγχιστεύων, ὥστε ἀφελέσθαι αὐτῷ τὸ πλημμέλημα πρὸς αὐτόν, τὸ πλημμέλημα τὸ ἀφελεσθὲν τῷ κυρίῳ τῷ ἱερεῖ ἔσται, πλὴν τοῦ κριοῦ τοῦ ἱλασμοῦ, οὗ ἐξιλάσεται γὼ αὐτῷ περὶ αὐτοῦ. καὶ πᾶσα ἀπαρχή, καὶ πάντα τὰ ἁγιαζόμενα γὼ υἱοῖς ἰσραὴλ, ὅσα ἐὰν προσφέρωσι κυρίῳ, τῷ ἱερεῖ αὐτῷ ἔσται, καὶ ἑκάστου τὰ ἁγιασμένα αὐτοῦ ἔσται. καὶ ἀνὴρ ὃς ἂν φάγῃ τῷ ἱερεῖ, αὐτῷ ἔσται. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνδρὸς ἀνδρὸς ἐὰν παραβῇ ἡ γυνὴ αὐτοῦ, καὶ ὑπερίδῃται παρίδηται αὐτόν, καὶ κοιμηθῇ τις μετ' αὐτῆς κοίτῃ σπέρματος, καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ ἀνδρὸς αὐτῆς καὶ κρύψῃ, αὐτὴ δὲ ᾖ μεμιασμένη, καὶ μάρτυς μὴ ᾖ κατ' αὐτῆς, καὶ αὐτὴ μὴ ᾖ σωειλημμένη, καὶ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως, καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μεμίανται, ἢ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως, καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μὴ ᾖ μεμιασμένη, καὶ ἄξει ὁ ἄνθρωπος τὴν γυναῖκα αὐτοῦ πρὸς τὸν ἱερέα, καὶ προσοίσει τὸ δῶρον περὶ αὐτῆς τὸ δέκατον τοῦ ὑφὶ ἄλευρον κριθινον, οὐκ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ' αὐτὸ λίβανον. ἔστι γὰρ θυσία ζηλοτυπίας, θυσία μνημοσύνων ἀναμιμνήσκουσα ἁμαρτίαν. καὶ προσάξει αὐτὴν ὁ ἱερεύς, καὶ στήσει αὐτὴν ἔναντι κυρίου, καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἐν ἀγγείῳ ὀστρακίνῳ, καὶ ϛ γῆς ϛ οὔσης ἐπὶ τοῦ ἐδάφους ϛ σκηνῆς τοῦ μαρτυρίου, καὶ λαβὼν ὁ ἱερεὺς ἐμβαλεῖ εἰς τὸ ὕδωρ, καὶ στήσει ὁ ἱερεὺς τὴν γυναῖκα ἔναντι κυρίου, καὶ ἀποπολύνει τὴν κεφαλὴν αὐτῆς ϛ γυναικός, καὶ θήσει ἐπὶ τὰς χεῖρας αὐτῆς τὴν θυσίαν τοῦ μνημοσύνου, τὴν θυσίαν ϛ ζηλοτυπίας. ἐν δὲ τῇ χειρὶ τοῦ ἱερέως ἔσται τὸ ὕδωρ τὸ ἔλεγμὸν τὸ ὠὴν καταρώμενον οὗτος, καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεὺς καὶ ἐρεῖ τῇ γυναικί· εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παρέβης μιανθῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυτῆς, ἀθῴα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ τοῦ ὠὴν καταρωμένου τούτου. εἰ δὲ σὺ παρέβης ὑπανδρος ὤσα, ἢ μεμίανσαι, καὶ ἔδωκέ τις τὴν κοίτην αὐτοῦ ἐν σοί, πλὴν τοῦ ἀνδρός σου, καὶ ὁρκιεῖ ὁ ἱερεὺς τὴν γυναῖκα ἐν τοῖς ὅρκοις ϛ ἀρᾶς ταύτης, καὶ ἐρεῖ ὁ ἱερεὺς τῇ γυναικί· δώη σε κύριος ἐν ἀρᾷ καὶ ἐν ὁρκίῳ ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ δοῦναι κύριον τὸν μηρόν σου ἀπεπτωκότα, καὶ τὴν κοιλίαν σου πεπρησμένην, καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ ὠὴν καταρώμενον οὗτος, εἰς τὴν κοιλίαν σου, πρῆσαι γαστέρα, καὶ ἀπαπεσεῖν μηρόν σου. καὶ ἐρεῖ ἡ γυνή, γένοιτο γένοιτο. καὶ γράψει ὁ ἱερεὺς τὰς ἀρὰς ταύτας εἰς βιβλίον, καὶ ἐξαλείψει εἰς τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ὠὴν καταρωμένου, καὶ ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ὠὴν καταρωμένου. καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τὸ ὠὴν καταρώμενον τοῦ ἐλεγμοῦ. καὶ λήψεται ὁ ἱερεὺς ἐκ χειρὸς ϛ γυναικὸς τὴν θυσίαν ϛ ζηλοτυπίας. καὶ ὠὴν θήσει τὴν θυσίαν ἔναντι κυρίου, καὶ προσοίσει αὐτὴν ὠὴ τὸ θυσιαστήριον. καὶ δραξεῖται ὁ ἱερεὺς ἀπὸ ϛ θυσίας τὸ μνημόσυνον αὐτῆς, καὶ αὐοίσεται αὐτὸ ὁ ἱερεὺς ὠὴ τὸ θυσιαστήριον. καὶ μετὰ ταῦτα ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ, καὶ ἔσται ἐὰν μὴ ᾖ μεμιασμένη, καὶ λήθῃ λάθῃ ἐν ἀνδρὶ αὐτῆς, καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τὸ ἐλεγμὸν τὸ ὠὴ καταρώμενον, καὶ πρωδήσεται τὴν κοιλίαν, καὶ διαπεσεῖται ὁ μηρὸς αὐτῆς, καὶ ἔσται ἡ γυνὴ εἰς ἀρὰν ἐν τῷ λαῷ αὐτῆς. ἐὰν δὲ μὴ μιανθῇ ἡ γυνή, καὶ καθαρὰ ᾖ καὶ ἀθῴα ἔσται, καὶ ἐκσπερματιεῖ σπέρμα. οὗτος ὁ νόμος ϛ ζηλοτυπίας, ᾧ ἂν παραβῇ ἡ γυνὴ ὑπανδρος ὤσα καὶ μιανθῇ, ἢ ἄνθρωπος ὃς ἐὰν ἐπέλθῃ ἐπ' αὐτὸν πνεῦμα ζηλώσεως, καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, καὶ στήσει τὴν γυναῖκα αὐτοῦ ἔναντι κυρίου, καὶ ποιήσει αὐτῇ ὁ ἱερεὺς πάντα τὸν νόμον τοῦτον, καὶ ἀθῷος ἔσται ὁ ἄνθρωπος ἀπὸ ἁμαρτίας, καὶ γυνὴ ἐκείνη λήψεται τὴν ἁμαρτίαν αὐτῆς.

ΚΕΦΑΛ. ϛ'. 6.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ γυνή, ὃς ἂν μεγαλῶς εὔξηται εὐχὴν, ἀφαγνίσασθαι ἁγνείαν κυρίῳ, ἀπὸ οἴνου καὶ σίκερα ἁγνισθήσεται, καὶ ὄξος ἐξ οἴνου, καὶ ὄξος ἐκ σίκερα οὐ πίεται, καὶ ὅσα διατρυγᾶται ἐκ σταφυλῆς οὐ πίεται, καὶ σταφυλὴν προσφάτου, καὶ σταφίδα οὐ φάγεται πάσας τὰς ἡμέρας ϛ εὐχῆς αὐτοῦ, ἀπὸ πάντων ὅσα γίνεται ἐξ ἀμπέλου οἴνου ἀπὸ συμφύλου ἕως γεννήματος οὐ πίεται, οὐδ' οὐ μὴ φάγεται ἐξ αὐτῶν, πάσας τὰς ἡμέρας ϛ προσευχῆς τοῦ ἁγνισμοῦ αὐτοῦ. ξυρὸς οὐκ ἐπελεύσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι ὅσας εὔξατο τῷ κυρίῳ. ἅγιος ἔσται πρέφων κόμην τρίχα κεφαλῆς, πάσας τὰς ἡμέρας ϛ εὐχῆς κυρίου, ὠὴ πάσῃ ψυχῇ τετελευτηκυίᾳ, οὐκ εἰσελεύσεται ἐπὶ πατρὶ καὶ ἐπὶ μητρὶ, καὶ ἐπ' ἀδελφῷ ἐπ' ἀδελφῇ, ὁ μιανθήσεται ἐπ' αὐτοῖς, ἀφθαλμοῦντων αὐτῶν, ὅτι εὐχὴ θεοῦ αὐτοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ ἐπ' αὐτῷ ὕδατι λεφαλῆς αὐτοῦ. πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἅγιον ἔσται τῷ Κυρίῳ. ἐὰν δέ τις θανάτῳ ἀποθάνῃ ἐπ' αὐτῷ ἐξαπίνης παραχρῆμα, μιανθήσεται ἡ λεφαλὴ ζωῆς αὐτοῦ, καὶ ξυρήσεται τὴν λεφαλὴν αὐτοῦ, ἣ ἂν ἡμέρᾳ λαθαρισθῇ. τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρηθήσεται, τῇ ὀγδόῃ οἴσει δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν, πρὸς τὸν ἱερέα, ἐπὶ τὰς θύρας τῆς σκηνῆς τ̃ μαρτυρίου. καὶ ποιήσει ὁ ἱερεὺς, μίαν πρὶ ἁμαρτίας, καὶ μίαν εἰς ὁλοκάυτωμα. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς, περὶ ὧν ἥμαρτε περὶ τῆς ψυχῆς, καὶ ἁγιάσει τὴν λεφαλὴν αὐτοῦ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἧ ἡγιάσθη τῷ Κυρίῳ, πάσας τὰς ἡμέρας τῆς ζωῆς, καὶ προσάξει ἀμνὸν ἐνιαύσιον, εἰς πλημμέλειαν. καὶ αἱ ἡμέραι αἱ πρότερον ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ λεφαλὴ ζωῆς αὐτῶ. κ̀ᾐ οὗτος ὁ νόμος τ̃ ζηλοτύπου, ἣ ἂν ἡμέρᾳ πλησθῇ ἡμέρας ζωῆς αὐτοῦ, προσοίσει αὐτὸς παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προσάξει τὸ δῶρον αὐτοῦ τῷ Κυρίῳ, ἀμνὸν ἐνιαύσιον ἄμωμον ἕνα εἰς ὁλοκάυτωμα, καὶ ἀμνάδα ἐνιαύσιον μίαν ἄμωμον εἰς ἁμαρτίαν, καὶ κριὸν ἕνα ἄμωμον εἰς σωτήριον, καὶ λανοῦν ἀζύμων σεμιδάλεως ἄρτους ἐγκεκαυμένους ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ, καὶ θυσίαν αὐτῶν, καὶ σπονδὰς αὐτῶν. καὶ προσοίσει ὁ ἱερεὺς ἔναντι Κυρίου, καὶ ποιήσει τὸ περὶ ἁμαρτίας αὐτοῦ, καὶ τὸ ὁλοκάυτωμα αὐτοῦ, καὶ τὸν κριὸν ποιήσει θυσίαν σωτηρίου τῷ Κυρίῳ ἐπὶ τῷ λανῷ τῶν ἀζύμων. καὶ ποιήσει ὁ ἱερεὺς τὴν θυσίαν καὶ τὰς σπονδὰς αὐτοῦ. καὶ ξυρήσεται ὁ ἡγιασμένος τὸ ἐν τῇ θύρᾳ τῆς σκηνῆς τοῦ μαρτυρίου τὴν λεφαλὴν τῆς ζωῆς αὐτοῦ, καὶ λήψεται τὰς τρίχας τῶν πώγωνος αὐτοῦ καὶ ἐπιθήσει τὰς τρίχας ἐπὶ τὸ πῦρ, ὃ ἔστιν ὑπὸ τὴν θυσίαν τοῦ σωτηρίου. καὶ λήψεται ὁ ἱερεὺς τὸν βραχίονα ἐφθὸν ἀπὸ τοῦ κριοῦ, καὶ ἄρτον ἕνα ἄζυμον ἀπὸ τοῦ λανοῦ, καὶ λάγανον ἄζυμον ἕν, καὶ ἐπιθήσει ὑπὸ τὰς χεῖρας τοῦ ἡγιασμένου, μετὰ τὸ ξυρήσασθαι αὐτὸν τὴν λεφαλὴν αὐτ̃. καὶ προσοίσει αὐτὰ ὁ ἱερεὺς ἐπίθεμα ζωῆς ἔναντι Κυρίου, ἅγιον ἔσται τῷ ἱερεῖ ἐπὶ τοῦ σπονδείου τοῦ ἐπιθέματος, καὶ ἐπὶ τοῦ βραχίονος τοῦ ἀφαιρέματος. καὶ μετὰ ταῦτα, πίεται ὁ ἡγιασμένος οἶνον. οὗτος ὁ νόμος τοῦ ζηλοτύπου, ὃς ἂν ζήλωσῃ ζῆλον ὕδατος αὐτοῦ τῷ Κυρίῳ πρὸς ζωῆς αὐτοῦ, χωρὶς ὧν ἂν δύνηται ἡ χεὶρ αὐτ̃ κατὰ ζωὴν αὐτοῦ, ἃς ἂν δύνηται κατὰ τὸν νόμον ἁγνείας. κ̀ᾐ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· λάλησον Ἀαρὼν κ̀ᾐ τοῖς υἱοῖς αὐτοῦ λέγων· οὕτως εὐλογήσετε τοὺς υἱοὺς Ἰσραὴλ λέγοντες αὐτοῖς. καὶ ἐπιθήσουσι τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐγὼ Κύριος εὐλογήσω αὐτούς, λέγοντες αὐτοῖς· εὐλογήσαι σε Κύριος, καὶ φυλάξαι σε, ἐπιφάναι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ ἐλεήσαι σε. ἐπάραι Κύριος τὸ πρόσωπον αὐτ̃ ἐπὶ σὲ, καὶ δῴη σοι εἰρήνην. κ̀ᾐ ἐπιθήσουσι τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ, κ̀ᾐ ἐγὼ Κύριος εὐλογήσω αὐτούς.

ΚΕΦΑΛ. ζ'. 7.

ΚΑὶ ἐγένετο τῇ ἡμέρᾳ ἧ συνετέλεσε Μωϋσῆς, ὡς τε ἀναπῆσαι τὴν σκηνὴν, καὶ ἔχρισεν αὐτὴν, καὶ ἡγίασεν αὐτὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυσιαστήριον, καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ ἔχρισεν αὐτὰ, καὶ ἡγίασεν αὐτά. καὶ προσήνεγκαν οἱ ἄρχοντες Ἰσραὴλ οἴκους πατριῶν αὐτῶν. οὗτοι οἱ ἄρχοντες φυλῶν, οὗτοι οἱ παρεστηκότες ἐπὶ τῆς ἀπαριθμήσεως. καὶ ἤνεγκαν τὰ δῶρα αὐτῶν ἔναντι Κυρίου, ἓξ ἁμάξας λαμπηνὰς καὶ δώδεκα βόας, ἅμαξαν παρὰ δύο ἀρχόντων, καὶ μόσχον παρὰ ἑκάστου, καὶ προσήνεγκαν ἔναντι τῆς σκηνῆς. καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν λέγων· λάβε παρ' αὐτῶν, καὶ ἔσονται πρὸς τὰ ἔργα τὰ λειτουργικὰ τῆς σκηνῆς τοῦ μαρτυρίου, κ̀ᾐ δώσεις αὐτὰ τοῖς λευίταις, ἑκάστῳ κατὰ τὴν αὐτοῦ λειτουργίαν. κ̀ᾐ λαβὼν Μωϋσῆς τὰς ἁμάξας κ̀ᾐ τοὺς βόας, ἔδωκεν αὐτὰ τοῖς λευίταις, τὰς δύο ἁμάξας κ̀ᾐ τοὺς τέσσαρας βόας ἔδωκε τοῖς υἱοῖς Γεδσὼν κατὰ τὰς λειτουργίας αὐτῶν. καὶ τὰς τέσσαρας ἁμάξας καὶ τοὺς ὀκτὼ βόας, ἔδωκε τοῖς υἱοῖς Μεραρὶ κατὰ τὰς λειτουργίας αὐτῶν, διὰ χειρὸς Ἰθαμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως. καὶ τοῖς υἱοῖς Καὰθ οὐ δέδωκεν, ὅτι τὰ λειτουργήματα τοῦ ἁγίου ἔχουσιν, ἐπ' ὤμων αἴρουσι αὐτά. καὶ προσήνεγκαν οἱ ἄρχοντες εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου, ἐν τῇ ἡμέρᾳ ἧ ἐλαίσθη αὐτό, καὶ προσήνεγκαν οἱ ἄρχοντες τὰ δῶρα αὐτῶν, ἀπέναντι τοῦ θυσιαστηρίου. κ̀ᾐ εἶπε Κύριος πρὸς Μωϋσῆν· ἄρχων εἷς καθ' ἡμέραν, ἄρχων πρὸς ἡμέραν, προσοίσουσι τὰ δῶρα αὐτῶν, εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου. κ̀ᾐ ἦν ὁ προσφέρων τῇ ἡμέρᾳ τῇ πρώτῃ δῶρον αὐτοῦ, ναασσὼν υἱὸς Ἀμιναδὰβ, ἄρχων ἐν φυλῇ Ἰούδα. κ̀ᾐ προσήνεγκε τὸ δῶρον αὐτοῦ, τροῦλλιον ἀργυροῦν ἕν, πριάκοντα κ̀ᾐ ἑκατὸν ὁλκὴ αὐτῶ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυίσκην μίαν δέκα χρυσοῦν πλήρη

πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον δὲ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον ναθαναὴλ υἱοῦ σωγάρ. Τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἄρχων τῶν υἱῶν ζαβουλὼν ἐλιὰβ, υἱὸς χαιλών. τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυΐσκην μίαν δέκα χρυσῆν πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον δὲ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ εἰς θυσίαν σωτηρίου, δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον ἐλιὰβ υἱὸς χαιλών.

Τῇ ἡμέρᾳ τῇ τετάρτῃ, ἄρχων τῶν υἱῶν ῥουβὴν ἐλισοὺρ, υἱὸς σεδιούρ, τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυΐσκην μίαν δέκα χρυσῆν, πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον δὲ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον ἐλισοὺρ υἱοῦ σεδιούρ. Τῇ ἡμέρᾳ τῇ πέμπτῃ, ἄρχων τῶν υἱῶν συμεών, σαλαμιὴλ, υἱὸς σουρισαδαΐ, τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυΐσκην μίαν δέκα χρυσῆν πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον δὲ αἰγῶν ἕνα περὶ ἁμαρτίας. καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον σαλαμιὴλ υἱοῦ σουρισαδαΐ. Τῇ ἡμέρᾳ τῇ ἕκτῃ, ἄρχων τῶν υἱῶν γὰδ ἐλισάφ, υἱὸς ῥαγουήλ, τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυΐσκην μίαν δέκα χρυσῆν πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον δὲ αἰγῶν ἕνα περὶ ἁμαρτίας. καὶ εἰς θυσίαν σωτηρίου, δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον ἐλισαφ υἱοῦ ῥαγουήλ. Τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἄρχων τῶν υἱῶν ἐφραΐμ, ἐλισαμὰ, υἱὸς σεμιούδ, τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυΐσκην μίαν δέκα χρυσῆν πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον δὲ αἰγῶν ἕνα περὶ ἁμαρτίας. καὶ εἰς θυσίαν σωτηρίου, δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον ἐλισαμὰ υἱοῦ σεμιούδ. Τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἄρχων τῶν υἱῶν μανασσῆ γαμαλιὴλ, υἱὸς φασδασσούρ, τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυΐσκην μίαν δέκα χρυσῆν πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον δὲ αἰγῶν ἕνα περὶ ἁμαρτίας. καὶ εἰς θυσίαν σωτηρίου, δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον γαμαλιὴλ υἱοῦ φασδασσούρ. Τῇ ἡμέρᾳ τῇ ἐνάτῃ ἄρχων τῶν υἱῶν βενιαμεὶν, ἀβιδὰν, υἱὸς γαδεωνί. τὸ δῶρον αὐτοῦ πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυΐσκην μίαν δέκα χρυσῆν, πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας. καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον ἀβιδὰν υἱοῦ γαδεωνί. Τῇ ἡμέρᾳ τῇ δεκάτῃ, ἄρχων τῶν υἱῶν δὰν, ἀχιέζερ, υἱὸς ἀμισαδαΐ, τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν, θυΐσκην μίαν δέκα χρυσῆν, πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας. καὶ εἰς θυσίαν σωτηρίου, δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, ὧν τὸ δῶρον ἀχιέζερ υἱοῦ μισαδαΐ. Τῇ ἡμέρᾳ τῇ ἑνδεκάτῃ, ἄρχων τῶν υἱῶν ἀσὴρ, φαγουήλ, υἱὸς ὀχρὰν, τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτό, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίαν. θυΐσκλω μίαν λίτρα χρυσῶν, πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν γιαύσιον ἕνα εἰς ὁλοκάυτωμα, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας. καὶ εἰς θυσίαν σωτηρίου, σταμναῖας δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας γιαυσίας πέντε, τοῦτο τὸ δῶρον ἀχιὲλ υἱῶ ἐχραὴ. Τῇ ἡμέρᾳ τῇ δωδεκάτῃ ἄρχων τῶν υἱῶν νεφθαλεὶμ, ἀχιρὲ, υἱὸς αἰναὴ, τὸ δῶρον αὐτοῦ, πρυβλίον ἀργυροῦν ἕν, τριακοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεπυημένης ἐν ἐλαίῳ εἰς θυσίαν. θυΐσκλω μίαν λίτρα χρυσῶν πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα γιαύσιον εἰς ὁλοκάυτωμα, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας. καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας γιαυσίας πέντε, τοῦτο τὸ δῶρον ἀχιὲλ υἱῶ ἀνναὴ. Οὕτω ὁ ἐγκαινισμὸς τοῦ θυσιαστηρίου ἐν ἡμέρᾳ ἐχρίσθη αὐτὸ, παρὰ τῶν ἀρχόντων τῶν υἱῶν ἰσραὴλ, πρυβλία ἀργυρᾶ δώδεκα, φιάλαι ἀργυραῖ δώδεκα, θυΐσκαι χρυσαῖ δώδεκα, τριακοντα καὶ ἑκατὸν σίκλων τὸ πρυβλίον τὸ ἕν, καὶ ἑβδομήκοντα σίκλων ἡ φιάλη μία πᾶν τὸ ἀργύριον τῶν σκευῶν, δισχίλιοι καὶ τετρακόσιοι σίκλοι. σίκλοι, κατὰ τὸν σίκλον τὸν ἅγιον. θυΐσκαι χρυσαῖ δώδεκα, πλήρεις θυμιάματος, δίτρα χρυσῶν ἡ θυΐσκη ἐν τῷ σίκλῳ τοῦ ἁγίου, πᾶν τὸ χρυσίον τῶν θυΐσκων εἴκοσι καὶ ἑκατὸν χρυσοῦ. πᾶσαι αἱ βόες εἰς ὁλοκάυτωσιν, μόσχοι δώδεκα, κριοὶ δώδεκα, ἀμνοὶ γιαύσιοι δώδεκα, αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν, καὶ χίμαροι ἐξ αἰγῶν δώδεκα περὶ ἁμαρτίας. πᾶσαι αἱ βόες εἰς θυσίαν σωτηρίου, δαμάλεις εἰκοσιτέσσαρες, κριοὶ ἑξήκοντα, τράγοι ἑξήκοντα γιαῦσιοι, ἀμνάδες γιαύσιοι ἄμωμοι ἑξήκοντα. αὕτη ἡ ἐγκαίνισις τοῦ θυσιαστηρίου, μετὰ τὸ πληρῶσαι τὰς χεῖρας αὐτοῦ, καὶ μετὰ τὸ χρίσαι αὐτὸ, ἐν τῷ εἰσπορεύεσθαι μωϋσῆν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, λαλῆσαι αὐτῷ. καὶ ἤκουσε τὴν φωνὴν κυρίου λαλοῦντος πρὸς αὐτὸν, ἀνωθεν τοῦ ἱλαστηρίου, ὃ ἦν ἐπὶ τῆς κιβωτοῦ τοῦ σκηνῆς τοῦ μαρτυρίου, ἀπὸ μέσου τῶν δύο χερουβεὶμ, καὶ ἐλάλει πρὸς αὐτόν.

ΚΕΦΑΛ. ἡ. 8.

ΚΑὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τῷ ἀαρὼν, καὶ ὄψει πρὸς αὐτόν· ὅταν ἐπιθῇς τοὺς λύχνους ἐκ μέρους, κατὰ πρόσωπον τῆς λυχνίας, φωτιοῦσιν οἱ ἑπτὰ λύχνοι. καὶ ἐποίησεν οὕτως ἀαρών, ἐκ τοῦ ἑνὸς μέρους κατὰ πρόσωπον τῆς λυχνίας ἐξῆψε τοὺς λύχνους αὐτῆς, καθὰ συνέταξε κύριος τῷ μωϋσεῖ. καὶ αὕτη ἡ κατασκευὴ τῆς λυχνίας, σφυρὰ, χρυσῆ, ὁ καυλὸς αὐτῆς. καὶ τὰ κρίνα αὐτῆς, σφυρὰ ὅλη. κατὰ τὸ εἶδος ὃ ἔδειξε κύριος τῷ μωϋσεῖ, οὕτως ἐποίησε τὴν λυχνίαν. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λαβὲ τοὺς λευίτας ἐκ μέσου τῶν υἱῶν ἰσραὴλ, καὶ ἁφαγνιεῖς αὐτούς, καὶ οὕτω ποιήσεις αὐτοῖς τοῦ ἁγνισμοῦ αὐτῶν, πρόσρανεῖς αὐτοὺς ὕδατι ἁγνισμοῦ, καὶ ἐπιξυρήσουσι ξυρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν, καὶ πλυνοῦσι τὰ ἱμάτια αὐτῶν, καὶ καθαροὶ ἔσονται. καὶ λήψονται μόσχον ἕνα ἐκ βοῶν, καὶ τοῦτον θυσίαν σεμίδαλιν ἀναπεπυημένην ἐν ἐλαίῳ, καὶ μόσχον γιαῦσιον ἐκ βοῶν λήψῃ περὶ ἁμαρτίας, καὶ προσάξεις τοὺς λευίτας ἔναντι τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ συνάξεις πᾶσαν συναγωγὴν υἱῶν ἰσραὴλ, καὶ προσάξεις τοὺς λευίτας ἔναντι κυρίου, καὶ ἐπιθήσουσι οἱ υἱοὶ ἰσραὴλ τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς λευίτας, καὶ ἀφοριεῖ ἀαρὼν τοὺς λευίτας ἀπόδομα ἔναντι κυρίου, παρὰ τῶν υἱῶν ἰσραὴλ, καὶ ἔσονται ὡς τὸ ὀργάζεσθαι τὰ ὀργα κυρίῳ. οἱ δὲ λευῖται, ἐπιθήσουσι τὰς χεῖρας ἐπὶ τὰς κεφαλὰς τῶν μόσχων, καὶ ποιήσεις τὸν ἕνα περὶ ἁμαρτίας, καὶ τὸν ἕνα εἰς ὁλοκάυτωμα, ἐξιλάσασθαι περὶ αὐτῶν. καὶ στήσεις τοὺς λευίτας ἔναντι κυρίου, καὶ ἔναντι ἀαρὼν, καὶ ἔναντι τῶν υἱῶν αὐτοῦ, καὶ ἀποδώσεις αὐτοὺς ἀπόδομα κυρίου. καὶ διαστελεῖς τοὺς λευίτας ἐκ μέσου τῶν υἱῶν ἰσραὴλ, καὶ ἔσονταί μοι, καὶ μετὰ ταῦτα εἰσελεύσονται οἱ λευῖται ὀργάζεσθαι τὰ ὀργα τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ καθαριεῖς αὐτοὺς, καὶ ἀποδώσεις αὐτοὺς ἔναντι κυρίου. ὅτι ἀπόδομα ἀποδεδομένον οὗτοί μοι εἰσὶν ἐκ μέσου τῶν υἱῶν ἰσραὴλ, ἀντὶ πάντων διανοιγόντων πᾶσαν μήτραν πρωτοτόκων πάντων ἐκ τῶν υἱῶν ἰσραὴλ, εἴληφα αὐτοὺς ἐμοί. ὅτι ἐμοὶ πᾶν πρωτότοκον ἐν υἱοῖς ἰσραὴλ ἀπὸ ἀνθρώπου ἕως κτήνους, ἐν ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ αἰγύπτῳ, ἡγίασα αὐτοὺς ἐμοί, καὶ ἔλαβον τοὺς λευίτας ἀντὶ παντὸς πρωτοτόκου ἐν υἱοῖς ἰσραὴλ. καὶ ἀπέδωκα τοὺς λευίτας ἀπόδομα διεδομένους ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ, ἐκ μέσου υἱῶν ἰσραὴλ, ὀργάζεσθαι τὰ ὀργα τῶν υἱῶν ἰσραὴλ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἐξιλάσασθαι περὶ τῶν υἱῶν ἰσραὴλ, καὶ οὐκ ἔσται ἐν τοῖς υἱοῖς ἰσραὴλ προσεγγίζων πρὸς τὰ ἅγια. καὶ ἐποίησε μωϋσῆς καὶ ἀαρὼν, καὶ πᾶσα ἡ συναγωγὴ υἱῶν ἰσραὴλ τοῖς λευίταις, κατὰ πάντα ἐνετείλατο κύριος τῷ μωϋσεῖ περὶ τῶν λευιτῶν, οὕτως ἐποίησαν αὐτοῖς οἱ υἱοὶ ἰσραὴλ. καὶ ἁγνίσαντο οἱ λευῖται, καὶ ἔπλυναν τὰ ἱμάτια αὐτῶν, καὶ ἀπέδωκεν αὐτοὺς ἀαρὼν ἀπόδομα ἔναντι κυρίου, καὶ ἐξιλάσατο περὶ αὐτῶν ἀαρὼν, ἀφαγνίζεσθαι αὐτούς. καὶ μετὰ ταῦτα εἰσῆλθοσαν οἱ λευῖται λειτουργεῖν τὴν λειτουργίαν αὐτῶν, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἔναντι ἀαρὼν, καὶ ἔναντι τῶν υἱῶν αὐτοῦ, καθὰ συνέταξε κύριος τῷ μωϋσεῖ περὶ τῶν λευιτῶν, οὕτως ἐποίησαν αὐτοῖς. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων·

τοῦτό

τοῦτό ἐστι τὸ πρὶ τοῦ λύει. ἀπὸ πρώτης καὶ εἰκοστῆς καὶ ἑπτακοσίου, εἰσελθόντων, λειτουργεῖν λειτουργίαν ἐν σκηναῖς, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἀπὸ πρωτογενήματος ἀποκόσμου τοῦ ἀπὸ τῆς λειτουργίας, καὶ οὐχὶ ὀργᾶται ἔτι. καὶ λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου φυλάσσειν φυλακάς, ὀργὰ δὲ οὐκ ὀργᾶται. οὕτως ποιήσεις τοῖς λοιπὸς ἐν ταῖς φυλακαῖς αὐτῶν.

ΚΕΦΑΛ. ϛ'. 9.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν ἐν τῇ ὀρήμῳ σινᾶ, ἐν τῷ ἔτει τῷ δευτέρῳ, ἐξελθόντων αὐτῶν ἐκ γῆς αἰγύπτου, ἐν τῷ μηνὶ τῷ πρώτῳ, λέγων· καὶ ποιήσουσιν οἱ υἱοὶ ἰσραὴλ τὸ πάσχα, καθ' ὥραν αὐτοῦ, τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου πρὸς ἑσπέραν, καὶ ποιήσεις αὐτὸ κατὰ καιρὸν αὐτοῦ, κατὰ τὸν νόμον αὐτοῦ, καὶ κατὰ τὸν σύγκρισιν αὐτοῦ ποιήσεις αὐτό. καὶ ἐλάλησε μωϋσῆς τοῖς υἱοῖς ἰσραὴλ ποιῆσαι τὸ πάσχα, ἐν ἀρχομένου τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἐν τῇ ὀρήμῳ τοῦ σινᾶ, κατὰ πάντα ἔταξε κύριος τῷ μωϋσῆ, οὕτως ἐποίησαν οἱ υἱοὶ ἰσραήλ. καὶ παρεγένοντο οἱ ἄνδρες οἱ ἥψαντο ἀκαθάρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, καὶ οὐκ ἠδύναντο ποιῆσαι τὸ πάσχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ προσῆλθον ἐναντίον μωϋσῆ καὶ ἀαρὼν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ εἶπαν οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐτούς· ἡμεῖς ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, μὴ οὖν ὑστερήσωμεν, ὥστε τοῦ προσενεγκαι τὸ δῶρον κυρίου κατὰ καιρὸν αὐτοῦ, ἐν μέσῳ υἱῶν ἰσραήλ. καὶ εἶπεν πρὸς αὐτοὺς μωϋσῆς, στῆτε αὐτοί, καὶ ἀκούσομαι τί ἐντελεῖται κύριος περὶ ὑμῶν. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ λέγων· ἄνθρωπος ἄνθρωπος ὃς ἐὰν γένηται ἀκάθαρτος ἐπὶ ψυχῇ ἀνθρώπου, ἢ ἐν ὁδῷ μακρᾷ, ἢ ἐν ὑμῖν, ἢ ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει τὸ πάσχα τῷ κυρίῳ ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, πρὸς ἑσπέραν ποιήσουσιν αὐτό, ἐπὶ ἀζύμων καὶ πικρίδων φαγονται αὐτό. οὐ καταλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ, καὶ ὀστοῦν οὐ συντρίψουσιν ἀπ' αὐτοῦ, κατὰ πάντα τὸν νόμον τοῦ πάσχα ποιήσουσιν αὐτό. καὶ ἄνθρωπος ὃς ἐὰν καθαρὸς ᾖ, καὶ ἐν ὁδῷ μακρᾷ οὐκ ἔστι, καὶ ὑστερήσῃ ποιῆσαι τὸ πάσχα, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, ὅτι δῶρον κυρίου οὐ προσήνεγκε κατὰ τὸν καιρὸν αὐτοῦ, ἁμαρτίαν αὐτὸς λήψεται ὁ ἄνθρωπος ἐκεῖνος. ἐὰν δὲ προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ἐν τῇ γῇ ὑμῶν, καὶ ποιήσει τὸ πάσχα κυρίῳ κατὰ τὸν νόμον τοῦ πάσχα, καὶ κατὰ τὸ σύνταξιν αὐτοῦ, οὕτω ποιήσει αὐτό. νόμος εἷς ἔσται ἐν ὑμῖν, καὶ τῷ προσηλύτῳ καὶ τῷ αὐτόχθονι τῆς γῆς. καὶ τῇ ἡμέρᾳ ἡ ἐστάθη ἡ σκηνή, ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνῆς, καὶ τὸν οἶκον τοῦ μαρτυρίου, καὶ τὸ ἑσπέρας ἦν ἐπὶ τῆς σκηνῆς, ὡς εἶδος πυρός, ἕως πρωΐ. οὕτως ἐγίνετο διὰ παντός, ἡ νεφέλη ἐκάλυπτεν αὐτὴν ἡμέρας, καὶ εἶδος πυρὸς τὴν νύκτα. καὶ ἡνίκα ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς, καὶ μετὰ ταῦτα ἀπῆραν οἱ υἱοὶ ἰσραήλ. καὶ ἐν τῷ τόπῳ οὗ ἔστη ἡ νεφέλη, ἐκεῖ παγιοῦσιν οἱ υἱοὶ ἰσραήλ. διὰ προσάγματος κυρίου παγιοῦσιν οἱ υἱοὶ ἰσραήλ, διὰ προσάγματος κυρίου ἀπάξουσι πάσας τὰς ἡμέρας, ἐν αἷς σκιάζει ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς, παγιοῦσιν οἱ υἱοὶ ἰσραήλ, καὶ ὅταν ἐφέλκηται ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς ἡμέρας πλείους. καὶ φυλάξονται οἱ υἱοὶ ἰσραὴλ τὴν φυλακὴν τοῦ θεοῦ, καὶ οὐ μὴ ἐξάρωσιν. καὶ ἔσται, ὅταν σκεπάζῃ ἡ νεφέλη ἡμέρας ἀριθμῷ ἐπὶ τῆς σκηνῆς, διὰ φωνῆς κυρίου παγιοῦσι, καὶ διὰ προσάγματος κυρίου ἐξάρουσι. καὶ ἔσται ὅταν γένηται ἡ νεφέλη ἀφ' ἑσπέρας ἕως τὸ πρωΐ, καὶ ἀναβῇ ἡ νεφέλη τὸ πρωΐ, καὶ ἀπάρουσιν ἡμέρας ἢ νυκτός. καὶ ἐὰν ἀναβῇ ἡ νεφέλη, ἀπάρουσιν ἡμέρας, ἢ μῆνας ἡμέρας πλεονάζουσης, ἐπὶ τῆς νεφέλης σκιαζούσης ἐπ' αὐτοῖς, παγιοῦσιν οἱ υἱοὶ ἰσραήλ, καὶ οὐ μὴ ἀπάρωσιν. ἐν τῷ ἀναχθῆναι αὐτήν, ἐξῆραν, ὅτι διὰ προσάγματος κυρίου παγιοῦσι, καὶ διὰ προσάγματος κυρίου ἐξάρουσι. τὴν φυλακὴν κυρίου ἐφύλαξαν διὰ προσάγματος κυρίου, ἐν χειρὶ μωϋσῆ.

ΚΕΦΑΛ. ι'. 10.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ποίησον σεαυτῷ δύο σάλπιγγας ἀργυρᾶς, ἐλατὰς ποιήσεις αὐτάς, καὶ ἔσονταί σοι ἀνακαλεῖν τὴν συναγωγήν, καὶ ἐξαίρειν τὰς παρεμβολάς, καὶ σαλπίσεις ἐν αὐταῖς, καὶ συναχθήσεται πρὸς σὲ πᾶσα ἡ συναγωγὴ, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. ἐὰν δὲ ἐν μιᾷ σάλπιγγι σαλπίσωσι, προσελεύσονται πρὸς σὲ οἱ ἄρχοντες καὶ χιλίαρχοι ἰσραήλ, καὶ σαλπιεῖτε σημασίαν. καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι ἐν πρώτοις, καὶ σαλπιεῖτε σημασίαν δευτέραν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι νότον. καὶ σαλπιεῖτε σημασίαν τρίτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι παρὰ θάλασσαν. καὶ σαλπιεῖτε σημασίαν τετάρτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ, αἱ παρεμβάλλουσαι πρὸς βορρᾶν, σημασίᾳ σαλπιοῦσιν ἐπὶ τῇ ἐξαρσει αὐτῶν. καὶ ὅταν συναγάγητε τὴν συναγωγὴν, σαλπιεῖτε, καὶ οὐ σημασίᾳ. καὶ οἱ υἱοὶ ἀαρὼν οἱ ἱερεῖς σαλπιοῦσιν ἐν ταῖς σάλπιγξι, καὶ ἔσαι ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. ἐὰν δὲ ἐξέλθητε εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν πρὸς τὸν ἀντικείμενον τοὺς θλίβοντας ὑμᾶς, καὶ σαλπιεῖτε, καὶ σημανεῖτε ταῖς σάλπιγξι, καὶ ἀνα-

καὶ ἀναμνησθήσεσθε γἀντι Κυρίου, καὶ σωθήσεσθε ἀπὸ τῶν ἐχθρῶν ὑμῶν. καὶ γὰ τὰς ἡμέρας τῆς εὐφροσύνης ὑμῶν, καὶ γὰ τὰς ἑορτὰς ὑμῶν, καὶ γὰ τὰς νουμηνίας ὑμῶν, σαλπιεῖτε σάλπιγξιν ἐπὶ τοῖς ὁλοκαυτώμασι, καὶ ἐπὶ τὰς θυσίας τῶν σωτηρίων ὑμῶν, καὶ ἔσαι ὑμῖν ἀνάμνησις γἀντίον τοῦ θεοῦ ὑμῶν. ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν. καὶ ἐγένετο γὰ τῷ γἀντι τῷ δευτέρῳ γὰ τῷ μηνὶ τῷ δευτέρῳ ἐν καιρῷ τοῦ μηνός, ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ὀφθῆναι οἱ υἱοὶ ἰσραὴλ, σὺν ἀπαρτίαις αὐτῶν, γὰ τῇ ἐρήμῳ τοῦ σινᾶ, καὶ ἔστη ἡ νεφέλη γὰ τῇ ὀρήμῳ τοῦ φαράν. καὶ ὀφθῆναι πρῶτοι διὰ φωνῆς Κυρίου γὰ χειρὶ μωϋσῆ, τοῦ ὀφθῆναι τάγματα παρεμβολῆς τῶν υἱῶν ἰούδα πρῶτοι σὺν δυνάμει αὐτῶν, καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν ναασσὼν υἱὸς ἀμιναδὰβ. καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν ἰσσαχὰρ, ναθαναὴλ υἱὸς σωγάρ. καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν ζαβουλών, ἐλιὰβ υἱὸς χαιλών. καὶ καθελοῦσι τὴν σκηνὴν, καὶ ὀφέρουσιν οἱ υἱοὶ γερσών, καὶ οἱ υἱοὶ μεραρὶ οἱ αἴροντες τὴν σκηνήν. καὶ ὀφῆραν τάγμα παρεμβολῆς ῥουβὴν σὺν δυνάμει αὐτῶν, καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν ἐλισοὺρ υἱὸς σεδιούρ. καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν συμεών, σαλαμιὴλ υἱὸς σουρισαδαΐ. καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν γὰδ, ἐλισὰφ ὁ τοῦ ῥαγουὴλ. καὶ ὀφέρουσιν οἱ υἱοὶ καὰθ αἴροντες τὰ ἅγια, καὶ ἵστασουσι τὴν σκηνὴν ἕως παραγένωνται. καὶ ὀφέρουσι τάγμα παρεμβολῆς ἐφραὶμ σὺν δυνάμει αὐτῶν, καὶ ὑπὲρ τῆς δυνάμεως αὐτῶν ἐλισαμὰ υἱὸς σεμιούδ, καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν μανασσῆ γαμαλιὴλ ὁ τοῦ φεδασσούρ, καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν βενιαμὶν ἀβιδαὰν υἱὸς γαδεωνί. καὶ ὀφέρουσι τάγματα παρεμβολῆς υἱῶν δαὰν, ἔσχατοι πασῶν τῶν παρεμβολῶν σὺν δυνάμει αὐτῶν, καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν, ἀχιεζὲρ ὁ τοῦ ἀμισαδαΐ. καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν ἀσὴρ, φαγαὴλ υἱὸς ἐχραάν. καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν νεφθαλείμ, ἀχιρὲ υἱὸς αἰνάν. οὕτως αἱ τράπαι υἱῶν ἰσραὴλ. καὶ ὀφῆραν σὺν δυνάμει αὐτῶν. καὶ εἶπε μωϋσῆς τῷ ἰωβὰβ υἱῷ ῥαγουὴλ τῷ μαδιανίτῃ γαμβρῷ μωϋσῆ, ὀδεύομεν ἡμεῖς εἰς τὸν τόπον ὃν εἶπε Κύριος, δώσω ὑμῖν, δεῦρο μεθ' ἡμῶν, καὶ οὐ σε ποιήσομεν, ὅτι Κύριος ἐλάλησε καλὰ πρὸς ἰσραήλ. καὶ εἶπε πρὸς αὐτὸν, οὐ πορεύσομαι, ἀλλ' ἢ εἰς τὴν γῆν μου καὶ εἰς τὴν γενεάν μου. καὶ εἶπε, μὴ ἐγκαταλίπῃς ἡμᾶς· ἕνεκεν γὰρ τούτου ἐν ἡμῖν γὰ τῇ ὁρήμῳ, καὶ ἔσῃ γὰ ἡμῖν πρόδρομος. καὶ ἔσαι ἐὰν πορευθῇς μεθ' ἡμῶν, καὶ ἔσαι τὰ ἀγαθὰ ἐκεῖνα ὅσα ἂν ἀγαθοποιήσῃ Κύριος ὑμᾶς, οὕτως ποιήσομεν. καὶ ὀφῆραν ἐκ τοῦ ὄρους Κυρίου, ὁδὸν τριῶν ἡμερῶν, καὶ ἡ διαθήκη κυρίου πορευομένη πρὸ προσώπου αὐτῶν ὁδὸν τριῶν ἡμερῶν, κατασκέψασθαι αὐτοῖς ἀνάπαυσιν. καὶ ἐγένετο γὰ τῷ ὀφαίρειν τὴν διαθήκην, καὶ εἶπε μωϋσῆς, ὀφέγερθητι Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν πάντες οἱ μισοῦντές σε. καὶ γὰ τῇ καταπαύσει εἶπεν, ἐπίστρεφε Κύριε χιλιάδας μυριάδας γὰ τῷ ἰσραήλ, καὶ ἡ νεφέλη ἐγένετο σκιάζουσα ἐπ' αὐτοὺς ἡμέρας γὰ τῷ ὀφαίρειν αὐτοὺς ἐκ τῆς παρεμβολῆς.

ΚΕΦΑΛ. ιαʹ. 11.

Καὶ ἦν ὁ λαὸς γογγύζων πονηρὰ γἀντι Κυρίου, καὶ ἤκουσε Κύριος καὶ ἐθυμώθη ὀργῇ, καὶ ὀφλέγησεν γὰ αὐτοῖς πῦρ παρὰ Κυρίου, καὶ κατέφαγε μέρος τι τῆς παρεμβολῆς, καὶ ἐκέκραξεν ὁ λαὸς πρὸς μωϋσῆν. καὶ προσηύξατο μωϋσῆς πρὸς Κύριον, καὶ ἐκόπασε τὸ πῦρ. καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου ἐμπυρισμός, ὅτι ὀφλέγησεν γὰ αὐτοῖς παρὰ Κυρίου, καὶ ὁ ἐπίμικτος ὁ γὰ αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίαν, καὶ καθίσαντες ἔκλαιον καὶ οἱ υἱοὶ ἰσραὴλ, καὶ εἶπαν τίς ἡμᾶς ψωμιεῖ κρέα; ἐμνήσθημεν τῶν ἰχθύων οὓς ἐδίομεν γὰ γῇ Αἰγύπτῳ δωρεάν, καὶ τῶν σικύων, καὶ τῶν πεπόνων, καὶ τῶν πράσων, καὶ τῶν κρομμύων, καὶ τῶν σκορόδων, νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος, οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ὑμῶν. τὸ δὲ μάννα, ὡσεὶ σπέρμα κορίου ὅστι, καὶ τὸ εἶδος αὐτοῦ ὡς εἶδος λιβανωτοῦ. καὶ διεπορεύετο ὁ λαὸς καὶ συνέλεγον, καὶ ἔκλεον αὐτὸ γὰ τῷ ἐμυλῶνι. καὶ ἔτριβον γὰ τῇ θυείᾳ, καὶ ἤψουν αὐτὸ γὰ τῇ χύτρᾳ, καὶ ἐποίουν αὐτὸ ἐγκρυφίας. καὶ ἦν ὁ ἄλουν αὐτοῦ, ὡσεὶ γεῦμα ἐγκρὶς ὀλαίου. καὶ ὅταν κατέβῃ ἡ δρόσος ὠδὶ τὴν παρεμβολὴν νυκτὸς, κατέβαινε τὸ μάννα ἐπ' αὐτὴν, καὶ ἤκουσε μωϋσῆς κλαιόντων αὐτῶν κατὰ δήμους αὐτῶν, ἕκαστον ἐπὶ τῇ θύρας αὐτοῦ, καὶ ἐθυμώθη ὀργῇ Κύριος σφόδρα, καὶ ἔναντι μωϋσῆ ἦν πονηρόν. καὶ εἶπε μωϋσῆς πρὸς Κύριον· ἵνατί ἐκάκωσας τὸν δοῦλόν σου, καὶ διατί οὐχ εὕρηκα χάριν ἐνώπιόν σου, ὥστε θεῖναι τὴν ὀργὴν τοῦ λαοῦ τούτου ἐπ' ἐμέ; μὴ ἐγὼ ἐγκύησα πάντα τὸν λαὸν τοῦτον, ἢ ἐγὼ ἔτεκον αὐτούς; ὅτι λέγεις μοι, λάβε αὐτοὺς εἰς τὸν κόλπον σου, ὡσεὶ αἴρει τιθηνὸς τὸ θηλάζοντα εἰς τὴν γῆν, ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν; πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ, ὅτι κλαίουσιν ἐπ' ἐμὲ λέγοντες· δὸς ἡμῖν κρέα ἵνα φάγωμεν, οὐ δυνήσομαι ἐγὼ μόνος φέρειν τὸν λαὸν τοῦτον, ὅτι βαρύ μοι ὅστι τὸ ῥῆμα τοῦτο. εἰ δ' οὕτως σὺ ποιεῖς μοι, ἀπόκτεινόν με αὐαιρέσει, εἰ εὕρηκα ἔλεος παρὰ σοί, ἵνα μὴ ἴδω τὴν κακωσίν μου. καὶ εἶπε Κύριος πρὸς μωϋσῆν. συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων ἰσραὴλ οὓς σὺ αὐτὸς οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι τοῦ λαοῦ καὶ γραμματεῖς αὐτῶν, καὶ ἄξεις αὐτοὺς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ, καὶ καταβήσομαι, καὶ λαλήσω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λήσω ἐκεῖ μετὰ σοῦ, καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ὄντος ἐπὶ σοί, καὶ ἐπιθήσω ἐπ' αὐτούς, καὶ συναντιλήψονται μετὰ σοῦ τὸν ὁρμὸν τοῦ λαοῦ, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος, καὶ ὁ λαὸς ὁρᾷς· ἀγνίσασθε εἰς τὴν αὔριον καὶ φάγεσθε κρέα, ὅτι ἐκλαύσατε ἐναντίον κυρίου, λέγοντες· τίς ἡμᾶς ψωμιεῖ κρέα, ὅτι καλὸν ἦμιν ἐστιν ἐν αἰγύπτῳ. καὶ δώσει κύριος ὑμῖν φαγεῖν κρέα, καὶ φάγεσθε κρέα, οὐχ ἡμέραν μίαν φάγεσθε, οὐδὲ δύο, οὐδὲ πέντε ἡμέρας, οὐδὲ δέκα ἡμέρας, οὐδὲ εἴκοσι ἡμέρας, ἕως μηνὸς ἡμερῶν φάγεσθε, ἕως ἂν ἐξέλθῃ ἐκ τῶν μυκτήρων ὑμῶν, καὶ ἔσται ὑμῖν εἰς χολέραν, ὅτι ἠπειθήσατε κυρίῳ ὃς ἐστιν ἐν ὑμῖν, καὶ ἐκλαύσατε ἐναντίον αὐτοῦ λέγοντες· ἵνα τί ἡμῖν ἐξελθεῖν ἐξ αἰγύπτου; καὶ εἶπε Μωϋσῆς· ἑξακόσιαι χιλιάδες πεζῶν ὁ λαός, ἐν οἷς εἰμὶ ἐν αὐτοῖς. καὶ σὺ εἶπας, κρέα δώσω αὐτοῖς, καὶ φάγονται μῆνα ἡμερῶν; μὴ πρόβατα καὶ βόες σφαγήσονται αὐτοῖς, ἢ πᾶν τὸ ὄψος τῆς θαλάσσης συναχθήσεται αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς; καὶ εἶπε κύριος πρὸς Μωϋσῆν· μὴ ἡ χεὶρ τοῦ κυρίου ἐγί ἐξαρκέσει; νῦν γνώσῃ, εἰ σοὶ καταλήψεται σε ὁ λόγος μου. καὶ ἐξῆλθε Μωϋσῆς καὶ ἐλάλησε πρὸς τὸν λαὸν τὰ ῥήματα τοῦ κυρίου, καὶ συνήγαγεν ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς σκηνῆς. καὶ κατέβη κύριος ἐν νεφέλῃ καὶ ἐλάλησε πρὸς αὐτόν· καὶ παρέλαβε ἀπὸ τοῦ πνεύματος τοῦ ἐπ' αὐτῷ, καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέρους. ὡς δὲ ἐπανεπαύσατο ἐπ' αὐτοὺς τὸ πνεῦμα, καὶ προεφήτευσαν, καὶ οὐκ ἔλαβον προσθεῖναι. καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ Ἐλδάδ, καὶ ὄνομα τῷ δευτέρῳ Μωδάδ, καὶ ἐπανεπαύσατο ἐπ' αὐτοῖς τὸ πνεῦμα, καὶ οὗτοι ἦσαν ἐν τοῖς καταγεγραμμένοις, καὶ οὐκ ἦλθον εἰς τὴν σκηνήν, καὶ προεφήτευον ἐν τῇ παρεμβολῇ. καὶ προσδραμὼν ὁ νεανίσκος, ἀπήγγειλε τῷ Μωϋσεῖ, καὶ εἶπε λέγων· Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ. καὶ ἀποκριθεὶς Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὁ παρεστηκὼς Μωϋσεῖ ὁ ἐκλεκτὸς αὐτοῦ, εἶπε· κύριέ μου Μωϋσῆ, κώλυσον αὐτούς. καὶ εἶπε Μωϋσῆς αὐτῷ· μὴ ζηλοῖς σύ μοι; καὶ τίς δώη πάντα τὸν λαὸν κυρίου προφήτας, ὅταν δῷ κύριος τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτούς. καὶ ἀπῆλθε Μωϋσῆς εἰς τὴν παρεμβολὴν αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραήλ, καὶ πνεῦμα ἐξῆλθε παρὰ κυρίου, καὶ ἐξεπόρευσεν ὀρτυγομήτραν ἀπὸ τῆς θαλάσσης, καὶ ἐπέβαλεν ἐπὶ τὴν παρεμβολὴν ὁδὸν ἡμέρας ὧδε κύκλῳ, καὶ ὁδὸν ἡμέρας ὧδε κύκλῳ, κύκλῳ τῆς παρεμβολῆς, ὡσεὶ δίπηχυν ἀπὸ τῆς γῆς. καὶ ἀνέστη ὁ λαὸς ὅλην τὴν ἡμέραν, καὶ ὅλην τὴν νύκτα, καὶ ὅλην τὴν ἡμέραν τὴν ἐπαύριον, συνήγαγον τὴν ὀρτυγομήτραν, ὁ μὲν ὀλίγον, συνήγαγε δέκα κόρους. καὶ ἔψυξαν ἑαυτοῖς ψυγμοὺς κύκλῳ τῆς παρεμβολῆς. τὰ κρέα ἔτι ὄντα ἐν τοῖς ὀδοῦσιν αὐτῶν, πρὶν ἐκλείψειν. καὶ κύριος ἐθυμώθη σφόδρα εἰς τὸν λαόν, καὶ ἐπάταξε κύριος ἐν τῷ λαῷ πληγὴν μεγάλην σφόδρα. καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, μνήματα τῆς ἐπιθυμίας, ὅτι ἐκεῖ ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμητήν, ἀπὸ μνημάτων τῆς ἐπιθυμίας ἐξῆρεν ὁ λαὸς εἰς Ἀσηρώθ, καὶ ἐγένετο ὁ λαὸς ἐν Ἀσηρώθ.

ΚΕΦΑΛ. ιε'. 12.

Καὶ ἐλάλησε Μαριὰμ καὶ Ἀαρὼν κατὰ Μωϋσῆ, ἕνεκεν τῆς γυναικὸς τῆς Αἰθιοπίσσης, ἣν ἔλαβε Μωϋσῆς, ὅτι γυναῖκα Αἰθιόπισσαν ἔλαβε, καὶ εἶπαν· μὴ Μωϋσεῖ μόνῳ ἐλάλησε κύριος; οὐχὶ καὶ ἡμῖν ἐλάλησε; καὶ ἤκουσε κύριος. καὶ ὁ ἄνθρωπος Μωϋσῆς πρᾶος σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ τῆς γῆς. καὶ εἶπε κύριος παραχρῆμα πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ Μαριάμ· ἐξέλθετε ὑμεῖς οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου. καὶ ἐξῆλθον οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ κατέβη κύριος ἐν στύλῳ νεφέλης, καὶ ἔστη ἐπὶ θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐκλήθησαν Ἀαρὼν καὶ Μαριάμ, καὶ ἐξῆλθον ἀμφότεροι, καὶ εἶπε πρὸς αὐτούς· ἀκούσατε τῶν λόγων μου. ἐὰν γένηται προφήτης ὑμῶν κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ, οὐχ οὕτως ὁ θεράπων μου Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστι; στόμα κατὰ στόμα λαλήσω αὐτῷ ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων, καὶ τὴν δόξαν κυρίου εἶδε. καὶ διατί οὐκ ἐφοβήθητε λαλῆσαι κατὰ τοῦ θεραπεύοντός μου Μωϋσῆ; καὶ ὀργὴ θυμοῦ κυρίου ἐπ' αὐτούς, καὶ ἀπῆλθον, καὶ ἡ νεφέλη ἀπέστη ἀπὸ τῆς σκηνῆς, καὶ ἰδοὺ Μαριὰμ λεπρὰ ὡσεὶ χιών. καὶ ἐπέβλεψεν Ἀαρὼν πρὸς Μαριάμ, καὶ ἰδοὺ λεπρώσασα, καὶ εἶπεν Ἀαρὼν πρὸς Μωϋσῆν, δέομαί σου κύριε, μὴ στήσῃς ἡμῖν ἁμαρτίαν, διότι ἠγνοήσαμεν, καθ' ὅτι ἐμάνημεν, μὴ γένηται ὡσεὶ ἴσον θανάτῳ, ὡσεὶ ἔκπτωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός, καὶ κατεσθίει τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς. καὶ ἐβόησε Μωϋσῆς πρὸς κύριον λέγων· ὁ θεός δέομαί σε, ἴασαι αὐτήν. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν· εἰ ὁ πατὴρ αὐτῆς ἔπτυσεν ἐν τῷ προσώπῳ αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας ἀφορισθήτω ἔξω τῆς παρεμβολῆς, καὶ μετὰ ταῦτα εἰσελθέτω. καὶ ἀφωρίσθη Μαριὰμ ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας, καὶ ὁ λαὸς οὐκ ἐξῆρεν, ἕως ἐκαθαρίσθη ἡ Μαριάμ. καὶ μετὰ ταῦτα ἐξῆρεν ὁ λαὸς ἐξ Ἀσηρώθ, καὶ παρενέβαλον ἐν τῇ ὁρήμῳ τοῦ Φαράν. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων· ἀπόστειλον σεαυτῷ ἄνδρας, καὶ κατασκεψάσθωσαν τὴν γῆν Χαναναίων, ἣν ἐγὼ δίδωμι

τοῖς

τοῖς υἱοῖς Ισραὴλ εἰς κατάσχεσιν. ἄνδρα ἕνα κατὰ φυλήν, κατὰ οἴκους πατριῶν αὐτῶν ἀποστελεῖς αὐτούς, πάντα ἀρχηγὸν ἐξ αὐτῶν. καὶ ἐξαπέστειλεν αὐτοὺς μωϋσῆς ἐκ τῆς ἐρήμου φαραὶ ἀπὸ φωνῆς λυρίτ. πάντες ἄνδρες ἀρχηγοὶ υἱῶν Ισραὴλ οὗτοι, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν. τῆς φυλῆς ῥουβήν, σαμμὺλ υἱὸς ζακχούρ. τῆς φυλῆς συμεών, σαφὰτ υἱὸς σουρί. τῆς φυλῆς ἰούδα, χάλεβ υἱὸς ἰεφοννή. τῆς φυλῆς ἰσσαχάρ, ἰγὰλ υἱὸς ἰωσήφ. τῆς φυλῆς ἐφραίμ, αὐσῆς υἱὸς ναυή. τῆς φυλῆς βενιαμείν, φαλτὶ υἱὸς ῥαφοῦ. τῆς φυλῆς ζαβουλών, γοδιὴλ υἱὸς σουδί. τῆς φυλῆς ἰωσὴφ τῶν υἱῶν μανασσῆ, γαδιὴλ υἱὸς σουσί. τῆς φυλῆς δαν, ἀμιὴλ υἱὸς γαμαλί. τῆς φυλῆς ἀσήρ, σαθούρ, υἱὸς μιχαήλ. τῆς φυλῆς νεφθαλείμ, νααβὶ, υἱὸς σαβί. τῆς φυλῆς γάδ, γοδιὴλ υἱὸς μαχί. ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν οὓς ἀπέστειλε μωϋσῆς κατασκέψασθαι τὴν γῆν. καὶ ἐπωνόμασε μωϋσῆς τὸν αὐσὴ υἱὸν ναυή, ἰησοῦν. καὶ ἀπέστειλεν αὐτοὺς μωϋσῆς ἐκ τῆς ἐρήμου φαραὶ, κατασκέψασθαι τὴν γῆν χαναάν. καὶ εἶπε πρὸς αὐτούς. ἀνάβητε ταύτῃ τῇ ἐρήμῳ, καὶ ἀναβήσεσθε εἰς τὸ ὄρος, καὶ ὄψεσθε τὴν γῆν τίς ἐστι, καὶ τὸν λαὸν τὸν ἐγκαθήμενον ἐπ' αὐτῆς εἰ ἰσχυρός ἐστιν ἢ ἀσθενής, εἰ ὀλίγοι εἰσὶν ἢ πολλοί, καὶ τίς ἡ γῆ εἰς ἣν οὗτοι ἐγκάθηνται ἐπ' αὐτῆ, ἡ καλή ἐστιν, ἢ πονηρά, καὶ τίνες αἱ πόλεις ἃς οὗτοι κατοικοῦσιν ἐν αὐταῖς, εἰ ἐν τειχίσεσιν, ἢ ἐν ἀτειχίστοις, καὶ τίς ἡ γῆ, ἢ πίων, ἢ παρειμένη, εἰ ἔστιν ἐν αὐτῇ δένδρα ἢ ὄ. καὶ προσκαρτερήσαντες, λήψεσθε ἀπὸ τῶν καρπῶν τῆς γῆς, καὶ αἱ ἡμέραι ἡμέραι ἐαρ. πρόσωμοι σαφυλῆς. καὶ ἀναβάντες κατεσκέψαντο τὴν γῆν ἀπὸ τῆς ἐρήμου σὶν, ἕως ῥοὼβ, εἰσπορευομένων ἀμαθ. καὶ ἀνέβησαν ἐν τῇ νότῳ, καὶ ἀφῆλθον ἕως χεβρών, καὶ ἐκεῖ ἀχιμαὶ καὶ σεσὶ, καὶ θελαμεὶ γενεαὶ ἐνάκ. καὶ χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τάνιν αἰγύπτου, καὶ ἦλθοσαν ἕως φάραγγος βότρυος, καὶ κατεσκέψαντο αὐτήν, καὶ ἔκοψαν ἐκεῖθεν κλῆμα, καὶ βότρυα σταφυλῆς ἕνα ἐπ' αὐτοῦ, καὶ ἦραν αὐτὸ ἐπ' ἀναφορείου καὶ ἀπὸ τῶν ῥοῶν, καὶ ἀπὸ τῶν συκῶν, καὶ τὸν τόπον ἐκεῖνον ἐπωνόμασεν φάραγξ βότρυος, διὰ τὸν βότρυα ὃν ἔκοψαν ἐκεῖθεν οἱ υἱοὶ Ισραήλ. καὶ ἐπέστρεψαν ἐκεῖθεν κατασκεψάμενοι τὴν γῆν, μετὰ τεσσαράκοντα ἡμέρας. καὶ πορευθέντες ἦλθον πρὸς μωϋσῆν καὶ ἀαρὼν καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ισραὴλ εἰς τὴν ἔρημον φαραὶ καδής, καὶ ἀπεκρίθησαν αὐτοῖς ῥῆμα καὶ πάσῃ τῇ συναγωγῇ. καὶ ἔδειξαν αὐτοῖς τὸν καρπὸν τῆς γῆς, καὶ διηγήσαντο αὐτῷ καὶ εἶπαν· ἤλθομεν εἰς τὴν γῆν εἰς ἣν ἀπέστειλας ἡμᾶς, γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ οὗτος ὁ καρπὸς αὐτῆς. ἀλλ' ἢ ὅτι βρασὺ τὸ ἔθνος τὸ κατοικοῦν τὴν γῆν, καὶ αἱ πόλεις ὀχυραὶ τετειχισμέναι μεγάλαι σφόδρα. καὶ τὴν γενεὰν ἐνὰκ εωράκαμεν ἐκεῖ, καὶ ἀμαλὴκ κατοικεῖ ἐν τῇ γῇ τῇ πρὸς νότον, καὶ ὁ χεττα῀ος, καὶ ὁ ἰεβουσα῀ος, καὶ ὁ ἀμορρα῀ος κατοικεῖ ἐν τῇ ὀρεινῇ, καὶ ὁ χανανα῀ος παρακεῖται παρὰ θαλασσαν, καὶ παρὰ τὸν ἰορδάνην ποταμόν. καὶ κατεσιώπησε χάλεβ τὸν λαὸν πρὸς μωϋσῆν, καὶ εἶπεν αὐτῷ· οὐχί, ἀλλὰ ἀναβαίνοντες ἀναβησόμεθα, καὶ κατακληρονομήσωμεν αὐτήν, ὅτι δυνατοὶ δυνησόμεθα πρὸς αὐτούς. καὶ οἱ ἄνθρωποι οἱ συναναβαίνοντες μετ' αὐτοῦ, εἶπαν, οὐκ ἀναβαίνομεν, ὅτι οὐ μὴ δυνώμεθα ἀναβῆναι πρὸς τὸ ἔθνος, ὅτι ἰσχυρότερον ἡμῶν ὅτι μᾶλλον. καὶ ἐξέλυγκαν ἔκτασιν τῆς γῆς ἣν κατεσκέψαντο αὐτήν πρὸς τοὺς υἱοὺς Ισραὴλ λέγοντες, τὴν γῆν ἣν παρήλθομεν αὐτὴν κατασκέψασθαι, γῆ κατεσθίουσα τοὺς κατοικοῦντας ἐπ' αὐτῆς ὅτι. καὶ πᾶς ὁ λαὸς ὃν εωράκαμεν ἐν αὐτῇ, ἀνδρῶν ὑπερμήκεις. καὶ ἐκεῖ εωράκαμεν τοὺς γίγαντας, καὶ ἦμεν ὡσεὶ ἀκρίδες, ἀλλὰ καὶ ὕτως ἦμεν ὡσεὶ ἀκρίδες.

ΚΕΦΑΛ. ιγ. 13.

ΚΑὶ ἀναλαβοῦσα πᾶσα ἡ συναγωγὴ, ἔδωκε φωνὴν, καὶ ἔκλαιον ὁ λαὸς ὅλην τὴν νύκτα ἐκείνην, καὶ διεγόγγυζον ὑὸν μωϋσῆν καὶ ἀαρὼν πάντες οἱ υἱοὶ Ισραὴλ, καὶ εἶπαν πρὸς αὐτοὺς πᾶσα ἡ συναγωγή· ὄφελον ἀπεθάνομεν ἐν γῇ αἰγύπτου, ἢ ἐν τῇ ἐρήμῳ ταύτῃ εἰ ἀπεθανόμεν. καὶ ἵνατί κύριος εἰσάγει ἡμᾶς εἰς τὴν γῆν ταύτην πεσεῖν ἐν πολέμῳ; αἱ γυναῖκες ἡμῶν, καὶ τὰ παιδία ἡμῶν ἔσονται εἰς σκορπισμόν. νῦν οὖν βέλτιον ἡμῖν ὅτιν ἀποστραφῆναι εἰς αἴγυπτον. καὶ εἶπεν ἕτερος τῷ ἑτέρῳ, σὺν ἀρχηγὸν, καὶ ἀποστρέψωμεν εἰς αἴγυπτον. καὶ ἔπεσε μωϋσῆς καὶ ἀαρὼν ἐπὶ πρόσωπον ἐναντίον πάσης συναγωγῆς υἱῶν Ισραὴλ. ἰησοῦς δὲ ὁ τοῦ ναυή. καὶ χάλεβ ὁ τοῦ ἰεφοννή, τῶν κατασκεψαμένων τὴν γῆν, διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν, καὶ εἶπαν πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ισραὴλ λέγοντες· ἡ γῆ ἣν κατεσκέψαμεθα αὐτὴν, ἀγαθὴ ὅτι σφόδρα σφόδρα. εἰ αἱρετίζει ἡμᾶς κύριος, εἰσάξει ἡμᾶς εἰς τὴν γῆν ταύτην, καὶ δώσει αὐτὴν ἡμῖν, γῆ ἣν τις ὅτι ῥέουσα γάλα καὶ μέλι. ἀλλὰ ἀπὸ τοῦ κυρίου μὴ ἀποστάται γένεσθε. ὑμεῖς δὲ μὴ φοβηθῆτε τὸν λαὸν τῆς γῆς, ὅτι κατάβρωμα ἡμῖν ὅτιν. ἀφέστηκε γὰρ ὁ καιρὸς ἐπ' αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν, μὴ φοβηθῆτε αὐτούς. καὶ εἶπε πᾶσα ἡ συναγωγὴ, καταλιθοβολῆσαι αὐτοὺς ἐν λίθοις. καὶ ἡ δόξα κυρίου ὤφθη ἐν τῇ νεφέλῃ ἐπὶ τῆς σκιωῆς τοῦ μαρτυρίου, ἐν πᾶσι τοῖς υἱοῖς Ισραήλ. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· ἕως τίνος παροξυνεῖ με ὁ λαὸς οὗτος, καὶ ἕως τίνος οὐ πιστεύουσί μοι ἐπὶ πᾶσι τοῖς σημείοις οἷς ἐποίησα ἐν αὐτοῖς; πατάξω αὐτοὺς θανάτῳ, καὶ ἀπολῶ αὐτούς, καὶ ποιήσω σὲ καὶ τὸν οἶκον τοῦ πατρός σε εἰς ἔθνος

μέγα, καὶ πολὺ μᾶλλον ἢ τὸ πρότερον. καὶ εἶπε μωϋσῆς πρὸς κύριον· καὶ ἀκούσεται αἴγυπτος ὅτι ἀνήγαγες ἐν ἰσχύϊ σου τὸν λαὸν σου τοῦτον ἀφ' αὑτῶν. ἀλλὰ καὶ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς ταύτης ἀκηκόασιν, ὅτι σὺ εἶ κύριος ὁ θεὸς τούτῳ τῷ λαῷ, ὃς τις ὀφθαλμοῖς κατ' ὀφθαλμοὺς ὀπτάζῃ κύριε, καὶ ἡ νεφέλη σου ἑφέστηκεν ἐπ' αὐτούς, καὶ ἐν στύλῳ νεφέλης σὺ πορεύῃ πρὸ προσώπου αὐτῶν τὴν ἡμέραν, καὶ ἐν στύλῳ πυρὸς τὴν νύκτα, καὶ ἐκπρίσεις τὸν λαὸν τοῦτον ὡσεὶ ἄνθρωπος ἕνα· καὶ ἐροῦσι τὰ ἔθνη ὅσοι ἀκηκόασι τὸ ὄνομά σου λέγοντες· παρὰ τὸ μὴ δύνασθαι κύριον εἰσαγαγεῖν τὸν λαὸν τοῦτον εἰς τὴν γῆν ἣν ὤμοσεν αὐτοῖς, κατέσφαξεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. καὶ νῦν ὑψωθήτω ἡ ἰσχύς σου κύριε, ὃν τρόπον εἶπας λέγων· κύριος μακροθυμῶν καὶ πολυέλεος καὶ ἀληθινός, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρισμῷ οὐ καθαριεῖ τὰ ἔνοχα, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς. ἄφες δὴ τὴν ἁμαρτίαν τοῦ λαοῦ τούτου κατὰ τὸ μέγα ἔλεός σου, καθάπερ ἵλεως ἐγένου αὐτοῖς ἀπ' αἰγύπτου ἕως τοῦ νῦν. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· ἵλεως αὐτοῖς ἐμὶ κατὰ τὸ ῥῆμά σου, ἀλλὰ ζῶ ἐγὼ καὶ ἀεὶ ζῶμ τὸ ὄνομά μου, καὶ ἐμπλήσει ἡ δόξα κυρίου πᾶσαν τὴν γῆν. ὅτι πάντες οἱ ἄνδρες οἱ ὁρῶντες τὴν δόξαν μου, καὶ τὰ σημεῖα ἃ ἐποίησα ἐν αἰγύπτῳ, καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ, καὶ ἐπείρασάν με τοῦτο δέκατον, καὶ οὐκ εἰσήκουσάν μου τῆς φωνῆς μου. ἢ μὴν οὐκ ὄψονται τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, ἀλλ' ἢ τὰ τέκνα αὐτῶν, ἃ ὅτι μετ' ἐμοῦ ὧδε, ὅσοι οὐκ οἴδασιν ἀγαθὸν ἢ κακόν. πᾶς νεώτερος ἄπειρος, τούτοις δώσω τὴν γῆν. πάντες δὲ οἱ παροξύναντές με, οὐκ ὄψονται αὐτήν. ὁ δὲ παῖς μου χαλεβ, ὅτι ἐγενήθη πνεῦμα ἕτερον ἐν αὐτῷ, καὶ ἐπηκολούθησέ μοι, καὶ εἰσάξω αὐτὸν εἰς τὴν γῆν εἰς ἣν εἰσῆλθον ἐκεῖ, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει αὐτήν. ὁ δὲ ἀμαλὴκ καὶ ὁ χαναναῖος, κατοικήσουσιν ἐν τῇ κοιλάδι. αὔριον ὑποστρέψατε καὶ ἐπάρατε ὑμεῖς εἰς τὴν ἔρημον, ὁδὸν θαλασσαν ἐρυθρᾶν.

ΚΕΦΑΛ. ιδ'. 14.

Καὶ εἶπε κύριος πρὸς μωϋσῆν καὶ ἀαρὼν λέγων· ἕως τίνος τὴν συναγωγὴν τὴν πονηρὰν ταύτην, ἃ αὐτοὶ γογγύζουσιν ἐναντίον μου, τὸν γογγυσμὸν τῶν υἱῶν ἰσραὴλ, ὃν ἐγόγγυζον πρὸς ὑμᾶς ἀκήκοα; εἶπον αὐτοῖς· ζῶ ἐγὼ λέγει κύριος, ἢ μὴν ὃν τρόπον ἐλαλήσατε εἰς τὰ ὦτά μου, οὕτω ποιήσω ὑμῖν. ἐν τῇ ἐρήμῳ ταύτῃ, πεσεῖται τὰ κῶλα ὑμῶν, καὶ πᾶσα ἡ ἐπίσκοπή ὑμῶν, καὶ οἱ κατεριθμημένοι ὑμῶν, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, ὅσοι ἐγόγγυζον ἐπ' ἐμοί. εἰ ὑμεῖς εἰσελεύσεσθε εἰς τὴν γῆν, ἐφ' ᾗ ἐξέτεινα τὴν χεῖρά μου κατασκηνῶσαι ὑμᾶς ἐπ' αὐτῆς, ἀλλ' ἢ χαλεβ υἱὸς ἰεφθοννὴ, καὶ ἰησοῦς ὁ τοῦ ναυὴ, καὶ τὰ παιδία ἃ εἴπατε εἰς διαρπαγὴν ἔσεσθαι, εἰσάξω αὐτοὺς εἰς τὴν γῆν, καὶ κληρονομήσουσι τὴν γῆν, ἣν ὑμεῖς ἀπείσητε ἀπ' αὐτῆς, καὶ τὰ κῶλα ὑμῶν πεσεῖται ἐν τῇ ἐρήμῳ ταύτῃ. οἱ δὲ υἱοὶ ὑμῶν ἔσονται νεμόμενοι ἐν τῇ ἐρήμῳ τεσσαρακοντα ἔτη, καὶ ἀνοίσουσι τὴν πορνείαν ὑμῶν, ἕως ἂν ἐξαναλωθῇ τὰ κῶλα ὑμῶν ἐν τῇ ἐρήμῳ κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν, ὅσας κατεσκέψασθε τὴν γῆν τεσσαρακοντα ἡμέρας. ἡμέραν τὸ ἐνιαυτὸν, λήψεσθε τὰς ἁμαρτίας ὑμῶν τεσσαράκοντα ἔτη, καὶ γνώσεσθε τὸν θυμόν της ὀργῆς μου. ἐγὼ κύριος ἐλάλησα ὑμῖν. οὕτω ποιήσω τῇ συναγωγῇ τῇ πονηρᾷ ταύτῃ τῇ συνεστωσαμένῃ ἐπ' ἐμέ. ἐν τῇ ἐρήμῳ ταύτῃ ἐξαναλωθήσονται, καὶ ἐκεῖ ἀποθανοῦνται. καὶ οἱ ἄνθρωποι οὓς ἀπέστειλε μωϋσῆς κατασκέψασθαι τὴν γῆν, καὶ παραγενηθέντες διεγόγγυσαν κατ' αὐτοῦ πρὸς τὴν συναγωγήν, ἐξαγγέλλοντες ῥήματα πονηρὰ περὶ τῆς γῆς. καὶ ἀπέθανον οἱ ἄνθρωποι οἱ κατειπόντες πονηρὰ κατὰ τῆς γῆς ἐν τῇ πληγῇ ἐναντίον κυρίου. καὶ ἰησοῦς ὁ τοῦ ναυὴ καὶ χαλεβ υἱὸς ἰεφθοννὴ, ἔζησαν ἀπὸ τῶν ἀνθρώπων ἐκείνων τῶν πεπορευμένων κατασκέψασθαι τὴν γῆν. καὶ ἐλάλησε μωϋσῆς τὰ ῥήματα ταῦτα πρὸς πάντας τοὺς υἱοὺς ἰσραὴλ. καὶ ἐπωφθησαν ὁ λαὸς σφόδρα. καὶ ὀρθρίσαντες τὸ πρωΐ, ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους λέγοντες· ἰδοὺ οἵδε ἡμεῖς ἀναβησόμεθα εἰς τὸν τόπον ὃν εἶπε κύριος, ὅτι ἡμαρτομεν. καὶ εἶπε μωϋσῆς· ἵνα τί ὑμεῖς παραβαίνετε τὸ ῥῆμα κυρίου, οὐκ ὀλεθρος ἔσται ὑμῖν. μὴ ἀναβαίνετε. οὐ γὰρ ὅτι κύριος μεθ' ὑμῶν, καὶ πεσεῖσθε πρὸ προσώπου τῶν ἐχθρῶν ὑμῶν, ὅτι ὁ ἀμαλὴκ καὶ ὁ χαναναῖος ἐκεῖ ἔμπροσθεν ὑμῶν, καὶ πεσεῖσθε μαχαίρᾳ· ὅτι εἵνεκεν ἀπεστράφητε, ἀπειθοῦντες κυρίῳ, καὶ οὐκ ἔσται κύριος μεθ' ὑμῖν. καὶ διαβησόμενοι, ἀνέβησαν ὑπὸ τὴν κορυφὴν τοῦ ὄρους. ἡ δὲ κιβωτὸς διαθήκης κυρίου, καὶ μωϋσῆς οὐκ ἐπανέπαυσαν ἐκ μέσου τῆς παρεμβολῆς. καὶ κατέβη ἀμαλὴκ καὶ ὁ χαναναῖος ὁ ἐγκαθήμενος ἐν τῷ ὄρει ἐκείνῳ, καὶ ἐξέκλιναν αὐτούς, καὶ κατέκοψαν αὐτοὺς, ἕως ἑρμᾶ, καὶ ἀπεστράφησαν εἰς τὴν παρεμβολήν.

ΚΕΦΑΛ. ιε'. 15.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ὅταν εἰσέλθητε εἰς τὴν γῆν ἣν κατοικήσεως ὑμῶν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ποιήσετε καρπωσιν τῷ κυρίῳ ὁλοκαύτωμα ἢ θυσίαν, μεγάλην εὐχὴν, ἢ κατακούσιον, ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν ὁσμὴν εὐωδίας τῷ κυρίῳ, ἐκ μὲν ἀπὸ τῶν βοῶν ἢ ἀπὸ τῶν προβάτων, καὶ προσοίσει ὁ προσφέρων τὸ δῶρον αὐτοῦ κυρίῳ θυσίαν σεμιδάλεως δέκατον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ηρ τδ οἰφὶ πεφυραμμένης γ̓ δβ τετάρτῳ τδ ἱν γ̓ ἐλαίῳ, κ̀ οἴνου εἰς σπονδήν, τ̀ τέταρτον τδ ἱν ποιήσετε ἐπὶ β̄ ὁλοκαρπώσεως, ἢ ἐπὶ β̄ θυσίας τῷ ἀμνῷ τῷ ἑνὶ. ποιήσεις δισσὰ τὰ μάρπωμα ὀσμὴν δυωδίας τῷ κυρίῳ, κ̀ τῷ μείῳ ὅταν ποιήσητε αὐτὰ εἰς ὁλοκάρπωμα, ἢ εἰς θυσίαν, ποιήσεις θυσίαν σωτηρίου μόσχῳ δύο δεκάτῃ ἀπεφυραμμένης γ̓ ἐλαίῳ, τ̀ τρίτον τ̄ ἱν, κ̀ οἴνου εἰς σπονδήν τ̀ τρίτον τ̄ ἱν, προσοίσετε εἰς ὀσμὴν δυωδίας κυρίῳ. ἐὰν δὲ ποιήσετε ἀπὸ τῶν βοῶν εἰς ὁλοκαύτωσιν, ἢ εἰς θυσίαν, μεγαλυῦναι εὐχὴν, ἢ εἰς σωτήριον β̄ κυρίῳ, καὶ προσοίσετε ἐπὶ τδ μόσχῳ θυσίαν σωτηρίου τρία δέκατα ἀπεφυραμμένης γ̓ ἐλαίῳ, ἥμισυ τ̄ ἱν, κ̀ οἴνου εἰς σπονδήν τ̀ ἥμισυ τδ ἱν, καρπώσασθε ὀσμὴν δυωδίας κυρίῳ. οὕτω ποιήσεις τῷ μόσχῳ β̄ ἑνὶ, ἢ β̄ κριῷ τῷ ἑνὶ, ἢ β̄ ἀμνῷ β̄ ἑνὶ ἐκ τῶν προβάτων, ἢ ἐκ τῶν αἰγῶν, κ̀ β̄ τὸν ἀριθμὸν οὗ ἐὰν ποιήσητε οὕτως ποιήσετε β̄ ἑνί, κ̀ β̄ τὸν ἀριθμὸν αὐτ̄. πᾶς ὁ αὐτόχθων ποιήσει οὕτως, ταῦτα προσφέγκαι καρπώματα εἰς ὀσμὴν δυωδίας κυρίῳ. ἐὰν δὲ προσήλυτος γ̓ ὑμῖν προσγένηται γ̓ τῇ γῇ ὑμῶν, ἢ ὃς ἂν γένηται γ̓ ὑμῖν γ̓ ταῖς γενεαῖς ὑμῶν, κ̀ ποιήσει καρπώματα ὀσμὴν δυωδίας κυρίῳ, ὃν τρόπον ποιεῖτε ὑμεῖς, οὕτω ποιήσει ἡ συναγωγὴ κυρίῳ. νόμος εἷς ὑμῖν κ̀ τοῖς προσηλύτοις τοῖς προσκειμένοις γ̓ ὑμῖν, νόμος αἰώνιος εἰς τὰς γενεὰς ὑμῶν, ὡς ὑμεῖς κ̀ ὁ προσήλυτος ἔσαι γένητι κυρίου. νόμος εἷς ἔσαι, κ̀ δικαίωμα γ̓ ἔσαι ὑμῖν, κ̀ τῷ προσηλύτῳ τῷ προσκειμένῳ γ̓ ὑμῖν. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ κ̀ ἐρεῖς πρὸς αὐτούς· γ̓ β̄ εἰσπορεύεσθε ὑμᾶς εἰς τὴν γῆν εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, κ̀ ἔσαι ὅταν ἔσθητε ὑμεῖς ἀπὸ τῶν ἄρτων τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα ἀφόρισμα β̄ κυρίῳ ἀπαρχὴν φυράματος ὑμῶν, ἄρτον ἀφορεῖται ἀφαίρεμα αὐτό, ὡς ἀφαίρεμα ἀπὸ ἅλωνος. ὅτως ἀφελεῖτε αὐτὸ ἄρτον ἀπαρχὴν φυράματος ὑμῶν, καὶ δώσετε κυρίῳ ἀφαίρεμα εἰς τὰς γενεὰς ὑμῶν. ὅταν ἡ δὶαμάρτητε, κ̀ μὴ ποιήσητε πάσας τὰς ἐντολὰς ταύτας, ἃς ἐλάλησε κύριος πρὸς μωϋσῆν, καθὰ συνέταξε κυρίου ὁ θεὸς ὑμῖν γ̓ χειρὶ μωϋσῆ, ἀπὸ τ̄ ἡμέρας ἣ συνέταξε κύριος πρὸς ὑμᾶς, κ̀ ἐπέκεινα εἰς τὰς γενεὰς ὑμῶν, κ̀ ἔσαι ἐὰν δὶ ὀφθαλμῶν τῆς συναγωγῆς γένηθῇ ἀκουσίως, καὶ ποιήσει πᾶσα ἡ συναγωγὴ μόσχον ἕνα ἐκ βοῶν ἄμωμον εἰς ὁλοκάυτωμα, εἰς ὀσμὴν δυωδίας κυρίῳ, καὶ θυσίαν τὰ τούτου, κ̀ σπονδὴν αὐτ̄ κατὰ τὸ συνέταξε αὐτ̄, καὶ χίμαρον δὶ ἁμαρτίας, κ̀ ἐξιλάσεται ὁ ἱερεὺς περὶ πάσης συναγωγῆς υἱῶν ἰσραήλ, κ̀ ἀφεθήσεται αὐτοῖς, ὅτι ἀκούσιόν ἐστι. κ̀ αὐτοὶ ἤνεγκαν τὸ δῶρον αὐτ̄ καρπωμα κυρίῳ, περὶ τ̄ ἁμαρτίας αὐτ̄ γ̓ ἄγνοιαν κυρίου, περὶ τ̄ ἀκουσίων αὐτ̄, κ̀ ἀφεθήσεται πάσῃ συναγωγῇ υἱῶν ἰσραὴλ, καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ πρὸς ὑμᾶς, ὅτι παντὶ τῷ λαῷ ἀκούσιον. ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ ἀκουσίως, προσάξει ἀῖγα μίαν γνησίαν περὶ ἁμαρτίας, καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ γ̓ ψυχῆς τ̄ ἀκουσιαζούσης, κ̀ ἁμαρτούσης ἀκουσίως γένηται κυρίῳ δὶ λάσκεσθαι περὶ αὐτ̄, κ̀ ἀφεθήσεται αὐτῷ, τῷ ἐγχωρίῳ γ̓ υἱοῖς ἰσραὴλ, κ̀ τῷ προσηλύτῳ τῷ προσκειμένῳ γ̓ αὐτοῖς νόμος εἷς ἔσαι γ̓ αὐτοῖς ὃς ἐὰν ποιήσῃ ἀκουσίως. κ̀ ψυχὴ ἥτις ποιήσῃ γ̓ χειρὶ ὑπερηφανίας ἀπὸ τῶν αὐτοχθόνων, ἢ ἀπὸ τῶν προσηλύτων, τὸν θεὸν ὀνειδίζει, κ̀ ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτ̄, ὅτι τὸ ῥῆμα κυρίου ἐφαύλισε, κ̀ τὰς γ̓ βολὰς αὐτ̄ διεσκέδασεν, ἐκτρίψει ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη, ἡ ἁμαρτία αὐτ̄ γ̓ αὐτῇ. ἦσαν οἱ υἱοὶ ἰσραὴλ γ̓ τῇ ἐρήμῳ, καὶ εὗρον ἄνδρα συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τοῦ σαββάτου, κ̀ προσήγαγον αὐτὸν οἱ εὑρόντες αὐτ̄ συλλέγοντα τὰ ξύλα πρὸς μωϋσῆν κ̀ ἀαρὼν, κ̀ πρὸς πᾶσαν συναγωγὴν υἱῶν ἰσραὴλ, καὶ ἀπέθετο αὐτὸν εἰς φυλακήν. ὁ γὰρ συνέκεινα τί ποιήσουσιν αὐτ̄. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· θανάτῳ θανατούσθω ὁ ἄνθρωπος ἐκεῖνος, λιθοβολήσατε αὐτὸν λίθοις πᾶσα συναγωγή. καὶ ἐξήγαγον αὐτὸν πᾶσα ἡ συναγωγὴ ἔξω τῆς παρεμβολῆς, καὶ ἐλιθοβόλησαν αὐτὸν πᾶσα ἡ συναγωγὴ γ̓ λίθοις ἔξω τῆς παρεμβολῆς, καθὰ ἐνετείλατο κύριος πρὸς μωϋσῆν. καὶ ἐπε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, κ̀ ἐρεῖς πρὸς αὐτούς· καὶ ποιησάτωσαν ἑαυτοῖς κράσπεδα, ἐπὶ τὰ πτέρυγια τῶν ἱματίων αὐτῶν εἰς τὰς γενεὰς αὐτῶν, καὶ ἐπιθήσετε ἐπὶ τὰ κράσπεδα τῶν πτερυγίων, κλῶσμα ὑακίνθινον, καὶ ἔσαι ὑμῖν γ̓ τοῖς κρασπέδοις, καὶ ὄψεσθε αὐτά, καὶ μνησθήσεσθε πασῶν τῶν ἐντολῶν κυρίου, καὶ ποιήσετε αὐτάς, καὶ δὶ διαστραφήσεσθε ἐπὶ ὀπίσω τῶν διανοιῶν ὑμῶν, καὶ ὀπίσω τῶν ὀφθαλμῶν ὑμῶν γ̓ οἷς ὑμεῖς ἐκπορνεύετε ὀπίσω αὐτῶν, ὅπως ἂν μνησθῆτε καὶ ποιήσητε πάσας τὰς ἐντολάς μου, κ̀ ἔσεσθε ἅγιοι τῷ θεῷ ὑμῶν. ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς αἰγύπτου, εἶναι ὑμῶν θεός. ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.

ΚΕΦΑΛ. ις'. ιϛ'.

Καὶ ἐλάλησε κορὲ υἱὸς ισααρ υἱοῦ κααθ, υἱοῦ λευεί, κ̀ δαθαν κ̀ αβειρων υἱοὶ ἐλιὰμ, καὶ ων υἱὸς φαλὲθ υἱοὶ ρουβήν, κ̀ ἀνέστησαν ἐναντίον μωϋσῆ, κ̀ ἄνδρες τ̄ υἱῶν ἰσραὴλ πεντήκοντα κ̀ διακόσιοι, ἀρχηγοὶ συναγωγῆς, σύγκλητοι βουλῆς, κ̀ ἄνδρες ὀνομαστοὶ συνέστησαν ἐπὶ μωϋσῆν καὶ ἀαρὼν, κ̀ εἶπαν πρὸς αὐτούς. ἐχέτω γ̓ ὑμῖν, ὅτι πᾶσα ἡ συναγωγὴ πᾶσαι ἅγιοι, καὶ γ̓ αὐτοῖς κύριος, καὶ διατί διατανίσασθε ἐπὶ τὴν συναγωγὴν κυρίου; καὶ ἀκούσας

στες μωϋσῆς, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐλάλησε πρὸς κύριον καὶ πρὸς πᾶσαν αὐτοῦ τὴν συναγωγὴν λέγων· ἐπέσκεπται καὶ ἐπέγνω ὁ θεὸς τοὺς ὄντας αὐτοῦ, καὶ τοὺς ἁγίους προσαγάγεται πρὸς ἑαυτόν, καὶ ὃς οὐκ ἐξελέξατο ἑαυτῷ, ὁ προσαγάγεται πρὸς ἑαυτόν. τοῦτο ποιήσατε· λάβετε ὑμῖν ἑαυτοῖς πυρεῖα κύριε, καὶ πᾶσα ἡ συναγωγὴ αὐτοῦ, καὶ ἐπίθετε ἐπ' αὐτὰ πῦρ, καὶ ἐπίθετε ἐπ' αὐτὰ θυμίαμα ἐναντι κυρίου αὔριον, καὶ ἔσται ὁ ἀνὴρ ὃν ἂν ἐκλέξηται κύριος οὗτος ἅγιος· ἱκανούσθω ὑμῖν υἱοὶ λευί. καὶ εἶπε μωϋσῆς πρὸς κορέ, ἀκούσατέ μου υἱοὶ λευί. μικρόν ἐστι τοῦτο ὑμῖν, ὅτι διέστειλεν ὑμᾶς ὁ θεὸς ἐκ συναγωγῆς ἰσραὴλ, καὶ προσηγάγετο ὑμᾶς πρὸς ἑαυτὸν λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς κυρίου, καὶ παρεστάθαι ἐναντι τῆς συναγωγῆς κυρίου, λειτουργεῖν αὐτοῖς; καὶ προσηγάγετό σε, καὶ πάντας τοὺς ἀδελφούς σου υἱοὺς λευὶ μετὰ σοῦ, καὶ ζητεῖτε ἱερατεύειν οὕτως σύ, καὶ πᾶσα ἡ συναγωγή σου, ἡ συνηθροισμένη πρὸς τὸν θεόν. καὶ ἀπέστειλε μωϋσῆς καλέσαι δαθὰν καὶ ἀβειρών· οἱ δὲ εἶπαν· οὐκ ἀναβαίνομεν, μικρὸν τοῦτο ὅτι ἀνήγαγες ἡμᾶς ἐκ γῆς ῥεούσης γάλα καὶ μέλι, ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ, ὅτι διατάρχεις ἡμῶν; ἀρ' γε εἰς καὶ σὺ εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ, ὅτι διατάρχεις ἡμῶν; ἀρ' γε εἰς καὶ σὺ εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι εἰσήγαγες ἡμᾶς, καὶ ἔδωκας ἡμῖν κλῆρον ἀγρῶν καὶ ἀμπελῶνας. τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων ἐκείνων ἀπόκοψας, οὐκ ἀναβαίνομεν. καὶ ἐθυμώθη μωϋσῆς σφόδρα, καὶ εἶπε πρὸς κύριον· μὴ πρόσχῃς εἰς τὰ θυσίαν αὐτῶν, οὐκ ὠνὴν μνημα οὐδενὸς αὐτῶν ἔλαφα, οὐδὲ ἐκάκωσα οὐδένα αὐτῶν. καὶ εἶπε μωϋσῆς πρὸς κόρε· ἅγίασον σὺ καὶ πᾶσα ἡ συναγωγή σου, καὶ γίνεσθε ἕτοιμοι ἔναντι κυρίου σὺ καὶ ἀαρών, καὶ αὐτοὶ αὔριον. καὶ λάβετε ἕκαστος τὸ πυρεῖον αὐτοῦ, καὶ ἐπιθήσετε ἐπ' αὐτὰ θυμίαμα, καὶ προσάξετε ἔναντι κυρίου ἕκαστος τὸ πυρεῖον αὐτοῦ, πεντήκοντα καὶ διακόσια πυρεῖα, καὶ σὺ καὶ ἀαρών, ἕκαστος τὸ πυρεῖον αὐτοῦ. καὶ ἐπέθηκαν ἐπ' αὐτὰ πῦρ, καὶ ἐπέβαλον ἐπ' αὐτὰ θυμίαμα, καὶ ἔστησαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, μωϋσῆς καὶ ἀαρών, καὶ ἐπεσύναγεν ἐπ' αὐτοὺς κορὲ τὴν πᾶσαν αὐτοῦ συναγωγὴν πρὸς τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ὤφθη ἡ δόξα κυρίου πάσῃ τῇ συναγωγῇ.

ΚΕΦΑΛ. ιζ'. 17.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν καὶ ἀαρών λέγων· ἀποχίσθητε ἕκαστος ἐκ μέσου τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰς ἅπαξ. καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ εἶπαν, θεὲ θεὲ τῶν πατέρων καὶ πάσης σαρκός, εἷς ἄνθρωπος εἷς ἥμαρτεν, καὶ ἐπὶ πᾶσαν τὴν συναγωγὴν ἡ ὀργὴ κυρίου; καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τῇ συναγωγῇ λέγων· ἀναχωρήσατε κύκλῳ ἀπὸ τῆς συναγωγῆς κορὲ καὶ δαθὰν καὶ ἀβειρών. καὶ ἀνέστη μωϋσῆς, καὶ ἐπορεύθη πρὸς δαθὰν καὶ ἀβειρών. καὶ συνεπορεύθησαν μετ' αὐτοῦ πάντες οἱ πρεσβύτεροι ἰσραὴλ. καὶ ἐλάλησε πρὸς τὴν συναγωγὴν λέγων· ἀποχίσθητε ἀπὸ τῶν σκηνῶν τῶν ἀνθρώπων τῶν σκληρῶν τούτων, καὶ μὴ ἅπτεσθε ἀπὸ πάντων ὅσα ἐστὶν αὐτοῖς, μὴ συναπόλησθε ἐν πάσῃ τῇ ἁμαρτίᾳ αὐτῶν. καὶ ἀπέστησαν ἀπὸ τῆς σκηνῆς κορὲ καὶ δαθὰν καὶ ἀβειρών κύκλῳ, καὶ δαθὰν καὶ ἀβειρὼν ἐξῆλθον καὶ ἱστήκεισαν πρὸς τὰς θύρας τῶν σκηνῶν αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ ἡ ἀρσενοθυλὴ αὐτῶν. καὶ εἶπε μωϋσῆς· ἐν τούτῳ γνώσεσθε ὅτι κύριος ἀπέστειλέ με ποιῆσαι πάντα τὰ ἔργα ταῦτα, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ. εἰ μὴ θανάτῳ πάντων ἀνθρώπων ἀποθανοῦνται οὗτοι, καὶ κατ' ἐπίσκεψιν πάντων ἀνθρώπων, ὡς ἐπισκοπὴ ἔσται αὐτοῖς, οὐχὶ κύριος ἀπέσταλκέ με, ἀλλ' ἢ χάσματι λείξει κύριος, καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς καταπίεται αὐτούς, καὶ τοὺς οἴκους αὐτῶν, καὶ τοὺς σκηνὰς αὐτῶν, καὶ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας μετὰ κορέ, καὶ τὰ κτήνη αὐτῶν, καὶ καταβήσονται ζῶντες εἰς ᾅδου, καὶ γνώσονται οἱ ἄνθρωποι οὗτοι τὸν κύριον, ὡς ἐπάλαιον λαλῶν πάντας τοὺς λόγους τούτους, ἐρράγη ἡ γῆ ὑπὸ τοὺς πόδας αὐτῶν, καὶ ἀνοίχθη ἡ γῆ καὶ κατέπιεν αὐτούς, καὶ τοὺς οἴκους αὐτῶν, καὶ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας μετὰ κορέ, καὶ τὰ κτήνη αὐτῶν, καὶ κατέβησαν αὐτοὶ, καὶ πάντα ὅσα ὄντα αὐτοῖς, ζῶντες εἰς ᾅδου, καὶ ἐκάλυψεν αὐτοὺς ἡ γῆ, καὶ ἀπώλοντο ἐκ μέσου τῆς συναγωγῆς. καὶ πᾶς ἰσραὴλ, καὶ οἱ κύκλῳ αὐτοῦ, ἔφυγον ἀπὸ τῆς φωνῆς αὐτῶν, ὅτι εἶπαν λέγοντες· μή ποτε καταπίῃ ἡμᾶς ἡ γῆ. καὶ πῦρ ἐξῆλθε παρὰ κυρίου, καὶ κατέφαγε τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας τοὺς προσφέροντας τὸ θυμίαμα. καὶ εἶπε κύριος πρὸς μωϋσῆν καὶ πρὸς ἐλεάζαρ τὸν ἱερέα τὸν ἀαρών τὸν ἱερέα· αἶρε τὰ πυρεῖα τὰ χαλκᾶ ἐκ μέσου τῆς καταπεκαυμένων, καὶ τὸ πῦρ τὸ ἀλλότριον, ὅτι ἁγίασε τὰ πυρεῖα τῆς ἁμαρτωλοῦ τούτου ἐν ταῖς ψυχαῖς αὐτῶν, καὶ ποιήσουσιν αὐτὰ ἐλπίδας ἐλατὰς, πρόβλημα τῷ θυσιαστηρίῳ, ὅτι προσηνέχθησαν ἔναντι κυρίου, καὶ ἡγιάσθησαν, καὶ ἐγένοντο εἰς σημεῖον τοῖς υἱοῖς ἰσραήλ. καὶ ἔλαβεν ἐλεάζαρ υἱὸς ἀαρὼν τὰ πυρεῖα τὰ χαλκᾶ, ὅσα προσήνεγκαν οἱ κατακεκαυμένοι, καὶ προέθηκαν αὐτὰ πρόβλημα τῷ θυσιαστηρίῳ μνημόσυνον τοῖς υἱοῖς ἰσραήλ, ὅπως ἂν μὴ προσέλθῃ μισθὸς ἀλλογενὴς, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματος ἀαρών, τοῦ θεῖναι θυμίαμα ἔναντι κυρίου, καὶ οὐκ ἔσται ὡς κορὲ, καὶ ἡ συστασις αὐτοῦ, καθὰ ἐλάλησε κύριος ἐν χειρὶ μωϋσῆ. καὶ ἐγόγγυσαν οἱ υἱοὶ ἰσραὴλ τῇ ἐπαύριον τοῦ μωϋσῆν καὶ ἀαρὼν λέγοντες· ὑμεῖς ἀπεκτάνατε τὸν λαὸν κυρίου. καὶ ἐγένετο ἐν τῷ συστραφῆναι τὴν συναγωγὴν ἐπὶ μωϋσῆν καὶ ἀαρών, καὶ ὥρμησαν ἐπὶ τὸ σκηνὴν τοῦ μαρτυρίου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαρτυρίου, καὶ τῷ λειτουργοῦντι αὐτῷ ἡ νεφέλη, καὶ ὤφθη ἡ δόξα κυρίου. καὶ εἰσῆλθε μωϋσῆς καὶ ἀαρὼν κατὰ πρόσωπον τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν καὶ ἀαρὼν λέγων· ἐκχωρίζετε ἐκ μέσου τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰς πᾶν. καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶπε μωϋσῆς πρὸς ἀαρών· λαβὲ τὸ πυρεῖον, καὶ ἐπίθες ἐπ' αὐτὸ πῦρ ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἐπίβαλε ἐπ' αὐτὸ θυμίαμα, καὶ ἀπαγάγε ταχὺ εἰς τὴν περιβολήν, καὶ ἐξίλασαι περὶ αὐτῶν. ἐξῆλθε γὰρ ὀργὴ ἀπὸ προσώπου κυρίου, ἤρκται θραῦειν τὸν λαόν. καὶ ἔλαβεν ἀαρὼν καθὼς ἐλάλησεν αὐτῷ μωϋσῆς, καὶ ἔδραμεν εἰς τὴν συναγωγήν, καὶ ἦδη ἤρκτο ἡ θραῦσις ἐν τῷ λαῷ, καὶ ἐπέβαλε τὸ θυμίαμα, καὶ ἐξιλάσατο περὶ τοῦ λαοῦ. καὶ ἔστη ἀνὰ μέσον τῶν τεθνηκότων καὶ τῶν ζώντων, καὶ ἐκόπασεν ἡ θραῦσις. καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ θραύσει, τεσσαρεσκαίδεκα χιλιάδες καὶ ἑπτακόσιοι, χωρὶς τῶν τεθνηκότων ἕνεκεν κορέ. καὶ ἐπέστρεψεν ἀαρὼν πρὸς μωϋσῆν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐκόπασεν ἡ θραῦσις. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ λαβὲ παρ' αὐτῶν ῥάβδον, ῥάβδον κατὰ πάντων τῶν ἀρχόντων αὐτῶν, κατ' οἴκους πατέρων αὐτῶν δώδεκα ῥάβδους, καὶ ἕκαστο τὸ ὄνομα αὐτοῦ ἐπιγράψον ἐπὶ τῆς ῥάβδου αὐτοῦ, καὶ τὸ ὄνομα ἀαρὼν ἐπιγράψον ἐπὶ τῆς ῥάβδου λευί. ἔστι γὰρ ῥάβδος μία, κατὰ φυλὴν οἴκου πατριῶν αὐτῶν δώδεκα. καὶ θήσεις αὐτὰς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, κατέναντι τοῦ μαρτυρίου, ἐν οἷς γνωθήσομαί σοι ἐκεῖ. καὶ ἔσται ὁ ἄνθρωπος ὃν ἂν ἐκλέξωμαι αὐτὸν ἡ ῥάβδος αὐτοῦ ἐκβλαστήσει, καὶ παύσω ἀφ' ἑαυτοῦ τὸν γογγυσμὸν υἱῶν ἰσραὴλ ὃν αὐτοὶ γογγύζουσιν ἐφ' ὑμᾶς. καὶ ἐλάλησε μωϋσῆς τοῖς υἱοῖς ἰσραὴλ· καὶ ἔδωκαν αὐτῷ πάντων οἱ ἄρχοντες αὐτῶν ῥάβδον, τῷ ἄρχοντι κατ' ἕνι ῥάβδον κατ' ἄρχοντα, κατ' οἴκους πατριῶν αὐτῶν δώδεκα ῥάβδους. καὶ ἡ ῥάβδος ἀαρὼν μετὰ μέσον τῶν ῥάβδων αὐτῶν, καὶ ἀπέθηκε μωϋσῆς τὰς ῥάβδους ἔναντι κυρίου ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ εἰσῆλθε μωϋσῆς καὶ ἀαρὼν εἰς τὴν σκηνῆν τοῦ μαρτυρίου, καὶ ἰδοὺ ἐβλάστησεν ἡ ῥάβδος ἀαρὼν εἰς οἶκον λευί, καὶ ἐξήνεγκε βλαστόν, καὶ ἐξήνθησεν ἄνθος, καὶ ἐβλάστησε ἀμύγδαλα. καὶ ἐξήνεγκε μωϋσῆς πάσας τὰς ῥάβδους ἀπὸ προσώπου κυρίου, πρὸς πάντας τοὺς υἱοὺς ἰσραὴλ, καὶ εἶδον, καὶ ἔλαβον ἕκαστος τὴν ῥάβδον αὐτοῦ. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· ἀπόθες τὴν ῥάβδον ἀαρὼν ἐνώπιον τοῦ μαρτυρίου εἰς διατήρησιν, εἰς σημεῖον τοῖς υἱοῖς τῶν ἀνομιῶν, καὶ παυσάσθω ὁ γογγυσμὸς αὐτῶν ἀπ' ἐμοῦ, καὶ οὐ μὴ ἀποθάνωσι. καὶ ἐποίησε μωϋσῆς καὶ ἀαρών, ὅσα συνέταξε κύριος τῷ μωϋσεῖ, οὕτως ἐποίησαν. καὶ εἶπαν οἱ υἱοὶ ἰσραὴλ πρὸς μωϋσῆν λέγοντες· ἰδοὺ ἐξαναλώμεθα, ἀπολώλαμεν, παραναλώμεθα, πᾶς ὁ ἀπερχόμενος τῆς σκηνῆς κυρίου ἀποθνήσκει, ἕως εἰς τέλος ἀποθανούμεθα.

ΚΕΦΑΛ. ιή. 18.

Καὶ εἶπε κύριος πρὸς ἀαρών· λέγων· σὺ καὶ οἱ υἱοί σου, καὶ ὁ οἶκος τοῦ πατρός σου μετὰ σοῦ, λήψεσθε τὰς ἁμαρτίας τῶν ἁγίων, καὶ σὺ καὶ οἱ υἱοί σου λήψεσθε τὰς ἁμαρτίας τῆς ἱερατείας ὑμῶν, καὶ τοὺς ἀδελφούς σου φυλὴν λευί, φῦλον τοῦ πατρός σου προσαγαγὲ πρὸς σεαυτόν, καὶ προσεθήτωσάν σοι, καὶ λειτουργείτωσάν σοι, καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ ἐνώπιον τοῦ μαρτυρίου, καὶ φυλάξουσι τὰς φυλακάς σου, καὶ τὰς φυλακὰς τῆς σκηνῆς σου. πλὴν πρὸς τὰ σκεύη τὰ ἅγια, καὶ πρὸς τὸ θυσιαστήριον οὐ προσελεύσονται, ἵνα μὴ ἀποθάνωσιν καὶ οὗτοι καὶ ὑμεῖς. καὶ προσεθήσομαι πρός σε, καὶ φυλάξουσι τὰς φυλακὰς τῆς σκηνῆς τοῦ μαρτυρίου, πᾶσας τὰς λειτουργίας τῆς σκηνῆς. καὶ ὁ ἀλλογενὴς οὐ προσελεύσεται πρός σε. καὶ φυλάξεσθε τὰς φυλακὰς τοῦ ἁγίου, καὶ τὰς φυλακὰς τοῦ θυσιαστηρίου, καὶ ἔσται ἔτι θυμὸς ἐπὶ τοῖς υἱοῖς ἰσραήλ. καὶ ἐγὼ εἴληφα τοὺς ἀδελφούς ὑμῶν τοὺς λευίτας ἐκ μέσου τῶν υἱῶν ἰσραήλ, δόμα δεδομένον κυρίῳ, λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ, διατηρήσετε τὴν ἱερατείαν ὑμῶν, κατὰ πάντα τρόπον τοῦ θυσιαστηρίου, καὶ τὸ ἐνδοθεν τοῦ καταπετάσματος· καὶ λειτουργήσετε τὰς λειτουργίας δόμα τῆς ἱερατείας ὑμῶν. καὶ ὁ ἀλλογενὴς ὁ προσπορευόμενος, ἀποθανεῖται. καὶ ἐλάλησε κύριος πρὸς ἀαρών· καὶ ἰδοὺ ἐγὼ δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν μου, ἀπὸ πάντων τῶν ἁγιασμάτων μοι, πρὸς τοὺς υἱοὺς ἰσραήλ. σοὶ δέδωκα αὐτὰ εἰς γέρας, καὶ τοῖς υἱοῖς σου μετὰ σὲ νόμιμον αἰώνιον. καὶ ἔστω ὑμῖν ἀπὸ τῶν ἁγιασμάτων ἁγίων τῶν καρπωμάτων, ἀπὸ πάντων τῶν δώρων αὐτῶν, καὶ ἀπὸ πάντων τῶν θυσιασμάτων αὐτῶν, καὶ ἀπὸ πάσης τῆς πλημμελείας αὐτῶν, καὶ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν, ὅσας ἀποδιδόασί μοι, ἁγίων ἁγίων σοὶ ἔσται καὶ τοῖς υἱοῖς σου, ἐν τῷ ἁγίῳ τῶν ἁγίων φαγεσθε αὐτά. πᾶν ἀρσενικὸν φαγέτωσαν αὐτά, σὺ καὶ οἱ υἱοί σου, ἅγια ἔσται σοι, καὶ τοῦτο ἔσται ὑμῖν ἀπαρχὴν δόματων αὐτῶν, ἀπὸ πάντων τῶν ὠθισμάτων τῶν υἱῶν ἰσραήλ, σοὶ δέδωκα αὐτὰ καὶ τοῖς υἱοῖς σου, καὶ θυγατράσι σου μετὰ σοῦ νόμιμον αἰώνιον. πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτά, πᾶσα ἀπαρχὴ ἐλαίου, καὶ πᾶσα ἀπαρχὴ τοῦ οἴνου καὶ σίτου, ἀπαρχὴ αὐτῶν ὅσα ἂν δῶσι τῷ κυρίῳ, σοὶ δέδωκα αὐτά. τὰ πρω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων· ἐκδίκει τὴν ἐκδίκησιν τῶν υἱῶν Ἰσραὴλ ἐκ τῶν Μαδιανιτῶν, καὶ ἔσχατον προστεθήσῃ πρὸς τὸν λαόν σου. καὶ ἐλάλησε Μωϋσῆς πρὸς τὸν λαὸν λέγων· ἐξοπλίσατε τοὺς ἄνδρας ἐξ ὑμῶν, καὶ παρατάξαθε ἐναντι κυρίου ἐπὶ Μαδιάμ, ἀποδοῦναι ἐκδίκησιν παρὰ κυρίου τῇ Μαδιάμ, χιλίους ἐκ φυλῆς, καὶ χιλίους ἐκ φυλῆς, ἐκ πασῶν φυλῶν υἱῶν Ἰσραὴλ ἀποστείλατε παρατάξασθαι. καὶ ἐξηρίθμησαν ἐκ τῶν χιλιάδων Ἰσραὴλ χιλίους, ἐκ φυλῆς δώδεκα χιλιάδας ἐνωπλισμένους εἰς παράταξιν. καὶ ἀπέστειλεν αὐτοὺς Μωϋσῆς, χιλίους ἐκ φυλῆς, καὶ χιλίους ἐκ φυλῆς σὺν δυνάμει αὐτῶν, καὶ τὸν Φινεὲς υἱὸν Ἐλεάζαρ υἱοῦ ἀαρὼν τοῦ ἱερέως, καὶ τὰ σκεύη τὰ ἅγια, καὶ αἱ σάλπιγγες τῶν ἀπομασιῶν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ παρετάξαντο ἐνώπιον κυρίου, καθὰ ἐνετείλατο κύριος τῷ Μωϋσεῖ. καὶ ἀπέκτειναν πᾶν ἀρσενικόν, ἐν οἷς Βασιλεῖς Μαδιὰμ ἀπέκτειναν ἅμα τοῖς τραυματίαις αὐτῶν, καὶ τὸν Ηὐεὶ καὶ τὸν Ῥεκόμ, καὶ τὸν Σοὺρ, καὶ τὸν Οὖρ, καὶ τὸν Ῥοβόκ, πέντε τοὺς Βασιλεῖς Μαδιάμ, καὶ τὸν Βαλαὰμ υἱὸν Βεώρ, ἀπέκτειναν ἐν ῥομφαίᾳ σὺν τοῖς τραυματίαις αὐτῶν. καὶ ᾐχμαλώτευσαν τὰς γυναῖκας Μαδιάμ, καὶ τὰ κτήνη αὐτῶν, καὶ τὰ ὑπάρχοντα αὐτῶν, καὶ τὰ ἐκτίνια αὐτῶν ἐνέπρησαν ἐν πυρί, καὶ ἔλαβον πᾶσαν τὴν προνομὴν αὐτῶν, καὶ πάντα τὰ σκῦλα αὐτῶν, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἤγαγον πρὸς Μωϋσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ πρὸς πάντας τοὺς υἱοὺς Ἰσραὴλ τὴν αἰχμαλωσίαν, καὶ τὰ σκῦλα, καὶ τὴν προνομὴν εἰς τὴν παρεμβολὴν εἰς ἀραβὼθ Μωάβ, ἣ ἐστιν ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ. καὶ ἐξῆλθε Μωϋσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς, καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς εἰς συναντησιν αὐτοῖς, ἔξω τῆς παρεμβολῆς. καὶ ὠργίσθη Μωϋσῆς ἐπὶ τοὺς ὑποστρατήγους τῆς δυνάμεως, χιλιάρχους, καὶ ἑκατοντάρχοις τοῖς ἐρχομένοις ἐκ τῆς παρατάξεως τοῦ πολέμου. καὶ εἶπεν αὐτοῖς Μωϋσῆς· ἵνατί ἐζωγρήσατε πᾶν θῆλυ; οὗτοι γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ κατὰ τὸ ῥῆμα Βαλαὰμ τοῦ ἀποστῆσαι καὶ ὑποδιδόναι τὸ ῥῆμα κυρίου, γένεσιν φογώρ, καὶ ἐγένετο ἡ πληγὴ ἐν τῇ συναγωγῇ κυρίου. νῦν ἀποκτείνατε πᾶν ἀρσενικὸν, ἐν παιδίοις τῇ ἀπῥτίᾳ, καὶ πᾶσαν γυναῖκα, ἥτις ἔγνω κοίτην ἄρσενος ἀποκτείνατε. καὶ πᾶσαν τὴν ἀπῥτίαν τῶν γυναικῶν, ἥτις οὐκ οἶδε κοίτην ἄρσενος, ζωγρήσατε αὐτὰς, καὶ ὑμεῖς παρεμβαλεῖτε ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας. πᾶς ὁ ἀνελὼν ψυχὴν, καὶ ὁ ἁπτόμενος τῶν τραυματιῶν, ἀγνισθήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ὑμεῖς καὶ ἡ αἰχμαλωσία ὑμῶν, καὶ πᾶν πρόβλημα, καὶ πᾶν σκεῦος δερμάτινον, καὶ πᾶσαν ὁργασίαν δερμαὶ αἰγείας, καὶ πᾶν σκεῦος ξύλινον ἀφαγνιεῖτε. καὶ εἶπεν Ἐλεάζαρ ὁ ἱερεὺς πρὸς τοὺς ἄνδρας τῆς δυνάμεως, τοὺς ἐρχομένους ἐκ τῆς παρατάξεως τοῦ πολέμου· οὗτο τὸ δικαίωμα τοῦ νόμου, ὃ συνέταξε κύριος τῷ Μωϋσεῖ, πλὴν τοῦ χρυσίου, καὶ τοῦ ἀργυρίου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ μολίβδου, καὶ κασσιτέρου, πᾶν πρᾶγμα ὃ διελεύσεται ἐν πυρὶ, καὶ καθαρισθήσεται, ἀλλ' ἢ τῷ ὕδατι τοῦ ἁγνισμοῦ ἁγνισθήσεται, καὶ πάντα ὅσα μὴ διαπερᾶσαι διὰ πυρὸς, διελεύσεται διὰ ὕδατος, καὶ πλυνεῖτε τὰ ἱμάτια τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ καθαρισθήσεσθε, καὶ μετὰ ταῦτα εἰσελεύσεσθε εἰς τὴν παρεμβολήν. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων· λάβε τὸ κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας, ἀπὸ ἀνθρώπου ἕως κτήνους, σὺ καὶ Ἐλεάζαρ ὁ ἱερεὺς, καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῆς συναγωγῆς· καὶ διελεῖτε τὰ σκῦλα αὐτὰ μέσον τῶν πολεμισῶν, τῶν ἐκπορευομένων εἰς τὴν παράταξιν, καὶ αὐτὰ μέσον πάσης συναγωγῆς, καὶ ἀφελεῖτε τὸ τέλος κυρίου παρὰ τῶν ἀνθρώπων τῶν πολεμισῶν τῶν ἐκπορευομένων εἰς τὴν παράταξιν, μίαν ψυχὴν ἀπὸ πεντακοσίων, ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀπὸ τῶν κτηνῶν, καὶ ἀπὸ τῶν βοῶν, καὶ ἀπὸ τῶν προβάτων, καὶ ἀπὸ τῶν ὄνων, καὶ ἀπὸ τοῦ ἡμίσεως αὐτῶν λήψεσθε, καὶ δώσεις Ἐλεάζαρ τῷ ἱερεῖ τὰς ἀπαρχὰς κυρίου. καὶ ἀπὸ τοῦ ἡμίσεως τοῦ τῶν υἱῶν Ἰσραὴλ λήψῃ, ἓν ἀπὸ πεντήκοντα, ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν βοῶν, καὶ ἀπὸ τῶν προβάτων, καὶ ἀπὸ τῶν ὄνων, καὶ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ δώσεις αὐτὰ τοῖς λευίταις τοῖς φυλάσσουσι τὰς φυλακὰς τῆς σκηνῆς κυρίου. καὶ ἐποίησε Μωϋσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς, καθὰ συνέταξε κύριος τῷ Μωϋσεῖ, καὶ ἐγένετο τὸ πλεόνασμα τῆς προνομῆς ὃ προνόμευσαν οἱ ἄνδρες οἱ πολεμισταὶ, ἀπὸ τῶν προβάτων, ἑξακόσιαι χιλιάδες καὶ ἑβδομήκοντα χιλιάδες καὶ πεντακισχίλιαι, καὶ βοῶν δύο καὶ ἑβδομήκοντα χιλιάδες, καὶ ὄνων, μία καὶ ἑξήκοντα χιλιάδες, καὶ ψυχαὶ ἀνθρώπων ἀπὸ τῶν γυναικῶν αἳ οὐκ ἔγνωσαν κοίτην ἀνδρὸς, πᾶσαι ψυχαὶ δύο καὶ τριακόντα χιλιάδες. καὶ ἐγένετο

τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ ἡμίσυμα ἡμεῖς τῶ ἐκπερπορευομένων εἰς τὸν πόλεμον, ἐκ τοῦ ἀριθμοῦ τῶ πεντάτων, τριακόσιαι χιλιάδες, καὶ τριάκοντα χιλιάδες, καὶ ἑπτακισχίλια καὶ πεντακόσια. καὶ ἐγένετο τὸ τέλος λευείων, ἀπὸ τῶ πεντάτων ἑξακόσια καὶ ἑβδομήκοντα πέντε, καὶ βόδι ἓξ καὶ τριάκοντα χιλιάδες, καὶ τὸ τέλος λευείων δύο καὶ ἑβδομήκοντα. καὶ ὄνοι τριάκοντα χιλιάδες καὶ πεντακόσιοι, καὶ τὸ τέλος λευείων ἓξ καὶ ἑξήκοντα. καὶ ψυχαὶ ἀνθρώπων ἓξ καὶ δέκα χιλιάδες, καὶ τὸ τέλος αὐτῶν λευείων δύο καὶ τριάκοντα ψυχαί. καὶ ἔδωκε μωϋσῆς τὸ τέλος λευείων τὸ ἀφαίρεμα τοῦ θεοῦ ἐλεάζαρ τῶ ἱερεῖ, καθάπερ συνέταξε λύριος τῶ μωϋσεῖ ἀπὸ τοῦ ἡμισύματος τῶν υἱῶν ἰσραήλ, ὃς διεῖλε μωϋσῆς ἀπὸ τῶν ἀνδρῶν τῶν πολεμιστῶν. καὶ ἐγένετο τὸ ἡμίσυμα τὸ εἰς συναγωγῆς ἀπὸ τῶν πεντάτων, τριακόσιαι χιλιάδες, καὶ τριάκοντα χιλιάδες, καὶ ἑπτακισχίλια, καὶ πεντακόσια, καὶ βόδι ἓξ καὶ τριάκοντα χιλιάδες, καὶ ὄνοι τριάκοντα χιλιάδες καὶ πεντακόσιοι, καὶ ψυχαὶ ἀνθρώπων ἓξ καὶ δέκα χιλιάδες. καὶ ἔλαβε μωϋσῆς ἀπὸ τοῦ ἡμισύματος τῶν υἱῶν ἰσραήλ, ἓν ἀπὸ πεντήκοντα, ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀπὸ τῶν κτηνῶν, καὶ ἔδωκεν αὐτὰ τοῖς λευίταις τοῖς φυλάσσουσι τὰς φυλακὰς τῆς σκηνῆς λευείς, ὃν τρόπον συνέταξε λύριος τῷ μωϋσεῖ, καὶ πεσῶν λαὸς πρὸς τὸν μωϋσῆν παῖδες οἱ καθεσταμένοι, εἰς τὰς χιλιαρχίας τῆς δυνάμεως, χιλίαρχοι καὶ ἑκατόνταρχοι. καὶ εἶπαν πρὸς μωϋσῆν· οἱ παῖδές σου ἐλήφασι τὸ ἀριθμὸν τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν παρ' ἡμῖν, καὶ ὁ διαπεφώνηκεν ἀπ' αὐτῶν ὁδὲ εἷς, καὶ προσηνέγκαμεν τὸ δῶρον λυρίῳ, ἀνὴρ ὃ εὗρε σκεῦος χρυσοῦν, καὶ χλιδῶνας, καὶ ψέλιον, καὶ δακτύλιον, καὶ περιδέξιον, καὶ ἐμπλόκιον, ἐξιλάσασθαι περὶ ἡμῶν ἐνώπιον λυρίου. καὶ ἔλαβε μωϋσῆς καὶ ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρ' αὐτῶν, πᾶν σκεῦος εἰργασμένον. καὶ ἐγένετο πᾶν τὸ χρυσίον τὸ ἀφαίρεμα, ὃ ἀφεῖλον λυρίῳ ἑκκαίδεκα χιλιάδες, καὶ ἑπτακόσιοι, καὶ πεντήκοντα σίκλοι, πρὸς τῶν χιλιάρχων, καὶ πρὸς τῶν ἑκατοντάρχων. καὶ οἱ ἄνδρες οἱ πολεμισταὶ προεγόμισαν ἕκαστος αὐτῶν ἑαυτῷ. καὶ ἔλαβε μωϋσῆς καὶ ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρὰ τῶν χιλιάρχων, καὶ παρὰ τῶν ἑκατοντάρχων, καὶ εἰσήνεγκαν αὐτὰ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, μνημόσυνον τοῖς υἱοῖς ἰσραὴλ ἐνώπιον λυρίου.

ΚΕΦΑΛ. λβ'. 32.

Καὶ κτηνῶν πλῆθος ἦν τοῖς υἱοῖς ῥουβὴν, καὶ τοῖς υἱοῖς γὰδ, πλῆθος πολὺ σφόδρα. καὶ εἶδον τὴν χώραν ἰαζὴρ, καὶ τὴν χώραν γαλαάδ, καὶ ἦν ὁ τόπος, τόπος κτηνῶσι. καὶ προσελθόντες οἱ υἱοὶ ῥουβὴν καὶ οἱ υἱοὶ γὰδ, εἶπαν πρὸς μωϋσῆν, καὶ πρὸς ἐλεάζαρ τὸν ἱερέα, καὶ πρὸς τοὺς ἀρχοντας τῆς συναγωγῆς λέγοντες. ἀτταρὼθ καὶ δαιβὼν, καὶ ἰαζὴρ, καὶ ναμρὰ, καὶ ἐσεβὼν, καὶ ἐλεαλὴ, καὶ σεβαμὰ, καὶ ναδιὰβ, καὶ Βαϊλιὰ, τὴν γῆν ἣν ἐπάταξε λύριος ἐνώπιον τῶν υἱῶν ἰσραὴλ, γῆ κτηνοτρόφος ἐστὶ, καὶ τοῖς παισί σου κτήνη ὑπάρχει. καὶ εἶπαν, εἰ εὕρομεν χάριν ἐνώπιόν σου, δοθήτω ἡμῖν ἡ γῆ αὕτη τοῖς οἰκέταις σου ἐν κατασχέσει, καὶ μὴ διαβιβάσῃς ἡμᾶς τὸν ἰορδάνην. καὶ εἶπε μωϋσῆς τοῖς υἱοῖς γὰδ καὶ τοῖς υἱοῖς ῥουβήν· οἱ ἀδελφοὶ ὑμῶν πορεύσονται εἰς τὸν πόλεμον, καὶ ὑμεῖς καθίσατε αὐτοῦ. καὶ ἵνατί διαστρέφετε τὰς διανοίας τῶν υἱῶν ἰσραὴλ, μὴ διαβῆναι εἰς τὴν γῆν ἣν λύριος δέδωκεν αὐτοῖς; οὐχ οὕτως ἐποίησαν οἱ πατέρες ὑμῶν, ὅτε ἀπέστειλα αὐτοὺς ἐκ κάδης βαρνῆ, κατανοῆσαι τὴν γῆν. καὶ ἀνέβησαν ἕως φάραγγος βότρυος, καὶ κατενόησαν τὴν γῆν, καὶ ἀπέστησαν τὴν καρδίαν τῶν υἱῶν ἰσραὴλ, ὅπως μὴ εἰσέλθωσιν εἰς τὴν γῆν ἣν δέδωκεν αὐτοῖς λύριος. καὶ ὠργίσθη θυμῷ λύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ὤμοσε λέγων· εἰ ὄψονται οἱ ἄνθρωποι οὗτοι οἱ ἀναβάντες ἐξ αἰγύπτου ἀπὸ εἰκοστετοῦς καὶ ἐπάνω, οἱ ὠσὰμψυχοι τὸ ἀγαθὸν καὶ τὸ κακὸν, τὴν γῆν ἣν ὤμοσα τῷ ἀβραὰμ καὶ τῷ ἰσαὰκ καὶ τῷ ἰακώβ; ἀφ' οὗ γὰρ συνεπεπολέμηκάν μοι, πλὴν χάλεφ υἱὸς ἰεφθοννὶ ὁ γλακεχωρεισμένος, καὶ ἰησοῦς ὁ τοῦ ναυὴ, ὅτι συνεπεπολέμηκαν ὀπίσω λυρίου, καὶ ὠργίσθη θυμῷ λύριος ἐπὶ τὸν ἰσραὴλ, καὶ κατεβίβασεν αὐτοὺς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, ἕως ἐξανεπλήσθη πᾶσα ἡ γενεὰ οἱ ποιοῦντες τὰ πονηρὰ ἐνώπιον λυρίου. ἰδοὺ ἀνέστητε ἀντὶ τῶν πατέρων ὑμῶν, σύστρεμμα ἀνθρώπων ἁμαρτωλῶν, προσθεῖναι ἔτι ἐπὶ τὸν θυμὸν τῆς ὀργῆς λυρίου ἐπὶ ἰσραὴλ, ὅτι ἀποστραφήσεσθε ἀπ' αὐτοῦ, προσθεῖναι ἔτι καταλιπεῖν αὐτὸν ἐν τῇ ἐρήμῳ, καὶ ἀνομήσετε εἰς ὅλον τὸν συναγωγὸν τοῦτον. καὶ προσῆλθον αὐτῷ καὶ ἔλεγον· ἐπαύλεις προβάτων, οἰκοδομήσομεν ὧδε τοῖς κτήνεσιν ὑμῶν, καὶ πόλεις ταῖς ἀποσκευαῖς ὑμῶν, καὶ ἡμεῖς ἐνοπλισάμενοι παρελευσόμεθα προφυλακὴ, πρὸ τοῦ υἱῶν ἰσραὴλ, ἕως ἂν ἀγάγωμεν αὐτοὺς εἰς τὸν ἑαυτῶν τόπον. καὶ κατοικήσει ἡ ἀποσκευὴ ὑμῶν ἐν πόλεσι τετειχισμέναις διὰ τοὺς κατοικοῦντας τὴν γῆν, ὃ μὴ ἀποστραφῶμεν εἰς τὰς οἰκίας ἡμῶν ἕως ἂν κατακληρονομήσωσιν οἱ υἱοὶ ἰσραὴλ, ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ οὐκέτι κληρονομήσομεν ἐν αὐτοῖς ἀπὸ τοῦ πέραν τοῦ ἰορδάνου καὶ ἐπέκεινα, ὅτι ἀπέχομεν τοὺς κλήρους ἡμῶν ἐν τῷ πέραν τοῦ ἰορδάνου ἐν ἀνατολαῖς. καὶ εἶπε πρὸς αὐτοὺς μωϋσῆς· ἐὰν ποιήσητε κατὰ τὸ ῥῆμα τοῦτο, ἐὰν ἐξοπλίσησθε ἐνώπιον λυρίου εἰς πόλεμον, καὶ παρελεύσεται ὑμῶν πᾶς ὁπλίτης τὸν ἰορδάνην ἐνώπιον λυρίου εἰς πόλεμον, ἕως ἂν ἐκτριβῇ ὁ ἐχθρὸς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, καὶ κατακυριευθῇ ἡ γῆ ἐνώπιον λυρίου, καὶ μετὰ

τοῦτα ἀπεγραφήσεσθε, καὶ ἔσεσθε κληροῦχοι γῆ Χανάαν κατὰ τὰ ὅρια αὐτῆς. καὶ ἔσται ὑμῖν ἡ γῆ αὕτη ὑμῖν γῆ Χανάαν κατὰ τὰ ὅρια αὐτῆς, ἕως ἂν ἐκτριβῇ ὁ ἐχθρὸς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, καὶ παταγωνισθῇ ἡ γῆ Χανάαν κύκλῳ. ἐὰν δὲ μὴ ποιήσητε οὕτως, ἁμαρτήσεσθε Χανάαν κύκλῳ, καὶ γνώσεσθε τὴν ἁμαρτίαν ὑμῶν, ὅταν ὑμᾶς καταλάβῃ τὰ κακά. Καὶ ὁ κύριος ὑμῖν ἐν ταῖς πόλεσι τῆς κατοικήσεως ὑμῶν, καὶ ἐπαύλεις ταῖς κτήνεσιν ὑμῶν, καὶ ὁ ἐκπορευόμενον ἐκ τοῦ στόματος ὑμῶν ποιήσετε. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων τοῖς υἱοῖς Ισραὴλ καὶ ἐροῖς πρὸς αὐτούς· ὑμεῖς ἐγγίζετε τὴν Ιορδάνην εἰς γῆν Χανάαν, καὶ πεσοῦνται ὑμῖν ἐν κλήρῳ αἱ πόλεις τῆς κατοικήσεως ὑμῶν, καὶ δώσετε ταῖς πόλεσι τοῖς Λευίταις ἐκ τῶν κτημάτων ὑμῶν, ἐσούσας ταῖς πόλεσι γαλαάδ, οἱ δὲ πόλεις σου παρελεύσονται πάντες γωπλισμένοι καὶ ἐκπεπαγμένοι γῆ Χανάαν εἰς τὸν πόλεμον, ὃν τρόπον κύριος λέγει. καὶ συνέσησεν αὐτοῖς Μωϋσῆς ἐλεάζαρ τὸν ἱερέα, καὶ Ἰησοῦ υἱὸν Ναυή, καὶ τοὺς ἄρχοντας τῶν πατριῶν τῶν φυλῶν Ισραήλ. καὶ εἶπε πρὸς αὐτοὺς Μωϋσῆς· ἐὰν διαβῶσιν οἱ υἱοὶ Γαδδί, καὶ οἱ υἱοὶ γαὰδ μεθ' ὑμῶν τὸν Ιορδάνην, πᾶς γωπλισμένος εἰς πόλεμον ἔναντι κυρίου, καὶ παταγωνισθήσεται ἡ γῆ ἀπέναντι ὑμῶν, καὶ δώσετε αὐτοῖς τὴν γῆν γαλαάδ εἰς κατάσχεσιν. ἐὰν δὲ μὴ διαβῶσιν γωπλισμένοι μεθ' ὑμῶν εἰς πόλεμον ἔναντι κυρίου, καὶ διαβιβάσεται τὴν ἀποσκευὴν αὐτῶν, καὶ τὰ γυναῖκας αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν πρόσταγμα ὑμῶν εἰς γῆν χαναάν, καὶ συγκατακληρονομηθήσονται ἐν ὑμῖν ἐν τῇ γῇ χαναάν. καὶ ἀπεκρίθησαν οἱ υἱοὶ Γαδδί, καὶ οἱ υἱοὶ γαὰδ λέγοντες· ὅσα ὁ κύριος λέγει τοῖς δούλοις αὐτοῦ, οὕτω ποιήσομεν ἡμεῖς. διαβησόμεθα γωπλισμένοι ἔναντι κυρίου εἰς γῆν χαναάν, καὶ διώσεται τὴν κατάσχεσιν ὑμῶν ἐν τῷ πεδίῳ τοῦ Ιορδάνου. καὶ ἐδώκεν αὐτοῖς Μωϋσῆς τοῖς υἱοῖς γαὰδ, καὶ τοῖς υἱοῖς Γαδδί, καὶ τῷ ἡμίσει τῆς φυλῆς μανασσῆ υἱῶν Ιωσήφ, τὴν βασιλείαν Σηὼν βασιλέως Ἀμορραίων, καὶ τὴν βασιλείαν Ὼγ βασιλέως τῆς Βασάν, τὴν γῆν καὶ τὰς πόλεις σὺν τοῖς ὁρίοις αὐτοῖς, πόλεις τῆς γῆς κύκλῳ, καὶ ᾠκοδόμησαν οἱ υἱοὶ γαὰδ τὴν Δαιβών, καὶ τὴν Ἀταρώθ, καὶ τὴν Ἀροήρ, καὶ τὴν Σωφάν, καὶ τὴν Ιαζήρ, καὶ Ὑψωσαν αὐτάς, καὶ τὴν Ἀμραάμ, καὶ τὴν Βαιθαβαρὰν πόλεις ὀχυράς, καὶ ἐπαύλεις προβάτων. καὶ υἱοὶ Γαδδὶ ᾠκοδόμησαν τὴν Ἐσεβών, καὶ Ἐλεαλή, καὶ Καριαθαείμ, καὶ τὴν Ναβώ, καὶ τὴν Βεελμεών, μεταμεταμελομένας, καὶ τὴν Σεβαμά. καὶ ἐπωνόμασαν κατὰ τὰ ὀνόματα αὐτῶν, τὰ ὀνόματα τῶν πόλεων ἃς ἐπωκοδόμησαν. καὶ ἐπορεύθη οὖρ υἱὸς Μαχεὶρ υἱοῦ Μανασσῆ εἰς γαλαάδ, καὶ ἔλαβεν αὐτήν, καὶ ἀπώλεσε τὸν Ἀμορραῖον τὸν κατοικοῦντα ἐν αὐτῇ. καὶ ἔδωκε Μωϋσῆς τὴν γαλαάδ τῷ Μαχεὶρ υἱῷ Μανασσῆ, καὶ κατῴκησεν ἐκεῖ. καὶ Ἰάειρ ὁ τοῦ Μανασσῆ, ἐπορεύθη καὶ ἔλαβε τὰς ἐπαύλεις αὐτῶν, καὶ ἐπωνόμασεν αὐτὰς ἐπαύλεις Ἰάειρ. καὶ Ναβαὶ ἐπορεύθη καὶ ἔλαβε τὴν Καναθὰ καὶ τὰς κώμας αὐτῆς, καὶ ἐπωνόμασεν αὐτὰς Ναβώθ, ἐκ τοῦ ὀνόματος αὐτοῦ.

ΚΕΦΑΛ. λγ'. 33.

Καὶ οὗτοι οἱ σταθμοὶ τῶν υἱῶν Ισραὴλ, ὡς ἐξῆλθον ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών, καὶ ἔγραψε Μωϋσῆς τὰς ἀπάρσεις αὐτῶν, καὶ τοὺς σταθμοὺς αὐτῶν, διὰ ῥήματος Κυρίου. καὶ οὗτοι οἱ σταθμοὶ τῆς πορείας αὐτῶν. ἀπῆραν ἐκ Ραμεσσῆ, τοῦ μηνὸς τοῦ πρώτου τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου. τῇ ἐπαύριον τοῦ πάσχα ἐξῆλθον οἱ υἱοὶ Ισραὴλ ἐν χειρὶ ὑψηλῇ ἐνώπιον πάντων τῶν Αἰγυπτίων, καὶ οἱ Αἰγύπτιοι ἔθαπτον ἐξ αὐτῶν τοὺς τεθνηκότας πάντας ὅσους ἐπάταξε Κύριος πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν τοῖς θεοῖς αὐτῶν ἐποίησε τὴν ἐκδίκησιν Κύριος. ἀπάραντες δὲ οἱ υἱοὶ Ισραὴλ ἐκ Ραμεσσῆ, παρενέβαλον εἰς Σοκχώθ. καὶ ἀπάραντες ἐκ Σοκχὼθ, παρενέβαλον εἰς Βουθάν, ὅ ἐστιν ἔρημος. καὶ ἀπῆραν ἐκ Βαθάν, καὶ παρενέβαλον ὧδε τὸ ὄρος Ἐρὼθ, ὃ ἐστιν ἀπέναντι Βεελσεπφών, καὶ παρενέβαλον ἀπέναντι μαγδώλων. καὶ ἀπῆραν ἀπέναντι Ειρὼθ. Καὶ διέβησαν διὰ μέσου τῆς θαλάσσης εἰς τὴν ἔρημον. καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν διὰ τῆς ἐρήμου αὐτοῦ, καὶ παρενέβαλον ἐν Πικρίαις. καὶ ἀπῆραν ἐκ Πικρίων, Καὶ ἦλθον εἰς Ἐλείμ. καὶ ἐν Ἐλείμ, δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στελέχη φοινίκων, καὶ παρενέβαλον ἐκεῖ παρὰ τὸ ὕδωρ. καὶ ἀπῆραν ἐξ Ἐλείμ, καὶ παρενέβαλον ὧδε θάλασσαν ἐρυθράν. καὶ ἀπῆραν ἀπὸ θαλάσσης Ἐρυθρᾶς, καὶ παρενέβαλον εἰς τὴν ἔρημον Σίν. καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σίν, καὶ παρενέβαλον εἰς Ῥαφακά. καὶ ἀπῆραν ἐκ Ῥαφακά, καὶ παρενέβαλον ἐν Ἀλούς. καὶ ἀπῆραν ἐξ Ἀλούς, καὶ παρενέβαλον ἐν Ῥαφιδείμ, καὶ οὐκ ἦν ἐκεῖ ὕδωρ τοῦ λαοῦ πιεῖν. καὶ ἀπῆραν ἐκ Ῥαφιδείμ, καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ τῇ Σινᾶ. καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σινᾶ, καὶ παρενέβαλον ἐν Μνήμασι τῆς ἐπιθυμίας. καὶ ἀπῆραν ἐκ Μνημάτων τῆς ἐπιθυμίας, καὶ παρενέβαλον ἐν Ἀσηρώθ. καὶ ἀπῆραν ἐξ Ἀσηρώθ, καὶ παρενέβαλον ἐν Ῥαθαμά. καὶ ἀπῆραν ἐκ Ῥαθαμά, καὶ παρενέβαλον ἐν Ῥεμμὼν φαρές. καὶ ἀπῆραν ἐκ Ῥεμμὼν φαρές. καὶ παρενέβαλον εἰς Λεμβωνά. καὶ ἀπῆραν ἐκ Λεμβωνᾶ, καὶ παρενέβαλον εἰς Ῥεσσά. καὶ ἀπῆραν ἐκ Ῥεσσά, καὶ παρενέβαλον εἰς Μακελάθ. καὶ ἀπῆραν ἐκ Μακελάθ, καὶ παρενέβαλον ἐν Ἀρσαφάθ. καὶ ἀπῆραν ἐξ ὄρους Ἀρσαφάθ, καὶ παρενέβαλον ἐν Χαραδάθ. καὶ ἀπῆραν ἐκ Χαραδάθ, καὶ παρενέβαλον εἰς Μακηλώθ. καὶ ἀπῆραν

ἐκ μα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ μακησλὼθ, καὶ παρεγένετο εἰς λαταὰθ. καὶ ἀπῆραν ἐκ λαταὰθ, καὶ παρεγένετο εἰς θαρελθ. καὶ ἀπῆραν ἐκ θαρὰθ, καὶ παρεγένετο εἰς μαθεκκά. καὶ ἀπῆραν ἐκ μαθεκκὰ, καὶ παρεγένετο εἰς ἀσελμωνά. καὶ ἀπῆραν ἀπ' ἀσελμωνὰ, καὶ παρεγένετο εἰς μασουρούθ. καὶ ἀπῆραν ἐκ μασουρούθ, καὶ παρεγένετο εἰς βανακκαὰ. καὶ ἀπῆραν ἐκ βανακκαὰ, καὶ παρεγένετο εἰς τὸ ὄρος γασλασλ. καὶ ἀπῆραν ἐκ τοῦ ὄρους γασλασλ, καὶ παρεγένετο εἰς ἐτεβαθά. καὶ ἀπῆραν ἀπ' ἐτεβαθὰ, καὶ παρεγένετο εἰς ἑβρωνά. καὶ ἀπῆραν ἀπ' ἑβρωνὰ, καὶ παρεγένετο εἰς γεθσιὼν γαβρ. καὶ ἀπῆραν ἐκ γεθσιὼν γαβερ, καὶ παρεγένετο ἐν τῇ ἐρήμῳ σὶν. καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου σὶν, καὶ παρεγένετο εἰς τὸ ὄρος φαραὶν, αὕτη ἐστὶ λαδηλ. καὶ ἀπῆραν ἐκ λαδηλ, καὶ παρεγένετο εἰς ὠρ τὸ ὄρος πλησίον τῆς γῆς ἐδὼμ. Καὶ ἀνέβη ἀαρὼν ὁ ἱερεὺς ἐπὶ τὸ ὄρος ἀβὰ πρὸς λαλγματος κυρίου, καὶ ἀπεθανεν ἐκεῖ ἐν ἔτει τεσσαρακοστῷ ἐξόδου τῶν υἱῶν ἰσραὴλ ἐκ γῆς αἰγύπτου, ἐν μηνὶ ἐν πέμπτῳ, μιᾷ τοῦ μηνός. καὶ ἀαρὼν ἦν τριῶν καὶ εἴκοσι καὶ ἑκατὸν ἐτῶν, ὅτε ἀπεθνησκεν ἐν ὄρει. καὶ ἀκούσας ὁ χαναναῖος βασιλεὺς ἀράδ, καὶ οὗτος κατῴκει ἐν γῇ χαναάν, ὅτε εἰσεπορεύοντο οἱ υἱοὶ ἰσραὴλ, καὶ ἀπῆραν ἐξ ὠρ τοῦ ὄρους, καὶ παρεγένετο εἰς σελμωνά. καὶ ἀπῆραν ἐκ σελμωνᾶ, καὶ παρεγένετο ἐν φινών. καὶ ἀπῆραν ἐκ φινὼν, καὶ παρεγένετο ἐν ὠβὼθ. καὶ ἀπῆραν ἐξ ὠβὼθ, καὶ παρεγένετο ἐν γαὶ, ἐν τῷ πέραν ὑδὶ τῶν ὁρίων μωὰβ. καὶ ἀπῆραν ἐκ γαὶ, καὶ παρεγένετο εἰς λαιβὰμ γάδ. καὶ ἀπῆραν ἐκ λαιβὰμ γάδ, καὶ παρεγένετο εἰς γελμὼν λιβλαθαίμ. καὶ ἀπῆραν ἐκ γελμὼν λιβλαθαίμ, καὶ παρεγένετο ἐπὶ τὰ ὄρη τὰ ἀβαρείμ ἀπέναντι ναβαῦ. καὶ ἀπῆραν ἀπὸ ὀρίων ἀβαρείμ, καὶ παρεγένετο ἐπὶ λυσμὼν μωὰβ, ἐπὶ τοῦ ἰορδάνου κατ' ἰόριχώ. καὶ ἀπῆραν ἀπὸ λυσμὼν μωὰβ, καὶ παρεγένετο ἐπὶ τὸν ἰορδάνου αὐτὰ μέσον αἰσιμὼθ, ἕως βελσατὶμ κατὰ λυσμὰς μωάβ.

ΚΕΦΑΛ. λδ'. 34.

Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν ἐπὶ λυσμὼν μωὰβ, παρὰ τὸν ἰορδάνου κατὰ ἰόριχώ λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ὄψῃ πρὸς αὐτοὺς· ὑμεῖς διαβαίνετε τὸν ἰορδάνου εἰς γῆν χαναάν, κατὰ κληρώσετε πάντας τοὺς κατοικοῦντας ἐν τῇ γῇ πρὸ προσώπου ὑμῶν, καὶ ἐξαρεῖτε τὰς σκοπιὰς αὐτῶν, καὶ πάντα τὰ εἴδωλα τὰ χωνευτὰ αὐτῶν, ἀπολεῖτε αὐτὰ, καὶ πάσας τὰς ὕλας αὐτῶν ἐξαρεῖτε, καὶ ἀπολεῖτε τοὺς κατοικοῦντας τὴν γῆν, καὶ κατοικήσετε ἐν αὐτῇ. ὑμῖν γὰρ δέδωκα τὴν γῆν αὐτῶν ἐν κλήρῳ, καὶ κατακληρονομήσετε τὴν γῆν αὐτῶν κληρωτὶ, κατὰ φυλὰς ὑμῶν. τοῖς πλείοσι πληθυνεῖτε τὴν κατάσχεσιν αὐτῶν, καὶ τοῖς ἐλάττοσιν ἐλαττώσετε τὴν κατάσχεσιν αὐτῶν. εἰς ὃ ἂν ἐξέλθῃ τὸ ὄνομα αὐτοῦ, ἐκεῖ αὐτοῦ ἔσαι. κατὰ φυλὰς πατριῶν ὑμῶν κληρονομήσετε. ἐὰν δὲ μὴ ἀπολέσητε τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ἀπὸ προσώπου ὑμῶν, καὶ ἔσαι οὓς ἐὰν καταλίπητε ἐξ αὐτῶν, σκόλοπες ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ βολίδες ἐν ταῖς πλευραῖς ὑμῶν, καὶ ἐχθρεύσουσιν ὑμῖν ἐπὶ τῆς γῆς ἐφ' ᾗ ὑμεῖς κατοικήσετε, καὶ ἔσαι καθότι διενοήκειν, ποιῆσαι αὐτοῖς, ποιήσω ὑμῖν. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· ἔντειλαι τοῖς υἱοῖς ἰσραὴλ καὶ ὄψῃ πρὸς αὐτοὺς, ὑμεῖς εἰσπορεύεσθε εἰς τὴν γῆν χαναάν, αὕτη ἔσαι ὑμῖν εἰς κληρονομίαν, γῆ χαναὰν σὺν τοῖς ὁρίοις αὐτῆς. καὶ ἔσαι ὑμῖν ὁ λίψ ἀπὸ τῆς ὀρήμου σὶν, ἕως ἐχόμενον ἐδώμ. καὶ ἔσαι ὑμῖν τὰ ὅρια πρὸς λίβα, ἀπὸ μέρους τῆς θαλάσσης τῆς ἁλυκῆς ἀπὸ ἀνατολῶν, καὶ κυκλώσει ἡμᾶς τὰ ὅρια ἀπὸ λιβὸς πρὸς νότον ἀσσβασιν ἀκραβείν. καὶ παρελεύσεται γήναξ, καὶ ἔσαι ἡ ἐξοδος αὐτοῦ ἀπὸ τοῦ πρὸς λίβα κάδης τοῦ βαρνὴ, καὶ ἐξελεύσεται εἰς ἔπαυλιν ἀρὰδ, καὶ παρελεύσεται ἀσελμωνὰ, καὶ κυκλώσει τὰ ὅρια ἀπὸ ἀσελμωνὰ χειμάῤῥουν αἰγύπτου. καὶ ἔσαι ἡ ἐξοδος ἡ θαλασσα ἡ μεγάλη, καὶ τὰ ὅρια τῆς θαλάσσης ἔσαι ὑμῖν, ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ. οὗτος ἔσαι ὑμῖν τὰ ὅρια τῆς θαλάσσης, καὶ ποῦ ἔσαι ὑμῖν τὰ ὅρια πρὸς βορῤῥᾶν. ἀπὸ τῆς θαλάσσης τῆς μεγάλης, καταμετρήσετε ὑμῖν αὐτοῖς παρὰ τὸ ὄρος, καὶ ἀπὸ τοῦ ὄρους, τὸ ὄρος καταμετρήσετε αὐτοῖς, εἰσπορευομένων εἰς ἐμαθ. καὶ ἔσαι ἡ ἐξοδος αὐτοῦ, τὰ ὅρια σεδαδά. καὶ ἐξελεύσεται τὰ ὅρια ζεφρονά, καὶ ἔσαι ἡ ἔξοδος αὐτοῦ ἀρσεναείν, οὗτος ἔσαι ὑμῖν τὰ ὅρια ἀπὸ βορῤῥᾶ. καὶ καταμετρήσετε ὑμῖν ἑαυτοῖς τὰ ὅρια ἀνατολῶν, ἀπὸ ἀρσεναείν, ἕως ἀπὸ σεπφαμά. καὶ καταβήσεται τὰ ὅρια ἀπὸ σεφαμὰρ βηλά, ἀπὸ ἀνατολῶν, ἐπὶ νωγάς, καὶ καταβήσεται τὰ ὅρια βηλά, καὶ συγκρούσει ἐπὶ νώτου θαλάσσης χενερὲθ, ἀπὸ ἀνατολῶν. καὶ καταβήσεται τὰ ὅρια ὑδὶ τὸν ἰορδάνου, καὶ ἔσαι ἡ ἔξοδος θάλασσα ἡ ἁλυκὴ, αὕτη ἔσαι ὑμῖν ἡ γῆ καὶ τὰ ὅρια αὐτῆς κύκλῳ. καὶ ἐνετείλατο μωϋσῆς τοῖς υἱοῖς ἰσραὴλ, λέγων· αὕτη ἡ γῆ ἣν κατακληρονομήσετε αὐτὴν μετὰ κλήρου, ὃν πρόσταξε κύριος δοῦναι αὐτοῖς ταῖς ἐννέα φυλαῖς, καὶ τῷ ἡμίσει φυλῆς μανασσῆ, ὅτι ἔλαβε φυλὴ υἱῶν ῥουβὴν, καὶ φυλὴ υἱῶν γὰδ κατ' οἴκους πατριῶν αὐτῶν, καὶ τὸ ἥμισυ φυλῆς μανασσῆ, ἀπέλαβον τὸν κλῆρους αὐτῶν. δύο φυλαὶ καὶ ἥμισυ φυλῆς, ἔλαβον τοὺς κλήρους αὐτῶν, πέραν τοῦ ἰορδάνου, κατὰ ἰόριχὼ ἀπὸ νότου πρὸς ἀνατολάς. Καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τα τὰ ὀνόματα τῶν αὐξῶν οἱ κληρονομήσουσιν ὑμῖν τὴν γῆν, ἐλαλησε κύριος, καὶ ἐσται ὅταν ἡ ἀρχοντα ἕνα ἐκ φυλῆς καὶ φυλῆς κατακληρονομῆσαι ὑμῖν τὴν γῆν. καὶ τοῦτα τὰ ὀνόματα τῶν αὐξῶν. τῆς φυλῆς ἰούδα, χαλεβ υἱὸς ἰεφθαννί. τῆς φυλῆς συμεών, σαλαμιὴλ υἱὸς σεμιουήλ. τῆς φυλῆς βενιαμίν, ἐλισὰς υἱὸς χασλών. τῆς φυλῆς δαν, ἄρχων βοκκὸρ υἱὸς ἰεκλί. τῶν υἱῶν ἰωσὴφ φυλῆς υἱῶν μανασσῆ, ἄρχων ἀνιὴλ υἱὸς σουφιήλ. τῆς φυλῆς υἱῶν ἐφραίμ, ἄρχων καμουὴλ υἱὸς σαφτάν. τῆς φυλῆς ζαβουλών, ἄρχων ἐλισαφὰν υἱὸς χαρνάχ. τῆς φυλῆς υἱῶν ἰσσαχάρ, ἄρχων φαντιὴλ υἱὸς ὀζάν. τῆς φυλῆς υἱῶν ἀσήρ, ἄρχων ἀχιὼρ υἱὸς σελεμί. τῆς φυλῆς νεφθαλί, ἄρχων φαδιὴλ, υἱὸς ἀμιούδ. οὗτοι οἷς ἐνετείλατο κύριος καταμερίσαι τοῖς υἱοῖς ἰσραὴλ ἐν γῇ χαναάν.

ΚΕΦΑΛ. λέ. 35.

ΚΑὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν ἐπὶ δυσμῶν μωάβ, παρὰ τὸν ἰορδάνην κατὰ ἰέριχω λέγων· σύνταξον τοῖς υἱοῖς ἰσραὴλ, καὶ δώσουσι τοῖς λευίταις ἀπὸ τῶν κλήρων κατάληψεως αὐτῶν πόλεις κατοικεῖν, καὶ τὰ προάστεια τῶν πόλεων, κύκλῳ αὐτῶν δώσουσι τοῖς λευίταις. καὶ ἔσονται αἱ πόλεις αὐτῶν κατοικεῖν, καὶ τὰ ἀφορίσματα αὐτῶν ἔσαι τοῖς κτήνεσιν αὐτῶν, καὶ πᾶσι τοῖς τετράποσιν αὐτῶν. καὶ τὰ συγκυροῦντα τῶν πόλεων ἃς δώσετε τοῖς λευίταις, ἀπὸ τείχους ἔξω πόλεως κύκλῳ ἔξω δισχιλίους πήχεις κύκλῳ. καὶ μετρήσεις ἔξω πόλεως τὸ λίψ τὸν πρὸς νότον δισχιλίους πήχεις, καὶ τὸ λίψ τὸν πρὸς λίβα δισχιλίους πήχεις, καὶ τὸ λίψ τὸν πρὸς θάλασσαν δισχιλίους πήχεις, καὶ τὸ λίψ τὸν πρὸς βορρᾶν δισχιλίους πήχεις. καὶ ἡ πόλις μέσον τούτου ἔσαι ὑμῖν, καὶ τὰ ὅμορα τῶν πόλεων, καὶ τὰς πόλεις ἃς δώσετε τοῖς λευίταις τὰς ἓξ πόλεις τῶν φυγαδευτηρίων, ἃς δώσετε φυγεῖν ἐκεῖ τὸν φονεύσαντα, καὶ πρὸς ταύτας τεσσαράκοντα καὶ δύο πόλεις. πάσας τὰς πόλεις ἃς δώσετε τοῖς λευίταις, τεσσαράκοντα καὶ ὀκτὼ πόλεις, ταύτας καὶ τὰ προάστεια αὐτῶν, καὶ τὰς πόλεις ἃς δώσετε ἀπὸ τῆς κατασχέσεως τῶν υἱῶν ἰσραὴλ, ἀπὸ τῶν πολλῶν πολλά, καὶ ἀπὸ τῶν ἐλαττόνων ἐλάττω, ἕκαστος κατὰ τὴν κληρονομίαν αὐτοῦ, ἣν κατακληρονομήσουσι, δώσουσιν ἀπὸ τῶν πόλεων τοῖς λευίταις. καὶ ἐλάλησε κύριος πρὸς μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ὑμεῖς διαβαίνετε τὸν ἰορδάνην εἰς γῆν χαναάν, καὶ διαστελεῖτε ὑμῖν αὐτοῖς πόλεις, φυγαδευτήρια ἔσαι ὑμῖν, φεύγειν ἐκεῖ τὸν φονευτήν. πᾶς ὁ πατάξας ψυχὴν ἀκουσίως, καὶ ἔσονται αἱ πόλεις ὑμῖν φυγαδευτήρια, καὶ οὐ τελευτήσει ὁ ἀγχιστεύων τὸ αἷμα, καὶ ὁ μὴ ἀποθάνῃ ὁ φονεύων, ἕως ἂν στῇ ἔναντι τῆς συναγωγῆς εἰς κρίσιν. καὶ αἱ πόλεις ἃς δώσετε τὰς ἓξ πόλεις φυγαδευτήρια ἔσονται ὑμῖν, τὰς τρεῖς πόλεις δώσετε ἐν τῷ περαν τοῦ ἰορδάνου, καὶ τὰς τρεῖς πόλεις δώσετε ἐν γῇ χαναάν, φυγαδεῖον ἔσαι τοῖς υἱοῖς ἰσραὴλ. καὶ τῷ προσηλύτῳ καὶ τῷ παροίκῳ τῷ ἐν ὑμῖν ἔσονται αἱ πόλεις αὗται εἰς φυγαδευτήριον, φυγεῖν ἐκεῖ παντὶ πατάξαντι ψυχὴν ἀκουσίως. ἐὰν δὲ ἐν σκεύει σιδήρου πατάξῃ αὐτὸν καὶ τελευτήσῃ, φονευτής ὅδε, θανάτῳ θανατούσθω ὁ φονευτής. ἐὰν δὲ ἐν λίθῳ ἐκ χειρὸς ἐν ᾧ ἀποθανεῖται, ἐν αὐτῷ πατάξῃ αὐτόν, καὶ ἀποθάνῃ, φονευτής ὅδε, θανάτῳ θανατούσθω ὁ φονευτής. ἐὰν δὲ ἐν σκεύει ξυλίνῳ ἐκ χειρὸς ἐξ οὗ ἀποθανεῖται πατάξῃ αὐτόν, καὶ ἀποθάνῃ, φονευτής ὅδε, θανάτῳ ἀποθανεῖται ὁ φονευτής. ὁ ἀγχιστεύων τοῦ αἵματος, οὗτος ἀποκτενεῖ τὸν φονευτήν· ὅταν συναντήσῃ αὐτῷ, οὗτος ἀποκτενεῖ αὐτόν. ἐὰν δὲ διὰ ἔχθραν ὥσῃ αὐτόν, καὶ ἐπιρρίψῃ ἐπ' αὐτὸν πᾶν σκεῦος ἐξ ἐνέδρου, καὶ ἀποθάνῃ, ἢ πλὴν μιᾷ ἐπάταξεν αὐτὸν τῇ χειρὶ καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω, ὁ πατάξας φονευτής ὅδε, θανάτῳ θανατούσθω φονεύων, ὁ ἀγχιστεύων τοῦ αἵματος ἀποκτενεῖ τὸν φονευτὴν ἐν τῷ συναντῆσαι αὐτῷ. ἐὰν δὲ ἐξαπίνης ὁ διὰ ἔχθραν ὥσῃ αὐτόν, ἢ ἐπιρρίψῃ ἐπ' αὐτὸν, πᾶν σκεῦος ἐκ ἐξ ἐνέδρου, ἢ πᾶσι λίθῳ, ἐν ᾧ ἀποθανεῖται ἐν αὐτοῖς καὶ ἐκ εἰδὼς, καὶ ἐπιπέσῃ ἐπ' αὐτὸν καὶ ἀποθάνῃ, αὐτὸς δὲ ἐκ ἔχθρος αὐτῷ ἦν, ἐδὲ ζητῶν κακῶσαι αὐτόν, καὶ κρινεῖ ἡ συναγωγὴ αὐτὰ μέσον τοῦ πατάξαντος, καὶ αὐτὰ μέσον τοῦ ἀγχιστεύοντος τὸ αἷμα, κατὰ τὰ κρίματα ταῦτα. καὶ ἐξελεῖται ἡ συναγωγὴ τὸν φονεύσαντα, ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, καὶ ἀποκατάστησει αὐτὸν ἡ συναγωγὴ εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου αὐτοῦ, ὃ κατέφυγε, καὶ κατοικήσει ἐκεῖ, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὃν ἔχρισαν αὐτὸν τῷ ἐλαίῳ τῷ ἁγίῳ. ἐὰν δὲ ἐξόδῳ ἐξέλθῃ ὁ φονεύσας τὰ ὅρια τῆς πόλεως εἰς ἣν κατέφυγεν ἐκεῖ, καὶ εὕρῃ αὐτὸν ὁ ἀγχιστεύων τὸ αἷμα ἔξω τῶν ὁρίων τῆς πόλεως καταφυγῆς αὐτοῦ, καὶ φονεύσῃ ὁ ἀγχιστεύων τὸ αἷμα τὸν φονεύσαντα, οὐκ ἔνοχός ἐστιν. ἐν γὰρ τῇ πόλει τῆς καταφυγῆς αὐτοῦ κατοικείτω, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας. καὶ μετὰ τὸ ἀποθανεῖν τὸν ἱερέα τὸν μέγαν, ἐπαναστραφήσεται ὁ φονεύσας εἰς τὴν γῆν τῆς κατασχέσεως αὐτοῦ. καὶ ἔσαι τοῦτο ὑμῖν εἰς δικαίωμα κρίματος εἰς τὰς γενεὰς ὑμῶν, ἐν πάσαις ταῖς κατοικίαις ὑμῶν. πᾶς πατάξας ψυχὴν διὰ μαρτύρων, φονεύσει τὸν φονεύσαντα, καὶ μάρτυς εἷς οὐ μαρτυρήσει ἐπὶ ψυχὴν ἀποθανεῖν. καὶ οὐ λήψεσθε λύτρα περὶ ψυχῆς παρὰ τοῦ φονεύσαντος τοῦ φόνου ὄντος ἀναιρεθῆναι, θανάτῳ γὰρ θανατωθήσεται. οὐ λήψεσθε λύτρα

τοῦ

τοῦ φυγεῖν εἰς πόλιν τῶν φυγαδευτηρίων, τοῦ παλιν κατοικεῖν ἐπὶ τῆς γῆς, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, καὶ οὐ μὴ φονοκτονήσητε τὴν γῆν, ἐφ' ἧς ὑμεῖς κατοικεῖτε ἐπ' αὐτῆς. τὸ γὰρ αἷμα τοῦτο φονοκτονεῖ τὴν γῆν, καὶ οὐκ ἐξιλασθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος τοῦ ἐκχυθέντος ἐπ' αὐτῆς, ἀλλ' ἐπὶ τοῦ αἵματος τοῦ ἐκχέοντος. καὶ οὐ μιανεῖτε τὴν γῆν, ἐφ' ἧς κατοικεῖτε ἐπ' αὐτῆς, ἐφ' ἧς ἐγὼ κατασκηνῶ ἐν ὑμῖν. ἐγὼ γάρ εἰμι κύριος ὁ κατασκηνῶν ἐν μέσῳ τῶν υἱῶν ἰσραήλ.

ΚΕΦΑΛ. λς'. 36.

ΚΑΙ προσῆλθον οἱ ἄρχοντες πατριῶν φυλῆς υἱῶν γαλαάδ, υἱοῦ μαχείρ, υἱοῦ μανασσῆ, ἐκ τῶν φυλῆς υἱῶν ἰωσήφ, καὶ ἐλάλησαν ἔναντι μωϋσῆ, καὶ ἔναντι ἐλεαζὰρ τοῦ ἱερέως, καὶ ἔναντι τῶν ἀρχόντων οἴκων πατριῶν τῶν υἱῶν ἰσραήλ, καὶ εἶπαν· τῷ κυρίῳ ἡμῶν ἐνετείλατο κύριος, ἀποδοῦναι τὴν γῆν ἐν κληρονομίᾳ ἐν κλήρῳ τοῖς υἱοῖς ἰσραήλ. καὶ τῷ κυρίῳ ἡμῶν συνέταξε κύριος, δοῦναι τὴν κληρονομίαν Σαλπαὰδ τοῦ ἀδελφοῦ ἡμῶν, ταῖς θυγατράσιν αὐτοῦ, καὶ ἔσονται ἑνὶ τῶν φυλῶν τῶν υἱῶν ἰσραήλ γυναῖκες. καὶ ἀφαιρεθήσεται ὁ κλῆρος αὐτῶν, ἐκ τῆς κατοχέως τῶν πατέρων ἡμῶν, καὶ προσεθήσεται εἰς τὴν κληρονομίαν τῆς φυλῆς, ἧς ἂν γήμωνται γυναῖκες, καὶ ἐκ τοῦ κλήρου τῆς κληρονομίας ἡμῶν ἀφαιρεθήσεται. ἐὰν δὲ γήμωνται ἡ ἀφαίρεσις τῶν υἱῶν ἰσραήλ, καὶ προσεθήσεται ἡ κληρονομία αὐτῶν ἐπὶ τὴν κληρονομίαν τῆς φυλῆς, ἧς ἂν γήμωνται γυναῖκες, καὶ ἀπὸ τῆς κληρονομίας φυλῆς πατριᾶς ἡμῶν ἀφαιρεθήσεται ἡ κληρονομία αὐτῶν. καὶ ἐνετείλατο μωϋσῆς τοῖς υἱοῖς ἰσραήλ, κατὰ πρόσταγμα κυρίου λέγων· οὕτως φυλὴ υἱῶν ἰωσὴφ λέγουσι· τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος ταῖς θυγατράσι σαλπαὰδ λέγων· ὃ ἂν ἀρέσκῃ ἐναντίον αὐτῶν, ἔστωσαν γυναῖκες, πλὴν ἐκ τοῦ σήμου τοῦ πατρὸς αὐτῶν ἔστωσαν γυναῖκες, καὶ οὐχὶ ἀποστραφήσεται κληρονομία τοῖς υἱοῖς ἰσραήλ, ἀπὸ φυλῆς εἰς φυλὴν ἑτέραν, ὅτι ἕκαστος ἐν τῇ κληρονομίᾳ τῆς φυλῆς τῆς πατριᾶς αὐτοῦ, προσκολληθήσονται οἱ υἱοὶ ἰσραήλ, καὶ πᾶσα θυγάτηρ ἀγχιστεύουσα κληρονομίαν ἐκ τῶν φυλῶν υἱῶν ἰσραήλ, ἑνὶ τῶν ἐκ τοῦ σήμου τοῦ πατρὸς αὐτῆς ἔσονται γυναῖκες, ἵνα ἀγχιστεύσωσιν οἱ υἱοὶ ἰσραήλ, ἕκαστος τὴν κληρονομίαν τοῦ πατρικοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀποστραφήσεται ὁ κλῆρος ἐκ φυλῆς εἰς φυλὴν ἑτέραν, ἀλλ' ἕκαστος ἐν τῇ κληρονομίᾳ αὐτοῦ προσκολληθήσονται οἱ υἱοὶ ἰσραήλ, ὃν τρόπον συνέταξε κύριος πρὸς μωϋσῆν. ὅτως ἐποίησαν θυγατέρες Σαλπαὰδ, καὶ ἐγένοντο μαελὰ, καὶ θερσὰ, καὶ ἀγλὰ, καὶ μελχὰ, καὶ νοὰ θυγατέρες σαλπαὰδ, τοῖς ἀνεψιοῖς αὐτῶν ἐκ τοῦ σήμου μανασσῆ υἱῶν ἰωσὴφ ἐγενήθησαν γυναῖκες. καὶ ἐγενήθη ἡ κληρονομία αὐτῶν ἐν τῇ φυλῇ σήμου τοῦ πατρὸς αὐτῶν. Αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ἃ ἐνετείλατο κύριος ἐν χειρὶ μωϋσῆ, ἐν σκηνῇ μαρτυρίου, ἐπὶ τοῦ ἰορδάνου κατὰ ἱεριχώ.

Τέλος τῶν ἀριθμῶν.

ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ

ΚΕΦΑΛ. ά. 1.

Υτοι οἱ λόγοι οὓς ἐλάλησε μωϋσῆς πάντι ἰσραὴλ πέραν τοῦ ἰορδάνου, ἐν τῇ ἐρήμῳ πρὸς ἀνατολὰς, πλησίον τῆς ἐρυθρᾶς θαλάσσης, ἀνὰ μέσον φαρὰν τοφολὰν, καὶ λοβὸν, καὶ αὐλὼν, καὶ ἡ τὰ χρύσια, ἑνδεκα ἡμέρων ἐκ χωρήβ, ὁδὸς ἐπ' ὄρος σηείρ ἕως κάδης βαρνῆ. καὶ ἐγένετο ἐν τῷ τεσσαρακοστῷ ἔτει, ἐν τῷ ἑνδεκάτῳ μηνὶ, μιᾷ τοῦ μηνὸς, ἐλάλησε μωϋσῆς πρὸς πάντας υἱοὺς ἰσραήλ, κατὰ πάντα ὅσα ἐνετείλατο κύριος αὐτῷ πρὸς αὐτούς, μετὰ τὸ πατάξαι τὸν σηὼν βασιλέα τῶν ἀμορῥαίων, τὸν κατοικοῦντα ἐν ἐσεβών, καὶ τὸν ὼγ βασιλέα τῆς βασὰν τὸν κατοικήσαντα ἐν ἀσταρὼθ καὶ ἐν ἐδρεΐ. ἐν τῷ πέραν τοῦ ἰορδάνου ἐν γῇ μωαβ, ἤρξατο μωϋσῆς διασαφῆσαι τὸν νόμον τοῦτον λέγων· κύριος ὁ θεὸς ἡμῶν ἐλάλησεν ἡμῖν ἐν χωρὴβ λέγων· ἱκανούσθω ὑμῖν κατοικεῖν ἐν τῷ ὄρει τούτῳ. ἐπιστράφητε, καὶ ἀπάρατε ὑμεῖς, καὶ εἰσπορεύεσθε εἰς τὸ ὄρος ἀμορῥαίων, καὶ πρὸς πάντας τοὺς πλησίον αὐτοῦ, εἰς ὄρος καὶ πεδίον, καὶ πρὸς νότον λίβα, καὶ παραλίαν χῆρ χαναάν, καὶ αὐτιλίβανον, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου εὐφράτου. ἴδετε παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν, εἰσελθόντες κατακληρονόμησατε τὴν γῆν, ἣν ὤμοσε τοῖς πατράσιν ὑμῶν, τῷ ἀβραὰμ καὶ τῷ ἰσαὰκ καὶ τῷ ἰακὼβ, δοῦναι αὐτοῖς αὐτὴν καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς. καὶ εἶπα πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς, κύριος ὁ θεὸς ἡμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστε σήμερον ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν, προσθείη ὑμῖν ὡς ἐστὲ

χιλιοπλα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χιλιοπλασίως, καὶ εὐλογήσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν. πῶς δυνήσομαι μόνος φέρειν τὸν κόπον ὑμῶν, καὶ τὴν ἀπόσασιν ὑμῶν, καὶ τὰς αὐτιλογίας ὑμῶν; δότε ἑαυτοῖς ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας, καὶ συνετοὺς εἰς τὰς φύλας ὑμῶν, καὶ καταστήσω αὐτοὺς ἐφ' ὑμῶν ἡγουμένους ὑμῶν. καὶ ἀπεκρίθητέ μοι, καὶ εἴπατε, καλὸν τὸ ῥῆμα ὃ ἐλάλησας ποιῆσαι. καὶ ἔλαβον ἐξ ὑμῶν, ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας καὶ συνετούς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμῶν, χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκαδάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς φυλαῖς ὑμῶν, καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· διακούσατε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνετε δικαίως, ἀνὰ μέσον ἀνδρὸς, καὶ ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀνὰ μέσον τοῦ προσηλύτου αὐτοῦ. οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς, οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ θεοῦ ἐστι. καὶ τὸ ῥῆμα ὃ ἐὰν σκληρὸν ᾖ ἀφ' ὑμῶν, ἀνοίσετε αὐτὸ ἐπ' ἐμὲ, καὶ ἀκούσομαι αὐτό. καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ, πάντας τοὺς λόγους, οὓς ποιήσετε. καὶ ἀπάραντες ἐκ χωρὴβ, ἐπορεύθημεν πᾶσαν τὴν ὀρεινὴν τὴν μεγάλην, καὶ τὴν φοβερὰν ἐκείνην, ἣν εἴδετε, ὁδὸν ὄρους τοῦ Ἀμορῥαίου, καθότι ἐνετείλατο Κύριος ὁ θεὸς ἡμῶν ἡμῖν. καὶ ἤλθομεν ἕως Καδὴς Βαρνῆ, καὶ εἶπα πρὸς ὑμᾶς· ἤλθετε ἕως ὄρους τοῦ Ἀμορῥαίου, ὃ Κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ἡμῖν. ἴδετε παραδέδωκε Κύριος ὁ θεὸς ὑμῶν πρὸ προσώπου ὑμῶν τὴν γῆν, ἀναβαίνετε κληρονομεῖτε, ἣν τρόπον εἶπε Κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν, ὑμῖν. μὴ φοβεῖσθε, μηδὲ δειλιάσητε. καὶ προσήλθετέ μοι πάντες, καὶ εἴπατε· ἀποστείλωμεν ἄνδρας πρὸ προσώπου ἡμῶν, καὶ ἐξερευνησάτωσαν ἡμῖν τὴν γῆν, καὶ ἀναγγειλάτωσαν ἡμῖν ἀπόκρισιν, τὴν ὁδὸν δι' ἧς ἀναβησόμεθα ἐν αὐτῇ, ἢ τὰς πόλεις εἰς ἃς εἰσπορευσόμεθα εἰς αὐτάς. καὶ ἤρεσεν ἐνώπιόν μου τὸ ῥῆμα, καὶ ἔλαβον ἐξ ὑμῶν δώδεκα ἄνδρας, ἄνδρα ἕνα κατὰ φυλήν.

Καὶ πορευθέντες ἀνέβησαν εἰς τὸ ὄρος, καὶ ἦλθοσαν ἕως φάραγγος Βότρυος, καὶ κατεσκόπευσαν αὐτήν, καὶ ἔλαβον ἐν ταῖς χερσὶν αὐτῶν ἀπὸ τοῦ καρποῦ τῆς γῆς, καὶ κατήνεγκαν πρὸς ἡμᾶς καὶ ἔλεγον· ἀγαθὴ ἡ γῆ, ἣν Κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ἡμῖν. καὶ οὐκ ἠθελήσατε ἀναβῆναι, ἀλλ' ἠπειθήσατε τῷ ῥήματι Κυρίου τοῦ θεοῦ ὑμῶν. καὶ διεγογγύσατε ἐν ταῖς σκηναῖς ὑμῶν, καὶ εἴπατε· διὰ τὸ μισεῖν Κύριον ἡμᾶς, ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, παραδοῦναι ἡμᾶς εἰς τὰς χεῖρας τῶν Ἀμορῥαίων, ἐξολοθρεῦσαι ἡμᾶς. ποῦ ἡμεῖς ἀναβαίνομεν; οἱ δὲ ἀδελφοὶ ὑμῶν, ἀπέκτειναν τὴν καρδίαν ὑμῶν λέγοντες· ἔθνος μέγα καὶ πολὺ καὶ δυνατώτερον ἡμῶν, καὶ πόλεις μεγάλας, καὶ τετειχισμένας ἕως τοῦ οὐρανοῦ, ἀλλὰ καὶ υἱοὺς μεγαλώτερον ἑωράκαμεν ἐκεῖ. καὶ εἶπα πρὸς ὑμᾶς· μὴ πτήξητε, μηδὲ φοβηθῆτε ἀπ' αὐτῶν, Κύριος ὁ θεὸς ἡμῶν ὁ προπορευόμενος πρὸ προσώπου ἡμῶν, αὐτὸς συνεκπολεμήσει αὐτοὺς μεθ' ὑμῶν, κατὰ πάντα ὅσα ἐποίησεν ὑμῖν ἐν γῇ Αἰγύπτου, καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ ἣν εἴδετε, ἕως ἐπροφοφόρησέ σε Κύριος ὁ θεὸς σου, ὡς εἴτις προφοφορήσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ πᾶσαν τὴν ὁδὸν, ἣν ἐπορεύθητε, ἕως ἤλθετε εἰς τὸν τόπον τοῦτον. καὶ ἐν τῷ λόγῳ τούτῳ οὐκ ἐπιστεύσατε Κυρίῳ τῷ θεῷ ὑμῶν, ὃς προπορεύεται πρὸ προσώπου ὑμῶν ἐν τῇ ὁδῷ, ἐκλέγεσθαι ὑμῖν τόπον, ἀδημονῶν ὑμᾶς ἐν πυρὶ νυκτὸς, δεικνύων ὑμῖν τὴν ὁδὸν καθ' ἣν πορεύεσθε ἐν αὐτῇ, καὶ ἐν νεφέλῃ ἡμέρας. καὶ ἤκουσε Κύριος τὴν φωνὴν τῶν λόγων ὑμῶν, καὶ παροξυνθεὶς, ὤμοσε λέγων· εἰ ὄψεταί τις τῶν ἀνδρῶν τούτων τὴν γῆν τὴν ἀγαθὴν ταύτην, ἣν ἐγὼ ὤμοσα τοῖς πατράσιν αὐτῶν, πλὴν Χαλὲβ υἱὸς Ἰεφθοννὶ, οὗτος ὄψεται αὐτὴν, καὶ τῷ σπέρματι αὐτοῦ δώσω τὴν γῆν ἐφ' ἣν ἐπέβη, καὶ τοῖς υἱοῖς αὐτοῦ, διὰ τὸ προσκεῖσθαι αὐτὸν τὰ πρὸς Κύριον. καὶ ἐμοὶ ἐθυμώθη Κύριος δι' ὑμᾶς λέγων· οὐδὲ σὺ οὐ μὴ εἰσέλθῃς ἐκεῖ, Ἰησοῦς υἱὸς Ναυὴ ὁ παρεστηκώς σοι, οὗτος εἰσελεύσεται ἐκεῖ. αὐτὸν κατίσχυσον, ὅτι αὐτὸς κατακληροδοτήσει αὐτὴν τῷ Ἰσραήλ, καὶ τὰ παιδία ὑμῶν, ἃ εἴπατε ἐν διαρπαγῇ ἔσεσθαι, καὶ τοὺς υἱοὺς ὑμῶν οἳ τῆς οὐκ οἴδασι σήμερον ἀγαθὸν ἢ κακὸν, οὗτοι εἰσελεύσονται ἐκεῖ, καὶ τούτοις δώσω αὐτὴν, καὶ αὐτοὶ κατακληρονομήσουσιν αὐτήν. καὶ ὑμεῖς ἐπιστραφέντες, στράτοπεδεύσατε εἰς τὴν ἔρημον, ὁδὸν τὴν ὁδὸν τῆς ἐρυθρᾶς θαλάσσης, καὶ ἀπεκρίθητε καὶ εἴπατέ μοι· ἡμάρτομεν ἐναντι Κυρίου τοῦ θεοῦ ἡμῶν, ἡμεῖς ἀναβαίνομεν πολεμήσωμεν κατὰ πάντα ὅσα ἐνετείλατο Κύριος ὁ θεὸς ἡμῶν, ἡμῖν. καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτοῦ, καὶ συναθροισθέντες, ἀνεβαίνετε εἰς τὸ ὄρος. καὶ εἶπε Κύριος πρός με· εἶπον αὐτοῖς· οὐκ ἀναβαίνετε, οὐδὲ μὴ πολεμήσητε, οὐ γὰρ εἰμὶ μεθ' ὑμῶν, καὶ οὐ μὴ συντριβῆτε ἐνώπιον τῶν ἐχθρῶν ὑμῶν. καὶ ἐλάλησα ὑμῖν, καὶ οὐκ εἰσηκούσατέ μου, καὶ παρέβητε τὸ ῥῆμα Κυρίου, καὶ παραβιασάμενοι ἀνέβητε εἰς τὸ ὄρος, καὶ ἐξῆλθεν ὁ Ἀμορῥαῖος ὁ κατοικῶν ἐν τῷ ὄρει ἐκείνῳ εἰς συναντησιν ὑμῖν, καὶ κατεδίωξαν ὑμᾶς ὡσεὶ ποιήσαισαν αἱ μέλισσαι, καὶ ἐπέτρωσκον ὑμᾶς ἀπὸ σηὶρ ἕως ἑρμᾶ. καὶ καθίσαντες ἐκλαίετε ἐναντίον Κυρίου, καὶ οὐκ εἰσήκουσε Κύριος τῆς φωνῆς ὑμῶν, οὐδὲ προσέσχεν ὑμῖν, καὶ ἐγενήθητε ἐν Καδὴς ἡμέρας πολλὰς, ὅσας ἡμέρας ἐγενήθητε.

Κεφάλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. Β'. 2.

ΚΑΙ ὡς ἐστράφημεν, ἀπήραμεν εἰς τὴν ἔρημον, ὁδὸν θαλάσσαν ἐρυθράν, ὃν τρόπον ἐλά-
λησε κύριός μοι, καὶ ἐκυκλώσαμεν τὸ ὄρος τὸ σηείρ ἡμέρας πολλάς. καὶ εἶπε κύ-
ριός μοι λέγων· ἱκανούσθω ὑμῖν κυκλεῖν τὸ ὄρος τοῦτο, ὑμεῖς δὲ ἐντείλαι τῷ λαῷ τὰ
τάδε ἐντείλαι λέγων· ὑμεῖς παραπορεύεσθε διὰ τῶν ὁρίων τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ησαῦ, οἱ κα-
τοικοῦσιν ἐν σηείρ, καὶ φοβηθήσονται ὑμᾶς, καὶ συλαβηθήσονται σφόδρα, μὴ σπουδάσητε πρὸς
αὐτοὺς πόλεμον. ὅτι γὰρ μὴ δώσω ὑμῖν ἀπὸ τῆς γῆς αὐτῶν, οὐδὲ βῆμα ποδός, ὅτι ἐν κλήρῳ διέδωκα
τοῖς υἱοῖς Ησαῦ τὸ ὄρος τὸ σηείρ. ἀργυρίου βρώματα ἀγοράσατε παρ' αὐτῶν, καὶ φάγεσθε, καὶ
ὕδωρ μέτρῳ λήψεσθε παρ' αὐτῶν ἀργυρίου, καὶ πίεσθε. ὁ γὰρ κύριός σου ὁ θεὸς ἡμῶν, εὐλόγησέ
σε ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου. διαγνωθι πῶς διῆλθον τὴν ἔρημον τὴν μεγάλην, καὶ τὴν
φοβερὰν ταύτην. ἰδοὺ τεσσαρακοντατέτη κύριός ὁ θεός σου μετὰ σοῦ, οὐκ ἐπιδεήσθης ῥήμα
τος. καὶ παρήλθομεν τοὺς ἀδελφοὺς ἡμῶν υἱοὺς Ησαῦ τοὺς κατοικοῦντας ἐν σηείρ, πορείαν τὴν ὁ-
δὸν τὴν ἄραβα, ἀπὸ Ἐλὼν, καὶ ἀπὸ γασιὼν γαβέρ, καὶ ἐστράφημεν παρήλθομεν ὁδὸν ἔρημον
μωάβ, καὶ εἶπε κύριός μοι· μὴ ἐχθραίνετε τοῖς μωαβίταις, καὶ μὴ σπουδάσητε πρὸς αὐτοὺς
πόλεμον. ὅτι γὰρ μὴ δῶ ὑμῖν ἀπὸ τῆς γῆς αὐτῶν ἐν κλήρῳ. τοῖς γὰρ υἱοῖς Λὼτ διέδωκα τὴν ἀρο-
ὴρ κληρονομεῖν. οἱ ὀμμεὶν τοπρότερον ᾠκοδόμησαν, ἀφ' οὗ ἔθνος μέγα καὶ πολὺ καὶ ἰσχυρὸν
ὡσπερ οἱ γενεκείμ, ῥαφαεὶν λογισθήσονται καὶ οὗτοι, ὥσπερ καὶ οἱ γενεκείμ, καὶ οἱ μωαβῖται
ἐπονομάζουσιν αὐτοὺς ὀμμεῖν. καὶ ἐν σηείρ ᾠκοδόμησε ὁ χορβαῖος τοπρότερον, καὶ οἱ υἱοὶ Ησαῦ
ἀπώλεσαν αὐτούς, καὶ ἐξέτριψαν αὐτοὺς ἀπὸ προσώπου αὐτῶν, καὶ κατῴκισαν αὐτ'
αὐτῶν, ὃν τρόπον ἐποίησεν Ισραὴλ τὴν γῆν τῆς κληρονομίας αὐτοῦ, ἣν ἔδωκε κύριός αὐτοῖς.
νῦν οὖν ἀνάστητε, καὶ ἀπάρατε ὑμεῖς, καὶ παραπορεύεσθε τὸν φάραγγα ζαρέθ, καὶ αἱ ἡμέραι
ἃς παρεπορεύθημεν ἀπὸ Καδὴς Βαρνῆ, ἕως οὗ παρήλθομεν τὸν φάραγγα ζαρὲθ τριάκοντα καὶ
ὀκτὼ ἔτη, ἕως οὗ διέπεσε πᾶσα γενεὰ ἀνδρῶν πολεμιστῶν ἐκ τῆς παρεμβολῆς, καθότι ὤμο
σε κύριός ὁ θεὸς αὐτοῖς. καὶ ἡ χεὶρ τοῦ θεοῦ ἦν ἐπ' αὐτοῖς τοῦ ἐξαναλῶσαι αὐτοὺς ἐκ τῆς παρεμ-
βολῆς, ἕως οὗ διέπεσον. καὶ ἐγένετο ἐπειδὴ ἔπεσον πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ, ἀποθνή
σκοντες ἐκ μέσου τοῦ λαοῦ, καὶ ἐλάλησε κύριός πρός με λέγων· σὺ παραπορεύῃ σήμερον, τὰ
ὅρια μωαβ τὴν ἀρὸηρ, καὶ προσάξετε ἐγγὺς ἐναντίον υἱῶν ἀμμών, μὴ ἐχθραίνετε αὐτοῖς, μὴ σπου-
δάσητε αὐτοῖς εἰς πόλεμον. ὅτι γὰρ μὴ δῶ ἀπὸ τῆς γῆς υἱῶν ἀμμὼν σοὶ ἐν κλήρῳ, ὅτι τοῖς υἱοῖς Λὼτ
δέδωκα αὐτὴν ἐν κλήρῳ. γῆ ῥαφαεὶν λογισθήσεται, καὶ γὰρ ἐπ' αὐτῇ οἱ ῥαφαεὶν κατῴκουν
τοπρότερον, καὶ οἱ ἀμμανῖται ἐπονομάζουσιν αὐτοὺς ζομμεῖν, ἔθνος μέγα καὶ πολὺ καὶ ἰσχυ-
ρόν, ὥσπερ καὶ οἱ γενεκείμ. καὶ ἀπώλεσεν αὐτοὺς κύριός ἀπὸ προσώπου αὐτῶν, καὶ κατεκλη-
ρονόμησαν, καὶ κατῴκισαν αὐτ' αὐτῶν, ἕως τῆς ἡμέρας ταύτης, ὥσπερ ἐποίησε τοῖς υἱοῖς Η-
σαῦ τοῖς κατοικοῦσιν ἐν σηείρ, ὃν τρόπον ἐξέτριψαν τὸν χορβαῖον ἀπὸ προσώπου αὐτῶν, καὶ
κατεκληρονόμησαν αὐτοὺς, καὶ κατῴκισαν αὐτ' αὐτῶν, ἕως τῆς ἡμέρας ταύτης. καὶ οἱ ἕυαῖ
οἱ οἰκοῦντες ἐν ἀσηρὼθ, ἕως γάζης. καὶ οἱ καππάδοκες οἱ ἐκπορευθέντες ἐκ καππα
δοκίας ἐξέτριψαν αὐτοὺς, καὶ κατῴκισαν αὐτ' αὐτῶν. νῦν οὖν ἀνάστητε, καὶ ἀπάρατε, καὶ πα
ρέλθετε ὑμεῖς τὸν φάραγγα ἀρνών. ἰδοὺ παραδέδωκα εἰς τὰς χεῖράς σου τὸν Σηὼν Βασιλέα
ἐσεβὼν τὸν ἀμορῥαῖον, καὶ τὴν γῆν αὐτοῦ ἄρξαι κληρονομεῖν. σύναπτε πρὸς αὐτὸν πόλεμον
ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἄρξαι δίδναι τὸν τρόμον σου, καὶ τὸν φόβον σου ἐπὶ προσώπου πάντων
τῶν ἐθνῶν, τῶν ὑποκάτω τοῦ οὐρανοῦ, οἵτινες ἀκούσαντες τὸ ὄνομά σου παραχθήσονται, καὶ ὠδῖ
νας ἕξουσιν ἀπὸ προσώπου σου. καὶ ἀπέστειλα πρέσβεις ἐκ τῆς ἐρήμου Κεδὴμὼθ πρὸς Σηὼν Βασι-
λέα ἐσεβὼν, λόγοις εἰρηνικοῖς λέγων· παρελεύσομαι διὰ τῆς γῆς σου. ἐν τῇ ὁδῷ πορεύσομαι, οὐκ
ἐκκλινῶ δεξιὰ οὐδὲ ἀριστερά. βρώματα ἀργυρίου ἀποδώσεις μοι καὶ φάγομαι, καὶ ὕδωρ ἀργυ-
ρίου ἀποδώσεις μοι καὶ πίομαι, πλὴν ὅτι πεζεύσομαι τοῖς ποσί μου καθὼς ἐποίησάν μοι οἱ υἱοὶ Ησαῦ
οἱ κατοικοῦντες ἐν σηείρ, καὶ οἱ μωαβῖται οἱ κατοικοῦντες ἐν ἀρὸηρ, ἕως ἂν πεζέλθω τὸν ἰορδάνην εἰς
τὴν γῆν ἣν κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ἡμῖν. καὶ οὐκ ἠθέλησε Σηὼν ὁ βασιλεὺς ἐσεβὼν πεζελθεῖν
ἡμᾶς διὰ αὐτοῦ, ὅτι ἐσκλήρυνε κύριος ὁ θεὸς ἡμῶν τὸ πνεῦμα αὐτοῦ, καὶ ἰσχυσε τὴ καρδίαν αὐ
τοῦ, ἵνα παραδοθῇ εἰς τὰς χεῖράς σε ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ εἶπε κύριός πρός με· ἰδοὺ ἤρξαμαι παρα
δοῦναι πρὸ προσώπου σου τὸν Σηὼν βασιλέα ἐσεβὼν τὸν ἀμορῥαῖον, καὶ τὴν γῆν αὐτοῦ, καὶ ἄρξαι κλη
ρονομεῖν τὴν γῆν αὐτοῦ, καὶ ἐξῆλθε Σηὼν βασιλεὺς ἐσεβὼν εἰς συναντησίν ἡμῖν, αὐτὸς καὶ πᾶς ὁ
λαὸς αὐτοῦ εἰς πόλεμον εἰς ἰασσά. καὶ παρέδωκεν αὐτὸν κύριος ὁ θεὸς ἡμῶν, πρὸ προσώπου ἡμῶν, εἰς
τὰς χεῖρας ἡμῶν, καὶ ἐπατάξαμεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ πάντα τὸν λαὸν αὐτοῦ, καὶ ἐκρατήσα
μεν πάσων τῶν πόλεων αὐτοῦ, ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ ἐξωλεθρεύσαμεν πᾶσαν πόλιν ἐξῆς, καὶ
τὰς γυναῖκας αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, ὃ κατελίπομεν ζωγρίαν. πλὴν τὰ κτήνη προνομεύσα
μεν ἑαυτοῖς, καὶ τὰ σκῦλα τῶν πόλεων ἐλάβομεν ἐξ ἀρὸηρ, ἀπὸ τῆς χείλους χαραδρᾶς ἀρνών, καὶ
τῆς πόλιν τῆς ὄντος ἐν τῇ φάραγγι, καὶ ἕως ὄρους τῆς γαλααδίτιδος, οὐκ ἦν πόλις ἥτις διέφυγεν ἡμᾶς. τὰς

πόλεις

πάσας παρέδωκε Κύριος ὁ θεὸς ἡμῶν, εἰς τὰς χεῖρας ἡμῶν, πλὴν εἰς γῆν ὑδῶν ἀμμαὼν οὐ προσήλθομεν, πάντα τὰ συγκυροῦντα χειμάρρου ἰαβὼκ, καὶ τὰς πόλεις τὰς ἐν τῇ ὀρεινῇ, καθότι ἐνετείλατο ἡμῖν Κύριος ὁ θεὸς ἡμῶν.

ΚΕΦΑΛ. γ'. 3.

Καὶ ἐπιστραφέντες, ἀνέβημεν ὁδὸν τὴν εἰς Βασαὰν, καὶ ἐξῆλθεν Ὢγ Βασιλεὺς τῆς Βασαὰν εἰς συναντησιν ἡμῖν, αὐτὸς καὶ πᾶς ὁ λαὸς αὐτοῦ μετ' αὐτοῦ, εἰς πόλεμον εἰς Ἐδραεϊμ. καὶ εἶπε Κύριος πρός με· μὴ φοβηθῇς αὐτὸν, ὅτι εἰς τὰς χεῖράς σου παραδέδωκα αὐτὸν, καὶ πάντα τὸν λαὸν αὐτοῦ, καὶ πᾶσαν τὴν γῆν αὐτοῦ, καὶ ποιήσεις αὐτῷ ὡσαύτως ἐποίησας τῷ Σηὼν τῷ Βασιλεῖ τῶν Ἀμορραίων, ὃς κατῴκει ἐν Ἐσεβών. καὶ παρέδωκεν Κύριος ὁ θεὸς ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν, καὶ τὸν Ὢγ Βασιλέα τῆς Βασαὰν, καὶ πάντα τὸν λαὸν αὐτοῦ. καὶ ἐπατάξαμεν αὐτὸν, ἕως τοῦ μὴ καταλιπεῖν αὐτοῦ σπέρμα. καὶ ἐκρατήσαμεν πασῶν τῶν πόλεων αὐτοῦ, ἐν τῷ καιρῷ ἐκείνῳ, οὐκ ἦν πόλις ἣν οὐκ ἐλάβομεν παρ' αὐτῶν, ἑξήκοντα πόλεις, πᾶσαι αἱ περίχωροι ἀργόβ, βασιλείας Ὢγ ἐν τῇ Βασαὰν. πᾶσαι αἱ πόλεις ὀχυραὶ, τείχη ὑψηλὰ, πύλαι καὶ μοχλοὶ, πλὴν τῶν πόλεων τῶν φερεζαίων τῶν πολλῶν σφόδρα. ἐξολοθρεύσαμεν αὐτοὺς, ὡσαύτως ἐποιήσαμεν τῷ Σηὼν βασιλεῖ Ἐσεβών, καὶ ἐξολοθρεύσαμεν πᾶσαν πόλιν ἐξῆς, καὶ τὰς γυναῖκας αὐτῶν, καὶ τὰ τέκνα καὶ πάντα τὰ κτήνη αὐτῶν, καὶ τὰ σκῦλα τῶν πόλεων προνομεύσαμεν ἑαυτοῖς. καὶ ἐλάβομεν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν γῆν, ἐκ χειρὸς τῶν δύο βασιλέων τῶν Ἀμορραίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου ἀπὸ τοῦ χειμάρρου Ἀρνῶν, καὶ ἕως ὄρους Ἀερμών. οἱ Φοίνικες ἐπονομάζουσι τὸ Ἀερμών, Σανιών. καὶ ὁ Ἀμορραῖος ἐπωνόμασεν αὐτὸ Σανίρ. πᾶσαι πόλεις μισὼρ, καὶ πᾶσα γαλαάδ, καὶ πᾶσα Βασαὰν ἕως Ἐλχὰ καὶ Ἐδραεϊμ, πόλεις βασιλείας τοῦ Ὢγ ἐν τῇ Βασαάν. ὅτι πλὴν Ὢγ βασιλεὺς Βασαὰν, κατελείφθη ἀπὸ τῶν Ῥαφαείμ. ἰδοὺ ἡ κλίνη αὐτοῦ κλίνη σιδηρᾶ, ἰδοὺ αὕτη ἐν τῇ ἄκρᾳ τῶν υἱῶν Ἀμμαὼν ἐννέα πήχεων τὸ μῆκος αὐτῆς, καὶ τεσσάρων πήχεων τὸ εὖρος αὐτῆς ἐν πήχει ἀνδρός, καὶ τὴν γῆν ἐκείνην ἐκληρονομήσαμεν ἐν τῷ καιρῷ ἐκείνῳ ἀπὸ Ἀροὴρ, ἣ ὅστις παρὰ τὸ χεῖλος χειμάρρου Ἀρνῶν. καὶ τὸ ἥμισυ τοῦ ὄρους γαλαάδ, καὶ τὰς πόλεις αὐτοῦ, ἔδωκα τῷ Ῥουβὴν καὶ τῷ Γαδδὶ, καὶ τὸ καταλοιπον τοῦ γαλαάδ καὶ πᾶσαν τὴν Βασαὰν Βασιλείας Ὢγ ἔδωκα τῷ ἡμίσει φυλῆς Μανασσῆ, καὶ πᾶσαν τὴν περίχωρον ἀργόβ, πᾶσαν τὴν Βασαὰν ἐκείνην, γῆ Ῥαφαεὶμ λογισθήσεται. καὶ Ἰαεὶρ ὁ υἱὸς Μανασσῆ, ἔλαβε πᾶσαν τὴν περίχωρον ἀργόβ, ἕως τῶν ὁρίων Γαργασὶ, καὶ ὁ μαχεδὶ ἐπωνόμασεν αὐτὸ ἐπὶ τοῦ ὀνόματος αὐτοῦ τὴν Βασαὰν ἐπωνόμασε Σηὼ Ἰαεὶρ ἕως τῆς ἡμέρας ταύτης. καὶ τῷ Μαχεὶρ ἔδωκα τὴν γαλαάδ, καὶ τοῖς Ῥουβὴν καὶ τοῖς Γαδδὶ ἔδωκα ἀπὸ τῆς γαλαάδ ἕως χειμάρρου Ἀρνῶν, μέσον τοῦ χειμάρρου ὅριον, καὶ ἕως τοῦ Ἰαβὼκ ὁ χειμάρρους ὅριον τοῖς υἱοῖς Ἀμμαών. καὶ ἡ Ἀραβὰ καὶ ὁ Ἰορδάνης ὅριον ἀπὸ Μαχανὲμ ἐπὶ, καὶ ἕως θαλάσσης Ἀραβὰ θαλάσσης ἁλυκῆς, ἀπὸ ἀσημὰθ τὴν φασγὰ ἀπὸ ἀνατολῶν. καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· Κύριος ὁ θεὸς ὑμῶν, δέδωκεν ὑμῖν τὴν γῆν ταύτην ἐν κληρῷ, γυμνασάμενοι πᾶσι πρὸ προσώπου τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραὴλ πᾶς ἀνὴρ γυναῖκες ὑμῶν, καὶ τὰ τέκνα ὑμῶν καὶ τὰ κτήνη ὑμῶν. οἶδα ὅτι πολλὰ κτήνη ὑμῖν κατοικείσουσιν ἐν ταῖς πόλεσιν ὑμῶν, αἷς ἔδωκα ὑμῖν, ἕως ἂν καταπαύσῃ Κύριος ὁ θεὸς ἡμῶν τοὺς ἀδελφοὺς ὑμῶν, ὡσαύτως καὶ ὑμᾶς, καὶ κατακληρονομήσουσι καὶ ὅτι τὴν γῆν, ἣν Κύριος ὁ θεὸς ὑμῶν δίδωσιν αὐτοῖς, ἐν τῷ πέραν τοῦ Ἰορδάνου. καὶ ἐπανασταθήσεσθε ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, ἣν δέδωκα ὑμῖν. καὶ τῷ Ἰησοῦ ἐνετειλάμην ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι πάντα, ὅσα ἐποίησε Κύριος ὁ θεὸς ἡμῶν, τοῖς δυσὶ βασιλεῦσι τούτοις, οὕτως ποιήσει Κύριος ὁ θεὸς ἡμῶν πάσαις ταῖς βασιλείαις, ἐφ' αἷς σὺ διαβαίνεις ἐκεῖ. οὐ φοβηθήσεσθε ἀπ' αὐτῶν, ὅτι Κύριος ὁ θεὸς ὑμῶν, αὐτὸς πολεμήσει ὑπὲρ ὑμῶν. καὶ ἐδεήθην Κυρίου ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· Κύριε Κύριε, σὺ ἤρξω δεῖξαι τῷ σῷ θεράποντι τὴν ἰσχύν σου καὶ τὴν δυναμίν σου, καὶ τὴν χεῖρα τὴν κραταιὰν, καὶ τὸν βραχίονα τὸν ὑψηλόν. τίς γὰρ ὅστις θεὸς ἐν τῷ οὐρανῷ, ἢ ἐπὶ τῆς γῆς ὃς ποιήσει, κατὰ τὰ ἐποίησας σὺ, καὶ κατὰ τὴν ἰσχύν σου; διαβὰς σαῦ ὄψομαι τὴν γῆν τὴν ἀγαθὴν ταύτην, τὴν οὖσαν πέραν τοῦ Ἰορδάνου, τὸ ὄρος τοῦτο τὸ ἀγαθὸν καὶ τὸν Λιβανον. καὶ παρῴξυνε Κύριος ἐμὲ ἕνεκεν ὑμῶν, καὶ οὐκ εἰσήκουσέ μου. καὶ εἶπε Κύριος πρός με· ἐκανούσθω σοι, μὴ προσθήσῃς ἔτι λαλῆσαι τὸν λόγον τοῦτον, ἀνάβηθι ἐπὶ τὴν κορυφὴν τοῦ λελαξευμένου, καὶ ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου κατὰ θάλασσαν, καὶ βορρᾶν, καὶ λίβα καὶ ἀνατολὰς, καὶ ἴδε τοῖς ὀφθαλμοῖς σου, ὅτι οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον, καὶ ἔντειλαι τῷ Ἰησοῦ καὶ κατίσχυσον αὐτὸν, καὶ παρακάλεσον αὐτὸν, ὅτι οὗτος διαβήσεται πρὸ προσώπου τοῦ λαοῦ τούτου, καὶ αὐτὸς κατακληρονομήσει αὐτοῖς πᾶσαν τὴν γῆν ἣν ἑώρακας. καὶ ἐγενάθημεν ἐν νάπῃ, σιωγῶντες οἴκου φογώρ.

Κεφαλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. δ'. 4.

Καὶ νῦν ἰσραὴλ ἄκουε τῶν δικαιωμάτων καὶ τῶν κριμάτων ὅσα ἐγὼ διδάσκω ὑμᾶς σήμερον ποιεῖν, ἵνα ζῆτε, καὶ εἰσελθόντες κληρονομήσητε τὴν γῆν, ἣν κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν γῆν κληρον. 2 προσθήσετε πρὸς τὸ ῥῆμα ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν, καὶ οὐκ ἀφελεῖτε ἀπ' αὐτοῦ, φυλάσσεσθε τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ ὑμῶν, ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον. 3 οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι τὰ ὅσα ἐποίησε κύριος ὁ θεὸς ὑμῶν τῷ Βεελφεγώρ· ὅτι πᾶς ἄνθρωπος ὃς πορεύθη ὀπίσω Βεελφεγώρ, ἐξέτριψεν αὐτὸν κύριος ὁ θεὸς ὑμῶν ἐξ ὑμῶν. 4 ὑμεῖς δὲ οἱ προσκείμενοι κυρίῳ τῷ θεῷ ὑμῶν, ζῆτε πάντες σήμερον. 5 ἴδετε, δίδαξα ὑμᾶς δικαιώματα καὶ κρίσεις, καθὰ ἐνετείλατό μοι κύριος ὁ θεός μου, ποιῆσαι οὕτως ὑμᾶς ἐν τῇ γῇ εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ, καὶ κληρονομῆσαι αὐτήν. 6 καὶ φυλάξεσθε καὶ ποιήσετε, ὅτι αὕτη ἡ σοφία ὑμῶν καὶ ἡ σύνεσις ἐναντίον παντὸς τοῦ ἔθνους, ὅσοι ἂν ἀκούσωσι πάντα τὰ δικαιώματα ταῦτα, καὶ ὀροῦσιν· ἰδοὺ λαὸς σοφὸς καὶ συνετὸν μόνον, τὸ ἔθνος τὸ μέγα τοῦτο. 7 ὅτι ποῖον ἔθνος μέγα, ὃ ὅσιον αὐτῷ θεὸς ἐγγίζων αὐτοῖς, ὡς κύριος ὁ θεὸς ἡμῶν ἐν πᾶσιν, οἷς ἐὰν αὐτὸν ἐπικαλώμεθα. 8 καὶ ποῖον ἔθνος μέγα ὃ ὅσια αὐτῷ δικαιώματα καὶ κρίματα δίκαια, καθὰ πᾶς ὁ νόμος οὗτος, ὃν ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον; 9 πρόσεχε σεαυτῷ, καὶ φύλαξον τὴν ψυχήν σου σφόδρα, μὴ ἐπιλάθῃ πάντας τοὺς λόγους οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου, καὶ μὴ ἐκστήτωσαν ἀπὸ τῆς καρδίας σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καὶ συμβιβάσεις τοὺς υἱούς σου, καὶ τοὺς υἱοὺς τῶν υἱῶν σου, 10 ἡμέραν ἣν ἔστης ἐνώπιον κυρίου τοῦ θεοῦ ὑμῶν ἐν χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, ὅτι εἶπε κύριος πρός με· ἐκκλησίασον πρός με τὸν λαόν, καὶ ἀκουστάτωσαν τὰ ῥήματά μου, ὅπως μάθωσι φοβεῖσθαί με πάσας τὰς ἡμέρας ὅσας αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς, καὶ τοὺς υἱοὺς αὐτῶν διδάξωσι. 11 καὶ προσήλθετε καὶ ἔστητε ὑπὸ τὸ ὄρος, καὶ τὸ ὄρος ἐκαίετο πυρὶ ἕως τοῦ οὐρανοῦ, σκότος, γνόφος, θύελλα, φωνὴ μεγάλη. 12 καὶ ἐλάλησε κύριος ὁ θεὸς πρὸς ὑμᾶς ἐν τῷ ὄρει, ἐκ μέσου τοῦ πυρός· φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ' ἢ φωνήν. 13 καὶ ἀνήγγειλεν ὑμῖν τὴν διαθήκην αὐτοῦ, ἣν ἐνετείλατο ὑμῖν ποιεῖν τὰ δέκα ῥήματα, καὶ ἐγραψεν αὐτὰ ἐπὶ δύο πλάκας λιθίνας. 14 καὶ ἐμοὶ ἐνετείλατο κύριος ἐν τῷ καιρῷ ἐκείνῳ διδάξαι ὑμᾶς δικαιώματα καὶ κρίσεις, ποιεῖν ὑμᾶς αὐτὰ ἐπὶ τῆς γῆς, εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ, κληρονομῆσαι αὐτήν, 15 καὶ φυλάξεσθε σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι οὐκ εἴδετε πᾶν ὁμοίωμα ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε κύριος πρὸς ὑμᾶς, ἐν χωρὴβ ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός. μὴ ἀνομήσητε, καὶ μὴ ποιήσητε ὑμῖν αὐτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, ὁμοίωμα ἀρσενικὸν ἢ θηλυκόν, 16 ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς, ὁμοίωμα παντὸς ὀρνέου πτερωτοῦ ὃ πέτεται ὑπὸ τὸν οὐρανόν, ὁμοίωμα παντὸς ἑρπετοῦ ἕρπει ἐπὶ τῆς γῆς, ὁμοίωμα παντὸς ἰχθύος ὅσα ὅσιν ἐν τοῖς ὕδασιν ὑπὸ γῆν τὴν κάτω. 17 μήποτε ἀναβλέψας εἰς τὸν οὐρανόν, καὶ ἰδὼν τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας, καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς, ἃ ἀπένειμε κύριος ὁ θεός σου αὐτὰ πᾶσι τοῖς ἔθνεσι τοῖς ὑπὸ γῆν τοῦ οὐρανοῦ. 18 ὑμᾶς δὲ ἔλαβε κύριος ὁ θεός, καὶ ἐξήγαγεν ὑμᾶς ἐκ τῆς καμίνου τοῦ σιδήρου ἐξ Αἰγύπτου, εἶναι αὐτῷ λαὸν καὶ κληρον, ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ. 19 καὶ κύριος ὁ θεὸς ἐθυμώθη μοι, περὶ τῶν λεγομένων ἐφ' ὑμῶν, καὶ ὤμοσεν ἵνα μὴ διέλθω τὸν ἰορδάνην τοῦτον, καὶ ἵνα μὴ εἰσέλθω εἰς τὴν γῆν ἣν κύριος ὁ θεὸς δίδωσί σοι ἐν κληρον. 20 ἐγὼ γὰρ ἀποθνήσκω ἐν τῇ γῇ ταύτῃ, καὶ οὐ διαβαίνω τὸν ἰορδάνην τοῦτον, ὑμεῖς δὲ διαβαίνετε καὶ κληρονομήσετε τὴν γῆν τὴν ἀγαθὴν ταύτην. 21 προσέχετε ὑμεῖς μήποτε ἐπιλάθησθε τῆς διαθήκης κυρίου τοῦ θεοῦ ὑμῶν, ἣν διέθετο πρὸς ὑμᾶς, καὶ μὴ ποιήσητε ὑμῖν αὐτοῖς γλυπτὸν ὁμοίωμα πάντων ὧν συνετάξει σοι κύριος ὁ θεός σου, 22 ὅτι κύριος ὁ θεός σου πῦρ καταναλίσκον ἐστίν, θεὸς ζηλωτής. 23 ἐὰν δὲ γηγενήσητε ὑμᾶς καὶ χρονίσητε ἐπὶ τῆς γῆς, καὶ ἀνομήσητε, καὶ ποιήσητε γλυπτὸν ὁμοίωμα παντὸς, καὶ ποιήσητε τὸ πονηρὸν ἐνώπιον κυρίου τοῦ θεοῦ ὑμῶν παροργίσαι αὐτόν, 24 διαμαρτύρομαι ὑμῖν σήμερον τὸν τε οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε ἀπὸ τῆς γῆς εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν ἰορδάνην ἐκεῖ, κληρονομήσαι αὐτήν, οὐχὶ πολυχρονιεῖτε ἡμέρας ἐπ' αὐτῆς, ἀλλ' ἢ ἐκπριοῦ ἐκπριεῖσθε, καὶ διασπερεῖ κύριος ὑμᾶς ἐν πᾶσι τοῖς ἔθνεσι, καὶ καταλειφθήσεσθε ὀλίγοι ἀριθμῷ ἐν τοῖς ἔθνεσιν, εἰς οὓς εἰσαγάγῃ κύριος ὑμᾶς ἐκεῖ, καὶ λατρεύσετε ἐκεῖ θεοῖς ἑτέροις, ἔργοις χειρῶν ἀνθρώπων, ξύλοις καὶ λίθοις, οἳ οὐκ ὄψονται, οὐδὲ μὴ ἀκούσωσιν, οὐδὲ μὴ φάγωσιν, οὐδὲ μὴ ὀσφρανθῶσιν. 29 καὶ ἐκζητήσετε ἐκεῖ κύριον τὸν θεὸν ὑμῶν, καὶ εὑρήσετε αὐτόν, ὅταν ἐκζητήσητε αὐτὸν ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, ἐν τῇ θλίψει σου. καὶ εὑρήσουσί σε πάντες οἱ λόγοι οὗτοι ἐπ' ἐσχάτων τῶν ἡμερῶν, καὶ ἐπιστραφήσῃ πρὸς κύριον τὸν θεόν σου, καὶ εἰσακούσῃ τῆς φωνῆς αὐτοῦ, ὅτι θεὸς οἰκτίρμων καὶ ἐλεήμων κύριος ὁ θεός σου, οὐκ ἐγκαταλείψει σε, οὐδὲ μὴ ἐκτρίψῃ σε, οὐκ ἐπιλήσεται τῆς διαθήκης τῶν πατέρων σου ἣν ὤμοσεν αὐτοῖς. 32 ἐπερωτήσατε ἡμέρας πρώτας τὰς γενομένας πρὸ σοῦ, ἀπὸ τῆς ἡμέρας ἧς ἔκτισεν ὁ θεὸς ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, εἰ γέγονε κατὰ τὸ ῥῆμα τὸ μέγα τοῦτο, ἢ ἤκουσαι τοιοῦτον, 33 εἰ ἀκήκοεν ἔθνος φωνὴν θεοῦ ζῶντος, λαλοῦντος ἐκ μέσου τοῦ πυ-

ρὸς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γος, ὃν τρόπον ἀκήκοας σὺ καὶ ἔζησας. ἢ ἐπείρασεν ὁ θεὸς εἰσελθὼν λαβεῖν ἑαυτῷ ἔθνος ἐκ μέσου ἔθνους ἐν πειρασμῷ, καὶ ἐν σημείοις, καὶ ἐν τέρασι, καὶ ἐν πολέμῳ, καὶ ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐν ὁράμασι μεγάλοις, κατὰ πάντα ὅσα ἐποίησε κύριος ὁ θεὸς ὑμῶν ἐν αἰγύπτῳ, ἐνώπιόν σου βλέποντος, ὥστε εἰδῆναί σε ὅτι κύριος ὁ θεός σου, οὗτος θεός ἐστι, καὶ οὐκ ἔστι ἔτι πλὴν αὐτοῦ. ἐκ τοῦ οὐρανοῦ ἀκουστόν σοι ἐποίησε τὴν φωνὴν αὐτοῦ, παιδεῦσαί σε, καὶ ἐπὶ τῆς γῆς ἔδειξέ σοι τὸ πῦρ αὐτοῦ τὸ μέγα, καὶ τὰ ῥήματα αὐτοῦ ἤκουσας ἐκ μέσου τοῦ πυρός, διὰ τὸ ἀγαπῆσαι αὐτὸν τοὺς πατέρας σου. καὶ ἐξελέξατο τὸ σπέρμα αὐτοῦ μετ' αὐτοὺς ὑμᾶς, καὶ ἐξήγαγέ σε αὐτὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ τῇ μεγάλῃ ἐξ αἰγύπτου, ἐξολοθρεῦσαι ἔθνη μεγάλα καὶ ἰσχυρότερά σε, πεῖσαι πρόσωπόν σε, εἰσαγαγεῖν σε δοῦναί σοι τὴν γῆν αὐτῶν κληρονομίαν, καθὼς ἔχεις σήμερον, καὶ γνῶσι σήμερον, καὶ ἐπιστραφήσῃ τῇ διανοίᾳ, ὅτι κύριος ὁ θεός σου, ὅτι οὗτος θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ. καὶ φυλάξῃ τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα εὖ σοι γένηται, καὶ τοῖς υἱοῖς σου μετὰ σὲ, ὅπως μακροήμεροι γένησθε ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι πάσας τὰς ἡμέρας. τότε ἀφώρισε μωϋσῆς τρεῖς πόλεις πέραν τοῦ ἰορδάνου ἀνατολῶν ἡλίου, φυγεῖν ἐκεῖ τὸν φονευτήν, ὃς ἂν φονεύσῃ τὸν πλησίον ἀκουσίως, καὶ οὗτος μισῶν αὐτὸν πρὸ τοῦ χθὲς καὶ τοῦ τρίτης, καὶ καταφεύξεται εἰς μίαν τῶν πόλεων τούτων, καὶ ζήσεται. τὴν βοσὸρ ἐν τῇ ἐρήμῳ, ἐν τῇ γῇ τῇ πεδινῇ τοῦ ῥουβήν, καὶ τὴν ῥαμὼθ ἐν γαλαὰδ τῷ γαδδί, καὶ τὴν γαυλὼν ἐν τῇ βασὰν τῷ μανασσῆ. οὗτος ὁ νόμος ὃν προέθετο μωϋσῆς ἐνώπιον υἱῶν ἰσραήλ. ταῦτα τὰ μαρτύρια, καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα ὅσα ἐλάλησε μωϋσῆς τοῖς υἱοῖς ἰσραὴλ ἐν τῇ ἐρήμῳ ἐξελθόντων αὐτῶν ἐκ γῆς αἰγύπτου, ἐν τοῦ πέραν τοῦ ἰορδάνου, ἐν φάραγγι ἐγγὺς οἴκου φογώρ, ἐν τῇ γῇ σηὼν βασιλέως τῶν ἀμορραίων, ὃς κατῴκει ἐν ἐσεβών, ὃν ἐπάταξε μωϋσῆς, καὶ οἱ υἱοὶ ἰσραὴλ ἐξελθόντων αὐτῶν ἐκ γῆς αἰγύπτου, καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτοῦ, καὶ τὴν γῆν ὤγ βασιλέως τοῦ βασάν, δύο βασιλέων τῶν ἀμορραίων, οἳ ἦσαν πέραν τοῦ ἰορδάνου κατὰ ἀνατολὰς ἡλίου ἀπὸ ἀροήρ, ἣ ἔστιν ἐπὶ τοῦ χείλους χειμάῤῥου ἀρνών, καὶ ἐπὶ τοῦ ὄρους τοῦ σηών, ὅ ἐστιν ἀερμών, πᾶσαν τὴν ἄραβα πέραν τοῦ ἰορδάνου κατὰ ἀνατολὰς ἡλίου ὑπὸ ἀσημὼθ τὴν λαξευτήν.

ΚΕΦΑΛ. ε'. 5.

ΚΑΙ ἐκάλεσε μωϋσῆς πάντα ἰσραὴλ, καὶ εἶπε πρὸς αὐτούς· ἄκουε ἰσραὴλ τὰ δικαιώματα καὶ τὰ κρίματα ὅσα ἐγὼ λαλῶ ἐν τοῖς ὠσὶν ὑμῶν, ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ μαθήσεσθε αὐτὰ, καὶ φυλάξεσθε ποιεῖν αὐτά. κύριος ὁ θεὸς ὑμῶν, διέθετο πρὸς ὑμᾶς διαθήκην ἐν χωρήβ, καὶ οὐχὶ τοῖς πατράσιν ὑμῶν διέθετο κύριος τὴν διαθήκην ταύτην, ἀλλ' ἢ πρὸς ὑμᾶς. ὑμεῖς δὲ ὧδε πάντες ζῶντες σήμερον. πρόσωπον κατὰ πρόσωπον ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει, ἐκ μέσου τοῦ πυρός, καγὼ εἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ἀνὰ μέσον ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ, ἀναγγεῖλαι ὑμῖν τὰ ῥήματα κυρίου, ὅτι ἐφοβήθητε ἀπὸ προσώπου τοῦ πυρός, καὶ οὐκ ἀνέβητε εἰς τὸ ὄρος λέγων· Ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς αἰγύπτου ἐξ οἴκου δουλείας, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πρὸ προσώπου μου, ἀ ποιήσεις σεαυτῷ γλυπτὸν, οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑπὸ κάτω τῆς γῆς, οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς, ὅτι ἐγώ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίαν πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου. οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ. οὐ γὰρ μὴ καθαρίσῃ κύριος ὁ θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. φύλαξαι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτήν, ὃν τρόπον ἐνετείλατό σοι κύριος ὁ θεός σου. ἓξ ἡμέρας ἐργᾷ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, σάββατα κυρίῳ τῷ θεῷ σου. οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνός σου, καὶ ὁ προσήλυτος ὁ ἐν τοῖς πυλῶσί σου, ἵνα ἀναπαύσηται ὁ παῖς σου καὶ ἡ παιδίσκη σου καὶ τὸ ὑποζύγιόν σου, ὡσαύτως καὶ σύ, καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ αἰγύπτου, καὶ ἐξήγαγέ σε κύριος ὁ θεός σου ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, διὰ τοῦτο συνέταξέ σοι κύριος ὁ θεός σου, ὡς τε φυλάσσεσθαι τὴν ἡμέραν τῶν σαββάτων, καὶ ἁγιάζειν αὐτήν. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὃν τρόπον ἐνετείλατό σοι κύριος ὁ θεός σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι. οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὔτε τὸν ἀγρὸν αὐτοῦ, οὔτε τὸν παῖδα αὐτοῦ, οὔτε τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε πάντα τὰ κτήνη αὐτοῦ, οὔτε πάντα ὅσα τοῦ πλησίον σού ἐστι. ταῦτα τὰ ῥήματα ἐλάλησε κύριος πρὸς πᾶσαν τὴν συναγωγὴν ὑμῶν ἐν τῷ ὄρει, ἐκ μέσου τοῦ πυρός. σκότος, γνόφος, θύελλα, φωνὴ μεγάλη,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γολλη, καὶ ὁ προσέθηκε. καὶ ἔγραψεν αὐτὰ ἐπὶ δύο πλάκας λιθίνας, καὶ ἔδωκέ μοι. καὶ ἐγένετο ὡς ἤκουσα τὴν φωνὴν ἐκ μέσου τοῦ πυρός, καὶ τὸ ὄρος ἐκαίετο πυρί, καὶ προσήλθετε πρός με πάντες οἱ ἡγούμενοι τῶν φυλῶν ὑμῶν, καὶ οἱ γέροντες ὑμῶν, καὶ εἴπετε. ἰδοὺ ἔδειξεν ἡμῖν κύριος ὁ θεὸς ἡμῶν τὴν δόξαν αὐτοῦ, καὶ τὴν φωνὴν αὐτοῦ ἠκούσαμεν ἐκ μέσου τοῦ πυρός, ἐν τῇ ἡμέρᾳ ταύτῃ εἴδομεν, ὅτι λαλήσει ὁ θεὸς πρὸς ἄνθρωπον, καὶ ζήσεται. καὶ νῦν μὴ ἀποθάνωμεν, ὅτι ἐξαναλώσει ἡμᾶς τὸ πῦρ τὸ μέγα τοῦτο, ἐὰν προσθώμεθα ἡμεῖς ἀκοῦσαι τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν ἔτι, καὶ ἀποθανούμεθα. τίς γὰρ σαρξ ἥτις ἤκουσε φωνὴν θεοῦ ζῶντος, λαλοῦντος ἐκ μέσου τοῦ πυρός, ὡς ἡμεῖς, καὶ ζήσεται; πρόσελθε σὺ καὶ ἄκουσον ὅσα ἂν εἴπῃ κύριος ὁ θεὸς ἡμῶν πρὸς σέ, καὶ ἀκουσόμεθα καὶ ποιήσομεν. καὶ ἤκουσε κύριος τὴν φωνὴν τῶν λογων ὑμῶν λαλούντων πρός με, καὶ εἶπε κύριος πρός με· ἤκουσα τὴν φωνὴν τῶν λόγων τοῦ λαοῦ τούτου, ὅσα ἐλάλησαν πρὸς σέ· ὀρθῶς πάντα ἐλάλησαν. τίς δώσει εἶναι ὅτω τὴν καρδίαν αὐτῶν ἐν αὐτοῖς, ὥστε φοβεῖσθαί με, καὶ φυλάσσειν τὰς ἐντολάς μου πάσας τὰς ἡμέρας, ἵνα σὺ αὐτοῖς γένηται, καὶ τοῖς υἱοῖς αὐτῶν εἰς αἰῶνα; βάδισον, εἰπὸν αὐτοῖς· ἀποστράφητε ὑμεῖς εἰς τοὺς οἴκους ὑμῶν, σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ, καὶ λαλήσω πρὸς σὲ τὰς ἐντολὰς πάσας, καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα, ὅσα διδάξεις αὐτούς. καὶ ποιήτωσαν οὕτως ἐν τῇ γῇ, ᾗ ἐγὼ δίδωμι αὐτοῖς ἐν κλήρῳ. καὶ φυλάξεσθε ποιεῖν ὃν τρόπον ἐνετείλατό σοι κύριος ὁ θεὸς σου. οὐκ ἐκκλινεῖς δεξιὰ οὐδὲ ἀριστερά, κατὰ πᾶσαν τὴν ὁδὸν ἣν ἐνετείλατό σοι κύριος ὁ θεὸς σου, πορεύεσθαι ἐν αὐτῇ, ὅπως διαπαύσῃ σε, καὶ εὖ σοι γένηται, καὶ μακροημερεύσητε ἐπὶ τῆς γῆς ἣν διαπεκληρονομήσετε.

ΚΕΦΑΛ. ε'. 6.

Καὶ αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα, ὅσα ἐνετείλατο κύριος ὁ θεὸς ὑμῶν, διδάξαι ὑμᾶς, ποιεῖν οὕτως ἐν τῇ γῇ εἰς ἣν σὺ διαπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτήν, ἵνα φοβῆσθε κύριον τὸν θεὸν ὑμῶν. φυλάσσεσθε πάντα τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, σὺ καὶ οἱ υἱοί σου, καὶ οἱ υἱοὶ τῶν υἱῶν σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἵνα μακροημερεύσητε. καὶ ἄκουσον Ἰσραὴλ καὶ φύλαξον ποιεῖν, ὅπως εὖ σοι ᾖ, καὶ ἵνα πληθυνθῆτε σφόδρα. καθάπερ ἐλάλησε κύριος ὁ θεὸς τῶν πατέρων σου, δοῦναί σοι γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ ταῦτα τὰ δικαιώματα, καὶ τὰ κρίματα ὅσα ἐνετείλατο κύριος τοῖς υἱοῖς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου. ἄκουε Ἰσραήλ· κύριος ὁ θεὸς ἡμῶν, κύριος εἷς ἐστι. καὶ ἀγαπήσεις κύριον τὸν θεόν σου, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης δυνάμεώς σου. καὶ ἔσται τὰ ῥήματα ταῦτα ἃ ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐπὶ τῆς καρδίας σου, καὶ ἐν τῇ ψυχῇ σου, καὶ προβιβάσεις αὐτὰ τοῖς υἱοῖς σου, καὶ λαλήσεις ἐν αὐτοῖς καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ κοιταζόμενος, καὶ ἀνιστάμενος, καὶ ἐφαψεις αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ ἔσται ἀσάλευτα πρὸ ὀφθαλμῶν σου, καὶ γράψετε αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν, καὶ τῶν πυλῶν ὑμῶν. καὶ ἔσται ὅταν εἰσαγάγῃ σε κύριος ὁ θεός σου εἰς τὴν γῆν ἣν ὤμοσε τοῖς πατράσι σου, τῷ Ἀβραάμ, καὶ τῷ Ἰσαάκ, καὶ τῷ Ἰακώβ, δοῦναί σοι πόλεις μεγάλας καὶ καλάς, ἃς οὐκ ᾠκοδόμησας, οἰκίας πλήρεις παντὸς ἀγαθῶν, ἃς οὐκ ἐνέπλησας, λάκκους λελατομημένους, οὓς οὐκ ἐλατόμησας, ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐκ ἐφύτευσας. καὶ φαγὼν καὶ ἐμπλησθεὶς, πρόσεχε σεαυτῷ, μὴ πλανηθῇ σου ἡ καρδία σε, καὶ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. κύριον τὸν θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. οὐ μὴ πορευθῆς ὀπίσω θεῶν ἑτέρων, ἀπὸ τῶν θεῶν τῶν ἐθνῶν τῶν περικύκλῳ ὑμῶν, ὅτι ὁ θεὸς ζηλωτὴς κύριος ὁ θεὸς σου ἐν σοί, μὴ ὀργισθῇ θυμῷ κύριος ὁ θεός σου ἐν σοί, καὶ ἐξολοθρεύσῃ σε ἀπὸ προσώπου τῆς γῆς. οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου, ὃν τρόπον ἐξεπειράσατε ἐν τῷ πειρασμῷ. φυλάσσων φυλάξῃ τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ σου, καὶ τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐνετείλατό σοι, καὶ ποιήσεις τὸ ἀρεστὸν καὶ τὸ καλὸν ἐναντι κυρίου τοῦ θεοῦ σου, ἵνα εὖ σοι γένηται, καὶ εἰσελθὼν κληρονομήσῃς τὴν γῆν τὴν ἀγαθὴν ἣν ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν, ἐκκλίναι πάντας τοὺς ἐχθρούς σου πρὸ προσώπου σου, καθὰ ἐλάλησε κύριος. καὶ ἔσται, ὅταν ἐρωτήσῃ σε ὁ υἱός σου αὔριον λέγων· τίνα ὅτι τὰ μαρτύρια, καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα ὅσα ἐνετείλατο κύριος ὁ θεὸς ἡμῶν ἡμῖν; καὶ ἐρεῖς τῷ υἱῷ σου· οἰκέται ἦμεν τῷ Φαραὼ ἐν γῇ Αἰγύπτου, καὶ ἐξήγαγεν ἡμᾶς κύριος ὁ θεὸς ἐκεῖθεν, ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ· ἔδωκε κύριος σημεῖα καὶ τέρατα μεγάλα καὶ πονηρὰ ἐν Αἰγύπτῳ, ἐν Φαραὼ, καὶ ἐν τῷ οἴκῳ αὐτοῦ, ἐνώπιον ἡμῶν. καὶ ἡμᾶς ἐξήγαγε κύριος ὁ θεὸς ἡμῶν ἐκεῖθεν, ἵνα εἰσαγάγῃ ἡμᾶς δοῦναι ἡμῖν τὴν γῆν ταύτην, ἣν ὤμοσε κύριος ὁ θεὸς ἡμῶν τοῖς πατράσιν ἡμῶν, δοῦναι ἡμῖν. καὶ ἐνετείλατο ἡμῖν κύριος ποιεῖν πάντα τὰ δικαιώματα τοῦτα, φοβεῖσθαι κύριον τὸν θεὸν ἡμῶν, ἵνα εὖ ἡμῖν ᾖ πάσας τὰς ἡμέρας, ἵνα ζῶμεν ὥσπερ καὶ σήμερον. καὶ ἐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεημοσύνη ἔσαι ἡμῖν, ἐὰν φυλαξώμεθα ποιεῖν πᾶσας τὰς ἐντολὰς τὸ νόμα τοῦτο, ἔναντι κυρίε τοῦ θεοῦ ἡμῶν, καθὰ ἐνετείλατο ἡμῖν.

ΚΕΦΑΛ. ζ'. 7.

Καὶ ἔσαι ἐν τῷ εἰσαγαγεῖν σε κύριος ὁ θεός σου, εἰς τὴν γῆν, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν, καὶ ἐξολεθρεύσει ἔθνη μεγάλα καὶ πολλὰ ἀπὸ προσώπου σε, τὸν χετταῖον, καὶ τὸν γεργεσαῖον, καὶ τὸν ἀμορῥαῖον, καὶ τὸν χαναναῖον, καὶ τὸν φερεζαῖον, καὶ δυαῖον, καὶ ἰεβουσαῖον, ἑπτὰ ἔθνη μεγάλα καὶ πολλὰ, ἰσχυρότερα ὑμῶν, καὶ παραδώσει αὐτοὺς κύριος ὁ θεός σου εἰς τὰς χεῖράς σου, καὶ πατάξεις αὐτούς, ἀφανισμῷ ἀφανιεῖς αὐτούς, οὐ διαθήσῃ πρὸς αὐτοὺς διαθήκην, οὐδὲ μὴ ἐλεήσῃς αὐτούς, οὐδὲ μὴ γαμβρεύσῃτε πρὸς αὐτούς. τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου. ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ λατρεύσει θεοῖς ἑτέροις, καὶ ὀργισθήσεται θυμῷ κύριος ἐς ὑμᾶς, καὶ ἐξολεθρεύσει σε ταχύ. ἀλλ' οὕτω ποιήσετε αὐτοῖς. τοὺς βωμοὺς αὐτῶν καθελεῖτε, καὶ τὰς στήλας αὐτῶν συντρίψετε, καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν κατακαύσετε πυρί, ὅτι λαὸς ἅγιος εἶ κυρίῳ τῷ θεῷ σου. καὶ σὲ προείλατο κύριος ὁ θεός σου εἶναι αὐτῷ λαὸν περιούσιον, παρὰ πάντα τὰ ἔθνη ὅσα ἐπὶ προσώπου τῆς γῆς. οὐχ ὅτι πολυπληθεῖτε παρὰ πάντα τὰ ἔθνη προείλατο κύριος ὑμᾶς, καὶ ἐξελέξατο κύριος ὑμᾶς, ὑμεῖς γὰρ ὀλιγοστοί πρὸ πάντων τῶν ἐθνῶν, ἀλλὰ πρὸ ἀγάπην κύριος ὑμᾶς, καὶ διατηρῶν τὸν ὅρκον, ὃν ὤμοσε τοῖς πατράσιν ὑμῶν, ἐξήγαγεν ὑμᾶς κύριος ἐν χειρὶ ἰσχυρᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐλυτρώσατό σε ἐξ οἴκου δουλείας, ἐκ χειρὸς φαραὼ βασιλέως Αἰγύπτου. καὶ γνώσῃ, ὅτι κύριος ὁ θεός σου, οὗτος θεός, ὁ θεὸς ὁ πιστός, ὁ φυλάσσων τὴν διαθήκην αὐτοῦ καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ, εἰς χιλίας γενεάς, καὶ ἀποδιδοὺς τοῖς μισοῦσιν αὐτὸν κατὰ πρόσωπον ἐξολεθρεῦσαι αὐτούς. καὶ οὐχὶ βραδυνεῖ, τοῖς μισοῦσι κατὰ πρόσωπον ἀποδώσει αὐτοῖς. καὶ φυλάξῃ τὰς ἐντολὰς, καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα τοῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ποιεῖν. καὶ ἔσαι ἵνα κὰν ἀκούσητε ταῦτα τὰ δικαιώματα τοῦτα, καὶ φυλάξητε, καὶ ποιήσητε αὐτά, καὶ διαφυλάξει κύριος ὁ θεός σου, σοὶ τὴν διαθήκην, καὶ τὸ ἔλεος καθὼς ὤμοσε τοῖς πατράσιν ὑμῶν, καὶ ἀγαπήσει σε, καὶ εὐλογήσει σε, καὶ πληθυνεῖ σε, καὶ εὐλογήσει τὰ ἔγγονα τῆς κοιλίας σου, καὶ τὸν καρπὸν τῆς γῆς σου, τὸν σῖτόν σου, καὶ τὸν οἶνόν σε, καὶ τὸ ἔλαιόν σου, τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου, ἐπὶ τῆς γῆς ἧς ὤμοσε κύριος τοῖς πατράσι σε, δοῦναί σοι. καὶ εὐλογητὸς ἔσῃ παρὰ πάντα τὰ ἔθνη. οὐκ ἔσαι ἐν ὑμῖν ἄγονος, οὐδὲ σεῖρα, καὶ ἐν τοῖς κτήνεσί σου. καὶ περιελεῖ κύριος ὁ θεός σου ἀπὸ σοῦ πᾶσαν μαλακίαν, καὶ πάσας νόσους αἰγύπτου τὰς πονηρὰς, ἃς ἑώρακας, καὶ ὅσα ἔγνως οὐκ ἐπιθήσει ἐπὶ σέ, καὶ ἐπιθήσει αὐτὰ ἐπὶ πάντας τοὺς μισοῦντάς σε. καὶ φαγῇ πάντα τὰ σκῦλα τῶν ἐθνῶν, ἃ κύριος ὁ θεός σε δίδωσί σοι. οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτοῖς, καὶ οὐ μὴ λατρεύσῃς τοῖς θεοῖς αὐτῶν, ὅτι σκῶλον τοῦτο ἔσι σοι. ἐὰν δὲ λέγῃς ἐν τῇ διανοίᾳ σου, ὅτι πολὺ τὸ ἔθνος τοῦτο ἢ ἐγώ, πῶς δυνήσομαι ἐξολεθρεῦσαι αὐτούς; φοβηθήσῃ αὐτούς. μνείᾳ μνησθήσῃ ὅσα ἐποίησε κύριος ὁ θεός σου τῷ φαραὼ, καὶ πᾶσι τοῖς αἰγυπτίοις, τοὺς πειρασμοὺς οὓς μεγάλους οὓς εἶδόσαν οἱ ὀφθαλμοί σου, τὰ σημεῖα ἐκεῖνα, καὶ τὰ τέρατα τὰ μεγάλα ἐκεῖνα, τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλόν, ὡς ἐξήγαγέ σε κύριος ὁ θεός σου, οὕτω ποιήσει κύριος ὁ θεὸς ὑμῶν πᾶσι τοῖς ἔθνεσιν οὓς σὺ φοβῇ ἀπὸ προσώπου αὐτῶν. καὶ τὰς σφηκίας ἀποστελεῖ κύριος ὁ θεός σου εἰς αὐτούς, ἕως ἂν ἐκτριβῶσιν οἱ καταλελειμμένοι, καὶ κεκρυμμένοι ἀπὸ σοῦ. οὐ πρωθήσῃ ἀπὸ προσώπου αὐτῶν, ὅτι κύριος ὁ θεός σου ἐν σοί, θεὸς μέγας καὶ κραταιός. καὶ καταναλώσει κύριος ὁ θεός σου τὰ ἔθνη τοῦτα ἀπὸ προσώπου σου, κατὰ μικρὸν μικρόν. οὐ δυνήσῃ ἐξαναλῶσαι αὐτοὺς τὸ τάχος, ἵνα μὴ γένηται ἡ γῆ ἔρημος, καὶ πληθυνθῇ ὑπὲρ σὲ τὰ θηρία τὰ ἄγρια. καὶ παραδώσει αὐτοὺς κύριος ὁ θεός σου εἰς τὰς χεῖράς σου, καὶ ἀπολέσει αὐτοὺς ἀπωλείᾳ μεγάλῃ, ἕως ἂν ἐξολεθρεύσητε αὐτούς. καὶ παραδώσει τοὺς βασιλεῖς αὐτῶν εἰς τὰς χεῖράς σου, καὶ ἀπολεῖτε τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου. οὐ καυχήσεται οὐθεὶς κατὰ πρόσωπόν σου, ἕως ἂν ἐξολεθρεύσῃς αὐτούς. τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρί. καὶ οὐκ ἐπιθυμήσεις ἀργύριον, οὐδὲ χρυσίον ἀπ' αὐτῶν λαβεῖν σεαυτῷ, μήποτε πταίσῃς δι' αὐτό, ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σού ἐστι. καὶ οὐκ εἰσοίσεις βδέλυγμα εἰς τὸν οἶκόν σου. καὶ ἀναθεμα ἔσῃ ὥσπερ καὶ αὐτό. προσοχθίσματι προσοχθιεῖς, καὶ βδελύγματι βδελύξῃ, ὅτι ἀναθεμά ἐστι.

ΚΕΦΑΛ. η'. 8.

Πᾶσας τὰς ἐντολὰς ἃς ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον φυλάξεσθε ποιεῖν, ἵνα ζῆτε, καὶ πολυπλασιασθῆτε, καὶ εἰσελθητε καὶ κληρονομήσητε τὴν γῆν ἀγαθὴν, ἣν ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν. καὶ μνησθήσῃ πᾶσαν τὴν ὁδὸν ἣν ἤγαγέ σε κύριος ὁ θεὸς σε

ἐν τῇ

γῆ τῇ ἐρήμῳ, ὅπως ἂν ἐκτρέφωσι σε, καὶ ὡφελήσῃ σε, καὶ πλεονασθῇ τὰ γένη τῆς καρδίας σου, εἰ φυλάξῃ τὰς ἐντολὰς αὐτοῦ, ἃ ἐγὼ ἐντέλλομαί σοι σήμερον, καὶ ἐκπορεύσωσί σε, καὶ ἐλεημοσύνην ποιήσῃ σε, καὶ ἐνθυμηθήσῃ τὰ γένη τοῦ πατρός σου, ἵνα ἀναγγείλῃ σοι, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ, ζήσεται ὁ ἄνθρωπος. τὰ ἱμάτιά σου οὐ κατεσρίβη ἀπὸ σοῦ, οἱ πόδες σου οὐκ ἐλυτρώθησαν, ἰδοὺ τεσσαράκοντα ἔτη. καὶ γνώσῃ τῇ καρδίᾳ σου, ὅτι ὡς εἴ τις ἄνθρωπος παιδεύσει τὸν υἱὸν αὐτοῦ, οὕτω κύριος ὁ θεός σε παιδεύσει σε. καὶ φυλάξῃ τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ σου, πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ φοβεῖσθαι αὐτόν. ὁ γὰρ κύριος ὁ θεός σου, εἰσάγει σε εἰς γῆν ἀγαθήν, καὶ πολλήν, ἧς χείμαῤῥοι ὑδάτων, καὶ πηγαὶ ἀβύσσων ἐκπορευόμεναι διὰ τοῦ πεδίου, καὶ διὰ τῶν ὀρέων. γῆ πυρὸς καὶ κριθῆς, ἄμπελοι, συκαῖ, ῥοαί, γῆ ἐλαίας, ἐλαίου καὶ μέλιτος. γῆ ἐφ' ἧς οὐ μετὰ πτωχείας φαγῇ τὸν ἄρτον σου, καὶ οὐ μὴ ὑστερηθήσῃ ἐν αὐτῇ. γῆ ἧς οἱ λίθοι αὐτῆς σίδηρος, καὶ ἐκ τῶν ὀρέων αὐτῆς μεταλλεύσεις χαλκόν. καὶ φαγῇ καὶ ἐμπλησθήσῃ, καὶ εὐλογήσεις κύριον τὸν θεόν σου, ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς ἧς ἔδωκέ σοι. πρόσεχε σεαυτῷ μὴ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου, τοῦ μὴ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ κρίματα, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, μήποτε φαγὼν, καὶ ἐμπλησθεὶς, καὶ οἰκίας καλὰς οἰκοδομήσας, καὶ κατοικήσας ἐν αὐταῖς, καὶ τῶν βοῶν σου καὶ τῶν προβάτων σου πληθυνθέντων σοι, ἀργυρίου καὶ χρυσίου πληθυνθέντων σοι, καὶ πάντων ὅσα σοι ὄντα πληθυνθέντων σοι, ὑψωθῇς τῇ καρδίᾳ σου, καὶ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου, τοῦ ἐξαγαγόντος σε ἐκ γῆς αἰγύπτου ἐξ οἴκου δουλείας, τοῦ ἀγαγόντος σε διὰ τῆς ἐρήμου τῆς μεγάλης καὶ τῆς φοβερᾶς ἐκείνης, οὗ ὄφις διψῶν καὶ σκορπίος καὶ δίψα, οὗ ἐκ ἦν ὕδωρ, τοῦ ἐξαγαγόντος σοι ἐκ πέτρας ἀκροτόμου πηγὴν ὕδατος, τοῦ ψωμίσαντός σε τὸ μάννα ἐν τῇ ἐρήμῳ, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου, ἵνα ἐκκακώσῃ σε, καὶ ἵνα ἐκπειράσῃ σε, εὖ σε ποιῆσαι ἐπ' ἐσχάτων σου, καὶ μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· ἡ ἰσχύς μου, καὶ ὁ κραταιὸς τῆς χειρός μου ἐποίησέ μοι τὸν δυνάμιν τὸν μεγάλον τοῦτον. καὶ μνησθήσῃ κυρίου τοῦ θεοῦ σου, ὅτι αὐτός σοι δίδωσιν ἰσχύν, τοῦ ποιῆσαι δύναμιν· καὶ ἵνα στήσῃ τὸν διαθήκην αὐτοῦ, ἣν ὤμοσε τοῖς πατράσι σου ὡς σήμερον. καὶ ἔσται ἐὰν λάθῃ ἐπιλάθῃ κύριος τοῦ θεοῦ σου, καὶ πορευθῇς ὀπίσω θεῶν ἑτέρων, καὶ λατρεύσῃς αὐτοῖς, καὶ προσκυνήσῃς αὐτοῖς, διαμαρτύρομαι ὑμῖν σήμερον τόνδε τὸν οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε, καθὰ καὶ τὰ ἔθνη, ὅσα κύριος ὁ θεὸς ἀπολλύει ἀπὸ προσώπου ὑμῶν, οὕτως ἀπολεῖσθε, ἀνθ' ὧν οὐκ ἠκούσατε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν.

ΚΕΦΑΛ. η'. θ'.

ΑΚουε ἰσραήλ, σὺ διαβαίνεις σήμερον τὸν ἰορδάνην, εἰσελθεῖν κληρονομῆσαι ἔθνη μεγάλα καὶ ἰσχυρὰ μᾶλλον ἢ ὑμεῖς, πόλεις μεγάλας καὶ τειχήρεις ἕως τοῦ οὐρανοῦ, λαὸν μέγαν καὶ πολὺν καὶ ὑψηλὸν, υἱοὺς γιγάντων οὓς σὺ οἶδα καὶ σὺ ἀκήκοας. τίς ἀντιστήσεται κατὰ πρόσωπον ὑμῶν γνώσῃ καὶ γνώσῃ σήμερον, ὅτι κύριος ὁ θεός σου, οὗτος προπορεύσεται πρὸ προσώπου σου, πῦρ καταναλίσκον ὄψει, οὗτος ἐξολοθρεύσει αὐτοὺς, καὶ οὗτος ἀφανιεῖ αὐτοὺς ἀπὸ προσώπου σου, καὶ ἐξολοθρεύσει αὐτοὺς, καὶ ἀπολεῖ αὐτοὺς γὰρ τάχει, καθάπερ εἶπέ σοι κύριος. μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου ἐν τῷ ἐξαναλῶσαι κύριον τὸν θεόν σου, τὰ ἔθνη ταῦτα πρὸ προσώπου σου λέγων· διὰ τὰς δικαιοσύνας μου εἰσήγαγέ με κύριος κληρονομῆσαι τὴν γῆν τὴν ἀγαθὴν ταύτην, ἀλλὰ διὰ τὴν ἀσέβειαν τῶν ἐθνῶν τούτων κύριος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου σου, οὐχὶ διὰ τὴν δικαιοσύνην σου, οὐδὲ διὰ τὴν ὁσιότητα τῆς καρδίας σου εἰσπορεύῃ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀλλὰ διὰ τὴν ἀσέβειαν καὶ ἀνομίαν τῶν ἐθνῶν τούτων, κύριος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου σου, καὶ ἵνα στήσῃ τὸν διαθήκην ὃν ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. καὶ γνώσῃ σήμερον ὅτι οὐχὶ διὰ τὰς δικαιοσύνας σου κύριος ὁ θεός σου δίδωσί σοι τὴν γῆν τὴν ἀγαθὴν ταύτην κληρονομῆσαι, ὅτι λαὸς σκληροτράχηλος εἶ. μνήσθητι μὴ ἐπιλάθῃ ὅσα παρώξυνας κύριον τὸν θεόν σου ἐν τῇ ὀργῇ, ἀφ' ἧς ἡμέρας ἐξήλθετε ἐκ γῆς αἰγύπτου, ἕως ἤλθετε εἰς τὸν τόπον τοῦτον, ἀπειθοῦντες διετελεῖτε παρὰ κυρίῳ. καὶ ἐν χωρὴβ παρωξύνατε κύριον. καὶ ἐθυμώθη κύριος ἐφ' ὑμᾶς, ἐξολοθρεῦσαι ὑμᾶς, ἀναβαίνοντός μου εἰς τὸ ὄρος λαβεῖν τὰς πλάκας τὰς λιθίνας, πλάκας διαθήκης, ἃς διέθετο κύριος πρὸς ὑμᾶς. καὶ κατεμεινα ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἄρτον οὐκ ἔφαγον καὶ ὕδωρ οὐκ ἔπιον, καὶ ἔδωκέ μοι κύριος τὰς δύο πλάκας τὰς λιθίνας γεγραμμένας ἐν τῷ δακτύλῳ τοῦ θεοῦ, καὶ ἐπ' αὐταῖς ἐγέγραπτο πάντες οἱ λόγοι οὓς ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει. καὶ ἐγένετο ἀπὸ τεσσαράκοντα ἡμέρων καὶ ἀπὸ τεσσαράκοντα νυκτῶν, ἔδωκε κύριος ἐμοὶ τὰς δύο πλάκας τὰς λιθίνας, πλάκας διαθήκης, καὶ εἶπε κύριος πρός με· ἀνάστηθι καὶ κατάβηθι τὸ τάχος ἐνταῦθεν, ὅτι ἀνόμησεν ὁ λαός σου οὓς ἐξήγαγες ἐξ αἰγύπτου, παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς ἐνετείλω αὐτοῖς· ἐποίησαν ἑαυτοῖς χώνευμα. καὶ εἶπε κύριος πρός με· λελάληκα πρὸς σὲ ἅπαξ καὶ δίς λέγων· ἑώρακα τὸν λαὸν τοῦτον, καὶ ἰδοὺ λαὸς σκληροτράχηλός ἐστιν, ἐασόν με ἐξολοθρεῦσαι αὐτούς, καὶ ἐξαλείψω τὸ ὄνομα αὐτῶν ὑποκάτω τοῦ

τ̃ οὐρανοῦ, ⸀ ποιήσω σε εἰς ἔθνος μέγα καὶ ἰσχυρὸν καὶ πολὺ μᾶλλον, ἢ οὗτος. καὶ ἐπιστρέψας διατελῶ ἐκτὸς ὄρους διὰ τὸ ὄρος ἐκαίετο πυρί, καὶ αἱ δύο πλάκες τ̃ μαρτυρίου ἐπὶ ταῖς δυσὶ χερσίμου. καὶ ἰδοὺ ὅτι ἡμάρτετε ⸂γὼ⸃ αὐτίον κυρίου τ̃ θεοῦ ὑμῶν, καὶ ἐποιήσατε ὑμῖν αὐτοῖς μόσχον χωνευτὸν, καὶ παρέβητε ταχὺ ἐκ τ̃ ὁδοῦ ἧς ⸂γὼ⸃ ἐνετείλατο κύριος ὑμῖν ποιεῖν, καὶ ἐπιλαβόμενος τ̃ δύο πλακῶν, ἐῤῥιψα αὐτὰς ἀπὸ τ̃ χειρῶν μου, καὶ συνέτριψα αὐτὰς ⸂γὼ⸃ αὐτίον ὑμῶν. καὶ ⸂ἐγὼ⸃ ἐδεήθην ἔναντι κυρίου δεύτερον, καθὼς πρὸ καὶ πρότερον. τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἄρτον οὐκ ἔφαγον, καὶ ὕδωρ οὐκ ἔπιον, πρὸ πασῶν τ̃ ἁμαρτιῶν ὑμῶν ὧν ἡμάρτετε, ποιῆσαι τὸ πονηρὸν ἔναντι κυρίου τ̃ θεοῦ ὑμῶν, τ̃ παροξῦναι αὐτόν. καὶ ἔκφοβός εἰμι διὰ τὸν θυμὸν καὶ τὴν ὀργὴν, ὅτι παρῳξύνθη κύριος ⸂ἐφ᾽⸃ ὑμῖν, τ̃ ἐξολεθρεῦσαι ὑμᾶς. καὶ εἰσήκουσε κύριος ἐμοῦ ⸀ ⸂γὼ⸃ τ̃ καιρῷ ἐκείνῳ, καὶ ἐπὶ ἀρῶν ἐθυμώθη κύριος σφόδρα τ̃ ἐξολεθρεῦσαι αὐτόν. καὶ ἠυξάμην καὶ πρὸ ἀρῶν ⸂γὼ⸃ τ̃ καιρῷ ἐκείνῳ, καὶ τὴν ἁμαρτίαν ὑμῶν, ἣν ἐποιήσατε τὸν μόσχον, ἔλαβον αὐτὸν, καὶ κατέκαυσα αὐτὸν ⸂γὼ⸃ πυρί, καὶ συνέκοψα αὐτὸν, καὶ λεπτύνας σφόδρα, ἕως οὗ ἐγένετο λεπτόν. καὶ ἐβαλόμην ὥσει κονιορτὸς, καὶ ἔῤῥιψα τὸν κονιορτὸν εἰς τὸν χειμάῤῥουν τὸν καταβαίνοντα ἀπὸ τ̃ ὄρους. καὶ ⸂γὼ⸃ τ̃ ἐμπυρισμῷ, καὶ ⸂γὼ⸃ τ̃ πειρασμῷ, καὶ ⸂γὼ⸃ τοῖς μνήμασι τ̃ ἐπιθυμίας, παροξύναντες ἦτε κύριον τὸν θεὸν ὑμῶν. καὶ ὅτε ἐξαπέστειλεν ὑμᾶς κύριος ἐκ Κάδης Βαρνὴ λέγων· ἀνάβητε κληρονομήσατε τὴν γῆν ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀπειθήσατε τ̃ ῥήματι κυρίου τ̃ θεοῦ ὑμῶν, καὶ οὐκ ἐπιστεύσατε αὐτ̃, καὶ οὐκ εἰσηκούσατε τ̃ φωνῆς αὐτοῦ, καὶ ἀπειθοῦντες ἦτε τὰ πρὸς κύριον, ἀφ᾽ ἧς ἡμέρας ἐγνώσθη ὑμῖν. καὶ ἐπορεύθην ἔναντι κυρίου τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας, ὅσας ἐπορεύθην. εἶπε γὰρ κύριος ἐξολεθρεῦσαι ὑμᾶς. καὶ ηὐξάμην πρὸς τὸν θεόν, καὶ εἶπα. κύριε κύριε βασιλεῦ τ̃ θεῶν, μὴ ἐξολεθρεύσῃς τὸν λαόν σου, καὶ τὴν κληρονομίαν σου ἣν ἐλυτρώσω, ⸂ἐν⸃ τ̃ ἰσχύϊ σου τ̃ μεγάλῃ, οὓς ἐξήγαγον ἐκ γῆς Αἰγύπτου, ⸂ἐν⸃ τ̃ ἰσχύϊ σου τ̃ μεγάλῃ, καὶ ⸂ἐν⸃ τ̃ χειρί σου τ̃ κραταιᾷ, καὶ ⸂ἐν⸃ τ̃ βραχίονί σου τ̃ ὑψηλῷ, μνήσθητι Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν θεραπόντων σου, οἷς ὤμοσας κατὰ σεαυτὸν, καὶ μὴ ἀποβλέψῃς ἐπὶ τὴν σκληρότητα τ̃ λαοῦ τούτου, καὶ ἐπὶ τὰς ἀσεβήματα αὐτῶν, καὶ ἐπὶ τὰς ἁμαρτήματα αὐτῶν, μήποτε εἴπωσιν οἱ κατοικοῦντες τὴν γῆν, ὅθεν ἐξήγαγον ἡμᾶς ἐκεῖθεν, λέγοντες· παρὰ τὸ μὴ δύνασθαι κύριον εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν ἣν ἐπεν αὐτοῖς, καὶ παρὰ τὸ μισῆσαι κύριον αὐτοὺς, ἐξήγαγεν αὐτοὺς ἀπολέσαι ⸂ἐν⸃ τ̃ ἐρήμῳ. καὶ οὗτος λαός σου, καὶ κληρός σου οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ⸂ἐν⸃ τ̃ ἰσχύϊ σου τ̃ μεγάλῃ, καὶ ⸂ἐν⸃ τ̃ βραχίονί σου τ̃ ὑψηλῷ.

ΚΕΦΑΛ. ί. 10.

ΕΝ ἐκείνῳ τ̃ καιρῷ εἶπε κύριος πρός με· λαξεύσον σεαυτῷ δύο πλάκας λιθίνας, ὡσπερ τὰς πρώτας, καὶ ἀνάβηθι πρός με εἰς τὸ ὄρος, καὶ ποιήσεις σεαυτῷ ξύλινον, καὶ γράψω ἐπὶ τὰς πλάκας τὰ ῥήματα, ὅσα ἦν ⸂ἐν⸃ πλαξὶ ταῖς πρώταις, αἷς συνέτριψας καὶ ἐμβαλεῖς αὐτὰς εἰς τὴν κιβωτόν. καὶ ἐποίησα κιβωτὸν ἐκ ξύλων ἀσήπτων, καὶ ἐξελαξεύσατε τὰς δύο πλάκας τὰς λιθίνας ὡσπερ καὶ πρότερον, καὶ ἀνέβην εἰς τὸ ὄρος, καὶ αἱ δύο πλάκες ἐπὶ ταῖς δυσὶ χερσί μου, καὶ ἔγραψεν ⸂ἐπὶ⸃ τὰς πλάκας κατὰ τὴν γραφὴν τὴν πρώτην τοὺς δέκα λόγους οὓς ἐλάλησε κύριος πρὸς ὑμᾶς ⸂ἐν⸃ τ̃ ὄρει ἐκ μέσου τ̃ πυρός. καὶ ἔδωκεν αὐτὰς κύριος ἐμοί, καὶ ἐπιστρέψας κατέβην ἐκ τ̃ ὄρους, καὶ ἔθηκα τὰς πλάκας εἰς τὴν κιβωτὸν, ἣν ἐποίησα, καὶ ἦσαν ἐκεῖ καθὰ ⸂ἐνετείλατό⸃ μοι κύριος, καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀπῆραν ἐκ Βηρὼθ υἱῶν Ἰακὰν εἰς Μισαδδαΐ, ἐκεῖ ἀπέθανεν Ἀαρὼν, καὶ ἐτάφη ἐκεῖ, καὶ ἱεράτευσεν Ἐλεάζαρ υἱὸς αὐτ̃ ἀντ᾽ αὐτ̃. ἐκεῖθεν ἀπῆραν εἰς Γαδιγάδ, καὶ ἀπὸ Γαδιγάδ εἰς Ἰετεβαθὰ γῆν χειμάῤῥου ὑδάτων. ⸂ἐν⸃ ἐκείνῳ τ̃ καιρῷ διέστειλε κύριος τὴν φυλὴν τὴν Λευΐ, αἴρειν τὴν κιβωτὸν τ̃ διαθήκης κυρίου, παρεστάναι ἔναντι κυρίου λειτουργεῖν, καὶ ἐπεύχεσθαι καὶ εὐλογεῖν ἐπὶ τ̃ ὀνόματι αὐτ̃, ἕως ⸀ τ̃ ἡμέρας ταύτης. διὰ τοῦτο οὐκ ἔστι τοῖς Λευίταις μερὶς, οὐδὲ κλῆρος ⸀ τοῖς ἀδελφοῖς αὐτ̃· κύριος ὁ θεὸς αὐτὸς κλῆρος αὐτ̃, καθὰ εἶπεν αὐτοῖς. κἀγὼ ἔστην ⸂ἐν⸃ τ̃ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ εἰσήκουσε κύριος ἐμοῦ καὶ ⸂ἐν⸃ τ̃ καιρῷ τούτῳ, ⸀ οὐκ ἠθέλησε κύριος ἐξολεθρεῦσαι ὑμᾶς. καὶ εἶπε κύριος πρός με· βάδιζε ἄπελθε ἔναντι τ̃ λαοῦ τούτου, καὶ εἰσελθόντες κληρονομήσατε τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν δοῦναι αὐτοῖς. καὶ νῦν Ἰσραὴλ, τί κύριος ὁ θεός σου αἰτεῖται παρὰ σοῦ, ἀλλ᾽ ἢ φοβεῖσθαι κύριον τὸν θεόν σου, πορεύεσθαι ⸂ἐν⸃ πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾶν αὐτόν, καὶ λατρεύειν κυρίῳ τῷ θεῷ σου ἐξ ὅλης τ̃ καρδίας σου, καὶ ἐξ ὅλης τ̃ ψυχ̃ σου, φυλάσσεσθαι τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ σου, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ⸂ἐγὼ⸃ ἐντέλλομαί σοι σήμερον ἵνα εὖ σοι ᾖ. ἰδοὺ κυρίου τοῦ θεοῦ σου ὁ οὐρανὸς, καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ, καὶ πάντα ὅσα ἐστὶν ⸂ἐν⸃ αὐτ̃. πλὴν τοὺς πατέρας ὑμῶν προείλετο κύριος ἀγαπᾶν αὐτούς, ⸀ ἐξελέξατο τὸ σπέρμα αὐτῶν, μετ᾽ αὐτοὺς, ὑμᾶς, παρὰ πάντα τὰ ἔθνη καθὰ τὴν ἡμέραν ταύτην. καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, ⸀ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι. ὁ γὰρ κύριος ⸀ ὁ

θεός

θεὸς ὑμῶν, οὗτος θεὸς τῶν θεῶν, καὶ κύριος τῶν κυρίων, ὁ θεὸς ὁ μέγας καὶ ὁ ἰσχυρὸς καὶ ὁ φοβερός, ὃς τὸ οὐ θαυμάζει πρόσωπον, οὐδὲ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν πορφυρίτῃ καὶ ὀρφανῷ καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν πάροικον δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. καὶ ἀγαπήσετε τὸν πάροικον, πάροικοι γὰρ ἦτε ἐν γῇ αἰγύπτου. κύριον τὸν θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ὄμνυσι τῷ ὀνόματι αὐτοῦ ὀμῇ. αὐτὸς καύχημά σου, καὶ αὐτὸς θεός σου, ὃς ἐποίησέ σοι τὰ μεγάλα καὶ τὰ ἔνδοξα ταῦτα, ἃ εἶδόσαν οἱ ὀφθαλμοί σου.

ΚΕΦΑΛ. ιά. ιι.

ΕΝ ἑβδομήκοντα καὶ ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς αἴγυπτον, νυνὶ δὲ ἐποίησέ σε κύριος ὁ θεός σου, ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τοῦ πλήθει. καὶ ἀγαπήσεις κύριον τὸν θεόν σου, καὶ φυλάξῃ τὰ φυλάγματα αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰς κρίσεις αὐτοῦ, πάσας τὰς ἡμέρας. καὶ γνώσεσθε σήμερον, ὅτι οὐχὶ τὰ παιδία ὑμῶν, ὅσοι οὐκ οἴδασιν, οὐδὲ εἶδον τὴν παιδείαν κυρίου τοῦ θεοῦ σου, καὶ τὰ μεγαλεῖα αὐτοῦ, καὶ τὴν χεῖρα τὴν κραταιὰν, καὶ τὸν βραχίονα τὸν ὑψηλὸν, καὶ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ, ὅσα ἐποίησεν ἐν μέσῳ αἰγύπτου Φαραὼ βασιλεῖ αἰγύπτου, καὶ πάσῃ τῇ γῇ αὐτοῦ, καὶ ὅσα ἐποίησε τῇ δυνάμει τῶν αἰγυπτίων, καὶ τὰ ἅρματα αὐτῶν, καὶ τὸν ἵππον αὐτῶν, ὡς ἐπέκλεισε τὸ ὕδωρ τῆς θαλάσσης τῆς ἐρυθρᾶς, ἐπὶ προσώπου αὐτῶν, καταδιωκόντων αὐτῶν ἐκ τῶν ὀπίσω ὑμῶν, καὶ ἀπώλεσεν αὐτοὺς κύριος ὁ θεὸς ἕως τῆς σήμερον ἡμέρας, καὶ ὅσα ἐποίησεν ἐν ὑμῖν ἐν τῇ ἐρήμῳ, ἕως ἤλθετε εἰς τὸν τόπον τοῦτον, καὶ ὅσα ἐποίησε τῷ Δαθαν καὶ τῷ Ἀβειρὼν υἱοῖς ἐλιάβ, υἱοῦ ῥουβὴν, ἃ ἤνοιξε τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς, καὶ τοὺς οἴκους αὐτῶν, καὶ τὰς σκηνὰς αὐτῶν, καὶ πᾶσαν αὐτῶν τὴν ὑπόστασιν τὴν μετ' αὐτῶν, ἐν μέσῳ παντὸς ἰσραήλ. ὅτι οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι πάντα τὰ ἔργα κυρίου τὰ μεγάλα, ὅσα ἐποίησεν ἐν ὑμῖν σήμερον, καὶ φυλάξεσθε πάσας τὰς ἐντολὰς αὐτοῦ ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, ἵνα ἰσχύσητε καὶ πολυπλασιασθῆτε, καὶ εἰσέλθητε καὶ κληρονομήσητε τὴν γῆν, ἣν ὑμεῖς διαβαίνετε ἐκεῖ τὸν κληρονομῆσαι αὐτὴν, ἵνα μακροημερεύσητε ἐπὶ τῆς γῆς, ἧς ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν, δοῦναι αὐτοῖς, καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς, γῆν ῥέουσαν γάλα καὶ μέλι. ἔστι γὰρ ἡ γῆ εἰς ἣν εἰσπορεύεσθε ὑμεῖς ἐκεῖ κληρονομῆσαι αὐτὴν, οὐχ ὡς πὸρ ἡ γῆ αἰγύπτου ὅθεν, ὅθεν ἐξεπορεύθητε ἐκεῖθεν, ὅταν σπείρωσι τὸν σπόρον καὶ ποτίζωσι τοῖς ποσὶν, ὡσεὶ κῆπον λαχανείας. ἡ δὲ γῆ εἰς ἣν σὺ εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτὴν, γῆ ὀρεινὴ καὶ πεδινὴ, ἐκ τοῦ ὑετοῦ τοῦ οὐρανοῦ πίεται ὕδωρ. γῆν ἣν κύριος ὁ θεός σου ἐπισκοπεῖται αὐτὴν διαπαντὸς, οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ σου ἐπ' αὐτῇ, ἀπ' ἀρχῆς τοῦ ἐνιαυτοῦ, ἕως συντελείας τοῦ ἐνιαυτοῦ. ἐὰν δὲ ἀκοῇ ἀκούσητε πάσας τὰς ἐντολάς μου σήμερον, ἃς ἐγὼ ἐντέλλομαι σοι σήμερον, ἀγαπᾶν κύριον τὸν θεόν σου καὶ λατρεύειν αὐτῷ ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ δώσει τὸν ὑετὸν τῇ γῇ σου, καθ' ὥραν πρωΐμου καὶ ὄψιμον, καὶ συνάξεις τὸν σῖτόν σου, καὶ τὸν οἶνόν σου, καὶ τὸ ἔλαιόν σου, καὶ δώσεις χορτάσματα ἐν τοῖς ἀγροῖς τοῖς κτήνεσί σου. καὶ φαγὼν καὶ ἐμπλησθεὶς, πρόσεχε σεαυτῷ μὴ πλατυνθῇ ἡ καρδία σου, καὶ παραβῆτε καὶ λατρεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς, καὶ θυμωθεὶς ὀργισθῇ κύριος ἐφ' ὑμῖν, καὶ συσχῇ τὸν οὐρανὸν, καὶ οὐκ ἔσαι ὑετὸς, καὶ ἡ γῆ οὐ δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἀπολεῖσθε ἐν τάχει ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς, ἧς κύριος ἔδωκεν ὑμῖν. καὶ ἐμβαλεῖτε τὰ ῥήματα ταῦτα εἰς τὴν καρδίαν ὑμῶν, καὶ εἰς τὴν ψυχὴν ὑμῶν, καὶ ἀφάψετε αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρὸς ὑμῶν, καὶ ἔσαι ἀσάλευτα πρὸ ὀφθαλμῶν ὑμῶν. καὶ διδάξετε αὐτὰ τὰ τέκνα ὑμῶν, λαλεῖν αὐτὰ καθημένους ἐν οἴκῳ, καὶ πορευομένους ἐν ὁδῷ, καὶ κοιταζομένους, καὶ διανισταμένους, καὶ γράψετε αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν, καὶ τῶν πυλῶν ὑμῶν, ἵνα πληθυνθῶσιν αἱ ἡμέραι ὑμῶν, καὶ αἱ ἡμέραι τῶν υἱῶν ὑμῶν, ἐπὶ τῆς γῆς ἣν ὤμοσε κύριος τοῖς πατράσι σου δοῦναι αὐτοῖς, καθὼς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς. καὶ ἔσαι ἐὰν ἀκοῇ ἀκούσητε πάσας τὰς ἐντολὰς ταύτας ἃς ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον ποιεῖν, ἀγαπᾶν κύριον τὸν θεὸν ὑμῶν, πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ προσκολλᾶσθαι αὐτῷ, καὶ ἐκβαλεῖ κύριος τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου ὑμῶν, καὶ κληρονομήσετε ἔθνη μεγάλα καὶ ἰσχυρότερα μᾶλλον, ἢ ὑμεῖς. πᾶν τὸ πέρας τοῦ ἀν πατήσῃ τὸ ἴχνος τοῦ ποδὸς ὑμῶν, ὑμῖν ἔσαι, ἀπὸ τῆς ἐρήμου καὶ τοῦ Λιβάνου, καὶ ἀπὸ τοῦ μεγάλου ποταμοῦ Εὐφράτου, καὶ ἕως τῆς θαλάσσης τῆς ὀπισθίου ἔσαι τὰ ὅρια ὑμῶν. οὐκ ἀνθίστησι σοι οὐδεὶς κατὰ πρόσωπον ὑμῶν, καὶ τὸν φόβον ὑμῶν, καὶ τὸν τρόμον ὑμῶν ἐπιβήσει κύριος ὁ θεὸς ὑμῶν ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ἐφ' ἧς ἂν ἐπιβῆτε ἐπ' αὐτῆς, ὃν τρόπον ἐλάλησε κύριος πρὸς ὑμᾶς. ἰδοὺ ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον εὐλογίας, καὶ κατάρας. τὰς εὐλογίας, ἐὰν ἀκούσητε τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ ὑμῶν, ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον. καὶ τὰς κατάρας, ἐὰν μὴ εἰσακούσητε τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ ὑμῶν, ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, καὶ πλανηθῆτε ἀπὸ τῆς ὁδοῦ ἧς ἐγὼ ἐντέλλομαι ὑμῖν, πο-

ρουθρώτις λατρεύειν θεοῖς ἑτέροις οἷς οὐκ οἴδατε. κ) ἔσαι ὅταν εἰσαγάγῃ σε κύριος ὁ θεός σου εἰς τὴν γῆν εἰς ἣν σὺ βαδίζεις ἐκεῖ, κληρονομῆσαι αὐτὴν, καὶ δώσεις τὴν εὐλογίαν ἐπ' ὄρους γαριζεὶν, καὶ τὴν κατάραν ἐπ' ὄρους γαιβάλ. οὐκ ἰδοὺ ταῦτα πέραν τοῦ ἰορδάνου ὀπίσω ὁδοῦ δυσμῶν πλησίον τῆς ὑψηλῆς. ὑμεῖς γὰρ διαβαίνετε τὸν ἰορδάνην εἰσπορευόμενοι κληρονομῆσαι τὴν γῆν, ἣν κύριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν κληρονομίαν πάσας τὰς ἡμέρας, καὶ κληρονομήσετε αὐτὴν, καὶ κατοικήσετε ἐν αὐτῇ, καὶ φυλάξεσθε τοῦ ποιεῖν πάντα τὰ προστάγματα αὐτοῦ, καὶ τὰς κρίσεις αὐτοῦ, ἃς ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον.

ΚΕΦΑΛ. ιβ'. ιγ.

Καὶ ταῦτα τὰ προστάγματα καὶ τὰ κρίματα ἃ φυλάξεσθε, τοῦ ποιεῖν ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν ἐν κληρονομίᾳ πάσας τὰς ἡμέρας ἃς ὑμεῖς ζῆτε ἐπὶ τῆς γῆς. ἀπωλείᾳ ἀπολεῖτε πάντας τοὺς τόπους, ἐν οἷς ἐλάτρευσαν ἐκεῖ τὰ ἔθνη τοῖς θεοῖς αὐτῶν, ὅς ὑμεῖς κατακληρονομεῖτε αὐτούς, ἐπὶ τῶν ὑψηλῶν, καὶ ἐπὶ τῶν θινῶν, καὶ ὑπὸ κλάδου δρυὸς σκιάσεως, καὶ κατασκάψετε τοὺς βωμοὺς αὐτῶν, καὶ συντρίψετε τὰς στήλας αὐτῶν, καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρί, καὶ ἀρεῖτε τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου. οὐ ποιήσετε οὕτω κυρίῳ τῷ θεῷ ὑμῶν, ἀλλ' ἢ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεὸς ὑμῶν, ἐν μιᾷ τῶν φυλῶν ὑμῶν, ἐπονομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ ἐπὶ κληθῆναι, καὶ ἐκζητήσετε καὶ εἰσελεύσεσθε ἐκεῖ, καὶ οἴσετε ἐκεῖ τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ θυσιάσματα ὑμῶν, καὶ τὰς ἀπαρχὰς ὑμῶν, καὶ τὰς δεκάτας ὑμῶν, καὶ τὰ ἐνδόσια ὑμῶν, καὶ τὰς ὁμολογίας ὑμῶν, τὰ πρωτοτόκια τῶν βοῶν ὑμῶν, καὶ τῶν προβάτων ὑμῶν, καὶ φαγεσθε ἐκεῖ ἐνώπιον κυρίου τοῦ θεοῦ ὑμῶν, καὶ εὐφρανθήσεσθε ἐπὶ πᾶσιν, ὅ ἐὰν ἐπιβάλητε τὰς χεῖρας ὑμῶν ὑμεῖς, καὶ οἱ οἶκοι ὑμῶν, καθότι εὐλόγησέ σε κύριος ὁ θεός σου. οὐ ποιήσετε ἐκεῖ πάντα, ὅσα ὑμεῖς ποιεῖτε ὧδε σήμερον, ἕκαστος τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ. οὐ γὰρ ἥκατε ἕως τοῦ νῦν εἰς κατάπαυσιν, καὶ εἰς τὴν κληρονομίαν ἣν κύριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν. καὶ διαβήσεσθε τὸν ἰορδάνην, καὶ κατοικήσετε ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεὸς ὑμῶν κατακληρονομήσει ὑμῖν, καὶ καταπαύσει ὑμᾶς ἀπὸ πάντων τῶν ἐχθρῶν ὑμῶν τῶν κύκλῳ, καὶ κατοικήσετε μετὰ ἀσφαλείας. καὶ ἔσαι ὁ τόπος ὃν ἂν ἐκλέξηται κύριος ὁ θεὸς ὑμῶν ἐπικληθῆναι αὐτοῦ ἐκεῖ, ἐκεῖ οἴσετε πάντα ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ θυσιάσματα ὑμῶν, καὶ τὰ ἐπιδέκατα ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν ὑμῶν, καὶ πᾶν ἐκλεκτὸν τῶν δώρων ὑμῶν, ὅσα ἂν εὔξησθε κυρίῳ τῷ θεῷ ὑμῶν, καὶ εὐφρανθήσεσθε ἐνώπιον κυρίου τοῦ θεοῦ ὑμῶν, ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ παῖδες ὑμῶν, καὶ αἱ παιδίσκαι ὑμῶν, καὶ ὁ λευίτης ὁ ἐπὶ τῶν πυλῶν ὑμῶν, ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς, οὐδὲ κλῆρος μεθ' ὑμῶν. πρόσεχε σεαυτῷ μὴ ἀνῇ σου τὰ ὁλοκαυτώματά σου, ἐν παντὶ τόπῳ, οὗ ἐὰν ἴδῃς. ἀλλ' ἢ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου ἐν μιᾷ τῶν πόλεών σου, ἐκεῖ ἀνοίσεις τὰ ὁλοκαυτώματά σου, καὶ ἐκεῖ ποιήσεις πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἀλλ' ἢ ἐν πάσῃ ἐπιθυμίᾳ σου θύσεις, καὶ φαγῇ κρέα, κατὰ τὴν εὐλογίαν κυρίου τοῦ θεοῦ σου, ἣν ἔδωκέ σοι ἐν πάσῃ πόλει. ὁ ἀκάθαρτος ἐν σοί, καὶ ὁ καθαρὸς ὡσαύτως ἔδεται, ὡς δορκάδα καὶ ἔλαφον, πλὴν τὸ αἷμα οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖτε αὐτὸ, ὡσεὶ ὕδωρ. οὐ δυνήσῃ φαγεῖν ἐν πόλεσί σου, τὸν ἐπιδέκατον τοῦ σίτου σου, καὶ τοῦ οἴνου, καὶ τοῦ ἐλαίου σου, τὰ πρωτοτόκια τῶν βοῶν σου, καὶ τῶν προβάτων σου, καὶ πάσας τὰς εὐχὰς ὅσας ἂν εὔξησθε, καὶ τὰς ὁμολογίας ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν ὑμῶν, ἀλλ' ἢ ἐνώπιον κυρίου τοῦ θεοῦ σου φαγῇ αὐτὰ ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου ἐν αὐτῷ, σὺ καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, καὶ ὁ λευίτης σου, καὶ ὁ προσήλυτος ὁ ἐν ταῖς πόλεσί σου, καὶ εὐφρανθήσῃ ἐνώπιον κυρίου τοῦ θεοῦ σου, ἐπὶ πάντα ὅ ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου. πρόσεχε σεαυτῷ μὴ ἐγκαταλίπῃς τὸν λευίτην, πάσας τὰς ἡμέρας ὅσον ἂν ζῇς ἐπὶ τῆς γῆς. ἐὰν δὲ ἐμπλατύνῃ κύριος ὁ θεός σου τὰ ὅρια σου καθάπερ ἐλάλησέ σοι, καὶ εἴπῃς φάγομαι κρέα, ἐὰν ἐπιθυμήσῃ ἡ ψυχή σου, ὥστε φαγεῖν κρέα, ἐν πάσῃ ἐπιθυμίᾳ τῆς ψυχῆς σου φαγῇ κρέα. ἐὰν δὲ μακρότερον ἀπέχῃ σε ὁ τόπος, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου, τοῦ κληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ θύσεις ἀπὸ τῶν βοῶν σου, καὶ ἀπὸ τῶν προβάτων σου, ὧν ἂν δῷ σοι κύριος ὁ θεός σου, ὃν τρόπον ἐνετειλάμην σοι, καὶ φαγῇ ἐν ταῖς πόλεσί σου, ἐπὶ πάσῃ ἐπιθυμίᾳ τῆς ψυχῆς σου, ὡς ἔσθεται ἡ δορκὰς καὶ ἡ ἔλαφος, οὕτω φαγῇ αὐτὸ. ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ὡσαύτως ἐδέται. πρόσεχε ἰσχυρῶς, τοῦ μὴ φαγεῖν αἷμα, ὅτι τὸ αἷμα αὐτοῦ ψυχή. οὐ βρωθήσεται ψυχὴ μετὰ τῶν κρεῶν, οὐ φάγεσθε αὐτὸ, ἐπὶ τὴν γῆν ἐκχεεῖτε αὐτὸ ὡς ὕδωρ, οὐ φαγῇ αὐτὸ, ἵνα εὖ σοι γένηται, καὶ τοῖς υἱοῖς σου μετὰ σὲ, εἰς τὸν αἰῶνα. ἐὰν ποιήσῃς τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἐνώπιον κυρίου τοῦ θεοῦ σου, πλὴν τὰ ἅγιά σου, ἃ ἂν γένηταί σοι καὶ τὰς εὐχάς σου λαβὼν, ἥξεις εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν αὐτῷ ὥστε κληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. καὶ ποιήσεις τὰ ὁλοκαυτώματά σου, τὰ κρέα καὶ θύσεις ἐπὶ τὸ θυσιαστήριον κυρίου τοῦ θεοῦ σου, τὸ δὲ αἷμα τῶν θυσιῶν σου προχεεῖς πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου κυρίου τοῦ θεοῦ σου, τὰ δὲ κρέα φαγῇ. φυλάσσου, καὶ ἄκουε, καὶ ποιήσεις πάντας τοὺς λόγους, οὓς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα σοὶ εὐθύνηται, καὶ τοῖς υἱοῖς σου ἕως τοῦ αἰῶνος· ἐὰν ποιήσῃς τὸ ἀρεστὸν, καὶ τὸ καλὸν ἐνώπιον κυρίου τοῦ θεοῦ σου. ἐὰν δὲ ἐξολεθρεύσῃ κύριος ὁ θεός σου τὰ ἔθνη, εἰς ἃ σὺ πορεύῃ ἐκεῖ, κληρονομῆσαι τὴν γῆν αὐτῶν ἀπὸ προσώπου σου, καὶ κατακληρονομήσῃς αὐτοὺς, καὶ κατοικήσῃς ἐν τῇ γῇ αὐτῶν, πρόσεχε σεαυτῷ, μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς, μετὰ τὸ ἐξολεθρευθῆναι αὐτοὺς ἀπὸ προσώπου σου. τὸ μὴ ἐκζητήσῃς τοὺς θεοὺς αὐτῶν λέγων· πῶς ποιοῦσι τὰ ἔθνη ταῦτα τοῖς θεοῖς αὐτῶν, κἀγὼ ποιήσω. οὐ ποιήσεις οὕτω κυρίῳ τῷ θεῷ σου, τὰ γὰρ βδελύγματα ἃ μισεῖ ἐποίησαν τοῖς θεοῖς αὐτῶν, ὅτι καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν κατακαίουσιν ἐν πυρὶ τοῖς θεοῖς αὐτῶν. πᾶν ῥῆμα ὃ ἐγὼ ἐντέλλομαί σοι σήμερον, τοῦτο φυλάξῃ ποιεῖν· οὐ προσθήσεις ἐπ' αὐτὸ, οὐδὲ ἀφελεῖς ἀπ' αὐτοῦ.

ΚΕΦΑΛ. ιγ'. 13.

Ἐὰν δὲ ἀναστῇ ἐν σοὶ προφήτης ἢ ἐνύπνιαζόμενος ἐνύπνιον, καὶ δῷ σοι σημεῖον ἢ τέρας, καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας ὃ ἐλάλησε πρὸς σὲ, λέγων· πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις οἷς οὐκ οἴδατε, οὐκ ἀκούσεσθε τῶν λόγων τοῦ προφήτου ἐκείνου, ἢ τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον ἐκεῖνο, ὅτι πειράζει κύριος ὁ θεὸς ὑμῶν ὑμᾶς, τοῦ εἰδέναι εἰ ἀγαπᾶτε κύριον τὸν θεὸν ὑμῶν, ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν. ὀπίσω κυρίου τοῦ θεοῦ ὑμῶν πορεύσεσθε, καὶ αὐτὸν φοβηθήσεσθε, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξεσθε, καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ δουλεύσετε, καὶ πρὸς αὐτὸν προσεθήσεσθε. καὶ ὁ προφήτης ἐκεῖνος, ἢ ὁ ἐνύπνιον ἐνυπνιαζόμενος, ἐκεῖνος ἀποθανεῖται. ἐλάλησε γὰρ, πλανῆσαί σε ἀπὸ κυρίου τοῦ θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, τοῦ λυτρωσαμένου σε ἐκ οἴκου δουλείας, ἐξῶσαί σε ἐκ τῆς ὁδοῦ ἧς ἐνετείλατό σοι κύριος ὁ θεός σου, πορεύεσθαι ἐν αὐτῇ. καὶ ἀφανιεῖτε τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν. ἐὰν δὲ παρακαλέσῃ σε ὁ ἀδελφός σου ἐκ πατρός σου, ἢ ἐκ μητρός σου, ἢ ὁ υἱός σου ἢ θυγάτηρ σου, ἢ ἡ γυνὴ τοῦ κόλπου σου, ἢ ὁ φίλος σου ὁ ἴσος τῇ ψυχῇ σου, λάθρα λέγων· πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις οἷς οὐκ ᾔδεισαν σὺ, καὶ οἱ πατέρες σου, ἀπὸ τῶν θεῶν τῶν ἐθνῶν τῶν περὶ ὑμᾶς τῶν ἐγγιζόντων σοι, ἢ τῶν μακρὰν ἀπὸ σοῦ, ἀπ' ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς γῆς, σὺ συνθελήσεις αὐτῷ, καὶ οὐκ εἰσακούσῃ αὐτοῦ, καὶ οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ, οὐκ οἰκτιρήσεις ἐπ' αὐτῷ, οὐδὲ μὴ συσκεπάσῃς αὐτὸν, ἀναγγέλλων ἀναγγελεῖς περὶ αὐτοῦ, καὶ ἡ χείρ σου ἔσται ἐπ' αὐτῷ ἐν πρώτοις, ἀποκτεῖναι αὐτὸν, καὶ αἱ χεῖρες παντὸς τοῦ λαοῦ ἐπ' ἐσχάτῳ, καὶ λιθοβολήσουσιν αὐτὸν ἐν λίθοις, καὶ ἀποθανεῖται, ὅτι ἐζήτησεν ἀποστῆσαί σε ἀπὸ κυρίου τοῦ θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας, καὶ πᾶς Ἰσραὴλ ἀκούσας φοβηθήσεται, καὶ οὐ προσθήσουσι ποιῆσαι ὅτι ἐὰν τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο ἐν ὑμῖν. ἐὰν δὲ ἀκούσῃς ἐν μιᾷ τῶν πόλεων σου ὧν ὁ κύριος ὁ θεός σου δίδωσί σοι, κατοικεῖν σε ἐκεῖ, λεγόντων· ἐξῆλθον ἄνδρες παράνομοι ἐξ ὑμῶν, καὶ ἀπέστησαν πάντας τοὺς κατοικοῦντας τὴν πόλιν αὐτῶν, λέγοντες, πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις οἷς οὐκ ᾔδεισαν· καὶ ἐτάσεις καὶ ἐρωτήσεις καὶ ἐξερευνήσεις σφόδρα, καὶ ἰδοὺ ἀληθὴς σαφὴς ὁ λόγος γέγονε τὸ βδέλυγμα τοῦτο ἐν ὑμῖν, ἀναιρῶν ἀνελεῖς πάντας τοὺς κατοικοῦντας τὴν πόλιν ἐκείνην, ἐν φόνῳ μαχαίρας, ἀναθέματι ἀναθεματιεῖτε αὐτὴν, καὶ πάντα τὰ ἐν αὐτῇ, καὶ πάντα τὰ κτήνη αὐτῆς στόματι μαχαίρας· εἰς τὰς πλατείας αὐτῆς συνάξεις πάντα τὰ σκῦλα αὐτῆς ἐν μέσῃ, καὶ ἐμπρήσεις τὴν πόλιν ἐν πυρὶ, καὶ πάντα τὰ σκῦλα αὐτῆς πανδημεὶ, ἐναντίον κυρίου τοῦ θεοῦ σου, καὶ ἔσται οἰκητήριον εἰς τὸν αἰῶνα. οὐκ οἰκοδομηθήσεται ἔτι, οὐ προσκολληθήσεται οὐδὲν ἀπὸ τοῦ ἀναθέματος ἐν τῇ χειρί σου, ἵνα ἀποστραφῇ κύριος ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ, καὶ δώσῃ σοι ἔλεος καὶ οἰκτιρήσει σε καὶ πληθύνῃ σε, καθὼς ὤμοσε κύριος τοῖς πατράσι σου, ἐὰν εἰσακούσῃς φωνῆς κυρίου τοῦ θεοῦ σου, φυλάσσειν πάσας τὰς ἐντολὰς αὐτοῦ ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον ποιεῖν τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἐνώπιον κυρίου τοῦ θεοῦ σου.

ΚΕΦΑΛ. ιδ'. 14.

Υἱοὶ ἐστὲ κυρίου τοῦ θεοῦ ὑμῶν, οὐ φοβήσεσθε, οὐκ ἐπιθήσετε φαλάκρωμα ἀνὰ μέσον τῶν ὀφθαλμῶν ὑμῶν ὑπὲρ νεκρῶν, ὅτι λαὸς ἅγιος εἶ κυρίῳ τῷ θεῷ σου, καὶ σὲ ἐξελέξατο κύριος ὁ θεός σου, λαὸν περιούσιον ἀπὸ παντὸς τῶν ἐθνῶν, τῶν ἐπὶ προσώπου τῆς γῆς. οὐ φαγεσθε πᾶν βδέλυγμα, ταῦτα τὰ κτήνη φαγεσθε· μόσχον ἐκ βοῶν, καὶ ἀμνὸν ἐκ προβάτων, καὶ χίμαρον ἐξ αἰγῶν, ἔλαφον, καὶ δορκάδα, καὶ βάβαλον, καὶ προγέλαφον, καὶ πύγαργον, καὶ ὄρυγα, καὶ καμηλοπάρδαλιν. πᾶν κτῆνος ὀνυχισμὸν διχηλοῦν ὁπλὴν, καὶ ὀνυχισμὸν ὀνυχιεῖ δύο χηλῶν, καὶ ἀνάγον μηρυκισμὸν ἐν τοῖς κτήνεσι, ταῦτα φαγεσθε. καὶ ταῦτα οὐ φαγεσθε, ἀπὸ τῶν ἀναγαγόντων μηρυκισμὸν, καὶ ἀπὸ τῶν διχηλούντων τὰς ὁπλὰς, καὶ ὀνυχιζόντων ὀνυχισμὸν, ὁ κάμηλος, καὶ τὸν δασύποδα, καὶ χοιρογρύλλιον, ὁτι ἀνάγουσι μηρυκισμὸν ταῦτα, καὶ ὁπλὴν οὐ διχηλοῦσι, ἀκάθαρτα ὑμῖν ἔσται. καὶ τὸν ὗν, ὅτι διχηλεῖ ὁπλὴν, τοῦτον καὶ ὀνυχίζει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀνυχίζει ἄνυχας ὁ πλὴς, καὶ τὸν μηρυκισμὸν ὁ μηρυκᾶται, ἀκάθαρτον τοῦτο ὑμῖν, ἀπὸ τῶν ἱερείων αὐτῶν ὁ φαγεδε, καὶ τῶν θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε. καὶ ταῦτα, ἃ φαγεδε ἀπὸ πάντων τῶν γε ἐν τοῖς ὕδασι, πάντα ὅσα ὄξιν αὐτοῖς πτερύγια καὶ λεπίδα, φαγεδε, καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια, καὶ λεπίδα, οὐ φαγεδε, ἀκάθαρτα ταῦτα ἔσαι ὑμῖν. πᾶν ὄρνεον καθαρὸν φαγεδε, καὶ ταῦτα οὐ φαγεδε ἀπ' αὐτῶν, τὸν ἀετὸν, καὶ τὸν γρύπα, καὶ τὸν ἁλιάετον, καὶ τὸν γύπα, καὶ τὸν ἔκτινον, καὶ τὰ ὅμοια αὐτῶν. καὶ κραβὸν, καὶ γλαῦκα, καὶ λάρον, καὶ ἱέρακα, καὶ ὄρωδιὸν, καὶ τὰ ὅμοια αὐτῷ, καὶ πάντα κόρακα, καὶ τὰ ὅμοια αὐτῷ, καὶ ὀρωδιὸν, καὶ λύκνον, καὶ ἶβιν, καὶ καταῤῥάκτην, καὶ ἔποπα, καὶ νυκτικόρακα, καὶ πελαικᾶνα, καὶ χαραδριὸν, καὶ τὰ ὅμοια αὐτῷ, καὶ πρφυρίωνα & νυκτερίδα. πάντα τὰ ἑρπετὰ τῶν πετεινῶν, ἀκάθαρτα ταῦτά ὄξιν ὑμῖν, ὁ φαγεδε ἀπ' αὐτῶν. πᾶν πετεινὸν καθαρὸν φαγεδε, καὶ πᾶν θνησιμαῖον ὁ φαγεδε. τῷ πρσοίκῳ τῷ ἐν ταῖς πόλεσιν ὁ δοθήσεται καὶ φαγεται, ἢ ἀποδώσει τῷ ἀλλοτρίῳ, ὅτι λαὸς ἅγιός ἐστι κυρίῳ τῷ θεῷ σου. οὐχ ἑψήσεις ἔριφον ἐν γάλακτι μητρὸς αὐτοῦ. δεκάτην ἀποδεκατώσεις πάντας γεννήματος τοῦ σπέρματός σου, τὸ γένημα τοῦ ἀγροῦ σου, γενιαυτὸν κατ' ἐνιαυτόν. καὶ φαγῇ αὐτὸ ἐναντι κυρίου τοῦ θεοῦ σου, ἐν τῷ τόπῳ ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου, ὠνομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐκεῖ ὄψεσθε τὰ ὡδίνια τοῦ σίτου σου, καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου σου, καὶ τὰ πρωτότοκα τῶν βοῶν σου καὶ τῶν προβάτων σου, ἵνα μάθῃς φοβεῖσθαι κύριον τὸν θεόν σου πάσας τὰς ἡμέρας. ἐὰν δὲ μακρὰν ἀπέχῃ ἡ ὁδὸς ἀπὸ σου, ἵνα μὴ δύνῃ αὐαφορεῖν αὐτὰ, ὅτι μακρὰν ἀπὸ σοῦ ὁ τόπος, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου, ὠνομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ὅτι εὐλογήσει σε κύριος ὁ θεός σου, καὶ ἀποδώσει αὐτὰ ἀργυρίου, καὶ λήψῃ τὸ ἀργύριον ἐν ταῖς χερσί σου, καὶ πορεύσει εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτὸν, καὶ δώσεις τὸ ἀργύριον ὧδε πάντος ὃ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, ὧδε βοσίν. ὧδε πρόβατα, ἢ ἐπ' οἶνον, ἢ ὧδε σίκερα, ἢ ὧδε πάντος ὃ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, καὶ φαγῇ ἐκεῖ ἐναντι κυρίου τοῦ θεοῦ σου, καὶ εὐφρανθήσῃ σὺ, καὶ ὁ οἶκός σου, καὶ ὁ λευίτης ὁ ἐν ταῖς πόλεσί σου, ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ. μετὰ τρία ἔτη ἐξοίσεις πᾶν τὸ ὡδίνιον τῶν γενημάτων σου ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, καὶ θήσεις αὐτὸ ἐν ταῖς πόλεσί σου, καὶ ἐλθέτω ὁ λευίτης ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ, καὶ ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα ἡ ἐν ταῖς πόλεσί σου, καὶ φάγονται καὶ ἐμπλησθήσονται, ἵνα εὐλογήσῃ σε κύριος ὁ θεός σου, ἐν πᾶσι τοῖς ἔργοις σου, οἷς ἐὰν ποιῇς.

ΚΕΦΑΛ. ιε'. 15.

ΔΙ' ἑπτὰ ἐτῶν ποιήσεις ἄφεσιν, καὶ οὗτος ὁ τρόπος τῆς ἀφέσεως, ἀφήσεις πᾶν χρέος ἴδιον, ὃ ὀφείλει σοι ὁ πλησίον, καὶ τὸν ἀδελφόν οὐκ ἀπαιτήσεις, ὅτι κεκλήκασιν ἄφεσιν κυρίῳ τῷ θεῷ σου. τὸν ἀλλότριον ἀπαιτήσεις ὅσα ἐὰν ᾖ σοι παρ' αὐτῷ, τῷ δὲ ἀδελφῷ σε ἄφεσιν ποιήσεις τοῦ χρέους σου, ὅτι οὐκ ἔστιν ἐν σοὶ ἐνδεής. διὰ τὸ ῥῆμα τοῦτο, εὐλογῶν εὐλογήσει σε κύριος ὁ θεός σου ἐν τῇ γῇ, ἣν κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ, κατακληρονομῆσαι αὐτὴν. ἐὰν δὲ ἀκοῇ ἀκούσῃς τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν, φυλάσσειν τοῦ ποιεῖν πάσας τὰς ἐντολὰς ταύτας, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ὅτι κύριος ὁ θεός σου εὐλόγησέ σε, ὃν τρόπον ἐλάλησέ σοι, καὶ δανείσεις ἔθνεσι πολλοῖς, σὺ δὲ οὐ δανειῇ, καὶ ἄρξεις σὺ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσιν. ἐὰν δὲ γένηταί σοι ἐν σοὶ ἀδελφός ἐκ τῶν ἀδελφῶν σου, ἐν μιᾷ τῶν πόλεων ἐν τῇ γῇ, ἣ κύριος ὁ θεός σου δίδωσί σοι, οὐκ ἀποστρέψεις τὴν καρδίαν σου, οὐδ' ὁ μὴ συσφίγξεις τὴν χεῖρά σου ἀπὸ τοῦ ἀδελφοῦ σου τοῦ ὑστερουμένου, ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου αὐτῷ, καὶ δανείζων δανείσεις αὐτῷ ὅσων ἂν ὑστερῆται, καὶ καθ' ὅσον ὑστερεῖται. πρόσεχε σεαυτῷ μὴ γένηκτ ῥῆμα λοιπὸν ἐν τῇ καρδίᾳ σου, αὐόνυμα λέγων· ἐγγίζει τὸ ἔτος τὸ ἕβδομον, ἔτος ἡ ἀφέσεως, καὶ πονηρεύσεται ὁ ὀφθαλμός σου ἐπὶ ἀδελφῷ σου, ἐπὶ ὑστερουμένῳ, καὶ οὐ δώσεις αὐτῷ, καὶ βοήσεται κατὰ σοῦ πρὸς κύριον, καὶ ἔσαι ἐν σοὶ ἁμαρτία μεγάλη, δίδους δώσεις αὐτῷ, καὶ δανείζων δανείσεις αὐτῷ ὅσα ἂν ὑστερῆται σε, καὶ οὐ λυπηθήσῃ τῇ καρδίᾳ σου, δίδοντί σου αὐτῷ, ὅτι διὰ τὸ ῥῆμα τοῦτο εὐλογήσει σε κύριος ὁ θεός σου, ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν πᾶσιν οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου. ὁ γὰρ μὴ ἐκλείπων ἐν δόξῃ ἀπὸ τῆς γῆς σου. διὰ τοῦτο ἐγὼ σοι ἐντέλλομαι τὸ ῥῆμα τοῦτο λέγων· ἀνοίγων ἀνοίξεις τὴν χεῖρά σου, τῷ ἀδελφῷ σου τῷ πτωχῷ, καὶ τῷ ὑστερουμένῳ τῷ ἐν τῇ γῇ σου. ἐὰν δὲ πραθῇ σοι ὁ ἀδελφός σου ὁ ἑβραῖος, ἢ ἑβραία, δουλεύσει σοι ἓξ ἔτη, καὶ τῷ ἑβδόμῳ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ. ὅταν δὲ ἐξαποστέλλῃς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ, οὐκ ἐξαποστελεῖς αὐτὸν κενόν, ἐφόδιον ἐφοδιάσεις αὐτὸν ἀπὸ τῶν προβάτων σου, καὶ ἀπὸ τοῦ σίτου σου, καὶ ἀπὸ τοῦ ληνοῦ σου. καθότι εὐλόγησέ σε κύριος ὁ θεός σου, δώσεις αὐτῷ. καὶ μνησθήσῃ, ὅτι οἰκέτης ἦσθε ἐν γῇ αἰγύπτου, καὶ ἐλυτρώσατό σε κύριος ὁ θεός σου ἐκεῖθεν. διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο. ἐὰν δὲ λέγῃ πρὸς σε, οὐκ ἐξελεύσομαι ἀπὸ σοῦ, ὅτι ἠγάπησέ σε καὶ τὸν οἶκόν σου, ὅτι καλὸν ἦν αὐτῷ παρὰ σοί, λήψῃ τὸ ὀπήτιον, καὶ τρυπήσεις τὸ ὠτίον αὐτοῦ πρὸς τὴν θύραν καὶ ἔσται σοι

ἀειμνήστου

σεβμῶν, καὶ ἔσαι σοὶ οἰκέτης εἰς τὸν αἰῶνα. καὶ ὰν τῷ παιδίσκῃ σου ὡσαύτως ποιήσεις. ὃ σκληρὸν ἔσαι γὰ αὐτίον σου, ἀξαποστελλομένων αὐτῶν ἐλευθέρων ἀπὸ σοῦ, ὅτι ἐπίτειον μισθὸν μισθωτοῦ ἐδούλευσέ σοι ἓξ ἔτη, καὶ εὐλογήσει σε κύριος ὁ θεός σου γὰ πᾶσιν οἷς ἐὰν ποιῇς. πᾶν πρωτότοκον ὃ ἐὰν τεχθῇ, γὰ ταῖς βουσί σου καὶ γὰ τοῖς προβάτοις σου, τὰ ἀρσενικὰ ἁγιάσεις κυρίῳ τῷ θεῷ σε. οὐκ ὀργᾷ γὰ πρωτοτόκῳ μόσχῳ σε, καὶ οὐ μὴ κείρῃς τὸ πρωτότοκον τῶν προβάτων σου. γὰ ἐνώπιον κυρίου τοῦ θεοῦ σου φαγῇ αὐτὸ γὰ ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ, γὰ τοῦ τόπου ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου, σὺ καὶ ὁ οἶκός σε. ἐὰν δὲ ᾖ γὰ αὐτοῦ μῶμος, χωλόν, ἢ τυφλόν, ἢ πᾶς μῶμος πονηρός, οὐ θύσεις αὐτὸ κυρίῳ τῷ θεῷ σε, γὰ ταῖς πόλεσί σε φαγῇ αὐτό, ὁ ἀκάθαρτος γὰ σοί. καὶ ὁ καθαρὸς ὡσαύτως φάγεται, ὡς δορκάδα ἢ ἔλαφον, πλὴν τὸ αἷμα οὐ φαγῇ. ἐπὶ τὴν γῆν ἐκχεεῖς αὐτό, ὡς ὕδωρ.

ΚΕΦΑΛ. ιε'. 16.

Φύλαξαι τὸν μῆνα τῶν νέων καὶ ποίησον κυρίῳ τῷ θεῷ σε, ὅτι γὰ τῷ μηνὶ τῶν νέων ἐξῆλθεν ἐκ γῆς αἰγύπτου νυκτός. καὶ θύσεις τὸ πάσχα κυρίῳ τῷ θεῷ σου, πρόβατα καὶ βοῦς γὰ τοῦ τόπου, ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σε, κατοικῖσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐπ' αὐτοῦ ἐκεῖ. οὐ φαγῇ ἐπ' αὐτοῦ ζύμωμα. ἑπτὰ ἡμέρας φαγῇ ἐπ' αὐτοῦ ἄζυμα, ἄρτον κακώσεως, ὅτι γὰ σπουδῇ ἐξῆλθετε ἐξ αἰγύπτου νυκτός, ἵνα μνησθῆτε τὴν ἡμέραν γῆ ἐξόδου ὑμῶν ἐκ γῆς αἰγύπτου πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν. οὐκ ὀφθήσεταί σοι ζύμη γὰ πᾶσι τοῖς ὁρίοις σε ἑπτὰ ἡμέρας, καὶ οὐ κοιμηθήσεται ἀπὸ τοῦ κρεοῦ ὃν θύσητε τὸ ἑσπέρας τῇ ἡμέρᾳ τῇ πρώτῃ, εἰς τὸ πρωΐ. οὐ δυνήσῃ θῦσαι τὸ πάσχα γὰ οὐδεμιᾷ τῶν πόλεών σε, ὧν κύριος ὁ θεός σου δίδωσί σοι, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σε κατοικῖσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐκεῖ θύσεις τὸ πάσχα ἑσπέρας πρὸς δυσμὰς ἡλίου, γὰ τοῦ καιροῦ, ᾧ ἐξῆλθες ἐκ γῆς αἰγύπτου, καὶ ἑψήσεις, καὶ ὀπτήσεις, καὶ φαγῇ γὰ τοῦ τόπου, ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σε αὐτόν. καὶ ἀποσκαφήσῃ τὸ πρωΐ, καὶ ἀπελεύσῃ εἰς οὺς οἴκους σου. ἓξ ἡμέρας φαγῇ ἄζυμα, τῇ ἑβδόμῃ ἡμέρᾳ ἐξόδιον ἑορτὴ κυρίῳ τῷ θεῷ σε. οὐ ποιήσεις γὰ αὐτῇ πᾶν ὄργον, πλὴν ὅσα ποιηθήσεται ψυχῇ. ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἐξαριθμήσεις σεαυτῷ. ἀρξαμένου σε δρεπάνου ἐπ' ἀμητόν, ἄρξῃ ἐξαριθμῆσαι ἑπτὰ ἑβδομάδας, καὶ ποιήσεις ἑορτὴν ἑβδομάδων κυρίῳ τῷ θεῷ σου, καθὼς ἡ χείρ σε ἰσχύει, ὅσα ἂν δῷσί σοι, καθότι εὐλόγησέ σε κύριος ὁ θεός σε. καὶ εὐφρανθήσῃ γὰ ἐνώπιον κυρίου τοῦ θεοῦ σε, σὺ καὶ ὁ υἱός σε καὶ ἡ θυγάτηρ σε καὶ ὁ παῖς σε καὶ ἡ παιδίσκη σε, καὶ ὁ λευίτης ὁ γὰ ταῖς πόλεσί σου, καὶ ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς, καὶ ἡ χήρα ἡ γὰ ὑμῖν, γὰ τοῦ τόπου ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σε κατοικῖσαι, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. καὶ μνησθήσῃ, ὅτι οἰκέτης ἦσθα γὰ γῇ αἰγύπτου, καὶ φυλάξεις, καὶ ποιήσεις τὰς γὰ τολὰς ταύτας. ἑορτὴν τῶν σκηνῶν ποιήσεις σεαυτῷ ἑπτὰ ἡμέρας, γὰ τῷ συνάγειν σε ἐκ τῆς ἅλωνός σε, καὶ ἀπὸ τῆς ληνοῦ σε. καὶ εὐφρανθήσῃ ἐν τῇ ἑορτῇ σε, σὺ καὶ ὁ υἱός σε καὶ ἡ θυγάτηρ σε, ὁ παῖς σε καὶ ἡ παιδίσκη σου, καὶ ὁ λευίτης καὶ ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς, καὶ ἡ χήρα ἡ οὖσα γὰ ταῖς πόλεσί σου. ἑπτὰ ἡμέρας ἑορτάσεις κυρίῳ τῷ θεῷ σου, γὰ τοῦ τόπου, ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτὸν, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. ἐὰν δὲ εὐλογήσῃ σε κύριος ὁ θεός σε, γὰ πᾶσι τοῖς γενήμασί σου, καὶ γὰ παντὶ ὄργῳ τῶν χειρῶν σου, καὶ ἔσῃ εὐφραινόμενος. τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου, γὰ ἐνώπιον κυρίου τοῦ θεοῦ σε, γὰ τοῦ τόπου, ᾧ ἐὰν ἐκλέξηται αὐτὸν κύριος ὁ θεός σε, γὰ τῇ ἑορτῇ τῶν ἀζύμων, καὶ γὰ τῇ ἑορτῇ τῶν ἑβδομάδων, καὶ γὰ τῇ ἑορτῇ τῶν σκηνοπηγίας. οὐκ ὀφθήσῃ ἐνώπιον κυρίου τοῦ θεοῦ σε ἰσχνός, ἕκαστος κατὰ τὴν δύναμιν τῶν χειρῶν ὑμῶν, κατὰ τὴν εὐλογίαν κυρίου τοῦ θεοῦ σε, ἣν ἔδωκέ σοι. ἱερίτας καὶ γραμματοεισαγωγεῖς κατήσεις σεαυτῷ γὰ πάσαις ταῖς πόλεσί σε, αἷς κύριος ὁ θεός σε δίδωσί σοι, κατὰ φυλὰς, καὶ κρινοῦσι τὸν λαὸν κρίσιν δικαίαν, οὐκ ἐκκλινοῦσι κρίσιν, οὐδὲ ὠνώσονται πρόσωπον, οὐδὲ λήψονται δῶρα. τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ἐξαίρει λόγους δικαίων. δικαίως τὸ δίκαιον διώξῃ, ἵνα ζῆτε καὶ εἰσελθόντες κληρονομήσητε τὴν γῆν, ἣν κύριος ὁ θεός σε δίδωσί σοι. οὐ φυτεύσεις σεαυτῷ ἄλσος. παῦ ξύλον παρὰ τὸ θυσιαστήριον κυρίου τοῦ θεοῦ σου, ὃ ποιήσεις σεαυτῷ. οὐ στήσεις σεαυτῷ στήλην ἃ ἐμίσησε κύριος ὁ θεός σε. οὐ προσοίσεις κυρίῳ τῷ θεῷ σε μόσχον ἢ πρόβατον, γὰ ᾧ ἔστιν γὰ αὐτῷ μῶμος, παῦ ῥῆμα πονηρόν, ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ ἐστιν.

ΚΕΦΑΛ. ιζ'. 17.

Ἐὰν δὲ εὑρεθῇ ἐν σοὶ ἐν μιᾷ τῶν πόλεών σε, ὧν κύριος ὁ θεός σου δίδωσί σοι, ἀνὴρ ἢ γυνὴ, ὃς τις ποιήσει τὸ πονηρὸν γὰ ἐνώπιον κυρίου τοῦ θεοῦ σου, παρελθεῖν τὴν διαθήκην αὐτοῦ, καὶ ἀπελθόντες λατρεύσωσι θεοῖς ἑτέροις, καὶ προσκυνήσωσιν αὐτοῖς, τῷ ἡλίῳ ἢ παντὶ τῶν ἐκ τοῦ κόσμου τοῦ οὐρανοῦ, ἃ οὐ προσέταξά σοι, καὶ ἀναγγελῇ σοι, καὶ ἐκζητήσῃς σφόδρα, καὶ ἰδοὺ ἀληθὲς γέγονε τὸ ῥῆμα, γεγένηται τὸ βδέλυγμα τοῦτο ἐν Ἰσραὴλ, καὶ ἐξάξεις τὸν ἄνθρωπον ἐκεῖνον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκεῖνον ἢ τὴν γυναῖκα ἐκείνῃ, οἳ τινὸν ἐποίησαν τὸ πρᾶγμα τὸ πονηρὸν τοῦτο, ἐπὶ τῷ πύλῃ σου καὶ λιθοβολήσετε αὐτοὺς ἐν λίθοις, καὶ τελευτήσουσιν. ἐπὶ δυσὶ μάρτυσιν, ἢ ἐπὶ τρισὶν ἀποθανεῖται, ὁ ἀποθνήσκων οὐκ ἀποθανεῖται ἐφ' ἑνὶ μάρτυρι, καὶ ἡ χεὶρ τῶν μαρτύρων ἔσται ἐπ' αὐτῷ ἐν πρώτοις θανατῶσαι αὐτὸν, καὶ ἡ χεὶρ παντὸς τοῦ λαοῦ ἐπ' ἐσχάτῳ. καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. ἐὰν δὲ ἀδικῶν ἀδικήσῃ ἀνὴρ σὸ ῥῆμα ἐν πλησίον, καὶ ἀνὴρ μέσον αἵματος αἵματος, καὶ ἀνὴρ μέσον λεπίσεως λεπίσεως, καὶ ἀνὴρ μέσον ἀφὴ ἀφῆς, καὶ ἀνὴρ μέσον ἀσπλαγχνίας ἀσπλαγχίας. ῥήματα λεπίσεως ἐν ταῖς πόλεσί σου, καὶ ἀναστὰς ἀναβήσῃ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. καὶ ἐλεύσῃ πρὸς τοὺς ἱερεῖς τοὺς λευίτας, καὶ πρὸς τὸν κριτὴν, ὃς ἂν γένηται ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐκζητήσαντός σου ἀναγγελοῦσί σοι τὸ κρίσιν, καὶ ποιήσεις κατὰ τὸ ῥῆμα ὃ ἂν ἀναγγείλωσί σοι οἱ ἐκ τοῦ τόπου, ὃ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ φυλάξῃ σφόδρα ποιῆσαι κατὰ πάντα ὅσα ἂν νομοθετηθῇ σοι. κατὰ τὸν νόμον ὃν κατὰ τὴν κρίσιν, ἣν ἂν εἴπωσί σοι, ποιήσεις. οὐκ ἐκκλινεῖς ἀπὸ τοῦ ῥήματος, ὃ ἐὰν ἀναγγείλωσί σοι, δεξιὰ οὐδὲ ἀριστερά. καὶ ὁ ἄνθρωπος ὃς ἐὰν ποιήσῃ ἐν ὑπερηφανίᾳ τοῦ μὴ ὑπακοῦσαι τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν, ἐπὶ τῷ ὀνόματι κυρίου τοῦ θεοῦ σου, ἢ τοῦ κριτοῦ, ὃς ἂν γένηται ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀποθανεῖται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ. καὶ πᾶς ὁ λαὸς ἀκούσας φοβηθήσεται, καὶ οὐκ ἀσεβήσει ἔτι. ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν κύριος ὁ θεός σου δίδωσί σοι ἐν κληρῷ, καὶ κατακληρονομήσῃς αὐτὴν, καὶ κατοικήσῃς ἐπ' αὐτῆς, καὶ εἴπῃς, καταστήσω ἐπ' ἐμαυτὸν ἄρχοντα, καθὰ καὶ τὰ λοιπὰ ἔθνη τὰ κύκλῳ μου, καθιστῶν καταστήσεις ἐπὶ σαυτὸν ἄρχοντα, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτὸν, ἐκ τῶν ἀδελφῶν σου καταστήσεις ἐπὶ σαυτὸν ἄρχοντα. οὐ δυνήσῃ καταστῆσαι ἐπὶ σαυτὸν ἄρχοντα ἄνθρωπον ἀλλότριον, ὅτι οὐκ ἀδελφός σου ἐστί. πλὴν οὐ πληθυνεῖ ἑαυτῷ ἵππον, οὐδὲ μὴ ἀποστρέψῃ τὸν λαὸν εἰς Αἴγυπτον, ὅπως μὴ πληθύνῃ ἑαυτῷ ἵππον. ὁ δὲ κύριος εἶπεν ὑμῖν, οὐ προσθήσεσθε ἀποστρέψαι τὴν ὁδὸν ταύτην ἔτι. καὶ οὐ πληθυνεῖ ἑαυτῷ γυναῖκας, ἵνα μὴ μεταστῇ αὐτοῦ ἡ καρδία. καὶ ἀργύριον καὶ χρυσίον οὐ πληθυνεῖ ἑαυτῷ σφόδρα. καὶ ἔσται ὅταν καθίσῃ ἐπὶ τοῦ θρόνου τῆς ἀρχῆς αὐτοῦ, καὶ γράψῃ ἑαυτῷ τὸ δευτερονόμιον τοῦτο εἰς βιβλίον, παρὰ τῶν ἱερέων τῶν λευιτῶν, καὶ ἔσται μετ' αὐτοῦ, καὶ ἀναγνώσεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἵνα μάθῃ φοβεῖσθαι κύριον τὸν θεὸν αὐτοῦ, φυλάσσεσθαι πάσας τὰς ἐντολὰς ταύτας, καὶ τὰ δικαιώματα ταῦτα, ποιεῖν αὐτά, ἵνα μὴ ὑψωθῇ ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, ἵνα μὴ παρέλθῃ ἀπὸ τῶν ἐντολῶν, δεξιὰ, ἢ ἀριστερά, ὅπως ἂν μακροχρονίσῃ ἐπὶ τῆς ἀρχῆς αὐτοῦ, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ μετ' αὐτοῦ, ἐν τοῖς υἱοῖς Ἰσραήλ.

ΚΕΦΑΛ. ιη'. 18.

Οὐκ ἔσται τοῖς ἱερεῦσι τοῖς λευίταις, ὅλη φυλὴ μερὶς, οὐδὲ κλῆρος μετὰ Ἰσραήλ, καρπώματα κυρίου ὁ κλῆρος αὐτῶν, φάγονται αὐτά. κλῆρος δὲ οὐκ ἔσται αὐτοῦ ἐν τοῖς ἀδελφοῖς αὐτοῦ, κύριος αὐτὸς κλῆρος αὐτοῦ, καθὰ εἶπεν αὐτῷ, καὶ αὕτη ἡ κρίσις τῶν ἱερέων τὰ παρὰ τοῦ λαοῦ, παρὰ τῶν θυόντων τὰς θυσίας, ἐάν τε μόσχον, ἐάν τε πρόβατον, καὶ δώσει τὸν βραχίονα τοῦ ἱερεῖ, καὶ τὰ σιαγόνια, καὶ τὸ ὑστερον, καὶ τὰς ἀπαρχὰς τοῦ σίτου σου, καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου σου, καὶ τὴν ἀπαρχὴν τῶν κουρῶν τῶν προβάτων σου δώσεις αὐτῷ, ὅτι αὐτὸν ἐξελέξατο κύριος ὁ θεός σου ἐκ πασῶν τῶν φυλῶν σου, παρεστάναι λειτουργεῖν τῷ ὀνόματι κυρίου, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ, πάσας τὰς ἡμέρας. ἐὰν δὲ παραγένηται ὁ λευίτης ἐκ μιᾶς τῶν πόλεων ὑμῶν, ἐκ παντὸς τοῦ ἐθνους ἐν ᾧ κατοικεῖ, καθὸ ἐπιθυμεῖ αὐτοῦ ἡ ψυχὴ, εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος, καὶ λειτουργήσει τῷ ὀνόματι κυρίου τοῦ θεοῦ αὐτοῦ, ὡσπερ πάντες οἱ ἀδελφοὶ αὐτοῦ οἱ λευῖται, οἱ παρεστηκότες ἐκεῖ, φάγονται κυρίου, μερίδια μεμερισμένα φάγεται, πλὴν τῆς πράσεως τῆς κατ' οἰκίαν. ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν κύριος ὁ θεός σου δίδωσί σοι, τὰ μὴ μαθεῖν ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων. οὐχ εὑρεθήσεται ἐν σοί, πυρικαθαίρων τὸν υἱὸν αὐτοῦ, ἢ τὴν θυγατέρα αὐτοῦ ἐν πυρί, μαντευόμενος μαντείαν καὶ κληδονιζόμενος, καὶ οἰωνιζόμενος, φαρμακὸς, ἐπάδων ἐπαοιδὴν, ἐγγαστρίμυθος, καὶ τερατοσκόπος, καὶ ἐπερωτῶν τοὺς νεκρούς. ἔστι γὰρ βδέλυγμα κυρίῳ τοῦ θεῷ σου, καὶ διὰ τὰ βδελύγματα ταῦτα ἐξολεθρεύσει αὐτοὺς κύριος ὁ θεός σου ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου σου. τέλειος ἔσῃ ἐνώπιον κυρίου τοῦ θεοῦ σου. τὰ γὰρ ἔθνη ταῦτα, ἃ σὺ κατακληρονομεῖς αὐτά, τοῖς κληδονισμοῖς καὶ μαντείαις ἀκούσονται. σοὶ δὲ οὐχ οὕτως ἔδωκε κύριος ὁ θεός σου, προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι κύριος ὁ θεός σου, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἤτησω παρὰ κυρίου τοῦ θεοῦ σου ἐν χωρὴβ, τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, λέγοντος, οὐ προσθήσομεν ἀκοῦσαι τὴν φωνὴν κυρίου τοῦ θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τοῦτο τὸ μέγα οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ ἀποθάνωμεν. καὶ εἶπε κύριος πρός με, ὀρθῶς πάντα ὅσα ἐλάλησαν. προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν, ὡσπερ σέ, καὶ δώσω τὰ ῥήματά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς κατὰ ὅσα ἂν ἐντείλωμαι αὐτῷ. καὶ ὁ ἄνθρω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ ἄνθρωπος ἐκεῖνο· ὃς ἐὰν μὴ ἀκούσῃ τῶν λόγων αὐτοῦ, ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐκεῖνος ἐν τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ. πλὴν ὁ προφήτης ὃς ἂν ἀσεβήσῃ, λαλήσει ἐν τῷ ὀνόματί μου ῥῆμα, ὃ οὐ προσέταξα αὐτῷ λαλῆσαι, καὶ ὅσα ἂν λαλήσῃ ἐπ' ὀνόματι θεῶν ἑτέρων, ἀποθανεῖται ὁ προφήτης ἐκεῖνος. ἐὰν δὲ εἴπῃς ἐν τῇ καρδίᾳ σου, πῶς γνωσόμεθα τὸ ῥῆμα, ὃ οὐκ ἐλάλησε κύριος, ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐκεῖνος ἐν τῷ ὀνόματι κυρίου, καὶ μὴ γένηται τὸ ῥῆμα, καὶ μὴ συμβῇ τοῦτο τὸ ῥῆμα, ὃ οὐκ ἐλάλησε κύριος, ἐν ἀσεβείᾳ ἐλάλησεν ὁ προφήτης ἐκεῖνος, οὐκ ἀφέξεσθε ἀπ' αὐτοῦ.

ΚΕΦΑΛ. ιθ'. 19.

Ἐὰν δὲ ἀφανίσῃ κύριος ὁ θεός σου τὰ ἔθνη, ἃ κύριος ὁ θεός σου δίδωσί σοι τὴν γῆν αὐτῶν, καὶ κατακληρονομήσῃς αὐτούς, καὶ κατοικήσῃς ἐν ταῖς πόλεσιν αὐτῶν, καὶ ἐν ταῖς οἰκίαις αὐτῶν, τρεῖς πόλεις ἀφορίεῖς σεαυτῷ, ἐν μέσῳ τῆς γῆς σου, ἣν κύριος ὁ θεός σου δίδωσί σοι. σχοινιεῖς σεαυτῷ ὁδόν, καὶ τριμεριεῖς τὰ ὅρια τῆς γῆς σου, ἣν κατακληρονομεῖ σοι κύριος ὁ θεός σου, καὶ ἔσται ἐκεῖ καταφυγὴ παντὶ φονεύτῃ. τοῦτο δὲ ἔσται τὸ πρόσταγμα τοῦ φονεύτου, ὃς ἂν φύγῃ ἐκεῖ καὶ ζήσεται. ὃς ἂν παρέλθῃ τὸν πλησίον αὐτοῦ ἀκουσίως, καὶ ὃν οὐ μισῶν αὐτὸν πρὸ τῆς χθές, καὶ πρὸ τῆς τρίτης. καὶ ὃς ἐὰν εἰσέλθῃ μετὰ τοῦ πλησίον αὐτοῦ εἰς τὸν δρυμὸν συναγαγεῖν ξύλα, καὶ ἐκκρουσθῇ ἡ χεὶρ αὐτοῦ τῇ ἀξίνῃ τοῦ κόπτειν τὸ ξύλον, καὶ ἐκπέσῃ τὸ σιδήριον ἀπὸ τοῦ ξύλου, τύχῃ τοῦ πλησίον καὶ ἀποθάνῃ, οὗτος καταφεύξεται εἰς μίαν τῶν πόλεων τούτων καὶ ζήσεται, ἵνα μὴ διώξας ὁ ἀγχιστεύων τὸ αἷμα τοῦ τεθνηκότος, ὀπίσω τοῦ φονεύσαντος, ὅτι παρατεθερμάνθη τῇ καρδίᾳ αὐτοῦ, καὶ καταλάβῃ αὐτὸν, ἐὰν μακροτέρα ᾖ ἡ ὁδός, καὶ πατάξῃ αὐτὸν τὴν ψυχὴν καὶ ἀποθάνῃ· καὶ οὐκ ἔστι κρίσις θανάτου, ὅτι οὐ μισῶν ἦν αὐτὸν πρὸ τῆς χθές, καὶ πρὸ τῆς τρίτης. διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι τὸ ῥῆμα τοῦτο λέγων· τρεῖς πόλεις ἀφορίεῖς σεαυτῷ. Ἐὰν δὲ ἐμπλατύνῃ κύριος ὁ θεός σου τὰ ὅριά σου, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ δῴῃ σοι κύριος πᾶσαν τὴν γῆν ἣν εἶπε δοῦναι τοῖς πατράσι σου, ἐὰν εἰσακούσῃς τὰς ἐντολὰς ταύτας, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἀγαπᾶν κύριον τὸν θεόν σου, πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ πάσας τὰς ἡμέρας, καὶ προσθήσεις σεαυτῷ ἔτι τρεῖς πόλεις πρὸς τὰς τρεῖς ταύτας. Καὶ οὐκ ἐκχυθήσεται αἷμα ἀναίτιον ἐν τῇ γῇ σου, ἣν κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ, καὶ οὐκ ἔσαι ἐν σοὶ αἵματι ἔνοχος. ἐὰν δὲ γένηται ἐν σοὶ ἄνθρωπος μισῶν τὸν πλησίον αὐτοῦ, καὶ ἐνεδρεύσῃ αὐτὸν, καὶ ἐπαναστῇ ἐπ' αὐτὸν, καὶ πατάξῃ αὐτοῦ τὴν ψυχὴν καὶ ἀποθάνῃ, καὶ φύγῃ εἰς μίαν τῶν πόλεων τούτων, καὶ ἀποστελοῦσιν οἱ γέροντες τῆς πόλεως αὐτοῦ, καὶ λήψονται αὐτὸν ἐκεῖθεν, καὶ παραδώσουσιν αὐτὸν εἰς χεῖρας τοῦ ἀγχιστεύοντος τὸ αἷμα τοῦτο, καὶ ἀποθανεῖται, οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ, καὶ καθαριεῖς τὸ αἷμα τὸ ἀναίτιον ἐξ Ἰσραήλ, ἵνα σοὶ γένηται. Οὐ μετακινήσεις ὅρια τοῦ πλησίον σου, ἃ ἔστησαν οἱ πατέρες σου ἐν τῇ κληρονομίᾳ σου, ἣν κατακληρονομήσῃς ἐν τῇ γῇ, ἣν κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ νεμῆσαι αὐτήν. Οὐκ ἐμμενεῖ μάρτυς εἷς, μαρτυρῆσαι ἐν ἀνθρώπῳ, κατὰ πᾶσαν ἀδικίαν, καὶ ἐν παντὶ ἁμάρτημα, καὶ ἐν πάσαν ἁμαρτίαν ἣν ἐὰν ἁμάρτῃ. ἐπὶ στόματος δύο μαρτύρων, καὶ ἐπὶ στόματος τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. ἐὰν δὲ καταστῇ μάρτυς ἄδικος ἐν ἀνθρώπῳ, καταλέγων αὐτοῦ ἀσέβειαν, καὶ στήσονται οἱ δύο ἄνθρωποι, οἷς ὄφειλον αὐτοῖς ἡ ἀπολογία ἐναντι κυρίου, καὶ ἐναντι τῶν ἱερέων, καὶ ἐναντι τῶν κριτῶν, οἱ ἂν ὦσιν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐξετάσουσιν οἱ κριταὶ ἀκριβῶς, καὶ ἰδοὺ μάρτυς ἄδικος ἐμαρτύρησεν, ἀδικίαν αὐτὸς ἐν τῷ ἀδελφῷ αὐτοῦ, καὶ ποιήσετε αὐτῷ, ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ ἐξαρεῖτε τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν. καὶ οἱ ἐπίλοιποι, ἀκούσαντες φοβηθήσονται, καὶ οὐ προσθήσουσιν ἔτι ποιεῖν κατὰ τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο ἐν ὑμῖν. οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ. ψυχὴν ἀντὶ ψυχῆς, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρός, πόδα ἀντὶ ποδός. διὰ τοῦτο ἐάν τις δόλῳ μοιχεύσῃ τὸν πλησίον, θάνατος θανατωθήσεται αὐτῷ.

ΚΕΦΑΛ. κ'. 20.

Ἐὰν δὲ ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου, καὶ ἴδῃς ἵππον, καὶ ἀναβάτην, καὶ λαὸν πλείονας σου, οὐ φοβηθήσῃ ἀπ' αὐτῶν, ὅτι κύριος ὁ θεός σου μετὰ σοῦ, ὁ ἀναβιβάσας σε ἐκ γῆς Αἰγύπτου. καὶ ἔσται ὅταν ἐγγίσῃς τοῦ πολεμῆσαι, καὶ προσεγγίσας ὁ ἱερεὺς λαλήσῃ τῷ λαῷ, καὶ ῥεῖ πρὸς αὐτούς· ἄκουε Ἰσραήλ, ὑμεῖς εἰσπορεύεσθε σήμερον εἰς πόλεμον ἐπὶ τοὺς ἐχθροὺς ὑμῶν, μὴ ἐκλυέσθω ἡ καρδία ὑμῶν, μὴ φοβεῖσθε, μηδὲ θραύεσθε, μηδὲ ἐκκλίνητε ἀπὸ προσώπου αὐτῶν, ὅτι κύριος ὁ θεὸς ὑμῶν ὁ προπορευόμενος μεθ' ὑμῶν, συνεκπολεμήσει ὑμῖν τοὺς ἐχθροὺς ὑμῶν, καὶ σώσει ὑμᾶς. καὶ λαλήσουσιν οἱ γραμματεῖς πρὸς τὸν λαόν, λέγοντες· τίς ὁ ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν, καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; πορευέσθω καὶ ὑποστρεφέτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν, καὶ τίς ὁ ἄνθρωπος ὃς ἐμνηστεύσατο γυναῖκα, καὶ οὐκ ἀπήγαγεν αὐτήν; πορευέσθω,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὡς γραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ γὰρ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος αὐτὴν φραυθήσεται ἐξ αὐτῆς. καὶ τίς ὁ ἄνθρωπος ὃς τις μεμνήσθηται γυναῖκα, καὶ οὐκ ἔλαβεν αὐτὴν; πορευέσθω καὶ ὡς γραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ γὰρ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος λήψεται αὐτήν. καὶ πρόσθήσουσιν οἱ γραμματεῖς λαλῆσαι πρὸς τὸν λαόν, καὶ ἐροῦσι· τίς ὁ ἄνθρωπος ὁ φοβούμενος, καὶ δειλὸς τῇ καρδίᾳ; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, ἵνα μὴ δειλιάνῃ τὴν καρδίαν τῶν ἀδελφῶν αὐτοῦ, ὡς καὶ ἡ καρδία αὐτοῦ. καὶ ἔσται ὅταν παύσωνται οἱ γραμματεῖς λαλοῦντες πρὸς τὸν λαόν, καὶ καταστήσουσιν ἄρχοντας τῆς στρατιᾶς ἡγουμένους τοῦ λαοῦ. ἐὰν δὲ προσέλθῃς πρὸς πόλιν ἐκπολεμῆσαι αὐτήν, καὶ ἐκκαλέσῃ αὐτοὺς μετ' εἰρήνης, ἐὰν μὲν εἰρηνικὰ ἀποκριθῶσί σοι, καὶ ἀνοίξωσί σοι, ἔσται πᾶς ὁ λαὸς οἱ εὑρεθέντες ἐν τῇ πόλει, ἔσονταί σοι φορολόγητοι, καὶ ὑποτελεῖς σοι. ἐὰν δὲ μὴ ὑποταγήσωσί σοι, καὶ ποιήσωσι πρὸς σὲ πόλεμον, πολεμήσεις αὐτήν, καὶ παραδώσει αὐτὴν κύριος ὁ θεός σου εἰς τὰς χεῖράς σου, καὶ πατάξεις πᾶν ἀρσενικὸν αὐτῆς ἐν φόνῳ μαχαίρας, πλὴν τῶν γυναικῶν καὶ τῶν ἀποσκευῶν, καὶ πάντα τὰ κτήνη, καὶ πάντα ὅσα ἂν ὑπάρχῃ ἐν τῇ πόλει, καὶ πᾶσαν τὴν ἀπώλειαν προνομεύσεις σεαυτῷ, καὶ φαγῇ πᾶσαν τὴν προνομὴν τῶν ἐχθρῶν σου, ὧν κύριος ὁ θεός σου δίδωσί σοι. οὕτω ποιήσεις πάσας τὰς πόλεις τὰς μακρὰν οὔσας ἀπὸ σοῦ σφόδρα, αἳ οὐχὶ ἀπὸ τῶν πόλεων τῶν ἐθνῶν τούτων, ὧδε ἀπὸ τῶν πόλεων τούτων, ὧν κύριος ὁ θεός σου δίδωσί σοι, κληρονομεῖν τὴν γῆν αὐτῶν. ἀπ' αὐτῶν πᾶν ἐμπνέον, ἀλλὰ ἀναθέματι ἀναθεματιεῖτε αὐτούς, τὸν Χετταῖον, καὶ τὸν Ἀμορραῖον, καὶ τὸν Χαναναῖον, καὶ τὸν Φερεζαῖον, καὶ Εὐαῖον, καὶ Ἰεβουσαῖον, καθὼς προσέταξέν σοι κύριος ὁ θεός σου, ἵνα μὴ διδάξωσι ποιεῖν ὑμᾶς πάντα τὰ βδελύγματα αὐτῶν, ὅσα ἐποίησαν τοῖς θεοῖς αὐτῶν, καὶ ἁμαρτήσεσθε γναντίον κυρίου τοῦ θεοῦ ὑμῶν. ἐὰν δὲ μὴ πολεμήσῃς πρὸς πόλιν, ἡμέρας πλείονας ἐκπολεμῆσαι αὐτήν, εἰς καταλῆψιν αὐτῆς, ἐκ ἐξολεθρεύσεις τὰ ξύλα αὐτῆς, ὧν βαλεῖν ἐπ' αὐτὰ σίδηρον, ἀλλὰ ἀπ' αὐτοῦ φαγῇ, αὐτὸ δὲ ἐκ ἐκκόψεις. μὴ ἄνθρωπος ὁ ξύλον ὁ γὰρ ξύλον ἡμῶν εἰσελθεῖν ἀπὸ προσώπου εἰς τὴν χάρακα, ἀλλὰ τὸ ξύλον ὃ ἐπίστασαι, ὅτι οὐ καρποφόρον ἐστί, τοῦτο ἐξολεθρεύσεις, καὶ ἐκκόψεις, καὶ οἰκοδομήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἣ ἂν ποιῇ πρὸς σὲ τὸν πόλεμον ἕως ἂν παραδοθῇ.

ΚΕΦΑΛ. κά. 21.

Ἐὰν δὲ εὑρεθῇ πραυματίας ἐν τῇ γῇ, ἣν κύριος ὁ θεός σου δίδωσί σοι κληρονομῆσαι, πεπτωκὼς ἐν τῷ πεδίῳ, καὶ οὐκ οἴδασι τὸν πατάξαντα, ἐξελεύσεται ἡ γερουσία σου καὶ οἱ κριταί σου, καὶ ἐκμετρήσουσιν ἐπὶ τὰς πόλεις τὰς κύκλῳ τοῦ πραυματίου, καὶ ἔσται ἡ πόλις ἡ ἐγγίζουσα τοῦ πραυματίου. καὶ λήψεται ἡ γερουσία τῆς πόλεως ἐκείνης, δάμαλιν ἐκ βοῶν, ἥτις οὐκ εἰργάσατο, καὶ ἥτις οὐχ εἵλκυσε ζυγόν, καὶ καταβιβάσουσιν ἡ γερουσία τῆς πόλεως ἐκείνης τὴν δάμαλιν εἰς φάραγγα τραχεῖαν, ἥτις οὐκ εἴργασται, οὐδὲ σπείρεται, καὶ νοτερονοτήσουσι τὴν δάμαλιν ἐν τῇ φάραγγι. καὶ προσελεύσονται οἱ ἱερεῖς οἱ λευῖται, ὅτι αὐτοὺς ἐξελέξατο κύριος ὁ θεός σου, παρεστάναι αὐτῷ, καὶ εὐλογεῖν τῷ ὀνόματι αὐτοῦ, καὶ ἐπὶ τῷ στόματι αὐτῶν ἔσται πᾶσα αὐτιλογία, καὶ πᾶσα ἀφή. καὶ πᾶσα ἡ γερουσία τῆς πόλεως ἐκείνης, οἱ ἐγγίζοντες τοῦ πραυματίου, νίψονται τὰς χεῖρας ἐπὶ τὴν δάμαλιν τὴν νενοτερονοτημένην ἐν τῇ φάραγγι, καὶ ἀποκριθέντες ἐροῦσιν, αἱ χεῖρες ἡμῶν οὐκ ἐξέχεαν τὸ αἷμα τοῦτο, καὶ οἱ ὀφθαλμοὶ ἡμῶν οὐχ ἑωράκασιν, ἵλεως γενοῦ τῷ λαῷ σου Ἰσραήλ, ὃν ἐλυτρώσω ὁ κύριος, καὶ μὴ γένηται αἷμα ἀναίτιον ἐν τῷ λαῷ σου Ἰσραήλ, καὶ ἐξιλασθήσεται αὐτοῖς τὸ αἷμα. σὺ δὲ ἐξαρεῖς τὸ αἷμα τὸ ἀναίτιον ἐξ ὑμῶν αὐτῶν, ἐὰν ποιήσητε τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἔναντι κυρίου τοῦ θεοῦ σου. ἐὰν δὲ ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου, καὶ παραδῷ αὐτοὺς κύριος ὁ θεός σου, εἰς τὰς χεῖράς σου, καὶ προνομεύσεις τὴν προνομὴν αὐτῶν, καὶ ἴδῃς ἐν τῇ προνομῇ γυναῖκα καλὴν τῷ εἴδει, καὶ ἐνθυμηθῇς αὐτῇ, καὶ λάβῃς αὐτὴν σεαυτῷ γυναῖκα, καὶ εἰσάξῃς αὐτὴν ἔνδον εἰς τὴν οἰκίαν σου, καὶ ξυρήσῃς τὴν κεφαλὴν αὐτῆς, καὶ ποιήσεις τὸν ὄνυχας αὐτῆς, καὶ περιελῇς τὰ ἱμάτια τῆς αἰχμαλωσίας αὐτῆς ἀπ' αὐτῆς, καὶ καθιεῖται ἐν τῇ οἰκίᾳ σου, καὶ κλαύσεται τὸν πατέρα καὶ τὴν μητέρα μῆνας ἡμέρας, καὶ μετὰ ταῦτα εἰσελεύσῃ πρὸς αὐτήν, καὶ συνοικιεῖς αὐτῇ, καὶ ἔσται σου γυνή. καὶ ἔσται ἐὰν μὴ θελήσῃς αὐτὴν, ἐξαποστελεῖς αὐτὴν ἐλευθέραν, καὶ πράσει οὐ πραθήσεται ἀργυρίῳ, οὐκ ἀθετήσεις αὐτήν, ὅτι ἐταπείνωσας αὐτήν. ἐὰν δὲ γένωνται ἄνθρωπῳ δύο γυναῖκες, μία αὐτῷ ἠγαπημένη, καὶ μία αὐτῷ μισουμένη, καὶ τέκνωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης, καὶ ἔσται ἡ ἡμέρα καταπληροδοτῆσαι τοῖς υἱοῖς αὐτοῦ, τὰ ὑπάρχοντα αὐτοῦ, οὐ δυνήσεται πρωτοτοκεῖσαι τὸν υἱὸν τῆς ἠγαπημένης, ὑποδιδοὺς τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον. ἀλλὰ τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσεται, δοῦναι αὐτῷ διπλᾶ αὐτὰ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια. ἐὰν δέ τινι ἡ υἱὸς ἀπειθὴς, καὶ ἀρεθιστὴς, οὐχ ὑπακούων φωνῆς πατρὸς αὐτοῦ, καὶ φωνῆς μητρὸς αὐτοῦ, καὶ παιδεύσω-

σιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σην αὐτὸν, καὶ μὴ ἐπακούσωσιν αὐτῶν. καὶ συμβάντων αὐτῷ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ, ἐξάξουσιν αὐτὸν ἔξω τῆς πύλεως αὐτοῦ, καὶ ἐροῦσι τοῖς πρεσβυτέροις τῆς πόλεως αὐτοῦ, υἱὸς ἡμῶν ὅδε ἀπειθεῖ, καὶ παραπικραίνει, καὶ οὐκ ἐπακούει τῆς φωνῆς ἡμῶν, συμβολοκοπῶν οἰνοφλυγεῖ. καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ ἐν λίθοις, καὶ ἀποθανεῖται. καὶ ἐξαρεῖς τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν, καὶ οἱ ἐπίλοιποι ἀκούσαντες φοβηθήσονται. ἐὰν δὲ γένηται ἐν τινι ἁμαρτίᾳ κρίμα θανάτου, καὶ ἀποθάνῃ, καὶ κρεμάσητε αὐτὸν ἐπὶ ξύλου, οὐκ αὐλισθήσεται τὸ σῶμα αὐτοῦ ἐπὶ τοῦ ξύλου, ἀλλὰ ταφῇ θάψετε αὐτὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι κεκατηραμένος ὑπὸ θεοῦ πᾶς κρεμάμενος ἐπὶ ξύλου, καὶ οὐ μιανεῖτε τὴν γῆν, ἣν ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ.

ΚΕΦΑΛ. κβ'. 22.

ΜΗ ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου, ἢ τὸ πρόβατον αὐτοῦ πλανώμενα, ἐν τῇ ὁδῷ, καὶ παρίδῃς αὐτὰ, ἀπροφάσιστα ἀπροφάσιστα αὐτὰ ἀποστρέψεις τῷ ἀδελφῷ σου. ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου πρὸς σὲ, μηδὲ ἐπίστῃ αὐτὸν, συνάξεις αὐτὰ εἰς τὸν οἶκόν σου, καὶ ἔσται μετὰ σοῦ, ἕως ἂν ζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτὰ αὐτῷ. οὕτω ποιήσεις τὸν ὄνον αὐτοῦ, καὶ οὕτω ποιήσεις τὸ ἱμάτιον αὐτοῦ, καὶ οὕτω ποιήσεις πᾶσαν ἀπώλειαν τοῦ ἀδελφοῦ σου, ὅστις ἐὰν ἀπόληται παρ' αὐτοῦ, καὶ εὑρήσεις αὐτὰ, ὁ δυνήσῃ ὑποδεδεῖσθαι αὐτά. οὐχ ὑποπόψει τὸν ὄνον τοῦ ἀδελφοῦ σου, ἢ τὸν μόσχον αὐτοῦ πεπτωκότα ἐν τῇ ὁδῷ, μὴ παρείδῃς αὐτὰ, αὐτισῶν αὐτήσεις μετ' αὐτοῦ ἕως ἔσαι σκύλευμα ἀνδρὸς ὧδε γυναικὶ, οὐδὲ μὴ ἐνδύσηται ἀνὴρ στολὴν γυναικείαν, ὅτι βδέλυγμα κύριῳ τῷ θεῷ σου ὅσοι ποιοῦσι ταῦτα. ἐὰν δὲ συναντήσῃς νοσιὰν ὀρνέων πρὸ προσώπου σου ἐν τῇ ὁδῷ, ἢ ἐπὶ τινι δένδρῳ, ἢ ὧδε ἐπὶ γῆς, νεοσοῖς ἢ ᾠοῖς, καὶ ἡ μήτηρ θάλπῃ ἐπὶ τοῖς νεοσσοῖς, ἢ ὧδε ἐπὶ τοῖς ᾠοῖς, οὐ λήψῃ τὴν μητέρα μετὰ τῶν τέκνων. ἀποστολῇ ἀποστελεῖς τὴν μητέρα, τὰ δὲ παιδία λήψῃ σεαυτῷ, ἵνα σοὶ ἀγαθὸν γένηται, καὶ πολυημερεύσῃς. ἐὰν δὲ οἰκοδομήσῃς οἰκίαν καινὴν, ποιήσεις στέφανον τῷ δώματί σου, καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ἀπ' αὐτῆς. οὐ καταφυτεύσεις σεαυτῷ ἄλσος παντὸς ξύλου παρὰ τὸ θυσιαστήριον κυρίου τοῦ θεοῦ σου, ὃ ἐὰν ποιήσῃς σεαυτῷ εἴδωλον ἢ ὁμοίωμα, οὐκ ἐπιστρέψεις ἐν μέσῳ σου καὶ ὄνος καὶ μόσχος σου πεσοῦνται, ἐν ὁδοῖς λίθιναις ὁδοῦ, ἐν λίνῳ ἐν τῷ αὐτῷ. ἐρεπτὰ ποιήσεις σεαυτῷ ὧδε τῶν τεσσάρων κρασπέδων τοῦ ἱματίου σου, ᾧ ἂν περιβάλῃ ἐν αὐτοῖς. Ἐὰν λάβῃ τις γυναῖκα, καὶ συνοικήσῃ αὐτῇ, καὶ μισήσῃ αὐτὴν, καὶ ἐπιβῇ αὐτῇ πρόφασιν λόγου, καὶ κατονείδιση αὐτῆς ὄνομα πονηρὸν καὶ λέγῃ· τὴν γυναῖκα ταύτην εἴληφα, καὶ προσελθὼν αὐτῇ οὐχ εὕρηκα αὐτῇ παρθενίαν. καὶ λαβὼν ὁ πατὴρ τῆς παιδὸς καὶ ἡ μήτηρ ἐξοίσουσι τὰ παρθένια τῆς παιδὸς πρὸς τοὺς πρεσβυτέρους τῆς πόλεως ἐκείνης ἐν τῇ πύλῃ. καὶ ἐροῦσιν ὁ πατὴρ τῆς παιδὸς πρὸς τοὺς πρεσβυτέρους· τὴν θυγατέρα μου ταύτην, δέδωκα τῷ ἀνδρὶ τούτῳ γυναῖκα, καὶ μισήσας αὐτὴν ἐπιβέβηκεν αὐτῇ προφασιστικὸς λόγος λέγων· οὐχ εὕρηκα τῇ θυγατρί σου παρθενίαν, καὶ ταῦτα τὰ παρθένια τῆς θυγατρός μου, καὶ ἀναπτύξουσι τὸ ἱμάτιον ἐνώπιον τῶν πρεσβυτέρων τῆς πόλεως ἐκείνης, καὶ λήψεται ὁ πρεσβύτερος τῆς πόλεως ἐκείνης τὸν ἄνθρωπον ἐκεῖνον, καὶ παιδεύσουσιν αὐτὸν, καὶ ζημιώσουσιν αὐτὸν ἑκατὸν σίκλους, καὶ δώσουσι τῷ πατρὶ τῆς νεανίδος, ὅτι ἐξήνεγκεν ὄνομα πονηρὸν ἐπὶ παρθένον ἰσραὴλίτιν, καὶ αὐτὴ ἔσαι γυνὴ, ἃ δύνασται ἐξαποστεῖλαι αὐτὸν ἐν ἅπασι τοῖς χρόνοις ἐὰν δὲ ἐπ' ἀληθείας γένηται ὁ λόγος ὅτος, καὶ μὴ εὑρεθῇ παρθενία τῇ νεανίδι, καὶ ἐξάξουσι τὴν νεανῖν ἐπὶ τὰς θύρας τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς, καὶ λιθοβολήσουσιν αὐτὴν λίθοις οἱ ἄνδρες τῆς πόλεως αὐτῆς, καὶ ἀποθανεῖται, ὅτι ἐποίησεν ἀφροσύνην ἐν ὑμῖν ἰσραὴλ ἐκπορνεῦσαι ἐν οἴκῳ τοῦ πατρὸς αὐτῆς, καὶ ἐξαρεῖς τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν ἐὰν δὲ εὑρεθῇ ἄνθρωπος κοιμώμενος μετὰ γυναικὸς συνωκισμένης ἀνδρί, ἀποκτενεῖτε ἀμφοτέρους, τήν τε γυναῖκα τὸν κοιμώμενον μετὰ τῆς γυναικὸς, καὶ τὴν γυναῖκα, καὶ ἐξαρεῖς τὸ πονηρὸν ἐξ ἰσραὴλ ἐὰν δὲ γένηται παῖς παρθένος μεμνηστευμένη ἀνδρί, καὶ εὑρὼν αὐτὴν ἄνθρωπος ἐν πόλει, κοιμηθῇ μετ' αὐτῆς, ἐξάξετε ἀμφοτέρους ὧδε τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ λιθοβοληθήσονται ἐν λίθοις, καὶ ἀποθανοῦνται. τὴν νεανῖν, ὅτι οὐκ ἐβόησεν ἐν τῇ πόλει· καὶ τὸν ἄνθρωπον, ὅτι ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ, καὶ ἐξαρεῖς τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν ἐὰν δὲ ἐν πεδίῳ εὕρῃ ἄνθρωπος τὴν παῖδα τὴν μεμνηστευμένην, καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, ἀποκτενεῖτε τὸν ἄνθρωπον τὸν κοιμώμενον μετ' αὐτῆς μόνον, τῇ δὲ νεανίδι οὐ ποιήσετε οὐδέν, οὐκ ἔστι τῇ νεανίδι ἁμάρτημα θανάτου. ὅτι ὡς εἴ τις ἐπαναστὰς ἄνθρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ φονεύσῃ αὐτὸν ψυχὴν, οὕτω τὸ πρᾶγμα τοῦτο, ὅτι ἐν τῷ ἀγρῷ εὗρεν αὐτὴν· ἐβόησεν ἡ νεανὶς ἡ μεμνηστευμένη, καὶ οὐ βοηθήσων οὐκ ἦν αὐτῇ· ἐὰν δέ τις εὕρῃ τὴν παῖδα τὴν παρθένον, ἥτις οὐ μεμνήστευται, καὶ βιασάμενος αὐτὴν κοιμηθῇ μετ' αὐτῆς, καὶ εὑρεθῇ, δώσει ὁ ἄνθρωπος ὁ κοιμηθεὶς μετ' αὐτῆς, τῷ πατρὶ τῆς νεανίδος, πεντήκοντα δίδραχμα ἀργυρίου, καὶ αὐτὴ ἔσαι γυνὴ, ἀνθ' ὧν ἐταπείνωσεν αὐτὴν· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον. οὐ λήψεται ἄνθρωπος τὴν γυναῖκα τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἀνακαλύψει συγκάλυμμα τοῦ πατρὸς αὐτοῦ.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. κγ'. 23.

Οὐκ εἰσελεύσεται θηλυδίας καὶ ἀρκεμομμὺθ εἰς ἐκκλησίαν κυρίου, ἕως εἰσελεύσεται ἐκ πόρνης εἰς ἐκκλησίαν κυρίου. Οὐκ εἰσελεύσεται ἀμμανίτης καὶ μωαβίτης εἰς ἐκκλησίαν κυρίου, καὶ ἕως δεκάτης γενεᾶς οὐκ εἰσελεύσεται εἰς ἐκκλησίαν κυρίου, καὶ ἕως εἰς τὸν αἰῶνα, πλὴν ὃ μὴ συναντήσαι αὐτοῖς ὑμῖν μετὰ ἄρτων καὶ ὕδατος ἐν τῇ ὁδῷ, ἐκπορευομένων ὑμῶν ἐξ αἰγύπτου, καὶ ὅτι ἐμισθώσαντο ἐπὶ σὲ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἐκ Μεσοποταμίας, καὶ παρακαλέσαι σε, καὶ οὐκ ἠθέλησε κύριος ὁ θεός σου εἰσακοῦσαι τοῦ Βαλαὰμ, καὶ μετέστρεψε κύριος ὁ θεός σου τὰς κατάρας εἰς εὐλογίας, διότι ἠγάπησέ σε κύριος ὁ θεός σου. Οὐ προσαγορεύσεις εἰρηνικὰ αὐτοῖς, καὶ συμφέροντα αὐτοῖς πάσας τὰς ἡμέρας σου, εἰς τὸν αἰῶνα. Οὐ βδελύξη Ιδουμαῖον, ὅτι ἀδελφός σου ὅτι· οὐ βδελύξη Αἰγύπτιον, ὅτι πάροικος ἐγένου ἐν τῇ γῇ αὐτοῦ. Υἱοὶ ἐὰν γένωνται αὐτοῖς, γενεὰ τρίτη εἰσελεύσονται εἰς ἐκκλησίαν κυρίου. Ἐὰν δὲ ἐξέλθῃς παρεμβαλεῖν ἐπὶ τοὺς ἐχθρούς σου, καὶ φυλάξῃ ἀπὸ παντὸς ῥήματος πονηροῦ· ἐὰν ἦ ἐν σοὶ ἄνθρωπος, ὃς οὐκ ἔστι καθαρὸς ἐκ ῥύσεως αὐτοῦ νυκτός, καὶ ἐξελεύσεται ἔξω τῆς παρεμβολῆς, καὶ οὐκ εἰσελεύσεται εἰς τὴν παρεμβολήν. καὶ ἔσται τὸ, πρὸς ἑσπέραν λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ δεδυκότος τοῦ ἡλίου εἰσελεύσεται εἰς τὴν παρεμβολήν. καὶ τόπος ἔσται σοι ἔξω τῆς παρεμβολῆς, καὶ ἐξελεύσῃ ἐκεῖ ἔξω, καὶ πάσσαλος ἔσται σοι ἐπὶ τῆς ζώνης σου. καὶ ἔσται ὅταν σκαλιζαίνῃς ἔξω, καὶ ἀνορύξῃς ἐν αὐτῷ, καὶ ἐπαναγῶν καλύψεις τὰ ἀφεδρεύματά σου ἐν αὐτῷ, ὅτι κύριος ὁ θεός σου ἐμπεριπατεῖ ἐν τῇ παρεμβολῇ σου, ἐξελέσθαι σε, καὶ παραδοῦναι τοὺς ἐχθρούς σου πρὸ προσώπου σου. καὶ ἔσται ἡ παρεμβολή σου ἁγία, καὶ οὐκ ὀφθήσεται ἐν σοὶ ἀσχημοσύνη πράγματος, καὶ ἀποστρέψει ἀπὸ σοῦ. Οὐ παραδώσεις παῖδα τῷ κυρίῳ αὐτοῦ, ὃς προσέθετό σοι παρὰ τοῦ κυρίου αὐτοῦ, μετὰ σοῦ κατοικήσει ἐν ὑμῖν, κατοικήσει ἐν σωτῷ τόπῳ, ᾧ ἂν ἐρέσῃ αὐτῷ, ἐν θλίψει αὐτὸν οὐ θλίψεις ἐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ισραηλ, καὶ οὐκ ἔσται πορνεύων ἀπὸ υἱῶν Ισραηλ. οὐκ ἔσται τελωνὸς ἀπὸ θυγατέρων Ισραηλ, καὶ οὐκ ἔσται τελωνούμενος πρὸς σωτῆρα ἐν λυχνίᾳ ἀπὸ υἱῶν Ισραηλ. Οὐ προσοίσεις μίσθωμα πόρνης, ἐδὲ ἄλλαγμα κυνὸς εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ σου, πρὸς πᾶσαν εὐχὴν, ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σου ἐστὶ καὶ ἀμφότερα. Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου, καὶ τόκον βρωμάτων, καὶ τόκον παντὸς πράγματος, ὃ ἐὰν ἐκδανείσῃς. τῷ ἀλλοτρίῳ ἐκτοκιεῖς, τῷ ἀδελφῷ σου οὐκ ἐκτοκιεῖς, ἵνα εὐλογήσῃ σε κύριος ὁ θεός σου ἐν πᾶσι τοῖς ὅρμοις σου ἐπὶ τῆς γῆς, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. Ἐὰν δὲ εὔξῃ εὐχὴν κυρίῳ τῷ θεῷ σου, οὐ χρονιεῖς ἀποδοῦναι αὐτήν, ὅτι ἐκζητῶν ἐκζητήσει κύριος ὁ θεός σου παρὰ σοῦ, καὶ ἔσται ἐν σοὶ ἁμαρτία. ἐὰν δὲ μὴ θέλῃς εὔξασθαι, οὐκ ἔστι σοι ἁμαρτία. τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου, φυλάξῃ καὶ ποιήσεις, ὃν τρόπον ηὔξω κυρίῳ τῷ θεῷ σου δῶμα, ὃ ἐλάλησας τῷ στόματί σου.

ΚΕΦΑΛ. κδ'. 24.

Ἐὰν δὲ εἰσέλθῃς εἰς τὸν ἀμπελῶνα τοῦ πλησίου σου, καὶ συλλέξεις ἐν ταῖς χερσί σου σταχυας, καὶ δρέπανον οὐ μὴ ἐπενέγκῃ ἐπὶ τὸν ἀμπελῶνα τοῦ πλησίου σου. Ἐὰν δὲ εἰσέλθῃς εἰς τὸν ἀμπελῶνα τοῦ πλησίου σου, φαγὼν σταφυλὴν, ὅσον αὐτῇ ψυχή σου ἐμπλησθῆναι, εἰς δὲ ἄγγος οὐ μὴ ἐμβάλῃς. Ἐὰν δέ τις λάβῃ γυναῖκα καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται ἐὰν μὴ εὕρῃ χάριν ἐν ὀφθαλμοῖς αὐτοῦ, ὅτι εὗρεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα, καὶ γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ἀπελθοῦσα γένηται αὐτοῦ ἐξελθοῦσα, καὶ μισήσῃ αὐτὴν ὁ ἀνὴρ ὁ ἔσχατος, καὶ γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, ἢ ἀποθάνῃ ὁ ἀνὴρ αὐτῆς ὁ ἔσχατος, ὃς ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα, οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν, ἐπαναστρέψας λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα, μετὰ τὸ μιανθῆναι αὐτὴν, ὅτι βδέλυγμά ἐστιν ἐνώπιον κυρίου τοῦ θεοῦ σου. καὶ οὐ μιανεῖτε τὴν γῆν, ἣν κύριος ὁ θεός ὑμῶν δίδωσιν ὑμῖν ἐν κληρῷ. Ἐὰν δέ τις λάβῃ γυναῖκα πρωτόφατος, οὐκ ἐξελεύσεται εἰς πόλεμον. οὐκ ὀφλήσει αὐτῷ οὐδὲν πρᾶγμα, ἀθῷος ἔσται ἐν τῇ οἰκίᾳ αὐτοῦ, χρανεῖ ἐνιαυτὸν ἕνα εὐφρανεῖ τὴν γυναῖκα αὐτοῦ ἣν ἔλαβεν. οὐκ ἐνεχυράσεις μύλον, οὐδὲ ὑπομύλιον, ὅτι ψυχὴν οὗτος ἐνεχυράζει. Ἐὰν δέ ἄνθρωπος κλέπτων ψυχὴν αὐτοῦ ἐκ τῶν ἀδελφῶν αὐτοῦ τῶν υἱῶν Ισραηλ, καὶ καταδουλωσάμενος αὐτὸν ἀποδῶται, ἀποθανεῖται ὁ κλέπτης ἐκεῖνος, καὶ ἐξαρεῖτε τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν. Πρόσεχε σεαυτῷ ἐν τῇ ἀφῇ τῆς λέπρας, καὶ φυλάξῃ σφόδρα ποιεῖν κατὰ πάντα τὸν νόμον, ὃν ἂν ὑμῖν ἐντείλωμαι ὑμῖν οἱ ἱερεῖς οἱ λευῖται, ὃν τρόπον ἐνετειλάμην ὑμῖν φυλάξασθαι ποιεῖν. Μνησθητι ὅσα ἐποίησε κύριος ὁ θεός σου τῇ Μαριὰμ ἐν τῇ ἐξόδῳ, ἐκπορευομένων ὑμῶν ἐξ αἰγύπτου. Ἐὰν δὲ ὀφείλημα ᾖ ἐν τῷ πλησίον σου, ὀφείλημα ὁτιοῦν τι, οὐκ εἰσελεύσῃ εἰς τὴν οἰκίαν αὐτοῦ ἐνεχυράσαι τὸ ἐνέχυρον, ἔξω στήσῃ, καὶ ὁ ἄνθρωπος οὗ τὸ δάνειόν σου ἐστὶν ἐν αὐτῷ, ἐξοίσει σοι τὸ ἐνέχυρον ἔξω. Ἐὰν δὲ ὁ ἄνθρωπος πένηται, οὐ κοιμηθήσῃ ἐν τῷ ἐνεχύρῳ αὐτοῦ, ἀποδιδόσει ἀποδώσεις αὐτῷ τὸ ἱμάτιον αὐτοῦ πρὸς δυσμὰς ἡλίου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλίσ, καὶ πομνηθήσεται γὼ τοῦ ἱματίῳ αὐτοῦ, καὶ εὐλογήσει σε, καὶ ἔσαι ἐλεημοσύνη γὼ ἀνα-
πίον κυρίου τοῦ θεοῦ σου. Οὐκ ἀρπάσεις μισθὸν πτώχου, καὶ γώτου ἐκ τῶν ἀδελφῶν σου, ἢ
ἐκ τῶν προσηλύτων τῶν γὼ ταῖς πόλεσί σου, αὐθημερὸν ἀποδώσεις τὸν μισθὸν αὐτῷ, ὃν ὠμόσε-
ται ὁ ἥλιος ἐπ' αὐτῷ, ὅτι πτωχός ἐστι, καὶ ἐπ' αὐτῷ ἔχει τὴν ἐλπίδα, καὶ οὐ καταβοήσεται κατὰ
σοῦ πρὸς κύριον, καὶ ἔσαι γὼ σοὶ ἁμαρτία. Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ υἱοὶ
οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται. Οὐκ ἐκκλινεῖς
κρίσιν προσηλύτου, καὶ ὀρφανοῦ, καὶ χήρας, καὶ οὐκ γὼ ἐχυράσεις ἱμάτιον χήρας. καὶ μνησθήσῃ ὅ
τι οἰκέτης ἦσθα γὼ γῇ αἰγύπτῳ, καὶ ἐλυτρώσατό σε κύριος ὁ θεός σου ἐκεῖθεν, διὰ τοῦτο ἐγώ σοι
γὼ τέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο. Ἐὰν ἀμήσῃς ἀμητόν σου γὼ τῷ ἀγρῷ σου, καὶ ὠλλάθη δρά-
γμα γὼ τῷ ἀγρῷ σου, οὐκ ἐπαναστραφήσῃ λαβεῖν αὐτό, τῷ πτωχῷ, καὶ τῷ προσηλύτῳ, καὶ τῷ
ὀρφανῷ, καὶ τῇ χήρᾳ ἔσαι, ἵνα εὐλογήσῃ σε κύριος ὁ θεός σου γὼ πᾶσι τοῖς ἔργοις τῶν χειρῶν σου.
Ἐὰν δὲ ἐλαιολογήσῃς, οὐκ ἐπαναστρέψεις καλαμήσασθαι τὰ ὀπίσω σου, τῷ προσηλύτῳ, καὶ
τῷ ὀρφανῷ, καὶ τῇ χήρᾳ ἔσαι. καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα γὼ γῇ αἰγύπτῳ, διὰ τοῦτο ἐγώ σοι
γὼ τέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο. Ἐὰν δὲ τρυγήσῃς τὸν ἀμπελῶνά σου, οὐκ ἐπαναστρυγήσεις τὰ
ὀπίσω σου, τῷ πτωχῷ, καὶ τῷ προσηλύτῳ, καὶ τῷ ὀρφανῷ, καὶ τῇ χήρᾳ ἔσαι. καὶ μνησθήσῃ
ὅτι οἰκέτης ἦσθα γὼ γῇ αἰγύπτῳ. διὰ τοῦτο ἐγώ σοι γὼ τέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.

ΚΕΦΑΛ. κε'. 25.

Ἐὰν δὲ γένηται ἀντιλογία ἀνὰ μέσον ἀνθρώπων, καὶ προσέλθωσιν εἰς κρίσιν, καὶ κρινοῦσι,
καὶ δικαιώσωσι τὸν δίκαιον, καὶ καταγνῶσι τοῦ ἀσεβοῦς, καὶ ἔσαι ἐὰν ᾖ ἄξιος ἡ πληγὴν ὁ
ἀσεβῶν, καὶ καθιεῖς αὐτὸν γὼ ἀνάπτυ τῶν κριτῶν, καὶ μαστιγώσουσιν αὐτὸν γὼ ὀφθαλμοῦ αὐτῶν, κατὰ
τὴν ἀσέβειαν αὐτοῦ ἐν ἀριθμῷ τεσσαράκοντα μαστιγώσουσιν αὐτὸν, καὶ οὐ προσθήσουσιν. ἐὰν δὲ
προσθῶσι μαστιγῶσαι αὐτὸν ὑπὲρ πάντας τοὺς πληγὰς πλείας, ἀτιμωθήσεται ὁ ἀδελφός σου ἐ-
ναντίον σου. Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Ἐὰν δὲ κατοικῶσιν ἀδελφοὶ ὁμοῦ ἐπὶ τὸ αὐτὸ, καὶ ἀ-
ποθάνῃ ἓξ αὐτῶν, υἱὸς δὲ μὴ ἦ αὐτῷ, οὐκ ἔσαι ἡ γυνὴ τοῦ τεθνηκότος ἔξω αὐθρώπῳ μὴ ἐγγίζον
τι, ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς εἰσελεύσεται πρὸς αὐτὴν, καὶ λήψεται αὐτὴν ἑαυτῷ γυναῖκα,
καὶ συμβιώσεται αὐτῇ, καὶ ἔσαι, ὁ πρωτότοκον ὃ ἂν τέκῃ καταστήσεται ἐπὶ τοῦ ὀνόματος τοῦ τε
τελευτηκότος, καὶ οὐκ ἐξαλειφθήσεται τὸ ὄνομα αὐτοῦ ἐξ ἰσραήλ. ἐὰν δὲ μὴ βούληται ὁ ἄνθρω
πος λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀναβήσεται ἡ γυνὴ αὐτοῦ πρὸς τὴν πύλην ἐπὶ τῆς γε-
ρουσίαν, καὶ ἐρεῖ, ὁ θέλει ὁ ἀδελφὸς τοῦ ἀνδρός μου ἀναστῆσαι τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ γὼ ἰ-
σραήλ, οὐκ ἠθέλησέν γὼ ὁ ἀδελφὸς τοῦ ἀνδρός μου. καὶ καλέσουσιν αὐτὸν οἱ γέροντες τῆς πόλεως ἐκεί-
νης, καὶ ἐροῦσιν αὐτῷ, καὶ ἐὰς εἴπῃ· ὁ βούλομαι λαβεῖν αὐτήν, καὶ προσελθοῦσα ἡ γυνὴ τοῦ ἀ-
δελφοῦ αὐτοῦ πρὸς αὐτὸν γέντι τῆς γερουσίας, καὶ ὑπολύσει τὸ ὑπόδημα αὐτοῦ τὸ γὼ, ἀπὸ τοῦ
ποδὸς αὐτοῦ, καὶ ἐμπτύσεται εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἀποκριθεῖσα ἐρεῖ· οὕτω ποιήσουσι τῷ
ἀνθρώπῳ, ὃς οὐκ οἰκοδομήσει τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ γὼ ἰ-
σραήλ, οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα. Ἐὰν δὲ μάχωνται δύο ἄνθρωποι ἅμα ὁ ἀνὴρ,
ἀνθρώπου μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ προσέλθῃ ἡ γυνὴ ἑνὸς αὐτῶν, ἐξελέσθαι τὸν ἄνδρα αὐτῆ
ἐκ χειρὸς τοῦ τύπτοντος αὐτὸν, καὶ ἐκτείνασα τὴν χεῖρα αὐτῆς ἐπιλάβηται τῶν αἰδοίων αὐτοῦ,
ἀποκόψεις τὴν χεῖρα αὐτῆς, οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῇ. Οὐκ ἔσαι γὼ τῷ μαρσίππῳ
σου σάθμιον, καὶ σάθμιον μέγα, ἢ μικρὸν, οὐκ ἔσαι γὼ τῇ οἰκίᾳ σου μέτρον, καὶ μέτρον μέγα, ἢ μι-
κρόν. σάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσαι σοι, καὶ μέτρον ἀληθινὸν καὶ δίκαιον ἔσαι σοι, ἵνα πο-
λυήμερον γένῃ ἐπὶ γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι γὼ κληρῷ, ὅτι βδέλυγμα κυρίῳ
τῷ θεῷ σου πᾶς ποιῶν ταῦτα, πᾶς ποιῶν ἄδικον. Μνήσθητι ὅσα ἐποίησέ σοι ἀμαλὴκ γὼ τῇ
ὁδῷ, ἐκπορευομένου σου ἐξ αἰγύπτου, πῶς αὐτέστη σοι γὼ τῇ ὁδῷ, καὶ ἐνόψε σε τὴν ἀραγίαν, οὐ
κοπιῶντας ὀπίσω σου. σὺ δὲ ἐπείνας καὶ ἐκοπίας, καὶ οὐκ ἐφοβήθη τὸν θεόν. καὶ ἔσαι ἡνίκα ἐὰν
καταπαύσῃ σε κύριος ὁ θεός σου ἀπὸ πάντων τῶν ἐχθρῶν σου, τῶν κύκλῳ γὼ τῇ γῇ, ἣν κύριος ὁ θεός
σου δίδωσί σοι γὼ κληρῷ, κατακληρονομῆσαι αὐτὴν, ἐξαλείψεις τὸ ὄνομα ἀμαλὴκ ἐκ γῆς
τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ὠλλάθῃ.

ΚΕΦΑΛ. κς'. 26.

Καὶ ἔσαι ἐὰν εἰσέλθῃς εἰς τὴν γῆν, ἣν κύριος ὁ θεός σου δίδωσί σοι γὼ κληρῷ, καὶ κατακλη-
ρονομήσας αὐτὴν, καὶ κατοικήσεις ἐπ' αὐτῆς, καὶ λήψῃ ἀπὸ γῆς τὴν ἀπαρχὴν τῶν καρπῶν γῆς
σου, ἧς κύριος ὁ θεός σου δίδωσί σοι γὼ κληρῷ, καὶ ἐμβαλεῖς εἰς κάρταλλον, καὶ πορεύσῃ
εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου ὠνομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ ἐλεύσῃ
πρὸς τὸν ἱερέα, ὃς ἂν ἦ γὼ ταῖς ἡμέραις ἐκείναις, καὶ ἐρεῖς πρὸς αὐτόν· ἀναγγέλλω σήμερον κυ-
ρίῳ τῷ θεῷ σου, ὅτι εἰσελήλυθα εἰς τὴν γῆν ἣν ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι ὑ-
μῖν. καὶ λήψεται ὁ ἱερεὺς τὸν κάρταλλον ἐκ τῶν χειρῶν σου, καὶ θήσει αὐτὸν ἀπέναντι τοῦ θυσια-
στηρίου κυρίου τοῦ θεοῦ σου, καὶ ἀποκριθήσῃ καὶ ἐρεῖς γέντι κυρίου τοῦ θεοῦ σου, συρίαν ἀπέβαλον ὁ πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόρμα, καὶ κατέβη εἰς Αἴγυπτον, καὶ παρῴκησεν ἐκεῖ ἐν ἀριθμῷ βραχεῖ, καὶ ἐγένετο ἐκεῖ εἰς ἔθνος μέγα, καὶ πλῆθος πολὺ καὶ μέγα, καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι, καὶ ἐταπείνωσαν ἡμᾶς, καὶ ἐπέθηκαν ἡμῖν ὄργα σκληρά, καὶ ἀνεβοήσαμεν πρὸς Κύριον τὸν θεὸν τῶν πατέρων ἡμῶν, καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς ἡμῶν, καὶ εἶδε τὴν ταπείνωσιν ἡμῶν, καὶ τὸν μόχθον ἡμῶν, καὶ τὸν θλιμμὸν ἡμῶν. καὶ ἐξήγαγεν ἡμᾶς Κύριος ἐξ Αἰγύπτου ἐν ἰσχύϊ μεγάλῃ, καὶ χειρὶ κραταιᾷ, καὶ τῷ βραχίονι αὐτοῦ τῷ ὑψηλῷ, καὶ ἐν ὁράμασι μεγάλοις, καὶ ἐν σημείοις καὶ ἐν τέρασι, καὶ εἰσήγαγεν ἡμᾶς εἰς τὸν τόπον τοῦτον, καὶ ἔδωκεν ἡμῖν τὴν γῆν ταύτην, γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ νῦν ἰδοὺ ἐγὼ εἰσάγω τὴν ἀπαρχὴν τῶν γενημάτων τῆς γῆς, ἧς ἔδωκάς μοι Κύριε, γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ ἀφήσεις αὐτὴν ἀπέναντι Κυρίου τοῦ θεοῦ σου, καὶ προσκυνήσεις ἐκεῖ ἔναντι Κυρίου τοῦ θεοῦ σου, καὶ εὐφρανθήσῃ ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς, οἷς ἔδωκέ σοι Κύριος ὁ θεός σου, καὶ τῇ οἰκίᾳ σου, καὶ ὁ Λευίτης, καὶ ὁ προσήλυτος ὁ ἐν σοί. ἐὰν δὲ συντελέσῃς ἀποδεκατῶσαι πᾶν τὸ ἐπιγένημά σου τῷ ἐνιαυτῷ τῷ τρίτῳ, τὸ δεύτερον ἐπιδέκατον ἀφορισμοῦ δώσεις τῷ Λευίτῃ, καὶ τῷ προσηλύτῳ, καὶ τῷ ὀρφανῷ, καὶ τῇ χήρᾳ, καὶ φάγονται ἐν ταῖς πόλεσί σου, καὶ ἐμπλησθήσονται. καὶ ἐρεῖς ἔναντι Κυρίου τοῦ θεοῦ σου· ἐξεκάθαρα τὰ ἅγια ἐξ οἰκίας μου, καὶ ἔδωκα αὐτὰ τῷ Λευίτῃ, καὶ τῷ προσηλύτῳ, καὶ τῷ ὀρφανῷ, καὶ τῇ χήρᾳ, κατὰ πάσας τὰς ἐντολάς σου, ἃς ἐνετείλω μοι, οὐ παρῆλθον τὰς ἐντολάς σου, καὶ οὐκ ἐπελαθόμην, καὶ οὐκ ἔφαγον ἐν ὀδύνῃ μου ἀπ' αὐτῶν, οὐκ ἐκάρπωσα ἀπ' αὐτῶν εἰς ἀκαθαρσίαν, οὐκ ἔδωκα ἀπ' αὐτῶν τῷ πενθοῦντι, οὐκ ἤκουσα τῆς φωνῆς Κυρίου μου, ἐποίησα κατὰ πάντα ἃ ἐνετείλω μοι. ἐπίβλεψον ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου, ἐκ τοῦ οὐρανοῦ, καὶ εὐλόγησον τὸν λαόν σου τὸν Ἰσραὴλ, καὶ τὴν γῆν, ἣν ἔδωκας αὐτοῖς, καθὰ ὤμοσας τοῖς πατράσιν ἡμῶν, δοῦναι ἡμῖν γῆν ῥέουσαν γάλα καὶ μέλι. ἐν τῇ ἡμέρᾳ ταύτῃ Κύριος ὁ θεός σου ἐνετείλατό σοι ποιῆσαι πάντα δικαιώματα ταῦτα, καὶ τὰ κρίματα, καὶ φυλάξεσθε καὶ ποιήσετε αὐτὰ ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν. τὸν θεὸν εἵλετό σε σήμερον εἶναί σε θεόν, καὶ πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ φυλάσσεσθαι τὰ δικαιώματα, καὶ τὰς ἐντολάς, καὶ τὰ κρίματα αὐτοῦ, καὶ ἐπακούειν τῆς φωνῆς αὐτοῦ. καὶ Κύριος εἵλετό σε σήμερον γενέσθαι σεαυτῷ λαὸν περιούσιον, καθάπερ εἶπέ σοι, φυλάσσειν πάσας τὰς ἐντολὰς αὐτοῦ, καὶ εἶναί σε ὑπεράνω πάντων τῶν ἐθνῶν, ὃς ἐποίησέ σε ὄνομα ἔνδοξον, καὶ αἴνεσιν, καὶ δόξαν, εἶναί σε λαὸν ἅγιον Κυρίῳ τῷ θεῷ σου καθὼς ἐλάλησε.

ΚΕΦΑΛ. κζ'. 27.

ΚΑΙ προσέταξε μωϋσῆς, καὶ οἱ γερουσίαι τοῦ Ἰσραὴλ λέγων· φυλάσσεσθε πάσας τὰς ἐντολὰς ταύτας, ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον. καὶ ἔσται, ἡ ἂν ἡμέρᾳ διαβῆτε τὸν Ἰορδάνην εἰς τὴν γῆν, ἣν Κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ, καὶ στήσεις σεαυτῷ λίθους μεγάλους, καὶ κονιάσεις αὐτοὺς κονίᾳ, καὶ γράψεις ἐπὶ τῶν λίθων πάντας τοὺς λόγους τοῦ νόμου τούτου, ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην, ἵνα εἰσέλθῃς εἰς τὴν γῆν ἣν Κύριος ὁ θεός σου δίδωσί σοι γῆν ῥέουσαν γάλα καὶ μέλι, ὃν τρόπον εἶπε Κύριος ὁ θεὸς τῶν πατέρων σου σοί. καὶ ἔσται ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην, στήσετε τοὺς λίθους τούτους οὓς ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, ἐν ὄρει γαιβάλ, καὶ κονιάσεις αὐτοὺς κονίᾳ, καὶ οἰκοδομήσεις ἐκεῖ θυσιαστήριον Κυρίῳ τῷ θεῷ σου, θυσιαστήριον ἐκ λίθων, οὐκ ἐπιβαλεῖς ἐπ' αὐτοὺς σίδηρον, λίθους ὁλοκλήρους οἰκοδομήσεις τὸ θυσιαστήριον Κυρίῳ τῷ θεῷ σου, καὶ ἀνοίσεις ἐπ' αὐτοῦ ὁλοκαυτώματα Κυρίῳ τῷ θεῷ σου, καὶ θύσεις θυσίαν σωτηρίου, καὶ φαγῇ καὶ ἐμπλησθήσῃ ἐκεῖ, καὶ εὐφρανθήσῃ ἔναντι Κυρίου τοῦ θεοῦ σου. καὶ γράψεις ἐπὶ τῶν λίθων τούτων, πάντα τὸν νόμον τοῦτον, σαφῶς σφόδρα. καὶ ἐλάλησε μωϋσῆς καὶ οἱ ἱερεῖς οἱ Λευῖται, παντὶ Ἰσραὴλ λέγοντες· σιώπα καὶ ἄκουε Ἰσραήλ· ἐν τῇ ἡμέρᾳ ταύτῃ, γέγονας εἰς λαὸν Κυρίῳ τῷ θεῷ σου, καὶ εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ θεοῦ σου, καὶ ποιήσεις πάσας τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, ἃ ἐγὼ ἐντέλλομαί σοι σήμερον. καὶ ἐνετείλατο μωϋσῆς τῷ λαῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· οὗτοι στήσονται εὐλογεῖν τὸν λαὸν ἐπὶ ὄρει γαριζείν, διαβαίνοντος τὸν Ἰορδάνην, συμεὼν, λευΐ, ἰούδας, ἰσσάχαρ, ἰωσὴφ καὶ βενιαμείν. καὶ οὗτοι στήσονται ἐπὶ τῆς κατάρας ἐπὶ ὄρει γαιβάλ, ῥουβὴλ, γάδ καὶ ἀσὴρ, ζαβουλὼν, δάν, καὶ νεφθαλείμ. καὶ ἀποκριθήσονται οἱ Λευῖται παντὶ Ἰσραὴλ φωνῇ μεγάλῃ, ἐπικατάρατος ἄνθρωπος ὃς ἂν ποιήσει γλυπτὸν καὶ χωνευτόν, βδέλυγμα Κυρίῳ, ἔργον χειρῶν τεχνίτου, καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς ἐρεῖ, γένοιτο. ἐπικατάρατος ὁ ἀτιμάζων πατέρα αὐτοῦ, ἢ μητέρα αὐτοῦ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο. ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο. ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο. ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν προσηλύτου, καὶ ὀρφανοῦ, καὶ χήρας. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο. ἐπικατάρατος ὁ κοιμώμενος μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ, ὅτι ἀπεκάλυψε συγκάλυμμα τοῦ πατρὸς αὐτοῦ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο. ἐπικατάρατος ὁ κοιμώμενος μετὰ παντὸς κτήνους. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο. ἐπικατάρατος ὁ κοιμώμενος μετὰ ἀδελφῆς ἐκ πατρὸς αὐτοῦ, ἢ ἐκ μητρὸς αὐτοῦ, καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

γένοιτο. ὦν κατάρατος ὁ κοιμώμενος μετὰ γυναικὸς αὐτοῦ. καὶ ἐροῦσι πᾶς ὁ λαός, γένοιτο. ὦν κατάρατος ὁ τύπτων τὸν πλησίον δόλῳ. καὶ ἐροῦσι πᾶς ὁ λαός, γένοιτο. ὦν κατάρατος ὃς ἂν λάβῃ δῶρα πατάξαι ψυχὴν αἵματος ἀθῴου. καὶ ἐροῦσι πᾶς ὁ λαός, γένοιτο. ὦν καταράτος πᾶς ἄνθρωπος ὃς τις οὐκ ἐμμένει πᾶσι τοῖς λόγοις τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτούς. καὶ ἐροῦσι πᾶς ὁ λαός, γένοιτο.

ΚΕΦΑΛ. κή'. 28.

ΚΑὶ ἔσται ὡς ἂν ἀκοῇ ἀκούσητε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, καὶ δώσει σε κύριος ὁ θεός σου ὑπερανώτερα πάντων τῶν ἐθνῶν τῆς γῆς, καὶ ἥξουσιν ἐπὶ σὲ πᾶσαι αἱ εὐλογίαι αὗται, καὶ εὑρήσουσί σε. ἐὰν ἀκοῇ εἰσακούσῃ τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου, εὐλογημένος σὺ ἐν πόλει, καὶ εὐλογημένος σὺ ἐν ἀγρῷ, εὐλογημένα τὰ ἔγγονα τῆς κοιλίας σου, καὶ τὰ γενήματα τῆς γῆς σου, καὶ τὰ βασκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου, εὐλογημένα αἱ ἀποθῆκαί σου, τὰ ἐγκαταλείμματά σου, εὐλογημένος σὺ ἐν τῇ εἰσπορεύεσθαί σε, καὶ εὐλογημένος σὺ ἐν τῇ ἐκπορεύεσθαί σε. παραδῷ σοι κύριος ὁ θεός σου τοὺς ἐχθρούς σου τοὺς ἀνθεστηκότας σοι, συντετριμμένους πρὸ προσώπου σου. ὁδῷ μιᾷ ἐξελεύσονται πρὸς σέ, καὶ ἐν ἑπτὰ ὁδοῖς φεύξονται ἀπὸ προσώπου σου. ἀφελεῖται κύριος ἐπὶ σὲ τὴν εὐλογίαν ἐν τοῖς ταμείοις σου, καὶ ἐν πᾶσιν ὅσα ἂν ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι, εὐλογῆσαί σε κύριος ὁ θεός σου ἐπὶ τοῦ λαοῦ ἁγίου, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου. Ἐὰν εἰσακούσῃς τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου, καὶ πορεύσῃ ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὄψονταί σε πάντα τὰ ἔθνη τῆς γῆς, ὅτι τὸ ὄνομα κυρίου ἐπικέκληταί σοι, καὶ φοβηθήσονταί σε. καὶ πλουτιεῖ σε κύριος ὁ θεός σου, εἰς ἀγαθά, ἐπὶ τοῖς ἐκγόνοις τῆς κοιλίας σου, καὶ ἐπὶ τοῖς ἐκγόνοις τῶν κτηνῶν σου, καὶ ἐπὶ τοῖς γενήμασι τῆς γῆς σου, ἐπὶ τῆς γῆς σου ἧς ὤμοσε κύριος τοῖς πατράσι σου δοῦναί σοι. ἀνοίξει σοι κύριος τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθὸν, τὸν οὐρανὸν δοῦναι τὸν ὑετὸν τῇ γῇ σου ἐν καιρῷ αὐτοῦ. εὐλογῆσαι πάντα τὰ ἔργα τῶν χειρῶν σου, καὶ δανιεῖς ἔθνεσι πολλοῖς, σὺ δὲ οὐ δανιεῖ. καὶ ἄρξεις σὺ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσι. καταστήσαι σε κύριος ὁ θεός σου εἰς κεφαλήν, καὶ οὐκ εἰς οὐράν, καὶ ἔσῃ τότε ἐπάνω, καὶ οὐκ ἔσῃ κάτω κάτω. ἐὰν εἰσακούσῃς τῶν ἐντολῶν κυρίου τοῦ θεοῦ σου, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, φυλάσσειν καὶ ποιεῖν, οὐ παραβήσῃ ἀπὸ πάντων τῶν λόγων ὧν ἐγὼ ἐντέλλομαί σοι σήμερον, δεξιὰ ἢ ἀριστερά, πορεύεσθαι ὀπίσω θεῶν ἑτέρων λατρεύειν αὐτοῖς. καὶ ἔσται ἐὰν μὴ εἰσακούσῃς τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐλεύσονταί ἐπὶ σὲ πᾶσαι αἱ κατάραι αὗται, καὶ καταλήψονταί σε. ἐπικατάρατος σὺ ἐν πόλει, καὶ ἐπικατάρατος σὺ ἐν ἀγρῷ, ἐπικατάρατοι αἱ ἀρθῆναί σε, καὶ τὰ ἐγκαταλείμματά σε, ἐπικατάρατα τὰ ἔκγονα τῆς κοιλίας σε, καὶ τὰ γενήματα τῆς γῆς σε, τὰ βασκόλια τῶν βοῶν σε, καὶ τὰ ποίμνια τῶν προβάτων σε, ἐπικατάρατος σὺ ἐν τῇ εἰσπορεύεσθαί σε, καὶ ἐπικατάρατος σὺ ἐν τῇ ἐκπορεύεσθαί σε. ἐξαποστέλλαι κύριος σοὶ τὴν ἔνδειαν, καὶ τὴν ἐκλιμίαν, καὶ τὴν ἀνάλωσιν ἐπὶ πάντα, ὅ ἐὰν ἐπιβάλλῃς τὴν χεῖρά σου, ὅσα ἂν ποιήσῃς ἕως ἂν ἐξολεθρεύσῃ σε, καὶ ἕως ἂν ἀπολέσῃ σε ἐν ταχει, διὰ τὰ πονηρὰ ἐπιδιαβουλήματά σου, διότι ἐγκατέλιπές με. προσκολλήσαι κύριος εἰς σὲ τὸν θάνατον, ἕως ἂν ἐξαναλώσῃ σε ἀπὸ τῆς γῆς, εἰς ἣν σὺ εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. πατάξαι σε κύριος ἀφορίᾳ, καὶ πυρετῷ, καὶ ῥίγει, καὶ ὀρθισμῷ καὶ φόνῳ, καὶ ἀνομορφοσίᾳ, καὶ πῇ ὠχρίᾳ. καὶ καταδιώξονταί σε, ἕως ἂν ἀπολέσωσί σε. καὶ ἔσαι ὁ οὐρανός ὁ ὑπὲρ κεφαλῆς σε χαλκοῦς, καὶ ἡ γῆ ἡ ὑπὸ κάτω σε σιδηρᾶ. δώσει κύριος τὸν ὑετὸν τῆς γῆς σε κονιορτὸν, καὶ χοῦς ἐκ τοῦ οὐρανοῦ καταβήσεται ἐπὶ σὲ, ἕως ἂν ἐκτρίψῃ σε, καὶ ἕως ἂν ἀπολέσῃ σε. δώσει σε κύριος ἐπὶ πτῶμα ἐναντίον τῶν ἐχθρῶν σε. ἐν ὁδῷ μιᾷ ἐξελεύσῃ πρὸς αὐτούς, καὶ ἐν ἑπτὰ ὁδοῖς φεύξῃ ἀπὸ προσώπου αὐτῶν, καὶ ἔσῃ εἰς διασπορὰν ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς. καὶ ἔσονται οἱ νεκροί ὑμῶν καταβρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ οὐκ ἔσαι ὁ ἀποσοβῶν. πατάξαι σε κύριος ἐν ἕλκει αἰγυπτίῳ εἰς τὰς ἕδρας, καὶ ψώρᾳ ἀγρίᾳ, καὶ λιμῷ, ὥστε μὴ δύνασθαί σε ἰαθῆναι. πατάξαι σε κύριος πτώσει πλημμελείᾳ, καὶ ἀφορασίᾳ, καὶ ἐκστάσει διανοίας, καὶ ἔσῃ ψηλαφῶν μεσημβρίας, ὡσεὶ ψηλαφήσαι ὁ τυφλὸς ἐν σκότει. καὶ οὐκ εὐοδώσεις τὰς ὁδούς σου, καὶ ἔσῃ τότε ἀδικούμενος, καὶ διαρπαζόμενος πάσας τὰς ἡμέρας, καὶ οὐκ ἔσαι σοι ὁ βοηθῶν. γυναῖκα λήψῃ, καὶ ἀνὴρ ἕτερος ἕξει αὐτήν. οἰκίαν οἰκοδομήσεις, καὶ οὐ κατοικήσεις ἐν αὐτῇ. ἀμπελῶνα φυτεύσεις, καὶ οὐ μὴ τρυγήσεις αὐτόν. ὁ μόσχος σου διεφθαρμένος ἐνώπιόν σου, καὶ οὐ φάγῃ ἐξ αὐτοῦ. ὁ ὄνος σου ἡρπαγμένος ἀπὸ σοῦ, καὶ οὐκ ἀποδοθήσεταί σοι. τὰ πρόβατά σου δεδομένα τοῖς ἐχθροῖς σε, καὶ οὐκ ἔσαι σοι ὁ βοηθῶν. οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου δεδομέναι ἔθνει ἑτέρῳ, καὶ οἱ ὀφθαλμοί σου ὄψονται σφακελίζοντες εἰς αὐτά, καὶ οὐκ ἰσχύσει ἡ χείρ σε. τὰ ἐκφόρια τῆς γῆς σε, καὶ πάντας τοὺς πόνους σε, φάγεται

εὐλογίαι

κατάραι

ἔθνη ὃ οὐκ ἐπίστασαι, ⸂οὐδὲ ἔσῃ ἀπολιπόμενος καὶ τεταραγμένος ἐπὶ πάσας τὰς ἡμέρας, καὶ ἔσῃ παροιμία καὶ⸃
σκῶμμα ἐν πᾶσι τοῖς ἔθνεσιν, οἷς ἂν ἀπαγάγῃ κύριος ἐκεῖ σε. λίθον πολὺν ἐξοίσεις εἰς τὸ πεδίον, καὶ ὀλίγα εἰσοίσεις, ὅτι
κατεδήσατο αὐτὰ ἡ ἀκρίς. ἀμπελῶνα φυτεύσεις, καὶ κατεργᾶ, καὶ οἶνον οὐ πίεσαι, οὐδὲ δύφρανθήσῃ ἐξ αὐτοῦ, ὅτι
κατεφάγεται αὐτὰ ὁ σκώληξ. ἐλαῖαι ἔσονταί σοι ἐν πᾶσι τοῖς ὁρίοις σου, καὶ ἔλαιον οὐ χρίσῃ, ὅτι ὀκνηρὸν ἔσται
ἡ ἐλαία σου. υἱὸς καὶ θυγατέρας γεννήσεις, καὶ οὐκ ἔσονταί σοι, ἀπελεύσονται γὰρ ἐν αἰχμαλωσίᾳ. πάντα τὰ ξύλινά σου καὶ τὰ γενήματα τῆς γῆς σου ἐξαναλώσει ἡ ἐρυσίβη. ὁ προσήλυτος ὃς ἔσται ἐν σοί, ἀναβήσεται ἐπὶ σὲ ἄνω ἄνω, σὺ δὲ καταβήσῃ
κάτω κάτω. ὃς οὐ δανείσει σοι, σὺ δὲ τούτῳ δανείσεις. ὃς ἔσται εἰς κεφαλήν, σὺ δὲ ἔσῃ
εἰς οὐράν. καὶ ἐλεύσονται ἐπὶ σὲ πάσαι αἱ κατάραι αὗται, καὶ καταδιώξονταί σε, καὶ καταλή-
ψονταί σε, ἕως ἂν ἐξολεθρεύσῃ σε, καὶ ἕως ἂν ἀφανίσῃ σε, ὅτι οὐκ εἰσήκουσας τῆς φωνῆς κυρίου τοῦ
θεοῦ σου, τοῦ φυλάσσεσθαι τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐνετείλατό σοι. καὶ
ἔσαι ἐν σοὶ σημεῖα, καὶ τέρατα, καὶ ἐν τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος, ἀνθ' ὧν οὐκ ἐλάτρευ-
σας κυρίῳ τῷ θεῷ σου, ἐν εὐφροσύνῃ καὶ ἐν ἀγαθῇ καρδίᾳ, διὰ τὸ πλῆθος πάντων. καὶ λατρεύ-
σεις τοῖς ἐχθροῖς σου οὓς ἐπαποστελεῖ κύριος ὁ θεός σου ἐπὶ σὲ ἐν λιμῷ καὶ ἐν δίψει, καὶ ἐν γυμνό-
τητι, καὶ ἐν ἐνδείᾳ παντῶν, καὶ ὑποθήσει κλοιὸν σιδηροῦν ἐπὶ τὸν τράχηλόν σου, ἕως ἂν ἐξολεθρεύ-
σῃ σε. καὶ ἐπάξει ἐπὶ σὲ κύριος ἔθνος μακρόθεν ἀπ' ἐσχάτου τῆς γῆς, ὡσεὶ ὁρμῆμα ἀετοῦ, ἔθνος
ὃ οὐκ ἀκούσῃ τῆς φωνῆς αὐτῶν, ἔθνος ἀναιδὲς προσώπῳ, ὅστις ὁ θαυμάσει πρόσωπον πρεσβυτέ-
ρου, καὶ νέον οὐκ ἐλεήσει, καὶ κατέδεται τὰ ἔκγονα τῶν κτηνῶν σου, καὶ τὰ γενήματα τῆς γῆς σου, ὥς
τε μὴ καταλιπεῖν σοι σῖτον, οἶνον, ἔλαιον, τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβά-
των σου, ἕως ἂν ἀπολέσῃ σε, καὶ ἐκβάλῃ σε ἐν πάσαις ταῖς πόλεσί σου, ἕως ἂν καθαιρεθῶσι τὰ
τείχη σου τὰ ὑψηλά, καὶ τὰ ὀχυρά, ἐφ' οἷς σὺ πέποιθας ἐπ' αὐτοῖς, ἐν πάσῃ τῇ γῇ σου. καὶ θλί-
ψει σε ἐν πάσαις ταῖς πόλεσί σου, αἷς ἔδωκέ σοι κύριος ὁ θεός σου. ⸂καὶ φαγῇ τὰ ἔκγονα τῆς κοι-
λίας σου, κρέα υἱῶν σου, καὶ θυγατέρων σου, ἃ ἔδωκέ σοι κύριος ὁ θεός σου, ἐν τῇ συνοχωρίᾳ σου, καὶ⸃
ἐν τῇ θλίψει, ᾗ θλίψει σε ὁ ἐχθρός σου. ὁ ἁπαλὸς ἐν σοὶ, καὶ ὁ τρυφερὸς σφόδρα, βασκανιεῖ τοῦ
ὀφθαλμῷ αὐτοῦ τὸν ἀδελφὸν αὐτοῦ, καὶ τὴν γυναῖκα τὴν ἐν τοῦ κόλπου αὐτοῦ, καὶ τὰ καταλε-
λειμμένα τέκνα, ἃ ἂν καταλίφθῃ αὐτοῦ, ὥς τι δοῦναι ἑνὶ αὐτῶν ἀπὸ τῶν σαρκῶν τῶν τέκνων αὐ-
τοῦ, ὧν ἂν καταφάγῃ, διὰ τὸ μὴ καταλειφθῆναι αὐτῷ μηδὲν ἐν τῇ συνοχωρίᾳ καὶ ἐν τῇ θλίψει
σου, ᾗ ἂν θλίψωσί σε οἱ ἐχθροί σου ἐν πάσαις ταῖς πόλεσί σου. καὶ ἡ ἁπαλὴ ἐν ὑμῖν καὶ ἡ τρυφερὰ
σφόδρα, ἥν ἐχεῖρα ἔλαβον οἱ πόδες αὐτῆς βαίνειν ἐπὶ τῆς γῆς, διὰ τὴν τρυφερότητα, καὶ διὰ
τὴν ἁπαλότητα, βασκανιεῖ τοῦ ὀφθαλμῷ αὐτῆς τὸν ἄνδρα αὐτῆς τὸν ἐν τῷ κόλπῳ αὐτῆς, καὶ
τὸν υἱὸν καὶ τὴν θυγατέρα αὐτῆς, καὶ τὸ κόριον αὐτῆς, τὸ ἐξελθὸν διὰ τῶν μηρῶν αὐτῆς, καὶ τὸ τέ-
κνον αὐτῆς ὃ ἐὰν τέκῃ. καταφάγεται γὰρ αὐτὰ, διὰ τὴν ἔνδειαν πάντων κρυφῇ ἐν τῇ συνο-
χωρείᾳ καὶ ἐν τῇ θλίψει, ᾗ θλίψει σε ὁ ἐχθρός σου ἐν πάσαις ταῖς πόλεσί σου, ἐὰν μὴ εἰσακούσητε πα-
ὶ πάντα τὰ ῥήματα τοῦ νόμου τούτου, τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. φοβεῖσθαι τὸ ὄνομα
τὸ ἔντιμον καὶ τὸ θαυμαστὸν τοῦτο, κύριον τὸν θεόν σου, καὶ θαυμάσει κύριος τὰς πληγάς σου
καὶ τὰς πληγὰς τοῦ σπέρματός σου, πληγὰς μεγάλας καὶ θαυμαστάς, καὶ νόσους πονηρὰς καὶ πιστάς,
καὶ ἐπιστρέψει ἐπὶ σὲ πᾶσαν τὴν ὀδυνίαν αἰγύπτου, τὴν πονηράν, ἣν ὀδυνᾶσθε ἀπὸ προσώπου
αὐτῶν, καὶ κολληθήσονται ἐν σοί. καὶ πᾶσαν μελαχίαν, καὶ πᾶσαν πληγὴν τὴν μὴ γεγραμμέ-
νην, καὶ πᾶσαν τὴν γεγραμμένην ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, ἐπαγάγει κύριος ἐπὶ σὲ, ἕως
ἂν ἐξολεθρεύσῃ σε, καὶ καταλειφθήσεσθε ἐν ἀριθμῷ βραχεῖ, ἀνθ' ὧν ὅτι ὡσεὶ τὰ ἄστρα τοῦ
οὐρανοῦ εἰς πλῆθος, ὅτι οὐκ εἰσηκούσατε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν. καὶ ἔσται, ὃν τρόπον εὐ-
φράνθη κύριος ἐφ' ὑμῖν, εὖ ποιῆσαι ὑμᾶς, καὶ πληθῦναι ὑμᾶς, οὕτως εὐφρανθήσεται κύριος
ἐφ' ὑμῖν ἐξολεθρεῦσαι ὑμᾶς, καὶ ἐξαρθήσεσθε ἀπὸ τῆς γῆς εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ,
κληρονομῆσαι αὐτήν. καὶ διασπερεῖ σε κύριος ὁ θεός σου εἰς πάντα τὰ ἔθνη, ἀπ' ἄκρου τῆς
γῆς ἕως ἄκρου αὐτῆς, καὶ δουλεύσεις ἐκεῖ θεοῖς ἑτέροις, ξύλοις καὶ λίθοις, οἷς οὐκ ἠπίστω σὺ καὶ
οἱ πατέρες σου. ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν ἐκείνοις οὐκ ἀναπαύσει σε, οὐδὲ οὐ μὴ γένηται σωτη-
ρία τῷ ἴχνει τοῦ ποδός σου. καὶ δώσει σοι κύριος ἐκεῖ καρδίαν ἀθυμοῦσαν, καὶ ἐκλείποντας ὀ-
φθαλμούς, καὶ τηκομένην ψυχήν, καὶ ἔσαι ἡ ζωὴ σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν σου,
καὶ φοβηθήσῃ ἡμέρας καὶ νυκτὸς, καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου. πρωὶ ἐρεῖς, πῶς ἂν γένοιτο
ἑσπέρα; καὶ τὸ ἑσπέρας ἐρεῖς, πῶς ἂν γένοιτο πρωί; ἀπὸ τοῦ φόβου τῆς καρδίας σου οὗ φοβηθή-
σῃ, καὶ ἀπὸ τῶν ὁραμάτων τῶν ὀφθαλμῶν σου ὧν ὄψει, καὶ ἀποστρέψει σε κύριος ὁ θεὸς εἰς αἴ-

γυπτον

γυπῶν γὴ πλοίοις, καὶ γὴ πῇ ὁδῷ, ἃ εἶπε τ προσθήσειν ἔτι ἰδεῖν αὐτοῖς. καὶ πραθήσεσθε ἐκεῖ τοῖς ἐχθροῖς ὑμῶν, εἰς παῖδας καὶ εἰς παιδίσκας, καὶ οὐκ ἔσαι ὁ ἀγοράζων. οὗτοι οἱ λόγοι τ διαθήκης ἧς ἐνετείλατο κύριος τῷ μωϋσεῖ, σῆσαι τοῖς υἱοῖς ἰσραὴλ γὴ τῇ γῇ μωάβ, πλὴν τῆς διαθήκης, ἧς διέθετο αὐτοῖς γὴ χωρήβ.

ΚΕΦΑΛ. κθ'. 29.

ΚΑΙ ἐκάλεσε μωϋσῆς πάντας τοὺς υἱοὺς ἰσραὴλ, καὶ εἶπε πρὸς αὐτούς· ὑμεῖς ἑωράκατε πάντα ὅσα ἐποίησε κύριος ὁ θεὸς ὑμῶν γὴ γῇ αἰγύπτου, γὼ πρὸ ὑμῶν, φαραὼ, καὶ πᾶσι τοῖς θεράπουσιν αὐτοῦ, καὶ πάσῃ τῇ γῇ αὐτοῦ, τοὺς πειρασμοὺς τοὺς μεγάλους, οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου, τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα ἐκεῖνα, τὴν χεῖρα τὴν κραταιὰν, καὶ τὸν βραχίονα τὸν ὑψηλόν. καὶ οὐκ ἔδωκε κύριος ὁ θεὸς ὑμῖν καρδίαν εἰδέναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν ἕως τῆς ἡμέρας ταύτης. καὶ ἤγαγον ὑμᾶς τεσσαράκοντα ἔτη γὴ τῇ ἐρήμῳ, οὐκ ἐπαλαιώθη τὰ ἱμάτια ὑμῶν, καὶ τὰ ὑποδήματα ὑμῶν οὐ κατετρίβη ἀπὸ τῶν ποδῶν ὑμῶν, ἄρτον οὐκ ἐφάγετε, οἶνον καὶ σίκερα οὐκ ἐπίετε, ἵνα γνῶτε, ὅτι οὕτως κύριος ὁ θεὸς ὑμῶν. καὶ ἤλθετε ἕως τοῦ τόπου τούτου, καὶ ἐξῆλθε σηὼν βασιλεὺς ἐσεβὼν, καὶ ὢγ βασιλεὺς τ βασαὶ, εἰς συναντησιν ἡμῖν γὴ πολέμῳ, καὶ ἐπατάξαμεν αὐτοὺς γὴ τῷ πολέμῳ, καὶ ἐλάβομεν τὴν γῆν αὐτῶν, καὶ ἔδωκα αὐτὴν γὴ κληρῳ τοῖς ῥουβὶ καὶ γαδδί, καὶ τῷ ἡμίσει φυλῆς μανασσῆ. καὶ φυλάξεσθε ποιεῖν πάντας τοὺς λόγους τ διαθήκης ταύτης, ποιεῖν αὐτούς, ἵνα σωθῆτε πάντα ὅσα ἐποιήσατε. ὑμεῖς ἑστήκατε πάντες σήμερον ἔναντι κυρίου τ θεοῦ ὑμῶν, οἱ ἀρχίφυλοι ὑμῶν, καὶ ἡ γερουσία ὑμῶν, καὶ οἱ κριταὶ ὑμῶν, καὶ οἱ γραμματοεισαγωγεῖς ὑμῶν. πᾶς ἀνὴρ ἰσραὴλ, καὶ αἱ γυναῖκες ὑμῶν, καὶ τὰ τέκνα ὑμῶν, καὶ ὁ προσήλυτος ὁ γὴ μέσῳ τ παρεμβολῆς ὑμῶν, ἀπὸ ξυλοκόπου ὑμῶν, ἕως ὑδροφόρου ὑμῶν, παρελθεῖν γὴ τῇ διαθήκῃ κυρίου τοῦ θεοῦ σου, καὶ γὴ ταῖς ἀραῖς αὐτοῦ, ἃς κύριος ὁ θεὸς σου διατίθεται πρὸς σὲ σήμερον, ἵνα στήσῃ σε ἑαυτῷ εἰς λαόν, καὶ αὐτὸς ἔσαι σου θεός, ὃν τρόπον εἶπέ σοι, καὶ ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακώβ. καὶ οὐχ ὑμῖν μόνοις ἐγὼ διατίθεμαι τὴν διαθήκην ταύτην, καὶ τὴν ἀρὰν ταύτην, ἀλλὰ καὶ τοῖς ὧδε οὖσι μεθ' ὑμῶν σήμερον γέναντι κυρίου τοῦ θεοῦ ὑμῶν, καὶ τοῖς μὴ οὖσι μεθ' ὑμῶν ὧδε σήμερον, ὅτι ὑμεῖς οἴδατε ὡς κατῳκίσαμεν γὴ γῇ αἰγύπτῳ, καὶ ὡς παρήλθομεν γὰ μέσῳ τῶν ἐθνῶν οὓς παρήλθετε, καὶ εἴδετε τὰ βδελύγματα αὐτῶν, καὶ τὰ εἴδωλα αὐτῶν, ξύλον καὶ λίθον, ἀργύριον καὶ χρυσίον, ἃ ἦσι παρ' αὐτοῖς. μήτις ἔσαι γὰ ὑμῖν ἀνὴρ ἢ γυνὴ, ἢ πατριὰ, ἢ φυλὴ ἐν ὑμῖν, ἢ διανοια ἐξ ἐκκλινουσα ἀπὸ κυρίου τοῦ θεοῦ ὑμῶν, πορεύεσθαι λατρεύειν τοῖς θεοῖς τῶν ἐθνῶν ἐκείνων, μήτις ἔσιν γὰ ὑμῖν ῥίζα ἄνω φύουσα, γὰ χολῇ καὶ πικρίᾳ. καὶ ἔσαι ἐὰν ἀκούσῃ τὰ ῥήματα τ ἀρᾶς ταύτης, καὶ εὐφημίσηται γὰ τῇ καρδίᾳ αὐτοῦ λέγων· ὅσαι μοι γένοιτο, ὅτι γὰ τῇ ἀπλανήσει τῆς καρδίας μου πορεύομαι, ἵνα μὴ συναπολέσῃ ὁ ἁμαρτωλὸς τὸν ἀναμάρτητον, οὐ μὴ θελήσει ὁ θεὸς σύλαστεύειν αὐτῷ, ἀλλ' ἢ τότε ἐκκαυθήσεται ὀργὴ κυρίου, καὶ ὁ ζῆλος αὐτοῦ γὰ τῷ ἀνθρώπῳ ἐκείνῳ, καὶ κολληθήσονται γὰ αὐτῷ πᾶσαι αἱ ἀραὶ τ διαθήκης ταύτης, αἱ γεγραμμέναι γὰ τῷ βιβλίῳ τοῦ νόμου τούτου, καὶ ἐξαλείψει κύριος τὸ ὄνομα αὐτοῦ ἐκ τ ὑπὸ τὸν οὐρανὸν, καὶ διασελεῖ αὐτὸν κύριος εἰς κακὰ, ἐκ πάντων τῶν υἱῶν ἰσραὴλ, κατὰ πάσας τὰς ἀρὰς τῆς διαθήκης τῆς γεγραμμένης γὰ τῷ βιβλίῳ τοῦ νόμου τούτου. καὶ ὀροῦσιν, ἡ γενεὰ ἡ ἑτέρα, οἱ υἱοὶ ὑμῶν, οἳ ἀναστήσονται μεθ' ὑμᾶς, καὶ ὁ ἀλλότριος ὃς ἀπ' ἐλθῃ ἐκ γῆς μακρόθεν. καὶ ὄψονται τὰς πληγὰς τῆς γῆς ἐκείνης, καὶ τὰς νόσους αὐτῆς, ἃς ἀπέστειλε κύριος ἐπ' αὐτοῖς, θεῖον καὶ ἅλας κατακεκαυμένον. πᾶσα ἡ γῆ αὐτῆ οὐ σπαρήσεται, οὐδὲ ἀνατελεῖ, οὐδὲ μὴ ἀναβῇ ἐπ' αὐτῆς πᾶν χλωρόν, ὡσπερ κατεστράφη σόδομα καὶ γόμορρα, ἀδαμὰ καὶ σεβωείμ, ἃς κατέστρεψε κύριος γὰ θυμῷ καὶ ὀργῇ αὐτοῦ. καὶ ἐροῦσι πάντα τὰ ἔθνη, διατί ἐποίησε κύριος οὕτω τῇ γῇ ταύτῃ; τίς ὁ θυμὸς τ ὀργῆς ὁ μέγας οὗτος; καὶ ἐροῦσιν· ὅτι κατέλιπον τὴν διαθήκην κυρίου τοῦ θεοῦ τῶν πατέρων αὐτῶν, ἣν διέθετο τοῖς πατράσιν αὐτῶν, ὅτε ἐξήγαγον αὐτοὺς ἐκ γῆς αἰγύπτου, καὶ πορευθέντες ἐλάτρευσαν θεοῖς ἑτέροις, καὶ προσεκύνησαν αὐτοῖς, οἷς οὐκ ἠπίσαντο, οὐδὲ διέστειλεν αὐτοῖς. καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὴν γῆν ἐκείνην, ἐπαγαγεῖν ἐπ' αὐτὴν καὶ πάσας τὰς ἀρὰς τ διαθήκης, τὰς γεγραμμένας γὰ τῷ βιβλίῳ τ νόμου τούτου, καὶ ἐξῆρεν αὐτοὺς κύριος ἀπὸ τ γῆς αὐτῶν γὰ θυμῷ καὶ ὀργῇ καὶ παροξυσμῷ μεγάλῳ σφόδρα, καὶ ἐξέβαλεν αὐτοὺς εἰς γῆν ἑτέραν ὡσεὶ νυῦ. τὰ κρυπτὰ κυρίῳ τῷ θεῷ ὑμῶν, τὰ δὲ φανερὰ ὑμῖν καὶ τοῖς τέκνοις ὑμῶν εἰς τ αἰῶνα, ποιεῖν πάντα τὰ ῥήματα τοῦ νόμου τούτου.

ΚΕΦΑΛ. λ'. 30.

ΚΑΙ ἔσαι ὡς ἂν εἰσέλθωσιν ἐπὶ σὲ πάντα τὰ ῥήματα τοῦτα, ἡ εὐλογία καὶ ἡ κατάρα, ἣν δέδωκα πρὸ προσώπου σου, καὶ δέξῃ εἰς τὴν καρδίαν σου γὰ πᾶσι τοῖς ἔθνεσιν, ὃ ἐὰν διασκορπίσῃ σε κύριος ὁ θεός σε ἐκεῖ, καὶ ἐπιστραφήσῃ ἐπὶ κύριον τ θεόν σε, καὶ ὑπακούσῃ

τῆς φω-

ϛ φωνῆς αὐτοῦ κατὰ πάντα ὅσα ἐγὼ ϛντέλλομαί σοι σήμερον, ἀϛ ὅλης ϛ καρδίας σου, καὶ ἀϛ ὅλης ϛ ψυχῆς σου, καὶ ἱσωσεται κύριος τὰς ἁμαρτίας σου, καὶ ἐλεήσει σε, καὶ πάλιν συναξει σε ἐκ πάντων τῶν ἐθνῶν, εἰς οὓς διεσκόρπισε κύριος ὁ θεός σου ἐκεῖ. ἐὰν ἡ ἡ διασπορά σου ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε κύριος ὁ θεός σου, καὶ ἐκεῖθεν λήψεταί σε, καὶ σώσει σε κύριος ὁ θεός σου εἰς τὴν γῆν ἣν ἐκληρονόμησαν οἱ πατέρες σου, καὶ κληρονομήσεις αὐτήν, καὶ εὖ σε ποιήσει, καὶ πληθυνάσει σε ὑπὲρ τοὺς πατέρας σου. καὶ περικαθαριεῖ κύριος τὴν καρδίαν σου, καὶ τὴν καρδίαν τοῦ σπέρματός σου, ἀγαπᾶν κύριον τὸν θεόν σου, ἀϛ ὅλης ϛ καρδίας σου, καὶ ἀϛ ὅλης ϛ ψυχῆς σου, ἵνα ζῶσης σύ· καὶ δώσει κύριος ὁ θεός σου τὰς ἀρὰς ταύτας ἐπὶ τοὺς ἐχθρούς σου, καὶ ἐπὶ τοὺς μισοῦντάς σε, οἳ ἐδίωξάν σε. καὶ σὺ ὑπόστρεψον, καὶ εἰσακούσῃ ϛ φωνῆς κυρίου τοῦ θεοῦ σου, καὶ ποιήσεις τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ϛντέλλομαί σοι σήμερον, καὶ πολυωρήσει σε κύριος ὁ θεός σου, ϛ παντὶ ἔργῳ τῶν χειρῶν σου, ϛ τοῖς ἐκγόνοις ϛ κοιλίας σου, καὶ ϛ τοῖς ἐκγόνοις τῶν κτηνῶν σου, καὶ ϛ τοῖς γενήμασιν ϛ γῆς σου, ὅτι ὑποστρέψει κύριος ὁ θεός σου εὐφραινθῆναι ἐπὶ σὲ εἰς ἀγαθά, καθότι εὐφράνθη ἐπὶ τοῖς πατράσι σου, ἐὰν εἰσακούσῃς ϛ φωνῆς κυρίου τοῦ θεοῦ σου, φυλάσσεσθαι καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς κρίσεις αὐτοῦ, τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου. ἐὰν ὑποστραφῇς ὑπὸ κύριον τὸν θεόν σου ἀϛ ὅλης ϛ καρδίας σου, καὶ ἀϛ ὅλης ϛ ψυχῆς σου, ὅτι ἐντολή αὕτη, ἣν ἐγὼ ϛντέλλομαί σοι σήμερον, οὐχ ὑπερογκός ἐστιν, οὐδὲ μακρὰν ἀπὸ σοῦ ἐστιν, οὐκ ἐν τῷ οὐρανῷ ἐστι λέγων· τίς ἀναβήσεται ἡμῖν εἰς τὸν οὐρανὸν καὶ λήψεται ἡμῖν αὐτήν, καὶ ἀκουστὴν αὐτὴν ποιήσομεν; οὐδὲ πέραν τῆς θαλάσσης ἐστίν, λέγων· τίς διαπεράσεται ἡμῖν εἰς τὸ πέραν ϛ θαλάσσης, καὶ λήψεται ἡμῖν αὐτήν, καὶ ἀκουστὴν αὐτὴν ποιήσομεν; ἐγγύς σου ἐστὶ τὸ ῥῆμα, σφόδρα ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, καὶ ἐν ταῖς χερσί σου ποιεῖν αὐτό. ἰδοὺ δέδωκα πρὸ προσώπου σου σήμερον τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν. ἐὰν δὲ εἰσακούσητε τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ ὑμῶν, ὅσας ἐγὼ ϛντέλλομαί σοι σήμερον, ἀγαπᾶν κύριον τὸν θεόν σου, πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ φυλάσσειν τὰ δικαιώματα αὐτοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰς κρίσεις αὐτοῦ, καὶ ζήσεσθε καὶ πολλοὶ ἔσεσθε, καὶ εὐλογήσει σε κύριος ὁ θεός σου ϛ πάσῃ τῇ γῇ, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. καὶ ἐὰν μεταστῇ καρδία σου, καὶ μὴ εἰσακούσῃς, καὶ πλανηθεὶς προσκυνήσῃς θεοῖς ἑτέροις, καὶ λατρεύσῃς αὐτοῖς, ἀναγγέλλω σοι σήμερον, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε, καὶ ὀλιγοήμεροι γενήσεσθε ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. καὶ ἐὰν μεταστῇ καρδία σου, καὶ μὴ εἰσακούσῃς, καὶ πλανηθεὶς προσκυνήσῃς θεοῖς ἑτέροις, καὶ λατρεύσῃς αὐτοῖς, ἀναγγέλλω σοι σήμερον, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε, καὶ ὀλιγοήμεροι γενήσεσθε ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. διαμαρτύρομαι ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν ζωὴν καὶ τὸν θάνατον, δέδωκα πρὸ προσώπου ὑμῶν τὴν εὐλογίαν καὶ τὴν κατάραν. καὶ ἐκλέξαι τὴν ζωήν, ἵνα ζήσῃς σὺ καὶ τὸ σπέρμα σου, ἀγαπᾶν κύριον τὸν θεόν σου, εἰσακούειν τῆς φωνῆς αὐτοῦ, καὶ ἔχεσθαι αὐτοῦ, ὅτι τοῦτο ἡ ζωή σου, καὶ ἡ μακροημέρευσίς σου, κατοικεῖν ἐπὶ ϛ γῆς ἧς ὤμοσε κύριος τοῖς πατράσι σου, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, δοῦναι αὐτοῖς.

ΚΕΦΑΛ. λά. 31.

Καὶ συνετέλεσε μωϋσῆς λαλῶν πάντας τοὺς λόγους τούτους, πρὸς πάντας υἱοὺς ἰσραήλ, καὶ εἶπε πρὸς αὐτούς· ἑκατὸν κ εἴκοσιἐτῶν ἐγώ εἰμι σήμερον, οὐ δυνήσομαι ἔτι εἰσπορεύεσθαι, καὶ ἐκπορεύεσθαι. κύριος δὲ εἶπε πρός με, οὐ διαβήσῃ τὸν ἰορδάνην τοῦτον. κύριος ὁ θεός σου ὁ προπορευόμενος πρὸ προσώπου σου, αὐτὸς ἐξολεθρεύσει τὰ ἔθνη τοῦτα ἀπὸ προσώπου σου, καὶ κληρονομήσεις αὐτούς, καὶ Ἰησοῦς ὁ προπορευόμενος πρὸ προσώπου σου, καθὰ ἐλάλησε κύριος. καὶ ποιήσει κύριος αὐτοῖς καθὼς ἐποίησε Σηὼν καὶ Ὤγ δυσὶ βασιλεῦσι τῶν Ἀμορραίων, οἳ ἦσαν πρὸ προσώπου τοῦ Ἰορδάνου, καὶ τῆς γῆς αὐτῶν, καθότι ἐξωλόθρευσεν αὐτούς, καὶ παρέδωκεν αὐτοὺς κύριος ἐνώπιον ὑμῶν. καὶ ποιήσετε αὐτοῖς, καθότι ἐνετειλάμην ὑμῖν. ἀνδρίζου καὶ ἔρρωσο, μὴ φοβοῦ, μηδὲ δειλία, μηδὲ πτοηθῇς ἀπὸ προσώπου αὐτῶν, ὅτι κύριος ὁ θεός σου αὐτὸς ὁ προπορευόμενος μεθ' ὑμῶν, οὐ μή σε ἀνῇ, οὐδ' οὐ μή σε ἐγκαταλίπῃ. καὶ ἐκάλεσε μωϋσῆς Ἰησοῦν καὶ εἶπεν αὐτῷ, ἐνώπιον παντὸς ἰσραήλ· ἀνδρίζου καὶ ἔρρωσο, σὺ γὰρ εἰσελεύσῃ πρὸ προσώπου τοῦ λαοῦ τούτου, εἰς τὴν γῆν, ἣν ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς, καὶ σὺ κατακληρονομήσεις αὐτοῖς αὐτήν, καὶ κύριος ὁ συμπορευόμενος μετὰ σοῦ οὐκ ἀνήσῃ σε, οὐδ' ὁ μή σε ἐγκαταλίπῃ, μὴ φοβοῦ, μηδὲ δειλίασε. Ἔγραψε μωϋσῆς πάντα τὰ ῥήματα τοῦ νόμου τούτου εἰς βιβλίον, καὶ ἔδωκε τοῖς ἱερεῦσι τοῖς υἱοῖς λευὶ τοῖς αἴρουσι τὴν διαθήκην κυρίου, καὶ πρὸς πάντας τοὺς πρεσβυτέρους υἱῶν ἰσραήλ. καὶ ἐνετείλατο μωϋσῆς αὐτοῖς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· μετὰ ἑπτὰ ἔτη ἐν καιρῷ ἐνιαυτοῦ τῆς ἀφέσεως, ἐν ἑορτῇ σκηνοπηγίας, ἐν τῷ συμπορεύεσθαι πάντα ἰσραήλ, ὀφθῆναι τῷ προσώπῳ κυρίου τοῦ θεοῦ σου, ἐν τῷ τόπῳ ᾧ ἐξελέξατο κύριος, ἀναγνώσεσθε τὸν νόμον τοῦτον ἐνώπιον παντὸς ἰσραήλ εἰς τὰ ὦτα αὐτῶν· ἐκκλησιάσατε τὸν λαόν, τοὺς ἄνδρας καὶ τὰς γυ-

ναῖκας

κας καὶ τὰ ἐκγονα, καὶ ὁ προσήλυτός σου ὁ ἐν ταῖς πόλεσί σου, ἵν' ἀκούσωσι καὶ ἵνα μά-
θωσι φοβεῖσθαι κύριον τὸν θεὸν ὑμῶν. καὶ ἀκρόσονται, ποιεῖν πάντας τοὺς λόγους τοῦ νόμου τού-
του, καὶ οἱ υἱοὶ αὐτῶν οἱ οὐκ οἴδασιν, ἀκούσονται, καὶ μαθήσονται φοβεῖσθαι κύριον τὸν θεὸν
ὑμῶν πάσας τὰς ἡμέρας, ὅσας αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδά-
νην ἐκεῖ κληρονομῆσαι αὐτήν. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· ἰδοὺ ἐγγίκασιν αἱ ἡμέραι τοῦ
θανάτου σου, κάλεσον τὸν Ἰησοῦν, καὶ στῆτε ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ
ἐντελοῦμαι αὐτῷ. καὶ ἐπορεύθη μωϋσῆς καὶ Ἰησοῦς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἔστη-
σαν ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐλάλησε κύριος τῷ νεφέλῃ, καὶ ἔστη ἐπὶ
τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἔστη ὁ στῦλος τῆς νεφέλης παρὰ τὰς θύρας τῆς σκηνῆς,
καὶ εἶπε κύριος πρὸς μωϋσῆν· ἰδοὺ σὺ κοιμᾶσαι μετὰ τῶν πατέρων σου, καὶ ἀναστὰς ὁ λα-
ὸς ἐκπορνεύσει ὀπίσω θεῶν ἀλλοτρίων τῆς γῆς, εἰς ἣν οὗτος εἰσπορεύεται ἐκεῖ εἰς αὐτήν,
καὶ ἐγκαταλείψουσί με, καὶ διασκεδάσουσι τὴν διαθήκην μου, ἣν διεθέμην αὐτοῖς, καὶ
ὀργισθήσομαι θυμῷ αὐτοῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ καταλείψω αὐτούς, καὶ ἀποστρέψω τὸ πρό-
σωπόν μου ἀπ' αὐτῶν, καὶ ἔσται κατέρωμα. καὶ εὑρήσουσιν αὐτὸν κακὰ πολλὰ καὶ θλίψεις.
καὶ ὀρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, διότι οὐκ ἔστι κύριος ὁ θεός μου ἐν ἡμῖν; εὕρασαί με τὰ κακὰ τού-
τα. ἐγὼ δὲ ἀποστροφῇ ἀποστρέψω τὸ πρόσωπόν μου ἀφ' αὐτῶν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, διὰ πάσας
τὰς κακίας ἃς ἐποίησαν, ὅτι ἐπεστράφησαν εἰς θεοὺς ἀλλοτρίους. καὶ νῦν γράψατε τὰ ῥήματα
τῆς ᾠδῆς ταύτης, καὶ διδάξατε αὐτὴν οὓς υἱοὺς Ἰσραήλ, καὶ ἐμβάλετε αὐτὴν εἰς τὸ στόμα αὐ-
τῶν, ἵνα γένηταί μοι ἡ ᾠδὴ αὕτη, εἰς μαρτύριον ἐν τοῖς υἱοῖς Ἰσραήλ. εἰσάξω γὰρ αὐτοὺς εἰς τὴν
γῆν τὴν ἀγαθήν, εἰς ἣν ὤμοσε τοῖς πατράσιν αὐτῶν, γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ φαγόντων,
καὶ ἐμπλησθέντων καὶ πιανθέντων, καὶ ἐκκλασθήσονται ἐπὶ θεοὺς ἀλλοτρίους, καὶ λατρεύσουσιν αὐτοῖς,
καὶ παροξυνοῦσί με, καὶ διασκεδάσουσι τὴν διαθήκην μου, ἣν διεθέμην αὐτοῖς. καὶ καταλή-
ψεται ἡ ᾠδὴ αὕτη, ἐνώπιον μαρτυρήσει. ὁ γὰρ μνησθήσεται ἐκ σώματος αὐτῶν,
καὶ ἐκ σώματος τοῦ σπέρματος αὐτῶν. ἐγὼ γὰρ οἶδα τὴν πονηρίαν αὐτῶν, ὅσα ποιήσουσιν ἐνώ-
πιόν μου σήμερον, πρὸ τοῦ εἰσαγαγεῖν με αὐτοὺς εἰς τὴν γῆν ἀγαθήν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν.
καὶ ἔγραψε μωϋσῆς τὴν ᾠδὴν ταύτην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἐδίδαξεν αὐτὴν οὓς υἱοὺς Ἰσ-
ραήλ. καὶ ἐνετείλατο μωϋσῆς Ἰησοῦ υἱῷ Ναυῆ, καὶ εἶπεν αὐτῷ· ἀνδρίζου καὶ ἴσχυε, σὺ γὰρ εἰσά-
ξεις οὓς υἱοὺς Ἰσραὴλ εἰς τὴν γῆν ἣν ὤμοσεν αὐτοῖς κύριος, καὶ αὐτὸς ἔσται μετὰ σοῦ. ὡνίκα δὲ
συνετέλεσε μωϋσῆς γράφων πάντας οὓς λόγους τοῦ νόμου τούτου, εἰς βιβλίον ἕως εἰς τέλος,
καὶ ἐνετείλατο τοῖς λευίταις τοῖς αἴρουσι τὴν διαθήκην κυρίου λέγων· λάβετε τὸ
βιβλίον τοῦ νόμου τούτου, θήσετε αὐτὸ ἐκ πλαγίου τῆς διαθήκης κυρίου τοῦ θεοῦ ὑμῶν,
καὶ ἔσται ἐκεῖ ἐν σοὶ εἰς μαρτύριον, ὅτι ἐγὼ ἐπίσταμαι τὴν ὀργήν σου, καὶ τὸν πρακτήριόν σου τὸν
σκληρόν. ἔτι γὰρ ἐμοῦ ζῶντος μεθ' ὑμῶν σήμερον παρεπικραίνοντε ἦτε τὸν θεόν,
πῶς οὐχὶ καὶ ἔχετε τὸ θανάτου μου; ἐκκλησιάσατε πρός με οὓς φυλάρχους ὑμῶν, καὶ οὓς πρόσ-
βυτέρους ὑμῶν, καὶ οὓς κριτὰς ὑμῶν, καὶ οὓς γραμματοεισαγωγεῖς ὑμῶν, ἵνα λαλήσω εἰς τὰ ὦτα
αὐτῶν πάντας οὓς λόγους τούτους, καὶ διαμαρτύρομαι αὐτοῖς τόρτε οὐρανὸν καὶ τὴν γῆν. οἶδα γὰρ
ὅτι ἔπ' ἐσχάτῳ τῆς τελευτῆς μου, ἀνομίας ἀνομήσετε, καὶ ἐκκλινεῖτε ἐκ τῆς ὁδοῦ, ἧς ἐνετειλάμην
ὑμῖν, καὶ συναντήσεται ὑμῖν τὰ κακὰ ἐπ' ἐσχάτῳ τῶν ἡμερῶν, ὅτι ποιήσετε τὸ πονηρὸν ἔναν-
τι κυρίου τοῦ θεοῦ, παροργίσαι αὐτὸν ἐν τοῖς ὀργοῖς τῶν χειρῶν ὑμῶν.

ΚΕΦΑΛ. λβ'. 32.

ΚΑΙ ἐλάλησε μωϋσῆς εἰς τὰ ὦτα πάσης τῆς ἐκκλησίας Ἰσραὴλ τὰ ῥήματα τῆς ᾠδῆς ταύ-
της, ἕως εἰς τέλος· πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός
μου. προσδοκάσθω ὡς ὑετὸς τὸ ἀποφθέγμα μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου,
ὡσεὶ ὄμβρος ἐπὶ ἄγρωσιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον, ὅτι ὄνομα κυρίου ἐκάλεσα. δότε
μεγαλωσύνην τῷ θεῷ ἡμῶν. θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις. θε-
ὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ, δίκαιος καὶ ὅσιος ὁ κύριος. ἡμάρτοσαν οἱ αὐτῷ τέκ-
να μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα τῷ κυρίῳ ἀνταποδίδοτε; ὅτι λαὸς μωρὸς,
καὶ οὐχὶ σοφός. οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατο καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε; μνήσθητε ἡ-
μέρας αἰῶνος, συνίετε ἔτη γενεὰς γενεῶν. ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι,
τοὺς πρεσβυτέρους σου, καὶ ὑποδείξουσί σοι, ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔ-
στησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, καὶ ἐγένηθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ,
σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν διψει καύματος ἐν
αὐύδρῳ. ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν, καὶ διεφύλαξεν αὐτὸν, ὡς κόρην ὀφθαλμοῦ.
ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπωτώσθησε, διεὶς τὰς πτέρυγας
αὐτοῦ, ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ. κύριος μόνος ἦγεν αὐτούς, καὶ
οὐκ ἦν μετ' αὐτοῦ θεὸς ἀλλότριος, ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, ἐψώμισεν αὐτοὺς, γεν-
νήματα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νώματα ἀργῶν ἐθνῶν ἔλασαν μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ σκληρᾶς πέτρας, βόστρυχον βοῶν καὶ γάλα προβάτων, μετὰ στέατος ἀρνῶν καὶ λιπαρῶν, υἱῶν ταύρων καὶ τράγων, μετὰ στέατος νεφρῶν πυρῶν. καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον, καὶ ἔφαγον ἰσχνῶς καὶ ἐνεπλήσθη, καὶ ἀπελακτίσθη ὁ ἠγαπημένος, ἐλιπαάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ. παρώξυναν με ἐπ' ἀλλοτρίοις, ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκραναν με. ἔθυσαν δαιμονίοις καὶ οὐ θεῷ, θεοῖς οἷς οὐκ ᾔδεισαν, καινοὶ καὶ πρόσφατοι ἧκασιν οὓς οὐκ ἤδεισαν οἱ πατέρες αὐτῶν. θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἀπελάθου θεοῦ τοῦ τρέφοντός σε, καὶ ἐπελύπησε κύριος καὶ ἐζήλωσε, καὶ παρώξυνθη διὰ ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων. καὶ εἶπεν· ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω, τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων, ὅτι γενεὰ διεστραμμένη ἐστίν, υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει. ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς, ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτω, καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων. συνάξω εἰς αὐτοὺς κακά, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς. τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονον αἰῶνος. ἐξαποστελῶ εἰς αὐτοὺς θηρίων ἐπαποστελῶ εἰς αὐτούς, μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς. ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων φόβος, νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ ἀνδρὸς πρεσβύτου. εἶπα, σκεδάσω αὐτούς, καταπαύσω δὲ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν, εἰ μὴ διὰ ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσι, καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι. μὴ δὲ εἴπωσιν ἡ χεὶρ ἡμῶν ὑψηλή, καὶ οὐχὶ κύριος ἐποίησε ταῦτα πάντα, ὅτι ἔθνος ἀπολωλεκὸς βουλὴν ἐστὶ, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς σύνεσις, οὐκ ἐφρόνησαν συνιέναι. ταῦτα καταλεξαθώσαν εἰς τὸν ἐπόντα χρόνον. πῶς διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας ἐὰν μὴ ὁ θεὸς ἀποστῇ αὐτούς, καὶ ὁ κύριος παρέδωκεν αὐτούς, ὅτι οὐκ ἔστιν ὁ θεὸς ἡμῶν, ὡς οἱ θεοὶ αὐτῶν. οἱ δὲ ἐχθροὶ ἡμῶν αὐόπται. ἐκ γὰρ ἀμπέλου σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ ἐλπὶς αὐτῶν ἐκ γομόρρας ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς. θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος. οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ' ἐμοί, καὶ ἐσφράγισαι ἐν τοῖς θησαυροῖς μου; ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω ἐν καιρῷ, ὅταν σφαλῇ ὁ πούς αὐτῶν, ὅτι ἐγγὺς ἡ ἡμέρα ἀπωλείας αὐτῶν. καὶ πάρεσιν ἕτοιμα ὑμῖν, ὅτι κύριος κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. εἶδε γὰρ αὐτοὺς παραλελυμένους καὶ ἐκλελοιπότας ἐν ἀπαγωγῇ, καὶ παρειμένους, καὶ ἔστι κύριος· ποῦ εἰσὶν οἱ θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποίθεσαν ἐπ' αὐτοῖς; ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἤσθιετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδίων αὐτῶν; ἀνάστητωσαν καὶ βοηθησάτωσαν ὑμῖν, καὶ γενηθήτωσαν ὑμῖν σκεπασταί. ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ. ἐγὼ ἀποκτενῶ καὶ ζωὴν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃ ἐξελεῖται ἐκ τῶν χειρῶν μου, ὅτι αἴρω εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου, καὶ ὀρῶ· ζῶ ἐγὼ εἰς τὸν αἰῶνα, ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω, μεθύσω τὰ βέλη σου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα, ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν. εὐφράνθητε οὐρανοὶ αἶμα αὐτοῦ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ, ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς αὐτοῦ, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσῃ, καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ. Καὶ ἔγραψε Μωϋσῆς τὴν ᾠδὴν ταύτην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐδίδαξεν αὐτὴν τοὺς υἱοὺς Ἰσραήλ. καὶ εἰσῆλθε Μωϋσῆς πρὸς τὸν λαόν, καὶ ἐλάλησε πάντας τοὺς λόγους τοῦ νόμου τούτου, εἰς τὰ ὦτα τοῦ λαοῦ, αὐτὸς καὶ Ἰησοῦς ὁ τοῦ ναυῆ. καὶ συνετέλεσε Μωϋσῆς λαλῶν τοὺς λόγους τούτους πάντας πρὸς πάντα Ἰσραήλ, καὶ εἶπε πρὸς αὐτούς· προσέχετε τῇ καρδίᾳ ὑμῶν, ἐπὶ πάντας τοὺς λόγους τούτους οὓς ἐγὼ διαμαρτύρομαι ὑμῖν σήμερον, ἃ ἐντελεῖσθε τοῖς υἱοῖς ὑμῶν, φυλάσσειν καὶ ποιεῖν πάντας τοὺς λόγους τοῦ νόμου τούτου, ὅτι οὐχὶ λόγος κενὸς οὗτος ὑμῖν, ὅτι αὕτη ἡ ζωὴ ὑμῶν, καὶ ἕνεκεν τοῦ λόγου τούτου μακροημερεύσετε ἐπὶ τῆς γῆς, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν ἐν τῇ ἡμέρᾳ ταύτῃ λέγων· ἀναβὰς εἰς τὸ ὄρος τὸ Ἀβαρείμ, ὃ ἔστιν ἐν γῇ Μωάβ κατὰ πρόσωπον Ἰεριχώ. καὶ ἴδε τὴν γῆν Χαναὰν ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ εἰς κατάσχεσιν, καὶ τελεύτα ἐν τῷ ὄρει εἰς ὃ ἀναβαίνεις ἐκεῖ, καὶ προσθήσῃ πρὸς τὸν λαόν σου, ὃν τρόπον ἀπέθανεν Ἀαρὼν ὁ ἀδελφός σου ἐν τῷ ὄρει τῷ ὄρει, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. διότι ἠπειθήσατε τῷ ῥήματί μου, ἐν τοῖς ὕδασι Ἰσραὴλ ἐπὶ τοῦ ὕδατος αὐτιλογίας Κάδης ἐν τῇ ἐρήμῳ σὶν. διότι οὐχ ἡγιάσατέ με ἐν τοῖς υἱοῖς Ἰσραήλ, ὅτι ἀπέναντι ὄψῃ τὴν γῆν, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ.

Κεφαλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. λγ'. 33.

Καὶ αὕτη ἡ εὐλογία, ὣν εὐλόγησε μωϋσῆς ἄνθρωπος τοῦ θεοῦ τοὺς υἱοὺς ἰσραὴλ, πρὸ τῆς τελευτῆς αὐτοῦ, καὶ εἶπε· κύριος ὁ σινὰ ἦλθε καὶ ἐπεφάνη ἐκ σηείρ ἡμῖν, καὶ κατέστησεν ἐξ ὄρους φαρὰν, σὺν μυριάσι καδὴς, ἐκ δεξιῶν αὐτοῦ ἄγγελοι, ἄγγελοι μετ' αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ, καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου, καὶ οὗτοι ὑπὸ σὲ εἰσί, καὶ ἐδέξαντο ἀπὸ τῶν λόγων αὐτοῦ νόμον, ὃν ἐνετείλατο ἡμῖν μωϋσῆς, καὶ κληρονομίαν συναγωγῆς ἰακώβ. καὶ ἔσται ἐν τῷ ἡγαπημένῳ ἄρχων, συναχθέντων ἀρχόντων λαῶν ἅμα φυλαῖς ἰσραήλ. ζήτω ρουβὶμ, καὶ μὴ ἀποθανέτω, καὶ συμεὼν ἔσω πολὺς ἐν ἀριθμῷ, καὶ αὕτη ἰούδα. εἰσήκουσε κύριε φωνῆς ἰούδα, καὶ εἰς τὸν λαὸν αὐτοῦ εἰσῆλθοισαν, αἱ χεῖρες αὐτοῦ διεκρινοῦσιν αὐτό, καὶ βοηθὸς ἐκ τῶν ἐχθρῶν αὐτοῦ ἔσῃ. καὶ τῷ λευὶ εἶπε· δότι λευὶ δήλους αὐτοῦ, καὶ ἀλήθειαν αὐτοῦ τῷ ἀνδρὶ τῷ ὁσίῳ, ὃν ἐπείρασαν αὐτὸν ἐν πείρᾳ, ἐλοιδόρησαν αὐτὸν ἐφ' ὕδατος ἀντιλογίας. ὁ λέγων τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ, οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐγίνωσεν. ἐφύλαξε τὰ λόγιά σου, καὶ τὴν διαθήκην σου διετήρησε, δηλώσουσι τὰ δικαιώματά σου τῷ ἰακὼβ, καὶ τὸν νόμον σου τῷ ἰσραήλ, ὧν θήσουσι θυμίαμα ἐν ὀργῇ, σου διαπαντὸς ἐπὶ τοῦ θυσιαστηρίου σου. εὐλόγησον κύριε τὴν ἰσχὺν αὐτοῦ, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι, πάταξον ὀσφῦν ἐπανεστηκότων ἐχθρῶν αὐτοῦ, καὶ οἱ μισοῦσιν αὐτὸν μὴ ἀναστήτωσαν. καὶ τῷ βενιαμὶν εἶπεν· ἠγαπημένος ὑπὸ κυρίου, πεποιθὼς διατασκιώσει, καὶ ὁ θεὸς σκιάζει ἐπ' αὐτὸν πάσας τὰς ἡμέρας, καὶ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ κατέπαυσε. καὶ τῷ ἰωσὴφ εἶπεν· ἀπ' εὐλογίας κυρίου ἡ γῆ αὐτοῦ, ἀπὸ δρόσου οὐρανοῦ καὶ βυθοῦ, καὶ ἀπὸ ἀβύσσων πηγῶν διαπαντὸς, καὶ διαθ' ὥραν γενημάτων ἡλίου τροπῶν, καὶ ἀπὸ σεληνιασμῶν μηνῶν, ⸂καὶ ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς, καὶ ἀπὸ κορυφῆς βουνῶν αἰωνίων, καὶ διαθ' ὥραν γῆς πληρώσεως, καὶ τὰ δίκαια ἐν τῷ ὀφθέντι ἐν τῇ βάτῳ, ἐλθοισαν εὐδοκίᾳ κεφαλῇ ἰωσήφ. καὶ ἐπὶ κορυφῆς δοξασθεὶς ἐν ἀδελφοῖς. πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ, κέρατα μονοκέρωτος τὰ κέρατα αὐτοῦ, ἐν αὐτοῖς ἔθνη κερατιεῖ, ἅμα ἕως ἄκρου τῆς γῆς, αὗταί μυριάδες ἐφραίμ, καὶ αὗται χιλιάδες μανασσῆ. καὶ τῷ ζαβουλὼν εἶπεν· εὐφραίνθητι ζαβουλὼν ἐν ὁδοῖς σου, καὶ ἰσσαχὰρ ἐν τοῖς σκηνώμασιν αὐτοῦ, ἔθνη ἐξολοθρεύσουσι. καὶ ὧν καλέσουσιν ἐκεῖ, καὶ θύσετε ἐκεῖ θυσίαν δικαιοσύνης, ὅτι πλοῦτον θαλάσσης θηλάσει σε, καὶ ἐμπορεῖα ἀπὸ ἐθνῶν παραλίου κατοικούντων. καὶ τῷ γαδ εἶπεν· εὐλογημένος ὁ ἐμπλατύνων γάδ, ὡς λέων ἀνέπαυσε, συντρίψας βραχίονα καὶ ἄρχοντα. καὶ εἶδεν ἀπαρχὴν αὐτοῦ, ὅτι ἐκεῖ ἐμερίσθη γῆ ἀρχόντων συναγμένων ἅμα ἀρχηγοῖς λαῶν. δικαιοσύνας κυρίου ἐποίησε, καὶ κρίσιν αὐτοῦ μετὰ ἰσραήλ. καὶ τῷ δὰν εἶπεν· δὰν σκύμνος λέοντος, καὶ ἐκπηδήσει ἐκ τοῦ βασάν. καὶ τῷ νεφθαλεὶμ εἶπεν· νεφθαλεὶμ πλησμονὴ δεκτῶν, καὶ ἐμπλησθήτω σύλλογίας πρὸς κύριον, θάλασσαν καὶ λίβα κληρονομήσει. καὶ τῷ ἀσὴρ εἶπεν· εὐλογημένος ἀπὸ τέκνων ἀσήρ, καὶ ἔσαι δεκτὸς τοῖς ἀδελφοῖς αὐτοῦ, βαπτεῖ ἐν ἐλαίῳ τὸν πόδα αὐτοῦ, σίδηρος καὶ χαλκὸς τὸ ὑπόδημα αὐτοῦ ἔσαι, καὶ ὡς αἱ ἡμέραι σου ἡ ἰσχύς σου. οὐκ ἔστιν ὥσπερ θεὸς τοῦ ἠγαπημένου. ὁ ἐπιβαίνων ἐπὶ τὸν οὐρανὸν, βοηθός σε, καὶ ὁ μεγαλοπρεπὴς τοῦ στερεώματος. καὶ σκεπάσει σε θεοῦ ἀρχῆς, καὶ ὑπὸ ἰσχὺν βραχίονος ἀναπαύσῃ. καὶ ἐκβαλεῖ ἀπὸ προσώπου σου ἐχθρόν, λέγων· ἀπόλοιο. καὶ κατασκηνώσει ἰσραὴλ μόνος πεποιθώς, ἐπὶ τῆς γῆς ἰακώβ, ἐπὶ σίτῳ καὶ οἴνου, καὶ ὁ οὐρανὸς αὐτῷ συννεφὴς δρόσῳ. μακάριος εἶ ἰσραήλ, τίς ὅμοιός σοι, λαὸς σῳζόμενος ὑπὸ κυρίου; ὑπάρξαι σοι ὁ βοηθός σου, καὶ ἡ μάχαιρα καυχήματός σου, καὶ ψεύσονταί σε οἱ ἐχθροί σου, καὶ σὺ τὸν τράχηλον αὐτῶν ὑποβήσῃ.

ΚΕΦΑΛ. λδ'. 34.

Καὶ ἀνέβη μωϋσῆς ἀπὸ ἀραβὼθ μωὰβ, ἐπὶ τὸ ὄρος μωὰβ ἐπὶ κορυφὴν βασγὰ, ἣ ἐστὶ κατὰ πρόσωπον ἱεριχώ. καὶ ἔδειξεν αὐτῷ κύριος πᾶσαν τὴν γῆν γαλαὰδ ἕως δὰν, καὶ πᾶσαν τὴν γῆν ἐφραὶμ καὶ μανασσῆ, καὶ πᾶσαν τὴν γῆν ἰούδα ἕως τῆς θαλάσσης τῆς ἐσχάτης, καὶ τὴν ὀρεινὴν, καὶ τὰ πρίχωρα ἱεριχὼ, πόλιν φοινίκων ἕως σιγώρ. καὶ εἶπε κύριος πρὸς μωϋσῆν· αὕτη ἡ γῆ ἣν ὤμοσα τῷ ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ λέγων· τῷ σπέρματι ὑμῶν δώσω αὐτήν. καὶ ἔδειξά σοι τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ. καὶ ἐτελεύτησεν ἐκεῖ μωϋσῆς οἰκέτης κυρίου ἐν γῇ μωὰβ, διὰ ῥήματος κυρίου. καὶ ἔθαψαν αὐτὸν ἐν γῇ μωὰβ ἐγγὺς οἴκου φογώρ. καὶ οὐκ οἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης. μωϋσῆς δὲ ἦν ἑκατὸν καὶ εἴκοσι ἐτῶν ἐν τῷ τελευτῆσαι αὐτόν. οὐκ ἠμαυρώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ, οὐδὲ ἐφθάρησαν τὰ χελώνια αὐτοῦ. καὶ ἔκλαυσαν οἱ υἱοὶ ἰσραὴλ τὸν μωϋσῆν ἐν ἀραβὼθ μωὰβ ἐπὶ τοῦ ἰορδάνου, κατὰ ἱεριχὼ, τριάκοντα ἡμέρας. καὶ συνετελέσθησαν αἱ ἡμέραι πένθους κλαυθμοῦ μωϋσῆ. καὶ ἰησοῦς υἱὸς ναυῆ, ἐνεπλήσθη πνεύματος συνέσεως. ἐπέθηκε γὰρ μωϋσῆς τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτόν, καὶ εἰσήκουσαν αὐτοῦ οἱ υἱοὶ ἰσραὴλ, καὶ ἐποίησαν

καθότι ἐνετείλατο κύριος τῷ μωϋσεῖ, καὶ οὐκ ἀνέστη ἔτι προφήτης ἐν ἰσραὴλ, ὡς μωϋσῆς, ὃν ἔγνω κύριος αὐτὸν πρόσωπον κατὰ πρόσωπον ἐν πᾶσι τοῖς σημείοις καὶ τέρασιν, οἷς ἀπέστειλεν αὐτὸν κύριος, ποιῆσαι αὐτὰ ἐν γῇ αἰγύπτῳ φαραὼ, καὶ τοῖς θεράπουσιν αὐτοῦ, καὶ τῇ γῇ αὐτοῦ, καὶ τὰ θαυμάσια τὰ μεγάλα, ἃ ἐποίησε μωϋσῆς ἐνώπιον παντὸς ἰσραὴλ.

Τέλος τοῦ δευτερονομίου.

ΙΗΣΟΥΣ ΝΑΥΗ.

ΚΕΦΑΛ. ά. 1.

ΚΑὶ ἐγένετο μετὰ τὸ τελευτῆσαι μωϋσῆ δοῦλον κυρίου, καὶ εἶπε κύριος τῷ ἰησοῦ υἱῷ ναυῆ, τοῦ λειτουργοῦ μωϋσῆ λέγων· μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε, νῦν οὖν ἀναστὰς διάβηθι τὸν ἰορδάνην, σὺ καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι αὐτοῖς. πᾶς ὁ τόπος ἐφ' ὃν ἂν ἐπιβῆτε τῷ ἴχνει τῆς ποδὸς ὑμῶν, ὑμῖν δώσω αὐτόν, ὃν τρόπον εἶπα τῷ μωϋσῆ. τὴν ἔρημον καὶ τὸν αὐτιλίβανον, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμὸν εὐφράτου. καὶ ἕως τῆς θαλάσσης ἐσχάτης ἀφ' ἡλίου δύσεως ἔσται τὰ ὅρια ὑμῶν. οὐκ ἀντιστήσεται οὐδεὶς ἀνθρώπων κατενώπιον ὑμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καθὼς ἤμην μετὰ μωϋσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ, καὶ οὐκ ἐγκαταλείπω σε, οὐδ' ὑποπτεύομαί σε. ἴσχυε καὶ ἀνδρίζου, σὺ γὰρ ἀποδιαστελεῖς τῷ λαῷ τούτῳ τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς. ἴσχυε δὴ καὶ ἀνδρίζου σφόδρα, φυλάσσεσθαι καὶ ποιεῖν, καθότι ἐνετείλατο μωϋσῆς ὁ παῖς μου. καὶ ἐὰν ἐκκλίνῃς ἀπ' αὐτῶν εἰς δεξιὰ ἢ ἀριστερά, ἵνα σωθῇς ἐν πᾶσιν οἷς ἐὰν πράσσῃς, καὶ οὐκ ἀποστήσεται ἡ βίβλος τοῦ νόμου τούτου ἐκ τοῦ στόματός σου, καὶ μελετήσεις ἐν αὐτῷ ἡμέρας καὶ νυκτὸς ἵνα σωθῇς ποιεῖν πάντα τὰ γεγραμμένα. ὅτι τότε εὐοδωθήσῃ καὶ εὐοδώσεις τὰς ὁδούς σου, καὶ τότε συνήσεις. ἰδοὺ ἐντέλλομαί σοι, ἴσχυε καὶ ἀνδρίζου, μὴ δειλιάσῃς, μηδὲ φοβηθῇς, ὅτι μετὰ σοῦ κύριος ὁ θεός σου εἰς πάντα οὗ ἐὰν πορεύῃ. καὶ ἐνετείλατο ἰησοῦς τοῖς γραμματεῦσι τοῦ λαοῦ λέγων· εἰσέλθετε κατὰ μέσον τῆς παρεμβολῆς τοῦ λαοῦ, καὶ ἐντέλλασθε τῷ λαῷ λέγοντες· ἑτοιμάζεσθε ἐπισιτισμόν, ὅτι ἔτι τρεῖς ἡμέρας ὑμεῖς διαβήσεσθε τὸν ἰορδάνην τοῦτον, εἰσελθόντες κατασχεῖν τὴν γῆν, ἣν κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν. καὶ τῷ ῥουβὶν καὶ τῷ γὰδ καὶ τῷ ἡμίσει φυλῆς μανασσῆ εἶπεν ἰησοῦς· μνήσθητε τὸ ῥῆμα κυρίου ὃ ἐνετείλατο ὑμῖν μωϋσῆς ὁ παῖς κύριος λέγων· κύριος ὁ θεὸς ὑμῶν, κατέπαυσεν ὑμᾶς, καὶ ἔδωκεν ὑμῖν τὴν γῆν ταύτην. αἱ γυναῖκες ὑμῶν καὶ τὰ παιδία ὑμῶν καὶ τὰ κτήνη ὑμῶν, διατρεβέτωσαν ἐν τῇ γῇ, ἣν ἔδωκεν ὑμῖν. ὑμεῖς δὲ διαβήσεσθε ὀπλῖται πρὸ προσώπου τῶν ἀδελφῶν ὑμῶν πᾶς ὁ ἰσχύων, καὶ συμμαχήσετε αὐτοῖς, ἕως ἂν διαπαύσῃ κύριος ὁ θεὸς ὑμῶν τοὺς ἀδελφοὺς ὑμῶν, ὡσαύτως καὶ ὑμᾶς, καὶ κληρονομήσωσι καὶ αὐτοὶ τὴν γῆν, ἣν κύριος ὁ θεὸς ὑμῶν δίδωσιν αὐτοῖς· καὶ ἀποστραφήσεσθε ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, ἣν ἔδωκεν ὑμῖν μωϋσῆς ἐν τῷ πέραν τοῦ ἰορδάνου, ἐπ' ἀνατολῶν ἡλίου. καὶ ἀπεκρίθησαν τῷ ἰησοῦ λέγοντες· πάντα ὅσα ἐὰν ἐντείλῃ ἡμῖν, ποιήσομεν. καὶ εἰς πάντα τόπον οὗ ἐὰν ἀποστείλῃς ἡμᾶς, πορευσόμεθα. καθὼς πάντα ὅσα ἠκούσαμεν μωϋσῆ, ἀκουσόμεθά σου. πλὴν ἔσω κύριος ὁ θεὸς ἡμῶν μετὰ σοῦ, ὃν τρόπον ἦν μετὰ μωϋσῆ. ὁ δὲ ἄνθρωπος ὃς ἂν ἀπειθήσῃ σοι, καὶ ὃς ἂν μὴ ἀκούσῃ τῶν ῥημάτων σου, ὅσα ἐὰν ἐντείλῃ αὐτῷ, ἀποθανέτω. μόνον ἴσχυε καὶ ἀνδρίζου.

ΚΕΦΑΛ. β'. 2.

ΚΑὶ ἀπέστειλεν ἰησοῦς υἱὸς ναυῆ ἐκ σαττὶν δύο νεανίσκους κατασκόπους λέγων· ἀνάβητε καὶ ἴδετε τὴν γῆν, καὶ τὴν ἱερειχώ. καὶ πορευθέντες οἱ δύο νεανίσκοι ἦλθον εἰς ἱερειχώ, καὶ εἰσῆλθον εἰς οἰκίαν γυναικὸς πόρνης ᾗ ὄνομα ῥαὰβ, καὶ κατέπαυσαν ἐκεῖ. καὶ ἀπηγγέλη τῷ βασιλεῖ ἱερειχώ· ἰδοὺ ἄνδρες εἰσεπορεύοντο ὧδε τῶν υἱῶν ἰσραὴλ, κατασκοποῦσι τὴν γῆν. καὶ ἀπέστειλεν ὁ βασιλεὺς ἱερειχὼ, καὶ εἶπε πρὸς ῥαὰβ λέγων· ἐξάγαγε τοὺς ἄνδρας τοὺς εἰσπορευομένους εἰς τὴν οἰκίαν σου τὴν νύκτα, κατασκοποῦσαι γὰρ τὴν γῆν ἥκασι. καὶ λαβοῦσα ἡ γυνὴ τοὺς ἄνδρας, ἔκρυψεν αὐτούς, καὶ εἶπεν αὐτοῖς, λέγουσα· εἰσεληλύθασι πρός με οἱ ἄνδρες,

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

ἄνδρες, ὡς ἦν ἡ πύλη ἐκλείσθη γὰ τῷ σκότει καὶ οἱ ἄνδρες ἐξῆλθον, οὐκ ἐπίσαμαι ποῦ πεπό-
ρευνται, διατάχιστα διώξατε ὀπίσω αὐτῶν, εἰ καταλήψεσθε αὐτούς. αὐτὴ δὲ ἀνεβίβασεν αὐτοὺς ἐπὶ
τὸ δῶμα, καὶ ἔκρυψεν αὐτοὺς γὰ λινοκαλάμῃ τῇ ἐστοιμασμένῃ αὐτῇ ἐπὶ τ̃ δώματ̃. καὶ οἱ ἄν-
δρες διῆλθον κατὰ δίωξαν ὀπίσω αὐτῶν ὁδὸν τὴν ἐπὶ τὸν ἰορδάνην ἐπὶ τὰς διαβάσεις, καὶ ἡ πύλη
ἐκλείσθη. καὶ ἐγένε ὡς ἐξῆλθον οἱ διαπορευόμενοι ὀπίσω αὐτῶν, καὶ αὐτοὶ πρὶν κοιμηθῆναι
αὐτούς, διὰ αὐτὴ ἀνέβη πρὸς αὐτοὺς ἐπὶ τὸ δῶμα, καὶ εἶπε πρὸς αὐτούς· ἐπίσαμαι ὅτι ἔδωκε
κύριος τὴν γῆν ὑμῖν. ἐπιπέπωκε γὰρ ὁ φόβος ὑμῶν ἐφ' ἡμᾶς. ἀκηκόαμεν γὰρ ὅτι ἐξήρανε
κύριος ὁ θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ προσώπου ὑμῶν, ὅτε ἐξεπορεύεσθε ἐξ αἰγύπτου.
καὶ ὅσα ἐποίησε τοῖς δυσὶ βασιλεῦσι τοῖς ἀμορῥαίων, οἳ ἦσαν πέραν τοῦ ἰορδάνου, τῷ σηὼμ
καὶ τῷ ὼγ, οὓς ἐξωλεθρεύσατε αὐτούς. καὶ ἀκηκύσαντες ἡμεῖς ἐξέστημεν τῇ καρδίᾳ ἡμῶν, καὶ
οὐκ ἔστη ἔτι πνεῦμα γὰ ἀνθρώπ ἀπὸ προσώπ ὑμῶν, ὅτι κύριος ὁ θεὸς ὑμῶν, θεὸς γὰ οὐρανῷ ἄνω
καὶ ἐπὶ γ̃ς κάτω. καὶ νῦν ὀμόσατέ μοι κύριον τὸν θεόν, ὅτι ἐγὼ ποιῶ ὑμῖν ἔλεος, καὶ ποιή-
σατε καὶ ὑμεῖς ἔλεος γὰ τῷ οἴκῳ τοῦ πατρός μου, καὶ ζωγρήσατε τὸν οἶκον τοῦ πατρός μου,
καὶ τὴν μητέρα μου, καὶ τοὺς ἀδελφούς μου, καὶ τὰς ἀδελφάς μου, καὶ πάντα ὅσα ἐστὶν γὰ αὐ-
τοῖς, καὶ ἐξελεῶδε τὴν ψυχὴν μου ἐκ θανάτου. καὶ εἶπαν αὐτῇ οἱ ἄνδρες· ἡ ψυχὴ ἡμῶν, αὐθ' ὑ-
μῶν εἰς θάνατον. καὶ αὐτὴ εἶπεν· καὶ ἔσαι ὡς ἂν παραδῷ κύριος ὑμῖν τὴν πόλιν, ποιήσατε
εἰς ἐμὲ ἔλεος καὶ ἀλήθειαν. καὶ κατεχάλασεν αὐτοὺς διὰ τ̃ θυρίδ̃, ἦν γὰρ αὐτοῖς· εἰς τὸν
ὄρεινὸν ἀπέλθετε, μὴ συναντήσωσιν ὑμῖν οἱ διαπορευόμενοι, καὶ κρυβήσεσθε ἐκεῖ τρεῖς ἡμέ-
ρας, ἕως ἀναστρέψωσιν οἱ διαπορευόμενοι ὀπίσω ὑμῶν, καὶ μετὰ ταῦτα ἀπελεύσεσθε εἰς τὴν
ὁδὸν ὑμῶν. καὶ εἶπαν πρὸς αὐτὴν οἱ ἄνδρες· ἀθῷοι ὀφθήσ τῷ ὅρκῳ σε τούτῳ. ἰδοὺ ἡμεῖς εἰσπο-
ρευόμεθα εἰς μέρ̃ τ̃ πόλεως, καὶ θήσεις τὸ σημεῖον, τὸ σπαρτίον τὸ κόκκινον, οὗ κατάξεις εἰς
τὴν θυρίδα διὰ ἧς διεβίβασας ἡμᾶς διὰ αὐτ̃, τὸν δὲ πατέρα σε καὶ τὴν μητέρα σε καὶ τοὺς ἀ-
δελφούς σε, καὶ πάντα τὸν οἶκον τοῦ πατρός σε, συνάξεις πρὸς σεαυτὴν εἰς τὴν οἰκίαν σε. καὶ
ἔσαι πᾶς ὃς ἂν ἐξέλθῃ τὴν θύραν τ̃ οἰκίας σε ἔξω, ἔνοχος ἑαυτῷ ἔσαι, ἡμεῖς δὲ ἀθῷοι τῷ ὅρκῳ
σε τούτῳ, καὶ ὅσοι ἐὰν γένωνται μετά σε γ̃ τῇ οἰκίᾳ σε, ἡμεῖς ἔνοχοι ἐσόμεθα. ἐὰν δέ τις ἡμᾶς
ἀδικήσῃ, καὶ ἀρκαλύψῃ τοὺς λόγους ἡμῶν τούτους, ἐσόμεθα ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ, ᾧ ὥρκισας
ἡμᾶς. καὶ εἶπεν αὐτοῖς· κατὰ τὸ ῥῆμα ὑμῶν οὕτως ἔστω. καὶ ἐξαπέστειλεν αὐτούς, καὶ ἐπορεύθησαν. καὶ
ἔδησε τὸ σημεῖον τὸ κόκκινον γὰ τῇ θυρίδ̃. καὶ ἐπορεύθησαν, καὶ ἦλθοσαν εἰς τὸν ὀρεινόν, καὶ
κατέμειναν ἐκεῖ τρεῖς ἡμέρας, καὶ ἐξεζήτησαν οἱ καταδιώκοντες πάσας τὰς ὁδούς, καὶ οὐχ εὗ-
ρον. καὶ ἐπέστρεψαν οἱ δύο νεανίσκοι, καὶ κατέβησαν ἀπὸ τοῦ ὄρους, καὶ διέβησαν πρὸς ἰησοῦν
υἱὸν ναυή, καὶ διηγήσαντο αὐτῷ πάντα τὰ συμβεβηκότα αὐτοῖς. καὶ εἶπον πρὸς ἰησοῦν, ὅτι πα-
ραδέδωκε κύριος ὁ θεὸς ἡμῶν πᾶσαν τὴν γῆν γὰ χεὶ ἡμῶν, καὶ διατέτηχε πᾶς ὁ κατοι-
κῶν τὴν γῆν ἐκείνην ἀφ' ἡμῶν.

ΚΕΦΑΛ. γ'. 3.

ΚΑὶ ὤρθρισεν ἰησοῦς πρωΐ, καὶ ἀπῆραν ἐκ σαττείν, καὶ ἦλθον ἕως τοῦ ἰορδάνου, αὐτὸς
καὶ πάντες οἱ υἱοὶ ἰσραήλ, καὶ κατέλυσαν ἐκεῖ πρὸ τοῦ διαβῆναι. καὶ ἐγένθη μετὰ
τρεῖς ἡμέρας, διῆλθον οἱ γραμματεῖς διὰ τ̃ παρεμβολ̃ς, καὶ ἐνετείλαντο τῷ λαῷ λέγον-
τες· ὅταν ἴδητε τὴν κιβωτὸν τ̃ διαθήκης κυρίου τοῦ θεοῦ ὑμῶν, καὶ τοὺς ἱερεῖς ὑμῶν καὶ τοὺς
λευίτας αἴροντας αὐτήν, ἀπαρεῖτε ἐκ τ̃ τόπου ὑμῶν, καὶ πορεύσεσθε ὀπίσω αὐτ̃ς, ἀλλὰ
μακρὰν ἔστω ἀπὰ μέσον ὑμῶν καὶ ἐκείνης, ὅσον διαχιλίας πήχεις σήσεσθε, μὴ προσεγγίσητε αὐ
τῇ, ἵνα ἐπίσησθε τ̃ ὁδοῦ, ἣν πορεύεσθε αὐτήν. οὐ γὰρ πεπόρευσθε τ̃ ὁδοῦ ἀπ' ἐχθὲς καὶ τρί
της ἡμέρας. καὶ εἶπεν ἰησοῦς τῷ λαῷ· ἁγνίσασθε εἰς τὸν αὔριον, ὅτι αὔριον ποιήσει κύριος γὰ
ὑμῖν θαυμάσια. καὶ εἶπεν ἰησοῦς τοῖς ἱερεῦσι· ἄρατε τὴν κιβωτὸν τ̃ διαθήκης κυρίου, καὶ προ-
πορεύεσθε τοῦ λαοῦ. καὶ ἦραν οἱ ἱερεῖς τὴν κιβωτὸν τ̃ διαθήκης κυρίου, καὶ ἐπορεύοντο ἔμπρο-
σθεν τοῦ λαοῦ. καὶ εἶπε κύριος πρὸς ἰησοῦν· γὰ τῇ ἡμέρᾳ ταύτῃ ἄρχομαι ὑψῶσαί σε, κατενώ-
πιον πάντων ὑμῶν ἰσραήλ, ἵνα γνῶσιν ὅτι καθὼς ἤμην μετὰ μωϋσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ.
καὶ γὰ τείλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν κιβωτὸν τ̃ διαθήκης λέγων· ὡς ἂν εἰσέλθητε ἐπὶ μέ
ρος τοῦ ὕδατ̃ τοῦ ἰορδάνου, καὶ γὰ τῷ ἰορδάνῃ στήσεσθε. καὶ εἶπεν ἰησοῦς τοῖς υἱοῖς ἰσραήλ· προ-
σαγάγετε ὧδε, καὶ ἀκούσατε τὰ ῥήματα κυρίου τοῦ θεοῦ ὑμῶν. γὰ τούτοις γνώσεσθε ὅτι κύριος ζῶν
γὰ ὑμῖν, καὶ ὀλοθρεύων ὀλοθρεύσει ἀπὸ προσώπ ὑμῶν τὸν χαναναῖον καὶ τὸν χετταῖον, καὶ τὸν
φερεζαῖον, καὶ τὸν εὐαῖον, καὶ τὸν γεργεσαῖον, καὶ τὸν ἀμορῥαῖον, καὶ τὸν ἰεβουσαῖον. ἰδοὺ ἡ κι-
βωτὸς τ̃ διαθήκης κυρίου πάσης τ̃ γ̃ς, διαβαίνει τὸν ἰορδάνην πρὸ χειρίσασθε ὑμῖν φύλακα
ἄνδρας ἀπὸ τῶν ὑῶν ἰσραήλ, ἕνα ἀφ' ἑκάστης φυλ̃ς. καὶ ἔσαι ὡς ἂν καταπαύσωσιν οἱ πό-
δες τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τ̃ διαθήκης κυρίου πάσης τ̃ γ̃ς, γὰ τῷ ὕδατι τ̃
ἰορδάνου, τὸ ὕδωρ τοῦ ἰορδάνου ἐκλείψει, τὸ δὲ ὕδωρ τὸ καταβαῖνον στήσετ̃, καὶ ἐγένθη ὡς ἀπῆ
ρεν ὁ λαὸς ἐκ τῶν σκηνωμάτων αὐτῶν, διαβῆναι τὸν ἰορδάνην, οἱ δὲ ἱερεῖς ἦραν τὴν κιβωτὸν τ̃

διαθήκης κυρίου πρόσωποι τοῦ λαοῦ. ὡς δὲ εἰσεπορεύοντο οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐπὶ τὸν ἰορδάνην, καὶ οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης κυρίου, ἐβαφησαν εἰς τὸ μέρος τοῦ ὕδατος τοῦ ἰορδάνου. ὁ δὲ ἰορδάνης ἐπλήσθη ἐπὶ ὅλων τῶν ὀχθῶν αὐτοῦ, ὡσεὶ ἡμέραι θερισμοῦ πυρῶν. καὶ ἔστη τὰ ὕδατα τὰ καταβαίνοντα ἄνωθεν, ἔστη πῆγμα ἓν ἀφεστηκὸς μακρὰν σφόδρα, σφόδρα ἀπὸ Ἀδαμί, ἕως μέρους Σαρεθμεείμ. τὸ δὲ κατεβαῖνον κατέβη εἰς τὴν θάλασσαν Ἀραβά, θάλασσαν τοῦ ἅλατος, ἕως εἰς τέλος ἐξέλιπε. καὶ ὁ λαὸς εἰσῆλθε κατέναντι Ἰερειχώ, καὶ ἔστησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐπὶ ξηρᾶς ἐν μέσῳ τοῦ ἰορδάνου. καὶ πάντες οἱ υἱοὶ ἰσραὴλ διέβαινον διὰ ξηρᾶς, ἕως συνετέλεσε πᾶς ὁ λαὸς διαβαίνων τὸν ἰορδάνην.

ΚΕΦΑΛ. δ'. 4.

ΚΑΙ ἐπεὶ συνετέλεσε πᾶς ὁ λαὸς διαβαίνων τὸν ἰορδάνην, εἶπε κύριος τῷ ἰησοῦ λέγων· παράλαβε ἄνδρας δώδεκα ἀπὸ τοῦ λαοῦ, ἄνδρα ἕνα ἀφ' ἑκάστης φυλῆς, καὶ στῆσον αὐτοῖς λέγων· ἀνέλεσθε αὐτοῖς ἐν μέσῳ τοῦ ἰορδάνου ἑτοίμους δώδεκα λίθους, καὶ τότε διακομίσαντες ἅμα ὑμῖν αὐτοῖς, θήσετε αὐτοὺς ἐν τῇ σκηνοπηγίᾳ ὑμῶν, οὗ ἐὰν παραβάλητε ἐκεῖ τὴν νύκτα. καὶ ἀνεκαλέσατο Ἰησοῦς δώδεκα ἄνδρας ἓν ἐξ ἑκάστης φυλῆς τῶν υἱῶν ἰσραὴλ, ἕνα ἀφ' ἑκάστης φυλῆς, εἶπεν αὐτοῖς· προσαγάγετε ἔμπροσθέν μου τοῦ κιβωτοῦ εἰς μέσον τοῦ ἰορδάνου, καὶ ἀνελόμενος ἀράτω ἐκεῖθεν λίθον ἕνα ἕκαστος ὑπὲρ τὸν ἄμον αὐτοῦ, κατὰ τὸν ἀριθμὸν τῶν φυλῶν τοῦ ἰσραὴλ, ἵνα ὑπάρχωσιν ὑμῖν ὅτοι εἰς σημεῖον κείμενον διαπαντός, ἵνα ὅταν ἐρωτᾷ σε ὁ υἱός σου αὔριον λέγων· τί εἰσιν οἱ λίθοι ὅτοι ὑμῖν; καὶ διηλώσεις τῷ υἱῷ σου λέγων· ὅτι ἐξέλιπεν ὁ ἰορδάνης ποταμὸς ἀπὸ προσώπου κιβωτοῦ διαθήκης κυρίου πάσης τῆς γῆς, ὡς διέβαινεν αὐτόν, καὶ ἐξέλιπε τὸ ὕδωρ τοῦ ἰορδάνου, καὶ ἔσονται ὑμῖν οἱ λίθοι ὅτοι μνημόσυνον ἐν τοῖς υἱοῖς ἰσραὴλ, ἕως τοῦ αἰῶνος. καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ ἰσραὴλ, καθότι συνετέλεσε κύριος τῷ ἰησοῦ. καὶ ἀνεκαλέσατο δώδεκα λίθους ἐκ μέσου τοῦ ἰορδάνου, καθὰ προσέταξε κύριος τῷ ἰησοῦ, ἐν τῇ σκηνοπηγίᾳ τῆς διαβάσεως τῶν υἱῶν ἰσραὴλ καὶ διενόμισαν ἅμα ἑαυτοῖς εἰς τὴν παρεμβολήν, καὶ ἀπέθηκαν αὐτοὺς ἐκεῖ. ἔστησε δὲ ἰησοῦς. καὶ ἄλλους δώδεκα λίθους ἐν αὐτῷ τῷ ἰορδάνῃ, ἐν τῷ ἐγνωμένῳ τόπῳ, τῷ ὑπὸ τοὺς πόδας τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης κυρίου, καὶ εἰσὶν ἐκεῖ ἕως τῆς σήμερον ἡμέρας. εἰσῆλθαν δὲ οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐν τῷ ἰορδάνῃ, ἕως συνετέλεσεν ἰησοῦς πάντα ὅσα ἐνετείλατο κύριος τῷ ἰησοῦ, διαγγεῖλαι τῷ λαῷ. καὶ ἔσπευσεν ὁ λαός, καὶ διέβη. καὶ ἐγένετο ὡς συνετέλεσε πᾶς ὁ λαὸς διαβῆναι, καὶ διέβη ἡ κιβωτὸς τῆς διαθήκης κυρίου, καὶ οἱ λίθοι ἐμπροσθεν αὐτῆς, καὶ διέβησαν οἱ υἱοὶ ῥουβήν, καὶ υἱοὶ γαδί, καὶ οἱ ἡμίσεις φυλῆς μανασσῆ, διεσκευασμένοι ἐμπροσθεν τῶν υἱῶν ἰσραὴλ, καθαπερ ἐνετείλατο αὐτοῖς μωϋσῆς, τετρακισμύριοι ὁπλῖται εἰς μάχην διέβησαν ἐνώπιον κυρίου εἰς πόλεμον, πρὸς τὴν ἱεριχὼ πόλιν. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἠύξησε κύριος τὸν ἰησοῦν ἐναντίον παντὸς γένους ἰσραὴλ, καὶ ἐφοβοῦντο αὐτόν, καθαπερ ἐφοβοῦντο μωϋσῆν ὅσον χρόνον ἔζη. καὶ εἶπε κύριος τῷ ἰησοῦ λέγων· ἔντειλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθήκης τοῦ μαρτυρίου, ἐκβῆναι ἐκ τοῦ ἰορδάνου. καὶ ἐνετείλατο ἰησοῦς τοῖς ἱερεῦσι λέγων· ἐκβητε ἐκ τοῦ ἰορδάνου. καὶ ἐγένετο ὡς ἐξέβησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐκ μέσου τοῦ ἰορδάνου, καὶ ἔθηκαν τοὺς πόδας ἐπὶ τὴν ξηρᾶν, καὶ ὥρμησε τὸ ὕδωρ τοῦ ἰορδάνου κατὰ χώραν, καὶ ἐπορεύετο καθὰ χθὲς καὶ τρίτην ἡμέραν διὰ ὅλης τῆς κραυγῆς. καὶ ὁ λαὸς ἀνέβη ἐκ τοῦ ἰορδάνου, δεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου, καὶ κατεστρατοπέδευσαν οἱ υἱοὶ ἰσραὴλ ἐν γαλγάλοις κατὰ μέρος τὸ πρὸς ἡλίου ἀνατολὰς ἀπὸ τῆς ἱερειχώ. καὶ τοὺς δώδεκα λίθους τούτους οὓς ἔλαβον ἐκ τοῦ ἰορδάνου, ἔστησεν ἰησοῦς ἐν γαλγάλοις λέγων· ὅταν ἐρωτῶσιν οἱ υἱοὶ ὑμῶν ὑμᾶς λέγοντες· τί εἰσιν οἱ λίθοι οὗτοι; ἀναγγελεῖτε τοῖς υἱοῖς ὑμῶν, ὅτι ἐπὶ ξηρᾶς διέβη ἰσραὴλ τὸν ἰορδάνην, ἀπεξήρανεν κύριος ὁ θεὸς ὑμῶν τὸ ὕδωρ τοῦ ἰορδάνου, ἐκ τοῦ ἐμπροσθεν αὐτῶν, μέχρις οὗ διέβησαν, καθαπερ ἐποίησε κύριος ὁ θεὸς ὑμῶν τῇ ἐρυθρᾷ θαλάσσῃ, ἣν ἀπεξήρανε κύριος ὁ θεὸς ὑμῶν ἐμπροσθεν ὑμῶν, ἕως διῆλθομεν, ὅπως γνῶσι πάντα τὰ ἔθνη τῆς γῆς, ὅτι ἡ δύναμις κυρίου ἰσχυρά ἐστι, καὶ ἵνα ὑμεῖς σέβησθε τὸν θεὸν ὑμῶν ἐν παντὶ χρόνῳ.

ΚΕΦΑΛ. ε'. 5.

ΚΑΙ ἐγένετο ὡς ἤκουσαν οἱ βασιλεῖς τῶν ἀμορραίων, οἳ ἦσαν πέραν τοῦ ἰορδάνου, καὶ οἱ βασιλεῖς τῆς φοινίκης, οἳ ἦσαν παρὰ τὴν θάλασσαν, ὅτι ἀπεξήρανε κύριος ὁ θεὸς τὸν ἰορδάνην ποταμὸν ἐκ τοῦ ἐμπροσθεν τῶν υἱῶν ἰσραὴλ, ἐν τῷ διαβῆναι αὐτούς, καὶ κατεδίωξαν αἱ διανοίαι αὐτῶν, καὶ κατεπλάγησαν, καὶ οὐκέτι ἐν αὐτοῖς φρόνησις οὐδὲ μία ἀπὸ προσώπου τῶν υἱῶν ἰσραὴλ. τότε δὲ εἶπεν ὁ καιρὸν εἶπε κύριος τῷ ἰησοῦ· ποίησον σεαυτῷ μαχαίρας πετρίνας ἐκ πέτρας ἀκροτόμου, καὶ καθίσας περίτεμε τοὺς υἱοὺς ἰσραὴλ ἐκ δευτέρου. καὶ ἐποίησεν ἑαυτῷ ἰησοῦς μαχαίρας πετρίνας ἀκροτόμους, καὶ περιέτεμε τοὺς υἱοὺς ἰσραὴλ,

τοῦ

ἐπὶ τῆ ἀναβάσει τῆς Βαιθωρὼν τῶν ἀκροβυσιῶν. οἳ δὲ προπορευόμενοι ἐκάλουν τοὺς υἱοὺς Ἰσραὴλ Ἰησοῦς, ὅσοι ποτὲ ἐγεγόνεσαν ἐν τῇ ὁδῷ, καὶ ὅσοι ποτὲ ἀπερίτμητοι ἦσαν τῶν ἐξελθόντων ἐξ Αἰγύπτου, πάντας τούτους περιέτεμνεν Ἰησοῦς. τεσσαρακοντα γὰρ καὶ δύο ἔτη ἀνέστρεφον Ἰσραὴλ ἐν τῇ ἐρήμῳ τῇ μεγάλῃ τινὶ, διὸ ἀπερίτμητοι ἦσαν οἱ πλεῖστοι αὐτῶν τῶν μαχίμων τῶν ἐξελθόντων ἐκ γῆς Αἰγύπτου, οἱ ἀπειθήσαντες τῶν ἐν τοῖς λογίοις τοῦ θεοῦ, οἷς καὶ διώρισε λέγειν· αὐτοῖς μὴ ἰδεῖν αὐτοὺς τὴν γῆν, ἣν ὤμοσε λέγειν· τοῖς πατράσιν αὐτῶν δοῦναι ὑμῖν, γῆν ῥέουσαν γάλα καὶ μέλι. αὐτὴ δὲ τούτων ἀντικατέστησε τοὺς υἱοὺς αὐτῶν, οὓς ἐπησοῦς περιέτεμνεν, ὅτι ἀκρόβυστοι ἦσαν, διὰ τὸ αὐτοὺς γεγενῆσθαι κατὰ τὴν ὁδὸν ἀπερίτμητους. περιτμηθέντων δὲ ἡσυχίαν εἶχον, αὐτόθι καθήμενοι ἐν τῇ παρεμβολῇ ἕως ὑγιάσθησαν. καὶ εἶπε λέγει· τῷ Ἰησοῦ· ἐν τῇ σήμερον ἡμέρᾳ, ἀφῄρηκα τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ' ὑμῶν, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου γαλγαλα ἕως τῆς ἡμέρας ταύτης. καὶ παρῳκίβαλον οἱ υἱοὶ Ἰσραὴλ ἐν γαλγάλοις, καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, ἀφ' ἑσπέρας ἐπὶ δυσμῶν ἐν τῷ πεδίῳ, ἐν τῷ Ἱεριχώ, καὶ ἔφαγον ἀπὸ τοῦ σίτου τῆς γῆς ἄζυμα καὶ νέα. ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐξέλιπε τὸ μάννα, μετὰ τὸ βεβρωκέναι αὐτοὺς ἐκ τοῦ σίτου τῆς γῆς, καὶ οὐκέτι ἔσχεν υἱοῖς Ἰσραὴλ μάννα. ἐκαρπώσαντο δὲ τὴν χώραν τῶν φοινίκων ἐν τῷ γενεατῷ ἐκείνῳ. καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἰεριχώ, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδεν ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτοῦ, καὶ ἡ ῥομφαία αὐτοῦ ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ. καὶ προσελθὼν Ἰησοῦς, εἶπεν αὐτῷ· ἡμέτερος εἶ, ἢ τῶν ἐναντίων; ὁ δὲ εἶπεν αὐτῷ· ἐγὼ ἀρχιστράτηγος λυρίου νυνὶ παραγέγονα. καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ, καὶ εἶπε· δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ εἶπεν ὁ ἀρχιστράτηγος λυρίου πρὸς Ἰησοῦν· λῦσον τὸ ὑπόδημα ἐκ τοῦ ποδός σου. ὁ γὰρ τόπος ἐφ' οὗ σὺ ἕστηκας ἐπ' αὐτοῦ, ἅγιός ἐστι. καὶ ἐποίησεν Ἰησοῦς οὕτως, καὶ Ἰεριχὼ συγκεκλεισμένη καὶ ὠχυρωμένη, καὶ οὐδεὶς ἐξεπορεύετο ἐξ αὐτῆς, οὐδὲ εἰσεπορεύετο.

ΚΕΦΑΛ. ϛ'. 6.

ΚΑΙ εἶπε λέγει· πρὸς Ἰησοῦν· ἰδοὺ ἐγὼ παραδίδωμί σοι ὑποχείριον τὴν Ἰεριχὼ, καὶ τὸν βασιλέα αὐτῆς καὶ τοὺς ἐν αὐτῇ, δυνατοὺς ἐν ἰσχύι. σὺ δὲ περίεσσον αὐτῇ πάντας οὺς μαχίμους λύκλῳ. καὶ ἔσαι ὡς ἂν σαλπίσητε τῇ σαλπιγγι, ἀναπραγέτωσαν πᾶς ὁ λαὸς, καὶ ἀναπραγόντων αὐτῶν πεσεῖται αὐτόματα τὰ τείχη τῆς πόλεως. καὶ εἰσελεύσεται πᾶς ὁ λαὸς ὁρμήσας ἕκαστος κατὰ πρόσωπον εἰς τὴν πόλιν. καὶ εἰσῆλθεν Ἰησοῦς υἱὸς Ναυῆ πρὸς τοὺς ἱερεῖς τοὺς ἱερεῖς τοῦ Ἰσραὴλ, καὶ εἶπεν αὐτοῖς λέγων· πραγγείλατε τῷ λαῷ προελθεῖν καὶ κυκλῶσαι τὴν πόλιν, καὶ οἱ μάχιμοι προπορευέσθωσαν ὡπλισμένοι ἔναντι λυρίου, καὶ ἑπτὰ ἱερεῖς ἔχοντες ἑπτὰ σάλπιγγας ἱεράς προελθέτωσαν ὡσαύτως ἐναντίον τοῦ λυρίου, προπορευέσθωσαν, καὶ σημαινέτωσαν αὐτόνως, καὶ ἡ διαθήκη τῆς διαθήκης λυρίου ἐπακολουθείτω. οἱ δὲ μάχιμοι προεπορεύεσθωσαν ἔμπροσθεν, καὶ οἱ ἱερεῖς σαλπίζοντες ταῖς διατείναις, καὶ οἱ ἀραγοῦντες ὀπίσω τῆς διαθήκης λυρίου, πορευόμενοι καὶ σαλπίζοντες. τοῦ δὲ λαῷ ἐντείλατο Ἰησοῦς λέγων· μὴ βοᾶτε, μηδὲ ἀκουσάτω μηδεὶς τὴν φωνὴν ὑμῶν, ἕως ἂν ἡμέρᾳ διαγγείλω ὑμῖν ἀναβοῆσαι, καὶ τότε ἀναβοήσατε. καὶ προελθοῦσα ἡ διαθήκη τοῦ θεοῦ τὴν πόλιν κύκλῳ, ὀλίγον ἀπῆλθον εἰς τὴν παρεμβολὴν, καὶ ηὐλίσθη ἐκεῖ. καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ἀνέστη Ἰησοῦς τὸ πρωΐ, καὶ ἦραν οἱ ἱερεῖς τὴν διαθήκην λυρίου, καὶ οἱ ἑπτὰ ἱερεῖς οἱ φέροντες τὰς ἑπτὰ σαλπιγγας, προεπορεύοντο ἔναντι λυρίου. καὶ οἱ ἱερεῖς ἐσάλπιγξαν ταῖς σάλπιγξι, καὶ ὁ λοιπὸς ὄχλος ἅπας, καὶ οἱ μάχιμοι εἰσεπορεύοντο μετὰ ταῦτα, καὶ ὁ λοιπὸς ὄχλος ὀπίσω τῆς διαθήκης λυρίου, πορευόμενοι καὶ σαλπίζοντες ταῖς διατείναις, καὶ οἱ ἱερεῖς εἰσάλπισαν ταῖς διατείναις σάλπιγξι, καὶ ὁ λοιπὸς ὄχλος περιεκύκλωσε τὴν πόλιν ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ἐγγύθεν, καὶ ἀπῆλθον πάλιν εἰς τὴν παρεμβολήν. ὅτως ἐποίησε ἐπὶ ἓξ ἡμέρας. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ὠρθρίσαμεν γὰρ τῇ ἡμέρᾳ ὄρθρου, καὶ περιῆλθοσαν τὴν πόλιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἑπτάκις. καὶ ἐγένετο τῇ περιόδῳ τῇ ἑβδόμῃ, ἐσάλπισεν οἱ ἱερεῖς ταῖς σάλπιγξι, καὶ εἶπεν Ἰησοῦς τοῖς ἱεροῖς Ἰσραὴλ· ἀνακράξατε, παρέδωκε γὰρ λυρίου ὑμῖν τὴν πόλιν. καὶ ἔσαι ἡ πόλις ἀνάθεμα, αὐτὴ καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ τῷ λυρίῳ τῷ δυναμεῖν, πλὴν ῥαὰβ τὴν πόρνην περιποιήσασθε αὐτὴν, καὶ πάντα ὅσα ἐστὶν ἐν τοῖς οἴκῳ αὐτῆς, ὅτι ἔκρυψε τοὺς ἀγγέλους οὓς ἀπεστείλαμεν, ἀλλὰ ὑμεῖς φυλάξεσθε ἀπὸ τοῦ ἀναθέματος, μήποτε ἐνθυμηθέντες ὑμεῖς λάβητε ἀπὸ τοῦ ἀναθέματος, καὶ ποιήσητε τὴν παρεμβολὴν τῶν υἱῶν Ἰσραὴλ ἀνάθεμα, καὶ ἐκπρίψητε ἡμᾶς. καὶ πᾶν ἀργύριον καὶ χρυσίον, καὶ πᾶς χαλκὸς καὶ σίδηρος ἅγιον ἔσαι τῷ λυρίῳ, εἰς θησαυρὸν λυρίου εἰσενεχθήσεται. καὶ ἐσάλπισαν οἱ σάλπιγξιν οἱ ἱερεῖς. ὡς δ' ἤκουσεν ὁ λαὸς τῆς φωνῆς τῆς σάλπιγγος, ἠλάλαξε πᾶς ὁ λαὸς ἀλαλαγμῷ μεγάλῳ καὶ ἰσχυρῷ, καὶ ἔπεσεν ἅπαν τὸ τεῖχος κύκλῳ, καὶ ἀνέβη πᾶς ὁ λαὸς ἕκαστος ἔξω ἐξεναντίας αὐτοῦ, καὶ κατελάβοντο τὴν πόλιν, καὶ ἀνεθεμάτισαν αὐτὴν Ἰησοῦς, καὶ ὅσα ἦν ἐν τῇ πόλει ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικός, ἀπὸ νε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐίσκα καὶ ἕως προθύτορα, καὶ ἕως μάχης καὶ ἕως προβάτου, καὶ σφαγίου, ἢ σώματι ῥομφαίας. καὶ πᾶς ὁ λύος νεανίσκοις τοῖς καταστροφεύσι τὴν γῆν, ἐπῆλθε εἰς τὴν οἰκίαν ἢ γυναικὸς τ πόρνης, καὶ ἤξαγάγετε αὐτὴν ἐκεῖθεν, ⁊ πάντα ὅσα ἔστιν αὐτῇ. καὶ εἰσῆλθον οἱ λύοι νεανίσκοι οἱ καταστροφεύσαντες τὴν πόλιν, εἰς τὴν οἰκίαν ἢ γυναικὸς, ⁊ ἐξήγαγον τὴν Ραὰβ τὴν πόρνην, καὶ τὴν πατέρα αὐτ, ⁊ τὴν μητέρα αὐῆ, καὶ τοὺς ἀδελφοὺς αὐῆ, καὶ πᾶσαν τὴν συγγένειαν αὐῆ, καὶ πάντα ὅσα ἦν αὐτῇ, καὶ κατέστησαν αὐτὴν ἔξω ἢ παρεμβολῆς ἰσραήλ. καὶ ἡ πόλις ἐνεπρήσθη ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐν αὐτῇ, πλὴν ἀργυρίου καὶ χρυσίου, καὶ παντὸς χαλκοῦ, καὶ σιδήρου, ἔδωκαν εἰς οἶκον λυρίου εἰσενεχθῆναι λυρίῳ. καὶ ῥαὰβ τὴν πόρνην, καὶ πάντα τ οἶκον αὐῆ, ἐν πατρικὸν ἐζώγρησεν ἰησοῦς, καὶ κατῴκισεν ἐν τῷ ἰσραὴλ, ἕως ἢ σήμερον ἡμέρας, διότι ἔκρυψε τοὺς καταστροφεύσαντας, οὓς ἀπέστειλεν ἰησοῦς καταστροφεῦσαι τ ἱεριχώ. καὶ ὤρκισεν ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· ὦν κατάρατος ἄνθρωπος ἐνώπιον λυρίου, ὃς ἀναστήσει καὶ οἰκοδομήσει τὴν πόλιν ἐκείνην τὴν ἱεριχώ. ἐν τῷ πρωτοτόκῳ αὐτοῦ θεμελιώσει αὐτὴν, καὶ ἐν τῷ ἐλαχίστῳ αὐτοῦ ὑδήσει τὰς πύλας αὐῆ. καὶ ὅτως ἐποίησεν ὁ ἀζαὺ ὁ ἐκ βαὴλ, ἐν τῷ ἀβειρὼν τῷ πρωτοτόκῳ αὐτοῦ ἐθεμελίωσεν αὐτὴν, καὶ ἐν τῷ ἐλαχίστῳ διασωθεὶς ἔστησε τὰς πύλας αὐῆ.

ΚΕΦΑΛ. ζ. 7.

ΚΑὶ ἦν λύρι μετὰ ἰησοῦ, καὶ ἦν ὄνομα αὐτοῦ καταπᾶσαν τὴν γῆν. καὶ ἐπλημμέλησαν οἱ υἱοὶ ἰσραὴλ πλημμέλειαν μεγάλην, καὶ ἐνόσφισαν ἀπὸ τοῦ ἀναθέματος. καὶ ἔλαβεν ἄχαρ υἱὸς χαρμεῖ υἱοῦ ζαμβρὶ υἱοῦ ζαρὰ ἐκ φυλῆς ἰούδα ἀπὸ τοῦ ἀναθέματος. καὶ ἐθυμώθη λύρι ὀργῇ τοῖς υἱοῖς ἰσραήλ, καὶ ἀπέστειλεν ἰησοῦς ἀνδρας ἀπὸ ἰεριχὼ εἰς γαὶ, ἣ ἔστι κατὰ βηθὰν πρὸς ἀνατολὰς βαιθήλ. καὶ εἶπεν αὐτοῖς λέγων· ἀναβαίνετε καταστρέψατε τὴν γῆν. καὶ ἀνέβησαν οἱ ἄνδρες ⁊ κατεσκέψαντο τὴν γαὶ, καὶ ἀνέστρεψαν πρὸς ἰησοῦν, καὶ εἶπαν πρὸς αὐτόν· μὴ ἀναβήτωσαν πᾶς ὁ λαὸς, ἀλλ' ἢ ὡσεὶ δισχίλιοι ἢ τρισχίλιοι ἄνδρες ἀναβήτωσαν, καὶ ἐκπολιορκείτωσαν τὴν πόλιν. μὴ ἀναγάγῃς ἐκεῖ τὸν λαὸν ἅπαντα, ὀλίγοι γάρ εἰσι. καὶ ἀνέβησαν ἀπὸ τοῦ λαοῦ ἐκεῖ ὡσεὶ τρισχίλιοι ἄνδρες, καὶ ἔφυγον ἀπὸ προσώπου ἀνδρῶν γαί, καὶ ἀπέκτειναν ἀπ' αὐτῶν οἱ ἄνδρες γαὶ, ὡς τριακοντα ἄνδρας, καὶ κατεδίωξαν αὐτοὺς ἀπὸ τ πύλης, ἕως συνέτριψαν αὐτοὺς ὑδὴ ⁊ κατέφθορεν. καὶ ἐπτοήθη ἡ καρδία τ λαοῦ, καὶ ἐγένετο ὥσπερ ὕδωρ. καὶ διέῤῥηξεν ἰησοῦς τὰ ἱμάτια αὐτοῦ, καὶ ἔπεσεν ἰησοῦς ἐπὶ τὴν γῆν ὑδὴ πρόσωπον αὐτοῦ ἕως ἑσπέρας, αὐτὸς καὶ οἱ πρεσβύτεροι ἰσραὴλ, καὶ ἐπέβαλον χοῦν ὑδὴ τὰς κεφαλὰς αὐτῶν. καὶ εἶπεν ἰησοῦς· δέομαι λύρι λύρι, ἵνατί διεβίβασέν ὁ παῖς σου τὸν λαὸν τοῦτον τὸν ἰορδάνην, παραδοῦναι αὐτὸν τῷ ἀμορῥαίῳ ἀπολέσαι ἡμᾶς; καὶ εἰ κατεμείναμεν καὶ κατῳκίδημεν πέραν τοῦ ἰορδάνου, καὶ τί ὄψῳ; ἐπεὶ μετέβαλεν ἰσραὴλ, αἰχμὰς ἀπῳγάλ τοῦ ἐχθροῦ αὐτοῦ; καὶ ἀκούσας ὁ χαναναῖος, καὶ πάντες οἱ κατῳκηκότες τ γῆν, συνκυκλώσουσι καὶ ἐκτρίψουσιν ἡμᾶς ἀπὸ ⁊ γῆς. καὶ τί ποιήσεις τὸ ὄνομά σε τὸ μέγα; καὶ εἶπε λύρι πρὸς ἰησοῦν· ἀναστηθι, ἵνατί τοῦτο σὺ πεπτωκὼς ὑδὴ πρόσωπόν σε; ἡμάρτηκεν ὁ λαός, παρέβη τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς αὐτούς, καὶ ἔλαβον ἀπὸ τοῦ ἀναθέματος, ἔβαλον εἰς τὰ σκεύη αὐτῶν, καὶ οὐ μὴ δύωνται οἱ υἱοὶ ἰσραὴλ στῆναι κατὰ πρόσωπον τῶν ἐχθρῶν αὐτῶν, ἀπῳγάλ ὧν στρέψουσι ⁊ ὤπιον τῶν ἐχθρῶν αὐτῶν, ὅτι ἐγενήθησαν ἀνάθεμα, οὐ προσθήσω ἔτι εἶναι μεθ' ὑμῶν, ἐὰν μὴ ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν. ἀνάστασον ἁγνισον τὸν λαόν, καὶ εἶπον ἁγνισθῆναι εἰς αὔριον, ὅτι τάδε λέγει λύρι ὁ θεὸς ἰσραὴλ. τὸ ἀνάθεμα ἔστιν ἐν ὑμῖν, οὐ δυνήσεσθε αὐτοὺς στῆναι ἀπῳγάλ τ ἐχθρῶν ὑμῶν, ἕως ἂν ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν, καὶ σωαχθήσεσθε παντὸς πρωῒ ⁊ φυλὰς, καὶ ἔσαι ἡ φυλὴ ἣν ἂν ἐκλέξηται λύρι, προσαχθήσεται ⁊ σήμους, καὶ τὸν σῆμον ὃν ἂν ἐκλέξη λύρι, προσαχθήσεται κατ' οἶκον, καὶ τὸν οἶκον ὃν ἂν ἐκλέξη λύρι προσαχθήσεται κατ' ἄνδρα, καὶ ὃς ἂν ἐκλειχθῇ καταπαυθήσεται πυρί, καὶ πάντα ὅσα ἔστιν αὐτῷ, ὅτι παρέβη τὴν διαθήκην λυρίου, καὶ ἐποίησαν ἀνόμημα ἐν ἰσραὴλ. καὶ ὤρθρισεν ἰησοῦς, καὶ προσήγαγε τὸν λαὸν ⁊ φυλὰς, καὶ ἐκλείχθη ἡ φυλὴ ἰούδα, καὶ προσήχθη ⁊ σήμους. καὶ ἐκλείχθη σῆμος ὁ ζαραέ, ⁊ προσήχθη ὁ σῆμος ὁ ζαραεὶ κατ' οἴκους. καὶ ἐκλείχθη οἶκος ὁ ζαμβρὶ, καὶ προσήχθη ὁ οἶκος κατ' ἄνδρα. καὶ ἐκλείχθη ἄχαρ υἱὸς χαρμῆ υἱοῦ ζαμβρὶ, υἱοῦ ζαρᾶ. καὶ εἶπεν ἰησοῦς τῷ ἄχαρ, σὸς δόξαν σήμερον τῷ λυρίῳ θεῷ ἰσραήλ, καὶ δὸς τὴν ἐξομολόγησιν, καὶ ἀνάγγειλόν μοι τί ἐποίησας, καὶ μὴ ἐρύψῃς ἀπ' ἐμοῦ. καὶ ἀπεκρίθη ἄχαρ τῷ ἰησοῦ, καὶ εἶπεν· ἀληθῶς ἥμαρτον ἐναντι λυρίου ⁊ θεοῦ ἰσραὴλ, ὅτω καὶ ὅτως ἐποίησα, εἶδον ἐν τῇ προνομῇ ψιλὴν ποικίλην, καλὴν, καὶ σαπφείρους δίσραχμα ἀργυρίου, καὶ γλῶσσαν μίαν χρυσῆν πεντήκοντα δίσραχμον, ⁊ ἐθυμήθεις αὐτ ἔλαβον, καὶ ἰδοὺ αὐτὰ ἐγκεκρυμμένα ἐν τῇ γῇ ἐν τῇ σκηνῇ μου, καὶ τὸ ἀργύριον ὑπὸ κάτω αὐτῶν. καὶ ἀπέστειλεν ἰησοῦς ἀγγέλους, καὶ ἔδραμον εἰς τὴν σκηνὴν εἰς τὴν παρεμβολήν, καὶ ταῦτα ἦν κεκρυμμένα ἐν τῇ σκηνῇ αὐτοῦ, ⁊ τὸ ἀργύριον ὑπὸ κάτω αὐτ. καὶ ἤξεγκαν αὐτὰ ἐκ τ σκηνῆς, καὶ ἀνέγκαν πρὸς ἰησοῦν, καὶ

πρὸς πᾶν

πῶς τοῦ πρωθυπάρχοις ἰσραὴλ, καὶ ἔθηκαν αὐτὰ γῶαν λυσίς. καὶ ἔλαβεν ἰησοῦς τὴν ἄχαρ υἱὸν ζαρᾶ, καὶ αὐήγαγεν αὐτὸν εἰς φάραγγα ἀχώρ, καὶ τὸ ἀργύριον καὶ τὴν στολὴν καὶ τὴν γλῶσσαν τὴν χρυσῆν, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ τοὺς μόσχους αὐτοῦ, καὶ τὰ ὑποζύγια αὐτοῦ, καὶ πάντα τὰ πρόβατα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτῶν, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ πᾶς ἰσραὴλ μετ' αὐτοῦ, καὶ αὐήγαγον αὐτοὺς εἰς ἐμεκαχώρ. καὶ εἶπεν ἰησοῦς τίς ἄχαρ, τί ὠλόθρευσας ἡμᾶς; ὀξολοθρεύσαι σε κύριος, καθὰ καὶ σήμερον. καὶ ἐλιθοβόλησαν αὐτὸν γῶ λίθοις πᾶς ἰσραὴλ, καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων μέγαν. καὶ ἐπαύσατο κύριος τοῦ θυμοῦ τῆς ὀργῆς. διὰ τοῦτο ἐπωνόμασεν αὐτὸ ἐμεκαχώρ ἕως τῆς ἡμέρας ταύτης.

ΚΕΦΑΛ. ιʹ. 8.

Καὶ εἶπε κύριος πρὸς ἰησοῦν· μὴ φοβηθῇς, μηδὲ δειλιάσῃς, λάβε μετὰ σαυτοῦ πάντας τοὺς ἄνδρας τοὺς πολεμιστὰς, καὶ ἀναστὰς ἀνάβηθι εἰς γαί, ἰδοὺ δέδωκα εἰς τὰς χεῖράς σου τὸν βασιλέα γαί, καὶ τὴν γῆν αὐτοῦ, καὶ τὸν λαὸν αὐτοῦ, καὶ τὴν πόλιν αὐτοῦ, καὶ ποιήσεις τῇ γαὶ καὶ τῷ βασιλεῖ αὐτῆς, οὗ τρόπον ἐποίησας τῇ ἰεριχῶ, καὶ τῷ βασιλεῖ αὐτῆς. καὶ τὴν πρόνομὴν τὴν ἐκλῳδὴν προνομεύσεις σεαυτῷ. κατάστησον δὲ σεαυτῷ γῆεδρα τῆ πόλει εἰς τὰ ὀπίσω. καὶ ἀνέστη ἰησοῦς, καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς, ὥστε ἀναβῆναι εἰς γαί. καὶ ἐπέλεξεν ἰησοῦς τριάκοντα χιλιάδας ἀνδρῶν δυναστὰς γῇ ἰσχύϊ, καὶ ἀπέστειλεν αὐτοὺς νυκτὸς, καὶ ἐνετείλατο αὐτοῖς λέγων· ὑμεῖς γῆεδρεύσατε ὀπίσω τῆς πόλεως, μὴ μακρὰν γίνεσθε τῆς πόλεως, καὶ ἔσεσθε πάντες ἕτοιμοι, καὶ ἐγὼ, καὶ πᾶς ὁ λαὸς ὁ μετ' ἐμοῦ προσάξομεν πρὸς τὴν πόλιν. καὶ ἔσται ὡς ἂν ἐξέλθωσιν οἱ κατοικοῦντες γαί, εἰς συναντησιν ὑμῖν καθάπερ καὶ πρώην, καὶ φευξόμεθα ἀπὸ προσώπου αὐτῶν, καὶ ὡς ἂν ἐξέλθωσιν ὀπίσω ἡμῶν, ἀπαράσομεν αὐτοὺς ἀπὸ τῆς πόλεως, καὶ ὀροῦσι φεύγουσιν ἔμπροσθεν ἡμῶν, οὗ τρόπου καὶ ἔμπροσθεν. ὑμεῖς δὲ ἐξαναστήσεσθε ἐκ τῆς γῆεδρας, καὶ πορεύεσθε εἰς τὴν πόλιν, καὶ ἐμπρήσετε τὴν πόλιν πυρί. κατὰ τὸ ῥῆμα τοῦτο ποιήσετε, ἰδοὺ γῶ τέταλμαι ὑμῖν. καὶ ἀπέστειλεν αὐτοὺς ἰησοῦς, καὶ ἐπορεύθησαν εἰς τὴν γῆεδραν, καὶ γῆενέδρευσαν ἀνὰ μέσον βαιθὴλ, καὶ ἀνὰ μέσον γαί, ἀπὸ θαλάσσης τῆς γαί. καὶ ὀρθρίσας ἰησοῦς τοπρωΐ, ἐπεσκέψατο τὸν λαόν. καὶ ἀνέβησαν αὐτὸς καὶ οἱ πρεσβύτεροι ἰσραὴλ κατὰ πρόσωπον τοῦ λαοῦ τῶν γαί. καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς μετ' αὐτοῦ ἀνέβησαν, καὶ προσῆλθον ἤλθον ἐξαναστίας τῆς πόλεως ἀπὸ ἀναντλῶν, καὶ τὰ γῆεδρα τῆς πόλεως ἀπὸ θαλάσσης, καὶ παρενέβαλον ἀπὸ βορρᾶ τῆς γαί. καὶ ἦλαβεν ὡς πεντε χιλιάδας ἀνδρῶν, καὶ ἔθετο αὐτοὺς ἐνεδρον, ἀνὰ μέσον βαιθὴλ, καὶ τῆς γαί. καὶ ἔθηκεν ὁ λαὸς πᾶσαν τὴν παρεμβολὴν ἀπὸ βορρᾶ τῆ πόλει, καὶ τὰ ἔσχατα αὐτοῦ θάλασσαν τῆς πόλεως. καὶ ἐπορεύθη ἰησοῦς τὴν νύκτα ἐκείνην γῶ μέσῳ τῆ κοιλάδι. καὶ ἐγνώρισεν ὡς ἔδει ὁ βασιλεὺς τῆς γαί, καὶ ἔσπευσε, καὶ ὤρθρισε, καὶ ἐξῆλθον οἱ ἄνδρες τῆς πόλεως εἰς συναντησιν αὐτοῖς, ἐπ' εὐθείας εἰς τὸν πόλεμον, αὐτὸς καὶ πᾶς ὁ λαὸς αὐτοῦ εἰς τὸν καιρὸν, κατὰ πρόσωπον τῆς γῆεδρας. καὶ αὐτὸς οὐκ ἤδησαν, ὅτι γῆεδρα αὐτῷ ὄπισθεν ὀπίσω τῆς πόλεως. καὶ εἶπε, καὶ ἀνεχώρησεν ἰησοῦς καὶ πᾶς ὁ λαὸς ἀπὸ προσώπου αὐτῶν, καὶ ἔφυγον ὁδὸν τῆς ἐρήμου. καὶ γίσχυσε πᾶς ὁ λαὸς διῶξαι ὀπίσω αὐτῶν, καὶ κατεδίωξαν ὀπίσω τῶν υἱῶν ἰσραὴλ, καὶ αὐτοὶ ἀπέστησαν ἀπὸ τῆς πόλεως, ὁ κατελείφθη ὀδεὶς γῶ τῇ γαὶ καὶ γῶ βαιθὴλ, ὃς οὐ κατεδίωξεν ὀπίσω ἰσραὴλ. καὶ κατέλιπον τὴν πόλιν ἠνεῳγμένην, καὶ κατεδίωξεν ὀπίσω ἰσραὴλ. καὶ εἶπε κύριος πρὸς ἰησοῦν· ἔκτεινον τὴν χεῖρά σε γῶ τῷ γαίσῳ, τῷ γῶ τῇ χειρί σε ὡῖ τὴν πόλιν, εἰς γὰρ τὰς χεῖράς σε παραδέδωκα αὐτὴν, καὶ τὰ ἐνεδρα ἐξαναστήσονται γῶ τάχει ἀπὸ τοῦ τόπου αὐτῶν. καὶ ἐξέτεινεν ἰησοῦς τὴν χεῖρα αὐτοῦ γῶ τῷ γαίσῳ ὡῖ τὴν πόλιν, καὶ τὰ γῆεδρα ἐξανέστησαν γῶ τάχει ἐκ τοῦ τόπου αὐτῶν, καὶ ἐξῆλθοσαν ὅτε ἐξέτεινε τὴν χεῖρα, καὶ εἰσῆλθοσαν εἰς τὴν πόλιν, καὶ κατελάβοντο αὐτὴν, καὶ ἀσθύσαντες γῆεπρησαν αὐτὴν γῶ πυρί. καὶ προβλέψαντος οἱ κατοικοῦντες γαὶ εἰς τὰ ὀπίσω αὐτῶν, ἐθεώρουν τὸν καπνὸν ἀναβαίνοντα ἐκ τῆς πόλεως εἰς τὸν οὐρανὸν, καὶ οὐκέτι εἶχον ποῦ φύγωσιν ὧδε ἢ ὧδε. καὶ ὁ λαὸς ὁ φεύγων εἰς τὴν ἔρημον, ἐστράφησαν ὡῖ τοὺς διώκοντας.

ΚΕΦΑΛ. ιʹ. 9.

Καὶ ἰησοῦς καὶ πᾶς ἰσραὴλ εἶδον ὅτι ἔλαβον τὰ γῆεδρα τὴν πόλιν, καὶ ὅτι ἀνέβη ὁ καπνὸς εἰς τὸν οὐρανὸν, καὶ μεταβαλλόμενοι ἐπάταξαν τοὺς ἄνδρας τοὺς γαί. καὶ οὗτοι ἐξῆλθον ἐκ τῆς πόλεως εἰς συναντησιν αὐτῶν. καὶ ἐγκυκλώθησαν ἀνὰ μέσον τοῦ ἰσραὴλ οἱ παρεμβολῆς, οὗτοι γῶ τοὔθ', καὶ οὗτοι γῶ τοὔθ', καὶ ἐπάταξαν αὐτοὺς ἕως τοῦ μὴ καταλειφθῆναι αὐτῶν σεσωσμένον καὶ διαπεφυγότα. καὶ τὸν βασιλέα τῆς γαὶ συνέλαβον ζῶντα, καὶ προσήγαγον αὐτὸν πρὸς τὸν ἰησοῦν. καὶ ἐγένοντο ὡς ἐπαύσαντο οἱ υἱοὶ ἰσραὴλ ἀποκτείνοντες ἅπαντας τοὺς γῶ τῇ γαὶ, καὶ τοὺς γῶ τοῖς πεδίοις, καὶ γῶ τῷ ὄρει τῆς καταβάσεως, ὃς κατεδίωξαν αὐτοὺς, καὶ ἔπεσον πάντων γῶ στόματι ῥομφαίας ἀπ' αὐτῆς εἰς τέλος. καὶ ἐπέστρεψεν ἰησοῦς εἰς γαί, καὶ ἐπάταξεν αὐτὴν γῶ στόματι ῥομφαίας. καὶ ἐγκυκλώθησαν πάντες οἱ πεσόντες γῶ τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς, δισχίλιοι χιλιάδες πάντες οἱ κατοικοῦντες γαί. καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰησοῦς οὐκ ἐπέστρεψε χεῖρα, ἕως οὗ ἐξετανύσῃ τὴν γῆν, ἕως ἀνεθεμάτισε πάντας τοὺς κατοικοῦντας γαί, πλὴν τῶν Ἐυαίων τῶν κατοικούντων ἐν Γαζῃ καὶ ἐν Ἀζώτῳ καὶ ἐν Γεθ καὶ ἐν Ἀσκάλωνι· ἐν τῇ πόλει ἐκείνῃ, πάντα ἐπρονόμευσαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τὰ κτήνη καὶ τὰ σκύλα ἀπὸ τῶν ἀνθρώπων, ὃν τρόπον συνέταξε κύριος τῷ Ἰησοῦ. καὶ ἐποίησεν Ἰησοῦς τὴν πόλιν ἐν τῷ πυρί, χώματα ἀοίκητον εἰς τὸν αἰῶνα ἔθηκεν αὐτὴν ἕως τῆς ἡμέρας ταύτης. καὶ τὸν Βασιλέα Ἀὶ γαὶ ἐκρέμασεν ἐπὶ ξύλου διὰ παντός, καὶ ἐν ὥρᾳ τοῦ ξύλου ἕως ἑσπέρας. καὶ ἐπὶ δυόντος τοῦ ἡλίου συνέταξεν Ἰησοῦς, καὶ καθεῖλον τὸ σῶμα αὐτοῦ ἀπὸ τοῦ ξύλου, καὶ ἔρριψαν αὐτὸ εἰς τὸν βόθρον ὅθεν ἐξῆλθε πρὸς τὴν πύλην τῆς πόλεως, καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων μέγαν, ἕως τῆς ἡμέρας ταύτης. τότε ᾠκοδόμησεν Ἰησοῦς θυσιαστήριον κυρίῳ τῷ θεῷ Ἰσραὴλ ἐν ὄρει Γαιβάλ, καθότι ἐνετείλατο Μωϋσῆς ὁ θεράπων κυρίου τοῖς υἱοῖς Ἰσραὴλ, καθὰ γέγραπται ἐν τῷ νόμῳ Μωϋσῆ, θυσιαστήριον ἐκ λίθων ὁλοκλήρων, ἐφ' οὓς οὐκ ἐπεβλήθη ἐπ' αὐτοὺς σίδηρος. καὶ ἀνεβίβασεν ἐκεῖ ὁλοκαυτώματα κυρίῳ, καὶ θυσίαν σωτηρίου. καὶ ἔγραψεν Ἰησοῦς τὸ δευτερονόμιον τοῦτο ἐν λίθοις, νόμον Μωϋσῆ, ὃν ἔγραψεν ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ. καὶ πᾶς Ἰσραὴλ καὶ οἱ πρεσβύτεροι αὐτῶν, καὶ οἱ δικασταὶ αὐτῶν, καὶ οἱ γραμματεῖς αὐτῶν, παρεπορεύοντο ἐνθεν καὶ ἐνθεν τῆς διαθήκης καὶ οἱ ἱερεῖς οἱ λευῖται ἦραν τὴν διαθήκην κυρίου, καὶ ὁ προσήλυτος καὶ αὐτόχθων οἱ ἦσαν ἡμίσεις αὐτῶν πλησίον ὄρους Γαιβάλ, καθὰ ἐνετείλατο Μωϋσῆς ὁ θεράπων κυρίου εὐλογῆσαι τὸν λαὸν Ἰσραὴλ ἐν πρώτοις. καὶ μετὰ τοῦτα ἀνέγνω Ἰησοῦς πάντα τὰ ῥήματα τοῦ νόμου τούτου, τὰς εὐλογίας καὶ τὰς κατάρας, κατὰ πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωϋσῆ. ἓν λόγον ῥῆμα ἀπὸ πάντων ὧν ἐνετείλατο Μωϋσῆς τῷ Ἰησοῦ, ὃ οὐκ ἀνέγνω Ἰησοῦς ἐνώπιον πάσης τῆς ἐκκλησίας υἱῶν Ἰσραὴλ, τοῖς ἀνδράσι καὶ ταῖς γυναιξί, καὶ τοῖς παιδίοις, καὶ τοῖς προσηλύτοις τοῖς προσπορευομένοις τῷ Ἰσραήλ.

ΚΕΦΑΛ. ι'. 10.

ΩΣ δὲ ἤκουσαν πάντες οἱ βασιλεῖς τῶν Ἀμορραίων, οἱ ἐν τῷ ὄρει τῷ Ἰορδάνῃ, οἱ ἐν τῇ ὀρεινῇ, καὶ οἱ ἐν τῇ πεδινῇ, καὶ οἱ ἐπὶ τῇ παραλίᾳ τῆς θαλάσσης τῆς μεγάλης, καὶ οἱ πρὸς τῷ Λιβάνῳ, καὶ οἱ χετταῖοι καὶ οἱ Ἀμορραῖοι, καὶ οἱ χαναναῖοι, καὶ οἱ φερεζαῖοι, καὶ οἱ εὐαῖοι, καὶ οἱ ἰεβουσαῖοι συνήλθοσαν ἅμα τὸ αὐτὸ εἰς τὸ πολεμῆσαι Ἰησοῦν, καὶ Ἰσραὴλ ἅμα πάντες. Καὶ οἱ κατοικοῦντες Βενὲ γαβαὼν ἤκουσαν πάντα ὅσα ἐποίησε Λυτρωτὴς τῇ Ἰεριχὼ καὶ τῇ γαί. καὶ ἐποίησαν καὶ γε αὐτοὶ μετὰ πανουργίας, καὶ ἐλθόντες ἐπεσύσαντο καὶ ἠτοιμάσαντο, καὶ λαβόντες σάκκους παλαιοὺς ἐπὶ τῶν ὄνων αὐτῶν, καὶ ἀσκοὺς οἴνου παλαιοὺς κατερρωγότας καὶ δεδεμένους, καὶ τὰ ποδήματα τῶν ὑποδημάτων αὐτῶν, καὶ τὰ σανδάλια αὐτῶν παλαιὰ καὶ κατατετελματωμένα ἐν τοῖς ποσὶν αὐτῶν, καὶ τὰ ἱμάτια αὐτῶν παλαιωμένα ἐπάνω αὐτῶν, καὶ οἱ ἄρτοι αὐτῶν τοῦ σιτισμοῦ ἐγλοιθήσαν ξηροὶ καὶ σύροντο καὶ βεβρωμένοι, καὶ ἦλθον πρὸς Ἰησοῦν εἰς τὴν παρεμβολὴν Ἰσραὴλ ἕως Γάλγαλα, καὶ εἶπαν πρὸς Ἰησοῦν καὶ πρὸς πάντα Ἰσραὴλ· ἐκ γῆς μακρόθεν ἥκαμεν, καὶ νῦν διάθεσθε ἡμῖν διαθήκην. καὶ εἶπαν υἱοὶ Ἰσραὴλ πρὸς τὸν Χορβαῖον· ὅρα μὴ σὺ ἐμοὶ κατοικεῖς, καὶ πῶς σοι διαθήσομαι διαθήκην; καὶ εἶπαν πρὸς Ἰησοῦν· οἰκέται σού ἐσμεν. καὶ εἶπε πρὸς αὐτοὺς Ἰησοῦς· πόθεν ἐστέ, καὶ πόθεν παραγεγόνατε; καὶ εἶπαν πρὸς αὐτόν· ἐκ γῆς μακρόθεν σφόδρα, ἥκασιν οἱ παῖδές σου διὰ ὄνομα κυρίου τοῦ θεοῦ σου. ἀκηκόαμεν γὰρ τὸ ὄνομα αὐτοῦ, καὶ ἅπαντα ὅσα ἐποίησεν ἐν Αἰγύπτῳ, καὶ πάντα ὅσα ἐποίησε τοῖς δυσὶ βασιλεῦσι τῶν Ἀμορραίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, τῷ σιὼν βασιλεῖ Ἐσεβών, καὶ τῷ ὢγ βασιλεῖ τῆς Βασάν, ὃς κατῴκει ἐν Ἀστερὼθ καὶ ἐν Ἀδραείμ. καὶ ἀκούσαντες εἶπαν πρὸς ἡμᾶς οἱ πρεσβύτεροι ἡμῶν, καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ἡμῶν λέγοντες· λάβετε ἑαυτοῖς σῖτα σιτισμὸν εἰς τὴν ὁδόν, καὶ πορεύθητε εἰς συνάντησιν αὐτῶν, καὶ ῥεῖτε πρὸς αὐτούς· οἰκέται ὑμῶν ἐσμεν, καὶ νῦν διάθεσθε ἡμῖν διαθήκην. οὗτοι οἱ ἄρτοι ἡμῶν, θερμοὺς ἐφωδιάσθημεν αὐτοὺς ἐκ οἴκου ἡμῶν, ἐν τῇ ἡμέρᾳ ᾗ ἐξήλθομεν παραγενέσθαι πρὸς ὑμᾶς, νῦν δὲ ἐξηραίνθησαν καὶ γεγόνασι βεβρωμένοι. καὶ οὗτοι οἱ ἀσκοὶ τοῦ οἴνου, οὓς ἐπλήσαμεν καινούς, καὶ οὗτοι ἐρράγασι. καὶ ταῦτα τὰ ἱμάτια ἡμῶν, καὶ τὰ ὑποδήματα ἡμῶν παλαιοῦνται ἀπὸ τῆς ὁδοῦ τῆς πολλῆς σφόδρα. καὶ ἔλαβον οἱ ἄρχοντες τοὺς σιτισμοὺς αὐτῶν, καὶ κύριον οὐκ ἐπηρώτησαν. καὶ ἐποίησεν Ἰησοῦς πρὸς αὐτοὺς εἰρήνην, καὶ διέθετο πρὸς αὐτοὺς διαθήκην, τοῦ διασῶσαι αὐτούς, καὶ ὤμοσαν αὐτοῖς οἱ ἄρχοντες τῆς συναγωγῆς. καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας, μετὰ τὸ διαθέσθαι αὐτοὺς διαθήκην, ἤκουσαν ὅτι ἐγγύθεν αὐτῶν εἰσι, καὶ ὅτι ἐν αὐτοῖς κατοικοῦσι, καὶ ἀπῆραν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἦλθον εἰς τὰς πόλεις αὐτῶν τῇ ἡμέρᾳ τῇ τρίτῃ. αἱ δὲ πόλεις αὐτῶν, Γαβαὼν καὶ Βεθειρὰ καὶ Βηρώθ, καὶ πόλεις Ἰαρείμ. καὶ οὐκ ἐπολέμησαν αὐτοῖς οἱ υἱοὶ Ἰσραὴλ, ὅτι ὤμοσαν αὐτοῖς πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς, κύριον τὸν θεὸν Ἰσραὴλ. καὶ διεγόγγυσε πᾶσα ἡ συναγωγὴ ἐπὶ τοῖς ἄρχουσι. καὶ εἶπαν οἱ ἄρχοντες πᾶσι τῇ συναγωγῇ· ἡμεῖς ὠμόσαμεν αὐτοῖς κύριον τὸν θεὸν Ἰσραὴλ, καὶ νῦν οὐ δυνησόμεθα ἅψασθαι αὐτῶν. τοῦτο ποιήσωμεν, ζωγρήσαι αὐτούς, καὶ μὴ ἐπιπονήσωμεν αὐτούς, καὶ οὐκ ἔσται καθ' ἡμῶν ὀργὴ διὰ τὸν

ὅρκον

ΚΑὶ ἦλθε γεδεὼν ἐπὶ τὸν ἰορδάνην, καὶ διέβη αὐτὸς, καὶ οἱ τριακόσιοι ἄνδρες οἱ μετ' αὐτοῦ, ὀλίγον ψυχοῦντες, καὶ πεινῶντες, καὶ εἶπε τοῖς ἀνδράσι σοκχώθ· δότε δὴ ἄρτους εἰς τὴν προφὴν τοῦ λαοῦ τούτου τοῦ μετ' ἐμοῦ, ὅτι πέφνωσιν. ἐγὼ δὲ διώκω ὀπίσω τοῦ ζεβεὲ, καὶ σαλμανὰ βασιλέων μαδιὰμ. καὶ εἶπαν οἱ ἄρχοντες σοκχώθ, μὴ χεὶρ ζεβεὲ καὶ σαλμανὰ ἐν τῇ χειρί σε, ὅτι δώσομεν τῇ στρατιᾷ σε ἄρτους; καὶ εἶπε γεδεών· ἐχ ὅτως, ἐν τῷ δοῦναι κύριον τὸν ζεβεὲ καὶ τὸν σαλμανὰ ἐν τῇ χειρί μου, καὶ ἐγὼ κατατέξω τὰς σάρκας ὑμῶν ἐν ταῖς ἀκάνθαις τῆς ἐρήμου, καὶ ἐν τοῖς βορκοννείμ. καὶ ἀνέβη ἐκεῖθεν εἰς φανουήλ, καὶ ἐλάλησε πρὸς αὐτοὺς κατὰ ταυτά. καὶ ἀπεκρίθησαν αὐτῷ ἄνδρες φανουήλ, ὃν τρόπον ἀπεκρίθησαν αὐτῷ οἱ ἄνδρες σοκχώθ. καὶ εἶπε γεδεὼν τοῖς ἀνδράσι φανουήλ· ἐν τῷ ἀποστρέφειν με μετ' εἰρήνης, κατασκάψω τὸν πύργον τοῦτον, καὶ ζεβεὲ καὶ σαλμανὰ ἐν καρκάρ, καὶ ἡ παρεμβολὴ αὐτῶν μετ' αὐτῶν, ὡσεὶ δεκαπέντε χιλιάδες, οἱ κατελείφθησαν ἐν πάσῃ τῇ παρεμβολῇ ὑμῶν ἀνατολῶν· καὶ οἱ πεπτωκότες, ἑκατὸν εἴκοσι καὶ ὀκτὼ χιλιάδες ἀνδρῶν ἐσπασμένων ῥομφαίαν. καὶ ἀνέβη γεδεὼν ὁδὸν τῶν κατοικούντων ἐν σκηναῖς, ἀπὸ ἀνατολῶν τῆς ναβαὲ, καὶ ἐξ ἐναντίας ναβὲ, καὶ ἐπάταξε τὴν παρεμβολήν, καὶ ἡ παρεμβολὴ ἦν πεποιθυῖα. καὶ ἔφυγε ζεβεὲ καὶ σαλμανὰ, καὶ ἐδίωξεν ὀπίσω αὐτῶν, καὶ ἐκράτησε τοὺς δύο βασιλεῖς μαδιὰμ τὸν ζεβεὲ καὶ τὸν σαλμανὰ, καὶ πᾶσαν τὴν παρεμβολὴν αὐτῶν ἐξέπεσε. καὶ ἀνέστρεψε γεδεὼν υἱὸς ἰωὰς ἐκ τῆς παρατάξεως ἀπὸ ἀναβάσεως ἡλίου, καὶ συνέλαβε παιδάριον ἐκ τῶν ἀνδρῶν σοκχώθ, καὶ ἐπηρώτησεν αὐτόν. καὶ ἀπεγράψατο πρὸς αὐτὸν τοὺς ἄρχοντας, καὶ τοὺς πρεσβυτέρους αὐτῆς, ἑβδομήκοντα καὶ ἑπτὰ ἄνδρας. καὶ ἦλθε γεδεὼν πρὸς τοὺς ἄρχοντας σοκχώθ, καὶ εἶπεν αὐτοῖς· ἰδοὺ ζεβεὲ καὶ σαλμανὰ, περὶ οὓς ὠνείδισατέ με λέγοντες, μὴ χεὶρ ζεβεὲ καὶ σαλμανὰ νῦν ἐν τῇ χειρί σου; ὅτι δώσομεν τοῖς ἀνδράσι σου τοῖς ἐκλυομένοις ἄρτους; καὶ ἔλαβε τοὺς ἄρχοντας καὶ τοὺς πρεσβυτέρους τῆς πόλεως, καὶ κατέξανεν αὐτοὺς, καὶ τὰς ἀκάνθας τῆς ἐρήμου, καὶ τὰς βαρκηλωείμ, καὶ κατέξανεν ἐν αὐτοῖς τοὺς ἄνδρας σοκχώθ, καὶ τὸν πύργον φανουὴλ κατέσκαψε, καὶ ἀπέκτεινε τοὺς ἄνδρας τῆς πόλεως, καὶ εἶπε πρὸς ζεβεὲ καὶ σαλμανά· ποῦ οἱ ἄνδρες οὓς ἀπεκτείνατε ἐν θαβώρ; καὶ εἶπαν· ὡς εἶ σύ, ὡς αὐτοί, ὁμοίως σὺ ὁμοίως αὐτοῖς ὡς εἶδος υἱῶν βασιλέως. καὶ εἶπε γεδεών· ἀδελφοί μου υἱοὶ τῆς μητρός μου εἰσίν. καὶ ὤμοσεν αὐτοῖς, ζῇ κύριος εἰ ἐζωογονήσατε αὐτούς, οὐκ ἂν ἀπέκτεινα ὑμᾶς. καὶ εἶπεν ἰεθὲρ τῷ πρωτοτόκῳ αὐτοῦ· ἀνάστα ἀπόκτεινον αὐτούς, καὶ οὐκ ἔσπασε τὸ παιδάριον αὐτοῦ τὴν μάχαιραν αὐτοῦ, ὅτι ἐφοβήθη, ὅτι νεώτερος ἦν. καὶ εἶπε ζεβεὲ καὶ σαλμανά· ἀνάστα σὺ, καὶ ἄψαι σὺ καὶ ἀνὴρ ἡμῖν, ὅτι ὡς ἀνὴρ ἡ δυνάμις αὐτοῦ. καὶ ἀνέστη γεδεὼν, καὶ ἀπέκτεινε τὸν ζεβεὲ καὶ τὸν σαλμανὰ, καὶ ἔλαβε τοὺς μηνίσκους τοὺς ἐν τοῖς τραχήλοις τῶν καμήλων αὐτῶν. καὶ εἶπαν ἀνὴρ ἰσραὴλ πρὸς γεδεών· ἄρχε ἡμῶν καὶ σὺ καὶ οἱ υἱοί σου, καὶ ὁ υἱὸς τοῦ υἱοῦ σου, ὅτι σὺ ἔσωσας ἡμᾶς ἐκ χειρὸς μαδιάμ. καὶ εἶπε πρὸς αὐτοὺς γεδεών· οὐκ ἄρξω ἐγὼ ὑμῶν, καὶ οὐκ ἄρξει ὁ υἱός μου ὑμῶν, κύριος ἄρξει ὑμῶν. καὶ εἶπε πρὸς αὐτοὺς γεδεών· αἰτήσομαι παρ' ὑμῶν αἴτησιν, καὶ δότω μοι ἀνὴρ ψιὸν ἐξ τῶν σκύλων αὐτοῦ. ὅτι ψιὸν χρυσᾶ ἦν αὐτοῖς, ὅτι ἦσαν ἰσμαηλῖται. καὶ εἶπαν· δοῦναι δώσομεν. καὶ ἀνέπτυξε τὸ ἱμάτιον αὐτοῦ, καὶ ἐρρίψαν ἀνὴρ ἐκεῖ ψιὸν τῶν σκύλων αὐτοῦ, καὶ ἐγένετο ὁ σταθμὸς τῶν ψιῶν τῶν χρυσῶν ὧν ἠτήσατο, σίκλοι χίλιοι καὶ ἑπτακόσιοι χρυσίου, πλὴν τῶν σιρώνων, καὶ τῶν ὁρμίσκων καὶ φόβ, καὶ τῶν περιβολαίων τῶν πορφυρῶν, καὶ τῶν ὕδη τοῖς βασιλεῦσι μαδιάμ, πλὴν τῶν ἐλοιῶν τῶν ἐν τοῖς τραχήλοις τῶν καμήλων αὐτῶν. καὶ ἐποίησαν αὐτὸ γεδεὼν εἰς ἐφὼδ, καὶ ἔστησαν αὐτὸ ἐν τῇ πόλει αὐτοῦ ἐν ἐφραθᾶ. καὶ ἐξεπόρνευσε πᾶς ἰσραὴλ ὀπίσω αὐτοῦ ἐκεῖ. καὶ ἐγένετο τῷ γεδεὼν καὶ τῷ οἴκῳ αὐτοῦ εἰς σκάνδαλον, καὶ ἐστράφη μαδιὰμ ἐνώπιον τῶν υἱῶν ἰσραὴλ, καὶ οὐ προσέθεντο ἆραι κεφαλὴν αὐτῶν. καὶ ἦσυχάσαν ἡ γῆ τεσσαράκοντα ἔτη ἐν ἡμέραις γεδεών. καὶ ἐπορεύθη ἰεροβάαλ υἱὸς ἰωὰς, καὶ κατῴκησεν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ τῷ γεδεὼν ἦσαν υἱοὶ ἑβδομήκοντα, ἐκπορευόμενοι ἐκ μηρῶν αὐτοῦ, ὅτι γυναῖκες πολλαὶ ἦσαν αὐτῷ. καὶ ἡ παλλακὴ αὐτοῦ ἡ ἐν συκίμοις, ἔτεκεν αὐτῷ καὶ αὐτὴ υἱόν, καὶ ἐπέθηκε τὸ ὄνομα αὐτοῦ ἀβιμέλεχ. καὶ ἀπέθανε γεδεὼν υἱὸς ἰωὰς ἐν πολιᾷ ἀγαθῇ, καὶ ἐτάφη ἐν τῷ τάφῳ ἰωὰς τοῦ πατρὸς αὐτοῦ ἐν ἐφραθᾶ, πατρὸς τοῦ ἐσδρεί. καὶ ἐγενήθη ὡς ἀπέθανε γεδεών, καὶ ἀπεστράφησαν οἱ υἱοὶ ἰσραὴλ, καὶ ἐξεπόρνευσαν ὀπίσω τῶν βααλείμ, καὶ ἔθεντο αὐτοῖς τὸν βααλβερὶθ θεὸν αὐτῶν εἰς θεόν, καὶ οὐκ ἐμνήσθησαν οἱ υἱοὶ ἰσραὴλ κυρίου τοῦ θεοῦ αὐτῶν, τοῦ ῥύσαμένου αὐτοὺς ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτῶν κυκλόθεν, καὶ οὐκ ἐποίησαν ἔλεος μετὰ τοῦ οἴκου ἰεροβάαλ, αὐτὸς ὄν γεδεών, κατὰ πᾶσαν τὴν ἀγαθωσύνην ἣν ἐποίησε μετὰ ἰσραήλ.

ΚΕΦΑΛ. ϑ. 9.

ΚΑὶ ἐπορεύθη ἀβιμέλεχ υἱὸς ἰεροβάαλ εἰς συκίμους πρὸς τοὺς ἀδελφοὺς τῆς μητρὸς αὐτοῦ, καὶ ἐλάλησε πρὸς αὐτοὺς, καὶ πρὸς πᾶσαν τὴν συγγένειαν τοῦ οἴκου τοῦ πατρὸς τῆς μητρὸς αὐτοῦ λέγων· λαλήσατε δὴ ἐν τοῖς ὠσὶ πάντων τῶν ἀνδρῶν συκίμων, ποῖον βέλτιον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμῖν. τὸ ἀρχὴν ὑμῶν ἐβδομήκοντα ἄνδρας πάντας υἱοὺς ἱεροβάαλ, ἢ λυριδύειν ὑμῶν ἄνδρα ἕνα; καὶ μνησθῆτε ὅτι ὀστοῦν ὑμῶν καὶ σὰρξ ὑμῶν ἐστὶν ἐγώ. καὶ ἐλάλησαν περὶ αὐτοῦ οἱ ἀδελφοὶ τῆς μητρὸς αὐτοῦ, ἐν τοῖς ὠσὶ πάντων τῶν ἀνδρῶν συκίμων, πάντας τοὺς λόγους τούτους, καὶ ἐκλίνεν ἡ καρδία αὐτῶν ὀπίσω ἀβιμέλεχ, ὅτι εἶπαν ἀδελφὸς ἡμῶν ἐστι. καὶ ἔδωκαν αὐτῷ ἑβδομήκοντα ἀργυρίου ἐκ τοῦ οἴκου βααλβερίθ σλαθήκης, καὶ ἐμισθώσατο ἐν αὐτοῖς ἀβιμέλεχ ἄνδρας λιγνούς, καὶ θαμβουμμίους, καὶ ἐπορεύθησαν ὀπίσω αὐτοῦ, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ εἰς ἐφραθᾶ, καὶ ἀπέκτεινε τοὺς ἀδελφοὺς αὐτοῦ, τοὺς υἱοὺς ἱεροβάαλ ἑβδομήκοντα ἄνδρας ἐπὶ λίθον ἕνα. καὶ κατελείφθη ἰωάθαμ υἱὸς ἱεροβάαλ ὁ νεώτερος, ὅτι ἐκρύβη. καὶ συνήχθησαν πάντες οἱ ἄνδρες συκίμων, καὶ πᾶς ὁ οἶκος μααλώ. καὶ ἐπορεύθησαν, καὶ ἐβασίλευσαν τὸν ἀβιμέλεχ πρὸς τὴν βαλανωτὴν στάσεως τῆς ἐν συκίμοις. καὶ ἀνήγγειλαν τῷ ἰωάθαμ. καὶ ἐπορεύθη καὶ ἔστη ἐν τῇ κορυφῇ τοῦ ὄρους γαριζεὶν, καὶ ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἐκάλεσε καὶ εἶπεν αὐτοῖς· ἀκούσατέ μου ἄνδρες συκίμων, καὶ ἀκούσεται ὑμῶν ὁ θεός· πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρίσαι ἐφ' ἑαυτοῖς βασιλέα, καὶ εἶπαν τῇ ἐλαίᾳ· βασίλευσον ἐφ' ἡμῶν. καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· ἀφείσα τὴν πιότητά μου, ἣν ἐν ἐμοὶ ἐνδοξάσουσιν ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορεύθητε ἄρχειν τῶν ξύλων; καὶ εἶπαν τὰ ξύλα τῇ συκῇ· δεῦρο βασίλευσον ἐφ' ἡμῶν. καὶ εἶπεν αὐτοῖς ἡ συκῆ· ἀφείσα τὴν γλυκύτητά μου, καὶ τὸν γένημά μου τὸν ἀγαθὸν, πορεύθητε ἄρχειν τῶν ξύλων; καὶ εἶπαν τὰ ξύλα τῇ ἀμπέλῳ· δεῦρο βασίλευσον ἐφ' ἡμῶν. καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος· ἀφείσα τὸν οἶνόν μου, τὸν εὐφροσύνην τοῦ ἀνθρώπου, πορεύθητε ἄρχειν τῶν ξύλων; καὶ εἶπαν πάντα τὰ ξύλα πρὸς τὴν ῥαμνον· δεῦρο βασίλευσον ἐφ' ἡμῶν. καὶ εἶπεν ἡ ῥαμνος πρὸς τὰ ξύλα· εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς τοῦ βασιλεύειν ἐφ' ὑμᾶς, δεῦτε πεποίθατε ἐν τῇ σκέπῃ μου. καὶ εἰ μή, ἐξέλθοι πῦρ ἐκ τῆς ῥαμνου, καὶ κατάφαγοι τοὺς κέδρους τοῦ λιβάνου. καὶ νῦν εἰ ἐν ἀληθείᾳ καὶ ἐν τελειότητι ἐποιήσατε, καὶ ἐβασιλεύσατε τὸν ἀβιμέλεχ, καὶ εἰ κατὰ θὼς ἐποιήσατε μετὰ ἱεροβάαλ, καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ εἰ κατὰ τὸ ἀνταπόδομα τῶν χειρῶν αὐτοῦ ἐποιήσατε αὐτῷ, ὡς ἐπολέμησεν ὁ πατήρ μου ὑπὲρ ὑμῶν. καὶ ἔρριψε τὴν ψυχὴν αὐτοῦ ἐξεναντίας, καὶ ἐρρύσατο ὑμᾶς ἐκ χειρὸς μαδιάμ, καὶ ὑμεῖς ἐπανέστητε ἐπὶ τὸν οἶκον τοῦ πατρός μου σήμερον, καὶ ἀπεκτείνατε τοὺς υἱοὺς αὐτοῦ ἑβδομήκοντα ἄνδρας ἐπὶ λίθον ἕνα, καὶ ἐβασιλεύσατε τὸν ἀβιμέλεχ υἱὸν τῆς παιδίσκης αὐτοῦ ὅτι οὐκ ἄνδρας συκίμων, ὅτι ἀδελφὸς ὑμῶν ἐστι. καὶ ἐν ἀληθείᾳ καὶ ἐν τελειότητι ἐποιήσατε μετὰ ἱεροβάαλ καὶ τοῦ οἴκου αὐτοῦ τῇ ἡμέρᾳ ταύτῃ, εὐλογηθείητε ὑμεῖς καὶ εὐφρανθείη ἐν ἀβιμέλεχ, καὶ εὐφρανθείη ἐν ὑμῖν. καὶ εἰ μή, ἐξέλθοι πῦρ ἀβιμέλεχ, καὶ κατάφαγοι τοὺς ἄνδρας συκίμων, καὶ τὸν οἶκον μααλώ, καὶ ἐξέλθοι πῦρ ἀπὸ τῶν ἀνδρῶν συκίμων καὶ ἐκ τοῦ οἴκου μααλώ, καὶ κατάφαγοι τὸν ἀβιμέλεχ. καὶ ἀπέδρα ἰωάθαμ, καὶ ἔφυγε καὶ ἐπορεύθη εἰς βηρά, καὶ κατῴκησεν ἐκεῖ ἀπὸ προσώπου ἀβιμέλεχ τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ ἦρξεν ἀβιμέλεχ ἐπὶ ἰσραὴλ τρία ἔτη, καὶ ἐξαπέστειλεν ὁ θεὸς πνεῦμα πονηρὸν ἀνὰ μέσον ἀβιμέλεχ, καὶ ἀνὰ μέσον τῶν ἀνδρῶν συκίμων, καὶ ἐθέτησαν οἱ ἄνδρες συκίμων ἐν τῷ οἴκῳ ἀβιμέλεχ, τοῦ ἐπαγαγεῖν τὴν ἀδικίαν τῶν ἑβδομήκοντα υἱῶν ἱεροβάαλ, καὶ τὸ αἷμα αὐτῶν ἐπιθεῖναι ἐπὶ ἀβιμέλεχ τὸν ἀδελφὸν αὐτῶν ὃς ἀπέκτεινεν αὐτούς, καὶ ἐπὶ τοὺς ἄνδρας συκίμων ὅτι ἐνίσχυσαν τὰς χεῖρας αὐτοῦ ὡς τοῦ ἀποκτεῖναι τοὺς ἀδελφοὺς αὐτοῦ. καὶ ἔθετο αὐτῷ οἱ ἄνδρες συκίμων ἐνέδρας ἐπὶ τὰς κεφαλὰς τῶν ὀρέων, καὶ ἀνήρπαζον πάντας τοὺς διαπορευομένους ἐπ' αὐτοὺς ἐν τῇ ὁδῷ, καὶ ἀπηγγέλη τῷ ἀβιμέλεχ. καὶ ἦλθε γαὰλ υἱὸς ἀβέδ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ παρῆλθον εἰς συκίμα, καὶ ἐπίστευσαν ἐπ' αὐτῷ οἱ ἄνδρες συκίμων, καὶ ἐξῆλθον εἰς ἀγρὸν, καὶ ἐτρύγησαν τοὺς ἀμπελῶνας αὐτῶν, καὶ ἐπάτησαν, καὶ ἐποίησαν χορούς, καὶ ἐξῆλθον εἰς οἶκον θεοῦ αὐτῶν, καὶ ἔφαγον, καὶ ἔπιον, καὶ κατηρῶντο τὸν ἀβιμέλεχ. καὶ εἶπε γαὰλ υἱὸς ἀβέδ· τίς ὅτι ἀβιμέλεχ; καὶ τίς ὅτι υἱὸς συχέμ, ὅτι δουλεύσομεν αὐτῷ; οὐχὶ υἱὸς ἱεροβάαλ, καὶ ζεβοὺλ ἐπίσκοπος αὐτοῦ, δουλεύσατε τοῖς ἀνδράσιν ἐμμὼρ πατρὸς συχέμ; καὶ τί ὅτι δουλεύσομεν αὐτῷ ἡμεῖς; καὶ τίς δώσει τὸν λαὸν τοῦτον ἐν χειρί μου; καὶ μετασπάσω τὸν ἀβιμέλεχ; καὶ ὀρθὸς τῷ ἀβιμέλεχ· πληθύνατε τὴν δύναμίν σου, καὶ ἔξελθε. καὶ ἤκουσε ζεβοὺλ ὁ ἄρχων τῆς πόλεως τοὺς λόγους γαὰλ υἱοῦ ἀβέδ, καὶ ἐθυμώθη ὀργῇ, καὶ ἀπέστειλεν ἀγγέλους πρὸς ἀβιμέλεχ μετὰ δόλου λέγων· ἰδοὺ γαὰλ υἱὸς ἀβέδ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ παραγεγόνασιν εἰς συκίμα, καὶ ἰδοὺ πολιορκοῦσι τὴν πόλιν ἐπὶ σέ. καὶ νῦν ἀνάστηθι νυκτὸς, καὶ ὁ λαὸς ὁ μετὰ σοῦ, καὶ ἐνέδρευσον τοπρωῒ ἐν τῷ ἀγρῷ. καὶ ἔσται τοπρωΐ, ἅμα τῷ ἀνατέλλαι τὸν ἥλιον, ὀρθριεῖς καὶ ἐκτενεῖς ἐπὶ τὴν πόλιν. καὶ ἰδοὺ αὐτὸς καὶ ὁ λαὸς ὁ μετ' αὐτοῦ ἐκπορεύονται πρὸς σέ, καὶ ποιήσεις αὐτῷ καθὰ ἐὰν εὕρῃ ἡ χείρ σου. καὶ ἀνέστη ἀβιμέλεχ καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ νυκτὸς, καὶ ἐνήδρευσαν ἐπὶ συκίμα τέσσαρσιν ἀρχαῖς. καὶ ἐξῆλθε γαὰλ υἱὸς ἀβέδ, καὶ ἔστη πρὸς τῇ θύρᾳ τῆς πύλης τῆς πόλεως, καὶ ἀνέστη ἀβιμέλεχ καὶ ὁ λαὸς ὁ μετ' αὐτοῦ ἐκ τῶν ἐνέδρων. καὶ εἶδε γαὰλ υἱὸς ἀβέδ τὸν λαόν, καὶ εἶπε πρὸς ζεβούλ· ἰδοὺ λαὸς καταβαίνων ἀπὸ τῶν κορυφῶν τῶν ὀρέων. καὶ εἶπε πρὸς αὐτὸν ζεβούλ· τὰ σκιὰ τῶν ὀρέων σὺ ὁρᾷς

τὸν ὁρᾶς ὡς ἄνδρας. καὶ πῶς εἶθ ἔπι γαὰλ τῷ λαλῆσαι, καὶ εἶπεν· ἰδοὺ λαὸς καταβαίνων
κατὰ θάλασσαν, ἀπὸ τ ἐχόμενα ὀμφαλοῦ ϑ γῆς, καὶ ἀρχὴ μία παραγίνεται ἀπὸ ὄχλου ϑ νους
ἐποβλεπόντων. καὶ εἶπε πῶς αὐτὸν ζεβοὺλ· ποῦ ὄτι νῦν τὸ στόμα σου τὸ λέγον, τίς ὅτιμ ἀβιμέ
λεχ ὅτι ἐβασιλεύσαμεν αὐτῷ; οὐκ ἰδοὺ οὗτός ὅτιμ ὁ λαὸς ὃν ἐξουδένωσας; ἐξέλθε νῦν, καὶ πολε
μει πῶς αὐτόν. καὶ ἐξῆλθε γαὰλ ἀπὸ πῶσώπου τῶν ἀνδρῶν συκίμων, καὶ ἐπολέμησεν ἀβι-
μέλεχ, καὶ κατεδίωξεν αὐτὸν ἀβιμέλεχ, καὶ ἔφυγεν ἀπὸ πῶσώπου αὐτοῦ, καὶ ἔπεσον τραυμα
τίαι πολλοί, ἕως τῶν θυρῶν ϑ πόλεως. καὶ ἐκάθισεν ἀβιμέλεχ ἐν ἀρίμᾶ, καὶ ἐξέβαλε ζεβοὺλ
τὸν γαὰλ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ μὴ κατοικεῖν ἐν συκίμοις. καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ ἐξῆλ-
θεν ὁ λαὸς εἰς τὸ πεδίον, καὶ ἀπήγγειλε τῷ ἀβιμέλεχ. καὶ παρέλαβε τὸν λαὸν, καὶ διέλεψεν αὐ
τὸν εἰς τρεῖς ἀρχὰς, καὶ ἐνήδρευσεν αὐτῷ, καὶ εἶδε. καὶ ἰδοὺ λαὸς ἐξῆλθεν ἐκ ϑ πόλεως. καὶ ἀνέ-
στη ἐπ' αὐτοὺς, καὶ ἐπάταξεν αὐτούς. καὶ ἀβιμέλεχ καὶ οἱ ἀρχηγοὶ οἱ μετ' αὐτοῦ ἐξετάθησαν καὶ
ἔστησαν παρὰ τὴν θύραν ϑ πύλης ϑ πόλεως, καὶ αἱ δύο ἀρχαὶ ἐξεχύθησαν ἐπὶ πάντας τοὺς
ἐν τῷ ἀγρῷ, καὶ ἐπάταξεν αὐτούς. καὶ ἀβιμέλεχ ἐπολέμει ἐν τῇ πόλει ὅλῃ τὴν ἡμέραν ἐκεί
νην. καὶ κατελάβετο τὴν πόλιν, καὶ τὸν λαὸν τὸν ἐν αὐτῇ ἀπέκτεινεν. καὶ τὴν πόλιν καθεῖ-
λε, καὶ ἔσπειρεν αὐτὴν ἅλας. καὶ ἤκουσαν πάντες οἱ ἄνδρες πύργου συκίμων, καὶ εἰσῆλθον εἰς
τὸ ὀχύρωμα οἴκου βαιθαλβερεὶθ σβαθήκης. καὶ ἀπηγγέλη τῷ ἀβιμέλεχ ὅτι συνήχθησαν πάντες
οἱ ἄνδρες πύργου συκίμων, καὶ ἀνέβη ἀβιμέλεχ εἰς τὸ ὄρος ϑ ἐλμών, αὐτὸς καὶ πᾶς ὁ λαὸς ὁ μετ'
αὐτοῦ, καὶ ἔλαβεν ἀβιμέλεχ τὴν ἀξίνην ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἔκοψε φορτίον, καὶ ἐπέθηκεν αὐ-
τὸ ἐπὶ τοὺς ὤμους αὐτοῦ, καὶ εἶπε πῶς τὸν λαὸν τὸν μετ' αὐτοῦ· τί ἴδετέ με ποιοῦντα; ταχέως
ποιήσατε, ὡς καὶ ἐγώ. καὶ ἔκοψαν καὶ γε πάντες αὐτοὶ ἕκαστος φορτίον, καὶ ἦραν καὶ ἐπο-
ρεύθησαν ὀπίσω ἀβιμέλεχ, καὶ ἐπέθηκαν ἐπὶ τὸ ὀχύρωμα. καὶ ἐνέπρησαν ἐπ' αὐτοὺς τὸ ὀχύρω
μα ἐν πυρί, καὶ ἀπέθανον καὶ γε πάντες οἱ ἄνδρες πύργου συκίμων, ὡσεὶ χίλιοι ἄνδρες καὶ
γυναῖκες. καὶ ἐπορεύθη ἀβιμέλεχ εἰς θηβῆς, καὶ παρενέβαλεν ἐπ' αὐτήν, καὶ προκατελάβετο
αὐτήν. καὶ πύργος ἰσχυρὸς ἐν μέσῳ ϑ πόλεως. καὶ ἔφυγον ἐκεῖ πάντες οἱ ἄνδρες καὶ αἱ γυ-
ναῖκες, καὶ πάντες οἱ ἡγούμενοι ϑ πόλεως, καὶ ἀπέκλεισαν ἐφ' ἑαυτούς, καὶ ἀνέβησαν ἐπὶ τὸ
δῶμα τοῦ πύργου. καὶ ἦλθεν ἀβιμέλεχ ἕως τοῦ πύργου, καὶ ἐξεπολέμησεν αὐτόν. καὶ ἤγγι-
σεν ἀβιμέλεχ ἕως ϑ θύρας τοῦ πύργου ἐμπρῆσαι αὐτὸν ἐν πυρί, καὶ ἔρριψε γυνὴ μία λιλα-
σμα μύλης ἐπὶ τὴν κεφαλὴν ἀβιμέλεχ, καὶ συνέκλασε τὸ κρανίον αὐτοῦ, καὶ ἐβόησε τὸ τάχ
πῶς τὸ παιδάριον τὸν αἴρον τὰ σκεύη αὐτοῦ, καὶ εἶπεν αὐτῷ· σπάσας τὴν ῥομφαίαν σου καὶ θα-
νάτωσόν με, μήποτε εἴπωσιν ὅτι γυνὴ ἀπέκτεινεν αὐτόν. καὶ ἐξεκέντησεν αὐτὸν τὸ παιδά-
ριον αὐτοῦ, καὶ ἀπέθανε. καὶ εἶδεν ἀνὴρ ἰσραὴλ ὅτι ἀπέθανεν ἀβιμέλεχ, καὶ ἀπῆλθεν ἀνὴρ εἰς τὸν
τόπον αὐτοῦ, καὶ ἐπέστρεψεν ὁ θεὸς τὴν κακίαν ἀβιμέλεχ ἣν ἐποίησε τῷ πατρὶ αὐτοῦ, ἀποκτεῖ
ναι τοὺς ἑβδομήκοντα ἀδελφοὺς αὐτοῦ. καὶ πᾶσαν τὴν κακίαν ἀνδρῶν συκίμων, ἐπέστρεψεν ὁ
θεὸς εἰς τὴν κεφαλὴν αὐτῶν, καὶ ἐπῆλθεν ἐπ' αὐτοὺς ἡ κατάρα ἰωάθαμ τοῦ ἱοροβάαλ.

ΚΕΦΑΛ. ί. 10.

Καὶ ἀνέστη μετὰ ἀβιμέλεχ τοῦ σῶσαι τὸν ἰσραὴλ θωλὰ ὑὸς φουᾶ, ὑὸς πατραδέλφου αὐτοῦ,
καὶ αὐτὸς ἰσάχαρ, καὶ αὐτὸς κατῴκει ἐν σαμαρείᾳ ἐν ὄρει ἐφραίμ, καὶ ἔκρινε τὸν ἰσραὴλ
εἴκοσι καὶ τρία ἔτη, καὶ ἀπέθανε, καὶ ἐτάφη ἐν σαμαρείᾳ. καὶ ἀνέστη μετ' αὐτὸν ἰαὶρ ὁ γαλαα
δίτης, καὶ ἔκρινε τὸν ἰσραὴλ εἴκοσι καὶ δύο ἔτη. καὶ ἐγένοντο αὐτῷ τριάκοντα καὶ δύο υἱοὶ ὠμβε
βηκότες ὄνων τριάκοντα καὶ δύο πώλους, καὶ τριάκοντα καὶ δύο πόλεις αὐτοῖς, καὶ αὐτὰς ἐκά
λεσεν ἐπαύλεις ἰαείρ, ἕως ϑ ἡμέρας ταύτης, αἳ εἰσιν ἐν γῇ γαλαάδ. καὶ ἀπέθανεν ἰαείρ, καὶ
ἐτάφη ἐν καμών. καὶ προσέθεντο οἱ υἱοὶ ἰσραὴλ τοῦ ποιῆσαι τὸ πονηρὸν ἐναντίον κυρίου, καὶ ἐλά-
τρευσαν ταῖς βααλείμ, καὶ ταῖς ἀστάρωθ, καὶ τοῖς θεοῖς συρίας, καὶ τοῖς θεοῖς σιδῶνος, καὶ θεοῖς
μωάβ, καὶ τοῖς θεοῖς υἱῶν ἀμμών, καὶ τοῖς θεοῖς τῶν ἀλλοφύλων, καὶ ἐγκατέλιπον τὸν κύριον, καὶ
οὐκ ἐδούλευσαν αὐτῷ. καὶ ἐθυμώθη ὀργὴ κυρίου ἐν τῷ ἰσραὴλ, καὶ ἀπέδοτο αὐτοὺς ἐν χειρὶ ἀλλοφύ
λων, καὶ ἐν χειρὶ υἱῶν ἀμμών, καὶ ἐθλάσθησαν καὶ ἔθλασαν τοὺς υἱοὺς ἰσραὴλ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ,
ὀκτωκαίδεκα ἔτη τοὺς πάντας υἱοὺς ἰσραὴλ, τοὺς ἐν τῷ πέραν τοῦ ἰορδάνου, ἐν γῇ τοῦ ἀμορ-
ραίου ἐν τῇ γαλαάδ. καὶ διέβησαν οἱ υἱοὶ ἀμμὼν τὸν ἰορδάνην ἐκπολεμῆσαι καὶ ἐν τῷ ἰούδα,
καὶ ἐν τῷ βενιαμεὶν, καὶ ἐν τῷ οἴκῳ ἐφραίμ, καὶ ἐθλίβησαν οἱ υἱοὶ ἰσραὴλ σφόδρα. καὶ ἐκέκρα-
ξαν οἱ υἱοὶ ἰσραὴλ πρὸς κύριον λέγοντες· ἡμάρτομέν σοι, ὅτι ἐγκατελίπομεν τὸν θεὸν ἡμῶν,
καὶ ἐλατρεύσαμεν τοῖς βααλείμ. καὶ εἶπε κύριος πρὸς τοὺς υἱοὺς ἰσραήλ· οὐχ οἱ αἰγύπτιοι καὶ οἱ ἀ-
μορραῖοι καὶ οἱ ἀμμὼν καὶ μωάβ καὶ ἀλλόφυλοι καὶ σιδώνιοι, καὶ ἀμαλὴκ καὶ χαναὰν ἐξέθλιψαν ὑ-
μᾶς, καὶ ἐκεκράξατε πρός με, καὶ ἔσωσα ὑμᾶς ἐκ χειρὸς αὐτῶν; καὶ ὑμεῖς ἐγκατελίπετέ με καὶ ἐδού-
λευσατε θεοῖς ἑτέροις· διὰ τοῦτο οὐ προσθήσω τοῦ σῶσαι ὑμᾶς. βαδίζετε καὶ βοᾶτε πρὸς τοὺς θεοὺς οὓς
ἐξελέξασθε ἐν αὐτοῖς, καὶ αὐτοὶ σωσάτωσαν ὑμᾶς ἐν καιρῷ θλίψεως ὑμῶν. καὶ εἶπαν οἱ υἱοὶ ἰσραὴλ
πρὸς κύριον· ἡμάρτομεν, ποίησον σὺ ἡμῖν κατὰ πάντα ὅσα ἂν ἀρέσκῃ ἐνώπιόν σου, πλὴν ἐξελοῦ ἡμᾶς

σ' ἡ γῆ τῆ ἡμέρᾳ ταύτη. καὶ μετέστησαν οἱ θεοὶ οἱ ἀλλοτρίοις ἐκ μέσου αὐτῶν, καὶ ἐλάτρευσαν τοῖς Βαὰλ καὶ τοῖς ἄλσεσι μόνον, καὶ ὠκνήσαμεν γὰρ τοῦ λαοῦ, καὶ ὠλιγοψύχησεν ἡ καρδία ἡμῶν. καὶ ἐβόησαν οἱ υἱοὶ Ἀμμὼν, καὶ ἐπῆγον ἐν Γαλαάδ, καὶ ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ καὶ παρενέβαλον ἐν τῇ Μασπᾶ. καὶ εἶπαν οἱ ἄρχοντες Γαλαάδ, ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ· τίς ὁ ἀνὴρ ὃς ἄρξεται πολεμῆσαι ἐν τοῖς υἱοῖς Ἀμμὼν, καὶ ἔσαι εἰς κεφαλὴν πᾶσι τοῖς κατοικοῦσι Γαλαάδ;

ΚΕΦΑΛ. ιά'. 11.

ΚΑΙ Ἰεφθάε ὁ Γαλααδίτης ἦν δυνατὸς ἐν ἰσχύι, καὶ οὗτος υἱὸς γυναικὸς πόρνης. καὶ ἔτεκε τὸν Γαλαάδ τὸν Ἰεφθάε. καὶ ἔτεκεν ἡ γυνὴ Γαλαάδ αὐτῷ υἱούς, καὶ ἠδρύνθησαν οἱ υἱοὶ τῆς γυναικὸς, καὶ ἐξέβαλον τὸν Ἰεφθάε, καὶ εἶπαν αὐτῷ· οὐ κληρονομήσεις ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν, ὅτι γυναικὸς ἑταίρας εἶ σὺ υἱός. καὶ ἀπέδρα Ἰεφθάε ἐκ προσώπου τῶν ἀδελφῶν αὐτοῦ, καὶ κατῴκησεν ἐν γῇ τὼβ. καὶ συνελέγοντο πρὸς τὸν Ἰεφθάε ἄνδρες λίτοι, καὶ συνεξεπορεύοντο μετ' αὐτοῦ. καὶ ἐγένετο μεθ' ἡμέρας, καὶ ἐπολέμησαν οἱ υἱοὶ Ἀμμὼν μετὰ Ἰσραὴλ. καὶ ἐγένετο ἡνίκα ἐπολέμησαν οἱ υἱοὶ Ἀμμὼν μετὰ Ἰσραὴλ, καὶ ἐπορεύθησαν οἱ πρεσβύτεροι Γαλαάδ, παραλαβεῖν τὸν Ἰεφθάε ἐν γῇ τὼβ, καὶ εἶπαν πρὸς Ἰεφθάε. δεῦρο καὶ ἔσῃ ἡμῖν εἰς ἡγούμενον, καὶ πολεμήσομεν ἐν τοῖς υἱοῖς Ἀμμών. καὶ εἶπεν Ἰεφθάε τοῖς πρεσβυτέροις Γαλαάδ. οὐχὶ ὑμεῖς ἐμισήσατέ με, καὶ ἐξεβάλετέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐξαπεστείλατέ με ἀφ' ὑμῶν; καὶ τί ὅτι ἤλθετε πρός με νῦν, ἡνίκα ἐθλίβητε; καὶ εἶπαν οἱ πρεσβύτεροι Γαλαάδ πρὸς Ἰεφθάε· οὐχ οὕτως νῦν ἤλθομεν πρὸς σε, καὶ συμπορεύσῃ ἡμῖν. καὶ πολεμήσομεν ἐν τοῖς υἱοῖς Ἀμμών, καὶ ἔσῃ ἡμῖν εἰς κεφαλὴν πᾶσι τοῖς κατοικοῦσι Γαλαάδ. καὶ εἶπεν Ἰεφθάε πρὸς τοὺς πρεσβυτέρους Γαλαάδ· εἰ ὑποστρέφετέ με ὑμεῖς πολεμῆσαι ἐν τοῖς υἱοῖς Ἀμμών, καὶ παραδῷ αὐτοὺς Κύριος ἐνώπιόν μου, ἐγὼ ὑμῖν ἔσομαι εἰς ἄρχοντα. καὶ εἶπαν οἱ πρεσβύτεροι Γαλαάδ πρὸς Ἰεφθάε· Κύριος ἔσαι ὁ ἀκούων ἀνὰ μέσον ἡμῶν, εἰ μὴ κατὰ τὸ ῥῆμά σου οὕτω ποιήσομεν. καὶ ἐπορεύθη Ἰεφθάε μετὰ τῶν πρεσβυτέρων Γαλαάδ, καὶ κατέστησαν αὐτὸν ὁ λαὸς εἰς κεφαλὴν ἐπ' αὐτῶν εἰς ἡγούμενον. καὶ ἐλάλησεν Ἰεφθάε πάντας τοὺς λόγους αὐτοῦ ἐνώπιον Κυρίου ἐν Μασπᾶ. καὶ ἀπέστειλεν Ἰεφθάε ἀγγέλους πρὸς Βασιλέα υἱῶν Ἀμμὼν λέγων· τί ἐμοὶ καὶ σοί; ὅτι ἦκες πρός με τοῦ πολεμῆσαι ἐν τῇ γῇ μου. καὶ εἶπε Βασιλεὺς υἱῶν Ἀμμὼν πρὸς τοὺς ἀγγέλους Ἰεφθάε· διατί ἔλαβεν Ἰσραὴλ τὴν γῆν μου ἐν τῇ ἀναβάσει αὐτοῦ ἐξ Αἰγύπτου, ἀπὸ Ἀρνὼν ἕως Ἰαβὼκ καὶ ἕως τοῦ Ἰορδάνου; καὶ νῦν ἐπίστρεψον αὐτὴν μετ' εἰρήνης, καὶ πορεύσομαι. καὶ ἀπέστρεψαν οἱ ἄγγελοι πρὸς Ἰεφθάε, καὶ προσέθετο ἔτι Ἰεφθάε, καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Βασιλέα υἱῶν Ἀμμὼν καὶ εἶπαν αὐτῷ· τάδε λέγει Ἰεφθάε· οὐκ ἔλαβεν Ἰσραὴλ τὴν γῆν Μωάβ, οὐδὲ τὴν γῆν υἱῶν Ἀμμὼν ἐν τῇ ἀναβάσει αὐτῶν ἐξ Αἰγύπτου, ἀλλ' ἐπορεύθη Ἰσραὴλ ἐν τῇ ἐρήμῳ ἕως θαλάσσης ἐρυθρᾶς, καὶ ἦλθεν ἕως Κάδης. καὶ ἀπέστειλεν Ἰσραὴλ ἀγγέλους πρὸς Βασιλέα Ἐδὼμ λέγων· παρελεύσομαι δή σου τὴν γῆν σου ἕως τοῦ τόπου μου. καὶ οὐκ ἤκουσε Βασιλεὺς Ἐδώμ. καί γε πρὸς Βασιλέα Μωάβ ἀπέστειλε, καὶ οὐκ ἤθελε. καὶ ἐκάθισεν Ἰσραὴλ ἐν Κάδης, καὶ διῆλθεν ἐν τῇ ἐρήμῳ, καὶ ἐκύκλωσε τὴν γῆν Ἐδὼμ καὶ τὴν γῆν Μωάβ, καὶ παρεγένετο κατ' ἀνατολὰς ἡλίου τῆς γῆς Μωάβ, καὶ παρενέβαλον ἐν τῷ φρέατι ἀρνῶν, καὶ οὐκ εἰσῆλθεν εἰς τὸ ὅριον Μωάβ. καὶ ἀπέστειλεν Ἰσραὴλ ἀγγέλους πρὸς Σηὼν Βασιλέα Ἀμορραίου, Βασιλέα Ἐσεβών. καὶ εἶπεν αὐτῷ Ἰσραήλ· παρελεύσομαι δή σου τὴν γῆν σου ἕως τοῦ τόπου μου. καὶ οὐκ ἠθέλησε Σηὼν τὸν Ἰσραὴλ διελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ. καὶ συνήγαγε Σηὼν πάντα τὸν λαὸν αὐτοῦ, καὶ παρενέβαλον εἰς Ἰασσά, καὶ ἐπολέμησε μετὰ Ἰσραήλ. καὶ παρέδωκε Κύριος ὁ Θεὸς Ἰσραὴλ τὸν Σηὼν καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν χειρὶ Ἰσραήλ, καὶ ἐπάταξεν αὐτούς, καὶ ἐκληρονόμησεν Ἰσραὴλ πᾶσαν τὴν γῆν τοῦ Ἀμορραίου τοῦ κατοικοῦντος ἐν τῇ γῇ ἐκείνῃ, καὶ ἐκληρονόμησε πᾶν τὸ ὅριον τοῦ Ἀμορραίου ἀπὸ Ἀρνὼν καὶ ἕως τοῦ Ἰαβὼκ. καὶ νῦν Κύριος ὁ Θεὸς Ἰσραὴλ ἐξῆρε τὸν Ἀμορραῖον, ἐκ προσώπου τοῦ λαοῦ αὐτοῦ Ἰσραὴλ, καὶ σὺ κληρονομήσεις αὐτὸν υἱὴ Ἐύ; οὐχὶ ὅσα κατακληρονόμησέ σοι χαμὼς ὁ θεός σου, ταῦτα κατακληρονομήσεις; καὶ πάντας οὓς ἐξῆρε, καὶ πάντα ὅσα κατεκληρονόμησεν ἡμῖν Κύριος ὁ Θεὸς ἡμῶν ἐκ προσώπου ἡμῶν, αὐτὰ κληρονομήσομεν. καὶ νῦν μὴ χρείοσων εἶ σὺ Βαλὰκ υἱοῦ Σεπφὼρ Βασιλέως Μωάβ; μὴ μάχῃ ἐμαχέσατο μετὰ Ἰσραήλ, ἢ πολεμῶν ἐπολέμησεν αὐτούς, ἐν τῷ οἰκῆσαι τὸν Ἰσραὴλ ἐν Ἐσεβών, καὶ ἐν ταῖς θυγατράσιν αὐτῆς, καὶ ἐν Ἀροὴρ, καὶ ἐν ταῖς θυγατράσιν αὐτῆς, καὶ ἐν πάσαις ταῖς πόλεσι ταῖς παρὰ τὸν Ἰορδάνου τριακόσια ἔτη; τί ὅτι οὐκ ἐρρύσαντο αὐτοὺς ἐν τῷ καιρῷ ἐκείνῳ; καὶ γὼ οὐχ ἥμαρτόν σοι, καὶ σὺ ποιεῖς μετ' ἐμοῦ πονηρείαν, τοῦ πολεμῆσαι ἐν ἐμοί. κρίναι Κύριος ὁ κρίνων σήμερον ἀνὰ μέσον υἱῶν Ἰσραὴλ, καὶ ἀνὰ μέσον υἱῶν Ἀμμών. καὶ οὐκ εἰσήκουσε Βασιλεὺς υἱῶν Ἀμμὼν τῶν λόγων Ἰεφθάε, ὧν ἀπέστειλε πρὸς αὐτόν. καὶ ἐγένετο ἐπὶ Ἰεφθάε πνεῦμα Κυρίου, καὶ διῆλθε τὸν Γαλαάδ, καὶ τὸν Μανασσῆ, καὶ διῆλθε τὴν σκοπιὰν Γαλαάδ, καὶ ἀπὸ σκοπιᾶς Γαλαάδ εἰς τὸ πρόσω υἱῶν Ἀμμών. καὶ ηὔξατο Ἰεφθάε εὐχὴν τῷ Κυρίῳ, καὶ εἶπεν, ἐὰν παραδόσει παραδῷς μοι τοὺς υἱοὺς Ἀμμὼν ἐν

τῇ

τῇ χειρί μου, καὶ ἔσομαι ὁ ἐκπορευόμενος ἀπὸ τῶν θυρῶν τοῦ οἴκου μου εἰς ἀπαντησίν μου, ἐν τῷ ὑποστρέψαι με ἐν εἰρήνῃ ἀπὸ τῶν υἱῶν Ἀμμών, καὶ ἔσται τῷ Κυρίῳ αὐτοῖς εἰς θεὸν παντὸς τοῦ αἰῶνος. καὶ ἐπορεύθη Ἰεφθάε τὸν Γαλαάδιτην μετὰ τῶν πρεσβυτέρων Γαλαάδ, καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ Ἀροήρ, ἕως τοῦ ἐλθεῖν Μαλαείθ, εἴκοσι πόλεις, καὶ ἕως Ἀβὲλ ἀμπελώνων, πληγὴν μεγάλην σφόδρα. καὶ ἐνετράπησαν οἱ υἱοὶ Ἀμμὼν ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. καὶ ἦλθεν Ἰεφθάε εἰς Μασσηφᾶ εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἰδοὺ ἡ θυγάτηρ αὐτοῦ ἐξεπορεύετο εἰς ἀπάντησιν αὐτοῦ, ἐν τυμπάνοις καὶ ἐν χοροῖς, καὶ αὕτη μονογενὴς αὐτῷ ἀγαπητή. καὶ οὐκ ἔστιν αὐτῷ πλὴν αὐτῆς υἱὸς ἢ θυγάτηρ. καὶ ἐγένετο ἡνίκα εἶδεν αὐτὴν αὐτὸς, καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ καὶ εἶπεν· οἴμοι, θύγατερ μου ἐμπεποδισάτηκάς με, εἰς σκῶλον ἐγένου ἐν ὀφθαλμοῖς μου, ἐγὼ δὲ ᾠοιξα τὸ στόμα μου πρὸς σὲ πρὸς Κύριον, καὶ οὐ δυνήσομαι ἀποστρέψαι. καὶ εἶπε πρὸς αὐτόν· εἰ ἐν ἐμοὶ ᾠοιξας τὸ στόμα σου πρὸς Κύριον, ποίησόν μοι ὃν τρόπον ἐξῆλθεν ἐκ τοῦ στόματός σου, αὐτῶν ἐποίησέ σοι Κύριος ἐκδίκησιν ἐκ τῶν ἐχθρῶν σου, ἐκ τῶν υἱῶν Ἀμμών. καὶ εἶπε πρὸς τὸν πατέρα αὐτῆς· καὶ ποίησόν μοι τὸ ῥῆμα τοῦτο, ἐάσόν με δύο μῆνας καὶ πορεύσομαι, καὶ καταβήσομαι ἐπὶ τὰ ὄρη, καὶ κλαύσομαι ἐπὶ τὰ παρθενεῖά μου, ἐγὼ καὶ αἱ συνεταιρίδες μου. καὶ εἶπε· πορεύου, καὶ ἐξαπέστειλεν αὐτὴν δύο μῆνας. καὶ ἐπορεύθη αὐτὴ καὶ αἱ συνεταιρίδες αὐτῆς, καὶ ἐκλαυσαν ἐπὶ τὰ παρθενεῖα αὐτῆς ἐπὶ τὰ ὄρη. καὶ ἐγένετο μετὰ τὸ τέλος τῶν δύο μηνῶν, καὶ ἀνέκαμψε πρὸς τὸν πατέρα αὐτῆς, καὶ ἐτέλεσεν ἐν αὐτῇ τὴν εὐχὴν αὐτοῦ ἣν ηὔξατο. καὶ αὕτη οὐκ ἔγνω ἄνδρα. καὶ ἐγένετο εἰς πρόσταγμα ἐν Ἰσραήλ, ἐξ ἡμερῶν εἰς ἡμέρας συνεπορεύοντο αἱ θυγατέρες Ἰσραὴλ θρηνεῖν τὴν θυγατέρα Ἰεφθάε, τοῦ Γαλαδίτου τέσσαρας ἡμέρας ἐν τῷ ἐνιαυτῷ.

ΚΕΦΑΛ. ιβ'. 12.

Καὶ συνήχθησαν οἱ υἱοὶ Ἐφραὶμ, καὶ ἦλθον εἰς Σεφινά, καὶ εἶπαν πρὸς Ἰεφθάε· τί ὅτι ἐπορεύθης πολεμεῖν πρὸς τοὺς υἱοὺς Ἀμμών, καὶ ἡμᾶς οὐ μετεκαλέσω πορευθῆναι μετὰ σοῦ; τὸν οἶκόν σου ἐμπρήσομεν ἐπὶ σὲ ἐν πυρί. καὶ εἶπε πρὸς αὐτοὺς Ἰεφθάε· ἀνὴρ ἀντιδικῶν ἦμην ἐγὼ καὶ ὁ λαός μου, καὶ οἱ υἱοὶ Ἀμμὼν ἐταπείνουν με σφόδρα, καὶ ἐβόησα πρὸς ὑμᾶς, καὶ οὐκ ἐσώσατέ με ἐκ χειρὸς αὐτῶν, καὶ εἶδον ὅτι οὐκ ἦν ὁ σώζων, καὶ ἔθηκα τὴν ψυχήν μου ἐν τῇ χειρί μου, καὶ διέβην πρὸς τοὺς υἱοὺς Ἀμμών, καὶ παρέδωκεν αὐτοὺς Κύριος ἐν τῇ χειρί μου. καὶ ἵνατί ἀνέβητε πρός με τὴν ἡμέραν ταύτην πολεμεῖν ἐν ἐμοί; καὶ συνήθροισεν Ἰεφθάε πάντας τοὺς ἀνδρας Γαλαάδ, καὶ ἐπολέμει τὸν Ἐφραίμ, καὶ ἐπάταξαν ἄνδρες Γαλαὰδ τὸν Ἐφραίμ, ὅτι εἶπαν οἱ διασεσωσμένοι τοῦ Ἐφραίμ, φυγὰς Γαλαὰδ ἐν μέσῳ τοῦ Ἐφραίμ, καὶ ἐν μέσῳ τοῦ Μανασσῆ, καὶ προκατελάβετο Γαλαὰδ τὰς διαβάσεις τοῦ Ἰορδάνου τοῦ Ἐφραίμ. καὶ ἐγένετο ὅτι εἶπαν οἱ διασεσωσμένοι τοῦ Ἐφραίμ, διαβήσομαι δή. καὶ εἶπαν αὐτοῖς οἱ ἄνδρες Γαλαὰδ μὴ ἐκ τοῦ Ἐφραίμ ὑμεῖς; καὶ εἶπεν, οὐκ ἔστιν. καὶ εἶπαν αὐτοῖς· εἴπατε δή Σύμβολον. καὶ οὐ κατηύθυναν τοῦ λαλῆσαι οὕτως. καὶ ἐπελάβοντο αὐτῶν, καὶ ἔσφαξαν αὐτοὺς ἐπὶ τὰς διαβάσεις τοῦ Ἰορδάνου. καὶ ἔπεσαν ἐν τῷ καιρῷ ἐκείνῳ ἐξ Ἐφραὶμ δύο καὶ τεσσαρακοντα χιλιάδες. καὶ ἔκρινεν Ἰεφθάε τὸν Ἰσραὴλ ἓξ ἔτη, καὶ ἀπέθανεν Ἰεφθάε ὁ Γαλααδίτης, καὶ ἐτάφη ἐν τῇ πόλει αὐτοῦ Γαλαάδ. καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσραὴλ Ἐβεσὼν ἐκ Βηθλεέμ. καὶ ἐγένοντο αὐτῷ τριάκοντα υἱοὶ, καὶ τριάκοντα θυγατέρες, ἐξαπέστειλε ἔξω, καὶ τριάκοντα γυναῖκας εἰσήγαγε τοῖς υἱοῖς αὐτοῦ ἔξωθεν, καὶ ἔκρινε τὸν Ἰσραὴλ ἑπτὰ ἔτη, καὶ ἀπέθανεν Ἐσεβών, καὶ ἐτάφη ἐν Βηθλεέμ, καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσραὴλ ἄλλος ὁ Ζαβουλωνίτης δέκα ἔτη, καὶ ἀπέθανεν ἄλλος ὁ Ζαβουλωνίτης, καὶ ἐτάφη ἐν Αἰλὼμ ἐν γῇ Ζαβουλών. καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσραὴλ Ἀβδὼν υἱὸς Ἐλλὴχ ὁ Φαραθωνίτης, καὶ ἐγένοντο αὐτῷ τεσσαρακοντα υἱοὶ, καὶ τριάκοντα υἱοὶ τῶν υἱῶν αὐτοῦ, ἐπιβαίνοντες ἐπὶ ἑβδομήκοντα πώλους, καὶ ἔκρινε τὸν Ἰσραὴλ ὀκτὼ ἔτη, καὶ ἀπέθανεν Ἀβδὼν υἱὸς Ἐλλὴχ ὁ Φαραθωνίτης, καὶ ἐτάφη ἐν Φαραθὼν ἐν ὄρει Ἀμαλήκ.

ΚΕΦΑΛ. ιγ'. 13.

Καὶ προσέθεντο ἔτι οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν ἐναντίον Κυρίου, καὶ παρέδωκεν αὐτοὺς Κύριος ἐν χειρὶ ἀλλοφύλων, τεσσαρακοντα ἔτη. καὶ ἐγένετο ἀνὴρ ἐκ σαρὰς ἐκ τῆς φυλῆς τοῦ Δαν, καὶ ὄνομα αὐτῷ Μανωέ. καὶ ἡ γυνὴ αὐτοῦ στεῖρα, καὶ οὐκ ἔτικτε. καὶ ὤφθη ἄγγελος Κυρίου πρὸς τὴν γυναῖκα, καὶ εἶπε πρὸς αὐτὴν· ἰδοὺ δὴ σὺ στεῖρα, καὶ οὐ τέτοκας, καὶ ἐν γαστρὶ ἕξεις καὶ τέξῃ υἱόν, καὶ νῦν φύλαξαι καὶ μὴ πίῃς οἶνον καὶ σίκερα, καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον, ὅτι ἰδοὺ σὺ ἐν γαστρὶ ἕξεις καὶ τέξῃ υἱόν, καὶ σίδηρος οὐ διελεύσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀναβήσεται, ὅτι ναζιραῖος Κυρίου θεοῦ ἔσται τὸ παιδάριον ἐκ τῆς γαστρός, καὶ αὐτὸς ἄρξεται σώζειν τὸν Ἰσραὴλ ἐκ χειρὸς φυλιστιείμ. καὶ εἰσῆλθεν ἡ γυνὴ, καὶ εἶπε τῷ ἀνδρὶ αὐτῆς λέγουσα· ἄνθρωπος τοῦ θεοῦ ἦλθε πρός με, καὶ ἡ ὅρασις αὐτοῦ ὡς ὅρασις ἀγγέλου τοῦ θεοῦ, φοβερὸς σφόδρα. καὶ ἐρώτων πόθεν ἐστὶ, καὶ τὸ ὄνομα αὐτοῦ οὐκ ἀπήγγειλέ μοι, καὶ

εἶπέ

εἶπε μοι· ἰδοὺ σὺ γὰρ συλλήμψῃ καὶ τέξῃ υἱόν. καὶ νῦν φύλαξαι καὶ μὴ πίῃς οἶνον καὶ σίκερα, καὶ μὴ φάγῃς πᾶσαν ἀκαθαρσίαν, ὅτι ναζιραῖον θεοῦ ἔσται τὸ παιδάριον ἀπὸ γαστρός, ἕως ἡμέρας θανάτου αὐτοῦ. καὶ ἐδεήθη μανωὲ τοῦ κυρίου, καὶ εἶπεν· ἐμοί κύριε, ἄνθρωπος τοῦ θεοῦ οὗ ἀπέστειλας, ἐλθέτω δὴ πρὸς ἡμᾶς, καὶ φωτισάτω ἡμᾶς, τί ποιήσομεν τῷ παιδαρίῳ τῷ τικτομένῳ. καὶ ἐπήκουσεν ὁ θεὸς τῆς φωνῆς μανωὲ, καὶ παρεγένετο ὁ ἄγγελος τοῦ θεοῦ ἔτι πρὸς τὴν γυναῖκα, αὐτὴ καθημένη ἐν τῷ ἀγρῷ. καὶ μανωὲ ὁ ἀνὴρ αὐτῆς οὐκ ἦν μετ' αὐτῆς. καὶ ἐτάχυνεν ἡ γυνὴ καὶ ἔδραμε, καὶ ἀπήγγειλε τῷ ἀνδρὶ αὐτῆς, καὶ εἶπε πρὸς αὐτόν· ἰδοὺ ὤφθη μοί ὁ ἀνὴρ ὃς ἦλθεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πρός με. καὶ ἀνέστη, καὶ ἐπορεύθη μανωὲ, ὀπίσω τῆς γυναικὸς αὐτοῦ, καὶ ἦλθε πρὸς τὸν ἄνδρα, καὶ εἶπεν αὐτῷ· εἰ σὺ εἶ ὁ ἀνὴρ ὁ λαλήσας πρὸς τὴν γυναῖκα; καὶ εἶπεν ὁ ἄγγελος, ἐγώ. καὶ εἶπε μανωὲ· νῦν δή, ἐλθόντος τοῦ ῥήματός σου, τί ἔσται τὸ κρίμα τοῦ παιδαρίου, καὶ τί τὰ ὄργα αὐτοῦ; καὶ εἶπεν ὁ ἄγγελος κυρίου πρὸς μανωὲ· ἀπὸ παντὸς ὧν εἶπα πρὸς τὴν γυναῖκα φυλαξάσθω. ἀπὸ παντὸς ὁ ἐκπορεύεται ἐξ ἀμπέλου, ὁ φάγεται, καὶ οἶνον καὶ σίκερα μὴ πιέτω, καὶ πᾶν ἀκάθαρτον μὴ φαγέτω. πάντα ὅσα ἐνετειλάμην αὐτῇ φυλαξάσθω. καὶ εἶπε μανωὲ πρὸς τὸν ἄγγελον κυρίου· βιασώμεθά σε, καὶ ποιήσωμεν ἐνώπιόν σου ἔριφον αἰγῶν. καὶ εἶπεν ὁ ἄγγελος κυρίου πρὸς μανωὲ· ἐὰν βιάσῃ με, οὐ φάγομαι τῶν ἄρτων σου. καὶ ἐὰν ποιήσῃς ὁλοκάρπωμα, τῷ κυρίῳ ἀνοίσεις αὐτό, ὅτι οὐκ ἔγνω μανωὲ ὅτι ἄγγελος κυρίου ἐστίν. καὶ εἶπε μανωὲ πρὸς τὸν ἄγγελον κυρίου· τί τὸ ὄνομά σου; ἵνα ὅταν ἔλθῃ τὸ ῥῆμά σου, δοξάσωμέν σε. καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος κυρίου· ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; καὶ αὐτό ἐστι θαυμαστόν. καὶ ἔλαβε μανωὲ τὸν ἔριφον τῶν αἰγῶν, καὶ τὴν θυσίαν, καὶ ἀνήνεγκεν ἐπὶ τὴν πέτραν τῷ κυρίῳ τῷ θαυμαστὰ ποιοῦντι. καὶ μανωὲ καὶ ἡ γυνὴ αὐτοῦ ἐθεώρουν. καὶ ἐγένετο ἐν τῷ ἀναβῆναι τὴν φλόγα ἐπάνωθεν τοῦ θυσιαστηρίου εἰς τὸν οὐρανόν, καὶ ἀνέβη ὁ ἄγγελος κυρίου ἐν τῇ φλογί. καὶ μανωὲ καὶ ἡ γυνὴ αὐτοῦ ἐθεώρουν, καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν ἐπὶ τὴν γῆν. καὶ οὐ προσέθηκεν ἔτι ὁ ἄγγελος κυρίου ὀφθῆναι πρὸς μανωὲ, καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ. τότε ἔγνω μανωὲ, ὅτι ἄγγελος κυρίου ἦν. καὶ εἶπε μανωὲ πρὸς τὴν γυναῖκα αὐτοῦ· θανάτῳ ἀποθανούμεθα, ὅτι θεὸν ἑωράκαμεν. καὶ εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· εἰ ἐβούλετο ὁ κύριος θανατῶσαι ἡμᾶς, οὐκ ἂν ἐλάβετο ἐκ τῆς χειρὸς ἡμῶν ὁλοκάρπωμα καὶ θυσίαν, καὶ οὐκ ἂν ἐφώτισεν ἡμᾶς τοῦτα πάντα, καὶ οὐκ ἂν ἀκουστὰ ἐποίησεν ἡμῖν τοιοῦτα. καὶ ἔτεκεν ἡ γυνὴ υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ σαμψών, καὶ ἠυξήθη τὸ παιδάριον, καὶ εὐλόγησεν αὐτὸν κύριος. καὶ ἤρξατο πνεῦμα κυρίου συμπορεύεσθαι αὐτῷ ἐν παρεμβολῇ δαν, καὶ μέσον σαρὰ καὶ μέσον ἐσθαόλ.

ΚΕΦΑΛ. ιδ'. 14.

Καὶ κατέβη σαμψὼν εἰς θαμναθᾶ, καὶ εἶδε γυναῖκα ἐν θαμναθᾶ ἀπὸ τῶν θυγατέρων τῶν ἀλλοφύλων, καὶ ἤρεσεν ἐνώπιον αὐτοῦ, καὶ ἀνέβη καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ, καὶ τῇ μητρὶ αὐτοῦ, καὶ εἶπε· γυναῖκα ἑώρακα ἐν θαμναθᾶ ἀπὸ τῶν θυγατέρων τῶν ἀλλοφύλων, καὶ νῦν λάβετε αὐτήν μοι εἰς γυναῖκα. καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ, καὶ ἡ μήτηρ αὐτοῦ· μὴ οὐκ ἔστιν ἀπὸ τῶν θυγατέρων τῶν ἀδελφῶν σου καὶ ἐν παντὶ τῷ λαῷ μου γυνή, ὅτι σὺ πορεύῃ λαβεῖν γυναῖκα ἀπὸ τῶν θυγατέρων τῶν ἀλλοφύλων τῶν ἀπεριτμήτων; καὶ εἶπε σαμψὼν πρὸς τὸν πατέρα αὐτοῦ· ταύτην λάβε μοι, ὅτι αὕτη ἤρεσεν ἐν ὀφθαλμοῖς μου. καὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ, οὐκ ἔγνωσαν ὅτι παρὰ κυρίου ἐστίν, ὅτι αὐτὰ ποδόμα αὐτοῖς ἐκζητεῖ ἐκ τῶν ἀλλοφύλων. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ οἱ ἀλλόφυλοι ἐκυρίευον τῶν υἱῶν ἰσραήλ. καὶ κατέβη σαμψὼν καὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ εἰς θαμναθᾶ, καὶ ἦλθεν ἕως ἀμπελῶνα θαμναθᾶ, καὶ ἰδοὺ σκύμνος λέοντος ὠρυόμενος εἰς ἀπάντησιν αὐτοῦ. καὶ κατεύθυνεν ἐπ' αὐτὸν πνεῦμα κυρίου, καὶ διέσπασεν αὐτὸν ὡς ἔριφον αἰγῶν, καὶ οὐδὲν ἦν ἐν τῇ χειρὶ αὐτοῦ, καὶ οὐκ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ οὐδὲ τῇ μητρὶ αὐτοῦ ὃ ἐποίησε. καὶ κατέβη καὶ ἐλάλησε τῇ γυναικί, καὶ ἤρεσεν ἐνώπιον σαμψών. καὶ ἐπέστρεψε μετ' ἡμέρας λαβεῖν αὐτήν, καὶ ἐξέκλινεν ἰδεῖν τὸ πτῶμα τοῦ λέοντος, καὶ ἰδοὺ συστροφὴ μελισσῶν ἐν τῷ στόματι τοῦ λέοντος, καὶ μέλι. καὶ ἐξεῖλεν αὐτὸ εἰς τὸ στόμα αὐτοῦ, καὶ ἐπορεύετο πορευόμενος καὶ ἔδωκε. καὶ ἐπορεύθη πρὸς τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς, καὶ ἔφαγον, καὶ οὐκ ἀπήγγειλεν αὐτοῖς ὅτι ἐκ τῆς ἕξεως τοῦ λέοντος ἐξεῖλε τὸ μέλι. καὶ κατέβη ὁ πατὴρ αὐτοῦ πρὸς τὴν γυναῖκα, καὶ ἐποίησεν ἐκεῖ σαμψὼν πότον ἡμέρας ἑπτά, ὅτι οὕτως ἐποίουν οἱ νεανίσκοι. καὶ ἐγένετο ὡς τὸ φοβεῖσθαι αὐτοὺς αὐτόν, προκατέστησαν αὐτῷ ἑταίρους τριάκοντα, καὶ ἦσαν μετ' αὐτοῦ. καὶ εἶπεν αὐτοῖς σαμψών· προβάλω ὑμῖν τὸ πρόβλημά μου, καὶ ἐὰν ἀπαγγείλοντες ἀπαγγείλητέ μοι αὐτό, ὡς τὰς ἑπτὰ ἡμέρας ἢ πότε, δώσω ὑμῖν τριάκοντα σινδόνας καὶ τριάκοντα στολὰς ἱματίων. καὶ ἐὰν μὴ δυνήσθε αὐτό ἀπαγγεῖλαί μοι, καὶ δώσετε ὑμεῖς ἐμοὶ τριάκοντα σινδόνας καὶ τριάκοντα στολάς. καὶ εἶπαν αὐτῷ· προβάλε τὸ πρόβλημά σου, καὶ ἀκουσόμεθα αὐτό. καὶ εἶπεν αὐτοῖς· ἐκ τοῦ ἐδόντος ἐξῆλθε βρῶσις, καὶ ἐξ ἰσχυροῦ ἐξῆλθε

γλυκύ.

λυκύ. καὶ ἐκ τοῦ λιμοῦ ἐθανατώθησαν ἀπὸ γενεᾶς τριακοντα ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ, καὶ εἶπαν τῇ γυναικὶ σαμψών· ἀπόστηθι δὴ τὴν ἀνδρα σου, καὶ ἀπαγγελάτω σοι τὸ πρόβλημα, μήποτε ἐμπυρίσωμέν σε καὶ τὸν οἶκον τοῦ πατρός σου. ἢ πτωχεῦσαι ἐκαλέσατε ἡμᾶς; καὶ ἔκλαυσεν ἡ γυνὴ σαμψὼν πρὸς αὐτὸν, καὶ εἶπεν αὐτῷ· ἐμίσησάς με, καὶ οὐκ ἠγάπησάς με, ὅτι τὸ πρόβλημα ὃ ἐθετο τοῖς υἱοῖς τοῦ λαοῦ μου, οὐκ ἀπήγγειλας καὶ ἐμοὶ αὐτό. καὶ εἶπεν αὐτῇ σαμψών· ἰδοὺ δὴ πατρί μου καὶ τῇ μητρί μου οὐκ ἀπήγγειλα αὐτό, καὶ σοὶ ἀπαγγελῶ; καὶ ἔκλαυσεν ἐπ' αὐτὸν ἐπὶ τὰς ἑπτὰ ἡμέρας, ἐν αἷς ἦν ἐν αὐταῖς ὁ πότος. καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἀπήγγειλεν αὐτῇ, ὅτι ἐθλιβέν αὐτὸν ἡ πόλις τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πρὶν δῦναι τὸν ἥλιον· τί γλυκύτερον μέλιτος, καὶ τί ἰσχυρότερον λέοντος; καὶ εἶπεν αὐτοῖς σαμψών· εἰ μὴ κατεδαμάσατέ μου τῇ δαμάλει, οὐκ ἂν εὕρετε τὸ πρόβλημά μου. καὶ κατέβη ἐπ' αὐτὸν πνεῦμα κυρίου, καὶ κατέβη εἰς ἀσκάλωνα, καὶ ἔπαισεν ἐκεῖθεν τριάκοντα ἄνδρας, καὶ ἔλαβε τὰς σκύλας αὐτῶν, καὶ ἔδωκε τοῖς ἀπαγγείλασι τὸ πρόβλημα. καὶ ἐθυμώθη ὀργῇ σαμψών, καὶ ἀνέβη εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ. καὶ συνῴκησεν ἡ γυνὴ σαμψὼν τῷ νυμφαγωγῷ αὐτοῦ, ὃς ἦν ἑταῖρος αὐτοῦ.

ΚΕΦΑΛ. ιε'. 15.

Καὶ ἐγένετο μεθ' ἡμέρας ἐν ἡμέραις θερισμοῦ πυρῶν, καὶ ἐπεθυμήσατο σαμψὼν τὴν γυναῖκα αὐτοῦ φέρων ἔριφον αἰγῶν, καὶ εἶπεν· εἰσελεύσομαι πρὸς τὴν γυναῖκά μου, εἰς τὸν ταμιεῶνα, καὶ οὐκ ἀφῆκεν αὐτὸν ὁ πατὴρ αὐτῆς εἰσελθεῖν. καὶ εἶπεν ὁ πατὴρ αὐτῆς· εἰπὼν εἶπον ὅτι μισῶν ἐμίσησας αὐτὴν, καὶ ἔδωκα αὐτὴν ἑνὶ τῶν συνεταίρων σου. οὐκ ἰδοὺ ἡ ἀδελφὴ αὐτῆς ἡ νεωτέρα λῃστεύτων αὐτῆς ἔστω σοι ἀντ' αὐτῆς. καὶ εἶπεν αὐτῷ σαμψών· ἠθῶωμαι τὸ ἅπαξ ἀπὸ τῶν ἀλλοφύλων, ὅτι ποιῶ ἐγὼ μετ' ὑμῶν κακά. καὶ ἐπορεύθη σαμψών, καὶ συνέλαβε τριακοσίας ἀλώπεκας, καὶ ἔλαβε λαμπάδας, καὶ συνέδησε λοῦκον πρὸς λοῦκον, καὶ ἔθηκε λαμπάδα μίαν ἀνὰ μέσον τῶν δύο λούκων, καὶ ὡδήγησε, καὶ ἐξαπέστειλεν αὐτὰς εἰς τοὺς σάχυσι τῶν ἀλλοφύλων, καὶ ἐνεπύρισε τοὺς σάχυας ἀπὸ ἄλωνος καὶ ἕως συχνῶν ἑστώτων, καὶ ἀμπελῶνας καὶ ἐλαίας. καὶ εἶπαν οἱ ἀλλόφυλοι· τίς ἐποίησε ταῦτα, εἰ μὴ σαμψὼν ὁ γαμβρὸς τοῦ θαμνατεί; ὅτι ἔλαβε τὴν γυναῖκα αὐτοῦ, καὶ ἔδωκεν αὐτὴν τῷ συνετάρῳ αὐτοῦ. καὶ ἀνέβησαν οἱ ἀλλόφυλοι καὶ ἐνέπρησαν τὸν οἶκον τοῦ πατρὸς αὐτῆς καὶ αὐτὴν ἐν πυρί. καὶ εἶπεν αὐτοῖς σαμψών· ἐὰν ποιήσητε ἅπαξ ταῦτα, οὐκ ἀνδήσω, ἀλλὰ τὴν ἐκδίκησίν μου ἐξ ὑμῶν ἑκάστου ποιήσομαι. καὶ ἐπάταξεν αὐτοὺς μηρὸν πληγὴν μεγάλην, καὶ κατέβη καὶ κατῴκει πρὸς τῷ χειμάρρῳ ἐν τῷ σπηλαίῳ τῆς πέτρας ἐτάμ. καὶ ἀνέβησαν οἱ ἀλλόφυλοι, καὶ παρεμβολὴν ἐποίησαν ἐν ἰούδᾳ, καὶ ἐξερρίφησαν ἐν λεχεί. καὶ εἶπαν αὐτοῖς ἄνδρες ἰούδα· ἵνα τί ἀνέβητε ἐφ' ἡμᾶς; καὶ εἶπαν οἱ ἀλλόφυλοι, δῆσαι τὸν σαμψὼν ἀνέβημεν, καὶ ποιῆσαι αὐτῷ ὃν τρόπον ἐποίησεν ἡμῖν. καὶ κατέβησαν τρισχίλιοι ἐξ ἰούδα ἄνδρες εἰς τρυμαλιὰν τῆς πέτρας ἐτάμ, καὶ εἶπαν πρὸς σαμψών· οὐκ οἶδας ὅτι ἄρχουσιν οἱ ἀλλόφυλοι ἡμῶν, καὶ ἵνα τί τοῦτο ἐποίησας ἡμῖν; καὶ εἶπεν αὐτοῖς σαμψών· ὃν τρόπον ἐποίησάν μοι, οὕτως ἐποίησα αὐτοῖς. καὶ εἶπαν αὐτῷ· δῆσαι σε κατέβημεν τοῦ παραδοῦναί σε εἰς χεῖρας ἀλλοφύλων. καὶ εἶπεν αὐτοῖς· ὀμόσατέ μοι, καὶ μὴ ἀποκτείνητέ με ὑμεῖς, καὶ παράδοτέ με ὑμεῖς, μήποτε ἀπαντήσητε ἐν ἐμοὶ ὑμεῖς. καὶ ὤμοσαν αὐτῷ λέγοντες· οὐχί, ἀλλ' ἢ δήσαντες δήσομέν σε, καὶ παραδώσομέν σε εἰς χεῖρας αὐτῶν, θανάτῳ δὲ οὐ θανατώσομέν σε. καὶ ἔδησαν αὐτὸν ἐν δυσὶ καλωδίοις καινοῖς, καὶ ἀνήγαγον αὐτὸν ἀπὸ τῆς πέτρας ἐκείνης, καὶ αὐτὸς ἦλθεν ἕως σιαγόνος. καὶ οἱ ἀλλόφυλοι ἠλάλαξαν, καὶ ἐδραμον εἰς συνάντησιν αὐτοῦ, καὶ κατεύθυνεν ἐπ' αὐτὸν πνεῦμα κυρίου, καὶ ἐγένετο τὰ καλώδια τὰ ἐν τοῖς βραχίοσιν αὐτοῦ ὡσεὶ συμπίον, ἥνικα ἂν ὀσφρανθῇ πυρός, καὶ ἐτάκησαν οἱ δεσμοὶ ἀπὸ τῶν βραχιόνων αὐτοῦ, καὶ εὗρε σιαγόνα ὄνου ἐξερριμμένην, καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ, καὶ ἔλαβεν αὐτὴν, καὶ ἐπάταξεν ἐν αὐτῇ χιλίους ἄνδρας. καὶ εἶπεν σαμψών· ἐν σιαγόνι ὄνου ἐξαλείφων ἐξήλειψα αὐτούς, ὅτι ἐν τῇ σιαγόνι τοῦ ὄνου ἐπάταξα χιλίους ἄνδρας. καὶ ἐγένετο ἡνίκα συνετέλεσε λαλῶν, καὶ ἔρριψε τὴν σιαγόνα ἀπὸ τῆς χειρὸς αὐτοῦ, καὶ ἐκάλεσεν τὸν τόπον ἐκεῖνον αἴρεσις σιαγόνος. καὶ ἐδίψησε σφόδρα, καὶ ἐβόησε πρὸς κύριον, καὶ εἶπε· σὺ δώσεις ἐν χειρὶ τοῦ δούλου σου τὴν σωτηρίαν τὴν μεγάλην ταύτην, καὶ νῦν ἀποθανοῦμαι ἐν δίψει, καὶ ἐμπεσοῦμαι ἐν χειρὶ τῶν ἀπεριτμήτων; καὶ ἠνοιξεν ὁ θεὸς τὸν προῦ μακρὸν τὸν ἐν τῇ σιαγόνι, καὶ ἐξῆλθεν ἐξ αὐτοῦ ὕδατα, καὶ ἔπιε, καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτοῦ καὶ ἀνέψυξε. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ, πηγὴ τοῦ ἐπικαλουμένου, ἡ ὄντι ἐν σιαγόνι, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἔκρινε τὸν ἰσραὴλ ἐν ἡμέραις ἀλλοφύλων εἴκοσι ἔτη.

ΚΕΦΑΛ. ιϛ'. 16.

Καὶ ἐπορεύθη σαμψὼν εἰς γάζαν, καὶ εἶδεν ἐκεῖ γυναῖκα πόρνην, καὶ εἰσῆλθε πρὸς αὐτὴν, καὶ ἀπηγγέλη τοῖς γαζαίοις λέγοντες· ἧκε σαμψὼν ὧδε, καὶ κατεκύκλωσαν, καὶ ἐνήδρευ-

φήδησαν ἐπ' αὐτὸν ὅλιν τὴν νύκτα ὧδε ἡ πόλις ἡ πόλεως. καὶ ἐκώφευσαν ὅλιν τὴν
νύκτα λέγοντες ἕως ἀφαύσῃ ὁ ὄρθρος μείνωμεν, καὶ ἀρκτείνωμεν αὐτόν. καὶ ἐκοιμήθη σαμ-
ψὼν ἕως μεσονυκτίου, καὶ ἀνέστη φ' ἡμίσει τῆς νυκτὸς, καὶ ἐπελάζετο τῶν δύο θυρῶν τῆς πύλης
τῆς πόλεως σὺν τοῖς σὺν σταθμοῖς, καὶ ἀνεβάστεξεν αὐτὰς σὺν τῷ μοχλῷ, καὶ ἔθηκεν αὐτὰς
ὧδε τῶν ὤμων αὐτοῦ, καὶ ἀνῆνεγκεν αὐτὰ ὧδε κορυφὴν τοῦ ὄρους, ὃ ἔστιν ὧπροσώπου χεβρών,
καὶ ἔθηκεν αὐτὰ ἐκεῖ. καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἠγάπησε γυναῖκα ἐκ τοῦ χειμάῤῥου σωρὴχ, καὶ
ὄνομα αὐτῇ δαλιδά, καὶ ἀνέβησαν πρὸς αὐτὴν οἱ ἄρχοντες τῶν ἀλλοφύλων, καὶ εἶπαν αὐτῇ
ἀπάτησον αὐτὸν, καὶ ἴδε ἐν τίνι ἡ ἰσχὺς αὐτοῦ ἔστιν ἡ μεγάλη, καὶ ἐν τίνι δυνησόμεθα πρὸς αὐ-
τὸν, καὶ δήσομεν αὐτὸν ὥστε ταπεινῶσαι αὐτὸν, καὶ ἡμεῖς δώσομέν σοι χιλίους καὶ ἑκατὸν ἀρ-
γυρέους. καὶ εἶπε δαλιδὰ πρὸς σαμψών· ἀπάγγειλόν δή μοι ἐν τίνι ἡ ἰσχύς σου ἡ μεγάλη, καὶ
ἐν τίνι δεθήσῃ τοῦ ταπεινωθῆναί σε. καὶ εἶπεν αὐτῇ σαμψών· ἐὰν δήσωσί με ἐν ἑπτὰ νευρέαις
ὑγραῖς μὴ διεφθαρμέναις, καὶ ἀσθενήσω, καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων. καὶ ἀνήνεγκαν αὐ-
τῇ οἱ σατράπαι τῶν ἀλλοφύλων ἑπτὰ νευρέας ὑγρὰς μὴ διεφθαρμένας, καὶ ἔδησεν αὐτὸν ἐν
αὐταῖς, καὶ τὸ ἐνέδρον αὐτῆς ἐκάθητο ἐν τῷ ταμείῳ· καὶ εἶπε πρὸς αὐτόν· ἄλλόφυλοι ὧδε σε σαμ-
ψών, καὶ τὰς νευρὰς διέῤῥηξεν ὡς εἴ τις διαπασάσει σπέρμα στιππύου ἐν τῷ ὀσφρανθῆναι αὐτὸ
πυρός, καὶ δὲ ἐγνώσθη ἡ ἰσχὺς αὐτοῦ. καὶ εἶπε δαλιδὰ πρὸς σαμψών· ἰδοὺ ἐπλάνησάς με, καὶ
ἐλάλησας πρός με ψεῦδη, νῦν οὖν ἀνάγγειλόν μοι ἐν τίνι δεθήσῃ; καὶ εἶπε πρὸς αὐτήν· ἐὰν
δήσωσί με ἐν καλωδίοις καινοῖς, οἷς οὐκ ἐργάζετο ἐν αὐτοῖς ἔργον, καὶ ἀσθενήσω
καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων. καὶ ἔλαβε δαλιδὰ, καλώδια καινὰ, καὶ ἔδησεν αὐτὸν ἐν αὐ-
τοῖς. καὶ εἶπε πρὸς αὐτόν· οἱ ἀλλόφυλοι ὧδε σε σαμψών. καὶ τὸ ἐνέδρον ἐκάθητο ἐν τῷ ταμείῳ,
καὶ διέσπασεν αὐτὰ ἀπὸ τῶν βραχιόνων αὐτοῦ ὡσεὶ ῥάμμα. καὶ εἶπε δαλιδὰ πρὸς σαμψών·
ἕως νῦν ἐξελυγίσω με, καὶ ἐλάλησας πρός με ψεῦδη, ἀνάγγειλόν μοι ἐν τίνι δεθήσῃ. καὶ εἶ-
πεν αὐτῇ· ἐὰν ὑφάνῃς τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς μου μετὰ τοῦ διάσματος, καὶ ἐγκρούσῃς ἐν
τῷ πασσάλῳ εἰς τὸν τοῖχον, καὶ ἔσομαι ἀσθενὴς ὡς εἷς τῶν ἀνθρώπων. καὶ ἐκοίμησεν αὐτὸν δα-
λιδὰ, καὶ λαβοῦσα τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς αὐτοῦ, καὶ ὕφανεν ἐν τῷ διάσματι, καὶ ἐνέκρουσε τοῖς πασσά-
λοις εἰς τὸν τοῖχον. καὶ εἶπεν· ἀλλόφυλοι ὧδε σε σαμψών. καὶ διεγερθεὶς ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ
διέσπασε τοὺς πασσάλους ἐν τῷ ὑφάσματι καὶ τὸν τοῖχον, καὶ τὸ διάσμα, καὶ δὲ ἐγνώσθη ἡ ἰσ-
χὺς αὐτοῦ. καὶ εἶπε πρὸς αὐτὸν δαλιδά· πῶς ὁρᾷς ἠγάπηκά σε, καὶ ἡ καρδία σου δὲ ἔστι μετ'
ἐμοῦ; τοῦτο τρίτον ἐπλάνησάς με, καὶ δὲ ἀπήγγειλάς μοι ἐν τίνι ἡ ἰσχύς σου ἡ μεγάλη. καὶ ἐγένε-
το ὅτε κατεργάσατο αὐτὸν ἐν λόγοις αὐτῆς ὅλην τὴν νύκτα, καὶ πρωΐωχλησε, καὶ ὠλιγοψύ-
χησεν εἰς θάνατον. καὶ ἀπήγγειλεν αὐτῇ πάντα τὰ ἀπὸ καρδίας αὐτοῦ, καὶ εἶπεν αὐτῇ· ξυρὸς
δὲ ἀναβέβηται ὧδε τὴν κεφαλήν μου, ὅτι ναζιραῖος θεοῦ ἐγώ εἰμι ἐκ κοιλίας μητρός μου, ἐὰν
ξυρήσωμαι, ἀποστήσεται ἀπ' ἐμοῦ ἡ ἰσχύς μου καὶ ἀσθενήσω, καὶ ἔσομαι καθὰ πάντας τοὺς ἀνθρώ-
πους. καὶ εἶδε δαλιδὰ, ὅτι ἀπήγγειλεν αὐτῇ πάντα τὰ ἀπὸ καρδίας αὐτοῦ, καὶ ἀπέστειλε, καὶ
ἐκάλεσε πάντας τοὺς σατράπας τῶν ἀλλοφύλων λέγουσα· ἀνάβητε τοῦτο, ὅτι ἀπήγγει-
λέ μοι πᾶσαν τὴν καρδίαν αὐτοῦ. καὶ ἀνέβησαν πρὸς αὐτὴν πᾶσαι αἱ σατραπεῖαι τῶν ἀλλο-
φύλων, καὶ ἠνέγκαν τὸ ἀργύριον ἐν ταῖς χερσὶν αὐτῶν. καὶ ἐκοίμησεν αὐτὸν ἀνὰ μέσον τῶν γο-
νάτων αὐτῆς, καὶ ἐκάλεσε τὸν κουρέα, καὶ ἔξυρησε τοὺς ἑπτὰ βοστρύχους τῆς κεφαλῆς αὐτοῦ, καὶ
ἤρξατο ταπεινοῦσθαι, καὶ ἀπέστη ἡ ἰσχὺς αὐτοῦ ἀπ' αὐτοῦ. καὶ εἶπε δαλιδά· ἀλλόφυλοι ὧδε σε
σαμψών, καὶ διεγερθεὶς ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· ἐξελεύσομαι καὶ ποιήσω καθὼς ἀεί, καὶ
ἀποτινάξομαι, καὶ αὐτὸς δὲ ἔγνω ὅτι ὁ κύριος ἀπέστη ἐπάνωθεν αὐτοῦ. καὶ ἐπελάβοντο αὐτοῦ
οἱ ἀλλόφυλοι, καὶ ἐξώρυξαν τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς γάζαν, καὶ ἔδησαν
αὐτὸν ἐν πέδαις χαλκαῖς, καὶ ἦν ἀλήθων ἐν οἴκῳ τῆς φυλακῆς. καὶ ἤρξατο ἡ θρὶξ τῆς κεφαλῆς
αὐτοῦ βλαστάνειν καθὼς ἐξυρήσατο. καὶ οἱ ἄρχοντες τῶν ἀλλοφύλων συνήχθησαν τοῦ θῦσαι θυ-
σίαν μεγάλην ἀγῶν τῷ θεῷ αὐτῶν, καὶ τοῦ εὐφρανθῆναι, καὶ εἶπαν· παρέδωκεν ὁ θεὸς ἡμῶν
ἐν χειρὶ ἡμῶν, τὸν σαμψών, τὸν ἐχθρὸν ἡμῶν· καὶ εἶδεν αὐτὸν ὁ λαός, καὶ ἤνεσαν τὸν θεὸν αὐτῶν,
ὅτι εἶπαν, παρέδωκεν ὁ θεὸς ἡμῶν ἐν χειρὶ ἡμῶν τὸν ἐχθρὸν ἡμῶν, τὸν ἐξερημώσαντα τὴν γῆν ἡμῶν,
ὃς πληθύνων τοὺς τραυματίας ἡμῶν. καὶ ἐγένετο ὅτε ἠγαθύνθη ἡ καρδία αὐτῶν, καὶ εἶπαν·
καλέσατε τὸν σαμψὼν ἐξ οἴκου φυλακῆς, καὶ παιζάτω ἐνώπιον ἡμῶν. καὶ ἐκάλεσαν τὸν σαμ-
ψὼν ἐξ οἴκου δεσμωτηρίου, καὶ ἔπαιζον αὐτῷ. καὶ ἔστησαν αὐτὸν ἀνὰ μέσον δύο στύλων. καὶ εἶπε
σαμψὼν πρὸς τὸν νεανίσκον τὸν κρατοῦντα τὴν χεῖρα αὐτοῦ· ἄφες με, καὶ ψηλαφήσω τοὺς κίο-
νας ἐφ' ὧν ὁ οἶκος ἐπεστήρικται ἐπ' αὐτῶν, καὶ στηριοῦμαι ἐπ' αὐτῶν. ὁ δὲ πᾶς ἐπλήσθη οἴν-
του. ὁ δὲ οἶκος ἦν πλήρης τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, καὶ ἐκεῖ πάντες οἱ σατράπαι τῶν ἀλ-
λοφύλων. καὶ ὧδε τοῦ δώματος ὡσεὶ τρισχίλιοι ἄνδρες καὶ γυναῖκες, ἐμβλέποντες ἐμπαίζο-
μενον τὸν σαμψών. καὶ ἐβόησε σαμψὼν πρὸς κύριον, καὶ εἶπε· κύριε κύριε τῶν δυνατῶν, μνή-
σθητί μου,

σκηπτόμου, καὶ γνίχυσόν με ὀπλῶ, καὶ ὁ ἅπαξ τοῦ θεὸ, καὶ ἐκδικήσω ἐκδίκησιν μίαν αὐτῶν τῶν δύο ὀφθαλμῶν μου τοῖς ἀλλοφύλοις. καὶ πορεύελαβε σαμψὼν τοὺς δύο στύλους τοὺς μέσους ὧν ὁ οἶκος ἐπεστήρικτο ἐπ' αὐτῶν, καὶ ἐπεστηρίξατο ἐπ' αὐτοῖς, γνα γὲ τῇ δεξιᾷ αὐτοῦ, καὶ γνα γὲ τῇ ἀριστερᾷ αὐτοῦ. καὶ εἶπε σαμψὼν· ἀποθανέτω ἡ ψυχή μου μετὰ τῶν ἀλλοφύλων. καὶ ἔκλινεν γὲ ἰσχύι, καὶ ἔπεσεν ὁ οἶκος ὠδὴ τοὺ σατράπας, καὶ ἐπὶ πάντα τὸν λαὸν τὸν γὲ αὐτοῦ. καὶ ἐγένηθησαν οἱ τεθνηκότες οὓς ἐθανάτωσε σαμψὼν γὲ τοῦ θανάτου αὐτοῦ, πλείους ἦσαν οὓς ἐθανάτωσεν γὲ τῇ ζωῇ αὐτοῦ. καὶ κατέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶς ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ ἔλαβον αὐτὸν, καὶ ἀνέβησαν καὶ ἔθαψαν αὐτὸν ἀνὰ μέσον σαρὰ, καὶ ἀνὰ μέσον ἐσθαόλ, γὲ τοῦ πάππου μανωὲ τοῦ πατρὸς αὐτοῦ, ὃς αὐτὸς ἔκρινε τὸν ἰσραὴλ εἴκοσιν ἔτη. καὶ ἀνέβη μετὰ τὸν σαμψὼν ἐμεγαρ ὑὸς γὼὴ, καὶ ἔκρινεν ἐκ τῶν ἀλλοφύλων ἄνδρας, ἑκτὸς τῶν ἑκατὸν ὅπλων, καὶ ἔσωσεν αὐτὸς τὸν ἰσραὴλ.

ΚΕΦΑΛ. ιζ'. 17.

Καὶ ἐγένετο ἀνὴρ ἐξ ὄρους ἐφραὶμ, καὶ ὄνομα αὐτοῦ μιχαί. καὶ εἶπε τῇ μητρὶ αὐτοῦ· χιλίους καὶ ἑκατὸν ἀργυρίους οὓς συλληφθέντας σοι, καὶ ἐξώρκισας καὶ εἶπας γὲ τοῖς ὠσί μου· ἰδοὺ τὸ ἀργύριον παρ' ἐμοί, ἐγὼ ἔλαβον αὐτό. καὶ εἶπεν ἡ μήτηρ αὐτοῦ· εὐλογημένος ὁ υἱός μου τῷ κυρίῳ. καὶ ἀπέδωκε οὓς χιλίους καὶ ἑκατὸν ἀργυρίους τῇ μητρὶ αὐτοῦ. καὶ εἶπεν ἡ μήτηρ αὐτοῦ· ἁγιασμῷ ἡγίασα τὸ ἀργύριον τῷ κυρίῳ ἐκ γὲ χειρός μου κατὰ μόνας, τοῦ ποιῆσαι γλυπτὸν καὶ χωνευτὸν, καὶ νῦν ἀποδώσω αὐτό σοι. καὶ ἀπέδωκε τὸ ἀργύριον τῇ μητρὶ αὐτοῦ, καὶ ἔλαβεν ἡ μήτηρ αὐτοῦ διακοσίους τοῦ ἀργυρίου, καὶ ἔδωκεν αὐτὸ τῷ χωνευτῇ, καὶ ἐποίησεν αὐτὸ γλυπτὸν καὶ χωνευτόν. καὶ ἐγένετο γὲ τῷ οἴκῳ μιχαί, καὶ ὁ οἶκος μιχαὶ αὐτοῦ οἴκου θεοῦ. καὶ ἐποίησεν γὲ ἐφοὺδ καὶ θραφείμ, καὶ γὲπλήσε τὴν χεῖρα ἑνὸς τῶν υἱῶν αὐτοῦ, καὶ ἐγένηθη αὐτοῦ εἰς ἱερέα.

ΚΕΦΑΛ. ιή. 18.

Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις, ἐκ μὴ βασιλεὺς γὲ ἰσραὴλ, αὐτὸς τὸ κύθες γὲ ὀφθαλμοῖς αὐτοῦ ἐποίει. καὶ ἐγένετο παιδάριον γὲ βηθλεὲμ ἰούδα ἐκ τῆς συγγενείας δήμου ἰούδα, καὶ αὐτὸς λευίτης, καὶ οὗτος παρῴκει ἐκεῖ, καὶ ἐπορεύθη ὁ ἀνὴρ ἐκ τῆς πόλεως βηθλεὲμ ἰούδα, παροικεῖν ὅ ἂν εὕρῃ, καὶ ἦλθεν ἕως ὄρους ἐφραὶμ, καὶ ἕως οἴκου μιχᾶ τοῦ ποιῆσαι τὴν ὁδὸν αὐτοῦ. καὶ εἶπεν αὐτῷ μιχᾶ· πόθεν ὄρχη; καὶ εἶπεν αὐτῷ ὁ λευίτης· ἐγὼ εἰμὶ ἐκ βηθλεὲμ ἰούδα, καὶ ἐγὼ πορεύομαι παροικεῖν οὗ ἂν εὕρω. καὶ εἶπεν αὐτῷ μιχᾶ· κάθου μετ' ἐμοῦ, καὶ γίνου μοι εἰς πατέρα καὶ εἰς ἱερέα, καὶ ἐγὼ δώσω σοι δέκα ἀργυρίου εἰς ἡμέρας, καὶ ζεῦγος ἱματίων, καὶ τὰ πρὸς ζωήν σου. καὶ ἐπορεύθη ὁ λευίτης, καὶ ἤρξατο παροικεῖν παρὰ τῷ ἀνδρί. καὶ ἐγένηθη τὸ παιδάριον αὐτῷ ὡς εἷς τῶν υἱῶν αὐτοῦ. καὶ γὲπλήσε μιχᾶ τὴν χεῖρα τοῦ λευίτου, καὶ ἐγένηθη αὐτῷ τὸ παιδάριον εἰς ἱερέα, καὶ ἦν γὲ τῷ οἴκῳ μιχᾶ. καὶ εἶπε μιχᾶ· νῦν ἔγνων ὅτι ἀγαθοποιήσει μοι κύριος, ὅτι ἐγένηθη μοι ὁ λευίτης εἰς ἱερέα. γὲ ταῖς ἡμέραις ἐκείναις ἐκ μὴ βασιλεὺς γὲ ἰσραὴλ. καὶ γὲ ταῖς ἡμέραις ἐκείναις ἡ φυλὴ τοῦ δαὰν, ἐζήτει ἑαυτῇ κληρονομίαν τοῦ κατοικεῖν, ὅτι ἐκ ἐνέπεσεν αὐτῇ ἕως τῆς ἡμέρας ἐκείνης ἐν μέσῳ φυλῶν ἰσραὴλ κληρονομία. καὶ ἐξαπέστειλαν οἱ υἱοὶ δαὰν ἐκ δήμου αὐτῶν, πέντε ἄνδρας ἐκ μερίδος αὐτῶν υἱοὺς δυνάμεως ἐκ σαρὰ, καὶ ἐκ θαόλ, τοῦ κατασκέψασθαι τὴν γῆν, καὶ ἐξιχνιάσαι αὐτὴν. καὶ εἶπαν πρὸς αὐτούς· πορεύεσθε καὶ ὁρᾶσθε τὴν γῆν. καὶ παρεγένοντο εἰς ὄρος ἐφραὶμ ἕως οἴκου μιχᾶ, καὶ κατέπαυσαν ἐκεῖ, αὐτὸς ὄντως ἐν τῷ οἴκῳ μιχᾶ. καὶ αὐτοὶ ἐπέγνωσαν τὴν φωνὴν τοῦ παιδαρίου τοῦ λευίτου, καὶ ἐξέκλιναν ἐκεῖ. καὶ εἶπαν αὐτῷ· τίς ἤγαγέ σε ὧδε; καὶ σὺ τί ποιεῖς ἐνταῦθα; καὶ τί σοι ἐστιν ὧδε; καὶ εἶπε πρὸς αὐτούς· οὕτως καὶ οὕτως ἐποίησε μιχαί καὶ ἐμισθώσατό με, καὶ ἐγενήθην αὐτῷ εἰς ἱερέα. καὶ εἶπαν αὐτῷ· ἐπερώτησον δὴ ἐν τῷ θεῷ, καὶ γνωσόμεθα εἰ κατευοδοῖ τὴν ὁδὸν ἡμῶν, ἣν ἡμεῖς πορευόμεθα ἐπ' αὐτήν. καὶ εἶπεν αὐτοῖς ὁ ἱερεύς· πορεύεσθε εἰς εἰρήνην, ἐνώπιον κυρίου ἡ ὁδὸς ὑμῶν καθ' ἣν πορεύεσθε ἐν αὐτῇ. καὶ ἐπορεύθησαν οἱ ἄνδρες, καὶ παρεγένοντο εἰς λαισά, καὶ εἶδον τὸν λαὸν τὸν κατοικοῦντα ἐν αὐτῇ ἐγκαθήμενον ἐπ' ἐλπίδι, κατὰ τὴν σύγκρισιν σιδωνίων, ἡσυχάζοντας ἐν ἐλπίδι, καὶ μὴ δυναμένους λαλῆσαι ῥῆμα, ὅτι μακρὰν εἰσὶν ἀπὸ σιδώνων, καὶ λόγον οὐκ ἦν αὐτοῖς μετὰ συρίας. καὶ παρεγένοντο οἱ ἄνδρες πρὸς τοὺς ἀδελφοὺς αὐτῶν εἰς σαρὰ καὶ ἐσθαόλ. καὶ ἔλεγον αὐτοῖς οἱ ἀδελφοὶ αὐτῶν· τί ὑμεῖς κάθησθε; καὶ εἶπαν· ἀνάστητε καὶ ἀναβῶμεν πρὸς αὐτούς, ὅτι ἑωράκαμεν τὴν γῆν καὶ ἰδοὺ ἀγαθὴ σφόδρα, καὶ ὑμεῖς ἡσυχάζετε, μὴ ὀκνήσητε τοῦ πορευθῆναι εἰσελθεῖν τοῦ κληρονομῆσαι τὴν γῆν. καὶ ἡνίκα ἐὰν ἔλθητε, ἥξετε πρὸς λαὸν πεποιθότα, καὶ ἡ γῆ εὐρύχωρος, ὅτι παρέδωκεν αὐτὴν ὁ θεὸς ἐν χερὶ ὑμῶν, τόπος οὐκ ἔστιν ὑστέρημα παντὸς ῥήματος, ὅσα ἐστὶν ἐν τῇ γῇ. καὶ ἀπῆραν ἐκεῖθεν ἐκ συγγενείας δήμου τοῦ δαὰν ἐκ σαρὰ καὶ ἐξ ἐσθαόλ ἄνδρες ἐσωσμένοι σκεύη πολεμικὰ ἑξακόσιοι. καὶ ἀνέβησαν καὶ παρενέβαλον ἐν καριαθιαρεὶμ ἐν ἰούδα. διὰ τοῦτο ἐκλήθη τοῦ τόπου ἐκείνου παρεμβολὴ δαὰν, ἕως τῆς ἡμέρας ταύτης. ἰδοὺ

καὶ πορευθεὶς κατέλαθιαρεῖμ, καὶ παρῆλθον ἐκεῖθεν ἕως τοῦ ὄρους ἐφραὶμ, καὶ ἦλθον ἕως οἴκου μι-
χᾶ. καὶ ἀπεκρίθησαν οἱ ἀνδρες οἱ πορευθέντες κατασκέψασθαι τὴν γῆν, καὶ εἶπαν
πρὸς τοὺς ἀδελφοὺς αὐτῶν· ἐν οἴδατε ὅτι ἔστιν ἐν τοῖς οἴκοις τούτοις ἐφούδ καὶ θραφεὶμ καὶ γλυ-
πτὸν καὶ χωνευτὸν, καὶ νῦν γνῶτε τί ποιήσετε. καὶ ἐξέκλιναν ἐκεῖ, καὶ εἰσῆλθον εἰς τὸν οἶκον τοῦ
παιδαρείου τοῦ λευίτου εἰς τὸν οἶκον τοῦ μιχᾶ, καὶ ἠσπάσαντο αὐτὸν εἰς εἰρήνην, καὶ οἱ ἑξακό-
σιοι ἄνδρες περιεζωσμένοι σκεύη πολεμικὰ αὐτῶν ἑστηκότες παρὰ τὴν θύραν τοῦ πυλῶ-
νος, οἱ ἐκ τῶν υἱῶν δαν. καὶ ἀνέβησαν οἱ πορευόμενοι κατασκέψασθαι τὴν
γῆν, καὶ εἰσελθόντες ἐκεῖ, ἔλαβον τὸ γλυπτὸν, καὶ τὸ ἐφούδ, καὶ τὸ θραφεὶμ, καὶ τὸ χωνευ-
τὸν, καὶ ὁ ἱερεὺς ἑστηκὼς πρὸς τῇ θύρᾳ τοῦ πυλῶνος, καὶ οἱ ἑξακόσιοι ἄνδρες οἱ περιεζω-
σμένοι σκεύη πολεμικά, καὶ ὅτοι εἰσῆλθον εἰς οἶκον μιχᾶ, καὶ ἔλαβον τὸ γλυπτὸν καὶ τὸ ἐφούδ,
καὶ τὸ θραφεὶμ καὶ τὸ χωνευτὸν, καὶ εἶπε πρὸς αὐτοὺς ὁ ἱερεύς· τί ὑμεῖς ποιεῖτε; καὶ εἶπαν πρὸς αὐ-
τὸν· κωφεύσον, ἐπίθου τὴν χεῖρά σου ἐπὶ τὸ στόμα σου, καὶ ἐλθὲ μετ' ἡμῶν, καὶ ἔσῃ ἡμῖν εἰς πατέρα
καὶ εἰς ἱερέα. μὴ βέλτιον εἶναί σε ἱερέα οἴκου ἀνδρὸς ἑνὸς, ἢ γενέσθαί σε ἱερέα φυλῆς, καὶ συγγε-
νείας ἐν Ἰσραήλ; καὶ ἠγαθύνθη ἡ καρδία τοῦ ἱερέως, καὶ ἔλαβε τὸ ἐφούδ καὶ τὸ θραφεὶμ, καὶ τὸ γλυ-
πτὸν καὶ τὸ χωνευτὸν, καὶ εἰσῆλθεν ἐν μέσῳ τοῦ λαοῦ, καὶ ἐπέστρεψαν καὶ ἀπῆλθον, καὶ ἐπάτα-
ξαν τὴν πρόοικίαν καὶ τὴν λιτὸν αὐτοῦ τὴν ἐνδρὸν ἐμπροσθεν αὐτῶν. αὐτῶν δὲ μεμακρυνη-
κότων ἀπὸ οἴκου μιχᾶ, καὶ οἱ ἄνδρες οἱ ἐν τοῖς οἰκίαις μετὰ τοῦ οἴκου μιχᾶ, ἐκράζοντο καὶ κατέλαβον
τοὺς υἱοὺς δαν. καὶ ἐπέστρεψαν οἱ υἱοὶ δαν τὰ πρόσωπα αὐτῶν, καὶ εἶπαν πρὸς μιχᾶ· τί ἐστι σοι ὅτι
ἐκράξας; καὶ εἶπε μιχᾶ· ὅτι τοὺς θεούς μου οὓς ἐποίησα ἐμαυτῷ, ἐλάβετε, καὶ τὸν ἱερέα, καὶ ἀπῆλθε-
τε, καὶ τί μοι ἔτι, καὶ τί τοῦτό μοι λέγετε, τί σὺ κράζεις; καὶ εἶπαν πρὸς αὐτὸν οἱ υἱοὶ δαν· μὴ ἀκ-
ακούσῃ σὺ καὶ ἡ φωνή σου μετ' ἡμῶν, μή ποτε ἀπαντήσωσιν ὑμῖν ἄνδρες κατάδικοι ψυχὴν πι-
κρὰν, καὶ προσθήσεις τὴν ψυχήν σου, καὶ τὴν ψυχὴν τοῦ οἴκου σου. καὶ ἐπορεύθησαν οἱ υἱοὶ δαν
εἰς τὴν ὁδὸν αὐτῶν. καὶ εἶδε μιχᾶ ὅτι ἰσχυρότεροί εἰσιν αὐτοὶ, καὶ ἐπέστρεψεν εἰς τὸν
οἶκον αὐτοῦ, καὶ αὐτοὶ ἔλαβον ὅσα ἐποίησε μιχᾶ, καὶ τὸν ἱερέα ὃς ἦν αὐτῷ, καὶ ἦλθον ἐπὶ λου-
ζὰ ἐπὶ λαὸν ἡσυχάζοντα καὶ πεποιθότα ἐπ' ἐλπίδι, καὶ ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας,
καὶ τὴν πόλιν ἐνέπρησαν ἐν πυρί, καὶ οὐκ ἔστιν ὁ ἐξαιρούμενος, ὅτι μακρὰν ἦσαν ἀπὸ σιδῶν,
καὶ λόγος οὐκ ἔστιν αὐτοῖς μετὰ ἀνθρώπου. καὶ αὕτη οὐκ ἔστιν ἐν τῇ κοιλάδι, ἥ ἐστι τοῦ οἴκου ῥοὼβ. καὶ
ᾠκοδόμησαν τὴν πόλιν, καὶ κατῴκησαν ἐν αὐτῇ, καὶ ἐκάλεσαν τὸ ὄνομα τῆς πόλεως δαν, ἐν ὀνό-
ματι δαν τοῦ πατρὸς αὐτῶν, ὃς ἐγενήθη τῷ Ἰσραήλ, καὶ λαΐς ὄνομα τῇ πόλει τὸ πρότερον.
καὶ ἔστησαν ἑαυτοῖς οἱ υἱοὶ τοῦ δαν τὸ γλυπτὸν, καὶ ἰωνάθαν υἱὸς γηρσὼμ υἱοῦ μανασσῆ, αὐτὸς καὶ
οἱ υἱοὶ αὐτοῦ ἦσαν ἱερεῖς τῇ φυλῇ δαν, ἕως τῆς ἡμέρας τῆς μετοικησίας τῆς γῆς. καὶ ἔταξαν ἑαυ-
τοῖς τὸ γλυπτὸν μιχᾶ, ὃ ἐποίησε μιχᾶ πάσας τὰς ἡμέρας ὅσας ἦν ὁ οἶκος τοῦ θεοῦ ἐν σηλώμ. καὶ
ἐγένετο ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ.

ΚΕΦΑΛ. ιθ'. 19.

Καὶ ἐγένετο ἀνὴρ λευίτης παροικῶν ἐν μηροῖς ὄρους ἐφραὶμ, καὶ ἔλαβεν ἑαυτῷ γυναῖκα
παλλακὴν ἐκ βηθλεὲμ ἰούδα. καὶ ὠργίσθη αὐτῷ ἡ παλλακὴ αὐτοῦ, καὶ ἀπῆλθε παρ' αὐ-
τοῦ εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτῆς εἰς βηθλεὲμ ἰούδα, καὶ ἐγένετο ἐκεῖ ἡμέρας τετράμηνον,
καὶ ἀνέστη ὁ ἀνὴρ αὐτῆς, καὶ ἐπορεύθη κατόπισθεν αὐτῆς τοῦ λαλῆσαι τῇ καρδίᾳ αὐτῆς,
τοῦ ἐπαλλάξαι αὐτὴν αὐτῷ, καὶ ἀπάγειν αὐτὴν πάλιν πρὸς ἑαυτὸν, καὶ τὸ παιδάριον αὐτοῦ
μετ' αὐτοῦ, καὶ ζεῦγος ὑποζυγίων. καὶ ἐπορεύθη ἕως οἴκου τοῦ πατρὸς αὐτῆς. καὶ εἶδεν αὐτὴν
ὁ πατὴρ τῆς νεανίδος, καὶ ἐξῆλθε εἰς ἀπάντησιν αὐτοῦ, καὶ εἰσήγαγεν αὐτὸν ὁ γαμβρὸς αὐτοῦ ὁ πα-
τὴρ τῆς νεανίδος, καὶ ἐκάθισε μετ' αὐτοῦ τρεῖς ἡμέρας, καὶ ἔφαγον καὶ ἔπιον καὶ ὑπνωσαν ἐκεῖ,
καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ, καὶ ὠρθρισαν τοπρωΐ, καὶ ἀνέστη τοῦ ἀπελθεῖν. καὶ εἶπεν ὁ πα-
τὴρ τῆς νεανίδος πρὸς τὸν γαμβρὸν αὐτοῦ· στήρισον τὴν καρδίαν σου ψωμίσματι ἄρτου, καὶ με-
τὰ ταῦτα πορεύεσθε. καὶ ἐκάθισαν καὶ ἔφαγον ἀμφότεροι αὐτῶν τὸ αὐτὸ, καὶ ἔπιον. καὶ εἶπεν ὁ πα-
τὴρ τῆς νεανίδος πρὸς τὸν ἄνδρα· ἀρξάμενον αὐλίσθητι, καὶ ἀγαθυνθήτω ἡ καρδία σου. καὶ ἀνέ-
στη ὁ ἀνὴρ τοῦ ἀπελθεῖν, καὶ ἐβιάσατο αὐτὸν ὁ γαμβρὸς αὐτοῦ, καὶ ἐκάθισε, καὶ πάλιν ηὐλίσθη
ἐκεῖ. καὶ ὠρθρισε τοπρωΐ τῇ ἡμέρᾳ τῇ πέμπτῃ, τοῦ ἀπελθεῖν. καὶ εἶπεν ὁ πατὴρ τῆς νεανίδος· στή-
ρισον δὴ τὴν καρδίαν σου ἄρτῳ, καὶ στραπόθητι ἕως κλίνῃ ἡ ἡμέρα, καὶ ἔφαγον καὶ ἔπιον ἀμφό-
τεροι. καὶ ἀνέστη ὁ ἀνὴρ τοῦ ἀπελθεῖν αὐτὸς καὶ ἡ παλλακὴ αὐτοῦ, καὶ τὸ παιδάριον αὐτοῦ. καὶ εἶ-
πεν αὐτῷ ὁ γαμβρὸς αὐτοῦ ὁ πατὴρ τῆς νεανίδος· ἰδοὺ δὴ κέκλικεν ἡμέρα εἰς ἑσπέραν, αὐλίσθη-
τι ὧδε, καὶ ἀγαθυνθήτω ἡ καρδία σου, καὶ ὀρθρισάτε αὔριον εἰς τὴν ὁδὸν ὑμῶν, καὶ ἀπελεύσῃ
εἰς τὸ σκήνωμά σου. καὶ οὐκ ἠθέλησεν ὁ ἀνὴρ αὐλισθῆναι, καὶ ἀνέστη καὶ ἀπῆλθε. καὶ παρεγένοντο
ἕως ἀπέναντι ἰεβούς, αὕτη ἐστὶν ἱερουσαλήμ, καὶ μετ' αὐτοῦ ζεῦγος ὑποζυγίων ὠσαγμέ-
νον, καὶ ἡ παλλακὴ αὐτοῦ ἐν αὐτῷ μετ' αὐτοῦ, αὐτοὶ καὶ ἰεβοῦς, αὕτη ἐστὶν ἱερουσαλήμ. καὶ ἡ ἡ-
μέρα κέκλικυῖα σφόδρα, καὶ εἶπε τὸ παιδάριον πρὸς τὸν κύριον αὐτοῦ· δεῦρο δὴ καὶ ἐκκλι-
νωμεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΙ ἦλθον οἱ ἄνδρες Καριαθιαρείμ, καὶ ἀνήγαγον τὴν λιβωτὸν διαθήκης λυρίου, καὶ εἰσήγαγον αὐτὴν εἰς οἶκον ἀμιναδὰβ τὸν ἐν τῷ Βουνῷ, καὶ τὸν ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ ἡγίασαν φυλάσσειν τὴν λιβωτὸν διαθήκης λυρίου. καὶ ἐγένοντο ἀφ' ἧς ἡμέρας ἔστη ἡ λιβωτὸς ἐν Καριαθιαρείμ, ἐπλήθυναν αἱ ἡμέραι, καὶ ἐγένοντο εἴκοσι ἔτη. καὶ ἐπέβλεψαν πᾶς οἶκος ἰσραὴλ ὀπίσω λυρίου. καὶ εἶπε σαμουὴλ πρὸς πάντα οἶκον ἰσραὴλ λέγων· εἰ ἐν ὅλῃ καρδίᾳ ὑμῶν ὑμεῖς ἐπιστρέφετε πρὸς λύριον, περιέλεσθε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ τὰ ἄλση, καὶ ἑτοιμάσατε τὰς καρδίας ὑμῶν πρὸς λύριον, καὶ δουλεύσατε αὐτῷ μόνῳ, καὶ ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἀλλοφύλων. καὶ περιεῖλον οἱ υἱοὶ ἰσραὴλ τοὺς βαλείμ, καὶ τὰ ἄλση ἐσαρώθη, καὶ ἐδούλευσαν τῷ λυρίῳ μόνῳ. καὶ εἶπε σαμουὴλ· ἀθροίσατε πρός με τὸν παντὸς ἰσραὴλ εἰς μασηφάθ, καὶ προσεύξομαι περὶ ὑμῶν πρὸς λύριον. καὶ συνήχθη ὁ λαὸς εἰς μασηφάθ, καὶ ὑπερεύσαντο ὕδωρ, καὶ ἐξέχεαν ἐνώπιον λυρίου ἐπὶ τὴν γῆν. καὶ ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἶπαν· ἡ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαρτήκαμεν ἐνώπιον κυρίου. καὶ ἐβόησε σαμουὴλ τοὺς υἱοὺς ἰσραὴλ εἰς μασηφάθ. καὶ ἦκ
ραν οἱ ἀλλόφυλοι ὅτι συνηθροίσθησαν πάντες οἱ υἱοὶ ἰσραὴλ εἰς μασηφάθ, καὶ ἀνέβησαν σα-
τραπαι τῶν ἀλλοφύλων ἐπὶ ἰσραὴλ, καὶ ἀκούσαντες οἱ υἱοὶ ἰσραὴλ καὶ ἐφοβήθησαν ἀπὸ προσώ
που ἀλλοφύλων. καὶ εἶπαν οἱ υἱοὶ ἰσραὴλ πρὸς σαμουήλ· μὴ παρασιωπήσῃς ἀφ' ἡμῶν τοῦ μὴ
βοᾶν σαμουὴλ πρὸς κύριον θεόν σου, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων. καὶ εἶπε σαμουὴλ
μή μοι γένοιτο ἁμαρτεῖν τοῦ μὴ βοᾶν περὶ ὑμῶν προσεύχομαι. καὶ ἔ-
λαβε σαμουὴλ ἀρνα γαλαθηνὸν ἕνα, καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκάυτωσιν σὺν παντὶ τῷ
λαῷ τῷ κυρίῳ. καὶ ἐβόησε σαμουὴλ πρὸς κύριον περὶ ἰσραὴλ, καὶ ἐπήκουσεν αὐτοῦ κύριος.
καὶ ἦν σαμουὴλ ἀναφέρων τὴν ὁλοκάυτωσιν. καὶ ἀλλόφυλοι προσήγαγον εἰς πόλεμον ἐπὶ
ἰσραήλ, καὶ ἐβρόντησε κύριος ἐν φωνῇ μεγάλῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τοὺς ἀλλοφύλους, καὶ
συνεχύθησαν, καὶ ἔπεσαν ἐνώπιον ἰσραὴλ. καὶ ἐξῆλθον ἄνδρες ἰσραὴλ ἐκ μασηφάθ, καὶ
κατεδίωξαν τοὺς ἀλλοφύλους, καὶ ἐπάταξαν αὐτοὺς ἕως ὑποκάτω τοῦ Βαιθχώρ. καὶ ἔλαβε σα-
μουὴλ λίθον ἕνα, καὶ ἔστησεν αὐτὸν ἀνὰ μέσον μασηφάθ, καὶ ἀνὰ μέσον τῆς παλαιᾶς, καὶ ἐκά-
λεσε τὸ ὄνομα αὐτοῦ Ἀβενέζερ, ὃ σημαίνει λίθος τοῦ βοηθοῦ. καὶ εἶπεν ἕως ἐνταῦθα ἐβοήθη-
σεν ἡμῖν κύριος, καὶ ἐταπείνωσε κύριος τοὺς ἀλλοφύλους, καὶ οὐ προσέθετο ἔτι ἐλθεῖν
θεῖν εἰς ὅριον ἰσραήλ. καὶ ἐγένετο χεὶρ κυρίου ἐπὶ τοὺς ἀλλοφύλους πάσας τὰς ἡμέρας σα-
μουήλ. καὶ ἀπεδόθησαν αἱ πόλεις ἃς ἔλαβον οἱ ἀλλόφυλοι παρὰ τῶν υἱῶν ἰσραήλ, καὶ
ἀπέδωκαν αὐτὰς τῷ ἰσραὴλ ἀπὸ ἀκκαρὼν ἕως γέθ, καὶ τὸ ὅριον ἰσραὴλ ἀφείλαντο ἐκ χει-
ρὸς ἀλλοφύλων, καὶ ἦν εἰρήνη ἀνὰ μέσον τοῦ ἰσραὴλ, καὶ ἀνὰ μέσον τοῦ ἀμορραίου. καὶ ἐ-
κρίνεν σαμουὴλ τὸν ἰσραὴλ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ ἐπορεύετο κατ' ἐνιαυ-
τὸν ἐνιαυτοῦ, καὶ ἐκύκλου Βαιθὴλ, καὶ τὴν γαλγαλὰ, καὶ τὴν μασηφά. καὶ ἐδίκαζε τὸν ἰσ-
ραὴλ ἐν πᾶσι τοῖς ἁγιασμοῖς τούτοις. ἡ δὲ ἀποστροφὴ αὐτοῦ εἰς ἁρμαθαίμ, ὅτι ἐκεῖ ἦν ὁ οἶκος
αὐτοῦ. καὶ ἐδίκαζεν ἐκεῖ τὸν ἰσραήλ, καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ.

ΚΕΦΑΛ. η'. θ.

Καὶ ἐγὼ ὡς ἐγήρασε σαμουὴλ, καὶ κατέστησε τοὺς υἱοὺς αὐτοῦ δικαστὰς τῷ ἰσρα-
ὴλ. καὶ τοῦτα τὰ ὀνόματα τῶν υἱῶν αὐτοῦ. πρωτότοκος ἰωὴλ, καὶ ὄνομα τῷ δευτέ-
ρου ἀβιὰ, δικασταὶ ἐν Βηρσαβεέ. καὶ οὐκ ἐπορεύθησαν οἱ υἱοὶ αὐτοῦ ἐν ὁδῷ, καὶ ἐξέκλιναν
ὀπίσω τῆς σωτηρίας, καὶ ἐλάμβανον δῶρα, καὶ ἐξέκλινον δικαιώματα. καὶ συναθροίζον-
ται οἱ πάντες ἰσραὴλ, καὶ παραγίνονται εἰς ἁρμαθαὶμ πρὸς σαμουὴλ, καὶ εἶπαν αὐτῷ· ἰδοὺ
σὺ γεγήρακας, καὶ οἱ υἱοί σου οὐ πορεύονται ἐν τῇ ὁδῷ σου. καὶ νῦν κατάστησον ἐφ' ἡμᾶς
βασιλέα, δικάζειν ἡμᾶς καθὰ καὶ τὰ λοιπὰ ἔθνη. καὶ ἦν πονηρὸν τὸ ῥῆμα ἐν ὀφθαλμοῖς σα-
μουὴλ, ὡς εἶπαν· δὸς ἡμῖν βασιλέα, δικάζειν ἡμᾶς. καὶ προσηύξατο σαμουὴλ πρὸς κύρι-
ον, καὶ εἶπε κύριος πρὸς σαμουήλ. ἄκουε τῆς φωνῆς τοῦ λαοῦ, καθὰ ἂν λαλῶσι πρός σε·
ὅτι οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμὲ ἐξουθενήκασι τοῦ μὴ βασιλεύειν ἐπ' αὐτῶν, κατὰ πάν-
τα τὰ ποιήματα ἃ ἐποίησάν μοι ἀφ' ἧς ἡμέρας ἀνήγαγον αὐτοὺς ἐξ Αἰγύπτου ἕως τῆς ἡμέ-
ρας ταύτης, καὶ ἐγκατέλιπόν με καὶ ἐδούλευσαν θεοῖς ἑτέροις, οὕτως αὐτοὶ ποιοῦσι καὶ
σοί. καὶ νῦν ἄκουε τῆς φωνῆς αὐτῶν, πλὴν ὅτι διαμαρτυρόμενος διαμαρτύρῃ αὐτοῖς, καὶ ἀ-
παγγελεῖς αὐτοῖς τὸ δικαίωμα τοῦ βασιλέως ὃς βασιλεύσει ἐπ' αὐτούς. καὶ εἶπε σαμουὴλ
πρὸς τὸ ῥῆμα κυρίου πρὸς τὸν λαὸν τοὺς αἰτοῦντας παρ' αὐτοῦ βασιλέα. καὶ εἶπε· τοῦτο ἔ-
σται τὸ δικαίωμα τοῦ βασιλέως ὃς βασιλεύσει ἐφ' ὑμᾶς, τοὺς υἱοὺς ὑμῶν λήψεται, καὶ θή-
σεται αὐτοὺς ἐν ἅρμασιν αὐτοῦ, καὶ ἐν ἱππεῦσιν αὐτοῦ, καὶ προτρέχοντας τῶν ἁρμάτων
αὐτοῦ, καὶ θήσεται αὐτοὺς ἑαυτῷ ἑκατοντάρχους, καὶ χιλιάρχους, καὶ θερίζειν θερισμὸν αὐ-
τοῦ, καὶ τρυγᾶν τρυγητὸν αὐτοῦ, καὶ ποιεῖν σκεύη πολεμικὰ αὐτοῦ, καὶ σκεύη ἁρμάτων αὐ-
τοῦ, καὶ τὰς θυγατέρας ὑμῶν λήψεται εἰς μυροπώλους, καὶ εἰς μαγειρίσσας, καὶ εἰς πεσσούσας.
καὶ τοὺς ἀγροὺς ὑμῶν, καὶ τοὺς ἀμπελῶνας ὑμῶν, καὶ τοὺς ἐλεῶνας ὑμῶν τοὺς ἀγαθοὺς λήψε-
ται, καὶ δώσει τοῖς δούλοις ἑαυτοῦ. καὶ τὸ σπέρμα ὑμῶν, καὶ τοὺς ἀμπελῶνας ὑμῶν ἀποδε-
κατώσει, καὶ δώσει τοῖς εὐνούχοις αὐτοῦ καὶ τοῖς δούλοις αὐτοῦ, καὶ τοὺς δούλους ὑμῶν καὶ
τὰς δούλας ὑμῶν, καὶ τὰ βουκόλια ὑμῶν τὰ ἀγαθὰ, καὶ τοὺς ὄνους ὑμῶν λήψεται, καὶ ἀποθή-
σει εἰς τὰ ἔργα αὐτοῦ. καὶ τὰ ποίμνια ὑμῶν ἀποδεκατώσει, καὶ ὑμεῖς ἔσεσθε αὐτῷ
δοῦλοι, καὶ βοήσεσθε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ προσώπου τοῦ βασιλέως ὑμῶν οὗ ἐξελέξασθε
ἑαυτοῖς, καὶ οὐκ ἐπακούσεται κύριος ὑμῶν ἐν ταῖς ἡμέραις ἐκείναις, ὅτι ὑμεῖς ἐξελέξασθε
ἑαυτοῖς βασιλέα. καὶ οὐκ ἠβούλετο ὁ λαὸς τοῦ ἀκοῦσαι τοῦ σαμουήλ, καὶ εἶπαν αὐτῷ· οὐ-
χί, ἀλλ' ἢ ὅτι βασιλεὺς ἔσαι ἐφ' ἡμᾶς, καὶ ἐσόμεθα καὶ ἡμεῖς κατὰ πάντα τὰ ἔθνη, καὶ
δικαιώσει ἡμᾶς ὁ βασιλεὺς ἡμῶν, καὶ ἐξελεύσεται ἔμπροσθεν ἡμῶν, καὶ πολεμήσει τὸν πό-
λεμον ἡμῶν. καὶ ἤκουσε σαμουὴλ πάντας τοὺς λόγους τοῦ λαοῦ, καὶ ἐλάλησεν αὐτοὺς
εἰς τὰ ὦτα κυρίου. καὶ εἶπε κύριος πρὸς σαμουήλ· ἄκουσον τῆς φωνῆς αὐτῶν, καὶ βα-
σίλευσον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίλδυσον αὐτοῖς Βασιλέα. καὶ εἶπε σαμουὴλ πῶς ἀνδρας ἰσραὴλ· ἀποτρεχέτω ἕκαστος εἰς τὴν πόλιν αὐτοῦ.

ΚΕΦΑΛ. β. 9.

ΚΑὶ ἦν ἀνὴρ ἐξ υἱῶν Βγιαμεῖν, καὶ ὄνομα αὐτῷ Λεῖς υἱὸς ἐβιὴλ, υἱοῦ ἰαρὲσὴ, υἱοῦ Βαχεῖρ, υἱὸς ἀφὲκ, υἱὸς ἀνδρὸς ἰεμιναίου, ἀνὴρ δυνατὸς ἰσχύι, καὶ τοῦτο υἱὸς καὶ ὄνομα αὐτῷ Σαούλ, δύμεγέθης ἀνὴρ ἀγαθὸς, καὶ οὐκ ἦν υἱοῖς ἰσραὴλ ἀνὴρ ἀγαθὸς ὑπὲρ αὐτὸν, ὑπὲρ ὦμίαν καὶ ἐπάνω, ὑψηλὸς ὑπὲρ πᾶσαν τὴν γῆν. καὶ ἀπωλόντο αἱ ὄνοι τοῦ Λεῖς τοῦ πατρὸς Σαούλ, καὶ εἶπε Λεῖς πρὸς Σαούλ τὸν υἱὸν αὐτοῦ· λαβὲ μετὰ σεαυτοῦ σὺ τῶν παιδαρίων, καὶ ἀναστὰς πορεύθητι καὶ ζητήσατε τὰς ὄνους. καὶ διῆλθον διὰ ὄρους ἐφραὶμ, καὶ διῆλθον διὰ τῆς γῆς Σελισά, καὶ οὐχ εὗρον. καὶ διῆλθον διὰ τῆς γῆς Σαλεὶμ καὶ ἐκεῖ, καὶ οὐχ εὗρον. καὶ διῆλθον διὰ τῆς γῆς ἰαμεὶμ καὶ οὐχ εὗρον. αὐτοὶ δὲ ἐλθόντων εἰς τὴν σίφ, καὶ Σαοὺλ εἶπε τῷ παιδαρίῳ αὐτοῦ τῷ μετ' αὐτοῦ· διέλθωμεν καὶ ἀπερχώμεθα, μήποτε ἀνῆς ὁ πατήρ μου τὰς ὄνους, φροντίζῃ περὶ ἡμῶν. καὶ εἶπαν αὐτῷ τὸ παιδάριον· ἰδοὺ δὴ ἐν τῇ πόλει ταύτῃ, καὶ ὁ ἄνθρωπος ἐνδόξως, πᾶν ὃ ἐὰν λαλήσῃ παραγινόμενον παρέσται. καὶ νῦν πορευθῶμεν ἐκεῖ· ἴσως ἀπαγγελεῖ ἡμῖν τὴν ὁδὸν ἡμῶν, ἐφ' ᾗ ἐπορεύθημεν ἐπ' αὐτήν. καὶ εἶπε Σαοὺλ τῷ παιδαρίῳ αὐτοῦ τῷ μετ' αὐτοῦ· καὶ ἰδοὺ πορευσόμεθα, καὶ τί εἰσοίσομεν τῷ ἀνθρώπῳ τοῦ θεοῦ; ὅτι ἄρτοι ἐκλελοίπασιν ἐκ τῶν ἀγγείων ἡμῶν, καὶ πλεῖον οὐκ ἔστι μεθ' ἡμῶν τοῦ εἰσφέρειν τῷ ἀνθρώπῳ τοῦ θεοῦ, τὸ ἐπ' ἐλθὸν ἡμῖν; καὶ προσέθετο τὸ παιδάριον ἀπαντῆσαι τῷ Σαοὺλ, καὶ εἶπεν· ἰδοὺ εὕρηται ἐν τῇ χειρί μου τέταρτον σίκλου ἀργυρίου, καὶ δώσεις τῷ ἀνθρώπῳ τοῦ θεοῦ, καὶ ἀπαγγελεῖ ἡμῖν τὴν ὁδὸν ἡμῶν, καὶ ἐμπορευθησόμεθα ἐν ἰσραὴλ. τάδε ἔλεγον ἕκαστος ἐν τῷ πορεύεσθαι ἐπερωτᾶν τὸν θεόν· δεῦρο καὶ πορευθῶμεν πρὸς τὸν Βλέποντα, ὅτι τὸν προφήτην ἐκαλεῖτο ὁ λαὸς ἔμπροσθεν ὁ Βλέπων. καὶ εἶπε Σαοὺλ πρὸς τὸ παιδάριον αὐτοῦ· ἀγαθὸν ῥῆμα, δεῦρο καὶ πορευθῶμεν. καὶ ἐπορεύθησαν εἰς τὴν πόλιν, οὗ ἦν ἐκεῖ ὁ ἄνθρωπος τοῦ θεοῦ. αὐτοὶ ἀναβαινόντων τὴν ἀνάβασιν τῆς πόλεως, καὶ αὐτοὶ εὑρίσκουσι τὰ κοράσια ἐξερχόμενα ὑδρεύσασθαι ὕδωρ, καὶ λέγουσιν αὐταῖς· εἰ ἔστιν ὧδε ὁ Βλέπων; καὶ ἀποκριθεῖσαι τὰ κοράσια αὐτοῖς, καὶ λέγουσιν αὐτοῖς· ἔστιν, ἰδοὺ κατὰ πρόσωπον ὑμῶν, ταχύνατε. νῦν δὲ τὴν ἡμέραν ἥκει εἰς τὴν πόλιν, ὅτι θυσία σήμερον τῷ λαῷ ἐν Βαμά. ὡς ἂν εἰσέλθητε εἰς τὴν πόλιν, οὕτως εὑρήσετε αὐτὸν ἐν τῇ πόλει πρὶν ἀναβῆναι αὐτὸν εἰς Βαμὰ τοῦ φαγεῖν, ὅτι οὐ μὴ φάγῃ ὁ λαὸς ἕως τοῦ εἰσελθεῖν αὐτὸν, ὅτι οὗτος εὐλογεῖ τὴν θυσίαν, καὶ μετὰ ταῦτα ἐσθίουσιν οἱ ἔξωθεν. καὶ νῦν ἀναβῆτε ὅτι δὲ τὴν ἡμέραν εὑρήσετε αὐτόν. καὶ ἀναβαίνουσιν εἰς τὴν πόλιν. αὐτῶν εἰσπορευομένων εἰς μέσον τῆς πόλεως, καὶ ἰδοὺ σαμουὴλ ἐξῆλθεν εἰς τὴν ἀπάντησιν αὐτῶν τοῦ ἀναβῆναι εἰς Βαμά. καὶ κύριος ἀπεκάλυψε τὸ ὠτίον σαμουὴλ ἡμέρᾳ μιᾷ ἔμπροσθεν τοῦ εἰσελθεῖν Σαοὺλ, λέγων· ὡς ὁ καιρὸς οὗτος, αὔριον ἀποστελῶ πρὸς σὲ ἄνδρα ἐκ φυλῆς Βγιαμεῖν, καὶ χρίσεις αὐτὸν εἰς ἄρχοντα ἐπὶ τὸν λαόν μου ἰσραὴλ, καὶ σώσεις τὸν λαόν μου ἐκ χειρὸς ἀλλοφύλων, ὅτι ἐπέβλεψα ἐπὶ τὴν ταπείνωσιν τοῦ λαοῦ μου, ὅτι ἦλθε βοὴ αὐτῶν πρός με. καὶ σαμουὴλ εἶδε τὸν σαούλ, καὶ κύριος ἀπεκρίθη αὐτῷ· ἰδοὺ ὁ ἄνθρωπος οὗ εἶπά σοι, οὗτος ἄρξει ἐν τῷ λαῷ μου. καὶ προσήγαγε σαοὺλ πρὸς σαμουὴλ εἰς μέσον τῆς πόλεως, καὶ εἶπεν· ἀπάγγειλον δή μοι ποῦ ὁ οἶκος τοῦ Βλέποντος; καὶ ἀπεκρίθη σαμουὴλ τῷ Σαούλ, καὶ εἶπεν· ἐγώ εἰμι αὐτός. ἀνάβηθι ἔμπροσθέν μου εἰς Βαμά, καὶ φάγε μετ' ἐμοῦ σήμερον, καὶ ἐξαποστελῶ σε πρωΐ, καὶ πάντα τὰ ἐν τῇ καρδίᾳ σου ἀπαγγελῶ σοι. Καὶ περὶ τῶν ὄνων τῶν ἀπολωλυίων σου σήμερον τριταίων μὴ θῇς τὴν καρδίαν σου αὐταῖς, ὅτι εὑρέθησαν. καὶ τίνι τὰ ὡραῖα τοῦ ἰσραὴλ; οὐχὶ σοὶ, καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρός σου; καὶ ἀπεκρίθη σαοὺλ, καὶ εἶπεν· οὐχὶ ἀνδρὸς υἱὸς ἰεμιναίου ἐγώ εἰμι, τοῦ μικροτέρου σκήπτρου φυλῆς ἰσραὴλ; καὶ ἡ φυλὴ ἐλαχίστη ἐξ ὅλου σκήπτρου Βγιαμεῖν, καὶ ἡ πατριά μου ἐλαχίστη παρὰ πάσας τὰς πατριὰς Βγιαμεῖν; καὶ ἵνατί ἐλάλησας πρός με κατὰ τὸ ῥῆμα τοῦτο; καὶ ἔλαβε σαμουὴλ τὸν σαοὺλ καὶ τὸ παιδάριον αὐτοῦ, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὸ κατάλυμα, καὶ ἔθετο αὐτοῖς τόπον ἐν πρώτοις τῶν κεκλημένων ὡσεὶ ἑβδομήκοντα ἀνδρῶν. καὶ εἶπε σαμουὴλ τῷ μαγείρῳ· δός μοι τὴν μερίδα ἣν ἔδωκά σοι, ἣν εἶπά σοι, θεῖναι αὐτὴν παρὰ σοί. καὶ ἦρεν ὁ μάγειρος τὴν ὠλένην καὶ τὸ ἐπ' αὐτῇ, καὶ παρέθηκεν αὐτὴν ἐνώπιον σαοὺλ. καὶ εἶπε σαμουὴλ τῷ Σαοὺλ· ἰδοὺ τὸ ὑπόλειμμα παράκειται ἐνώπιόν σε καὶ φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι παρὰ τὸν λαόν, ἀπὸ σήμερον καὶ ἔφαγε σαοὺλ μετὰ σαμουὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ κατέβη ἐκ τῆς Βαμὰ εἰς τὴν πόλιν, καὶ διέστρωσαν τῷ Σαοὺλ ἐπὶ τῷ δώματι, καὶ ἐκοιμήθη. καὶ ἐγένετο ὡς ἀνέβαινεν ὁ ὄρθρος, καὶ ἐκάλεσε σαμουὴλ τὸν Σαοὺλ ἐπὶ τῷ δώματι, καὶ εἶπεν· ἀνάστηθι καὶ ἐξαποστελῶ σε. καὶ ἀνέστη σαοὺλ, καὶ ἐξῆλθον αὐτὸς καὶ σαμουὴλ ἕως ἔξω, αὐτῶν καταβαινόντων εἰς μέρος τῆς πόλεως. καὶ σαμουὴλ εἶπε τῷ Σαοὺλ· εἰπὸν τῷ παιδαρίῳ, καὶ διελθέτω ἔμπροσθεν ἡμῶν, καὶ σὺ στήθι ἕως σήμερον, καὶ ἀκουτόν σοι ῥῆμα κυρίε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. ί. 10.

Καὶ ἔλαβε σαμουὴλ τὸν φακὸν τοῦ ἐλαίου, καὶ ἐπέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐφίλησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· ὅτι κέχρικέ σε κύριος εἰς ἄρχοντα ἐπὶ τὴν κληρονομίαν αὐτοῦ ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ τὸν Ἰσραὴλ, καὶ σὺ ἄρξεις ἐν λαῷ κυρίου, καὶ σώσεις αὐτὸν ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ κυκλόθεν. καὶ τοῦτό σοι τὸ σημεῖον, ὅτι ἔχρισέ σε κύριος ἐπὶ κληρονομίαν αὐτοῦ εἰς ἄρχοντα, ὡς ἂν ἀπέλθῃς σήμερον ἀπ' ἐμοῦ, καὶ εὑρήσεις δύο ἄνδρας πρὸς τῇ ταφοῖς ῥαχὴλ ἐν ὁρίοις Βενιαμεὶν ἐν σηλὼ ἐν Βακαλὰθ ἁλλομένους μεγάλα, καὶ ὁρῶσί σοι· εὗρον αἱ ὄνοι ἃς ἐπορεύθης ζητεῖν. καὶ ἰδοὺ ὁ πατήρ σου ἀποστένακται τὸ ῥῆμα τῶν ὄνων, καὶ ἐκλιπλιβύσατο δι' ὑμᾶς λέγων· τί ποιήσω περὶ τοῦ υἱοῦ μου; καὶ ἀπελεύσῃ ἐκεῖθεν, καὶ ἐπέκεινα ἥξεις ἕως δρυὸς Θαβώρ. καὶ εὑρήσεις ἐκεῖ τρεῖς ἄνδρας ἀναβαίνοντας πρὸς τὸν θεὸν εἰς Βαιθὴλ, ἕνα αἴροντα τρία ἀρνία, καὶ ἕνα αἴροντα τρία ἄρτους, καὶ ἕνα αἴροντα ἀσκὸν οἴνου. καὶ ἐρωτήσουσί σε, τὰ εἰς εἰρήνην, καὶ δώσουσί σοι δύο ἀπαρχὰς ἄρτων, καὶ λήψῃ ἐκ τῆς χειρὸς αὐτῶν. καὶ μετὰ ταῦτα εἰσελεύσει εἰς τὸν βουνὸν τοῦ θεοῦ, οὗ ἔστιν ἐκεῖ τὸ ἀνάστημα τῶν ἀλλοφύλων, ἐκεῖ νασεὶβ ὁ ἀλλόφυλος. καὶ ἔσται ὡς ἂν εἰσέλθῃς ἐκεῖ εἰς τὴν πόλιν, καὶ ἀπαντήσεις χορῷ προφητῶν καταβαινόντων ἐκ τῆς βαμᾶ, καὶ ἔμπροσθεν αὐτῶν νάβλα καὶ τύμπανα, καὶ αὐλὸς καὶ κινύρα καὶ αὐτοὶ προφητεύοντες, καὶ ἐφαλεῖται ἐπὶ σὲ πνεῦμα κυρίου, καὶ προφητεύσεις μετ' αὐτῶν, καὶ στραφήσῃ εἰς ἄνδρα ἄλλον. καὶ ἔσται ὅταν ἥξῃ τὰ σημεῖα ταῦτα ἐπὶ σέ, ποίει πάντα ὅσα ἐὰν εὕρῃ ἡ χείρ σου, ὅτι ὁ θεὸς μετὰ σοῦ. καὶ κατάβηθι ἔμπροσθεν τῆς γαλγαλ. καὶ ἰδοὺ ἐγὼ καταβαίνω πρὸς σὲ ἀνενεγκεῖν ὁλοκαύτωσιν, καὶ θῦσαι θυσίας εἰρηνικάς, ἑπτὰ ἡμέρας διαλείψεις ἕως τοῦ ἐλθεῖν με πρὸς σὲ, καὶ γνωρίσω σοι ἃ ποιήσεις. καὶ ἐγένετο ὡς τὸ στρέφειν τὸν ὦμον αὐτοῦ ἀπελθεῖν ἀπὸ σαμουὴλ, καὶ μετέστρεψεν αὐτῷ ὁ θεὸς καρδίαν ἄλλην. καὶ ἦλθε πάντα τὰ σημεῖα ταῦτα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἔρχεται ἐκεῖθεν εἰς τὸν βουνὸν, καὶ ἰδοὺ χορὸς προφητῶν ἐξεναντίας αὐτοῦ, καὶ ἥλατο ἐπ' αὐτὸν πνεῦμα θεοῦ, καὶ προεφητεύσεν ἐν μέσῳ αὐτῶν. καὶ ἐγνώθησαν πάντες οἱ ἰδόντες αὐτὸν ἐχθὲς καὶ τρίτης, καὶ εἶδον, καὶ ἰδοὺ αὐτὸς ἐν μέσῳ τῶν προφητῶν προφητεύων. καὶ εἶπεν ὁ λαὸς ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· τί τοῦτο γέγονε τῷ υἱῷ κείς; ἢ καὶ σαοὺλ ἐν προφήταις; καὶ ἀπεκρίθη τις αὐτῶν καὶ εἶπε· καὶ τίς ὁ πατὴρ αὐτοῦ; οὐ κεῖς; καὶ διὰ τοῦτο ἐγνώσθη εἰς παραβολήν, εἰ καὶ σαοὺλ ἐν προφήταις; καὶ συνετέλεσε προφητεύων. καὶ ἔρχεται ἐκεῖθεν εἰς τὸν βουνόν, καὶ εἶπεν ὁ οἰκεῖος αὐτοῦ πρὸς αὐτὸν καὶ πρὸς τὸ παιδάριον αὐτοῦ, ποῦ ἐπορεύθητε; καὶ εἴπατε· ζητεῖν τὰς ὄνους, καὶ εἴδομεν ὅτι οὐκ εἰσί, καὶ εἰσήλθομεν πρὸς σαμουήλ. καὶ εἶπεν ὁ οἰκεῖος αὐτοῦ πρὸς σαοὺλ· ἀπάγγελον μή μοι, τί εἶπε σοι σαμουήλ. καὶ εἶπε σαοὺλ πρὸς τὸν οἰκεῖον αὐτοῦ· ἀπήγγελκεν ἀπαγγέλλων μοι ὅτι εὕρηνται αἱ ὄνοι, τὸ δὲ ῥῆμα τῆς βασιλείας οὐκ ἀπήγγειλεν αὐτῷ, ὃ εἶπε σαμουήλ. καὶ παρήγγειλε σαμουὴλ παντὶ τῷ λαῷ πρὸς κύριον εἰς μασσηφά. καὶ εἶπε σαμουὴλ πρὸς υἱοὺς ἰσραὴλ· τάδε εἶπε κύριος ὁ θεὸς ἰσραὴλ λέγων· ἐγὼ ἀνήγαγον τὸν πατέρας ὑμῶν τοὺς υἱοὺς ἰσραὴλ ἐξ αἰγύπτου, καὶ ἐξειλάμην ὑμᾶς ἐκ χειρὸς φαραὼ βασιλέως αἰγύπτου, καὶ ἐκ πασῶν τῶν βασιλειῶν τῶν θλιβουσῶν ὑμᾶς. καὶ ὑμεῖς σήμερον ἐξουδενώκατε τὸν θεόν, ὃς αὐτὸς ὅστις ὑμῶν σωτὴρ ἐκ πάντων τῶν κακῶν ὑμῶν, καὶ θλίψεων ὑμῶν. καὶ εἴπατε· οὐχί ἀλλ' ἢ ὁλοβασιλέα καταστήσεις ἐφ' ἡμῶν, καὶ νῦν καταστήτε ἐνώπιον κυρίου, κατὰ τὰ σκῆπτρα ὑμῶν, καὶ κατὰ τὰς φυλὰς ὑμῶν. καὶ προσήγαγε σαμουὴλ πάσας τὰς φυλὰς ἰσραὴλ, καὶ κατακληρώθη σκῆπτρον βενιαμείν. καὶ προσήγαγε σκῆπτρον βενιαμεὶν εἰς φυλάς, καὶ κατακληρώθη φυλὴ ματταεί, καὶ προσήγαγε τὴν φυλὴν ματταεὶ εἰς ἄνδρας. καὶ κατακληρώθη σαοὺλ υἱὸς κείς, καὶ ἐζήτει αὐτὸν, καὶ οὐχ εὑρίσκετο. καὶ ἐπηρώτησε σαμουὴλ ἔτι ἐν κυρίῳ λέγων· εἰ ἔρχεται ὁ ἀνὴρ ὧδε ἔτι; καὶ εἶπε κύριος· ἰδοὺ αὐτὸς κέκρυπται ἐν τοῖς σκεύεσι. καὶ ἔδραμε σαμουὴλ καὶ λαμβάνει αὐτὸν ἐκεῖθεν, καὶ καθέστησεν αὐτὸν ἐν μέσῳ τοῦ λαοῦ, καὶ ὑψώθη ὑπὲρ πάντα τὸν λαὸν ὑπὲρ ὠμίαν καὶ ἐπάνω. καὶ εἶπε σαμουὴλ πρὸς πάντα τὸν λαόν· ἑωράκατε ὃν ἐκλέλεκται αὐτῷ ὁ κύριος, ὅτι ἀκέστιν ὅμοιος αὐτῷ ἐν πᾶσιν ὑμῖν. καὶ ἔγνω σαν πᾶς ὁ λαὸς, καὶ εἶπαν· ζήτω ὁ βασιλεύς· καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαὸν τὸ δικαίωμα τῆς βασιλείας, καὶ ἔγραψεν ἐν βίβλῳ, καὶ ἔθηκεν ἐνώπιον κυρίου. καὶ ἐξαπέστειλε σαμουὴλ ἅπαντα τὸν λαόν, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ. καὶ σαοὺλ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ εἰς γαβαά, καὶ ἐπορεύθησαν υἱοὶ δυναμεως ὧν ἥψατο κύριος καρδίας αὐτῶν μετὰ σαοὺλ. καὶ υἱοὶ λοιμοὶ εἶπαν· τίς σώσει ἡμᾶς ὅτος; καὶ ἠτίμασαν αὐτὸν, καὶ οὐκ ἤνεγκαν αὐτῷ δῶρα.

ΚΕΦΑΛ. ιά. 11.

Καὶ ἐγένετο ὡς μετὰ μῆνα, καὶ ἀνέβη ναας ὁ ἀμμανίτης, καὶ παρεμβάλλει ἐπὶ ἰαβὶς γαλαάδ, καὶ εἶπαν πάντες οἱ ἄνδρες ἰαβὶς πρὸς ναας τὸν ἀμμανίτην. διάθου ἡμῖν διαθήκην, καὶ δουλεύσομέν σοι. καὶ εἶπε πρὸς αὐτοὺς ναας ὁ ἀμμανίτης· ἐν τούτῳ διαθήσομαι ὑμῖν, ἐν τῷ ἐξορύξαι ὑμῶν πάντα ὀφθαλμὸν δεξιόν, καὶ θήσομαι ὄνειδος ἐπὶ ἰσραήλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰσραὴλ. καὶ λέγουσιν αὐτῷ οἱ ἄνδρες ἰαβὶς γαλαὰδ· ἄνες ἡμῖν ἑπτὰ ἡμέρας, καὶ ἀπελεύ-
σομεν ἀγγέλους εἰς πᾶν ὅριον ἰσραὴλ, καὶ ἐὰν μὴ ᾖ ὁ σώζων ἡμᾶς, ἐξελευσόμεθα πρὸς ὑμᾶς. καὶ
ἔρχονται οἱ ἄγγελοι εἰς γαβαὰ πρὸς σαοὺλ, καὶ λαλοῦσι τοὺς λόγους τούτους εἰς τὰ ὦτα τοῦ λαοῦ,
καὶ ἦραν πᾶς ὁ λαὸς τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυσαν. καὶ ἰδοὺ σαοὺλ ἤρχετο μετὰ τὰ πρωϊ ἐκ
ἀγροῦ, καὶ εἶπε σαοὺλ· τί ὅτι κλαίει ὁ λαός; καὶ διηγοῦνται αὐτῷ ῥήματα τοῦτα τῶν ἀνδρῶν
ἰαβίς. καὶ ἐφήλατο τὸ πνεῦμα κυρίου ἐπὶ σαοὺλ ὡς ἤκουσε ταῦτα, καὶ ἐθυμώθη ἐπ' αὐτοῖς ὀρ-
γὴ αὐτοῦ σφόδρα, καὶ ἔλαβε δύο βόας καὶ ἐμέλισεν αὐτὰς, καὶ ἀπέστειλεν εἰς πᾶν ὅριον ἰσρα-
ὴλ ἐν χειρὶ ἀγγέλων λέγων· ὃς ἂν ἐξέλθῃ ὀπίσω σαοὺλ, καὶ ὀπίσω σαμουὴλ, οὕτω
ποιήσει τοῖς βουσὶν αὐτοῦ. καὶ ἐπῆλθεν ἔκστασις κυρίου ἐπὶ τὸν λαὸν ἰσραὴλ, καὶ ἐξῆλ-
θον ὡς ἀνὴρ εἷς, καὶ ἐπεσκέπησαν αὐτοὺς ἀδιέξοδον ἐν Βαμὲζὲκ πᾶντα ἄνδρα ἰσραὴλ, ἑξακοσίας
χιλιάδας, καὶ ἄνδρας ἰούδα ἑβδομήκοντα χιλιάδας. καὶ εἶπε τοῖς ἀγγέλοις τοῖς ἐρχομένοις·
τάδε ἐρεῖτε τοῖς ἀνδράσιν ἰαβὶς γαλαὰδ· αὔριον ἔσαι ὑμῖν ἡ σωτηρία, διαθρμαίνοντος
τοῦ ἡλίου. καὶ ἦλθον οἱ ἄγγελοι εἰς τὴν πόλιν, καὶ ἀπήγγειλαν τοῖς ἀνδράσιν ἰαβὶς, καὶ εὐ-
φράνθησαν. καὶ εἶπον οἱ ἄνδρες ἰαβὶς πρὸς νέας τὰς ἀμμανίτιν, αὔριον ἐξελευσόμεθα πρὸς
ὑμᾶς, καὶ ποιήσατε ἡμῖν τὸ ἀγαθὸν ἐνώπιον ὑμῶν. καὶ ἐγένηθη μετὰ τὴν αὔριον, καὶ διέθε-
το σαοὺλ τὸν λαὸν εἰς τρεῖς ἀρχάς, καὶ εἰσπορεύονται εἰς μέσον τῆς παρεμβολῆς ἐν φυλακῇ
τῇ πρωϊνῇ, καὶ ἔτυπτον τοὺς υἱοὺς ἀμμὼν ἕως διεθερμαύθη ἡ ἡμέρα. καὶ ἐγένηθη καὶ ὑπελεί-
μμενοι διεσπάρησαν, καὶ οὐχ ὑπελείφθησαν ἐν αὐτοῖς δύο ἐκατὸν τὸ αὐτό. καὶ εἶπεν ὁ λα-
ὸς πρὸς σαμουήλ· τίς ἐστὶν ὁ εἰπὼν ὅτι σαοὺλ βασιλεύσει ἡμῶν; παράδοτε τοὺς ἄνδρας, καὶ
θανατώσομεν αὐτούς. καὶ εἶπε σαοὺλ· οὐκ ἀποθανεῖται οὐδεὶς ἐν τῇ ἡμέρᾳ ταύτῃ, ὅτι σή-
μερον ἐποίησε κύριος σωτηρίαν ἐν ἰσραήλ. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαὸν λέγων· πορευθῶ-
μεν εἰς γαλγαλα, καὶ ἐγκαινίσωμεν ἐκεῖ τὴν βασιλείαν. καὶ ἐπορεύθη πᾶς ὁ λαὸς εἰς γαλγα-
λα, καὶ ἔχρισε σαμουὴλ ἐκεῖ εἰς βασιλέα τὸν σαοὺλ ἐνώπιον κυρίου ἐν γαλγάλοις, καὶ ἔθυ-
σαν ἐκεῖ θυσίας καὶ εἰρωνικὰς ἐνώπιον κυρίου. καὶ εὐφράνθη ἐκεῖ σαμουὴλ καὶ πάντες οἱ ἄν-
δρες ἰσραὴλ ὥστε λίαν.

ΚΕΦΑΛ. ιβ'. 12.

ΚΑΙ εἶπε σαμουὴλ πρὸς πάντα ἄνδρα ἰσραὴλ, ἰδοὺ ἤκουσα τῆς φωνῆς ὑμῶν εἰς πάν-
τα ὅσα εἴπατέ μοι, καὶ ἐβασίλευσα ἐφ' ὑμᾶς βασιλέα. καὶ νῦν ἰδοὺ ὁ βασιλεὺς διά-
πορεύεται ἐνώπιον ὑμῶν, καὶ ἐγὼ γεγήρακα, καὶ λευκάνθην, καὶ οἱ υἱοί μου ἰδοὺ ἐν ὑμῖν. καὶ ἐ-
γὼ ἰδοὺ διελήλυθα ἐνώπιον ὑμῶν ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης. ἰδοὺ ἐγώ, ἀπο-
κρίθητε κατ' ἐμοῦ ἐνώπιον κυρίου, καὶ ἐνώπιον χριστοῦ αὐτοῦ, μόσχον τίνος εἴληφα ἢ ὄνον, ἢ τίνα
κατεδυναστεύσατε ὑμῶν, ἢ τίνα ἐξεπίεσα, ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα, καὶ ὑποδήσομαι
ἀποκρίθητε κατ' ἐμοῦ, καὶ ἀποδώσω ὑμῖν. καὶ εἶπαν πρὸς σαμουὴλ· οὐκ ἠδίκησας ἡμᾶς, καὶ
οὐ κατεδυναστεύσατε ἡμᾶς, οὐδὲ ἐξεπτοήσατε ἡμᾶς, καὶ οὐκ εἴληφας ἐκ χειρὸς
ἀνδρὸς οὐδ' ἕν. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαόν· μάρτυς κύριος ἐν ὑμῖν, καὶ μάρτυς χριστὸς
αὐτοῦ σήμερον ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὅτι οὐχ εὑρήκατε ἐν τῇ χειρί μου οὐδ' ἕν. καὶ εἶπαν, μάρτυς.
καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαόν· μάρτυς κύριος ὁ ποιήσας τὸν μωϋσῆν, καὶ τὸν ἀαρὼν, καὶ
ὁ ἀναγαγὼν τοὺς πατέρας ὑμῶν ἐξ αἰγύπτου. καὶ νῦν στῆτε, καὶ δικαιωθήσομαι ἐνώπιον κυ-
ρίου, καὶ ἀπαγγελῶ ὑμῖν πᾶσαν δικαιοσύνην κυρίου, ἃ ἐποίησεν ἐν ὑμῖν καὶ ἐν τοῖς πατρά-
σιν ὑμῶν, ὡς εἰσῆλθεν ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ εἰς αἴγυπτον, καὶ ἐταπείνωσεν αὐτοὺς αἴγυπτος, καὶ
ἐβόησαν οἱ πατέρες ὑμῶν πρὸς κύριον, καὶ ἀπέστειλε κύριος τὸν μωϋσῆν καὶ τὸν ἀαρὼν καὶ
ἐξήγαγε τοὺς πατέρας ὑμῶν ἐξ αἰγύπτου, καὶ κατῴκισεν αὐτοὺς ἐν τῷ τόπῳ τούτῳ, καὶ ἐπε-
λάθοντο κυρίου τοῦ θεοῦ αὐτῶν, καὶ ἀπέδοτο αὐτοὺς εἰς χεῖρας σισάρα ἀρχιστρατήγου ἰάβεις βασι-
λέως ἀσώρ, καὶ εἰς χεῖρας ἀλλοφύλων, καὶ εἰς χεῖρας βασιλέως μωάβ, καὶ ἐπολέμησαν ἐν αὐ-
τοῖς, καὶ ἐβόησαν πρὸς κύριον, καὶ εἶπαν· ἡμάρτομεν, ὅτι ἐγκατελείπομεν τὸν κύριον, καὶ ἐδουλεύ-
σαμεν τοῖς βααλὶμ καὶ τοῖς ἄλσεσιν. καὶ νῦν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν, καὶ δουλεύ-
σομέν σοι. καὶ ἀπέστειλε κύριος τὸν ἰεροβάαλ, καὶ τὸν βαρὰκ, καὶ τὸν ἰεφθαὲ, καὶ τὸν σαμουήλ, καὶ
ἐξείλατο ὑμᾶς ἐκ χειρὸς ἐχθρῶν ὑμῶν τῶν κυκλόθεν, καὶ κατῳκεῖτε πεποιθότες. καὶ ἴδετε ὅτι
ναὰς βασιλεὺς υἱῶν ἀμμὼν ἦλθεν ἐφ' ὑμᾶς, καὶ εἴπατε· οὐχί ἀλλ' ἢ βασιλεὺς βασιλεύσει
ἐφ' ἡμῶν. καὶ κύριος ὁ θεὸς ἡμῶν βασιλεὺς ὑμῶν. καὶ νῦν ἰδοὺ ὁ βασιλεὺς ὃν ἐξελέξασθε, καὶ
ὃν ᾐτήσασθε, καὶ ἰδοὺ δέδωκε κύριος ἐφ' ὑμᾶς βασιλέα, ἐὰν φοβηθῆτε τὸν κύριον καὶ δου-
λεύσητε αὐτῷ, καὶ ἀκούσητε τῆς φωνῆς αὐτοῦ, καὶ μὴ ἐρίσητε τῷ στόματι κυρίου, καὶ ἦτε καὶ ὑ-
μεῖς καὶ ὁ βασιλεὺς καὶ ὁ βασιλεύων ἐφ' ὑμῶν ὀπίσω κυρίου θεοῦ ὑμῶν. καὶ ἐὰν μὴ ἦτε ἀκούοντες τῆς φωνῆς κυρίου, καὶ ἔσαι χεὶρ κυρίου
ἐφ' ὑμᾶς. ἐὰν δὲ μὴ εἰσακούσητε τῆς φωνῆς κυρίου, καὶ ἐρίσητε τῷ στόματι κυρίου, καὶ ἔσαι χεὶρ
κυρίου ἐφ' ὑμᾶς, καὶ ἐπὶ τὸν βασιλέα ὑμῶν. καὶ νῦν στῆτε καὶ ἴδετε τὸ ῥῆμα τὸ μέγα τοῦ
θεοῦ, ὃ ὁ κύριος ποιήσει ἐν ὀφθαλμοῖς ὑμῶν. οὐχὶ θερισμὸς πυρῶν σήμερον; ὦ καλέσομαι τὸν

κύριον, καὶ πλώσει φωνὰς καὶ ὑετὸν, καὶ γνῶτε καὶ ἴδητε ὅτι ἡ κακία ὑμῶν μεγάλη, ἣν ἐποιήσατε ἐνώπιον κυρίου αἰτήσαντες ὑμῖν ἑαυτοῖς βασιλέα. καὶ ἐπεκαλέσατο Σαμουὴλ τὸν κύριον, καὶ ἔδωκε κύριος φωνὰς καὶ ὑετὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἐφοβήθησαν πᾶς ὁ λαὸς σφόδρα τὸν κύριον καὶ τὸν Σαμουήλ. καὶ εἶπε πᾶς ὁ λαὸς πρὸς τὸν σαμουήλ· πρόσδυσαι ὑπὲρ τῶν δούλων σου πρὸς κύριον τὸν θεόν σε, καὶ ἀποθανούμεθα, ὅτι προσεθέμεθα πρὸς πάσας τὰς ἁμαρτίας ἡμῶν κακὰς, αἰτήσαντες ἑαυτοῖς βασιλέα. καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαόν· μὴ φοβεῖσθε, ὑμεῖς πεποιήκατε πᾶσαν κακίαν ταύτην, πλὴν μὴ ἐκκλίνητε ἀπ' ὀπισθεν κυρίου, καὶ δουλεύσατε τῷ κυρίῳ ἐν ὅλῃ καρδίᾳ ὑμῶν, καὶ μὴ πλανᾶσθε ὀπίσω τῶν ματαίων, ἃ οὐ πράνει οὐδὲ σώζει, καὶ ἐκ ἐξελοῦνται, ὅτι ματαιά εἰσιν, ὅτι ἐκ ἀπώσεται κύριος τὸν λαὸν ἑαυτοῦ διὰ τὸ ὄνομα αὐτοῦ τὸ μέγα, ὅτι ὠμοίωκεν κύριος προσελάβετο ὑμᾶς ἑαυτῷ εἰς λαόν. καὶ ἐμοὶ μηδαμῶς τοῦτο ἁμαρτεῖν ἐνώπιον κυρίου αὐτοῦ τοῦ προσεύχεσθαι ἐνώπιον κυρίου περὶ ὑμῶν, καὶ διδάξω τὸν κύριον, καὶ δείξω ὑμῖν τὴν ὁδὸν τὴν ἀγαθὴν καὶ τὴν εὐθεῖαν, πλὴν φοβεῖσθε τὸν κύριον καὶ δουλεύσατε αὐτῷ ἐν ἀληθείᾳ, καὶ ἐν ὅλῃ καρδίᾳ ὑμῶν, ὅτι ἴδετε ὅτι ἐμεγαλύνατε ποιῆσαι μετ' ὑμῶν. καὶ ἐὰν κακίᾳ κακοποιήσητε, καὶ ὑμεῖς καὶ ὁ βασιλεὺς ὑμῶν προστεθήσεσθε.

ΚΕΦΑΛ. ιγ'. 13.

ΚΑὶ ἐκλέγεται ἑαυτῷ σαοὺλ τρεῖς χιλιάδας αὐτῶν ἐκ τῶν ἀνδρῶν ἰσραὴλ, καὶ ἦσαν μετὰ σαοὺλ δισχίλιοι οἱ ἐν μαχμὰς, καὶ ἐν τῷ ὄρει βαιθήλ, καὶ χίλιοι ἦσαν μετὰ ἰωναθαν ἐν γαβαὰ τοῦ βενιαμείν, καὶ τὸ λοιπὸν τοῦ λαοῦ ἀπέστειλεν ἕκαστον εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ ἐπάταξεν ἰωνάθαν τὴν νασὶφ τὴν ἀλλόφυλον τὴν ἐν γαβαὰ, καὶ ἀκούουσιν οἱ ἀλλόφυλοι, καὶ σαοὺλ σαλπίζει σάλπιγγι σαλπίζει εἰς πᾶσαν τὴν γῆν λέγων· ἀθετηκασιν οἱ δοῦλοι. μὴ πᾶς ἰσραὴλ ἤκουσαν λεγόντων, ὅτι πέπαικε σαοὺλ τὴν νασὶβ τὸν ἀλλόφυλον, καὶ ἐσχύθησαν ἰσραὴλ ἐν τοῖς ἀλλοφύλοις. καὶ ἀνέβοησεν ὁ λαὸς ὀπίσω σαοὺλ ἐν γαλγάλοις, καὶ οἱ ἀλλόφυλοι συνάγονται εἰς πόλεμον ἐπὶ ἰσραὴλ, καὶ ἀναβαίνουσιν ἐπὶ ἰσραὴλ εἰς πόλεμον τριάκοντα χιλιάδες ἁρμάτων, καὶ ἓξ χιλιάδες ἱππέων, καὶ λαὸς ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης τὸ πλῆθος, καὶ ἀναβαίνουσι καὶ παρεμβάλλουσιν εἰς πόλεμον ἐν μαχμὰς ἀπὸ ἀνατολῶν βαιθωρών. καὶ ἀνὴρ ἰσραὴλ εἶδεν ὅτι ἐστενώθη αὐτῷ μὴ πρόσθεν αὐτόν, καὶ ἐκρύβη ὁ λαὸς ἐν τοῖς σπηλαίοις, καὶ ἐν ταῖς μανδραις ἐν ταῖς πέτραις καὶ ἐν τοῖς βόθροις καὶ ἐν τοῖς λάκκοις, καὶ οἱ διαβαίνοντες διέβησαν τὸν ἰορδάνην εἰς γῆν γὰδ καὶ εἰς τὴν γαλαάδ. καὶ σαοὺλ ἔτι ἦν ἐν γαλγάλοις, καὶ πᾶς ὁ λαὸς ἀπέστη ὀπίσω αὐτοῦ. καὶ ἐμέλλησεν ἐπὶ ἡμέρας τοῦ μαρτυρίου ὡς εἶπε σαμουήλ, καὶ ὁ παρεγένετο σαμουὴλ εἰς γαλγαλα. καὶ διεσπάρη ὁ λαὸς αὐτοῦ ἀπ' αὐτοῦ. καὶ εἶπε σαοὺλ· πρόσαγάγετε ὁλοκαύτωσιν καὶ εἰρηνικάς. καὶ ἀνέβη ὁλοκαύτωσιν. καὶ ἐγένετο ὡς συνετέλεσεν ἀναφέρων τὴν ὁλοκαύτωσιν, καὶ σαμουὴλ παραγίνεται, καὶ ἀπήλθε σαοὺλ εἰς ἀπάντησιν αὐτοῦ εὐλογῆσαι αὐτόν. καὶ εἶπε σαμουὴλ· τί πεποίηκας; καὶ εἶπε σαοὺλ· ὅτι εἶδον ὡς διεσπάρη ὁ λαὸς ἐπ' ἐμὲ, καὶ σὺ οὐ παρεγένου ὡς διετάξω ἐν τοῖς μαρτυρίοις τῶν ἡμερῶν. καὶ οἱ ἀλλόφυλοι συνήχθησαν εἰς μαχμάς. καὶ εἶπα· νῦν καταβήσονται οἱ ἀλλόφυλοι πρός με εἰς γάλγαλα, καὶ τὸ πρόσωπον τοῦ κυρίου οὐκ ἐδεήθην, καὶ ἐνεκρατυσάμην καὶ ἀνήνεγκα τὴν ὁλοκαύτωσιν. καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ· μεματαίωταί σοι, ὅτι οὐκ ἐφύλαξας τὴν ἐντολήν μου, ἣν ἐνετείλατό σοι κύριος, ὡς νῦν ἡτοίμασε κύριος τὴν βασιλείαν σου ἐπὶ ἰσραὴλ ἕως αἰῶνος. καὶ νῦν ἡ βασιλεία σου οὐ στήσεταί σοι, καὶ ζητήσει κύριος ἑαυτῷ ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ, καὶ ἐντελεῖται κύριος αὐτῷ εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ, ὅτι οὐκ ἐφύλαξας ὅσα ἐνετείλατό σοι κύριος. καὶ ἀνέστη σαμουὴλ καὶ ἀπῆλθεν ἐκ γαλγάλων εἰς ὁδὸν αὐτοῦ, καὶ τὸ κατάλειμμα τοῦ λαοῦ ἀνέβη ὀπίσω ὡς σαοὺλ εἰς ἀπάντησιν ὀπίσω τοῦ λαοῦ τοῦ πολεμιστοῦ, αὐτοὶ παραγινόμενοι ἐκ γαλγάλων εἰς γαβαὰ βενιαμεῖν. καὶ ἐπεσκέψατο σαοὺλ τὸν λαὸν τὸν εὑρεθέντα μετ' αὐτοῦ ὡς ἑξακοσίους ἄνδρας. καὶ σαοὺλ καὶ ἰωνάθαν υἱὸς αὐτοῦ, καὶ ὁ λαὸς οἱ εὑρεθέντες μετ' αὐτῶν ἐκάθισαν ἐν γαβαὰ βενιαμεῖν, καὶ ἐκλαιον. καὶ οἱ ἀλλόφυλοι παρεμβεβλήκεισαν ἐν μαχμάς. καὶ ἐξῆλθε διαφθείρων ἐξ ἀγροῦ ἀλλοφύλων, τρισὶν ἀρχαῖς. ἡ ἀρχὴ ἡ μία ὠμβλέπουσα ὁδὸν γοφρὰ ἐπὶ τὴν γῆν σωβάλ, καὶ ἡ ἀρχὴ ἡ μία ὠμβλέπουσα ὁδὸν βαιθωρών, καὶ ἡ ἀρχὴ ἡ μία ὠμβλέπουσα ὁδὸν γαβεὲ, τὴν ἐκκύπτουσαν τὸν γαὶ τὴν σαβὶμ τὴν ἔρημον. καὶ τέκτων σιδήρου οὐχ εὑρίσκετο ἐν πάσῃ γῇ ἰσραὴλ, ὅτι εἶπον οἱ ἀλλόφυλοι· μὴ ποιήσωσιν οἱ ἑβραῖοι ῥομφαίαν καὶ δόρυ. καὶ κατέβαινον πᾶς ἰσραὴλ εἰς γῆν ἀλλοφύλων χαλκεύειν εἷς ἕκαστος τὸ θερισήριον αὐτοῦ, καὶ τὸ σκεῦος αὐτοῦ, καὶ ἕκαστος τὴν ἀξίνην αὐτοῦ, καὶ τὸ δρέπανον αὐτοῦ, καὶ ἦν ὁ τρυγητὸς ἕτοιμος τοῦ θερίζειν. τὰ δὲ σκεύη ἦν τρεῖς σίκλοι εἰς τὸν ὀδόντα, καὶ τῇ ἀξίνῃ καὶ τῷ δρεπάνῳ ὑποστάσις ἦν ἡ αὐτή. καὶ ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ πολέμου μαχμὰς, καὶ οὐχ εὑρέθη ῥομφαία καὶ δόρυ ἐν χειρὶ παντὸς τοῦ λαοῦ, τοῦ μετὰ σαοὺλ καὶ μετὰ ἰωνάθαν. καὶ εὑρέθη τῷ σαοὺλ καὶ τῷ ἰωνάθαν υἱῷ αὐτοῦ, καὶ ἐξῆλθεν ἐξ ὑποστάσεως τῶν ἀλλοφύλων εἰς τὸ πόραν μαχμάς.

Κεφάλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. ιδ΄ 14.

Καὶ ἐγρήγορεν ἡ ἡμέρα, καὶ εἶπεν Ιωνάθαν πρὸς παιδάριον τὸν αἴροντα τὰ σκεύη αὐτοῦ· δεῦρο καὶ διάβωμεν εἰς μεσάβ τῶν ἀλλοφύλων τὴν ἐν τῷ πέραν ἐκείνην. καὶ τῷ πατρὶ αὐτοῦ οὐκ ἀπήγγειλε. καὶ σαοὺλ ἐκάθητο ἐν τῷ βουνῷ ἐπ' ἄκρου τοῦ βουνοῦ ὑπὸ τὴν ῥοάν τὴν ἐν μαγδών, καὶ ἦσαν μετ' αὐτοῦ ὡσεὶ ἑξακόσιοι ἀνδρες, καὶ ἀχιὰ υἱὸς ἀχιτὼβ ἀδελφὸς ἰωκαβὴδ υἱὸς φινεὲς υἱὸς ηλεὶ ἱερεὺς τοῦ θεοῦ ἐν σηλὼμ αἴρων ἐφούδ. καὶ ὁ λαὸς οὐκ ἤδει ὅτι πεπόρευται ἰωνάθαν. καὶ ἀνὰ μέσον τῆς διαβάσεως οὗ ἐζήτει ἰωνάθαν διαβῆναι εἰς τὴν ὑπόστασιν τῶν ἀλλοφύλων, καὶ ὁδὸς πέτρας ἓν ἐκ τοῦ πέραν τούτου, καὶ ὁδὸς ἡ πέτρας ἐκ τοῦ πέραν τούτου, ὄνομα τῇ μιᾷ βοσές, καὶ ὄνομα τῇ ἄλλῃ σενέ. ἡ ὁδὸς ἡ μία ἀπὸ βορρᾶ ὀρθρίζουσα μαχμᾶς, καὶ ἡ ὁδὸς ἡ ἄλλη ἀπὸ νότου ὀρθρίζουσα γαβεέ. καὶ εἶπεν ἰωνάθαν πρὸς τὸν παιδάριον τὸν αἴροντα τὰ σκεύη αὐτοῦ· δεῦρο καὶ διαβῶμεν εἰς μεσάβ τῶν ἀπεριτμήτων τούτων, εἰ ποιήσει κύριος ἡμῖν, ὅτι οὐκ ἔστι τῷ κυρίῳ σωζόμενον σῴζειν ἢ ἐν πολλοῖς ἢ ἐν ὀλίγοις. καὶ εἶπεν αὐτῷ ὁ αἴρων τὰ σκεύη αὐτοῦ· ποίει πᾶν ὃ ἐὰν ἡ καρδία σου ἐκκλίνῃ, ἰδοὺ ἐγὼ μετὰ σοῦ ἐμί, ὡς ἡ καρδία σου καρδία μου. καὶ εἶπεν ἰωνάθαν· ἰδοὺ ἡμεῖς διαβαίνομεν πρὸς τοὺς ἄνδρας, καὶ κατακυλισθησόμεθα πρὸς αὐτούς, καὶ ἐὰν τάδε εἴπωσι πρὸς ἡμᾶς· ἀπίσκητε ἕως ἂν ἀναγείλωμεν ὑμῖν, καὶ σησόμεθα ἐφ' ἑαυτούς, καὶ οὐ μὴ ἀναβῶμεν ἐπ' αὐτούς. καὶ ἐὰν τάδε εἴπωσι πρὸς ἡμᾶς, ἀνάβητε πρὸς ἡμᾶς, καὶ ἀναβησόμεθα, ὅτι παραδέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας ἡμῶν. τοῦτο ὑμῖν τὸ σημεῖον. καὶ εἰσῆλθον ἀμφότεροι εἰς μεσάβ τῶν ἀλλοφύλων. καὶ λέγουσιν οἱ ἀλλόφυλοι· ἰδοὺ ἑβραῖοι ἐκπορεύονται ἐκ τῶν τρωγλῶν αὐτῶν, ἃ ἐκρύβησαν ἐκεῖ. καὶ ἀπεκρίθησαν οἱ ἄνδρες μεσάβ πρὸς τὸν ἰωνάθαν καὶ πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ, καὶ λέγουσι· ἀνάβητε πρὸς ἡμᾶς, καὶ γνωριοῦμεν ὑμῖν ῥῆμα. καὶ εἶπεν ἰωνάθαν πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ· ἀνάβηθι ὀπίσω μου, ὅτι παραδέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας ἰσραήλ. καὶ ἀνέβη ἰωνάθαν ἐπὶ τὰς χεῖρας αὐτοῦ, καὶ ἐπὶ τοὺς πόδας αὐτοῦ, ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὀπίσω αὐτοῦ. καὶ ἐπέβλεψαν κατὰ πρόσωπον ἰωνάθαν, καὶ ἐπάταξεν αὐτούς, καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ἐπεδίδου ὀπίσω αὐτοῦ. καὶ ἐγένετο ἡ πληγὴ ἡ πρώτη ἣν ἐπάταξεν ἰωνάθαν καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὡσεὶ εἴκοσιν ἄνδρες, ἐν βολίσι καὶ ἐν σφενδόναις καὶ ἐν κόχλαξι τοῦ πεδίου. καὶ ἐγένετο ἔκστασις ἐν τῇ παρεμβολῇ καὶ ἐν ἀγρῷ. καὶ πᾶς ὁ λαὸς ὁ ἐν μεσάβ καὶ οἱ διαφθείροντες ἐξέκλησαν καὶ αὐτοί, καὶ οὐκ ἦθελον πονεῖν. καὶ ἐβάμβησεν ἡ γῆ, καὶ ἐγένετο ἔκστασις παρὰ κυρίου. καὶ εἶδον οἱ σκοποὶ τοῦ σαοὺλ ἐν γαβαὰ βενιαμεῖν, καὶ ἰδοὺ ἡ παρεμβολὴ τεταραγμένη ἐνέβη καὶ ἐνέβη. καὶ εἶπε σαοὺλ τῷ λαῷ τῷ μετ' αὐτοῦ· ἐπισκέψασθε δὴ καὶ ἴδετε τίς πεπόρευται ἐξ ὑμῶν. καὶ ἐπορεύθησαν, καὶ ἰδοὺ οὐχ εὑρίσκω ἰωνάθαν καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ. καὶ εἶπε σαοὺλ τῷ ἀχιά· πρόσαγε τὸ ἐφούδ. ὅτι ἦν ἡ λιβωτὸς τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐνώπιον ἰσραήλ. καὶ ἐγένετο ὡς ἐλάλει σαοὺλ πρὸς τὸν ἱερέα, καὶ ὁ ἦχος ἐν τῇ παρεμβολῇ τῶν ἀλλοφύλων ἐπορεύετο πορευόμενος, καὶ ἐπλήθυνε. καὶ εἶπε σαοὺλ πρὸς τὸν ἱερέα· σωάγαγε τὰς χεῖράς σου. καὶ ἀνέβη σαοὺλ καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ, καὶ ἔρχονται ἕως τοῦ πολέμου, καὶ ἰδοὺ ἐγένετο ῥομφαία ἀνδρὸς ἐπὶ τὸν πλησίον αὐτοῦ, σύγχυσις μεγάλη σφόδρα, καὶ οἱ ἄνδρες οἱ ὄντες ἐχθὲς καὶ τρίτην ἡμέραν μετὰ τῶν ἀλλοφύλων οἱ ἀναβαίνοντες κύκλῳ εἰς τὴν παρεμβολήν, ἐπεστράφησαν καὶ αὐτοὶ εἶναι μετὰ ἰσραὴλ μετὰ σαοὺλ καὶ ἰωνάθαν. καὶ πᾶς ἀνὴρ ἰσραὴλ οἱ κρυπτόμενοι ἐν τῷ ὄρει ἐφραὶμ ἤκουσαν ὅτι πεφύγασιν οἱ ἀλλόφυλοι, καὶ σωάπεσι καὶ αὐτοὶ ὀπίσω αὐτῶν εἰς πόλεμον. καὶ ἔσωσε κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸν ἰσραήλ. καὶ ὁ πόλεμος διῆλθε τὴν βαμώθ. καὶ πᾶς ὁ λαὸς ἦν μετὰ σαοὺλ ὡς σίκερα χιλιάσιν ἀνδράσιν. καὶ ἦν ὁ πόλεμος διεσπαρμένος εἰς ὅλην τὴν πόλιν ἐν τῷ ὄρει ἐφραίμ. καὶ σαοὺλ ἠνάγκασεν ἄγνοιαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀρᾶται τῷ λαῷ λέγων· ὢν κατάρατος ὁ ἄνθρωπος ὃς φάγεται ἄρτον ἕως ἑσπέρας, καὶ ἐκδικήσω τὸν ἐχθρόν μου. καὶ οὐκ ἐγεύσατο πᾶς ὁ λαὸς ἄρτου, καὶ πᾶς ὁ γῆ εἰς τὸν μελισσῶνα. καὶ ἰδοὺ δρυμὸς ἦν μελισσῶν ἐπὶ προσώπου τοῦ ἀγροῦ, καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα. καὶ ἰδοὺ ἐπορεύετο λαλῶν, καὶ οὐκ ἦν ὃς ἐπέστρεφεν τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, ὅτι ἐφοβήθη ὁ λαὸς τὸν ὅρκον κυρίου. καὶ ἰωνάθαν οὐκ ἤκουσεν ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ τὸν λαόν, καὶ ἐξέτεινε τὸ ἄκρον τῆς σκηπτρᾶς αὐτοῦ τῇ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἔβαψεν αὐτὸ εἰς τὸ κηρίον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, καὶ ἐπέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. καὶ ἀπεκρίθη εἷς ἐκ τοῦ λαοῦ καὶ εἶπεν· ὁρκίσας ὥρκισε τὸν λαὸν ὁ πατήρ σου λέγων· ὢν κατάρατος ὁ ἄνθρωπος ὃς φάγεται ἄρτον σήμερον. καὶ ἐξελύθη ὁ λαός. καὶ ἔγνω ἰωνάθαν καὶ εἶπεν· ἐπήλλαξεν ὁ πατήρ μου τὴν γῆν. ἴδετε διότι εἶδον οἱ ὀφθαλμοί μου, ὅτι ἐγεύσαμεν βραχύ τι τοῦ μέλιτος τούτου, ἀλλ' ὅτι ἐφάγομεν ἐδωδὴν σήμερον ὁ λαὸς τῶν σκύλων τῶν ἐχθρῶν αὐτῶν ὧν εὗρον, ὅτι νυνὶ οὐ μείζων πληγὴ ἐν τοῖς ἀλλοφύλοις. καὶ ἐπάταξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τῶν ἀλλοφύλων πλείους ἢ ἐν μαχμᾶς. καὶ ἐκόπασεν ὁ λαὸς σφόδρα. καὶ ὥρμησεν ὁ λαὸς εἰς τὰ σκῦλα, καὶ ἔλαβεν ὁ λαὸς πρόβατα καὶ βόας καὶ μόσχους, καὶ ἔσφαξαν ἐπὶ τῆς γῆς, καὶ

ἄδιγον ὁ λαὸς σὺν τῷ αἵματι. καὶ ἀπήγγελη τῷ σαοὺλ λέγοντες ὅτι λαὸς ἥμαρτηκι τῷ κυρίῳ φαγὼν σὺν τῷ αἵματι. καὶ εἶπε σαοὺλ ἐκγεθθεμ κυλίσατέ μοι λίθον γνῶσθε μέγαν. καὶ εἶπε σαοὺλ διασπάρητε γὰρ τῷ λαῷ, καὶ εἴπατε αὐτοῖς πρόσαγαγεῖν γὰρ τάδε πρὸς μόχλον αὐτῷ ἕκαστος ὑμῶν, καὶ ἕκαστος τὸ πρόβατον αὐτοῦ, καὶ σφάξατε ὧδε τότε τῷ λίθῳ καὶ φάγετε αὐτά, καὶ οὐ μὴ ἁμάρτητε τῷ κυρίῳ τῷ ἐσθίειν σὺν τῷ αἵματι. καὶ προσῆγεν ὁ λαὸς ἕκαστος τῷ γὰρ τῇ χειρὶ αὐτοῦ τὴν νύκτα, καὶ ἔσφαζον ἐκεῖ. καὶ ᾠκοδόμησεν ἐκεῖ σαοὺλ θυσιαστήριον τῷ κυρίῳ, οὗτος ἤρξατο σαοὺλ οἰκοδομῆσαι θυσιαστήριον τῷ κυρίῳ. καὶ εἶπε σαοὺλ καταβῶμεν ὀπίσω τῶν ἀλλοφύλων τὴν νύκτα, καὶ σκορπίσωμεν γὰρ αὐτοῖς, ἕως σκαφαύσι ἡ ἡμέρα, καὶ μὴ ὑπολείπωμεν γὰρ αὐτοῖς ἄνδρα. καὶ εἶπαν πάντα τὸν ἀγαθὸν γὰρ ὠφθαλμοῖς σου ποίει. καὶ εἶπεν ὁ ἱερεύς προσέλθωμεν γὰρ τῶδε πρὸς τὸν θεόν. καὶ ἐπηρώτησε σαοὺλ τὸν θεόν, εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων, εἰ παραδώσεις αὐτοὺς εἰς χεῖρας ἰσραὴλ; καὶ οὐκ ἀπεκρίθη αὐτῷ κύριος γὰρ τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ εἶπε σαοὺλ προσαγάγετε γὰρ τῶδε πάσας τὰς γωνίας τοῦ ἰσραὴλ, καὶ γνῶτε καὶ ἴδετε γὰρ τίνι γέγονεν ἡ ἁμαρτία αὕτη σήμερον, ὅτι ζῇ κύριος ὁ σώσας τὸν ἰσραὴλ, ὅτι ἐὰν ἀρκεσθῇ ἡ ἰωνάθαν τοῦ υἱός μου, θανάτῳ ἀρθανεῖται. καὶ οὐκ ἦν ὁ ἀρκεινόμενος ἐκ παντὸς τοῦ λαοῦ. καὶ εἶπε παντὶ ἀνδρὶ ἰσραὴλ ὑμεῖς ἔσεσθε εἰς δούλειαν, καὶ ἐγὼ καὶ ἰωνάθαν ὁ υἱός μου ἐσόμεθα εἰς δούλους. καὶ εἶπαν ὁ λαὸς πρὸς σαοὺλ ὃ ἀγαθὸν γὰρ ὀφθαλμοῖς σου ποίει. καὶ εἶπε σαοὺλ κύριε ὁ θεὸς ἰσραὴλ, τί ὅτι οὐκ ἀπεκρίθης τῷ δούλῳ σου σήμερον; εἰ γὰρ ἐμοὶ ἢ γὰρ ἰωνάθαν τοῦ υἱοῦ μου ἡ ἀδικία, κύριε ὁ θεὸς ἰσραὴλ, δός δήλους. καὶ ἐὰν τάδε εἴπῃς, σλὸς δὴ τῷ λαῷ σου ἰσραὴλ, δός δὴ ὁσότητα, καὶ κατεκληρώντου ἰωνάθαν καὶ σαοὺλ. καὶ ὁ λαὸς ἐξῆλθε, καὶ εἶπε σαοὺλ βάλλετε κλῆρον ἀνὰ μέσον ἐμοῦ ἢ ἀνὰ μέσον ἰωνάθαν τοῦ υἱοῦ μου, ὃν κατακληρώσηται κύριος, ἀρθανέτω. καὶ εἶπεν ὁ λαὸς πρὸς σαοὺλ ὃ καλὸν ῥῆμα τοῦτο. καὶ κατεκράτησε σαοὺλ τοῦ λαοῦ, καὶ βάλλουσι κλῆρος ἀνὰ μέσον αὐτοῦ, καὶ ἀνὰ μέσον ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ, καὶ κατακληρώντου ἰωνάθαν. καὶ εἶπε σαοὺλ πρὸς ἰωνάθαν ἀπάγγειλόν μοι τί ποιήκας; καὶ ἀπήγγειλεν αὐτῷ ἰωνάθαν, καὶ εἶπε γευσάμενος γεύσαμαι γὰρ ἄκρῳ τοῦ σκήπτρου τῷ γὰρ τῇ χειρί μου βραχὺ μέλι, καὶ ἰδοὺ ἐγὼ ἀρθνήσκω. καὶ εἶπεν αὐτῷ σαοὺλ τάδε ποιήσαι μοι ὁ θεός, καὶ τάδε προσθείη ὅτι θανάτῳ ἀρθανεῖ σήμερον. καὶ εἶπεν ὁ λαὸς πρὸς σαοὺλ εἰ σήμερον ἀρθανεῖται θανάτῳ ὁ ποιήσας τὸ σωτήριον τὸ μεγάλον ταύτῃ γὰρ ἰσραὴλ; ζῇλεως, ζῇ κύριος εἰ πεσεῖται ἀπὸ τῆς κεφαλῆς αὐτοῦ θρὶξ ὧδε τῷ γλῷ, ὅτι ἔλεος τοῦ θεοῦ ἐποίησεν γὰρ τῇ ἡμέρᾳ ταύτῃ. καὶ προσηύξατο ὁ λαὸς πρὸς ἰωνάθαν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἀπέθανε. καὶ ἀνέβη σαοὺλ ἀπὸ ὄπισθε τῶν ἀλλοφύλων, καὶ οἱ ἀλλόφυλοι ἀπῆλθον εἰς τὸν τόπον αὐτῶν. καὶ σαοὺλ ἔλαχε τοῦ βασιλεύειν ὧδε ἰσραὴλ. καὶ ἐπολέμει κυκλόθεν, πάντας οὓς ἐχθροὺς αὐτοῦ εἰς τὸν μωαβ καὶ οὓς υἱοὺς ἀμμών, καὶ εἰς οὓς υἱοὺς ἐδώμ, καὶ εἰς τὸν βασιλέα σοβά, καὶ εἰς οὓς ἀλλοφύλους, ὃ αὐ ἐσράφη ἐσώζετο. καὶ ἐποίησε δυνάμιν, καὶ ἐπάταξε τὸν ἀμαλήκ, καὶ ἐξέλετο τὸν ἰσραὴλ ἐκ χειρὸς τῶν καταπατούντων αὐτόν. καὶ ἦσαν οἱ υἱοὶ σαοὺλ ἰωνάθαν καὶ ἰησοὶ, καὶ μελχισέ. καὶ ὀνόματα τῶν δύο θυγατέρων αὐτοῦ, ὄνομα τῇ πρωτοτόκῳ αὐτοῦ μόρβ, καὶ ὄνομα τῇ δευτέρᾳ μελχόλ, καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ ἀχινοόμ, θυγάτηρ ἀχιμάας. καὶ ὄνομα τοῦ ἀρχιστρατήγου αὐτοῦ ἀβγνήρ, υἱὸς νήρ, ὑὸς οἰκείου σαοὺλ. καὶ κὶς πατὴρ σαοὺλ, καὶ νὴρ πατὴρ ἀβγνήρ υἱὸς ἀμιήλ, υἱὸς ἀβιήλ. καὶ πόλεμος κρατερὸς ὦδε τοῦ ἀλλοφύλους πάσας τὰς ἡμέρας σαοὺλ. καὶ ἰδὼν σαοὺλ πάντα ἄνδρα δυνατὸν, καὶ πάντα ἄνδρα υἱὸν δυνάμεως, καὶ συνήγαγεν αὐτοὺς πρὸς αὐτόν.

ΚΕΦΑΛ. ιε. 15.

Καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ ἐμὲ ἀπέστειλε κύριος, χρῖσαί σε εἰς βασιλέα, ὦδε τὸν λαὸν αὐτοῦ ὦδε ἰσραὴλ. καὶ νῦν ἄκουσον τῆς φωνῆς τῶν λόγων κυρίου. τάδε εἶπε κύριος σαβαὼθ νῦν ἐκδικήσω ὃ ἐποίησεν ἀμαλὴκ τοῦ ἰσραὴλ, ὡς ἀπέλυτησεν αὐτῷ γὰρ τῇ ὁδῷ ἀναβαίνοντος αὐτοῦ ἐξ αἰγύπτου. καὶ νῦν πορεύου καὶ πατάξεις τὸν ἀμαλὴκ καὶ ἀναθεματιεῖς αὐτόν, καὶ πάντα τὰ αὐτοῦ, καὶ οὐ φείσῃ ἐπ' αὐτοῦ, καὶ ἐξολοθρεύσεις αὐτοὺς, καὶ ἀναθεματιεῖς αὐτούς, καὶ πάντα τὰ αὐτῶν, καὶ οὐ φείσῃ ἀπ' αὐτῶν. καὶ ἀποκτενεῖς ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς, ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ ἀπὸ μόσχου ἕως προβάτου, καὶ ἀπὸ καμήλου ἕως ὄνου. καὶ παρήγγειλε σαοὺλ τῷ λαῷ, καὶ ἐπεσκέπτεται αὐτοὺς γὰρ γαλγαλοις ἑξακοσίας χιλιάδας πεζομάτων, καὶ τὸν ἰούδαν τριάκοντα χιλιάδας πεζομάτων. καὶ ἦλθε σαοὺλ ἕως τῶν πόλεων ἀμαλὴκ, καὶ γὰρ ἐδόλουσεν γὰρ τῷ χειμάρρῳ. καὶ εἶπε σαοὺλ πρὸς τὸν κινναῖον πορεύθητε, καὶ ἐκκλινον ἐκ μέσου τοῦ ἀμαληκίτου μὴ προδῶ σε μετ' αὐτοῦ. καὶ σὺ ἐποίησας ἔλεος μετὰ πάντων τῶν υἱῶν ἰσραὴλ, γὰρ τῷ ἀναβαίνειν αὐτοὺς ἐξ αἰγύπτου. καὶ ἐξέκλινεν ὁ κινναῖος ἐκ μέσου ἀμαλήκ. καὶ ἐπάταξε σαοὺλ τὸν ἀμαλὴκ ἀπὸ δυλαὰτ ἕως σουρ, τοῦ προσώπου αἰγύπτου. καὶ συνέλαβε τὸν ἄγαγ βασιλέα ἀμαλὴκ ζῶντα, καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐξωλόθρευσε, καὶ ἐκ στόματος μαχαίρης γὰρ στόματος φρομφαίας. καὶ προεποίησατο σαοὺλ καὶ πᾶς ὁ λαὸς τὸν ἄγαγ ζῶντα, καὶ τὰ ἀγαθὰ τῶν βοσκημάτων καὶ τῶν ποιμνίων, καὶ τῶν ἐσθυμάτων καὶ τῶν ἀμπελώνων καὶ πάντων τὰ ἀγαθῶν, καὶ οὐκ

ἐβούλοντο

ἐβούλοντο ἐξολοθρεῦσαι αὐτὰ, καὶ πᾶν ὄργον ἀπημωμένον ἐξωλόθρευσε. καὶ ἐγένηθη ῥῆμα
κυρίου πρὸς σαμουὴλ λέγων· μεταμέλομαι ὅτι ἔχρισα τὸν σαοὺλ εἰς βασιλέα, ὅτι ἀπέστρε-
ψεν ἀπ' ὀπισθέ μου, καὶ τοὺς λόγους μου οὐκ ἐτήρησε. καὶ ἐθυμώθη σαμουὴλ, καὶ ἐβόησε πρὸς
κύριον ὅλην τὴν νύκτα. καὶ ὤρθρισε σαμουὴλ καὶ ἐπορεύθη εἰς ἀπάντησιν ἰσραὴλ τοπρωΐ. καὶ
ἀπηγγέλη τῷ σαμουὴλ λέγοντες· ἦκεν σαοὺλ εἰς κάρμηλον, καὶ ἰδοὺ ἀνέστακεν αὐτῷ χεῖρα, καὶ
ἐπέστρεψε τὸ ἅρμα, καὶ κατέβη εἰς γάλγαλα. καὶ ἦλθε σαμουὴλ πρὸς σαοὺλ, καὶ ἰδοὺ αὐτὸς ἀ-
νεφόρτωσεν ὁλοκαύτωσιν τῷ κυρίῳ, τὰ πρῶτα τῶν σκύλων ὧν ἐξέλιπεν ἐξ ἀμαλήκ. καὶ παρε-
γένετο σαμουὴλ πρὸς σαούλ. καὶ εἶπεν αὐτῷ σαοὺλ· εὐλογητὸς σὺ τῷ κυρίῳ, ἐποίησα πάντα ὅσα
ἐπέλαλησε κύριος. καὶ εἶπε σαμουὴλ· καὶ τίς ἡ φωνὴ τοῦ προβάτου τούτου ἐν τοῖς ὠσὶ μου, καὶ ἡ φωνὴ
τῶν βοῶν ὧν ἐγὼ ἀκούω; καὶ εἶπε σαοὺλ· ἐξ ἀμαλήκ ἠνέγκαν αὐτὰ ἃ ἐφείσατο ὁ λαὸς, τὰ
κρέατα τοῦ προβάτου, καὶ τῶν βοῶν ὅπως θυθῇ κυρίῳ τῷ θεῷ σου. καὶ τὰ λοιπὰ ἐξωλόθρευσα-
μεν. καὶ εἶπε σαμουὴλ πρὸς σαούλ· ἄνες, καὶ ἀπαγγελῶ σοι ἃ ἐλάλησε κύριός μοι πρὸς με τὴν νύκτα.
καὶ εἶπεν αὐτῷ· λάλησον. καὶ εἶπε σαμουὴλ πρὸς σαούλ· ἐὰν μικρὸς εἶ σὺ ἐνώπιον αὐτοῦ, ἡγάμε-
νος σκήπτρου φυλῆς ἰσραήλ; καὶ ἔχρισέ σε κύριος εἰς βασιλέα ἐπὶ ἰσραήλ; καὶ ἀπέστειλέ σε κύριος
ἐν ὁδῷ, καὶ εἶπέ σοι· πορεύθητι, καὶ ἐξολόθρευσον τοὺς ἁμαλήκ, καὶ πολεμήσεις αὐτοὺς ἕως συντελέσεις αὐτούς. καὶ ἵνατί οὐκ ἤκουσας φωνῆς κυρίου, καὶ ἐπέ-
πτυκας ὅσα ἐλάλησέ σοι, ἀλλὰ ὥρμησας τοῦ θεῖναι ἐπὶ τὰ σκύλα, καὶ ἐποίησας τὸ πονηρὸν ἐ-
νώπιον κυρίου; καὶ εἶπε πρὸς σαμουὴλ· ἐγὼ ἤκουσά μου τῆς φωνῆς τοῦ λαοῦ, καὶ ἐπορεύθην ἐν τῇ
ὁδῷ ᾗ ἀπέστειλέ με κύριος, καὶ ἤγαγον τὸν ἄγαγ βασιλέα ἁμαλήκ, καὶ τὸν ἁμαλὴκ ἐξωλό-
θρευσα. καὶ ἔλαβεν ὁ λαὸς ἐκ τῶν σκύλων πρόβατα καὶ βόας τὰ πρῶτα τοῦ ἐξολοθρεύματος,
θῦσαι κυρίῳ θεῷ ἡμῶν ἐν γαλγάλοις.

ΚΕΦΑΛ. ιε' 16.

Καὶ εἶπε σαμουὴλ· εἰ θελητὸν τῷ κυρίῳ ὁλοκαυτώματα καὶ θυσίας, ὡς τὸ ἀκοῦσαι φω-
νῆς κυρίου; ἰδοὺ ἀκοὴ ὑπὲρ θυσίαν ἀγαθὴ, καὶ ἡ ἐπακρόασις ὑπὲρ στέαρ κριῶν, ὅτι ἁ-
μαρτία οἰωνισμοῦ ὅτιν, ὀδύνη καὶ πόνος θεραφὶν ἐπάγουσιν. ὅτι ἐξουδενώσας τὸ ῥῆμα κυ-
ρίου, καὶ ἐξουδενώσει σε κύριος τοῦ μὴ εἶναι βασιλέα ἐπὶ ἰσραήλ. καὶ εἶπε σαοὺλ πρὸς σα-
μουὴλ· ἡμάρτηκα ὅτι παρέβην τὸν λόγον κυρίου, καὶ τὸ ῥῆμά σου, ὅτι ἐφοβήθην τὸν λαὸν, καὶ
ἤκουσα τῆς φωνῆς αὐτῶν. καὶ νῦν ἆρον δὴ τὸ ἁμάρτημά μου, καὶ ἀνάστρεψόν μετ' ἐμοῦ, καὶ
προσκυνήσω κυρίῳ τῷ θεῷ σου. καὶ εἶπε σαμουὴλ πρὸς σαούλ· οὐκ ἀναστρέψω μετὰ σοῦ, ὅ-
τι ἐξουδενώσας τὸ ῥῆμα κυρίου, καὶ ἐξουδενώσει σε κύριος τοῦ μὴ εἶναι βασιλέα ἐπὶ ἰσραήλ.
καὶ ἐπέστρεψε σαμουὴλ τὸ πρόσωπον αὐτοῦ, τοῦ ἀπελθεῖν, καὶ ἐκράτησε σαοὺλ τοῦ πτόρυ-
γος τῆς διπλοΐδος αὐτοῦ, καὶ διέρρηξεν αὐτό. καὶ εἶπε πρὸς αὐτὸν σαμουὴλ· διέρρηξε κύ-
ριος τὴν βασιλείαν σου ἀπὸ ἰσραὴλ ἐκ χειρός σου σήμερον, καὶ δώσει αὐτὴν τῷ πλησίον σου
τῷ ἀγαθῷ ὑπὲρ σέ. καὶ διαιρεθήσεται ἰσραὴλ εἰς δύο, καὶ οὐκ ἀποστρέψει, οὐδὲ μετανοήσει. ὅτι οὐχ ὡς ἄνθρωπος ὅτι τοῦ μετανοῆσαι, αὐτὸς ἀπειλήσει, καὶ οὐκ ἐμμενεῖ. καὶ εἶπε
σαοὺλ· ἡμάρτηκα, ἀλλὰ δόξασόν με δὴ ἐνώπιον τῶν πρεσβυτέρων ἰσραὴλ, καὶ ἐνώπιον
λαοῦ μου, καὶ ἀνάστρεψον μετ' ἐμοῦ, καὶ προσκυνήσω κυρίῳ τῷ θεῷ σου. καὶ ἀνέστρεψε σα-
μουὴλ ὀπίσω μετὰ σαούλ, καὶ προσεκύνησε τῷ κυρίῳ. καὶ εἶπε σαμουὴλ· προσαγάγετέ μοι
τὸν ἄγαγ βασιλέα ἁμαλήκ. καὶ προσῆλθε πρὸς αὐτὸν ἄγαγ τρέμων. καὶ εἶπεν ἄγαγ· εἰ ὄντως
πικρὸς ὁ θάνατος. καὶ εἶπε σαμουὴλ πρὸς αὐτόν· ἄγαγ. καθότι ἐτέκνωσε γυναῖκας ἡ ῥομφαία
σου, οὕτως ἀτεκνωθήσεται ἐκ γυναικῶν ἡ μήτηρ σου. καὶ ἔσφαξε σαμουὴλ τὸν ἄγαγ ἐνώπιον κυ-
ρίου ἐν γαλγάλοις. καὶ ἀπῆλθε σαμουὴλ εἰς ἁρμαθαΐμ. καὶ σαοὺλ ἀνέβη εἰς τὸν οἶκον αὐτοῦ εἰς γα-
βαά. καὶ ὁ προσέθετο ἔτι σαμουὴλ ἰδεῖν τὸν σαοὺλ ἕως ἡμέρας θανάτου αὐτοῦ, ὅτι ἐπένθει σαμουὴλ
ὑπὲρ σαοὺλ, καὶ κύριος μετεμελήθη, ὃ ἐβασίλευσε τὸν σαοὺλ ὑπὲρ τὸν ἰσραήλ. καὶ εἶπε κύριος πρὸς
σαμουὴλ· ἕως πότε σὺ πενθεῖς τὸν σαοὺλ, καὶ ἐγὼ ἐξουδενώκα αὐτὸν μὴ βασιλεύειν ὑπὲρ ἰσραήλ;
πλῆσον τὸ κέρας σου ἐλαίου, καὶ δεῦρο ἀποστελῶ σε πρὸς ἰεσσαὶ ἕως εἰς βηθλεέμ, ὅτι ἑώρακα ἐν τοῖς
υἱοῖς αὐτοῦ ἐμοὶ βασιλέα. καὶ εἶπε σαμουὴλ· πῶς πορεύθω; καὶ ἀκούσεταί σαοὺλ, καὶ ἀποκτενεῖ με.
καὶ εἶπε κύριος· λάβε ἐν τῇ χειρά σου δάμαλιν βοῶν, καὶ ἐρεῖς· θῦσαι τοῦ κυρίῳ ἥκω, καὶ
καλέσεις τὸν ἰεσσαὶ καὶ οὐκ ὑοὺς αὐτοῦ εἰς τὴν θυσίαν, καὶ ἐγὼ γνωρίσω σοι ἃ ποιήσεις, καὶ χρί-
σεις ὃν ἂν εἴπω πρὸς σέ. καὶ ἐποίησε σαμουὴλ, καθὰ ὅσα ἐλάλησεν αὐτῷ κύριος, καὶ ἦλ-
θεν εἰς βηθλεέμ, καὶ ἐξανέστησαν οἱ πρεσβύτεροι τῆς πόλεως τῆς ἀπαντῆσαι αὐτῷ, καὶ εἶπαν· εἰ-
ρηνικὴ εἴσοδός σου ὁ βλέπων; καὶ εἶπεν· εἰρηνική, θῦσαι τῷ κυρίῳ ἥκω. ἁγιάσθητε καὶ συφράνθη-
τε μετ' ἐμοῦ σήμερον. καὶ ἡγίασε τὸν ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐκάλεσεν αὐτοὺς εἰς τὴν θυ-
σίαν. καὶ ἐγένηθη ὡς τοῦ εἰσιέναι αὐτούς, καὶ εἶδε τὸν ἐλιάβ, καὶ εἶπεν· ἀλλὰ καὶ ἐνώπιον κυ-
ρίου ὁ χριστὸς αὐτοῦ. καὶ εἶπε κύριος πρὸς σαμουὴλ· μὴ ἐπιβλέψῃς ἐπὶ τὸ ὄψιν αὐτοῦ, μηδὲ
εἰς τὸ ὕψος μεγέθους αὐτοῦ, ὅτι ἐξουδενώκα αὐτόν, ὅτι οὐχ ὡς ἐμβλέψεται ἄνθρωπος, ὄψεται ὁ

θεὸς,

θεός, ὃτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ θεός ὄψεται εἰς καρδίαν. καὶ ἐκάλεσεν Ιεσσαὶ τὸν Ἀμιναδάβ, καὶ παρῆλθε καὶ πρόσωπον σαμουὴλ καὶ εἶπεν· οὐδὲ τοῦτον ἐξελέξατο κύριος. καὶ παρήγαγεν Ιεσσαὶ τὸν σαμμά, καὶ εἶπε· καὶ γὰρ τοῦτον οὐκ ἐξελέξατο κύριος. καὶ παρήγαγεν Ιεσσαὶ τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ ἐνώπιον σαμουήλ, καὶ εἶπε σαμουὴλ πρὸς Ιεσσαί· οὐκ ἐξελέξατο κύριος ἐν τούτοις. καὶ εἶπε σαμουὴλ πρὸς Ιεσσαί· ἐκλελοίπασι τὰ παιδάρια; καὶ εἶπεν Ιεσσαί· ἔτι ὁ μικρὸς ἰδοὺ ποιμαίνει ἐν τῷ ποιμνίῳ. καὶ εἶπε σαμουὴλ πρὸς Ιεσσαί· ἀπόστειλον καὶ λάβε αὐτὸν ὅτι οὐ μὴ κατακλιθῶμεν, ἕως τοῦ ἐλθεῖν αὐτὸν ἐνταῦθα. καὶ ἀπέστειλε καὶ εἰσήγαγεν αὐτόν. καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν, καὶ ἀγαθὸς ὁράσει κύριος. καὶ εἶπε κύριος πρὸς σαμουήλ· ἀνάστα, καὶ χρῖσον αὐτὸν ὅτι οὗτός ἐστιν ἀγαθός. καὶ ἔλαβε σαμουὴλ τὸ λυδάριον τοῦ ἐλαίου, καὶ ἔχρισεν αὐτὸν ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ. καὶ ἐφήλατο πνεῦμα κύριος ἀπὸ Δαβὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπάνω. καὶ ἀνέστη σαμουὴλ καὶ ἀπῆλθεν εἰς Ἀρμαθαΐμ. καὶ πνεῦμα κύριος ἀπέστη ἀπὸ Σαοὺλ, καὶ ἐπονηρεύετο αὐτὸν πνεῦμα πονηρὸν παρὰ κυρίου. καὶ εἶπαν οἱ παῖδες Σαοὺλ πρὸς αὐτόν· ἰδοὺ δὴ πνεῦμα πονηρὸν παρὰ κυρίου πονηρεύεται σε, εἰπάτωσαν δὴ οἱ δοῦλοί σου ἐνώπιόν σου, καὶ ζητησάτωσαν τῷ κυρίῳ ἡμῶν ἄνδρα εἰδότα ψάλλειν ἐν κινύρᾳ. καὶ ἔσται ἐν τῷ εἶναι τὸ πνεῦμα πονηρὸν ἐπὶ σοί, καὶ ψαλεῖ ἐν τῇ κινύρᾳ αὐτοῦ, καὶ ἀγαθόν σοι ἔσται, καὶ ἀναπαύσει σε. καὶ εἶπε Σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ· ἴδετε δή μοι ἄνδρα ὀρθῶς ψάλλοντα, καὶ εἰσαγάγετε αὐτὸν πρός με. καὶ ἀπεκρίθη εἷς τῶν παιδαρίων αὐτοῦ, καὶ εἶπεν· ἰδοὺ ἑώρακα υἱὸν τοῦ Ιεσσαὶ Βηθλεεμίτου, καὶ αὐτὸν εἰδότα ψάλλειν, καὶ ὁ ἀνὴρ σωφρὼν, καὶ πολεμιστὴς, καὶ σοφὸς ἐν λόγῳ, καὶ ὁ ἀνὴρ ἀγαθὸς τοῦ εἶναι, καὶ κύριος μετ' αὐτοῦ. καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους πρὸς Ιεσσαὶ λέγων· ἀπόστειλον τὸν υἱόν σου πρός με τὸν ἐν τοῖς ποιμνίοις σου. καὶ ἔλαβεν Ιεσσαὶ γόμορ ἄρτων, καὶ ἀσκὸν οἴνου, καὶ ἔριφον αἰγῶν ἕνα, καὶ ἀπέστειλεν ἐν χειρὶ Δαβὶδ τοῦ υἱοῦ αὐτοῦ πρὸς Σαούλ. καὶ εἰσῆλθε Δαβὶδ πρὸς Σαούλ, καὶ παρεστάθη ἐνώπιον αὐτοῦ, καὶ ἠγάπησεν αὐτὸν σφόδρα. καὶ ἐγενήθη αὐτῷ αἴρων σκεύη αὐτοῦ. καὶ ἀπέστειλε Σαοὺλ πρὸς Ιεσσαὶ λέγων· παρισάδω δή Δαβὶδ ἐνώπιόν μου, ὅτι εὗρε χάριν ἐν ὀφθαλμοῖς μου. καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ Σαούλ, καὶ ἔλαβε Δαβὶδ τὴν κινύραν, καὶ ἔψαλεν ἐν χειρὶ αὐτοῦ, καὶ ἀνέψυχε Σαούλ, καὶ ἀγαθὸν ἦν αὐτῷ, καὶ ἀπέστη ἀπ' αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν.

ΚΕΦΑΛ. ιζ'. 17.

Καὶ συνάγουσιν οἱ ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν εἰς πόλεμον, καὶ συνάγονται εἰς Σοκχὼθ τῆς Ιουδαίας, καὶ παρεμβάλλουσιν ἀνὰ μέσον Σοκχὼθ, καὶ ἀνὰ μέσον Ἄζηκα ἐν Ἐφεσδομείμ. καὶ Σαοὺλ καὶ οἱ ἄνδρες Ισραὴλ συνάγονται, καὶ παρεμβάλλουσιν ἐν τῇ κοιλάδι τῆς τερεβίνθου οὗτοι καὶ οὗτοι, καὶ παρατάσσονται εἰς πόλεμον ἐξαναντίας τῶν ἀλλοφύλων. καὶ οἱ ἀλλόφυλοι ἵστανται ἐπὶ τοῦ ὄρους ἐνταῦθα. καὶ Ισραὴλ ἵστανται ἐπὶ τοῦ ὄρους ἐνταῦθα, καὶ ὁ αὐλὼν ἀνὰ μέσον αὐτῶν. καὶ ἐξῆλθεν ἀνὴρ δυνατὸς ἐκ τῆς παρατάξεως τῶν ἀλλοφύλων, Γολιὰθ ὄνομα αὐτῷ, ἐκ Γεθ. ὕψος αὐτοῦ ἐξ πήχεων καὶ σπιθαμῆς, καὶ περικεφαλαία ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ θώρακα ἁλυσιδωτὸν αὐτὸς ἐνδέδυκώς, καὶ ὁ σταθμὸς τοῦ θώρακος αὐτοῦ πέντε χιλιάδες σίκλων χαλκοῦ καὶ σιδήρα, καὶ κνημῖδες χαλκαῖ ἐπὶ τῶν σκελῶν αὐτοῦ, καὶ ἀσπὶς χαλκῆ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ, καὶ ὁ κοντὸς τοῦ δόρατος αὐτοῦ ὡσεὶ μεσαύπου ὑφαίνοντος, καὶ ἡ λόγχη αὐτοῦ ἑξακοσίων σίκλων σιδήρου. καὶ ὁ αἴρων τὰ ὅπλα αὐτοῦ, πρὸ προπορεύων αὐτοῦ, καὶ ἔστη, καὶ ἀνεβόησε εἰς τὴν παράταξιν Ισραὴλ, καὶ εἶπεν αὐτοῖς· ἵνα τί ἐκπορεύεσθε παρατάξασθαι εἰς πόλεμον ἐξεναντίας ἡμῶν; οὐκ ἐγώ εἰμι ἀλλόφυλος, καὶ ὑμεῖς ἔβραῖοι τοῦ Σαούλ; ἐκλέξασθε ἑαυτοῖς ἄνδρα καὶ καταβήτω πρός με, καὶ ἐὰν δύνηται πολεμῆσαι πρός με, καὶ ἐὰν πατάξῃ με, καὶ ἐσόμεθα ὑμῖν εἰς δούλους. ἐὰν δὲ ἐγὼ δύνωμαι καὶ πατάξω αὐτὸν, ἔσεσθε ἡμῖν εἰς δούλους, καὶ δουλεύσετε ἡμῖν. καὶ εἶπεν ὁ ἀλλόφυλος· ἰδοὺ ἐγὼ ὠνείδισα τὴν παράταξιν Ισραὴλ σήμερον, δὸς ἐμοὶ ἄνδρα, καὶ μονομαχήσωμεν ἀμφότεροι. καὶ ἤκουσε Σαοὺλ, καὶ πᾶς Ισραὴλ τὰ ῥήματα τοῦ ἀλλοφύλου τούτου, καὶ ἐδειλιάσαν καὶ ἐφοβήθησαν σφόδρα. καὶ νῦν Δαβὶδ υἱὸς ἀνθρώπου ἐφραθαίου, οὗτος ἐκ Βηθλεὲμ Ἰούδα, καὶ ὄνομα αὐτῷ Ιεσσαί, καὶ αὐτῷ ὀκτὼ υἱοί. καὶ ὁ ἀνὴρ ἐν ταῖς ἡμέραις Σαοὺλ πρεσβύτερος ἐληλυθὼς ἐν ἀνδράσι. καὶ ἐπορεύθησαν οἱ τρεῖς υἱοὶ Ιεσσαί, οἱ μείζονες, ὀπίσω Σαοὺλ εἰς πόλεμον. καὶ ὄνομα τῷ υἱῷ αὐτοῦ τῷ πορευθέντῳ εἰς τὸν πόλεμον, ἐλιὰβ ὁ πρωτότοκος αὐτοῦ, καὶ ὁ δεύτερος Ἀμιναδάβ, καὶ ὁ τρίτος Σαμμά. Δαβὶδ δὲ ὁ μικρότερος, καὶ οἱ τρεῖς οἱ μείζονες ἐπορεύθησαν ὀπίσω Σαούλ. καὶ Δαβὶδ ἀπῆλθε, καὶ ἀνέστρεφεν ἀπὸ τοῦ Σαοὺλ ποιμαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ ἐν Βηθλεέμ. καὶ πρωΐαι ὁ ἀλλόφυλος ὀρθρίζων, καὶ ἐφίζων, καὶ ἐστηλώθη ἐνώπιον Ισραὴλ τεσσαράκοντα ἡμέρας. καὶ εἶπεν Ιεσσαὶ Δαβὶδ τῷ υἱῷ αὐτοῦ· λάβε δὴ τοῖς ἀδελφοῖς σου οἰφὶ τοῦτο καὶ δέκα ἄρτους τούτους, καὶ δράμε εἰς τὴν παρεμβολήν, καὶ δὸς τοῖς ἀδελφοῖς σου, καὶ τὰς δέκα τυροφαλίδας τοῦ γάλακτος τούτου δώσεις τῷ χιλιάρχῳ, καὶ τοὺς ἀδελφούς σου ἐπίσκεψαι εἰς εἰρήνην, καὶ ὅρα αὐτοὺς γνῶσι.

καὶ

ρὰ τὸ σάββατον ποιήσεις μετ' ἐμοῦ. Σαοὺλ δὲ αὐτὸς καὶ πᾶς ὁ λαὸς τῇ ἡμιλαδὶ ἕλι θυσίας,
πολεμοῦντος μετὰ τῶν ἀλλοφύλων. Καὶ ὤρθρισε δαβὶδ τὸ πρωΐ, καὶ ἀφῆκε τὰ πρόβατα
φύλακι, καὶ ἔλαβε, καὶ ἀπῆλθε καθὰ ἐνετείλατο αὐτῷ ἰεσσαί, καὶ ἦλθεν εἰς τὴν προγύλωσιν καὶ
ἦλθε δωὰμιν τὴν ἐκπορευομένην εἰς τὴν παράταξιν. καὶ ἠλάλαξαν γὰρ τὴν πολέμῳ, καὶ πα-
ετάξαντο ἰσραὴλ καὶ οἱ ἀλλόφυλοι παράταξιν ἀντιφάλαγγα παράταξιν. ἀφεὶς δὲ δα-
βὶδ τὰ σκεύη αὐτοῦ ἀφ' ἑαυτοῦ ἐν χερὶ τοῦ φύλακος, ἔδραμεν εἰς τὴν παράταξιν, καὶ ἦλθε καὶ
ἠρώτησε τοὺς ἀδελφοὺς αὐτοῦ εἰς εἰρήνην. καὶ αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, ἰδοὺ ὁ ἀνὴρ ὁ μεσο-
παῖος ἀνέβαινε γολιὰθ ὁ φυλισταῖος ὄνομα αὐτῷ ἐκ γεθ, ἐκ τῶν παρατάξεων τῶν ἀλλοφύλων,
καὶ ἐλάλησε κατὰ τὰ ῥήματα ταῦτα. καὶ ἤκουσε δαβὶδ, καὶ πᾶς ἀνὴρ ἰσραὴλ γὰρ ἔφευγον
ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐφοβήθησαν σφόδρα. καὶ εἶπεν ἀνὴρ ἰ-
σραὴλ· εἰ ἑωράκατε τὸν ἄνδρα τὸν ἀναβαίνοντα τοῦτον, ὅτι ὀνειδίσαι τὸν ἰσραὴλ ἀνέβη, καὶ ἔσται
ἀνὴρ ὃς ἂν παταξῇ αὐτόν, πλουτίσει αὐτὸν ὁ βασιλεὺς πλοῦτον μέγαν, καὶ τὴν θυγατέρα αὐ-
τοῦ δώσει αὐτῷ, καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ποιήσει ἐλεύθερον ἐν τῷ ἰσραήλ. καὶ εἶ-
πε δαβὶδ πρὸς τοὺς ἄνδρας τοὺς συνεστηκότας μετ' αὐτοῦ λέγων· τί ποιηθήσεται τῷ ἀνδρὶ
ᾧ ἂν παταξῇ τὸν ἀλλόφυλον ἐκεῖνον, καὶ ἀφελεῖ ὀνειδισμὸν ἀπὸ ἰσραήλ; ὅτι τίς ὁ ἀλλόφυ-
λος ὁ ἀπερίτμητος οὗτος, ὅτι ὠνείδισε παρατάξεις θεοῦ ζῶντος; καὶ εἶπεν αὐτῷ ὁ λαὸς
κατὰ τὸ ῥῆμα τοῦτο λέγων· οὕτως ποιηθήσεται τῷ ἀνδρὶ ὃς ἂν παταξῇ αὐτόν. καὶ ἤκου-
σεν ἐλιὰβ ὁ ἀδελφὸς αὐτοῦ ὁ μείζων, ἐν τῷ λαλεῖν αὐτὸν πρὸς τοὺς ἄνδρας, καὶ ὠργίσθη
θυμῷ ἐλιὰβ ἐν τῷ δαβὶδ, καὶ εἶπεν· ἵνατί τοῦτο κατέβης, καὶ τίνι ἀφῆκας τὰ μικρὰ
πρόβατα ἐκεῖνα ἐν τῇ ὀρήμῳ; ἐγὼ οἶδα τὴν ὑπερηφανείαν σου, καὶ τὴν πονηρίαν τῆς καρδίας
σου, ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέβης. καὶ εἶπε δαβὶδ· τί ἐποίησα νυνί; οὐχὶ ῥῆ-
μα ἐστί; καὶ ἀπέστρεψε παρ' αὐτοῦ εἰς ἕτερον ἐνώπιον ἑτέρου. καὶ εἶπε κατὰ τὸ ῥῆμα τοῦτο, καὶ ἀ-
πεκρίθη αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦ πρώτου, καὶ ἠκούσθησαν οἱ λόγοι οὓς ἐλάλησε δα-
βὶδ, καὶ ἀνήγγελη ἐνώπιον σαοὺλ. καὶ παρέλαβον αὐτὸν, καὶ εἰσήγαγον αὐτὸν πρὸς σαοὺλ·
εἶπε δαβὶδ πρὸς σαοὺλ· μὴ δὴ συμπιεσέτω ἡ καρδία τοῦ κυρίου μου πρὸς αὐτὸν, ὁ δοῦλός
σου πορεύσεται, καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου· καὶ εἶπε σαοὺλ πρὸς τὸν δα-
βὶδ· οὐ μὴ δυνήσῃ πορευθῆναι πρὸς τὸν ἀλλόφυλον τοῦ πολεμῆσαι μετ' αὐτοῦ, ὅτι παιδάρι-
ον εἶ σύ, καὶ αὐτὸς ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ. καὶ εἶπε δαβὶδ πρὸς σαούλ· ποιμαί-
νων ἦν ὁ δοῦλός σου τῷ πατρὶ αὐτοῦ, ἐν τῷ ποιμνίῳ, καὶ ὅταν ἤρχετο ὁ λέων καὶ ἡ ἄρκτος,
καὶ ἐλαμβάνομεν πρόβατον ἐκ τῆς ἀγέλης, καὶ ἐξεπορευόμην ὀπίσω αὐτοῦ, καὶ ἐπάταξα
αὐτὸν, καὶ ἐξέσπασα ἐκ τοῦ στόματος αὐτοῦ, καὶ εἰ ἐπανίστατο ἐπ' ἐμέ, ἐκράτησα τοῦ φαρ-
υγγος αὐτοῦ, καὶ ἐπάταξα, καὶ ἐθανάτωσα αὐτόν, καὶ τὸν λέοντα καὶ τὴν ἄρκτον ἐτύπτησεν
ὁ δοῦλός σου. καὶ ἔσται ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος, ὡς ἓν τούτων. ἐγὼ πορεύσομαι καὶ πατά-
ξω αὐτὸν καὶ ἀφελῶ ὀνειδισμὸν ἐξ ἰσραήλ; διότι τίς ὁ ἀπερίτμητος οὗτος ὃς ὠνείδισε
παράταξιν θεοῦ ζῶντος; καὶ εἶπε δαβὶδ· κύριος ὁ ἐξελόμενός με ἐκ χειρὸς τοῦ λέοντος, καὶ ἐκ
χειρὸς τῆς ἄρκτου, αὐτὸς ἐξελεῖταί με ἐκ χειρὸς τοῦ ἀλλοφύλου τοῦ ἀπερίτμητου τούτου. καὶ
εἶπε σαοὺλ πρὸς δαβίδ· πορεύου καὶ ἔσται κύριος μετὰ σοῦ· καὶ ἐνέδυσε σαοὺλ τὸν δαβὶδ
τὸν μανδύαν, καὶ τὴν περικεφαλαίαν χαλκῆν περὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔζωσε τὸν δα-
βὶδ θώρακα, καὶ περιέζωσε δαβὶδ τὴν ῥομφαίαν αὐτοῦ, ἐπάνω τοῦ μανδύου αὐτοῦ. καὶ ἐπο-
ίησε περιπατήσας ἅπαξ καὶ δίς, ὅτι ἄπειρον οὐκ ἔγνω. καὶ εἶπε δαβὶδ πρὸς σαούλ· οὐ μὴ δύνω-
μαι πορευθῆναι ἐν τούτοις, ὅτι οὐ πεπείραμαι. καὶ ἀφεῖλεν αὐτὰ ἀπ' αὐτοῦ, καὶ ἔλαβε τὴν βα
κτηρίαν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐξελέξατο ἑαυτῷ πέντε λίθους λείους ἐκ τοῦ χειμάῤῥου,
καὶ ἔβαλεν αὐτοὺς ἐν τῷ κάδῳ τῷ ποιμενικῷ τῷ ὄντι αὐτῷ εἰς συλλογήν, καὶ σφενδόνη αὐ-
τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ προσῆλθε πρὸς τὸν ἀλλόφυλον. καὶ ἐπορεύθη ὁ ἀλλόφυ-
λος πορευόμενος καὶ ἐγγίζων πρὸς δαβίδ, καὶ ὁ ἀνὴρ ὁ ἀσπιστὴς ἦν θυρεὸν ἔμπροσθεν αὐτοῦ. καὶ
ἐπέβλεψε γολιὰθ ὁ ἀλλόφυλος, καὶ εἶδε τὸν δαβὶδ, καὶ ἐξουθένησεν αὐτὸν, ὅτι αὐτὸς ἦν παι-
δάριον, καὶ αὐτὸς πυῤῥακὴς μετὰ κάλλους ὀφθαλμῶν. καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς δαβίδ·
ὥσει κύων ἐγὼ εἰμι, ὅτι σὺ ἔρχῃ ἐπ' ἐμὲ ἐν ῥάβδῳ καὶ λίθοις; καὶ εἶπε δαβὶδ· οὐχί, ἀλλὰ καὶ
χέρνιβα κυνός. καὶ κατηράσατο ὁ ἀλλόφυλος τὸν δαβὶδ ἐν τοῖς θεοῖς αὐτοῦ. καὶ εἶπεν ὁ ἀλλό-
φυλος πρὸς δαβίδ· δεῦρο πρός με, καὶ δώσω τὰς σάρκας σου τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ
τοῖς θηρίοις τῆς γῆς. καὶ εἶπε δαβὶδ πρὸς τὸν ἀλλόφυλον· σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ καὶ ἐν δό-
ρατι καὶ ἐν ἀσπίδι, κἀγὼ πορεύσομαι πρὸς σὲ ἐν ὀνόματι κυρίου θεοῦ παρατά-
ξεως ἰσραὴλ, ὃν ὠνείδισας σήμερον, καὶ ἀποκλείσει σε κύριος σήμερον εἰς τὴν χεράν μου, καὶ ἀπο
κτενῶ σε, καὶ ἀφελῶ τὴν κεφαλήν σου ἀπὸ σοῦ, καὶ δώσω τὰ κῶλά σου καὶ τὰ κῶλα παρεμβολῆς
ἀλλοφύλων ἐν ταύτῃ τῇ ἡμέρᾳ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ γνώσεται
πᾶσα ἡ γῆ, ὅτι ἔστι κύριος ὁ θεὸς ἐν ἰσραήλ. καὶ γνώσεται πᾶσα ἡ ἐκκλησία αὕτη, ὅτι οὐκ ἐν

ῥομφαίᾳ

ίας καὶ δίρατι σώζει λιγεῖ, ὅτι τῷ λιγεῖ ὁ πόλεμος, καὶ παραδώσει λιγεῖ ὑμᾶς εἰς
ἡμῶν. καὶ ἀνέστη ὁ ἀλλόφυλος, καὶ ἐπορεύθη, καὶ ἤγγισεν εἰς συναντησιν τοῦ Δαβίδ. καὶ
ἔσπευσε καὶ ἔδραμεν εἰς τὴν παράταξιν εἰς ἀπάντησιν τοῦ ἀλλοφύλου. καὶ ἐξέτεινε Δα-
βίδ τὴν χεῖρα αὐτοῦ εἰς τὸ κάδιον, καὶ ἔλαβεν ἐκεῖθεν λίθον ἕνα, καὶ ἐσφενδόνησε, καὶ ἐπάτα-
ξε τὸν ἀλλόφυλον ὧδε τὸ μέτωπον αὐτοῦ, καὶ διῆλθεν ὁ λίθος διὰ τῆς περικεφαλαίας εἰς τὸ μέτω-
πον αὐτοῦ, καὶ ἔπεσεν ὧδε πρόσωπον αὐτοῦ ὧδε τὴν γῆν. καὶ ἐκραταίωσε Δαβίδ ὧδε τὸν ἀλλό-
φυλον, καὶ ἐθανάτωσεν αὐτὸν ἐν τῇ σφενδόνῃ, καὶ ἐν τῷ λίθῳ, καὶ ἐπάταξε τὸν ἀλλόφυλον,
καὶ ῥομφαία οὐκ ἦν ἐν χειρὶ Δαβίδ. καὶ ἔδραμε Δαβίδ, καὶ ἐπέστη ἐπ' αὐτόν, καὶ ἔλαβε τὴν ῥομ-
φαίαν αὐτοῦ, καὶ διέσπασεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ ἐθανάτωσεν αὐτὸν, καὶ ἀφεῖλεν
ἐν αὐτῇ τὴν κεφαλὴν αὐτοῦ. καὶ εἶδον οἱ ἀλλόφυλοι, ὅτι τέθνηκεν ὁ δυνατὸς αὐτῶν, καὶ ἔφυγον.
καὶ ἀνέστησαν ἄνδρες Ισραὴλ, καὶ ἰάσθησαν, καὶ ἠλάλαξαν καὶ κατεδίωξαν ὀπίσω αὐτῶν ἕως ἐλ-
θεῖν γαί, καὶ ἕως τῶν πυλῶν Ἀσκάλωνος. καὶ ἔπεσον τραυματίαι τῶν ἀλλοφύλων ἐν τῇ ὁδῷ τῶν
πυλῶν καὶ ἕως γαί, καὶ ἕως Ἀκκαρών. καὶ ἀνέστρεψαν ἄνδρες Ισραὴλ ἐκκλίνοντες ὀπίσω τῶν
ἀλλοφύλων, καὶ κατεπάτησαν τὰς παρεμβολὰς αὐτῶν. καὶ ἔλαβε Δαβίδ τὴν κεφαλὴν τοῦ ἀλ-
λοφύλου, καὶ ἀνήνεγκεν αὐτὴν εἰς Ἱερουσαλήμ, καὶ τὰ σκῦλα αὐτοῦ ἔθηκεν ἐν τῷ σκηνώματι
αὐτοῦ. καὶ ὡς εἶδε σαοὺλ τὸν Δαβίδ ἐκπορευόμενον εἰς συναντησιν τοῦ ἀλλοφύλου, εἶπε πρὸς Ἀβ-
ενναὴρ τὸν ἄρχοντα τῆς δυνάμεως· υἱὸς τίνος ὁ νεανίσκος οὗτος Ἀβενναήρ; καὶ εἶπεν Ἀβενναήρ· ζῇ ἡ
ψυχή σου βασιλεῦ εἰ οἶδα. καὶ εἶπεν ὁ βασιλεύς· ἐπερώτησον σὺ υἱὸς τίνος ὁ νεανίσκος οὗτος;
καὶ ὡς ἐπέστρεψε Δαβίδ τοῦ πατάξαι τὸν ἀλλόφυλον, καὶ ἔλαβεν αὐτὸν Ἀβενναήρ, καὶ εἰσήγα-
γεν αὐτὸν ἐνώπιον σαοὺλ, καὶ ἡ κεφαλὴ τοῦ ἀλλοφύλου ἐν τῇ χειρὶ αὐτοῦ. καὶ εἶπε πρὸς αὐτὸν
σαοὺλ· υἱὸς τίνος εἶ παιδάριον; καὶ εἶπε Δαβίδ· υἱὸς τοῦ δούλου σου Ἰεσσαὶ τοῦ Βηθλεεμίτου.

ΚΕΦΑΛ. ιη'. 18.

Καὶ ἐγένετο, ὡς συνετέλεσε λαλῶν πρὸς σαοὺλ, καὶ ἡ ψυχὴ Ἰωνάθαν συνεδέθη τῇ ψυ-
χῇ Δαβίδ, καὶ ἠγάπησεν αὐτὸν Ἰωνάθαν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἔλαβεν αὐτὸν
σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἔδωκεν αὐτὸν τοῦ ἐπιστρέψαι ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. καὶ
διέθετο Ἰωνάθαν καὶ Δαβίδ διαθήκην, ἐν τῷ ἀγαπᾶν αὐτὸν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ
ἐξεδύσατο Ἰωνάθαν τὸν ἐπενδύτην τὸν ἐπ' αὐτῷ, καὶ ἔδωκεν αὐτὸν τῷ Δαβίδ, καὶ τὸν μανι-
άκην αὐτοῦ, καὶ ἕως τῆς ῥομφαίας αὐτοῦ, καὶ ἕως τοῦ τόξου αὐτοῦ, καὶ ἕως τῆς ζώνης αὐτοῦ. καὶ ἐξῆλθε
Δαβίδ ἐν πᾶσιν οἷς ἀπέστειλεν αὐτὸν σαοὺλ συνῆκεν. καὶ κατέστησεν αὐτὸν σαοὺλ
ἐπὶ τῶν ἀνδρῶν τοῦ πολέμου, καὶ ἤρεσεν ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ, καὶ γε ἐν ὀφθαλμοῖς Δα-
βὶδ σαοὺλ. καὶ ἐγένετο ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς, ἐν τῷ ἀναστρέφειν Δαβὶδ ἀπὸ τοῦ πατά-
ξαι τὸν ἀλλόφυλον, καὶ ἐξῆλθον αἱ χορεύουσαι εἰς συναντησιν Δαβὶδ ἐκ πασῶν τῶν πόλεων Ἰσ-
ραὴλ, ᾄδουσαι καὶ χορεύουσαι εἰς συναντησιν σαοὺλ τοῦ Βασιλέως, ἐν τυμπάνοις ἐν χαρμο-
σύνῃ, ἐν ἐν λυμβάλοις, καὶ ἐξῆρχον αἱ γυναῖκες αἱ παίζουσαι καὶ ἔλεγον· ἐπάταξε σαοὺλ ἐν
χιλιάσιν αὐτοῦ, καὶ Δαβὶδ ἐν μυριάσιν αὐτοῦ. καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα σφόδρα ἐν ὀφθαλ-
μοῖς σαοὺλ, καὶ ἐθετο τοὺς λόγους τούτους, καὶ εἶπεν· τῷ Δαβὶδ ἔδωκαν τὰς μυριάδας, καὶ ἐμοὶ ἔδωκαν
τὰς χιλιάδας, καὶ τί αὐτῷ περισσεύει ἡ βασιλεία; καὶ ἦν σαοὺλ ὑποβλέπων τὸν Δαβὶδ ἀπὸ τῆς
ἡμέρας ἐκείνης, καὶ ἐπέκεινα. καὶ ἐγένετο ἀπὸ τῆς ἐπαύριον, καὶ ἐπέστη πνεῦμα θεοῦ πονηρὸν ὧδε
σαοὺλ, καὶ προεφήτευσεν ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ Δαβὶδ ἐψαλλεν ἐν χειρὶ αὐτοῦ, ὡς καθ'
ἑκάστην ἡμέραν. καὶ τὸ δόρυ ἐν τῇ χειρὶ σαοὺλ, καὶ ἦρε σαοὺλ τὸ δόρυ, καὶ εἶπε· παταξω ἐν
Δαβὶδ καὶ ἐν τῷ τοίχῳ. καὶ ἐξέκλινε Δαβὶδ ἀπὸ προσώπου αὐτοῦ δίς, καὶ ἐφοβήθη σαοὺλ
ἀπὸ προσώπου Δαβὶδ, ὅτι κύριος μετ' αὐτοῦ, καὶ ἀπὸ σαοὺλ ἀπέστη. καὶ ἀπέστησεν αὐτὸν
σαοὺλ ἀπ' αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἑαυτῷ χιλιάρχον, καὶ ἐξεπορεύετο καὶ εἰσεπορεύετο ἔμ-
προσθεν τοῦ λαοῦ. καὶ κύριος Δαβὶδ ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ συνιὼν, καὶ κύριος μετ' αὐτοῦ.
καὶ εἶδε σαοὺλ ὡς αὐτὸς συνιεῖ σφόδρα, καὶ ὠλαβεῖτο ἀπὸ προσώπου αὐτοῦ. καὶ πᾶς Ἰσραὴλ καὶ
Ἰούδας ἠγάπα τὸν Δαβὶδ, ὅτι αὐτὸς ἐξεπορεύετο καὶ εἰσεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ.
καὶ εἶπε σαοὺλ πρὸς Δαβὶδ· ἰδοὺ ἡ θυγάτηρ μου ἡ μείζων μορόβ, αὐτὴν σοι δώσω εἰς γυναῖκα,
πλὴν γίνου μοι εἰς υἱὸν δυνατμεως, καὶ πολέμει τοὺς πολέμους κυρίου. καὶ σαοὺλ ἔπαι· μὴ ἔσω
ἡ χεὶρ μου ἐπ' αὐτῷ, καὶ ἔσαι ἐπ' αὐτὸν χεὶρ ἀλλοφύλων. καὶ εἶπε Δαβὶδ πρὸς σαοὺλ· τίς ἐγώ
εἰμι, καὶ ἡ ζωή σου συγγενείας τοῦ πατρός μου ἐν Ἰσραὴλ, ὅτι ἔσομαι γαμβρὸς τοῦ βασιλέως; καὶ
ἐγένετο ἐν τῷ καιρῷ τοῦ δοθῆναι τὴν μορὸβ θυγατέρα σαοὺλ τῷ Δαβὶδ, καὶ αὐτὴ ἐδόθη τῷ
Ἀδριὴλ τῷ μολαθίτῃ εἰς γυναῖκα. καὶ ἠγάπησε μελχὸλ ἡ θυγάτηρ σαοὺλ τὸν Δαβὶδ. καὶ
ἀπηγγέλη τῷ σαοὺλ, καὶ ἠυθύνθη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς αὐτοῦ, καὶ εἶπε σαοὺλ· δώσω αὐτὴν αὐ-
τῷ, καὶ ἔσαι αὐτῷ εἰς σκώνδαλον. καὶ νῦν ὧδε σαοὺλ χεὶρ ἀλλοφύλων. καὶ εἶπε σαοὺλ πρὸς Δα-
βὶδ· ἐν ταῖς δυνάμεσιν γαμβρεύσεις μοι σήμερον. καὶ ἐνετείλατο σαοὺλ τοῖς παισὶν αὐτοῦ λέ-
γων· λαλήσατε ὑμεῖς λάθρα τῷ Δαβὶδ λέγοντες· ἰδοὺ θέλει ἐν σοὶ ὁ βασιλεὺς, καὶ πάντες

οἱ

ἐπαίδισθν αὐτοῦ ἀγαπῶσί σε, καὶ σὺ συνγαμβρεύσῃ τῷ βασιλεῖ. καὶ ἐλάλησαν οἱ παῖδες
σαοὺλ εἰς τὰ ὦτα δαβὶδ κτλ τὰ ῥήματα ταῦτα. καὶ εἶπε δαβὶδ· εἰ δοκοῦσιν ἐν ὀφθαλμοῖς ὑμῶν
συνγαμβρεῦσαι βασιλεῖ, ἀκούσατέ μου, ἀνὴρ ταπεινός, καὶ οὐχὶ ἔνδοξος; καὶ ἀπήγγειλαν οἱ παῖδες
σαοὺλ αὐτῷ κτλ τὰ ῥήματα ταῦτα ἃ ἐλάλησε δαβίδ. καὶ εἶπε σαοὺλ· τάδε ἐρεῖτε τῷ δα-
βίδ· οὐ βούλεται ὁ βασιλεὺς ἐν δόματι, ἀλλ' ἢ ἐν ἑκατὸν ἀκροβυσίαις ἀλλοφύλων, ἐκδικῆσαι
εἰς ἐχθροὺς τοῦ βασιλέως. καὶ σαοὺλ ἐλογίζετο ἐμβαλεῖν τὸν δαβὶδ εἰς χεῖρας τῶν ἀλλοφύλων. καὶ
ἀπήγγειλαν οἱ παῖδες σαοὺλ τῷ δαβὶδ, κτλ τὰ ῥήματα ταῦτα, καὶ ἠυθύνθη ὁ λόγος ἐν
ὀφθαλμοῖς δαβὶδ συνγαμβρεῦσαι τῷ βασιλεῖ. καὶ οὐκ ἐπληρώθησαν αἱ ἡμέραι. καὶ ἀνέστη δα-
βίδ, καὶ ἐπορεύθη αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ, καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις ἑκατὸν ἄνδρας, καὶ
ἤνεγκε τὰς ἀκροβυσίας αὐτῶν, καὶ ἐπλήρωσαν αὐτὰς τῷ βασιλεῖ, καὶ συνγαμβρεύεται τῷ
βασιλεῖ. καὶ ἔδωκε σαοὺλ τὴν μελχὸλ θυγατέρα αὐτοῦ αὐτῷ εἰς γυναῖκα. καὶ εἶδε σαοὺλ,
καὶ ἔγνω, ὅτι κύριος μετὰ δαβὶδ, καὶ πᾶς ἰσραὴλ ἀγαπᾷ αὐτόν. καὶ προσέθετο δυλαβεῖσθαι
ἀπὸ δαβὶδ ἔτι. καὶ ἐγένετο δαβὶδ ἐχθραίνων τῷ σαοὺλ πάσας τὰς ἡμέρας. καὶ ἐξῆλθον οἱ ἄρ-
χοντες τῶν ἀλλοφύλων, καὶ ἐγένετο ἐφ' ἱκανὸς ἐξόδιας αὐτῶν, καὶ συνῆκε δαβὶδ. ὑπὲρ πάν-
τας οὺς δέλας σαοὺλ, καὶ ἐτιμήθη τὸ ὄνομα αὐτοῦ σφόδρα.

ΚΕΦΑΛ. ιθ'. 19.

ΚΑΙ ἐλάλησε σαοὺλ πρὸς ἰωνάθαν τὸν υἱὸν αὐτοῦ, καὶ πρὸς πάντας τοὺς παῖδας αὐτοῦ, τοῦ
θανατῶσαι τὸν δαβίδ. καὶ ἰωνάθαν ὁ υἱὸς σαοὺλ, ἠρέτισε τὸν δαβὶδ σφόδρα. καὶ ἀπήγ-
γειλεν ἰωνάθαν τῷ δαβὶδ λέγων· σαοὺλ ὁ πατήρ μου ζητεῖ θανατῶσαί σε, φύλαξαι οὖν αὔ-
ριον τῷ πρωΐ, καὶ κρύβηθι, καὶ καθίσου κρυφῇ, καὶ ἐγὼ ἐξελεύσομαι καὶ στήσομαι δυχόμενος τοῦ
πατρός μου ἐν ἀγρῷ, οὗ ἐὰν ἦς ἐκεῖ. καὶ ἐγὼ λαλήσω περὶ σοῦ πρὸς τὸν πατέρα μου, καὶ ὄψομαι
ὅτι ἐὰν ἦ καὶ ἀπαγγελῶ σοι. καὶ ἐλάλησεν ἰωνάθαν περὶ δαβὶδ ἀγαθὰ πρὸς σαοὺλ τὸν πατέρα
αὐτοῦ, καὶ εἶπε πρὸς αὐτόν· μὴ ἁμαρτησάτω ὁ βασιλεὺς εἰς τὸν δοῦλόν σου δαβίδ, ὅτι οὐχ ἥ-
μαρτηκεν εἰς σέ, καὶ τὰ ποιήματα αὐτοῦ ἀγαθὰ σοι σφόδρα, καὶ ἔθετο τὴν ψυχὴν αὐτοῦ ἐν
τῇ χειρὶ αὐτοῦ, καὶ ἐπάταξε τὸν ἀλλόφυλον, καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην, καὶ πᾶς
ἰσραὴλ εἶδον, καὶ ἐχάρησαν. καὶ ἵνατί ἁμαρτάνεις εἰς αἷμα ἀθῷον θανατῶσαι τὸν δαβὶδ δω-
ρεάν; καὶ ἤκουσε σαοὺλ τῆς φωνῆς ἰωνάθαν, καὶ ὤμοσε σαοὺλ λέγων· ζῇ κύριος εἰ ἀποθανεῖται. καὶ
ἐκάλεσεν ἰωνάθαν τὸν δαβὶδ, καὶ ἀπήγγειλεν αὐτῷ πάντα τὰ ῥήματα ταῦτα. καὶ εἰσήγαγεν
ἰωνάθαν τὸν δαβὶδ πρὸς σαοὺλ, καὶ ἦν ἐνώπιον αὐτοῦ, ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. καὶ προ-
σέθετο ὁ πόλεμος γενέσθαι πρὸς σαοὺλ, καὶ διατίθησι δαβὶδ, καὶ ἐπολέμησε τοὺς ἀλλοφύλους,
καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην σφόδρα, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ. καὶ ἐγένετο
πνεῦμα κυρίου πονηρὸν ἐπὶ σαοὺλ, καὶ αὐτὸς ἐν οἴκῳ αὐτοῦ καθεύδων, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ
αὐτοῦ, καὶ δαβὶδ ἐψάλλων ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἐζήτει σαοὺλ πατάξαι τὸ δόρυ εἰς δα-
βίδ. καὶ ἀπέστη δαβὶδ ἐκ προσώπου σαοὺλ, καὶ ἐπάταξε τὸ δόρυ εἰς τὸν τοῖχον, καὶ δαβὶδ ἀνε-
χώρησε καὶ διεσώθη. καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους εἰς οἶκον δαβὶδ,
φυλάξαι αὐτὸν τοῦ θανατῶσαι αὐτὸν πρωΐ. καὶ ἀπήγγειλε τῷ δαβὶδ μελχὸλ ἡ γυνὴ αὐτοῦ
λέγουσα· ἐὰν μὴ σὺ σώσῃς τὴν ψυχήν σου τὴν νυκτὶ ταύτην, αὔριον θανατωθήσῃ. καὶ κατέ-
γει ἡ μελχὸλ τὸν δαβὶδ διὰ τῆς θυρίδος, καὶ ἀπῆλθε καὶ ἔφυγε καὶ σώζεται. καὶ ἔλαβε μελχὸλ
τὰ εἰδωλοτάρια, καὶ ἔθετο ἐπὶ τὴν κλίνην, καὶ ἦπαρ τῶν αἰγῶν ἔθετο πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκά-
λυψεν αὐτὰ ἐν ἱματίῳ. καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους, λαβεῖν τὸν δαβὶδ, καὶ λέγουσιν ἐνοχλεῖται
αὐτόν, καὶ ἀπεκρίθη αὐτοῖς τὸν δαβὶδ λέγων, ἀγάγατε αὐτὸν πρός με ἐπὶ τῆς κλίνης πρός με τοῦ θα-
νατῶσαι αὐτόν. καὶ εἰσῆλθον οἱ ἄγγελοι, καὶ ἰδοὺ τὰ εἰδωλοτάρια ἐπὶ τῆς κλίνης, καὶ τὸ ἦπαρ τῶν αἰ-
γῶν, καὶ τὸ προσκύλωμα τῶν τριχῶν πρὸς κεφαλῆς αὐτοῦ. καὶ εἶπε σαοὺλ τῇ μελχόλ· ἵνα τί οὕ-
τως παρελογίσω με, καὶ ἐξαπέστειλας τὸν ἐχθρόν μου, καὶ διεσώθη; καὶ εἶπε μελχὸλ πρὸς σαοὺλ· αὐ-
τὸς εἶπε μοι ἐξαπόστειλόν με, εἰ δὲ μή, θανατώσω σε. καὶ δαβὶδ ἔφυγε, καὶ διεσώθη. καὶ παρεγέ-
νετο πρὸς σαμουὴλ εἰς ἀρμαθαΐμ, καὶ ἀπαγγέλλει αὐτῷ πάντα ὅσα ἐποίησεν αὐτῷ σαοὺλ. καὶ
ἐπορεύθη σαμουὴλ καὶ δαβὶδ, καὶ ἐκάθισαν ἐν ναυὰθ ἐν ῥαμᾶ, καὶ ἀπηγγέλη τῷ σαοὺλ λέ-
γοντες· ἰδοὺ δαβὶδ ἐν ναυὰθ ἐν ῥαμᾶ, καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους λαβεῖν τὸν δαβίδ. καὶ ἐλ-
θόντες εἶδον τὴν ἐκκλησίαν τῶν προφητῶν, καὶ σαμουὴλ εἱστήκει καὶ καθεστηκὼς ἐπ' αὐτῶν, καὶ
ἐγένετο ἐπὶ τοὺς ἀγγέλους τοῦ σαοὺλ πνεῦμα θεοῦ, καὶ προφητεύσαι καὶ αὐτοί. καὶ ἀπήγγειλαν
τῷ σαοὺλ. καὶ ἀπέστειλεν ἀγγέλους ἑτέρους, καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ προσέθετο σαοὺλ
ἀποστεῖλαι ἀγγέλους τρίτους, καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ ἐθυμώθη ὀργῇ σαοὺλ, καὶ ἐπορεύθη
καὶ αὐτὸς εἰς ἀρμαθαΐμ, καὶ ἦλθεν ἕως τοῦ φρέατος τοῦ ἄλω τοῦ τῶν σειφί, καὶ ἠρώτησε
καὶ εἶπε· ποῦ σαμουὴλ καὶ δαβίδ; καὶ εἶπαν· ἰδοὺ ἐν ναυὰθ ἐν ῥαμᾶ. καὶ ἐπορεύθη ἐκεῖθεν εἰς
ναυὰθ ἐν ῥαμᾶ. καὶ ἐγένετο ἐπ' αὐτῷ πνεῦμα θεοῦ, καὶ ἐπορεύετο προφητεύων προφη-
τεύων ἕως τοῦ ἐλθεῖν αὐτὸν ἐν ναυὰθ ἐν ῥαμᾶ, καὶ ἐξεδύσατο τὰ ἱμάτια αὐτοῦ, καὶ προεφή-

τοῦσον γνώπιον αὐτῶν. καὶ ἔπεσε γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην, καὶ ὅλην τὴν νύκτα. διὰ τοῦτο ἔλεγον· εἰ καὶ σαοὺλ γε προφήτης;

ΚΕΦΑΛ. κ'. 20.

ΚΑὶ ἀπῆλθε δαβὶδ γε ναωθ γε ῥαμᾶ, καὶ ἦλθε γώπιον ἰωνάθαν, καὶ εἶπε· τί πεποίηκα, καὶ τί ἡ ἀδικημά μου, καὶ τί ἡμαρτηκα γώπιον τοῦ πατρός σου, ὅτι ζητεῖ τὴν ψυχήν μου; καὶ εἶπεν αὐτῷ ἰωνάθαν· μηδαμῶς, σὺ οὐ μὴ ἀποθάνῃς, ἰδοὺ οὐ μὴ ποιήσῃ ὁ πατήρ μου ῥῆμα μέγα, ἢ μικρόν, καὶ οὐκ ἀποκαλύψει τὸ ὠτίον μου. διατί γὰρ κρύψει ὁ πατήρ μου ἀπ' ἐμοῦ τὸ ῥῆμα τοῦτο; καὶ οὐκ ἔστιν οὕτως. καὶ εἶπε δαβὶδ τῷ ἰωνάθαν, καὶ εἶπε· γινώσκων οἶδεν ὁ πατήρ σου, ὅτι εὕρηκα χάριν γώπιον τῶν ὀφθαλμῶν σου, καὶ εἶπε· μὴ γνῷ τοῦτο ἰωνάθαν, μὴ οὐ μὴ βούλεται, ἀλλὰ ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου, ὅτι διαθὼς εἶπον, ἐμπέπληται ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον τοῦ πατρός σου, ἕως θανάτου. καὶ εἶπεν ἰωνάθαν πρὸς δαβίδ· τί ὧδε θυμεῖ ἡ ψυχή σου, καὶ τί ποιήσω σοι; καὶ εἶπε δαβὶδ πρὸς ἰωνάθαν· ἰδοὺ δὴ νεομηνία αὔριον, καὶ ἐγὼ καθίσομαι μετὰ τοῦ βασιλέως φαγεῖν, καὶ ἐξαποστελεῖς με, καὶ κρυβήσομαι γε τοῦ πεδίου, ἕως δείλης. καὶ ἐὰν ἐπισκεπῆται ὧδε ἐπισκέψεταί με ὁ πατήρ σου, καὶ ῥεῖς πρὸς ἐμὲ δαβὶδ, βραμεῖν ἕως βηθλεὲμ τὴν πόλιν αὐτοῦ, ὅτι θυσία τοῖς ἡμέραις ἐκεῖ ὅλη τῇ φυλῇ. ἐὰν δὲ εἴπῃ ἀγαθῶς, εἰρήνη τοῖς δούλῳ σου, καὶ ἐὰν σκληρῶς ἀποκριθῇ σοι, γνῶθι ὅτι συντετέλεσται ἡ κακία παρ' αὐτοῦ. καὶ ποιήσεις ἔλεος μετὰ τοῦ δούλου σου. ὅτι εἰσήγαγον τὸν διαθήκην κυρίου τὸν δούλόν σου μετὰ σαυτοῦ. καὶ εἰ ἔστιν ἀδικία γε τοῖς δούλῳ σοῦ, θανάτωσόν με σύ. καὶ ἕως τοῦ πατρός σου, ἵνατί οὔτως ἀπάγεις με; καὶ εἶπεν ἰωνάθαν· μηδαμῶς σὺ, ὅτι ἐὰν γινώσκων γνῶ, ὅτι συντετέλεσται ἡ κακία παρὰ τοῦ πατρός μου, τοῦ ἐλθεῖν ἐπὶ σε. καὶ ἐὰν μὴ εἰς τὰς πόλις σου, ἐγὼ ἀναγγελῶ σοι; καὶ εἶπε δαβὶδ πρὸς ἰωνάθαν· τίς ἀπαγγελεῖ μοι, ἐὰν ἀποκριθῇ ὁ πατήρ σου σκληρῶς; καὶ εἶπεν ἰωνάθαν πρὸς δαβίδ· πορεύου καὶ μεῖνε εἰς ἀγρόν. καὶ ἐξαπορεύονται ἀμφότεροι εἰς ἀγρόν. καὶ εἶπεν ἰωνάθαν πρὸς δαβίδ· κύριος ὁ θεὸς ἰσραὴλ οἶδεν, ὅτι ἀνακρίνω τὸν πατέρα μου, ὡς αὔριον τρισσῶς, καὶ ἰδοὺ ἀγαθὸν ἐπὶ δαβίδ, καὶ οὐ μὴ ἀποστείλω πρὸς σὲ εἰς ἀγρόν; τάδε ποιήσαι ὁ θεὸς τοῖς ἰωνάθαν, καὶ τάδε προσθείη, ὅτι κακὸν ἐπὶ ἰωνάθαν ὁμόσαι τοῖς δαβὶδ, ὅτι ἠγάπησε ψυχὴν ἀγαπῶντος αὐτόν. καὶ εἶπεν αὐτῷ ἰωνάθαν· αὔριον νεομηνία καὶ ἐπισκεπήσῃ, ὅτι ἐπισκεπήσεται ἡ καθέδρα σου. καὶ τριοδεύσεις, καὶ ἐπισκεπήσῃ, καὶ ἥξεις εἰς τὸν τόπον σου οὗ ἐκρύβης τὴν ἡμέραν τὴν ὀργασίμην, καὶ καθίσεις πρὸς τὸν ὀργὰβ ἐκεῖνο. καὶ ἐγὼ τριοδεύσω τοῖς χίλιαις ἀκοντίζων ἐκπεμπτῶν εἰς τὸν ἀμαγγαδ. καὶ ἰδοὺ ἀποστέλλω τὸ παιδάριον λέγων· δεῦρο εὑρέ μοι τὸν χίλιαν. ἐὰν εἴπω τοῖς παιδαρίῳ· ὧδε ἡ χίλια ἀπὸ σοῦ, καὶ ὧδε λαβὲ αὐτὸν, πορεύου, ὅτι εἰρήνη σοι, καὶ οὐκ ἔστι σοι δόλος, ζῇ κύριος. ἐὰν δὲ οὕτως εἴπω τοῖς νεανίσκῳ· ἐκεῖ ἡ χίλια ἀπὸ σοῦ καὶ ἐπέκεινα, πορεύου, ὅτι ἐξαπέσταλκέ σε κύριος. καὶ τὸ ῥῆμα ὃ ἐλαλήσαμεν ἐγὼ καὶ σὺ, ἰδοὺ κύριος μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, ἕως τοῦ αἰῶνος. καὶ κρύπτεται δαβὶδ ἐν ἀγρῷ, καὶ παγίνεται ὁ μὴν, καὶ ἔρχεται ὁ βασιλεὺς ἐπὶ τὴν τράπεζαν τοῦ φαγεῖν, καὶ ἐκάθισεν ὁ βασιλεὺς ἐπὶ τὴν καθέδραν αὐτοῦ, ὡς ἅπαξ. καὶ ἅπαξ ἐπὶ τὴν καθέδρας πρὸς τὸν τοῖχον, καὶ προσέφθασε τοῖς ἰωνάθαν. καὶ ἐκάθισεν ἀβεννὴρ ἐκ πλαγίου σαοὺλ. καὶ ἐπεσκέπη ὁ τόπος δαβίδ, καὶ οὐκ ἐλάλησε σαοὺλ οὐδὲν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι εἶπεν· συμπτωμά φαίνεται μὴ καθαρὸς ἔστιν, ὅτι οὐ διεκαθαρίσθη. καὶ ἐγένετο τῇ ἐπαύριον τοῦ μηνὸς τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, καὶ ἐπεσκέπη ὁ τόπος τοῦ δαβίδ. καὶ εἶπε σαοὺλ πρὸς ἰωνάθαν τὸν υἱὸν αὐτοῦ· τί ὅτι οὐ παρεγένετο ὁ υἱὸς ἰεσσαὶ ἐχθὲς, καὶ σήμερον ἐπὶ τὴν τράπεζαν; καὶ ἀπεκρίθη ἰωνάθαν τοῖς σαοὺλ, καὶ εἶπεν αὐτῷ. παρήτηται παρ' ἐμοῦ δαβίδ, ἕως εἰς βηθλεὲμ τὴν πόλιν αὐτοῦ προδραμεῖν. καὶ εἶπεν· δεόμενος δεήθη μου, ὅτι θυσία τοῖς φυλῇ ἡμῶν ἐν τῇ πόλει, καὶ γε ἐντέταλταί μοι πρὸς με οἱ ἀδελφοί μου. καὶ νῦν εἰ εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, διαβήσομαι δὴ καὶ ὄψομαι τοὺς ἀδελφούς μου. διὰ τοῦτο οὐ παρεγένετο ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως. καὶ ἐθυμώθη ὀργῇ σαοὺλ ἐπὶ ἰωνάθαν σφόδρα, καὶ εἶπεν αὐτῷ· υἱὲ λοιδορασίων αὐτομολόντων, οὐ γὰρ οἶδα, ὅτι μετοχὴ σὺ τοῖς υἱῷ ἰεσσαὶ εἰς αἰσχύνην σου, καὶ εἰς αἰσχύνην ἀποκαλύψεως μητρός σε; ὅτι πάσας τὰς ἡμέρας ἃς ὁ υἱὸς ἰεσσαὶ ζῇ ἐπὶ τῆς γῆς, οὐ μὴ ἑτοιμασθήσεται ἡ βασιλεία σου. νῦν ἔν ἀποστείλας λάβε τὸν νεανίαν, ὅτι υἱὸς θανάτου ὄντως οὗτος. καὶ ἀπεκρίθη ἰωνάθαν τοῖς σαοὺλ πατρὶ αὐτοῦ, καὶ εἶπεν· ἵνατί ἀποθνήσκει, τί πεποίηκεν; καὶ ἐπῆρε σαοὺλ τὸ λόγχην ἐπὶ ἰωνάθαν, τοῦ θανατῶσαι αὐτόν. καὶ ἔγνω ἰωνάθαν, ὅτι συντετέλεσται ἡ κακία αὕτη παρὰ τοῦ πατρὸς αὐτοῦ, θανατῶσαι τὸν δαβίδ. καὶ ἀνεπήδησεν ἰωνάθαν ἀπὸ τῆς τραπέζης,

,γὼ ὀργὴ θυμοῦ, κὴ σκέφαγμ γὼ τῇ σλοὺτόρᾳ τ μωυς αὖτμ, ὅτι ἐθραύδη ὡὶ ἐμ σλαβίσ, ὅτι
μετέλεσγ ἐπ' αὐτὸμ ὁ πατὴρ αὐτ. κὴ ἐγμήθη πρωΐ, κὴ ἀξῆλθγ ἰωνάθαν εἰς ἀγρόμ, καθὼς
κέξατο εἰς τ μαρτύριον ϖϑ σλαβίσ, κὴ παιδάριον μικρὸμ μετ' αὐτ. κὴ εἶπε ϖϑ παιδα-
ῳ· δράμε εὕρέ μοι τὰς χίζας γὼ αἷς ἐγὼ ἀκοντίζω. κὴ τ παιδάριον ἔδραμε, κὴ αὐτὸς ἐκόντι-
γὼ τῇ χίζῃ, κὴ παρήγαγγ αὐτ. κὴ ἦλθε τ παιδαρίου ἕως τ τόπ γὼ χίζης, ὃ ἐκόντιζγ ἰω-
θαμ, κὴ ἀνεβόησγ ἰωνάθαν ὀπίσω τ παιδαρίσ αὐτ λέγωμ· ταχύας σπεῦσον, κὴ μὴ στῇς. ϖ ἀνέλε-
το παιδάριον ἰωνάθαν τὰς χίζας, κὴ ἦλθεγ κὼ αὐτὰς πρὸς τὸμ κύριον αὐτ. κὴ τ παιδά-
ριον οὐκ ἔγνω οὐθέν, πάρεξ ἰωνάθαν κὴ σλαβίσ ἔγνωσαν τ ῥῆμα. κὴ ἰωνάθαν ἔδωκε τὰ σκεύη αὐ
τ τῷ παιδαρίῳ αὐτ, κὴ εἶπε ϖϑ παιδαρίῳ αὐτ· πορεύε, εἴσελθε εἰς τὴν πόλιν. καὶ
ὡς ἐπῆλθε τ παιδάριον, κὴ σλαβὶσ ἀνέστη ἀπὸ τ ὀργάδ, κὴ ἔπεσγ ἐπὶ πρόσωπον αὐτ, καὶ
προσεκύνησγ αὐτῷ τρὶς, κὴ κατεφίλησγ ἕκασος τὸμ πλησίον αὐτ, κὴ ἐκλαυσγ ἕκασος γὼ
τ πλησίον αὐτ, ἕως σωτελίας μεγάλης. κὴ εἶπγ ἰωνάθαν ϖϑ σλαβίσ· πορεύε εἰς εἰρήνην,
ἃ ὡς ὠμόσαμεν ἡμεῖς ἀμφότεροι γὼ ὀνόματι κυρίε λέγοντες· κύριος ἔσαι μάρτυς ἀνὰ μέ-
σον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τ σπέρματός μ, καὶ ἀνὰ μέσον τ σπέρματός σου, ἕως αἰῶ-
νος. καὶ ἀνέστη σλαβὶσ καὶ ἀπῆλθε, καὶ ἰωνάθαν εἰσῆλθγ εἰς τὴν πόλιν.

ΚΕΦΑΛ. κά'. 21.

ΚΑὶ ἔρχεται σλαβὶσ εἰς νομβᾶ πρὸς ἀβιμέλεχ τὸμ ἱερέα, καὶ ἔξεστ ἀβιμέλεχ τῇ ἀπαντή-
σει αὐτ, καὶ εἶπγ αὐτῷ· τί ὅτι σὺ μόνος, καὶ οὐθεὶς μετὰ σοῦ; καὶ εἶπε σλαβὶσ ϖϑ ἱερεῖ·
Βασιλεύς γὰρ ἐτάξατό μοι ῥῆμα σήμερον, καὶ εἶπέ μοι· μηδεὶς γνῷ τὸ ῥῆμα πρὸς οὗ ἐγὼ ἀπο-
στέλλω σε, καὶ ὃν ἐνετειλάμην σοι. καὶ τοῖς παιδαρίοις διαμεμαρτύρημαι, γὼ ϖϑ πρὸ-
ς ϖϑ λεγομένῳ ἐμμωνεῖμ. κὴ νῦν εἰ εἰσὶ ὑπὸ τὴν χεῖρά σου πέντε ἄρτοι, δὸς εἰς χεῖράς μ
εὑρεθγ. καὶ ἀπεκρίθη ὁ ἱερεὺς ϖϑ σλαβὶσ, καὶ εἶπγ· οὐκ εἰσὶν ὑπὸ τὴν χεῖράς μ βέβηλοι
ροι, ὅτι ἀλλ' ἢ ἅγιοι ἄρτοί εἰσιν, εἰ πεφυλαγμένοι τὰ παιδάρια εἰσὶ πλὴν ἀπὸ γυναικός, κὴ
ἔγονται. καὶ ἀπεκρίθη σλαβὶσ ϖϑ ἱερεῖ καὶ εἶπγ αὐτῷ· ἀλλὰ καὶ ἀπὸ γυναικός ἀπεχήμε-
θχθες καὶ τρίτην ἡμέραν, γὼ ϖϑ ἐξελθεῖν με εἰς ὁδὸν γέγονε πάντα τὰ παιδάρια ἡγνισμέ-
, καὶ αὐτὴ ἡ ὁδὸς βέβηλος, σὶ ὅτι ἁγιασθήσεται σήμερον σὺν τὰ σκεύη μ. καὶ ἔδωκγ αὐτῷ
βεμέλεχ ὁ ἱερεὺς οὖν ἄρτους γὼ πρόθεσιν, ὅτι ἐκεῖ οὐκ ἦν ἄρτ, ἀλλ' ἢ ἄρτοι τοῦ προσώ-
που οἱ ἀφῃρημένοι ἐκ προσώπου κυρίε, τοῦ παραθεῖναι ἄρτον θερμὸν ἐν ἡμέρᾳ ἐλάβγ αὐτούς.
ὲ ἐκεῖ ἦν γὼ τῶν παιδαρίων τοῦ σαοὺλ γὼ τῇ ἡμέρᾳ ἐκείνῃ συνεχόμενο νεοσσαρὰ γὼ πόμ
νρίου, καὶ ὄνομα αὐτῷ δωὴκ ὁ σύρ, νέμων τὰς ἡμιόνους σαοὺλ. καὶ εἶπε σλαβὶσ πρὸς ἀβιμέ
χ· εἰ ἔσιν γὼ τούτοις ὑπὸ τὴν χεῖρά σου δόρυ, ἢ ῥομφαία, ἴδε ὅτι τὴν ῥομφαίαν μου καὶ τὰ
σκεύη μου οὐκ εἴληφα γὼ τῇ χειρί μου, ὅτι ἦν τὸ ῥῆμα τοῦ βασιλέως χρῆσαι αὐτό. καὶ εἶπγ ὁ
ερεὺς· ἰδοὺ ἡ ῥομφαία γολιὰθ τοῦ ἀλλοφύλου, ὃν ἐπάταξας γὼ τῇ κοιλιάδι ηλᾶ, κὴ αὕτη γὼ
μμένη γὼ ἱματίῳ. εἰ ταύτην λήψῃ, σεαυτῷ παράλαβε, ὅτι οὐκ ἔσιν ἑτέρα πλὴν ἐκείνης γὼ
ῶθα. καὶ εἶπε σλαβὶσ· ἰδοὺ οὐκ ἔσιν ὡσαὼρ αὐτή, δὸς μοι αὐτήν. καὶ ἔδωκγ αὐτὴν αὐ-
ῷ. καὶ ἀνέστη σλαβὶσ, καὶ ἔφυγγ γὼ τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ προσώπου σαοὺλ. καὶ ἦλθε σλαβὶσ
ὸς ἀγχοῦς βασιλέως γεθ, κὴ εἶπον οἱ παῖδες ἀγχοῦς πρὸς αὐτόμ. οὐχὶ οὗτος σλαβὶσ ὁ βα-
ιλεὺς τῆς γῆς; οὐχὶ τούτῳ ᾄδήρχοντο αἱ χορεύουσαι, λέγουσαι, ἐπάταξε σαοὺλ γὼ χιλιάσιν
ὐτοῦ, καὶ σλαβὶσ γὼ μυριάσιν αὐτοῦ; καὶ ἔθετο σλαβὶσ τὰ ῥήματα γὼ τῇ καρδίᾳ αὐτοῦ, καὶ
φοβήθη σφόδρα ἀπὸ προσώπου ἀγχοῦς βασιλέως γεθ. καὶ ἠλλοίωσε τ πρόσωπον αὐτοῦ γὼ
τον αὐτοῦ, καὶ πρὸς ποιήσατο γὼ τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐτυμπάνιζγ ἐπὶ ταῖς θύραις τῆς πό-
εως, καὶ παρεφέρετο γὼ ταῖς χερσὶν αὐτοῦ, καὶ ἔπιπτγ ὡὶ ταῖς θύραις γὼ πόλεως, κὴ τὰ σίε-
α αὐτοῦ κατέρρει ὑπὸ τὸμ πώγωνα αὐτοῦ. καὶ εἶπγ ἀγχοῦς πρὸς οὺς παῖδας αὐτ· ἰδοὺ ἴδετε
ὸν ἄνδρα ἐπίλημπτον, ἵνατί εἰσάγετε αὐτὸν πρός με, μὴ ἐλαττῶμαι ὡὶλήμπτων ἐγώ; ὅτι εἰσή-
γάγετε αὐτὸν ὡὶλημπτεύεσθαι πρός με; εἰ οὖτος οὐκ εἰσελεύσεται εἰς οἰκίας;

ΚΕΦΑΛ. κβ'. 22.

ΚΑὶ ἀπῆλθγ ἐκεῖθεν σλαβὶσ, καὶ διεσώθη, καὶ ἔρχεται εἰς τὸ σπήλαιον τὸ ὀδολλὰμ, καὶ
ἀκούσαντες οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ὁ οἶκος τ πατρὸς αὐτοῦ, καὶ κατεβαίνησαν πρὸς αὐ-
τὸν ἐκεῖ, καὶ συνήγαγον πρὸς αὐτὸν πᾶς γὼ ἀνὴρ ἀνάγκη καὶ πᾶς ὑπόχρεως, καὶ πᾶς κατώδυνος
τῇ ψυχῇ, καὶ ὢν ἐπ' αὐτοῖς ἡγούμενος. καὶ ἦσαν μετ' αὐτοῦ ὡσεὶ τετρακόσιοι ἄνδρες, καὶ ἀπῆλ-
θγ σλαβὶσ ἐκεῖθεν εἰς μασηφὰ μωάβ. καὶ εἶπε πρὸς βασιλέα μωάβ· γινέσθωσαν δή ὁ πα-
τήρ μ καὶ ἡ μήτηρ μ πρὸς σέ, ἕως οὗ γνῶ τί ποιήσει μοι ὁ θεός. καὶ παρεκάλεσε τὸ πρό-
σωπον τοῦ βασιλέως μωάβ, καὶ κατῴκησεν μετ' αὐτοῦ πάσας τὰς ἡμέρας, ὃν τρόπον σλαβὶσ
γὼ τῇ πολιορκίᾳ. καὶ εἶπε γὰδ ὁ προφήτης πρὸς σλαβίσ· μὴ κάθου γὼ τῇ πολιορκίᾳ, πορεύου καὶ
βᾶσις εἰς γῆν ἰούδα. καὶ ἐπορεύθη σλαβίσ, καὶ ἦλθε καὶ ἐκάθισεν γὼ πόλει καρὲκ. καὶ ἤκουσε

σαουλ, ὅτι ἔγνωσαν δαβὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ. καὶ σαουλ ἐκάθητο ἐν τῷ βενῶ τοῦ τὴν ἀρχὴν τὴν ἐν ῥαμᾶ, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ πάντες οἱ παῖδες αὐτοῦ παρειστήκεισαν αὐτῷ. καὶ εἶπε σαουλ πρὸς τοὺς παῖδας αὐτοῦ τοὺς παρεστηκότας αὐτῷ· ἀκούσατε δὴ υἱοὶ βγιαμίν. εἰ ἀληθῶς πᾶσιν ὑμῖν δώσει ὁ υἱὸς ἰεσσαὶ ἀγροὺς καὶ ἀμπελῶνας, καὶ πάντας ὑμᾶς τάξει ἑκατοντάρχας καὶ χιλιάρχας; ὅτι συγκεῖσθε πάντες ὑμεῖς ἐπ' ἐμέ, καὶ οὐκ ἔστιν ὁ ἀποκαλύπτων τὸ ὠτίον μου, ἐν τῷ διαθέσθαι διαθήκην τὸν υἱόν μου μετὰ τοῦ υἱοῦ ἰεσσαὶ, καὶ οὐκ ἔστι πονῶν πρὸς ἐμοῦ ἐξ ὑμῶν, καὶ ἀποκαλύπτων τὸ ὠτίον μου, ὅτι ἐπήγειρεν ὁ υἱός μου τὸν δοῦλόν μου ἐπ' ἐμὲ εἰς ἐχθρόν, ὡς ἡ ἡμέρα αὕτη. καὶ ἀπεκρίνατο δωὴκ ὁ σύρος ὁ παθεστηκὼς ἐπὶ τῶν ἡμιόνων σαουλ, καὶ εἶπεν· ἑώρακα τὸν υἱὸν ἰεσσαὶ παραγινόμενον εἰς νομβὰ πρὸς ἀχιμέλεχ υἱὸν ἀχιτώβ τὸν ἱερέα, καὶ ἠρώτησε αὐτῷ ἐξ τοῦ θεοῦ, καὶ ἐδιπλισμὸν ἔδωκεν αὐτῷ, καὶ τὴν ῥομφαίαν γολιὰθ τοῦ ἀλλοφύλου ἔδωκεν αὐτῷ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι τὸν ἀχιμέλεχ υἱὸν ἀχιτώβ, καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ, τοὺς ἱερεῖς τοὺς ἐν νομβά. καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα. καὶ εἶπε σαουλ· ἄκουσόν μου υἱὲ ἀχιτώβ. καὶ εἶπεν, ἰδοὺ ἐγώ, λάλει κύριε. καὶ εἶπεν αὐτῷ σαουλ· ἵνατί συνέβη κατ' ἐμοῦ σύ. καὶ ὁ υἱός ἰεσσαὶ τοῦ δοῦναι σεαυτῷ ἄρτον καὶ ῥομφαίαν, καὶ ἐρωτᾶν αὐτῷ ἐξ τοῦ θεοῦ θεῖναι αὐτὸν ἐπ' ἐμὲ εἰς ἐχθρόν, ὡς ἡ ἡμέρα αὕτη; καὶ ἀπεκρίθη ἀχιμέλεχ τῷ βασιλεῖ, καὶ εἶπε· καὶ τίς ἐν πᾶσι τοῖς δούλοις σου, ὡς δαβὶδ πιστός, καὶ γαμβρὸς τοῦ βασιλέως, καὶ ἄρχων παντὸς τοῦ πτεραγγέλματός σου, καὶ ἔνδοξος ἐν τῷ οἴκῳ σου; εἰ σήμερον ἤρξατο ἐρωτᾶν αὐτῷ ἐξ τοῦ θεοῦ; μηδαμῶς, μὴ δώτω ὁ βασιλεὺς ἐν τῷ δούλου αὐτοῦ λόγον, καὶ ἐφ' ὅλον τὸν οἶκον τοῦ πατρός μου, ὅτι οὐκ ἤδει ὁ δοῦλός σου ἐν πᾶσι τούτοις ῥῆμα μικρὸν, ἢ μέγα. καὶ εἶπεν ὁ βασιλεὺς σαουλ· θανάτῳ ἀποθανῇ ἀχιμέλεχ σὺ καὶ πᾶς ὁ οἶκος τοῦ πατρός σου. καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παρατρέχουσι τοῖς ἐφεστηκόσιν ἐπ' αὐτόν· πορεύεσθε καὶ θανατώσατε τοὺς ἱερεῖς τοῦ κυρίου, ὅτι ἡ χεὶρ αὐτῶν μετὰ δαβὶδ, καὶ ὅτι ἔγνωσαν ὅτι φεύγει αὐτὸς, καὶ οὐκ ἀπεκάλυψαν τὸ ὠτίον μου. καὶ οὐκ ἠβούλήθησαν οἱ παῖδες τοῦ βασιλέως ἐπενεγκεῖν τὰς χεῖρας αὐτῶν, ἀποστῆσαι εἰς τοὺς ἱερεῖς τοῦ κυρίου. ☩ εἶπεν ὁ βασιλεὺς τῷ δωὴκ. σὺ στρέφε σὺ καὶ ἀπάντησον εἰς τοὺς ἱερεῖς. καὶ ἐπεστράφη δωὴκ ὁ σύρος, καὶ ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πεντακοσίους καὶ τριάκοντα ἄνδρας, πάντας φέροντας ἐφούδ. καὶ τὴν νομβὰν τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στόματι ῥομφαίας ἀπ' ἀνδρὸς ἕως γυναικός, ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ μόσχου καὶ ὄνου καὶ προβάτου. καὶ διασώζεται υἱὸς εἷς τῷ ἀχιμέλεχ υἱῷ ἀχιτώβ, καὶ ὄνομα αὐτῷ ἀβιάθαρ, καὶ ἔφυγεν ὀπίσω δαβὶδ. καὶ ἀπήγγειλεν ἀβιάθαρ τῷ δαβὶδ, ὅτι ἐθανάτωσε σαουλ πάντας τοὺς ἱερεῖς τοῦ κυρίου. καὶ εἶπε δαβὶδ τῷ ἀβιάθαρ· ἤδειν ἐγὼ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐκεῖ ὢν δωὴκ ὁ σύρος, ὅτι ἀπαγγέλων ἀπαγγελεῖ τῷ σαοὺλ, ἐγὼ εἰμὶ αἴτιος τῇ ψυχῇ οἴκου τοῦ πατρός σου, κάθου μετ' ἐμοῦ, μὴ φοβοῦ, ὅτι οὗ ἐὰν ζητῶ τὴν ψυχήν μου τόπον, ζητήσω καὶ τὴν ψυχήν σου, ὅτι πεφύλαξαι σὺ παρ' ἐμοί.

ΚΕΦΑΛ. κγ. 23.

ΚΑὶ ἀπηγγέλη τῷ δαβὶδ λέγοντες· ἰδοὺ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν τῇ κεειλᾶ, καὶ αὐτοὶ διαρπάζουσι, καὶ καταπατοῦσι τὸν ἅλω. καὶ ἐπηρώτησε δαβὶδ ἐξ τοῦ κυρίου λέγων· εἰ πορεύθω καὶ πατάξω τοὺς ἀλλοφύλους τούτους; καὶ εἶπε κύριος· πορεύθητι, καὶ πατάξεις ἐν τοῖς ἀλλοφύλοις τούτοις, καὶ σώσεις τὴν κεειλᾶ. καὶ εἶπον οἱ ἄνδρες τοῦ δαβὶδ πρὸς αὐτόν· ἰδοὺ ἡμεῖς ὧδε ἐσμὲν ἐν τῇ ἰούδα φοβούμεθα, καὶ πῶς ἐσόμεθα ἐὰν πορευθῶμεν εἰς κεειλᾶ, εἰς τὰς παρεμβολὰς τῶν ἀλλοφύλων εἰσπορευσόμεθα; καὶ προσέθετο δαβὶδ ἔτι ἐπερωτῆσαι ἐξ τοῦ κυρίου. καὶ ἀπεκρίθη αὐτῷ κύριος, καὶ εἶπεν αὐτῷ· ἀνάστηθι καὶ κατάβηθι εἰς κεειλᾶ, ὅτι ἐγὼ παραδίδωμι τοὺς ἀλλοφύλους εἰς χεῖράς σου. καὶ ἐπορεύθη δαβὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ, εἰς κεειλᾶ, καὶ ἐπολέμησε τοῖς ἀλλοφύλοις, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτῶν, ☩ ἀπήγαγε τὰ κτήνη αὐτῶν. ☩ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν μεγάλην, καὶ ἔσωσε δαβὶδ τοὺς κατοικοῦντας κεειλᾶ. καὶ ἐγένετο ἐν τῷ φεύγειν ἀβιάθαρ υἱὸν ἀχιμέλεχ πρὸς δαβὶδ, καὶ αὐτὸς μετὰ δαβὶδ εἰς κεειλᾶ, κατέβη ἔχων ἐφούδ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἀπηγγέλη τῷ σαοὺλ ὅτι ἦκε δαβὶδ εἰς κεειλᾶ, καὶ εἶπε σαοὺλ· ὅτι πεπράκαν αὐτὸν ὁ κύριος εἰς τὰς χεῖράς μου, ὅτι ἀπεκλείσθη εἰσελθὼν εἰς πόλιν θυρῶν καὶ μοχλῶν. ☩ παρήγγειλε σαοὺλ παντὶ τῷ λαῷ καταβαίνειν εἰς πόλεμον εἰς κεειλᾶ, συνέχειν τὸν δαβὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ. καὶ ἔγνω δαβὶδ, ὅτι οὐ ποιήσασιν σαοὺλ πονηρὰ αὐτῷ τὴν καρδίαν. καὶ εἶπε δαβὶδ πρὸς ἀβιάθαρ τὸν ἱερέα· προσάγαγε τὸ ἐφούδ κυρίου. ☩ εἶπε δαβὶδ· κύριε ὁ θεὸς ἰσραὴλ, ἀκούων ἀκήκοεν ὁ δοῦλός σου, ὅτι ζητεῖ σαοὺλ ἐλθεῖν εἰς κεειλᾶ διαφθεῖραι τὴν πόλιν διὰ ἐμέ, εἰ ἀποκλεισθήσεται, καὶ νῦν εἰ καταβήσεται σαοὺλ, καθὼς ἤκουσεν ὁ δοῦλός σου, κύριε ὁ θεὸς ἰσραὴλ, ἀπάγγειλον τῷ δούλῳ σου. καὶ εἶπε κύριος· ἀποκλεισθήσεται. καὶ ἀνέστη δαβὶδ, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ, ὡς τετρακόσιοι, καὶ ἐξῆλθον ἐκ κεειλᾶ, καὶ ἐπορεύοντο οὗ ἐὰν ἐπορεύοντο. καὶ τῷ σαοὺλ ἀπηγγέλη ὅτι διασέσωται δαβὶδ ἐκ κεειλᾶ, καὶ ἀνῆκεν ἔτι τοῦ ἐξελθεῖν, καὶ ἐκάθισε δαβὶδ ἐν μασερὲμ ἐν τῇ ἐρήμῳ ἐν τοῖς σχοίνοις,

καὶ

καὶ ἐκάθητο ἐν τῇ σπηλαίῳ ἐν τῷ ὄρει τῷ ἀδολλάμ, εἰς τὸ ὄρος τὸ αὐχμῶδες ἐν γῇ αὐχμώδει. καὶ ἐζήτει αὐτὸν σαοὺλ καθ' ὅσας τὰς ἡμέρας, καὶ οὐ παρέδωκεν αὐτὸν κύριος εἰς τὰς χεῖρας αὐτοῦ. καὶ εἶδε δαβὶδ ὅτι ἐξῆλθεν σαοὺλ τοῦ ζητεῖν αὐτόν. καὶ δαβὶδ ἦν ἐν τῷ ὄρει τῷ αὐχμώδει ἐν τῇ ληνιζείφ. καὶ ἀνέστη ἰωναθὰν υἱὸς σαοὺλ, καὶ ἐπορεύθη πρὸς δαβὶδ εἰς λαιμάν, καὶ ἐκραταίωσε τὰς χεῖρας αὐτοῦ ἐν κυρίῳ. καὶ εἶπε πρὸς αὐτόν· μὴ φοβοῦ, ὅτι οὐ μή σε εὕρῃ ἡ χεὶρ σαοὺλ τοῦ πατρός μου, καὶ σὺ βασιλεύσεις ἐπὶ τὸν ἰσραὴλ, καὶ ἐγὼ ἔσομαί σοι εἰς δεύτερον, καὶ σαοὺλ ὁ πατήρ μου οἶδεν οὕτως. καὶ διέθεντο ἀμφότεροι διαθήκην ἐνώπιον κυρίου, καὶ ἐκάθητο δαβὶδ ἐν λαιμάν, καὶ ἰωναθὰν ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἀνέβησαν οἱ ζιφαῖοι εἰς γαβαὰ πρὸς σαοὺλ λέγοντες· οὐκ ἰδοὺ δαβὶδ κέκρυπται παρ' ἡμῖν ἐν μεσαραὶ ἐν τοῖς σκοπαῖς ἐν τῇ λαιμὰν τῇ ἐν βουνῷ τοῦ ἐρήμου; καὶ νῦν πάντα πρὸς ψυχὴν τοῦ βασιλέως εἰς κατάβασιν καταβαινέτω πρὸς ἡμᾶς, ἀποκλεισμὸν εἰσὶν εἰς τὰς χεῖρας τοῦ βασιλέως. καὶ εἶπεν αὐτοῖς σαοὺλ· εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ, ὅτι ἐπονέσατε περὶ ἐμοῦ, πορεύθητε δὴ καὶ ἑτοιμάσατε ἔτι, καὶ γνῶτε τὸν τόπον αὐτοῦ οὗ ἔσαι ὁ πούς αὐτοῦ ἐκεῖ ἐν τάχει ἐκεῖ οὐ εἶπατε, μή ποτε πανουργεύσηται πανουργεύσεται, καὶ ἴδωμεν καὶ γνῶμεν καὶ πορεύσομαι μετ' ὑμῶν. ἔσαι εἰ ἔστιν ἐν πάσης τῆς γῆς, καὶ ἐξερευνήσω αὐτὸν ἐν πάσαις χιλιάσιν ἰούδα. καὶ ἀνέστησαν οἱ ζιφαῖοι ἐνώπιον σαοὺλ, καὶ ἐπορεύθησαν ἔμπροσθεν σαούλ. δαβὶδ δὲ καὶ οἱ ἄνδρες αὐτοῦ ἐν τῇ ἐρήμῳ τῇ μαὼν ἐν τῇ ἀραβὰ ἐκ δεξιῶν τοῦ ἰεσσαί. καὶ ἐπορεύθη σαοὺλ δὲ καὶ οἱ ἄνδρες αὐτοῦ ζητεῖν τὸν δαβίδ. καὶ ἀπήγγειλαν τῷ δαβὶδ, καὶ κατέβη εἰς τὴν πέτραν τὴν ἐν τῇ ἐρήμῳ μαών. καὶ ἤκουσε σαοὺλ, καὶ κατεδίωξεν ὀπίσω δαβὶδ εἰς τὴν ἔρημον μαών. καὶ πορεύονται σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ, ἐκ μέρους τοῦ ὄρους ἐκ τούτου, καὶ δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους ἐκ τούτου, καὶ δαβὶδ σκιαζόμενος πορεύεται ἀπὸ προσώπου σαούλ. καὶ σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ κεκυκλώκασιν τὸν δαβὶδ, καὶ ὑπὸ τῶν ἀνδρῶν αὐτοῦ συλλαβεῖν αὐτούς. καὶ πρὸς σαοὺλ ἦλθεν ἄγγελος λέγων· ἀπόστρεψον καὶ δεῦρο, ὅτι ἀλλόφυλοι ἐπέθεντο ἐπὶ τὴν γῆν. καὶ ἀπέστρεψε σαοὺλ μὴ καταδιώκειν ὀπίσω δαβίδ, καὶ ἐπορεύθη εἰς συναντησιν τῶν ἀλλοφύλων. διὰ τοῦτο ἐπεκλήθη ὁ τόπος ἐκεῖνος, πέτρα μερισθέντων. καὶ ἀνέστη δαβὶδ ἐκεῖθεν, καὶ ἐκάθισεν ἐν τοῖς σκοπαῖς γαδδί, καὶ ἐγένετο, ὡς ἀπέστρεψε σαοὺλ ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων, καὶ ἀπήγγελον αὐτῷ λέγοντες· ὅτι ἰδοὺ δαβὶδ ἐν τῇ ἐρήμῳ ἐν γαδδί.

ΚΕΦΑΛ. κδ'. 24.

Καὶ ἔλαβε μεθ' ἑαυτοῦ τρεῖς χιλιάδας ἀνδρῶν ἐκλεκτοὺς ἐκ παντὸς ἰσραὴλ, καὶ ἐπορεύθη ζητεῖν τὸν δαβὶδ, καὶ τοὺς ἄνδρας αὐτοῦ ἐπὶ πρόσωπον σκολιαίεμ. καὶ ἦλθεν ἐπὶ τὰς αἰγὰς τῶν προβάτων τὰς ἐπὶ τὴν ὁδόν, καὶ ἐκεῖ σπήλαιον, καὶ σαοὺλ εἰσῆλθε περασκυλίσαι τοὺς πόδας αὐτοῦ, καὶ δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐσώτερον τοῦ σπηλαίου ἐκάθηντο. καὶ εἶπον οἱ ἄνδρες δαβὶδ πρὸς αὐτόν· ἰδοὺ ἡ ἡμέρα αὕτη ἐκεῖ εἶπε κύριος πρὸς σε παραδοῦναι τὸν ἐχθρόν σε εἰς τὰς χεῖράς σου, καὶ ποιήσεις αὐτῷ, ὡς ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. καὶ ἀνέστη δαβὶδ καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος τοῦ σαοὺλ λαθραίως. καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπάταξε καρδία δαβὶδ αὐτόν, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ. καὶ εἶπε δαβὶδ πρὸς τοὺς ἄνδρας αὐτοῦ· μὴ δαμῶς μοι παρὰ κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ κυρίου, ἐπενεγκεῖν χεῖρά μου ἐπ' αὐτόν, ὅτι χριστὸς κυρίου ἐστὶν οὗτος. καὶ ἔπεισε δαβὶδ τοὺς ἄνδρας αὐτοῦ ἐν λόγοις, καὶ οὐκ ἐδίωκεν αὐτοῖς ἀναστάντας θανατῶσαι τὸν σαούλ. καὶ ἀνέστη σαοὺλ, καὶ κατέβη εἰς τὴν ὁδὸν αὐτοῦ καὶ ἀνέστη δαβὶδ ὀπίσω αὐτοῦ ἐκ τοῦ σπηλαίου, καὶ ἐβόησεν δαβὶδ ὀπίσω σαοὺλ λέγων· κύριε βασιλεῦ. καὶ ἐπέβλεψε σαοὺλ εἰς τὰ ὀπίσω αὐτοῦ. καὶ ἔκυψε δαβὶδ ὑπὸ πρόσωπον αὐτοῦ ὑπὸ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπε δαβὶδ πρὸς σαοὺλ· ἵνα τί ἀκούεις τοὺς λόγους τοῦ λαοῦ λεγόντων, ἰδοὺ δὴ δαβὶδ ζητεῖ τὴν ψυχήν σου; ἰδοὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ ἑωράκασιν οἱ ὀφθαλμοί σου, ὡς παρέδωκέ σε κύριος σήμερον εἰς τὰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἐβουλήθην ἀποκτεῖναί σε, καὶ ἐφεισάμην σου, καὶ εἶπα· οὐκ ἐπίσω χεῖρά μου ὑπὲρ κύριόν μου, ὅτι χριστὸς κυρίου οὗτός ἐστι. καὶ ἴδε τὸ πτερύγιον τῆς διπλοΐδος σου ἐν τῇ χειρί μου, ἐγὼ ἀφῆρκα τὸ πτερύγιον τῆς διπλοΐδος σου, καὶ οὐκ ἀπέκτεινά σε. καὶ γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστι κακία ἐν τῇ χειρί μου, οὐδὲ ἀσέβεια, καὶ οὐθὲν ἔπταισα, καὶ οὐχ ἡμάρτηκα εἰς σέ, καὶ σὺ θεσμεύεις τὴν ψυχήν μου λαβεῖν αὐτήν. δικάσαι κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἐκδικήσαι με κύριος ἐκ σοῦ. ἡ δὲ χείρ μου οὐκ ἔσται ἐπὶ σέ, καθὼς λέγεται ἡ παροιμία ἡ ἀρχαία· ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια. καὶ ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σέ, καὶ νῦν ὀπίσω τίνος σὺ ἐκπορεύῃ βασιλεῦ ἰσραὴλ, ὀπίσω τίνος καταδιώκεις σύ; ὀπίσω κυνὸς τελευτήσαντος, ἢ ὀπίσω ψύλλης ἑνός; γένοιτο κύριος εἰς κριτὴν καὶ δικάσαι ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ. ἴδοι κύριος καὶ κρίναι τὴν κρίσιν μου, καὶ δικάσαι με ἐκ χειρός σου. καὶ ἐγένετο, ὡς συνετέλεσε δαβὶδ τὰ ῥήματα ταῦτα λαλῶν πρὸς σαούλ. καὶ εἶπε σαοὺλ· φωνή σου

αὐτῳ, τέκνον δαβὶδ; καὶ ἦρε σαὰλ τὴν φωνὴν αὐτοῦ, καὶ ἔκλαυσε. καὶ εἶπε σαὰλ πρὸς δαβὶδ· δίκαιος εἶ σὺ ὑπὲρ ἐμέ, ὅτι σὺ ἀνταπέδωκάς μοι ἀγαθὰ, ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά, καὶ σὺ ἀπήγγειλάς μοι σήμερον ἃ ἐποίησάς μοι ἀγαθὰ, ὡς ἀπέκλεισέ με κύριος εἰς χεῖράς σου σήμερον, καὶ οὐκ ἀπέκτεινάς με. καὶ ὅτι εἰ εὕροι τις τὸν ἐχθρὸν αὐτοῦ γὴν θλίψει, καὶ ἐκπέμψῃ αὐτὸν γὴν ὁδῷ ἀγαθῇ, καὶ κύριος ἀνταποτίσει αὐτῷ ἀγαθὰ καθὼς σὺ πεποίηκάς σήμερον. καὶ νῦν ἰδὲ ἐγὼ γινώσκω, ὅτι βασιλεύων βασιλεύσεις, καὶ στήσεται γὴν χειρί σου ἡ βασιλεία ἰσραήλ. καὶ νῦν ὄμοσόν μοι γὴν κυρίῳ, ὅτι οὐκ ἐξολοθρεύσεις τὸ σπέρμα μου ὀπίσω μου, οὐκ ἀφανιεῖς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου. καὶ ὤμοσε δαβὶδ τῷ σαὰλ, καὶ ἀπῆλθε σαὰλ εἰς τὸν τόπον αὐτοῦ, καὶ δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἀνέβησαν εἰς τὴν μεσεραὴ σχοινί.

ΚΕΦΑΛ. κε'. 25.

ΚΑΙ ἀπέθανε σαμουὴλ, καὶ συναθροίζονται πᾶς ἰσραὴλ καὶ κόπτονται αὐτὸν, καὶ θάπτουσιν αὐτὸν γὴν οἰκῳ αὐτοῦ γὴν ἁρμαθάιμ. καὶ ἀνέστη δαβὶδ καὶ κατέβη εἰς τὴν ὄρημον μαών, καὶ ἰδοὺ ἄνθρωπος γὴν σῇ μαών, καὶ τὰ ποίμνια αὐτοῦ γὴν τῷ καρμήλῳ, καὶ ὁ ἄνθρωπος μέγας σφόδρα, καὶ τόκοι πρόβατα τρισχίλια, καὶ αἶγες χίλιαι. καὶ ἐγένηθη γὴν τῷ κείρειν τὸ ποίμνιον αὐτοῦ γὴν τῷ καρμήλῳ, καὶ ὄνομα τῷ ἀνθρώπῳ νάβαλ, καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ ἀβιγαία. καὶ ἡ γυνὴ ἀγαθὴ συνέσει, καὶ καλὴ τῷ εἴδει σφόδρα. καὶ ὁ ἄνθρωπος σκληρὸς καὶ πονηρὸς γὴν ὡς τὴν δύμασι, καὶ ὁ ἄνθρωπος καιμηνός. καὶ ἤκουσε δαβὶδ γὴν τῇ ὀρήμῳ, ὅτι κείρει νάβαλ τὸ ποίμνιον αὐτοῦ, καὶ ἀπέστειλε δαβὶδ δέκα παιδάρια, καὶ εἶπε τοῖς παιδαρίοις· ἀνάβητε εἰς καρμήλου καὶ ἀπέλθετε πρὸς νάβαλ, καὶ ἐρωτήσατε αὐτὸν ὑδὶ τῷ ὀνόματί μου, τὰ εἰς εἰρήνην, καὶ ἐρεῖτε τάδε εἰς ὥρας, καὶ σὺ ὑγιαίνων καὶ ὁ οἶκός σου, καὶ πάντα τὰ σὰ ὑγιαίνοντα. καὶ νῦν ἰδοὺ ἀκήκοα, ὅτι κείρουσί σοι οἱ ποιμένες σου οἱ ἦσαν μεθ' ἡμῶν γὴν τῇ ὀρήμῳ, καὶ οὐκ ἀπεκωλύσαμεν αὐτούς, καὶ οὐ γνετελάμεθα αὐτοῖς οὐθὲν πάσας τὰς ἡμέρας, ὄντων αὐτῶν γὴν τῷ καρμήλῳ. ἐρώτησον τὰ παιδάριά σου, καὶ ἀπαγγελοῦσί σοι. καὶ εὑρέτωσαν τὰ παιδάριά σου χάριν γὴν ὀφθαλμοῖς σου, ὅτι ἐφ' ἡμέραν ἀγαθὴν ἤκομεν. μὴς δὴ ὅσα ἂν εὕρῃ ἡ χεὶρ σου τῷ ἐγὼ σου τῷ δαβίδ. καὶ ἔρχονται τὰ παιδάρια δαβὶδ, καὶ λαλοῦσι τοὺς λόγους τούτους πρὸς νάβαλ κατὰ πάντα τὰ ῥήματα τοῦτα, γὴν τῷ ὀνόματι δαβίδ. καὶ ἀνεπαύσατο, καὶ ἀπεκρίθη νάβαλ τοῖς παισὶ δαβὶδ καὶ εἶπε· τίς ὁ δαβὶδ, καὶ τίς ὁ υἱὸς ἰεσσαί; σήμερον πεπλήθυνται οἰκέται οἱ διαστρέφοντες ἕκαστος ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ, καὶ λήψομαι τοὺς ἄρτους μου καὶ τὸν οἶνόν μου καὶ τὰ θύματά μου ἃ ἔθυσα τοῖς κείρουσί μου τὰ πρόβατα, καὶ δώσω αὐτὰ ἀνδράσιν οἷς οὐκ οἶδα πόθεν εἰσί; καὶ ἀπεστράφησαν τὰ παιδάρια δαβὶδ εἰς ὁδὸν αὐτῶν, καὶ ἀνέστρεψαν καὶ ἦλθον καὶ ἀπήγγειλαν τῷ δαβὶδ κατὰ τὰ ῥήματα τοῦτα. καὶ εἶπε δαβὶδ τοῖς ἀνδράσιν αὐτοῦ· ζώσασθε ἕκαστος τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἀνέζωσαν ὀπίσω δαβὶδ ὡς τετρακόσιοι ἄνδρες, καὶ οἱ διακόσιοι ἐκάθισαν ἐπὶ τῶν σκευῶν. καὶ τῇ ἀβιγαίᾳ γυναικὶ νάβαλ ἀπήγγειλάν γὴν τῶν παιδαρίων λέγοντες· ἰδοὺ δαβὶδ ἀπέστειλεν ἀγγέλους ἐκ τῆς ὀρήμου εὐλογῆσαι τὸν κύριον ἡμῶν, καὶ ἐξέκλινεν ἀπ' αὐτῶν, καὶ οἱ ἄνδρες ἀγαθοὶ ἡμῖν σφόδρα καὶ ἀπεκώλυσαν ἡμᾶς, καὶ οὐ γνετείλαντο ἡμῖν οὐδὲν πάσας τὰς ἡμέρας ἃς ἦμεν μετ' αὐτοῖς. καὶ γὴν τῷ εἶμεν ἡμᾶς γὴν ἀγρῷ, ὡς τεῖχος ἦσαν περὶ ἡμᾶς, καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας πάσας τὰς ἡμέρας ἃς ἦμεν μετ' αὐτῶν ποιμαίνοντες τὸ ποίμνιον. καὶ νῦν γνῶθι καὶ ἴδε σὺ τί ποιήσεις, ὅτι συντετέλεσται κακία εἰς τὸν κύριον ἡμῶν, καὶ εἰς τὸν οἶκον αὐτοῦ, καὶ οὗτος υἱὸς λοιμός, καὶ οὐκ ἔστι λαλῆσαι πρὸς αὐτόν. καὶ ἔσπευσε σοφονιὰς καὶ ἔλαβε διακοσίους ἄρτους καὶ δύο ἀσκοὺς οἴνου, καὶ πέντε πρόβατα πεπυρωμένα, καὶ πέντε σάτα ἀλφίτου, καὶ γόμορ σταφίδων, καὶ διακοσίας παλάθας, καὶ ἐπέθηκεν ἐπὶ τοὺς ὄνους, καὶ εἶπε τοῖς παισὶν αὐτῆς· προπορεύεσθε ἔμπροσθέν μου, καὶ ἰδοὺ ἐγὼ ὀπίσω ὑμῶν παραγίνομαι, καὶ τῷ ἀνδρὶ αὐτῆς οὐκ ἀπήγγειλε, καὶ ἐγένηθη καθήμενος ἐπὶ τοῦ ὄνου καὶ κατέβαινον σκέπην τοῦ ὄρους. καὶ ἰδοὺ δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ κατέβαινον εἰς συνάντησιν αὐτῆς, καὶ ἀπηντήσαν αὐτοῖς. καὶ δαβὶδ εἶπε· ἴσως εἰς ἄδικον ἐφύλαξα πάντα τὰ τοῦ νάβαλ γὴν τῇ ὀρήμῳ, καὶ οὐκ ἐγκατελάμπη λαβεῖν ἐκ παντὸς τοῦ αὐτοῦ οὐδέν. καὶ ἀνταπέδωκέ μοι πονηρὰ ἀντὶ ἀγαθῶν. τάδε ποιήσαι μοι ὁ θεὸς τοῦ δαβὶδ, καὶ τάδε προσθείη, εἰ ὑπολείψομαι ἐκ παντὸς τοῦ νάβαλ ἕως πρωὶ οὐρουῶντα πρὸς τοῖχον. καὶ ὡς εἶδεν ἀβιγαία τὸν δαβὶδ, καὶ ἔσπευσε καὶ κατεπήδησεν ἀπὸ τῆς ὄνου, καὶ ἔπεσεν ἐνώπιον δαβὶδ ὑδὶ πρόσωπον αὐτῆς, καὶ προσεκύνησεν αὐτῷ ὑδὶ τὴν γῆν ὡὶ τοῦ ποδὸς αὐτοῦ, καὶ εἶπεν· γὴ ἐμοὶ κύριέ μου ἡ ἀδικία, λαλησάτω ἡ δούλη σου εἰς τὰ ὦτά σου, καὶ ἄκουσον λόγων τῆς δούλης σου, μὴ δὴ θέτω ὁ κύριός μου καρδίαν αὐτοῦ ὑδὶ τὸν ἄνθρωπον τὸν λοιμὸν τοῦτον, ὅτι κατὰ τὸ ὄνομα αὐτοῦ, οὕτως ὄνομα νάβαλ ὄνομα αὐτῷ, καὶ ἀφροσύνη μετ' αὐτοῦ· καὶ ἐγὼ ἡ δούλη σου, οὐκ εἶδον τὰ παιδάρια τοῦ κυρίου μου ἃ ἀπέστειλας, καὶ νῦν κύριε μου, ζῇ κύριος, καὶ ζῇ ἡ ψυχή σου, καθὼς ἐκώλυσέ σε κύριος τοῦ μὴ ἐλθεῖν εἰς αἷμα ἀθῷον, ἀλλὰ σῶζειν τὴν χεῖρά σου σοί. καὶ νῦν γένοιντο, ὡς νάβαλ οἱ ἐχθροί σου, καὶ οἱ ζητοῦντες τοῦ κυρίῳ μου κακὰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ιακά. καὶ νῦν λάβε τὴν εὐλογίαν ταύτην ἣν ἐνήνοχεν ἡ δούλη σου τῷ κυρίῳ μου, καὶ δώσεις τοῖς παιδαρίοις τοῖς παρεπομένοις τῷ κυρίῳ μου. ἄρον δὴ τὸ ἁμάρτημα τῇ δούλης σου, ὅτι ποιῶν ποιήσει κύριος τῷ κυρίῳ μου οἶκον πιστόν, ὅτι πόλεμον τοῦ κυρίου μου ὁ κύριος πολεμήσει. καὶ κακία οὐχ εὑρεθήσεται ἐν σοὶ πώποτε, καὶ ἀναστήσεταί ἄνθρωπος καταδιώκων σε καὶ ζητῶν τὴν ψυχήν σου, καὶ ἔσται ἡ ψυχὴ τοῦ κυρίου μου ἐνδεδεμένη δεσμῷ τῶν ζώντων παρὰ κυρίῳ τῷ θεῷ, καὶ τὰς ψυχὰς τῶν ἐχθρῶν σου σφενδονήσεις ἐν μέσῳ τῆς σφενδόνης. καὶ ἔσται ὅτι ποιήσει κύριος τῷ κυρίῳ μου πάντα ὅσα ἐλάλησεν ἀγαθὰ ἐπὶ σε, καὶ ἐντελεῖται σοι κύριος εἰς ἡγούμενον ἐπὶ ἰσραήλ, καὶ οὐκ ἔσται σοι ταῦτα βδελυγμὸς καὶ σκάνδαλον καρδίας τῷ κυρίῳ μου ἐκχέαι αἷμα ἀδῷον δωρεάν, καὶ σῶσαι χεῖρα κυρίῳ μου αὐτῷ. καὶ ἀγαθώσαι κύριος τῷ κυρίῳ μου, καὶ μνησθήσει τῆς δούλης σου ἀγαθῶσαι αὐτῇ. καὶ εἶπε δαβὶδ τῇ ἀβιγαίᾳ· εὐλογητὸς κύριος ὁ θεὸς ἰσραήλ, ὃς ἀπέστειλέ σε σήμερον ἐν ταύτῃ εἰς ἀπαντήσιν μοι, καὶ εὐλογητὸς ὁ τρόπος σου, καὶ εὐλογημένη σὺ ἣ ἀκώλυσάς με σήμερον ἐν ταύτῃ μὴ ἐλθεῖν εἰς αἵματα, καὶ σῶσαι χεῖράς μοι ἐμοί. πλὴν ὅτι ζῇ κύριος ὁ θεὸς ἰσραήλ, ὃς ἀπεκώλυσέ με ἡμέρου τοῦ κακοποιῆσαι. ὅτι εἰ μὴ ἔσπευσας καὶ παρεγένου εἰς ἀπάντησίν μοι, τότε εἰ ἐσωλείφθησεταί τῷ νάβαλ ἕως φωτὸς τοῦ πρωὶ οὐρῶν πρὸς τοῖχον. καὶ ἔλαβε δαβὶδ ἐκ χειρὸς αὐτῆς πάντα ἃ ἔφερεν αὐτῷ, καὶ εἶπεν αὐτῇ· ἀνάβηθι εἰς εἰρήνην εἰς οἶκόν σου, καὶ βλέπε, ἐπήκουσα τῆς φωνῆς σου, καὶ ἠρέτισα τὸ πρόσωπόν σου. καὶ παρεγενήθη ἀβιγαία πρὸς νάβαλ, καὶ δὲ αὐτῷ πότος ἐν οἴκῳ αὐτοῦ, ὡς πότος βασιλέως. καὶ ἡ καρδία νάβαλ ἀγαθὴ ἐπ' αὐτῷ, καὶ αὐτὸς μεθύων ἕως σφόδρα. καὶ οὐκ ἀπήγγειλεν ἀβιγαία τῷ νάβαλ ῥῆμα, ἢ μέγα, ἢ μικρόν, ἕως φωτὸς τοῦ πρωί. καὶ ἐγένετο πρωί, ὡς ἐξεγήγερται ἀπὸ τοῦ οἴνου νάβαλ, ἀπήγγειλεν αὐτῷ ἡ γυνὴ αὐτοῦ πάντα τὰ ῥήματα ταῦτα. καὶ ἐξαπέθανεν ἡ καρδία αὐτοῦ ἐν αὐτῷ, καὶ αὐτὸς ἐγένετο ὡς λίθος. καὶ ἐγένοντο ὡσεὶ δέκα ἡμέρας, καὶ ἐπάταξε κύριος τὸν νάβαλ, καὶ ἀπέθανε. καὶ ἤκουσε δαβὶδ καὶ εἶπεν· εὐλογητὸς κύριος, ὃς ἐκρίνατε τὴν κρίσιν τοῦ ὀνειδισμοῦ μου ἐκ χειρὸς νάβαλ, καὶ τὸν δοῦλον αὐτοῦ πονηρεύσατο ἐκ χειρὸς καπώθ, καὶ τὴν κακίαν νάβαλ ἐπέστρεψε κύριος εἰς κεφαλὴν αὐτοῦ. καὶ ἀπέστειλε δαβὶδ καὶ ἐλάλησε πρὸς ἀβιγαίας, λαβεῖν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα. καὶ ἦλθον οἱ παῖδες δαβὶδ πρὸς ἀβιγαίαν εἰς καρμήλους, καὶ ἐλάλησαν αὐτῇ λέγοντες· δαβὶδ ἀπέστειλεν ἡμᾶς πρὸς σὲ λαβεῖν σεαυτῷ εἰς γυναῖκα. καὶ ἀνέστη καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἐπὶ πρόσωπον, καὶ εἶπεν· ἰδοὺ ἡ δούλη σου εἰς παιδίσκην τοῦ νίψαι πόδας παίδων κυρίου. καὶ ἀνέστη ἀβιγαία καὶ ἐπέβη ἐπὶ τὸν ὄνον, καὶ πορεύσιμα ἡκολούθουν αὐτῇ, καὶ ἐπορεύθη ὀπίσω τῶν παίδων δαβὶδ, καὶ γίνεται αὐτῷ εἰς γυναῖκα. καὶ τὴν ἀχινοὰμ ἔλαβε δαβὶδ ἐξ ἰσραήλ, καὶ ἐμφότεραι ἦσαν αὐτῷ γυναῖκες. καὶ σαοὺλ ἔδωκε τὴν μιχολ τὴν θυγατέρα αὐτοῦ τὴν γυναῖκα δαβὶδ, τοῦ φαλτιὶ υἱῷ ἀμὶς τοῦ ἐκ βομμά.

ΚΕΦΑΛ. κς'. 26.

ΚΑὶ ἦλθον οἱ ζιφαῖοι ἐκ τῆς αὐχμώδους πρὸς σαοὺλ εἰς τὴν βοιμὸν λέγοντες· ἰδοὺ δαβὶδ κεκπάζεται μεθ' ἡμῶν ἐν τοῦ βανῶ τοῦ ἐχελὰθ, τοῦ ἐστὶ πρόσωπον τοῦ ἰεσιμοῦ. καὶ ἀνέστη σαοὺλ καὶ κατέβη εἰς τὴν ὄρημον ζίφ, καὶ μετ' αὐτοῦ τρεῖς χιλιάδες ἀνδρῶν ἐκλεκτῶν ἐξ ἰσραὴλ, ζητεῖν τὸν δαβὶδ ἐν τῇ ὀρήμῳ ζίφ. καὶ παρενέβαλε σαοὺλ ἐν τοῦ βανῶ τοῦ ἐχελὰθ τοῦ ἐστὶ πρωσώπῳ τοῦ ἰεσιμοῦ ἐστὶ ἐκ δεξιῶν. καὶ δαβὶδ ἐκάθισεν ἐν τῇ ὀρήμῳ. καὶ εἶπε δαβὶδ, ὅτι ἦκει σαοὺλ ὀπίσω αὐτοῦ εἰς τὴν ὄρημον, καὶ ἀπέστειλε δαβὶδ κατασκόπους, καὶ ἔγνω ὅτι ἦκει σαοὺλ ἐτύμως ἐκεῖ. καὶ ἀνέστη δαβὶδ λάθρᾳ, καὶ εἰσπορεύεται εἰς τὸν τόπον, οὗ ἐκάθευδεν ἐκεῖ σαοὺλ, καὶ ἐκεῖ ἀβεννὴρ υἱὸς νὴρ ἀρχιστρατήγου αὐτοῦ. καὶ σαοὺλ ἐκάθευδεν ἐν τῷ λαμπιδίῳ, καὶ ὁ λαὸς παρεμβεβλήκεισαν κύκλῳ αὐτοῦ. καὶ ἀπεκρίθη δαβὶδ καὶ εἶπε πρὸς ἀχιμέλεχ τὸν χετταῖον, καὶ πρὸς ἀβεσσὰ υἱὸν σαρουίας ἀδελφὸν ἰωὰβ λέγων· τίς εἰσελεύσεται μετ' ἐμοῦ πρὸς σαοὺλ εἰς τὴν παρεμβολήν; καὶ εἶπεν ἀβεσσά· ἐγὼ εἰσελεύσομαι μετὰ σοῦ. καὶ εἰσπορεύεται δαβὶδ καὶ ἀβεσσὰ εἰς τὸν λαὸν τὴν νύκτα. καὶ ἰδοὺ σαοὺλ κατακεκοίμηται ἐν τῷ λαμπιδίῳ, καὶ τὸ δόρυ ἐμπεπηγὸς εἰς τὴν γῆν πρὸς κεφαλῆς αὐτοῦ. καὶ ἀβεννὴρ καὶ ὁ λαὸς αὐτοῦ, ἐκάθευδε κύκλῳ αὐτοῦ. καὶ εἶπεν ἀβεσσὰ πρὸς δαβίδ· ἀπέκλεισε κύριος σήμερον τὸν ἐχθρόν σου εἰς χεῖράς σου, καὶ νῦν παστάξω αὐτὸν τοῦ δόρατι εἰς τὴν γῆν ἅπαξ, καὶ οὐ δευτερώσω αὐτῷ. καὶ εἶπε δαβὶδ πρὸς ἀβεσσά· μὴ διαφθείρῃς αὐτόν· ὅτι τίς ἐποίησε χεῖρα αὐτοῦ χριστὸν κυρίου, καὶ ἐθῳωθήσεται; καὶ εἶπε δαβὶδ· ζῇ κύριος, ὅτι ἐὰν μὴ κύριος πατάξῃ αὐτόν, ἢ ἡμέρα αὐτοῦ ἔλθῃ καὶ ἀποθάνῃ, ἢ εἰς πόλεμον καταβῇ καὶ προσεληφθῇ, μὴ διαμάσῃ μοι ἀπὸ κυρίου χεῖρά μου τοῦ χριστοῦ κυρίου. καὶ νῦν λάβε τὸ δόρυ ἀπὸ προσκεφαλῆς αὐτοῦ, καὶ τὸν φακὸν τοῦ ὕδατος, καὶ ἀπέλθωμεν ἡμεῖς ἑκάτερος ἐφ' ἑαυτόν. καὶ ἔλαβε δαβὶδ τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος ἀπὸ προσκεφαλῆς αὐτοῦ, καὶ ἀπῆλθον ἑκάτερος ἐφ' ἑαυτόν. καὶ οὐκ ἦν ὁ βλέπων, καὶ οὐκ ἦν ὁ γινώσκων, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος, πάντες γὰρ ἐκοιμῶντο, ὅτι θάμβος κυρίου ἐπέπεσεν ἐπ' αὐτούς. καὶ διέβη δαβὶδ εἰς τὸ πέραν, καὶ ἔστη ἐπὶ τὸ ἄκρον τοῦ ὄρους μακρόθεν, καὶ πολὺς ὁ τόπος ἀνὰ μέσον αὐτῶν

ἦν καὶ προσκαλέσασθαι Δαβὶδ τὸν λαόν, καὶ ἔστησεν ἑκατοντάρχους λέγων· ὁκ ἀφήσει ἀδύνατος; καὶ ἀπεκρίθη ἀβγενὴρ καὶ εἶπε· τίς εἶ σὺ ὁ καλῶν με. καὶ εἶπε Δαβὶδ πρὸς ἀβγενήρ· ὁκ ἀνὴρ σύ; καὶ τίς, ὡς σὺ ἐν Ἰσραήλ; καὶ διὰ τί οὐ φυλάσσεις τὸν κύριόν σε τὸν βασιλέα; ὅτι εἰσῆλθεν εἷς τοῦ λαοῦ διαφθεῖραι τὸν κύριόν σε τὸν βασιλέα; καὶ ὁκ ἀγαθὸν τὸ ῥῆμα τοῦτο ὃ σὺ ποιεῖς, ζῇ κύριος, ὅτι υἱοὶ θανατώσεως ὑμεῖς, οἱ φυλάσσοντες τὸν βασιλέα τὸν κύριον ὑμῶν τὸν χριστὸν κυρίου. καὶ νῦν ἴδε δὴ τὸ δόρυ τοῦ βασιλέως, καὶ ὁ φακὸς τοῦ ὕδατος ὃς ἦν πρὸς κεφαλῆς αὐτοῦ. καὶ ἐπέγνω Σαοὺλ τὴν φωνὴν Δαβὶδ, καὶ εἶπε· ἡ φωνή σε αὕτη τέκνον Δαβίδ; καὶ εἶπε Δαβὶδ· δοῦλός σου κύριε βασιλεῦ. καὶ εἶπεν· ἕνατί τοῦτο καταδιώκει ὁ κύριός μου ὀπίσω τοῦ δούλου αὐτοῦ; ὅτι τί ἡμάρτηκα, καὶ τί εὑρέθη ἐν ἐμοὶ ἀδίκημα; καὶ νῦν ἀκουσάτω δὴ ὁ κύριός μου ὁ βασιλεὺς τὰ ῥήματα τοῦ δούλου αὐτοῦ, εἰ ὁ θεὸς ὤρσεί σε ἐπ' ἐμέ, ὀσφρανθείη ἡ θυσία σου. εἰ δὲ υἱοὶ ἀνθρώπων, ὠκατάραροι οὗτοι ἐνώπιον κυρίου, ὅτι ἐξέβαλόν με σήμερον μὴ ἐσπρίχθαι ἐν κληρονομίᾳ κυρίου, λέγοντος· πορεύου δούλευε θεοῖς ἑτέροις. καὶ νῦν, μὴ πεσέτω τὸ αἷμά μου ἐπὶ τὴν γῆν ἐξεναντίας προσώπου κυρίου, ὅτι ἐξῆλθεν ὁ βασιλεὺς Ἰσραὴλ ζητεῖν τὴν ψυχήν μου, καθὼς καταδιώκει ὁ νυκτικόραξ ἐν τοῖς ὄρεσι. καὶ εἶπε Σαούλ· ἥμαρτηκα, ἐπίστρεφε τέκνον Δαβίδ, ὅτι οὐ κακοποιήσω σε ἔτι ἀνθ' ὧν ἐν ἐμοὶ ἡ ψυχή μου ἐν ὀφθαλμοῖς σου, καὶ ἐν τῇ σήμερον ἡμέρᾳ μεμάταίωμαι καὶ ἠγνόηκα πολλὰ σφόδρα. Καὶ ἀπεκρίθη Δαβὶδ καὶ εἶπεν· ἴδὲ τὸ δόρυ τοῦ βασιλέως. διελθέτω ἐν ἑνὶ τῶν παιδαρίων, καὶ λαβέτω αὐτό, καὶ κύριος ἀποστρέψει ἑκάστῳ κατὰ τὰς δικαιοσύνας αὐτοῦ, καὶ τὴν πίστιν αὐτοῦ, ὡς παρέδωκέ σε κύριος σήμερον εἰς χεῖράς μου, καὶ οὐκ ἠθέλησα ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χριστὸν κυρίου. καὶ ἰδοὺ καθὼς ἐμεγαλύνθη ἡ ψυχή σου σήμερον ἐν ταύτῃ ἐν ὀφθαλμοῖς μου, οὕτως μεγαλυνθείη ἡ ψυχή μου ἐνώπιον κυρίου, καὶ σκεπάσαι με καὶ ἐξέλοιτό με ἐκ πάσης θλίψεως. καὶ εἶπε Σαοὺλ πρὸς Δαβίδ· εὐλογημένος εἶ τέκνον, καὶ ποιῶν ποιήσεις, καὶ δυνάμενος δυνήσῃ. καὶ ἀπῆλθε Δαβὶδ εἰς τὸν ὁδὸν αὐτοῦ, καὶ Σαοὺλ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

ΚΕΦΑΛ. κζ'. 27.

Καὶ εἶπε Δαβὶδ ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων· νῦν πρόσεθήσομαι ἐν ἡμέρᾳ μιᾷ εἰς χεῖρας Σαούλ, καὶ οὐκ ἔστι μοι ἀγαθόν, ἐὰν μὴ διασωθῶ εἰς γῆν ἀλλοφύλων, καὶ ἀνήσει ἀπ' ἐμοῦ Σαοὺλ τοῦ ζητεῖν με εἰς πᾶν ὅριον Ἰσραήλ, καὶ σωθήσομαι ἐκ χειρὸς αὐτοῦ. καὶ ἀνέστη Δαβὶδ καὶ οἱ ἑξακόσιοι ἄνδρες οἱ μετ' αὐτοῦ, καὶ ἐπορεύθη πρὸς ἀγχοῦς υἱὸν ἀμμαὰχ βασιλέα γεθ. καὶ ἐκάθισε Δαβὶδ μετὰ ἀγχοῦς εἰς γεθ, αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ ἕκαστος, καὶ ὁ οἶκος αὐτοῦ καὶ Δαβὶδ, καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ, Ἀχινααμ ἡ Ἰσραηλῖτις, καὶ Ἀβιγαῖα ἡ γυνὴ Νάβαλ τοῦ Καρμηλίτου. καὶ ἀπηγγέλη τῷ Σαούλ, ὅτι πέφευγε Δαβὶδ εἰς γεθ, καὶ οὐ προσέθετο ἔτι ζητεῖν αὐτόν. καὶ εἶπε Δαβὶδ πρὸς ἀγχοῦς· εἰ δὴ εὕρον ὁ δοῦλός σου χάριν ἐν ὀφθαλμοῖς σου, δότωσαν δή μοι τόπον ἐν μιᾷ τῶν πολεων τῶν κατ' ἀγρόν, καὶ κατοικήσω ἐκεῖ. καὶ ἵνατί κατοικήσει ὁ δοῦλός σου ἐν πόλει βασιλεύουσῃ μετὰ σοῦ; καὶ ἔδωκεν αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸν Σικελάγ. διὰ τοῦτο ἐγένετο Σικελὰγ τῷ βασιλεῖ εἰς Ἰσραήλ ἕως τῆς σήμερον ἡμέρας. καὶ ἐγένετο ὁ ἀριθμὸς τῶν ἡμερῶν ὧν ἐκάθισε Δαβὶδ ἐν ἀγρῷ τῶν ἀλλοφύλων, τέσσαρες μῆνες. καὶ ἀνέβαινε Δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ, καὶ ἐπετίθεντο ἐπὶ πάντα τὸν γεσσεῖ, καὶ ἐπὶ τὸν ἀμαληκίτην. καὶ ἦσαν ἐν γῇ κατοικοῦντες ἀπὸ τοῦ λαμψοὺρ, καὶ ἕως γῆς αἰγύπτου. καὶ ἔτυπτε τὴν γῆν, καὶ οὐκ ἐζωογόνει ἄνδρα ἢ γυναῖκα, Καὶ ἐλάμβανον προβάτια καὶ βόας καὶ ὄνους καὶ καμήλους καὶ ἱματισμόν, Καὶ ἀνέστρεφον καὶ ἤρχοντο πρὸς ἀγχοῦς. καὶ εἶπεν ἀγχοῦς πρὸς Δαβίδ· ἐπὶ τίνα ἐπεδεσίμερον; καὶ εἶπε Δαβὶδ πρὸς ἀγχοῦς· ἐπὶ νότον τῆς Ἰουδαίας, καὶ ἐπὶ νότον Ἰεσμεγά, καὶ ἐπὶ νότον τοῦ Καινεζί. Καὶ ἄνδρα καὶ γυναῖκα οὐκ ἐζωογόνησε τοῦ εἰσαγαγεῖν εἰς γεθ, λέγων· μὴ ἀναγγείλωσιν εἰς γεθ λαθ' ἡμῶν, λέγοντος· τάδε ἐποίησε Δαβίδ· καὶ τόδε τὸ δικαίωμα αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἐκάθητο Δαβὶδ ἐν ἀγρῷ τῶν ἀλλοφύλων. καὶ ἐπίστευσεν Δαβὶδ ἐν τῷ ἀγχοῦς σφόδρα λέγων· βεβώμωται ἐβδελύγμενος ἐν τῷ λαῷ αὐτοῦ ἐν Ἰσραήλ, Καὶ ἔσται μοι δοῦλος εἰς τὸν αἰῶνα. καὶ ἐγένετο ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συνάθροιζον οἱ ἀλλόφυλοι ἐν ταῖς παρεμβολαῖς αὐτῶν εἰς πόλεμον μετὰ Ἰσραήλ. Καὶ εἶπεν ἀγχοῦς πρὸς Δαβίδ· γινώσκων γνώσῃ, ὅτι μετ' ἐμοῦ ἐξελεύσῃ εἰς πόλεμον σύ, καὶ οἱ ἄνδρες σου. καὶ εἶπε Δαβὶδ πρὸς ἀγχοῦς· ἄρα νῦν γνώσῃ, ἃ ποιήσει ὁ δοῦλός σου. Καὶ εἶπεν ἀγχοῦς πρὸς Δαβίδ· ἄρα σε ἀρχισωματοφύλακα θήσομαί σε πάσας τὰς ἡμέρας. καὶ Σαμουὴλ ἀπέθανε, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραήλ, καὶ θάψουσιν αὐτὸν ἐν ἁρμαθαὶμ, ἐν πόλει αὐτοῦ. καὶ Σαοὺλ πεποίηκε τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώσας ἐκ τῆς γῆς. καὶ συναθροίζονται ἀλλόφυλοι, Καὶ ἔρχονται καὶ παρεμβάλλουσιν εἰς σωνάμ. καὶ συναθροίζει Σαοὺλ πάντα ἄνδρα Ἰσραήλ, Καὶ παρεμβάλλουσιν εἰς γελβυέ. καὶ εἶδε Σαοὺλ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ἐφοβήθη καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα. Καὶ ἐπηρώτησε Σαοὺλ κύριον, καὶ οὐκ ἀπεκρίθη αὐτῷ κύριος ἐν οἷς ἐνυπνίοις Καὶ ἐν τοῖς δήλοις καὶ ἐν τοῖς προφήταις. καὶ εἶπε Σαοὺλ τοῖς παισὶν αὐτοῦ· ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον, Καὶ πορεύσομαι πρὸς αὐτὴν καὶ ζητήσω ἐν αὐτῇ. καὶ εἶπαν οἱ παῖδες αὐτοῦ πρὸς αὐτόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν· ἰδοὺ γυνὴ ἐγγαστρίμυθος ἐν Ἀενδώρ. καὶ ἀμυνεκαλύψατο Σαοὺλ, καὶ περιεβάλετο ἱμάτια ἕτερα. καὶ πορεύεται αὐτὸς καὶ δύο ἄνδρες μετ' αὐτοῦ, καὶ ἔρχεται πρὸς τὴν γυναῖκα νυκτὸς, καὶ εἶπεν αὐτῇ· μάντευσαί μοι ἐν τῷ ἐγγαστρίμυθῳ, καὶ ἀνάγαγε ὃν ἐάν σοι εἴπω· καὶ εἶπεν αὐτῷ ἡ γυνή· ἰδοὺ σὺ οἶδας ὅσα ἐποίησε Σαοὺλ, ὡς ἐξωλόθρευσε Σαοὺλ τοὺς ἐγγαστρίμυθους, καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς, καὶ ἵνατί σὺ παγιδεύεις τὴν ψυχήν μου θανατῶσαι αὐτήν; καὶ ὤμοσεν αὐτῇ Σαοὺλ λέγων· ζῇ Κύριος εἰ ἀπαντήσει σοι ἀδικία ἐν τῷ λόγῳ τούτῳ. καὶ εἶπεν ἡ γυνὴ τῷ Σαοὺλ· τίνα ἀνάγω σοι; καὶ εἶπε, τὸν Σαμουὴλ ἀνάγαγέ μοι. καὶ εἶδεν ἡ γυνὴ τὸν Σαμουὴλ, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ, καὶ εἶπεν ἡ γυνὴ πρὸς Σαοὺλ· ἵνατί παρελογίσω με, καὶ σὺ εἶ Σαούλ; καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς· μὴ φοβοῦ, εἶπον τίνα ἑώρακας. καὶ εἶπεν αὐτῷ ἡ γυνή· θεοὺς ἑώρακα ἀναβαίνοντας ἐκ τῆς γῆς. καὶ εἶπεν αὐτῇ, τί ἔγνως; καὶ εἶπεν αὐτῷ ἄνδρα ὀρθιον ἀναβαίνοντα ἐκ τῆς γῆς, καὶ οὗτος διαπλοΐδα ἀναβεβλημένος. καὶ ἔγνω Σαοὺλ, ὅτι οὗτος Σαμουὴλ, καὶ ἔκυψεν ὀφθῆναι πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ, καὶ εἶπε Σαμουὴλ· ἵνατί παρεμώχλησάς με ἀναβιβάσαί με. καὶ εἶπε Σαοὺλ· θλίβομαι σφόδρα, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοί, καὶ ὁ θεὸς ἀφέστηκεν ἀπ' ἐμοῦ, καὶ οὐκ ἐπακήκοέ μου ἔτι, καὶ ἐν χειρὶ τῶν προφητῶν καὶ ἐν ταῖς ἐνυπνίοις, καὶ ἐν τοῖς ἐνθέοις, καὶ νῦν γνώρισόν μοι τί ποιήσω. καὶ εἶπε Σαμουὴλ· ἵνατί ἐπερωτᾷς με, καὶ Κύριος ἀφέστηκεν ἀπὸ σοῦ, καὶ γέγονε μετὰ τοῦ πλησίον σου, καὶ ἐποίησε Κύριος ἑαυτῷ καθὼς ἐλάλησεν ἐν χειρί μου, καὶ διαῤῥήξει Κύριος τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ Δαβίδ, διότι οὐκ ἤκουσας τῆς φωνῆς Κυρίου, καὶ οὐκ ἐπλήρωσας θυμὸν ὀργῆς αὐτοῦ ἐν Ἀμαλήκ. διὰ τοῦτο ἐποίησε Κύριός σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ παραδώσει Κύριος τὸν Ἰσραὴλ μετὰ σοῦ εἰς χεῖρας ἀλλοφύλων, καὶ αὔριον σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ πεσοῦνται, καὶ τὴν παρεμβολὴν Ἰσραὴλ δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων, καὶ ἔπεσε Σαοὺλ καὶ ἔπεσεν ἐκεῖνος ἐπὶ τῆς γῆς, καὶ ἐφοβήθη σφόδρα ἀπὸ τῶν λόγων Σαμουὴλ, καὶ ἐν αὐτῷ οὐκ ἦν ἰσχύς ἔτι, ὅτι οὐκ ἔφαγεν ἄρτον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα ἐκείνην. καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς Σαοὺλ, καὶ εἶδεν, ὅτι ἔπεπλήγει σφόδρα, καὶ εἶπε πρὸς αὐτόν· ἰδοὺ δὴ ἤκουσεν ἡ δούλη σου τῆς φωνῆς σου, καὶ ἔθηκα τὴν ψυχήν μου ἐν τῇ χειρί σου, καὶ ἤκουσα τῶν λόγων σου οὓς ἐλάλησάς μοι. καὶ νῦν ἄκουσον δὴ φωνῆς τῆς δούλης σου, καὶ παραθήσομαι ἐνώπιόν σου ψωμὸν ἄρτου, καὶ φάγε καὶ ἔσαι ἐν σοὶ ἰσχύς, ὅτι πορεύσῃ ἐν ὁδῷ, καὶ ἀνέβαλε φαγεῖν. καὶ παρεβιάζοντο αὐτὸν οἱ παῖδες αὐτοῦ καὶ ἡ γυνή, καὶ ἤκουσε τῆς φωνῆς αὐτῶν, καὶ ἀνέστη ἀπὸ τῆς γῆς, καὶ ἐκάθισεν ἐπὶ τῆς κλίνης. καὶ τῇ δὲ γυναικὶ ἦν δάμαλις νομὰς ἐν τῇ οἰκίᾳ, καὶ ἔσπευσε καὶ ἔθυσεν αὐτὴν, καὶ ἔλαβεν ἄλευρα καὶ ἐφύρασε, καὶ ἔπεψεν ἄζυμα, καὶ προσήνεγκεν ἐνώπιον Σαοὺλ, καὶ ἐνώπιον τῶν παίδων αὐτοῦ, καὶ ἔφαγον, καὶ ἀνέστησαν, καὶ ἀπῆλθον τὴν νύκτα ἐκείνην.

ΚΕΦΑΛ. κθ'. 29.

ΚΑὶ συνάθροίζουσιν ἀλλόφυλοι πάσας τὰς παρεμβολὰς αὐτῶν εἰς Ἀφεκκά, καὶ Ἰσραὴλ παρενέβαλεν ἐν Ἀενδὼρ τῇ ἐν Ἰεζραέλ. καὶ οἱ σατράπαι τῶν ἀλλοφύλων παρεπορεύοντο ἐπὶ ἑκατοντάδας καὶ ἐπὶ χιλιάδας. καὶ Δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ παρεπορεύοντο ἐπ' ἐσχάτων μετὰ ἀγχοῦς. καὶ εἶπον οἱ σατράπαι τῶν ἀλλοφύλων· τίνος οἱ διαπορευόμενοι οὗτοι; καὶ εἶπεν ἀγχοῦς πρὸς τοὺς σατράπας τῶν ἀλλοφύλων· οὐχ οὗτός ἐστι Δαβὶδ, ὁ δοῦλος Σαοὺλ βασιλέως Ἰσραήλ, γέγονε μεθ' ἡμῶν ἡμέρας τοῦτο δεύτερον ἔτος; καὶ οὐχ εὕρηκα ἐν αὐτῷ οὐθὲν ἀφ' ἧς ἡμέρας ἔπεσε πρός με, καὶ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐλυπήθησαν ἐπ' αὐτῷ οἱ σατράπαι τῶν ἀλλοφύλων, καὶ λέγουσιν αὐτῷ· ἀπόστρεψον τὸν ἄνδρα, καὶ ἀποστραφήτω εἰς τὸν τόπον αὐτοῦ, οὗ διέτεξας αὐτὸν ἐκεῖ, καὶ μὴ συνέλθω μεθ' ἡμῶν εἰς τὸν πόλεμον, καὶ μὴ γινέσθω ἐπίβουλος ἡμῖν παρεμβολῆς. καὶ ἐν τίνι διαλλαγήσεται οὗτος τῷ κυρίῳ αὐτοῦ, οὐχὶ ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων; οὐχ οὗτός ἐστι Δαβὶδ, ᾧ ᾄδουσιν ἐν χοροῖς λέγοντες· ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ, καὶ Δαβὶδ ἐν μυριάσιν αὐτοῦ; καὶ ἐκάλεσεν ἀγχοῦς τὸν Δαβὶδ καὶ εἶπεν αὐτῷ· ζῇ Κύριος, σὺ καὶ ἀγαθός, ὅτι δίθυς ἐν ὀφθαλμοῖς μου, καὶ ἡ ἔξοδός σου καὶ ἡ εἴσοδός σου μετ' ἐμοῦ ἐν τῇ παρεμβολῇ, καὶ ὅτι οὐχ εὕρηκα κακίαν ἀφ' ἧς ἡμέρας ἦλθες πρός με ἕως τῆς σήμερον ἡμέρας, καὶ ἐν ὀφθαλμοῖς τῶν σατραπῶν οὐκ ἀγαθὸς σύ. καὶ νῦν ἀνάστρεφε καὶ πορεύου εἰς εἰρήνην, καὶ οὐ μὴ ποιήσεις κακίαν ἐν ὀφθαλμοῖς τῶν σατραπῶν τῶν ἀλλοφύλων. καὶ εἶπε Δαβὶδ πρὸς ἀγχοῦς· τί γὰρ ἐποίησά σοι, καὶ τί εὗρον ἐν τῷ δούλῳ σου ἀφ' ἧς ἡμέρας ἤμην ἐνώπιόν σου καὶ ἕως τῆς ἡμέρας ταύτης, ὅτι οὐ μὴ ἔλθω πολεμῆσαι τοὺς ἐχθροὺς τοῦ Κυρίου μου τοῦ Βασιλέως; καὶ ἀπεκρίθη ἀγχοῦς πρὸς Δαβὶδ· οἶδα, ὅτι ἀγαθὸς σὺ ἐν ὀφθαλμοῖς μου, ἀλλ' ἢ οἱ σατράπαι τῶν ἀλλοφύλων λέγουσιν· οὐχ ἥξει μεθ' ἡμῶν εἰς πόλεμον. καὶ νῦν ὄρθρισον τὸ πρωΐ σὺ καὶ οἱ παῖδες τοῦ Κυρίου σου οἱ ἥκοντες μετὰ σοῦ, καὶ πορεύεσθε εἰς τὸν τόπον οὗ διέτεξαι ὑμᾶς ἐκεῖ. καὶ λόγον λοιμὸν μὴ θῇς ἐν τῇ καρδίᾳ σου, ὅτι ἀγαθὸς σὺ ἐνώπιόν μου, καὶ ὀρθρίσατε ἐν τῇ ὁδῷ, καὶ φωτίσατε ὑμῖν, καὶ πορεύθητε.

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. λ'. 30.

Καὶ ὥρθρισε Δαβὶδ αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ τοῦ ἀπελθεῖν, καὶ φυλάσσειν τὴν γῆν τῶν ἀλλοφύλων, καὶ οἱ ἀλλόφυλοι ἀνέβησαν πολεμεῖν πρὸς Ἰσραήλ. καὶ ἐγκύπτει ὀξελθόντος Δαβὶδ καὶ τῶν ἀνδρῶν αὐτοῦ τὴν σικελὰγ τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ ἀμαλὴκ ἐπέβαλον ἐπὶ τὸν νότον καὶ ἐπὶ τὴν σικελὰγ, καὶ ἐπάταξε τὴν σικελὰγ καὶ ἐνεπύρισαν αὐτὴν ἐν πυρί, καὶ τὰς γυναῖκας καὶ πάντας τοὺς ἐν αὐτῇ ἀπὸ μικροῦ ἕως μεγάλου οὐκ ἐθανάτωσαν ἄνδρα οὐδὲ γυναῖκα, ἀλλ' ἠχμαλώτευσαν, καὶ ἀπῆλθον εἰς τὴν ὁδὸν αὐτῶν. Καὶ ἦλθε Δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ εἰς τὴν πόλιν, καὶ ἰδοὺ ἐμπεπύρισο ἐν πυρί, αἱ δὲ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν ἠχμαλωτεύθησαν. καὶ ἦρε Δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυσαν, ἕως ὅτου οὐκ ἦν ἐν αὐτοῖς ἰσχὺς ἔτι τοῦ κλαίειν. καὶ ἀμφότεραι αἱ γυναῖκες Δαβὶδ ἠχμαλωτεύθησαν, Ἀχινοὰμ ἡ Ἰσραηλῖτις, καὶ Ἀβιγαία ἡ γυνὴ Ναβαλ τοῦ Καρμηλίου. καὶ ἐθλίβη Δαβὶδ σφόδρα, ὅτι εἶπαν ὁ λαὸς λιθοβολῆσαι αὐτὸν· ὅτι κατώδυνος ἦν ἡ ψυχὴ παντὸς τοῦ λαοῦ, ἕκαστος ὑπὲρ τῶν υἱῶν αὐτοῦ, καὶ ὑπὲρ τῶν θυγατέρων αὐτοῦ. καὶ ἐνεπαιώθη Δαβὶδ ἐν Κυρίῳ θεῷ αὐτοῦ. καὶ εἶπε Δαβὶδ πρὸς Ἀβιάθαρ τὸν ἱερέα υἱὸν Ἀβιμέλεχ· προσάγαγέ μοι ἐφούδ, καὶ ἐπηρώτησε Δαβὶδ διὰ Κυρίου λέγων· εἰ καταδιώξω ὀπίσω τοῦ γεδδὰρ τούτου; εἰ καταλήψομαι αὐτούς; καὶ εἶπεν αὐτῷ Κύριος· καταδίωκε, ὅτι καταλαμβάνων καταλήψῃ αὐτούς, καὶ ἐξαιρούμενος ἐξελῇ. καὶ ἐπορεύθη Δαβὶδ αὐτὸς καὶ οἱ ἑξακόσιοι ἄνδρες μετ' αὐτοῦ, καὶ ἔρχονται ἕως τοῦ χειμάρρου τοῦ Βοσσόρ. καὶ οἱ πρόθυροι ἔστησαν, καὶ καταδιώξας ἐγὼ τετρακοσίοις ἀνδράσιν. ἐκάθισαν δὲ διακόσιοι ἄνδρες, οἵτινες ἐκάθισαν παρὰ τοῦ χειμάρρου τοῦ Βοσσόρ. καὶ εὑρίσκουσιν ἄνδρα αἰγύπτιον ἐν ἀγρῷ, καὶ λαμβάνουσιν αὐτὸν καὶ ἄγουσιν αὐτὸν πρὸς Δαβὶδ, καὶ διδόασιν αὐτῷ ἄρτον καὶ ἔφαγε, καὶ ἐπότισαν αὐτὸν ὕδωρ, καὶ διδόασιν αὐτῷ λικμὸν παλαθῶν, καὶ ἔφαγε καὶ κατέσχε τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, ὅτι οὐ βεβρώκει ἄρτον καὶ οὐ πεπώκει ὕδωρ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. καὶ εἶπ' αὐτῷ Δαβὶδ, πόθεν εἶ; καὶ τίνος εἶ σύ; καὶ εἶπε τὸ παιδάριον τὸ αἰγύπτιον· ἐγώ εἰμι δοῦλος ἀνδρὸς Ἀμαληκίτου, καὶ κατέλιπέ με ὁ κύριός μου, ὅτι ἠσθένησα ἐγὼ σήμερον τριταῖος. καὶ ἡμεῖς ἐπεβάλομεθα ἐπὶ τὸν νότον τοῦ Χελεθί, καὶ ἐπὶ τὰ ὅρια τοῦ Ἰουδαίας μέρη, καὶ ἐπὶ τὴν σικελὰγ ἐνεπυρίσαμεν ἐν πυρί. καὶ εἶπεν αὐτῷ Δαβὶδ· εἰ κατάξεις με ἐπὶ τὸν γεδδὰρ τοῦτον; καὶ εἶπεν· ὄμοσόν μοι κατὰ τοῦ θεοῦ μὴ θανατώσαί με, καὶ μὴ παραδοίῃς με εἰς χεῖρας τοῦ κυρίου μου, καὶ καταξω σε ἐπὶ τὸν γεδδὰρ τοῦτον. καὶ κατήγαγεν αὐτὸν ἐκεῖ. καὶ ἰδοὺ αὐτοὶ διακεχυμένοι ἐπὶ προσώπου πάσης τῆς γῆς, ἐσθίοντες καὶ πίνοντες καὶ ἑορτάζοντες ἐν πᾶσι τοῖς σκύλοις τοῖς μεγάλοις οἷς ἔλαβον ἐκ γῆς ἀλλοφύλων, καὶ ἐκ γῆς Ἰούδα. καὶ ἦλθεν ἐπ' αὐτοὺς Δαβὶδ, καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ ἑσπερινοῦ ἕως δείλης, καὶ τῆς ἐπαύριον, καὶ οὐ διεσώθη ἐξ αὐτῶν ἀνήρ, ὅτι ἀλλ' ἢ τετρακόσια παιδάρια ἅτινα ἐπέβησαν ἐπὶ τὰς καμήλους, καὶ ἔφυγον, καὶ ἀφείλατο Δαβὶδ πάντα ἃ ἔλαβον οἱ Ἀμαληκῖται, καὶ ἀμφοτέρας τὰς γυναῖκας αὐτοῦ, καὶ οὐ διεφώνησεν αὐτῶν ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἀπὸ τῶν σκύλων καὶ ἕως υἱῶν καὶ θυγατέρων, καὶ ἕως παντὸς ὧν ἔλαβον αὐτῶν, τὰ πάντα ἐπέστρεψε Δαβὶδ. καὶ ἔλαβε πάντα τὰ πρόβατα, καὶ τὰ βουκόλια, καὶ ἐπῆγαγον ἔμπροσθεν τῶν σκύλων, καὶ τοῖς σκύλοις ἐκείνοις ἐλέγετο· τοῦτα τὰ σκῦλα Δαβὶδ. καὶ παραγίνεται Δαβὶδ πρὸς τοὺς διακοσίους ἄνδρας τοὺς ὑπολειφθέντας τοῦ πορεύεσθαι ὀπίσω Δαβὶδ, καὶ ἐκάθισαν αὐτοὺς ἐν τῷ χειμάρρῳ τοῦ Βοσσόρ, καὶ ἐξῆλθον εἰς ἀπάντησιν Δαβὶδ καὶ εἰς ἀπάντησιν τοῦ λαοῦ τοῦ μετ' αὐτοῦ. καὶ προσήγαγε Δαβὶδ ἕως τοῦ λαοῦ, καὶ ἠρώτησαν αὐτὸν τὰ εἰς εἰρήνην. καὶ ἀπεκρίθη πᾶς ἀνὴρ λοιμὸς καὶ πονηρὸς τῶν ἀνδρῶν τῶν πορευθέντων μετὰ Δαβὶδ, καὶ εἶπον ὅτι οὐ κατέλιπαν μεθ' ἡμῶν, οὐ δώσομεν αὐτοῖς ἐκ τῶν σκύλων ὧν ἐξελόμεθα, ὅτι ἀλλ' ἢ ἕκαστος τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα αὐτοῦ ἀπαγέτωσαν καὶ ἀπερείφετωσαν. καὶ εἶπε Δαβὶδ· οὐ ποιήσετε οὕτως μετὰ τὸ παραδοῦναι Κύριον ἡμῖν καὶ φυλάξαι ἡμᾶς, καὶ παραδοῦναι Κύριος τὸν γεδδὰρ τὸν ἐπερχόμενον ἐφ' ἡμᾶς εἰς χεῖρας ἡμῶν, καὶ τίς ἐπακούσεται ὑμῶν τῶν λόγων τούτων; ὅτι οὐχ ἥσσον ἡμῶν εἰσὶν διόπερ τὴν μερίδα τοῦ καταβαίνοντος εἰς τὸν πόλεμον, οὕτως ἔσται ἡ μερὶς τοῦ καθημένου ἐπὶ τὰ σκεύη τὸ αὐτὸ μεριοῦνται. καὶ ἐγένετο ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπαύριον, καὶ ἐγένετο εἰς πρόσταγμα καὶ εἰς δικαίωμα τῷ Ἰσραὴλ ἕως τῆς σήμερον. καὶ ἦλθε Δαβὶδ εἰς σικελὰγ, καὶ ἀπέστειλε τοῖς πρόβυτέροις σκύλων τῶν Ἰούδα, καὶ τοῖς πλησίον αὐτοῦ λέγων· ἰδοὺ δῶρα ὑμῖν ἀπὸ τῶν σκύλων τῶν ἐχθρῶν Κυρίου τοῖς ἐν Βεθσούρ, καὶ τοῖς ἐν Ῥαμὰθ νότου, καὶ τοῖς ἐν Ἰεθθὲρ, καὶ τοῖς ἐν Ἀροὴρ, καὶ τοῖς ἐν Ἀμασὶ, καὶ τοῖς ἐν Βαφὰθ, καὶ τοῖς ἐν Ἐσθαὶ, καὶ τοῖς ἐν Γεθθὲμ, καὶ τοῖς ἐν Νικὰβ, καὶ τοῖς ἐν Ἀραχὲχ, καὶ τοῖς ἐν Θημὰθ, καὶ τοῖς ἐν Καρμήλῳ, καὶ τοῖς ἐν ταῖς πόλεσι τοῦ Ἰεριμοὺθ, καὶ τοῖς ἐν ταῖς πόλεσι τοῦ Ἀγγαῖ, καὶ τοῖς ἐν Ἰεριμοὺθ, καὶ τοῖς ἐν Βηρσαβεὲ, καὶ τοῖς ἐν νομβὲ, καὶ τοῖς ἐν Χεβρὼν, καὶ εἰς πάντας τοὺς τόπους οὓς διῆλθε Δαβὶδ ἐκεῖ, αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. λά. 31.

ΚΑὶ οἱ ἀλλόφυλοι ἐπολέμουν τὸν ἰσραὴλ, καὶ ἔφυγον οἱ ἄνδρες ἰσραὴλ ἀπὸ προσώπου τῶν ἀλλοφύλων, καὶ ἔπεσον τραυματίαι ἐν τῷ ὄρει τῷ γελβουέ, καὶ συνάπτουσιν οἱ ἀλλόφυλοι τῷ σαοὺλ, καὶ τοῖς υἱοῖς αὐτοῦ. καὶ τύπτουσιν ἀλλόφυλοι τὸν ἰωνάθαν καὶ τὸν ἀμιναδὰμ καὶ τὸν μελχισοὰ, υἱοὺς σαοὺλ, καὶ βαρύνεται ὁ πόλεμος τοῦ σαοὺλ, καὶ εὑρίσκουσιν αὐτὸν οἱ ἀκοντισταὶ ἀνδρὸς τοξότου, καὶ ἐτραυματίσθη ἐκ τῶν ἐγχονδρίων καὶ εἶπε σαοὺλ πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ· ἀνάσπασαι τὴν ῥομφαίαν σου, καὶ ἀκρωτήρισόν με ἐν αὐτῇ, μὴ ἐλθόντες οἱ ἀπερίτμητοι οὗτοι, καὶ ἀκρωτηριάσωσί με, καὶ ἐμπαίξωσιν ἐν ἐμοί. καὶ οὐκ ἠθέλησεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὅτι ἐφοβήθη σφόδρα. καὶ ἔλαβε σαοὺλ τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἐπέπεσεν ἐπ' αὐτήν. καὶ εἶδεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὅτι τέθνηκε σαοὺλ, καὶ ἔπεσε καὶ αὐτὸς ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἀπέθανε μετ' αὐτοῦ. καὶ ἀπέθανε σαοὺλ καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ, καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἅμα τὸ αὐτό. καὶ εἶδον οἱ ἄνδρες ἰσραὴλ οἱ ἐν τῷ πεδίῳ τὴν ἰορδάνου, καὶ οἱ ἐν τῷ πέραν τὸν ἰορδάνου, ὅτι ἔφυγον ἄνδρες ἰσραὴλ, καὶ ὅτι τέθνηκε σαοὺλ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ κατέλιπον τὰς πόλεις αὐτῶν καὶ φεύγουσι, καὶ ὤρχοντο οἱ ἀλλόφυλοι καὶ κατῴκησαν ἐν αὐταῖς. καὶ ἐγένετο τῇ ἐπαύριον καὶ ὤρχοντο οἱ ἀλλόφυλοι ἐκδιδύσκειν τοὺς νεκρούς, καὶ εὑρίσκουσι τὸν σαοὺλ καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ πεπτωκότας ἐπὶ τὸ ὄρος γελβουέ, καὶ ἀφελόντες αὐτὸν, καὶ ἀφεῖλον τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐξέδυσαν τὰ σκεύη αὐτοῦ, καὶ ἀπέστειλαν εἰς γῆν ἀλλοφύλων, κύκλῳ διαγγέλλοντες τοῖς εἰδώλοις αὐτῶν καὶ τῷ λαῷ αὐτῶν, καὶ ἀνέθηκαν τὰ σκεύη αὐτοῦ εἰς τὸ ἀσταρτεῖον, καὶ τὸ σῶμα αὐτοῦ κατέπηξαν ἐν τῷ τείχει βαισάν. καὶ ἀκούσαντες οἱ κατοικοῦντες ἰαβεὶς τὴν γαλααδίτιδα, ἃ ἐποίησαν οἱ ἀλλόφυλοι τῷ σαοὺλ, καὶ ἀνέστησαν πᾶς ἀνὴρ δυνάμεως, καὶ ἐπορεύθησαν ὅλην τὴν νύκτα, καὶ ἔλαβον τὸ σῶμα σαοὺλ, καὶ τὸ σῶμα ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἀπὸ τοῦ τείχους βαισάν, καὶ φέρουσιν αὐτοὺς εἰς ἰαβεὶς καὶ κατακαίουσιν αὐτοὺς ἐκεῖ. καὶ λαμβάνουσι τὰ ὀστᾶ αὐτῶν, καὶ θάπτουσιν ὑπὸ τὴν ἀγοραν τὴν ἐν ἰαβεὶς. καὶ νηστεύουσιν ἑπτὰ ἡμέρας.

Τέλος τῶν Βασιλειῶν α'.

ΒΑΣΙΛΕΙΩΝ ΔΕΥΤΕΡΑ.

ΚΕΦΑΛ. ά. 1.

ΚΑΙ ἐγένετο μετὰ τὸ ἀποθανεῖν σαοὺλ, καὶ δαβὶδ ἀνέστρεψε τύπτων τὴν ἀμαλήκ, καὶ ἐκάθισε δαβὶδ ἐν σικελάγ ἡμέρας δύο. καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ ἰδοὺ ἀνὴρ ἦλθεν ἐκ τῆς παρεμβολῆς τοῦ λαοῦ σαοὺλ, καὶ τὰ ἱμάτια αὐτοῦ διερρωγότα, καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν πρὸς δαβὶδ, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν αὐτῷ δαβὶδ· πόθεν σὺ ἥκεις; καὶ εἶπε πρὸς αὐτόν· ἐκ τῆς παρεμβολῆς ἰσραὴλ ἐγὼ διασέσωσμαι. καὶ εἶπεν αὐτῷ δαβὶδ· τίς ὁ λόγος οὗτος; ἀπάγγειλόν μοι. καὶ εἶπεν ὅτι ἔφυγεν ὁ λαὸς ἐκ τοῦ πολέμου, καὶ πεπτώκασιν πολλοὶ ἐκ τοῦ λαοῦ, καὶ ἀπέθανον καὶ σαοὺλ καὶ ἰωνάθαν, ὁ υἱὸς αὐτοῦ ἀπέθανε. καὶ εἶπε δαβὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ· πῶς οἶδας, ὅτι τέθνηκε σαοὺλ, καὶ ἰωνάθαν ὁ υἱὸς αὐτοῦ; καὶ εἶπε τὸ παιδάριον τὸ ἀπαγγέλλον αὐτῷ· περιπεπόμενα συνέβην ἐν τῷ ὄρει τῷ γελβουέ, καὶ ἰδοὺ σαοὺλ ἐπεστηρίκτο ἐπὶ τὸ δόρυ αὐτοῦ, καὶ ἰδοὺ τὰ ἅρματα καὶ οἱ ἱππάρχαι συνῆψαν αὐτῷ, καὶ ἐπέβλεψεν ἐπὶ τὰ ὀπίσω αὐτοῦ, καὶ εἶδέ με, καὶ ἐκάλεσέ με. καὶ εἶπα, ἰδοὺ ἐγώ. καὶ εἶπέ μοι, τίς εἶ σύ; καὶ εἶπα· ἀμαληκίτης ἐγώ εἰμι. καὶ εἶπε πρός με· ἐπίστηθι δὴ ἐπ' ἐμὲ καὶ θανάτωσόν με, ὅτι κατέσχε με σκότος δεινόν, καὶ ἔτι ἡ ψυχή μου ἐν ἐμοί. καὶ ἐπέστην ἐπ' αὐτὸν, καὶ ἐθανάτωσα αὐτὸν, ὅτι ᾔδειν ὅτι οὐ ζήσεται μετὰ τὸ πεσεῖν αὐτόν. καὶ ἔλαβον τὸ βασίλειον τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸν ψέλιον τὸν ἐπὶ τοῦ βραχίονος αὐτοῦ, καὶ ἐνήνοχα αὐτὰ ὧδε πρὸς τὸν κύριόν μου. καὶ ἐκράτησε δαβὶδ τῶν ἱματίων αὐτοῦ, καὶ διέρρηξεν αὐτὰ, καὶ πάντες οἱ ἄνδρες οἱ μετ' αὐτοῦ διέρρηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐκόψαντο καὶ ἔκλαυσαν καὶ ἐνήστευσαν ἕως ἑσπέρας ἐπὶ σαοὺλ καὶ ἐπὶ ἰωνάθαν τὸν υἱὸν αὐτοῦ, καὶ ἐπὶ τὸν λαὸν ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον ἰσραὴλ, ὅτι ἐπλήγησαν ἐν ῥομφαίᾳ. καὶ εἶπε δαβὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ· πόθεν εἶ σύ; καὶ εἶπεν· υἱὸς ἀνδρὸς προσήλυτος ἀμαληκίτης ἐγώ εἰμι. καὶ εἶπεν αὐτῷ δαβὶδ· πῶς οὐκ ἐφοβήθης ἐπενεγκεῖν χεῖρά σου, διαφθεῖραι τὸν χριστὸν κυρίου; καὶ ἐκάλεσε δαβὶδ ἕνα τῶν παιδαρίων αὐτοῦ, καὶ εἶπε· πορεύθητι ἀπάντησον αὐτῷ. καὶ ἐπάταξεν αὐτὸν καὶ ἀπέθανε. καὶ εἶπεν πρὸς αὐτὸν δαβὶδ· τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου, ὅτι τὸ στόμα σου ἀπεκρίθη ἐπὶ σοὶ λέγον· ὅτι ἐγὼ ἐθανάτωσα τὸν χριστὸν κυρίου. καὶ ἐθρήνησε δαβὶδ τὸν θρῆνον τοῦτον ἐπὶ σαοὺλ, καὶ ἐπὶ ἰωνάθαν τὸν υἱὸν αὐτοῦ, καὶ εἶπε τοῦ διδάξαι τοὺς υἱοὺς ἰούδα τόξευμα· ἰδοὺ γέγραπται ἐπὶ βιβλίου τῆς εὐθείας. καὶ εἶπεν· ἐλεὼν ἰσραὴλ ἐπὶ τῶν τεθνηκότων ἐπὶ τὰ ὕψη σου τραυματίαι. πῶς ἔπεσαν δυνατοί; μὴ ἀπαγγείλητε ἐν γὲθ, καὶ μὴ εὐαγγελίσησθε ἐν ταῖς

ἐξόδοις

θχόσλιις ἀσκάλων, μὴ ποτὲ δυφραυθῶσι θυγατέρδι ἀλλοφύλων, μή ποτε ἀγαλλιάσωνται θυγατέρδι τῶν ἀπιθετμήτων. ὄρη τὰ γὴ γελβυὲ μὴ λατα βάτω θρόσος, καὶ μὴ ἡ ὑετὸς ἐφ' ὑμᾶς, καὶ ἀγροὶ ἀπαρχῶν, ὅτι ἐκεῖ πωσωχθίδη θυρεὸς δωατῶν θυρεὸς σαούλ, οὐκ ἐχρίσθη γὴ ἐλαίῳ ἀφ' ἁέματος προαμαλῶν, κὴ ἀπὸ σέατος δωατῶν μτόξου ἰωνάθαν, οὐκ ἀπεστράφη λεννὸν εἰς τὰ ὀπίσω, ⸋ ῥομφαία σαούλ οὐκ αὐτκαμψε λεγνί. ⸋ σαοὺλ καὶ ἰωνάθαν οἱ ἠγαπημένοι κὴ ὡραῖοι, οὐ διακεχωρισμένοι δύπρεπεῖς γὴ τῇ ζωῇ αὐτῶν, κὴ γὴ θῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν, ὑπὲρ ἀετοὺς λέφοι, καὶ ὑπὲρ λέοντας ἐκρατυωάθησαν. θυγατέρδι ἰσραὴλ, ὧδὶ ⸋ σαοὺλ ἐλαύσατε γὴν γὴ διὰ ὑσκοντα ὑμᾶς λόκινα μετὰ λόσμα ὑμῶν, τὴν ἀναφόροντα λόσμον χρυσῶν ὧδὶ τὰ γὴ ἅματα ὑμῶν. πῶς ἔπεσαν δωατοὶ γὴ μέσῳ τδὶ πολέμου; ἰωνάθαν ἐς θάνατον ἐτραυματίσθης ὧδὶ τὰ ὕψη ⸋ τραυματία. ἀλγῶ ὧδὶ σὲ ἀδελφέ μου ἰωνάθαν, ὡραιώθης μοι σφόδρα, ἐθαυμασώθη ἡ ἀγάπησίς σε ἐμοί, ὑπὲρ ἀγάπησιν γυναικῶν. πῶς ἔπεσαν δωατοὶ, καὶ ἀπώλοντο σκεύη πολεμικά;

ΚΕΦΑΛ. Β'. 2.

ΚΑὶ ἐγγίσω μετατοῦτα, καὶ ἐπηρώτησε δαβὶδ γὴ λυρίῳ λέγων· εἰ ἀναβῶ εἰς μίαν τῶν πόλεων ἰούδα; καὶ εἶπε λύριος πῶς ἀναβῶ; ἀνάβηθι. καὶ εἶπε δαβὶδ· πᾶ ἀναβῶ; καὶ εἶπεν· εἰς χεβρών. ⸋ ἀνέβη ἐκεῖ δαβὶδ εἰς χεβρών, καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ, ἀχινοόμ ἡ ἰσραηλίτις, καὶ ἀβιγαΐα ἡ γυνὴ νάβαλ τοῦ καρμηλίτου, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ ἕκαστος κὴ ὁ οἶκος αὐτοῦ, κὴ κατῴκησαν γὴ ταῖς πόλεσι χεβρών. κὴ ἦρχοντται οἱ ἄνδρες ⸋ ἰουδαίας, κὴ χρίσασι τὸν δαβὶδ ἐκεῖ τοῦ βασιλεῦσαι ἐπὶ τὸν οἶκον ἰούδα. καὶ ἀπήγγειλαν τῷ δαβὶδ λέγοντες· ὅτι οἱ ἄνδρες ἰαβεῖς ⸋ γαλαάδ εἰσὶ ⸋· ἔθαψαν τὸν σαοὺλ, κὴ ἀπέστειλε δαβὶδ ἀγγέλους πῶς αὐτοὺς ἠγημένους ἰαβεῖς ⸋ γαλαάδ εἰσὶ ⸋. καὶ εἶπε πῶς αὐτοῖς δαβὶδ· δύλογημένοι ὑμεῖς τῷ λυρίῳ, ὅτι ἐποιήκατε τὸ ἔλεος τοῦτο ὧδὶ τὸν λύριον ὑμῶν ὧδὶ σαοὺλ τὸν χριστὸν λυρίου, καὶ ἐθάψατε αὐτὸν καὶ ἰωνάθαν τὸν υἱὸν αὐτοῦ. κὴ νῦν ποιῆσαι λύριος μεθ' ὑμῶν ἔλεος κὴ ἀλήθειαν, καί γε ἐγὼ ποιήσω μεθ' ὑμῶν τὸ ἀγαθὸν τοῦτο, ὅτι ἐποιήσατε τὸ ῥῆμα τοῦτο. καὶ νῦν κραταιώθωσαν αἱ χεῖρες ὑμῶν, κὴ γίνεσθε εἰς υἱοὺς δυναστῶν, ὅτι τέθνηκεν ὁ λύριος ὑμῶν σαοὺλ, καί γε ἐμὲ ἔχρισεν ὁ οἶκος ἰούδα ἐφ' ἑαυτοῦ εἰς βασιλέα. καὶ ἐβασίλευσεν ἰσβοσθὲ υἱὸς νὴρ ἀρχιστράτηγος σαοὺλ, ἔλαβε τὸν ἰεβοσθὲ υἱὸν σαοὺλ, καὶ ἀνεβίβασεν αὐτὸν ἐκ ⸋ παρεμβολῆς εἰς μαναείμ, καὶ ἐβασίλευσεν αὐτὸν ⸋ γαλαάδ εἰσὶ ⸋, καὶ ὧδὶ τὸν θασιεί, καὶ ὧδὶ τὸν ἰσραὴλ, καὶ ὧδὶ τὸν ἐφραείμ, κὴ ὧδὶ τὸν βενιαμὶν, κὴ ὧδὶ πάντα ἰσραήλ. τεσσαράκοντα ἐτῶν ἰεβοσθὲ υἱὸς σαοὺλ, ὅτε ἐβασίλευσεν ⸋ τὸν ἰσραὴλ, κὴ δύο ἔτη ἐβασίλευσε, πλὴν τοῦ οἴκου ἰούδα οἳ ἦσαν ὀπίσω δαβὶδ. καὶ ἐγένοντο αἱ ἡμέραι ἃς δαβὶδ ἐβασίλευσεν ⸋ χεβρὼν ἐπὶ τὸν οἶκον ἰούδα, ἑπτὰ ἔτη κὴ μῆνας ἓξ, κὴ ἐξῆλθεν ἀβεννὴρ υἱὸς νὴρ καὶ οἱ παῖδες ἰεβοσθὲ υἱοῦ σαοὺλ, ὅτε ἐβασίλευσεν μαναεὶμ εἰς γαβαών. κὴ ἰωὰβ υἱὸς σαρσίας, κὴ οἱ παῖδες δαβὶδ ἐξῆλθον ἐκ χεβρών, καὶ συναντῶσιν αὐτοῖς ἐπὶ ⸋ λιμνίω ⸋ γαβλὼν ἐπὶ τὸ αὐτό. κὴ ἐκάθισαν οὗτοι ἐπὶ ⸋ λιμνίω ⸋ τοῦτο κὴ ὅτοι ⸋ τοῦτο, κὴ εἶπεν ἀβεννὴρ πῶς ἰωὰβ· ἀναστήτωσαν δὴ τὰ παιδάρια, κὴ παιξάτωσαν ⸋ ὠπίον ἡμῶν. κὴ εἶπεν ἰωὰβ· ἀναστήτωσαν. κὴ ἀνέστησαν, κὴ ἠρίθμησαν ⸋ ἀριθμῷ τῶν βενιαμὶν παιδίων δώδεκα, τῶν ἰεβοσθὲ υἱοῦ σαοὺλ δώδεκα, κὴ δώδεκα ἐκ τῶν παιδίων δαβὶδ. κὴ ἐκράτησεν ἕκαστος τῇ χειρὶ τοῦ κεφαλοῦ τοῦ πλησίον αὐτοῦ, ⸋ μάχαιρα αὐτοῦ εἰς πλευρὰν τοῦ πλησίον αὐτοῦ, κὴ πέπτωσι ἅμα ἐπὶ τὸ αὐτό. κὴ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, μερὶς τῶν ὑπιβέλωμ, ἥτις ἐστὶν γαβαών. κὴ ἐγένετο ὁ πόλεμος σκληρὸς ὥστε λίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, κὴ ἔπεσεν ἀβεννὴρ ⸋ οἱ ἄνδρες ἰσραὴλ ἐνώπιον παιδίων δαβὶδ. κὴ ἐγένοντο ἐκεῖ τρεῖς υἱοὶ σαρσίας, ἰωὰβ κὴ ἀβεισὰ ⸋ ἀσαὴλ. κὴ ἀσαὴλ ὡσεὶ τοῖς ποσὶν αὐτοῦ, ὡσεὶ μία δορκὰς ἐν ἀγρῷ. κὴ κατεδίωξεν ἀσαὴλ ὀπίσω ἀβεννὴρ, κὴ οὐκ ἐξέκλινε τοῦ πορεύεσθαι εἰς δεξιὰ ἢ εἰς ἀριστερὰ κατόπισθεν ἀβεννήρ. κὴ ἐπέβλεψεν ἀβεννὴρ εἰς τὰ ὀπίσω αὐτοῦ, καὶ εἶπεν, εἰ σὺ εἶ αὐτὸς ἀσαήλ; κὴ εἶπεν· ἐγώ εἰμι. ⸋ εἶπεν αὐτῷ ἀβεννήρ· ἔκκλινον σὺ εἰς τὰ δεξιὰ, ἢ εἰς τὰ ἀριστερὰ, κὴ λάβε σεαυτῷ ἓν τῶν παιδαρίων, κὴ λάβε σεαυτῷ τὰ ἐνοπλίαν αὐτοῦ. κὴ οὐκ ἠθέλησεν ἀσαὴλ ἐκκλῖναι ἐκ τῶν ὄπισθεν αὐτοῦ. Καὶ προσέθετο ἔτι ἀβεννὴρ λέγων τῷ ἀσαήλ· ἀπόστηθι ἀπ' ἐμοῦ, ἵνα μὴ πατάξω σε εἰς τὴν γῆν. ⸋ πῶς ἂν ὑψώσω πρόσωπόν μου πῶς ἰωὰβ; κὴ πῶς ὅτι τοῦτο; ἐπέστρεφε πῶς ἰωὰβ τὸν ἀδελφόν σε. κὴ ἐκλέλοιπε τοῦ ἀφεῖναι, κὴ τύπτει αὐτὸν ἀβεννὴρ ἐν τῷ ὀπίσω τοῦ δόρατος αὐτοῦ ἐπὶ τὴν γῆν, κὴ διεξῆλθε τὸ δόρυ ἐκ τῶν ὀπίσω αὐτοῦ, κὴ πίπτει ἐκεῖ, κὴ ἀναστήκει ὑπὸ κάτω αὐτοῦ. κὴ ἐγένετο, πᾶς ὁ ἐρχόμενος ἕως τοῦ τόπου οὗ ἔπεσεν ἐκεῖ ἀσαήλ, ⸋ ἀπέθανε, ἀθέσατο. ⸋ κατεδίωξεν ἰωὰβ κὴ ἀβεισὰ ὀπίσω ἀβεννὴρ, κὴ ὁ ἥλιος ἔδυσε, ⸋ αὐτοὶ ἦλθον ἕως τοῦ βενοῦ ἐμμάτ, ὅστις ἐπὶ πρόσωπον γαί, ὁδὸν ἐρήμου γαβαών. κὴ συναθροίζονται οἱ υἱοὶ βενιαμὶν οἱ ὀπίσω ἀβεννὴρ, κὴ ἐγκλήθησαν εἰς συναγωγὴν μίαν, κὴ ἔστησαν ἐπὶ κεφαλὴν βενοῦ ἑνός. κὴ ἐκάλεσεν ἀβεννὴρ ἰωὰβ, κὴ εἶπεν· μὴ εἰς νῖκος κατα φάγεται ἡ ῥομφαία; ἢ οὐκ οἶδας, ὅτι πικρὰ ἔσαι εἰς τὰ ἔσχατα; ⸋ ἕως πότε οὐ μὴ

εἴπῃς

ὅπως ϑῇ λαῷ ἀφεσραφιῶαι ἀπὸ ὀπιϑε ϑῶ ἀδελφῶν ἡμῶν; καὶ εἶπεν ἰωὰϐ· ζῇ κύριος, ὅτι εἰ μὴ
λάλησας. διότι τότε ἐκ πρωΐθεν ἀνέβη ἀνὴρ ὁ λαὸς ἕκαστος κατόπιϑε τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἐστάλ
πισεν ἰωὰϐ τὴ σάλπιγγι, καὶ ἔστη πᾶς ὁ λαὸς καὶ ὁ κατεδίωξαν ὀπίσω τοῦ ἰσραὴλ, ϖ ὁ πϖσέ-
λυτο ἐπὶ τοῦ πολεμεῖν· καὶ ἀβεννὴρ καὶ οἱ ἄνδρες αὐτοῦ, καὶ ἀπῆλθον εἰς δυσμὰς ὅλιω τὴν νύ
κτα ἐκείνω, καὶ διέβασαν τὸν ἰορδάνην, καὶ ἐπορεύθησαν ὅλιω τὴν παρατάσσαν, καὶ ὄρχονται
ὡς τὴν παρεμβολήν. καὶ ἰωὰϐ ἀνέσρεψεν ὀπισθεν τοῦ ἀβεννὴρ, ϖ συνήθροισε πάντα τὸν λαόν. καὶ
οἱ πόδες ἐπεσαν τῶν ἡϖν δαβιδ ϖὴν ἕνα καὶ εἴκοσι ἄνδρας, καὶ ἀσαὴλ καὶ οἱ παῖδες δαβιδ ἐπάτα
σαν τῶν ἡϖν βενιαμὶν τῶν ἀνδρῶν ἀβεννὴρ, τριακόσιοι καὶ ἑξήκοντα ἄνδρας παρ' αὐτοῦ. καὶ
ἄρσαν τὸν ἀσαὴλ, καὶ ϑάπτουσιν αὐτὸν, ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ ἐν βηθλεέμ. καὶ ἐπορεύ
θη ἰωὰϐ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ ὅλιω τὴν νύκτα, καὶ διέφασαν αὐτοῖς ἐν χεβρών.

ΚΕΦΑΛ. γ'. 3.

Καὶ ἐγένετο ὁ πόλεμος ἰσχὺς πολὺ ἀνὰ μέσον τοῦ οἴκου σαοὺλ, καὶ ἀνὰ μέσον τοῦ οἴκου δα
βιδ, καὶ ὁ οἶκος δαβιδ ἐπορεύετο καὶ ἐκραταιοῦτο, καὶ ὁ οἶκος σαοὺλ ἐπορεύετο καὶ
ἀσθένει. καὶ ἐτέχθησαν τῷ δαβιδ υἱοὶ ἐξ ὧν χεβρών, καὶ ἦν ὁ πρωτότοκος αὐτῶν ἀμνών
τῆς ἀχινοὰμ τῆς ἰσραηλίτιδος, καὶ ὁ δεύτερος αὐτοῦ δαλαΐα τῆ ἀβιγαία τῆ καρμηλίτε, καὶ
τρίτος ἀβεσαλὼμ υἱὸς μαχὰ θυγατρὸς θολμὶ βασιλέως γασσεί, καὶ ὁ τέταρτος ὀρνίας υἱὸς
ἁγγιθ, καὶ ὁ πέμπτος σεφαΐα τῆ ἀβιτάλ, καὶ ὁ ἕκτος ἰεθραὰμ τῆ αὐγλὰχ γυναικὸς δαβιδ,
αὐτοὶ ἐτέχθησαν τῷ δαβιδ ἐν χεβρών. Καὶ ἐγένετο ἐν τῷ εἶναι τὸν πόλεμον ἀνὰ μέσον τοῦ οἴ
κου σαοὺλ, καὶ ἀνὰ μέσον τοῦ οἴκου δαβιδ, καὶ ἀβεννὴρ ἦν κρατῶν τοῦ οἴκου σαοὺλ, καὶ τῷ σαοὺλ
παλλακὴ ὀνόματι θυγάτηρ ἰωὰλ. καὶ εἰσῆλθε πρὸς αὐτὴν ἀβεννὴρ, καὶ εἶπεν ἰεβοδὲ υἱὸς σαοὺλ
πρὸς ἀβεννήρ· τί, ὅτι εἰσῆλθον πρὸς τὴν παλλακὴν τοῦ πατρός μου; καὶ ἐθυμώθη σφόδρα ἀ-
βεννὴρ περὶ τοῦ λόγου τούτου τῷ ἰεβοδὲ, καὶ εἶπεν ἀβεννὴρ πρὸς αὐτόν· μὴ κεφαλὴ κυνός ἐγώ
εἰμι; ἐποίησα σὺμβορόν ἔλεος μετὰ τοῦ οἴκου σαοὺλ τοῦ πατρός σου, καὶ πρὸς ἀδελφούς, καὶ πρὸς
οὺ γνωρίμων, καὶ οὐκ ἐνετομόλησά σε ἐν τῷ οἴκῳ δαβιδ, καὶ νῦν ζητεῖς ἐπ' ἐμὲ σὺ ἁμαρτίαν ἀδι-
κίας γυναικὸς σὺμβορόν; τάδε ποιήσαι ὁ θεὸς τῷ ἀβεννὴρ, καὶ τάδε προσθείη αὐτῷ, ὅτι καθὼς
ὤμοσε κύριος τῷ δαβιδ, ὅτως ποιήσω αὐτῷ ἐγὼ τὴν ἡμέραν ταύτην, μεταθεῖναι τὴν βασιλείαν
ἀπὸ τοῦ οἴκου σαοὺλ, καὶ τοῦ ἀναστῆσαι τὸν θρόνον δαβιδ ἐπὶ τὸν ἰσραὴλ, καὶ ἐπὶ τὸν ἰούδαν, ἀπὸ
δαν καὶ ἕως βηρσαβεέ. καὶ οὐκ ἐδυνάσητο ἔτι ἰεβοδὲ ἀποκριθῆναι τῷ ἀβεννὴρ ῥῆμα, ἀπὸ τοῦ φοβη
θῆναι αὐτόν. καὶ ἀπέσειλεν ἀβεννὴρ ἀγγέλους πρὸς δαβιδ εἰς θαιλὰμ, λέ ων, πρὸς μὲ ῥῆμα λέγων·
διάθου διαθήκην σε μετ' ἐμοῦ, καὶ ἰδοὺ ἡ χείρ μου μετά σοῦ, τοῦ ἐπιστρέψαι πρὸς σὲ πάντα τὸν οἶ-
κον ἰσραὴλ. καὶ εἶπε δαβιδ· καλῶς ἐγὼ διαθήσομαι πρὸς σὲ διαθήκην, πλὴν λόγον ἕνα ἐγὼ
αἰτοῦμαι παρὰ σοῦ λέγων· οὐκ ὄψει τὸ πρόσωπόν μου, ἐὰν μὴ ἀγάγῃς τὴν μελχὸλ θυγατέρα
σαοὺλ, πορευομένου σου ἰδεῖν τὸ πρόσωπόν μου. καὶ ἀπέσειλε δαβιδ πρὸς ἰεβοδὲ υἱὸν σαοὺλ
ἀγγέλους λέγων· ἀπόδος μοι τὴν γυναῖκα μου τὴν μελχόλ, ἣν ἔλαβον ἐν ἑκατὸν ἀκροβυστίαις
ἀλλοφύλων. καὶ ἀπέστειλεν ἰεβοδὲ, καὶ ἔλαβεν αὐτὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς παρὰ φαλτιὴλ
υἱοῦ σελλήμ, καὶ ἐπορεύετο ὁ ἀνὴρ αὐτῆς μετ' αὐτῆς κλαίων ὀπίσω αὐτῆς ἕως βασελμ. καὶ εἶπε
πρὸς αὐτὸν ἀβεννήρ· πορεύου ἀνάστρεφε, καὶ ἀνέστρεψε. καὶ εἶπεν ἀβεννὴρ πρὸς αὐτὸν πορεύου
πόρρω ἰσραὴλ λέγων· χθὲς καὶ τρίτην ἐζητεῖτε τὸν δαβιδ βασιλεύειν ἐφ' ὑμᾶς. καὶ νῦν ποιή
σατε, ὅτι κύριος ἐλάλησε πρὸς δαβιδ λέγων· ἐν χειρὶ τοῦ δούλου μου δαβιδ σώσω τὸν ἰ-
σραὴλ ἐκ χειρὸς τῶν ἀλλοφύλων, καὶ ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ. καὶ ἐλάλησεν ἀ-
βεννὴρ καὶ γε ἐν τοῖς ὠσὶ βενιαμίν. καὶ ἐπορεύθη ἀβεννὴρ τοῦ λαλῆσαι εἰς τὰ ὦτα δαβιδ εἰς
χεβρών, πάντα ὅσα ἤρεσεν ἐν ὀφθαλμοῖς ἰσραὴλ, καὶ ἐν ὀφθαλμοῖς παντὸς οἴκου βενιαμίν.
καὶ ἦλθεν ἀβεννὴρ πρὸς δαβιδ εἰς χεβρών καὶ μετ' αὐτοῦ εἴκοσι ἄνδρες, καὶ ἐποίησε δαβιδ
τῷ ἀβεννὴρ καὶ τοῖς ἀνδράσι τοῖς μετ' αὐτοῦ πότον. καὶ εἶπεν ἀβεννὴρ πρὸς δαβιδ· ἀναστήσο
μαι δὴ καὶ πορεύσομαι, καὶ συναθροίσω πρὸς τὸν κύριόν μου τὸν βασιλέα πάντα ἰσραὴλ, καὶ
διαθήσομαι μετ' αὐτοῦ διαθήκην, καὶ βασιλεύσεις ὧν πᾶσιν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ ἀπέ
στειλε δαβιδ τὸν ἀβεννὴρ, καὶ ἐπορεύθη ἐν εἰρήνῃ. καὶ ἰδοὺ οἱ παῖδες δαβιδ καὶ ἰωὰϐ παρε
γίνοντο ἐκ τῆς ἐξόδου, καὶ σκῦλα πολλὰ ἔφερον μεθ' ἑαυτῶν. καὶ ἀβεννὴρ οὐκ ἦν μετὰ δα-
βιδ εἰς χεβρών, ὅτι ἀπέστειλεν αὐτὸν, καὶ ἀπῆλθεν ἐν εἰρήνῃ. καὶ ἰωὰϐ καὶ πᾶσα ἡ στρατιὰ
αὐτοῦ ἦλθοσαν, καὶ ἀπήγγειλε τῷ ἰωὰϐ λέγοντες· ἥκει ἀβεννὴρ υἱὸς νὴρ πρὸς δαβιδ, καὶ ἀπέ
στειλεν αὐτὸν, καὶ ἀπῆλθεν ἐν εἰρήνῃ. καὶ εἰσῆλθεν ἰωὰϐ πρὸς τὸν βασιλέα καὶ εἶπε· τί τοῦτο
ἐποίησας; ἰδοὺ ἦλθεν ἀβεννὴρ πρός σε, καὶ ἵνατί ἐξαπέστειλας αὐτὸν, καὶ ἀπῆλθεν ἐν εἰρή
νῃ; ἢ οἶδας τὸν κανὸν ἀβεννὴρ υἱὸν νὴρ, ὅτι ἀπάτησέ σε πεῖσαι σε, καὶ γνῶναι τὴν ἔσο-
δόν σου καὶ τὴν ἔξοδόν σε, καὶ γνῶναι ἅπαντα ὅσα σὺ ποιεῖς; καὶ ἀνέστρεψεν ἰωὰϐ ἀπὸ τοῦ δα
βιδ, καὶ ἀπέστειλεν ἀγγέλους πρὸς ἀβεννὴρ ὀπίσω αὐτοῦ, καὶ ἀπέστρεψαν αὐτὸν ἀπὸ τοῦ φρέα
τος τοῦ σειρᾶ, καὶ δαβιδ οὐκ ἤδει. καὶ ἀπέστρεψε τὸν ἀβεννὴρ εἰς χεβρών, καὶ ἐξέκλινεν αὐ-

τὴν ἰωὰβ ἐκ πλαγίου ἢ πύλης λαλῆσαι πρὸς αὐτὸν γνῶσιν οὗ. καὶ ἐπάταξεν αὐτὸν ὧδε ἐ
ψοας ἐκεῖ, καὶ ἀπέθανεν ἐν τῷ αἵματι ἀσαὴλ τοῦ ἀδελφοῦ ἰωάβ. καὶ ἦκεσε δαβὶδ μετὰ παν
τα, καὶ εἶπεν· ἀθῷός εἰμι ἐγὼ καὶ ἡ βασιλεία μου ἀπὸ κυρίου, ἀπὸ τοῦ αἵ
ματος ἀβεννὴρ υἱοῦ νηρ. καταντησάτωσαν ἐπὶ κεφαλὴν ἰωάβ, καὶ ὧδε πάντα τὸν οἶκον
τοῦ πατρὸς αὐτοῦ, καὶ μὴ ἐκλείποι ἐκ τοῦ οἴκου ἰωάβ γονορρύης, καὶ λεπρὸς, καὶ κρατῶν σκυτά
λην, καὶ πίπτων ἐν ῥομφαίᾳ, καὶ ἐλαττούμενος ἄρτοις. ἰωὰβ δὲ καὶ ἀβεσσὰ ὁ ἀδελφὸς αὐτοῦ
ἐξεπορεύετο ὀπίσω τοῦ ἀβεννήρ, ἀνθ' ὧν ἐθανάτωσε Ἀσαὴλ τὸν ἀδελφὸν αὐτῶν ἐν γαβαὼν ἐν τῷ
πολέμῳ. καὶ εἶπε δαβὶδ πρὸς ἰωὰβ καὶ πρὸς πάντα τὸν λαὸν τοὺς μετ' αὐτοῦ· διαῤῥήξατε τὰ
ἱμάτια ὑμῶν, καὶ περιζώσασθε σάκκους, καὶ κόπτεσθε ἔμπροσθεν ἀβεννήρ. καὶ ὁ βασιλεὺς δαυὶ
δ ἐπορεύετο ὀπίσω τῆς κλίνης, καὶ θάπτουσι τὸν ἀβεννὴρ ἐν χεβρών. καὶ ἦρεν ὁ βασιλεὺς τὴν
φωνὴν αὐτοῦ, καὶ ἔκλαυσεν ὧδε τὸν τάφον αὐτοῦ, καὶ ἔκλαυσε πᾶς ὁ λαὸς ὧδε ἀβεννήρ. καὶ ἐθρή
νησεν ὁ βασιλεὺς ὧδε ἀβεννήρ, καὶ εἶπεν· εἰ κατὰ τὸν θάνατον νάβαλ ἀποθανεῖται ἀβεννήρ; αἱ
χεῖρές σου οὐκ ἐδέθησαν, οἱ πόδες σου οὐκ ἐν πέδαις, ὡς πρὸ πίπτειν σε ὡς νάβαλ, ἐνώπιον υἱῶν ἀδι
κίας ἔπεσας. καὶ συνήχθησαν πᾶς ὁ λαὸς τοῦ κλαῦσαι αὐτόν. καὶ ἦλθε πᾶς ὁ λαὸς τοῦ προσλα
βεῖν ἄρτον δαβὶδ ἔτι ὄντος ἡμέρας, καὶ ὤμοσε δαβὶδ λέγων· τάδε ποιήσαι μοι ὁ θεὸς
καὶ τάδε προσθείη, ὅτι ἐὰν μὴ δύσῃ ὁ ἥλιος ἀπὸ μὴ γεύσομαι ἄρτου, ἢ ἀπὸ παντὸς πνος. καὶ ἔγνω
πᾶς ὁ λαὸς, καὶ ἤρεσεν ἐνώπιον αὐτῶν πάντα ὅσα ἐποίησεν ὁ βασιλεὺς ἐνώπιον τοῦ λαοῦ. καὶ
ἔγνω πᾶς ὁ λαὸς, καὶ πᾶς ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι οὐκ ἐγένετο παρὰ τοῦ βασιλέως τοῦ
θανατῶσαι τὸν ἀβεννὴρ υἱὸν νηρ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τοὺς παῖδας αὐτοῦ· οὐκ οἴδατε ὅ
τι ὁ ἡγούμενος καὶ μέγας ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐν τῷ ἰσραήλ; καὶ ὅτι ἐγὼ εἰμὶ συγγενὴς
σήμερον, καὶ κατεκαμψόμην ὑπὸ τῶν βασιλέως; οἱ δὲ ἄνδρες υἱοὶ σαρουΐα σκληροί μοι εἰσὶν
αὐτὰ ποιῶν κύριος τὸν ποιοῦντα τὰ πονηρὰ κατὰ τὴν κακίαν αὐτοῦ.

ΚΕΦΑΛ. λ'. 4.

Καὶ ἤκουσε ἰεβοδὲ υἱὸς σαὼλ, ὅτι τέθνηκεν ἀβεννὴρ υἱὸς νὴρ ἐν χεβρών, καὶ ἐξελύθησαν αἱ
αἱ χεῖρες αὐτοῦ, καὶ πᾶς οἶκος ἰσραὴλ παρεθύμησαν, καὶ δύο ἄνδρες ἡγούμενοι
συστρεμμάτων τοῦ ἰεβοδὲ υἱῷ σαὼλ, ὄνομα τῷ ἑνὶ βαανὰ, καὶ ὄνομα τῷ δευτέρῳ ῥηχάβ, υἱοὶ
ῥεμμὼθ τοῦ βηρωθαίου ἐκ τῶν υἱῶν βενιαμὶν, ὅτι καὶ βηρὼθ ἐλογίζετο τοῖς υἱοῖς βενιαμίν. καὶ ἀπ
έδρασαν οἱ βηρωθαῖοι εἰς γεθαὶ, καὶ ἦσαν ἐκεῖ παροικοῦντες ἕως τῆς ἡμέρας ταύτης. καὶ τῷ
ἰωνάθαν υἱῷ σαοὺλ, υἱὸς πεπληγὼς τοὺς πόδας υἱὸς ἐτῶν πέντε, καὶ ἔτος ἐν τῷ ἐλθεῖν τὴν
ἀγγελίαν σαὼλ, καὶ ἰωνάθαν τὸν υἱὸν αὐτοῦ ἐξ ἰεβρεὲλ, καὶ ἦρεν αὐτὸν ἡ τιθήνη αὐτοῦ, καὶ ἔφυ
γε. καὶ ἐγένετο ἐν τῷ σπουδάζειν αὐτὴν, ἀναχωρεῖν, καὶ ἔπεσε, καὶ ἐχωλάνθη, καὶ ὄνομα αὐτῷ
μεμφιβοδὲ. καὶ ἐπορεύθησαν οἱ υἱοὶ ῥεμμὼν τοῦ βηρωθαίου ῥηχὰβ, καὶ βαανὰ, καὶ εἰσῆλθον
ἐν τῷ καύματι τῆς ἡμέρας εἰς οἶκον ἰεβοδὲ, καὶ αὐτὸς ἐκάθευδεν ἐν τῇ κοίτῃ τῆς μεσημβρίας,
καὶ ἰδοὺ ἡ θυρωρὸς τοῦ οἴκου ἐκάθαιρε πυρούς, καὶ ἐνύσταξε. καὶ ἐκάθευδε. καὶ ῥηχὰβ, καὶ βαανὰ
οἱ ἀδελφοὶ, διῆλθον καὶ εἰσῆλθοσαν εἰς τὸν οἶκον, καὶ ἰεβοδὲ ἐκάθευδεν ἐπὶ τῆς κλίνης αὐτοῦ
ἐν τῷ οἰκῶνι αὐτοῦ, καὶ τύπτουσιν αὐτὸν, καὶ θανατοῦσιν αὐτὸν, καὶ ἀφαιροῦσι τὴν κεφαλὴν
αὐτοῦ. καὶ λαβόντες τὴν κεφαλὴν αὐτοῦ ἀπῆλθον ὁδὸν τὴν κατ' ἀνατολὰς ὅλην τὴν νύκτα.
καὶ ἐπέγναν τὴν κεφαλὴν ἰεβοδὲ ἐν βαιθὴλ εἰς χεβρών, καὶ εἶπον πρὸς τὸν βασιλέα· ἰδοὺ
ἡ κεφαλὴ ἰεβοδὲ υἱοῦ σαοὺλ τοῦ ἐχθροῦ σου, ὃς ἐζήτει τὴν ψυχήν σου, καὶ ἔδωκε κύριος τῷ
κυρίῳ ἡμῶν τῷ βασιλεῖ, ἐκδίκησιν τῷ ἐχθρῷ αὐτοῦ ὡς ἡ ἡμέρα αὕτη, ἐκ σαὼλ τοῦ ἐχθροῦ σου,
καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ. καὶ ἀπεκρίθη δαβὶδ τῷ ῥηχὰβ, καὶ τῷ βαανὰ ἀδελφῷ αὐτοῦ
υἱοῖς ῥεμμὼν τοῦ βηρωθαίου, καὶ εἶπεν αὐτοῖς· ζῇ κύριος ὃς ἐλυτρώσατο τὴν ψυχήν μου ἐκ πάσ
ης θλίψεως, ὅτι ὁ ἀπαγγέλας μοι ὅτι τέθνηκε σαὼλ, καὶ ἰωνάθαν, καὶ αὐτὸς ὡς εὐαγγελιζόμε
νος ἐνώπιόν μου, καὶ κατέσχον αὐτὸν, καὶ ἀπέκτεινα αὐτὸν ἐν σικελὰκ, ᾧ ἔδει με δοῦναι δῶ
ρα ἀγγελίας. καὶ νῦν ἄνδρας πονηροὶ ἀπέκτακασιν ἄνδρα δίκαιον ἐν τῷ οἴκῳ αὐτοῦ ἐπὶ τῆς κλί
νης αὐτοῦ· καὶ νῦν ἐκζητήσω τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν ὑμῶν, καὶ ἐξολοθρεύσω ὑμᾶς ἐκ τῆς γῆς;
καὶ ἐνετείλατο δαβὶδ τοῖς παιδαρίοις αὐτοῦ, καὶ ἀπέκτειναν αὐτούς, καὶ ἐκρέβασιν τὰς χεῖ
ρας αὐτῶν καὶ τοὺς πόδας αὐτῶν, καὶ ἐκρέμασαν αὐτοὺς ἐπὶ τῆς κρεμνῆς ἐν χεβρών, καὶ τὴν κεφα
λὴν ἰεβοσθε, καὶ ἔθαψαν ἐν τῷ τάφῳ ἀβεννὴρ υἱοῦ νὴρ ἐν χεβρών.

ΚΕΦΑΛ. ε'. 5.

Καὶ παραγίνονται πᾶσαι αἱ φυλαὶ ἰσραὴλ πρὸς δαβὶδ εἰς χεβρών, καὶ εἶπον αὐτῷ· ἰδοὺ
ὀστᾶ σου, καὶ σάρκες σου ἡμεῖς, καὶ ἐχθὲς, καὶ τρίτην ὄντος σαοὺλ βασιλέως ἐφ' ἡμᾶς,
σὺ ἦσθα ὁ ἐξάγων, καὶ εἰσάγων τὸν ἰσραήλ. καὶ εἶπε κύριος πρὸς σέ· σὺ ποιμανεῖς τὸν λαόν μου
τὸν ἰσραήλ, καὶ σὺ ἔσῃ εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου ἰσραήλ. καὶ ἦρχοντο πάντες οἱ πρεσβύ
τεροι ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς χεβρών, καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς δαβὶδ διαθήκην ἐν
χεβρών ἐνώπιον κυρίου, καὶ χρίουσι τὸν βασιλέα δαβὶδ ἐπὶ πάντα ἰσραήλ. υἱὸς τριάκοντα ἐτῶν
δαβὶδ,

δαβὶδ γὰρ τοῦ βασιλεύειν αὐτὸν, καὶ τεσσαράκοντα ἐτῶν ἐβασίλευσεν. ἑπτὰ ἔτη, καὶ μῆνας ἓξ ἐβασίλευσεν γὰρ χεβρὼν ἐπὶ τοῦ ἰούδα, καὶ τριάκοντα καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ πᾶν τὸν ἰσραὴλ καὶ ἰούδαν γῆ ἱερουσαλήμ. καὶ ἀπῆλθε δαβὶδ, καὶ πάντες οἱ ἄνδρες αὐτοῦ εἰς ἱερουσαλὴμ πρὸς τὸν ἰεβουσαῖον τὸν κατοικοῦντα τὴν γῆν. καὶ ἐρρέθη τῷ δαβὶδ· οὐκ εἰσελεύσῃ ὧδε, ὅτι ἀπέστησαν οἱ τυφλοὶ, καὶ οἱ χωλοὶ λέγοντες· ὅτι οὐκ εἰσελεύσεται δαβὶδ ὧδε. καὶ προκατελάβετο δαβὶδ τὴν προσοχὴν σιὼν, αὕτη ἡ πόλις τοῦ δαβὶδ. καὶ εἶπε δαβὶδ γὰρ τῇ ἡμέρᾳ ἐκείνῃ· πᾶς τύπτων ἰεβουσαῖον, ἁπτέσθω γὰρ παραξιφίδι, καὶ τοὺς χωλοὺς, καὶ τοὺς τυφλοὺς, καὶ τοὺς μισοῦντας τὴν ψυχὴν δαβὶδ. διὰ τοῦτο ῥήσει χωλοὶ, καὶ τυφλοὶ οὐκ εἰσελεύσονται εἰς οἶκον κυρίου. καὶ ἐκάθισε δαβὶδ γὰρ τῇ προσοχῇ, καὶ ἐκλήθη αὕτη ἡ πόλις δαβίδ. καὶ ᾠκοδόμησεν αὐτὴν πόλιν κύκλῳ ἀπὸ τῆς ἄκρας, καὶ γῆν οἶκον αὐτοῦ. καὶ ἐπορεύετο δαβὶδ πορευόμενος, καὶ μεγαλυνόμενος, καὶ κύριος παντοκράτωρ μετ' αὐτοῦ. καὶ ἀπέστειλε χειρὰμ βασιλεὺς τύρου ἀγγέλους πρὸς δαβὶδ, καὶ ξύλα κέδρινα, καὶ τέκτονας ξύλων καὶ τέκτονας λίθων, καὶ ᾠκοδόμησαν οἶκον τῷ δαβὶδ. καὶ ἔγνω δαβὶδ, ὅτι ἡτοίμασεν αὐτὸν κύριος εἰς βασιλέα ἐπὶ ἰσραὴλ, καὶ ὅτι ἐπήρθη ἡ βασιλεία αὐτοῦ διὰ γῆν λαὸν αὐτοῦ ἰσραήλ. καὶ ἔλαβε δαβὶδ ἔτι γυναῖκας, καὶ παλλακὰς ἐξ ἱερουσαλήμ, μετὰ τὸ ἐλθεῖν αὐτὸν ἐκ χεβρών. καὶ ἐγένοντο τῷ δαβὶδ ἔτι υἱοὶ, καὶ θυγατέρες. καὶ ταῦτα τὰ ὀνόματα τῶν γεννηθέντων αὐτῷ γῆ ἱερουσαλήμ, σαμμούς, καὶ σωβάβ, καὶ νάθαν, καὶ σαλωμών, καὶ ἐβαὰρ, καὶ ἐλισουέ, καὶ ναφὶκ, καὶ ἐφίε, καὶ ἐλισαμὰ, καὶ ἐλιδαέ, καὶ ἐλφαλάθ, σαμαὲ, ἐοσιβάθ, νάθαν, γαλομαὺ, ἰεβαὰρ, θεηβσελφαλάθ, ναγέθ, ναφὲκ, ἰωνάθαν, καὶ ἀσεμὶς, βωαλιμάθ, ἐλιφαάθ. καὶ ἤκουσαν οἱ ἀλλόφυλοι ὅτι ἐχρισαν δαβὶδ βασιλεὺς ἐπὶ ἰσραὴλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζητεῖν γὰρ δαβίδ. καὶ ἤκουσε δαβὶδ καὶ κατέβη εἰς τὴν προσοχὴν, καὶ οἱ ἀλλόφυλοι παραγίνονται, καὶ συνέπεσαν εἰς τὴν κοιλάδα τῶν τιτάνων. καὶ ἠρώτησε δαβὶδ ἐξ τοῦ κυρίου λέγων· εἰ ἀναβῶ πρὸς τοὺς ἀλλοφύλους, καὶ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ εἶπε κύριος πρὸς δαβίδ· ἀνάβαινε, ὅτι παραδίδων παραδώσω τοὺς ἀλλοφύλους εἰς τὰς χεῖράς σου. καὶ ἦλθε δαβὶδ ἐκ τῶν ἐπάνω δαιμονίων, καὶ ἐκόψε τοὺς ἀλλοφύλους ἐκεῖ. καὶ εἶπε δαβίδ· διέκοψε κύριος τοὺς ἐχθρούς μου τοὺς ἀλλοφύλους γῶπιον ἐμοῦ, ὡς διακόπτεται ὕδατα. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, ἐπάνω διακοπῶν. καὶ κατέλιπαν σύρους ἐκεῖ τοὺς θεοὺς αὐτῶν. καὶ ἔλαβον αὐτοὺς δαβὶδ, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ. καὶ εἶπε δαβὶδ· κατακαῦσαι αὐτοὺς γὰρ πυρί. καὶ προσέθηκαν ἔτι οἱ ἀλλόφυλοι τοῦ ἀναβῆναι, καὶ συνέπεσαν γῆ τῇ κοιλάδι τῶν τιτάνων. καὶ ἐπηρώτησε δαβὶδ διὰ κυρίου λέγων· εἰ ἀναβῶ πρὸς τοὺς ἀλλοφύλους, καὶ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ εἶπε κύριος· οὐκ ἀναβήσει εἰς συναντησιν αὐτῶν, ἀπόστρεψαι ἀπ' αὐτῶν, καὶ παρέσῃ αὐτοῖς πλησίον τοῦ λαλυθμῶνος, καὶ ἔσαι γὰρ τοῦ ἀκοῦσαί σε τὸν φωνὸν τοῦ συσεισμοῦ τοῦ ἄλσους τοῦ λαλυθμῶνος, τότε καταβήσῃ πρὸς αὐτούς, ὅτι τότε ἐξελεύσεται κύριος ἔμπροσθέν σου, πατάξαι γὰρ τοῦ παλέμῳ τῶν ἀλλοφύλων. καὶ ἐποίησε δαβὶδ καθὼς ἐνετείλατο αὐτῷ κύριος, καὶ ἐπάταξε τοὺς ἀλλοφύλους ἀπὸ γαβαὼν ἕως γαζηρά.

ΚΕΦΑΛ. ϛ'. ζ.

Καὶ συνήγαγεν ἔτι δαβὶδ πάντα νεανίαν ἐξ ἰσραὴλ, ὡς ἑβδομήκοντα χιλιάδας. καὶ ἀνέστη, καὶ ἐπορεύθη δαβὶδ, καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ, καὶ ἀπὸ τῶν ἀρχόντων ἰούδα γὰρ ἀναβάσει τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν τοῦ θεοῦ, ἐφ' ᾗ ἐπεκλήθη τὸ ὄνομα τοῦ κυρίου τῶν δυνάμεων καθημένου ἐπὶ τῶν χερουβεὶμ ἐπ' αὐτῆς. καὶ ἐπεβίβασαν τὴν κιβωτὸν τοῦ κυρίου ἐφ' ἅμαξαν καινὴν, καὶ ἦραν αὐτὴν ἐξ οἴκου ἀμινασλὲβ τοῦ γὰρ βοωῶ. καὶ ὀζὰ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ γίοὶ ἀμινασλὲβ, ἦγον τὴν ἅμαξαν σὺν τῇ κιβωτῷ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ. καὶ δαβὶδ καὶ γίοὶ ἰσραὴλ παίζοντες γώπιον κυρίου γὰρ ὀργάνοις ἡρμοσμένοις γὰρ ἰσχύι, καὶ γὰρ ᾠδαῖς, καὶ γὰρ κινύραις, καὶ γὰρ ναύλαις, καὶ γὰρ τυμπάνοις, καὶ γὰρ κυμβάλοις, καὶ γὰρ αὐλοῖς, καὶ παραγίνονται ἕως ἁλὼνων ναχώρ. καὶ ἐξέτεινεν ὀζὰ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτὸν τοῦ θεοῦ καὶ κατεῖχεν αὐτὴν, καὶ ἐκράτησεν αὐτὴν, ὅτι πολιάσασαν ἦν αὐτὴν ὁ μόσχος. καὶ ἐθυμώθη ὀργῇ κύριος τοῦ ὀζὰ, καὶ ἔπαισεν αὐτὸν ἐκεῖ ὁ θεὸς, καὶ ἀπέθανεν ἐκεῖ παρὰ τὴν κιβωτὸν κυρίου γώπιον τοῦ θεοῦ. καὶ ἐθυμώθη δαβὶδ ἕνεκεν διέκοψε κύριος ὀζά, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐφοβήθη δαβὶδ τὸν κύριον γῆ τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· πῶς εἰσελεύσεται πρός με ἡ κιβωτὸς τοῦ θεοῦ; καὶ οὐκ ἐβούλετο δαβὶδ τοῦ ἐκκλίναι πρὸς αὐτὸν τὴν κιβωτὸν διαθήκης κυρίου εἰς τὴν πόλιν δαβὶδ, καὶ ἀπέκλινεν αὐτὴν δαβὶδ εἰς οἶκον ἀβεδδαρὰ τοῦ γεθθαίου, καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ κυρίου γῆ οἴκῳ ἀβεδδαρὰ τοῦ γεθθαίου μῆνας τρεῖς. καὶ εὐλόγησε κύριος ὅλον τὸν οἶκον ἀβεδδαρὰ καὶ πάντα τὰ αὐτοῦ, καὶ ἀπηγγέλη τῷ βασιλεῖ δαβὶδ λέγοντες· εὐλόγησε κύριος τὸν οἶκον ἀβεδδαρὰ, καὶ πάντα τὰ αὐτοῦ, γένεκα τῆς κιβωτοῦ τοῦ θεοῦ. καὶ ἐπορεύθη δαβὶδ, καὶ ἀνήγαγε τὴν κιβωτὸν κυρίου ἐκ τοῦ οἴκου ἀβεδδαρὰ εἰς τὴν πόλιν δα-

βίδ γὼ δύφροσῦη. καὶ ἦσαν μετ' αὐτ῀ ἀέροντες τ῀ν μιβωτὸν μυείᾳ ἐπ῀ χορ῀, καὶ θύμα μό-
χε, καὶ ἀρνόν. καὶ δαβὶδ καὶ κεκρέ῀ λέγων γὼ ὀργάνοις ἡρμοσμένοις γὼ πνεύματι μυείᾳ, καὶ ὁ δα-
βὶδ γὼ δεδύκως σολμὼ ἐξάλλετο. καὶ δαβὶδ, κ῀ πᾶς ὁ οἶκος ἰσρα῀λ ἀνήγαγον τ῀ν μιβωτ῀ τ῀
μυείᾳ μετὰ ἀλαλαγμ῀ς, καὶ μετὰ φων῀ς σάλπιγγ῀. καὶ ἐγένε῀ τ῀ς μιβωτ῀ πορευομένης ἕως
πόλεως δαβὶδ, καὶ μελχὸλ ἡ θυγάτ῀ρ σαοὺλ διέκυπτε διὰ τ῀ς θυρίδ῀, καὶ εἶδε τὸν βασι-
λέα δαβὶδ ὀρχούμενον καὶ ἁλλομένον γὼ πνεύματι μυείᾳ, καὶ ἐξουδένωσεν αὐτὸν γὼ τ῀ῖ καρ-
δίᾳ ἑαυτ῀ς, καὶ εἰσήνεγκαν τ῀ν μιβωτὸν τ῀ μυείᾳ, καὶ ἀπέθηκαν αὐτ῀ν εἰς τὸν τόπον αὐτ῀ς
εἰς μέσον γ῀ σκην῀ς, ἃς ἔπηξεν γὼ αὐτ῀ῖ δαβίδ. κ῀ ἀνέβ῀νεγκε δαβὶδ ὁλοκαυτώματα γὼ πνεύ-
μυείᾳ εἰς εἰρην῀κὰς, καὶ συνετέλεσε δαβὶδ ἀναφορὰν τὰς ὁλοκαυτώσεις, καὶ τὰς εἰρην῀κὰς,
καὶ εὐλόγησε τὸν λαὸν γὼ ὀνόματι μυείᾳ γ῀ῶ δυνάμεων. καὶ διεμέρισε παντὶ γ῀ῳ λαῷ εἰς πᾶ-
σαν τ῀ν δυνάμιν τ῀ ἰσρα῀λ, ἀπὸ δαὺ ἕως βηρσαβεὲ, καὶ ἀπ' ἀνδρὸς ἕως γυναικὸς ἑκάσῳ
κολλυρίδα ἀρτ῀ καὶ ἐγκαρίτ῀ν, καὶ λάγανον ἀπ' τηγάνου. καὶ ἀπ῀λθε πᾶς ὁ λαὸς ἕκαστος εἰς
τὸν οἶκον αὐτ῀, κ῀ ἐπέστρεψε δαβὶδ εὐλογ῀σαι τὸν οἶκον αὐτ῀. κ῀ ἐξ῀λθε μελχὸλ ἡ θυγάτ῀ρ
σαὺλ εἰς ἀπάντησιν δαβὶδ, καὶ εὐλόγησεν αὐτὸν, κ῀ εἶπε· τί ἐνεδόξασε σήμερον ὁ βασιλεὺς
ἰσρα῀λ; ὃς ἀπεκαλύφθη σήμερον γὼ ὀφθαλμοῖς παιδισκῶν γ῀ῶ δούλων ἑαυτ῀, παθὼς ἀπο-
κα῀πέτω ἀπο καλυφθεὶς εἷς γ῀ῶ ὀρχουμένων; καὶ εἶπε δαβὶδ πρὸς μελχόλ· γὼ πνεύματι μυείᾳ ὀρχή-
σομαι, καὶ εὐλογ῀θ῀ς μυείᾳ ὃς ἐξελέξατό με ὑπὲρ τὸν πατέρά σου καὶ ὑπὲρ πάντα τὸν οἶ-
κον αὐτ῀, τ῀ῖ καταστ῀σαί με εἰς ἡγούμενον ἐπὶ τὸν λαὸν αὐτ῀ ἐπὶ τὸν ἰσρα῀λ, καὶ παίξομαι,
καὶ ὀρχήσομαι γὼ πνεύματι μυείᾳ, καὶ ἀπο καλυφθήσομαι ἔτι ὅτως, κ῀ ἔσομαι ἀχρεῖ῀ γὼ ὀφθαλμοῖς
σε, κ῀ μετὰ παιδισκῶν ὧν εἶπάς με μὴ δοξασθ῀ναι. καὶ τ῀ῖ μελχὸλ θυγατρὶ σαοὺλ οὐκ ἐγένε῀
παιδίον ἕως ἡ ἡμέρας τ῀ ἀποθανεῖν αὐτ῀ν.

ΚΕΦΑΛ. ζ' 7.

Καὶ ἐγένε῀ ὅτε ἐκάθισεν ὁ βασιλεὺς γὼ τ῀ῖ οἴκῳ αὐτ῀ῖ, καὶ μυείᾳ κατεκληρονόμησεν
αὐτὸν μυκλόθ῀ν ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτ῀ῖ μύκλῳ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς νά-
θαν τὸν προφήτ῀ν· ἰδοὺ δὴ ἐγὼ κατοικῶ γὼ οἴκῳ κεδρίνῳ, καὶ ἡ μιβωτὸς τ῀ῖ θεοῦ καθῆσε-
ται γὼ μέσῳ γ῀ σκην῀ς. καὶ εἶπεν νάθαν πρὸς τὸν βασιλέα· πάντα ὅσα ἂν ἡ γὼ τῇ καρδίᾳ
σου βάδιζε καὶ ποίει, ὅτι μυείᾳ μετὰ σοῦ. καὶ ἐγένε῀ γὼ τ῀ῖ νυκτὶ ἐκείνῃ, καὶ ἐγένε῀ ῥῆμα
μυείᾳ πρὸς νάθαν λέγων· πορεύθ῀τι καὶ εἰπὸν πρὸς τὸν δοῦλόν μου δαβίδ, τάδε λέγει μυείᾳ·
εὐ σὺ οἰκοδομήσεις μοι οἶκον τ῀ῖ κατοικῆσαί με; ὅτι οὐ κατῴκηκα γὼ οἴκῳ ἀφ' ἧς ἡμέρας ἀνή-
γαγον τοὺς υἱοὺς ἰσρα῀λ ἐξ αἰγύπτου, ἕως γ῀ ἡμέρας ταύτης. καὶ ἦμεν ἐμπορευόμενος γὼ κα-
τασκήνωμα καὶ γὼ σκην῀ῖ γὼ πᾶσιν οἷς διῆλθον γὼ παντὶ ἰσρα῀λ. εἰ λαλῶν ἐλάλησα πρὸς μίαν
φυλὴν ἰσρα῀λ, ᾧ ἐνετειλάμην ποιμαίνειν τὸν λαόν μυ ἰσρα῀λ λέγων· ἵνατί οὐκ ᾠκοδόμηκα-
τέ μοι οἶκον κεδρινον; καὶ νῦν τάδε ἐρεῖς τ῀ῖ δούλῳ μυ τ῀ῖ δαβὶδ· τάδε λέγει μυείᾳ παν-
τοκράτωρ. ἐλαβόν σε ἐκ γ῀ μανδρὰς γ῀ῶ πορβάτων, τοῦ εἶναί σε εἰς ἡγούμενον ὧν τοῦ λαόμ
μυ τὸν ἰσρα῀λ, καὶ ἦμεν μετὰ σοῦ γὼ πᾶσιν οἷς ἐπορεύου, καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχ-
θρούς σου ἀπὸ προσώπου σου, καὶ ἐποίησά σε ὄνομα κατὰ τὸ ὄνομα τῶν μεγάλων γ῀ῶ ὧν γ῀
γ῀ς, καὶ θήσομαι τόπον τ῀ῖ λαῷ μου τ῀ῖ ἰσρα῀λ, καὶ καταφυτεύσω αὐτὸν, καὶ κατασκη-
νώσει καθ' ἑαυτὸν, καὶ οὐ μεριμνήσει οὐκέτι. καὶ οὐ προσθήσει ὑὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐ-
τὸν, καθὼς ἀπ' ἀρχ῀ς καὶ ἀπὸ τῶν ἡμερῶν ὧν ἔταξα κριτὰς ὧν τὸν λαόν μου ἰσραήλ. καὶ ἀ-
ναπαύσω σε ἀπὸ πάντων γ῀ῶ ἐχθρῶν σου. καὶ ἀπαγγελεῖ σοι μυείᾳ, ὅτι οἶκον οἰκοδομήσεις
αὐτ῀ῶ. καὶ ἔσαι ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ γ῀ῶ πατέρων σου, καὶ ἀνα-
στήσω τὸ σπέρμα σου μετὰ σὲ, ὃς ἔσαι ἐκ γ῀ κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ, αὐ-
τὸς οἰκοδομήσει οἶκον τ῀ῖ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα. ἐγὼ
ἔσομαι αὐτ῀ῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσαι μοι εἰς υἱόν. καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτ῀ καὶ ἐλέγξω αὐ-
τὸν γ῀ ῥάβδῳ ἀνδρῶν, καὶ γ῀ ἁφαῖς υἱῶν ἀνθρώπων, τὸ δὲ ἔλεός μου οὐκ ἀφέσῃσω ἀπ' αὐτοῦ καθ-
ὼς ἀπέστησα ἀφ' ὧν ἀπέστησα ἐκ προσώπου μου. καὶ πιστωθήσεται ὁ οἶκός αὐτοῦ καὶ ἡ βασι-
λεία αὐτοῦ ἕως αἰῶνος γ῀ῶπιόν μου, καὶ ὁ θρόνος αὐτοῦ ἔσαι ἀνορθωμένος εἰς τὸν αἰῶνα, κα-
τὰ πάντας τοὺς λόγους τούτους, καὶ κ῀ πᾶσαν τὴν ὅρασιν ταύτ῀ν. ὅτως ἐλάλησε νάθαν πρὸς
δαβίδ. Καὶ εἰσ῀λθεν ὁ βασιλεὺς δαβὶδ, καὶ ἐκάθισεν γὼπιον μυείᾳ· καὶ εἶπε· τίς εἰμι ἐ-
γὼ κύριέ μου κύριε, καὶ τίς ὁ οἶκός μου, ὅτι ἠγάπησάς με ἕως τούτου; καὶ κατεσμικρύνθ῀ν
μικρὸν γ῀ῶπιόν σου κύριε μυ κύριε, καὶ ἐλάλησας ἐπὶ τοῦ οἴκου τοῦ δούλου σου εἰς μακράν·
ὅτος δὲ ὁ νόμος τοῦ ἀνθρώπου κύριε μυ κύριε. καὶ τί προσθήσει δαβὶδ ἔτι τοῦ λαλῆσαι πρὸς
σε; καὶ νῦν σὺ οἶδας τὸν δοῦλόν σου κύριε μυ κύριε; κ῀ διὰ τὸν δοῦλόν σου ἐποίησας, κ῀ κατὰ
τὴν καρδίαν σου ἐποίησας πᾶσαν τὴν ἀγαθωσύνην ταύτ῀ν, γνωρίσαι τ῀ῖ δούλῳ σου, ὡς μέ-
γαν εἶ μεγαλύναι σε κύριε μυ κύριε, ὅτι οὐκ ἔστιν ὡς σύ, καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ γ῀ῶ πᾶσιν οἷς
ἠκούσαμεν γ῀ῶ τοῖς ὠσὶν ἡμῶν. καὶ τίς ὡς ὁ λαός σου ἰσραὴλ ἔθνος ἄλλο γ῀ῶ τ῀ γ῀; ὡς ὡδήγησεν
αὐτὸν

αὐτὸν ὁ θεὸς τοῦ λυτρώσασθαι αὐτῷ λαόν, τοῦ θέσθαι σε ὄνομα, τοῦ ποιῆσαι μεγαλωσυνίλιν καὶ ἐπιφάνειαν, τοῦ ἐκβαλεῖν σε ἐκ προσώπου τοῦ λαοῦ σου ὃς ἐλυτρώσω σεαυτῷ ἀπ' αἰγύπτου ἐθνη καὶ σκηνώματα. καὶ ἡτοίμασας σεαυτῷ τὸν λαόν σου Ἰσραὴλ εἰς λαὸν ἕως αἰῶνος. καὶ σὺ κύριε ἐγένου αὐτοῖς εἰς θεόν. καὶ νῦν κύριε μὴ κύριε, τὸ ῥῆμα ὃ ἐλάλησας περὶ τοῦ δούλου σου καὶ τοῦ οἴκου αὐτοῦ, πίστωσον ἕως τοῦ αἰῶνος καθὼς ἐλάλησας. καὶ νῦν μεγαλυνθείη τὸ ὄνομά σου ἕως αἰῶνος λέγων· κύριος παντοκράτωρ θεὸς ὢν τοῦ Ἰσραὴλ. καὶ ὁ οἶκος τοῦ δούλου σου Δαβὶδ ἔσται κατορθωμένος ἐνώπιόν σου, ὅτι σὺ κύριε παντοκράτωρ ὁ θεὸς τοῦ Ἰσραὴλ, ἀπεκάλυψας τὸ ὠτίον τοῦ δούλε σε λέγων· οἶκον οἰκοδομήσω σοι. διὰ τοῦτο εὗρεν ὁ δοῦλός σου τὴν καρδίαν αὐτοῦ τοῦ προσεύξασθαί σε πρὸς σέ, τὴν προσευχὴν ταύτην. νῦν οὖν κύριε μὴ κύριε, σὺ εἶ ὁ θεός, καὶ οἱ λόγοι σου ἔσονται ἀληθινοί, καὶ ἐλάλησας ἐπὶ τὸν δοῦλον σε τὰ ἀγαθὰ ταῦτα. καὶ νῦν ἄρξαι καὶ εὐλόγησον τὸν οἶκον τοῦ δούλου σε, τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐνώπιόν σου, ὅτι σὺ κύριε μὴ κύριε ἐλάλησας, καὶ ἀπὸ τῆς εὐλογίας σε εὐλογηθήσεται ὁ οἶκος τοῦ δούλου σε, τοῦ εἶναι εἰς τὸν αἰῶνα, ἐνώπιόν σου.

ΚΕΦΑΛ. ν'. 8.

Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἐπάταξε Δαβὶδ τοὺς ἀλλοφύλους, καὶ ἐτροπώσατο αὐτούς, καὶ ἔλαβε Δαβὶδ τὴν ἀφορισμένην ἐκ χειρὸς τῶν ἀλλοφύλων. καὶ ἐπάταξε Δαβὶδ τὸν Μωὰβ, καὶ διεμέτρησεν αὐτοὺς ἐν σχοινίοις, κοιμίσας αὐτοὺς ἐπὶ τὴν γῆν, καὶ ἐγένετο τὰ δύο σχοινίσματα τοῦ θανατῶσαι, καὶ τὰ δύο σχοινίσματα ἐζώγρησαν. καὶ ἐγένετο Μωὰβ τῷ Δαβὶδ εἰς δούλους φέροντας ξένια. καὶ ἐπάταξε Δαβὶδ τὸν Ἀδραζὰρ υἱὸν Ῥαὰβ Βασιλέα Σοβᾶ, πορευομένου αὐτοῦ στῆσαι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν Εὐφράτην. καὶ προκατελάβετο Δαβὶδ παρ' αὐτοῦ χίλια ἅρματα, καὶ ἐπτὰ χιλιάδας ἱππέων, καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν. καὶ παρέλυσε Δαβὶδ πάντα τὰ ἅρματα, καὶ κατέλιπε δὲ αὐτῶν ἑκατὸν ἅρματα. καὶ παραγίνεται Συρία Δαμασκηνὴ βοηθῆσαι τῷ Ἀδραζὰρ Βασιλεῖ Σοβᾶ, καὶ ἐπάταξε Δαβὶδ τὸν Σύρον εἴκοσι καὶ δύο χιλιάδας ἀνδρῶν. καὶ ἔθετο Δαβὶδ φρουρὰν ἐν Συρίᾳ τῇ ἐπὶ Δαμασκῷ. καὶ ἐγένετο ὁ Σύρος τῷ Δαβὶδ εἰς δούλους φέροντας ξένια. καὶ ἔσωσε κύριος τὸν Δαβὶδ ἐν πᾶσιν οἷς ἐπορεύετο. καὶ ἔλαβε Δαβὶδ τοὺς χιλιάνας τοὺς χρυσοῦς οἳ ἦσαν ἐπὶ τῶν παίδων τοῦ Ἀδραζὰρ Βασιλέως Σοβᾶ, καὶ ἤνεγκεν αὐτὰ εἰς Ἱερουσαλήμ. καὶ ἔλαβεν αὐτὰ Σουσακὶμ Βασιλεὺς Αἰγύπτου ἐν τῷ ἀναβῆναι αὐτὸν εἰς Ἱερουσαλὴμ ἐν ἡμέραις Ροβοὰμ, υἱοῦ Σολομῶντος. καὶ ἐκ τῆς μετοικίας καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τοῦ Ἀδραζὰρ ἔλαβεν ὁ Βασιλεὺς Δαβὶδ χαλκὸν πολὺν σφόδρα, ἐν αὐτῷ ἐποίησε Σολομὼν τὴν θάλασσαν τὴν χαλκῆν, καὶ τοὺς στύλους καὶ τοὺς λουτῆρας, καὶ πάντα τὰ σκεύη. καὶ ἔγνω Θοὺ ὁ Βασιλεὺς ἡμάθ, ὅτι ἐπάταξε Δαβὶδ πᾶσαν τὴν δύναμιν Ἀδραζὰρ, καὶ ἀπέστειλε Θοὺ ἐν Ἰεδδουρὰμ τὸν υἱὸν αὐτοῦ, πρὸς τὸν Βασιλέα Δαβὶδ, ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην, καὶ εὐλογῆσαι αὐτὸν, ὅτι πολεμῶν τὸν Ἀδραζὰρ, καὶ ἐπάταξεν αὐτὸν, ὅτι ἀντικείμενος ἦν τῷ Ἀδραζὰρ, ἐν γὰρ ταῖς χερσὶν αὐτοῦ ἦσαν σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ, καὶ σκεύη χαλκᾶ. καὶ ταῦτα ἡγίασεν ὁ Βασιλεὺς Δαβὶδ τῷ κυρίῳ μετὰ τοῦ ἀργυρίου, καὶ μετὰ τοῦ χρυσίου ὃ ἡγίασεν ἐκ πασῶν τῶν πόλεων ὧν κατεδυνάστευσεν, ἐκ τῆς Ἰδουμαίας, καὶ ἐκ τῆς Μωὰβ, καὶ ἐκ τῶν υἱῶν Ἀμμὼν, καὶ ἐκ τῶν ἀλλοφύλων, καὶ ἐκ Ἀμαλήκ, καὶ ἐκ τῶν σκύλων Ἀδραζὰρ υἱοῦ Ῥαὰβ Βασιλέως Σουβᾶ. καὶ ἐποίησε Δαβὶδ ὄνομα, καὶ ἐν τῷ ἀναπαύσασθαι αὐτὸν ἐπάταξεν τὴν Ἰδουμαίαν ἐν γαιβελέμ εἰς ὀκτωκαίδεκα χιλιάδας ἀνδρῶν, καὶ ἔθετο ἐν τῇ Ἰδουμαίᾳ φρουρὰς ἐν πάσῃ τῇ Ἰδουμαίᾳ. καὶ ἐγένοντο πάντες οἱ Ἰδουμαῖοι δοῦλοι τοῦ Βασιλέως. καὶ ἔσωσε κύριος τὸν Δαβὶδ ἐν πᾶσιν οἷς ἐπορεύθη. καὶ ἐβασίλευσε Δαβὶδ ὅλου παντὸς Ἰσραὴλ, καὶ ἦν Δαβὶδ ποιῶν κρίμα καὶ δικαιοσύνην τῷ παντὶ τῷ λαῷ αὐτοῦ. καὶ Ἰωὰβ υἱὸς Σαρουΐας ἐπὶ τῆς στρατιᾶς, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺδ ἐπὶ τῶν ὑπομνημάτων, καὶ Σαδὼκ υἱὸς Ἀχιτὼβ, καὶ Ἀχιμελὲχ υἱὸς Ἀβιαθὰρ, ἱερεῖς, καὶ Σουσὰ ὁ γραμματεύς, καὶ Βαναίας υἱὸς Ἰωδαὲ σύμβολος, καὶ ὁ χελεθοί, καὶ ὁ φελτί, καὶ οἱ υἱοὶ Δαβὶδ ἀπάρχαι ἦσαν.

ΚΕΦΑΛ. θ'. 9.

Καὶ εἶπε Δαβὶδ· εἰ ἔστιν ἔτι ὑπολελειμμένος ἐν τῷ οἴκῳ Σαοὺλ, καὶ ποιήσω μετ' αὐτοῦ ἔλεος ἕνεκεν Ἰωνάθαν. καὶ ἐκ τοῦ οἴκου Σαοὺλ ἦν παῖς, καὶ ὄνομα αὐτῷ Σιβὰ, καὶ ἐκάλεσαν αὐτὸν πρὸς Δαβὶδ. καὶ εἶπε πρὸς αὐτὸν ὁ Βασιλεύς· σὺ εἶ Σιβά; καὶ εἶπεν· ἐγὼ δοῦλος σός. καὶ εἶπεν ὁ Βασιλεύς· εἰ ὑπολέλειπται ἐκ τοῦ οἴκου Σαοὺλ ἔτι ἀνήρ, καὶ ποιήσω μετ' αὐτοῦ ἔλεος θεοῦ. καὶ εἶπε Σιβὰ πρὸς τὸν Βασιλέα· ἔτι ἔστιν υἱὸς τῷ Ἰωνάθαν πεπληγὼς τοὺς πόδας. καὶ εἶπεν ὁ Βασιλεύς· ποῦ ὅτος; καὶ εἶπεν Σιβὰ πρὸς τὸν Βασιλέα· ἰδοὺ ἐν οἴκῳ Μαχὶρ υἱοῦ Ἀμμιὴλ ἐν Λωδαβάρ. καὶ ἀπέστειλεν ὁ Βασιλεὺς Δαβὶδ, καὶ ἔλαβεν αὐτὸν ἐκ τοῦ οἴκου Μαχὶρ υἱοῦ Ἀμμιὴλ ἐκ Λωδαβάρ. καὶ παρεγένετο Μεμφιβοδὲ υἱὸς Ἰωνάθαν υἱοῦ Σαοὺλ πρὸς τὸν Βασιλέα Δαβὶδ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν αὐτῷ Δαβὶδ· Μεμφι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεμφιβοδὲ. καὶ εἶπεν αὐτῷ ὁ δοῦλος σε. καὶ εἶπεν αὐτῷ δαβίδ· μὴ φοβοῦ, ὅτι ποιῶν ποιήσω μετὰ σοῦ ἕλεος, διὰ ἰωνάθαν τὸν πατέρα σου, καὶ ἀποκαταστήσω σοι πάντα ἀγρὸν σαοὺλ πατρὸς τοῦ πατρός σου, καὶ σὺ φαγῇ ἄρτον ὧδε ἐπὶ τραπέζης μου διαπαντός. καὶ προσεκύνησεν αὐτῷ μεμφιβοδὲ καὶ εἶπε· τίς εἰμι ὁ δοῦλός σου, ὅτι ἐπέβλεψας ὧδε τὸν κύνα τὸν τεθνηκότα τὸν ὅμοιον ἐμοί. καὶ ἐκάλεσεν ὁ βασιλεὺς τὸν σιβὰ τὸν παιδάριον σαοὺλ, καὶ εἶπε πρὸς αὐτόν· πάντα ὅσα ὅσα ἐστὶ τῷ σαοὺλ καὶ ὅλον τὸν οἶκον αὐτοῦ, δέδωκα τῷ υἱῷ τοῦ κυρίου σου, καὶ σὺ καὶ οἱ υἱοί σου καὶ οἱ δοῦλοί σου καὶ ἐσύσεις τῷ υἱῷ τοῦ κυρίου σου ἄρτους, καὶ φαγέτω. καὶ μεμφιβοδὲ υἱὸς τοῦ κυρίου σου, φαγέται ἄρτον διαπαντὸς ὧδε ἐπὶ τραπέζης μου. καὶ τῷ σιβᾷ ἦσαν υἱοὶ δεκαπέντε καὶ δοῦλοι εἴκοσι δοῦλοι. καὶ εἶπε σιβὰ πρὸς τὸν βασιλέα· κατὰ πάντα ὅσα ἐνετείλατο ὁ κύριός μου ὁ βασιλεὺς τῷ δούλῳ αὐτοῦ, οὕτως ποιήσει ὁ δοῦλός σου. καὶ μεμφιβοδὲ ἐφάγετο ἐπὶ τῆς τραπέζης δαβὶδ, καθὼς εἷς τῶν υἱῶν τοῦ βασιλέως. καὶ τῷ μεμφιβοδὲ υἱὸς μικρὸς ᾧ, καὶ ὄνομα αὐτῷ μιχᾶ. καὶ πᾶσα ἡ κατοίκησις τοῦ οἴκου σιβὰ, δοῦλοι τῷ μεμφιβοδὲ· καὶ μεμφιβοδὲ κατῴκει ἐν ἱερουσαλήμ, ὅτι ὧδε ἐπὶ τραπέζης τοῦ βασιλέως αὐτὸς διαπαντὸς ἦν δὲ, καὶ αὐτὸς χωλὸς ἀμφοτέροις ποσὶν αὐτοῦ.

ΚΕΦΑΛ. ι'. 10.

Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἀπέθανε βασιλεὺς υἱῶν ἀμμών, καὶ ἐβασίλευσεν ἀνὼν υἱὸς αὐτοῦ αὐτ' αὐτοῦ. καὶ εἶπε δαβίδ· ποιήσω ἔλεος μετὰ ἀνὼν υἱὸν ναάς, ὃν τρόπον ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ' ἐμοῦ ἔλεος. καὶ ἀπέστειλε δαβὶδ παρακαλέσαι αὐτὸν ἐν χειρὶ τῶν δούλων αὐτοῦ, περὶ τοῦ πατρὸς αὐτοῦ. καὶ παρεγένοντο οἱ παῖδες δαβὶδ εἰς τὴν γῆν υἱῶν ἀμμών. καὶ εἶπον οἱ ἄρχοντες υἱῶν ἀμμών, πρὸς ἀνὼν τὸν κύριον αὐτῶν· μὴ παρὰ τὸ δοξάζειν δαβὶδ τὸν πατέρα σου ἐνώπιόν σου, ὅτι ἀπέστειλέ σοι παρακαλοῦντας; οὐχὶ ἀλλ' ὅπως ἐρευνήσωσι τὴν πόλιν, καὶ κατασκοπήσωσιν αὐτὴν τοῦ καταστρέψαι αὐτήν, ἀπέστειλε δαβὶδ τοὺς παῖδας αὐτοῦ πρὸς σέ; καὶ ἔλαβεν ἀνὼν τοὺς παῖδας δαβὶδ, καὶ ἐξύρισε τοὺς γενείους αὐτῶν, καὶ ἀπέκοψε τοὺς μανδύας αὐτῶν ἐν τῷ ἡμίσει ἕως τῶν ἰσχίων αὐτῶν, καὶ ἐξαπέστειλεν αὐτούς. καὶ ἀνήγγειλαν τῷ δαβὶδ περὶ τῶν ἀνδρῶν, καὶ ἀπέστειλεν εἰς ἀπάντησιν αὐτῶν, ὅτι ἦσαν οἱ ἄνδρες ἠμυημένοι σφόδρα. καὶ εἶπεν ὁ βασιλεύς· καθίσατε ἐν ἱερειχὼ, ἕως τοῦ ἀναστεῖλαι τοὺς γενείους ὑμῶν, καὶ τότε ἐπιστραφήσεσθε. καὶ εἶδον οἱ υἱοὶ ἀμμών, ὅτι κατῃσχύνθησαν ὁ λαὸς δαβὶδ, καὶ ἀπέστειλαν οἱ υἱοὶ ἀμμών, καὶ ἐμισθώσαντο τὴν συρίαν βαιθραάμ, καὶ τὴν συρίαν σοβά, καὶ ῥοὼβ, εἴκοσι χιλιάδας πεζῶν, καὶ τὸν βασιλέα μααχὰ χιλίους ἄνδρας, καὶ ἰσὼβ δισχίλιαι χιλιάδας ἀνδρῶν. καὶ ἤκουσε δαβὶδ, καὶ ἀπέστειλε τὸν ἰωὰβ, καὶ πᾶσαν τὴν δύναμιν τῶν δυναστῶν. καὶ ἐξῆλθον οἱ υἱοὶ ἀμμών, καὶ παρετάξαντο πόλεμον πρὸς τὴν θύραν τῆς πύλης, καὶ συρία σουβὰ, καὶ ῥοὼβ καὶ ἰωὰβ, καὶ ἀμαλὴκ μόνοι ἐν ἀγρῷ. καὶ εἶδεν ἰωὰβ, ὅτι ἐγένετο πρὸς αὐτὸν αὐτὸ πρόσωπον τοῦ πολέμου, ἐκ τοῦ κατὰ πρόσωπον ἐξεναντίας, καὶ ἐκ τοῦ ὄπισθεν. καὶ ἐπελέξατο ἐκ πάντων τῶν νεανίων ἰσραὴλ, καὶ παρετάξαντο ἐξεναντίας συρίας, καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ ἀβεσὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ παρετάξαντο ἐξεναντίας υἱῶν ἀμμών, καὶ εἶπεν· ἐὰν κραταιωθῇ συρία ὑπὲρ ἐμὲ, καὶ ἔσεσθέ μοι εἰς σωτηρίαν, καὶ ἐὰν κραταιωθῶσιν οἱ υἱοὶ ἀμμὼν ὑπὲρ σὲ, καὶ ἐσόμεθα τοῦ σῶσαί σε, ἀνδρίζου καὶ κραταιωθῶμεν ὑπὲρ τοῦ λαοῦ ἡμῶν, καὶ πόλεως πόλεων τοῦ θεοῦ ἡμῶν, καὶ κύριος ποιήσει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ προσῆλθεν ἰωὰβ, καὶ ὁ λαὸς αὐτοῦ μετ' αὐτοῦ εἰς πόλεμον πρὸς συρίαν. καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ. καὶ υἱοὶ ἀμμὼν εἶδον, ὅτι ἔφυγε συρία, καὶ ἔφυγον ἀπὸ προσώπου ἀβεσὰ, καὶ εἰσῆλθον εἰς τὴν πόλιν. καὶ ἀνέστρεψεν ἰωὰβ ἀπὸ προσώπου τῶν υἱῶν ἀμμών, καὶ παρεγένετο ἐν ἱερουσαλήμ. καὶ εἶδε συρία, ὅτι ἐπταισεν ἐμπροσθεν ἰσραήλ. καὶ συνήχθησαν ὡς πρῶτον, καὶ ἀπέστειλεν ἀδραζάρ, καὶ συνήγαγε τὴν συρίαν τὴν ἐκ τοῦ πέραν τοῦ ποταμοῦ χαλαμάκ, καὶ παρεγένοντο εἰς αἰλάμ, καὶ σωβὰκ ἄρχων τῆς δυνάμεως ἀδραζὰρ ἐμπροσθεν αὐτῶν. καὶ ἀπήγγειλε τῷ δαβὶδ, καὶ συνήγαγε τὸν πάντα ἰσραὴλ, καὶ διέβη τὸν ἰορδάνην καὶ παρεγένετο εἰς αἰλάμ. καὶ παρετάξατο συρία ἀπέναντι δαβὶδ, καὶ ἐπολέμησε μετ' αὐτοῦ, καὶ ἔφυγε συρία ἀπὸ προσώπου ὑμῶν ἰσραὴλ, καὶ ἀπέκτεινε δαβὶδ ἐκ τῆς συρίας ἑπτακόσια ἅρματα καὶ τεσσαράκοντα χιλιάδας ἱππέων, καὶ τὸν σωβὰκ τὸν ἄρχοντα τῆς δυνάμεως αὐτοῦ ἐπάταξε καὶ ἀπέθανεν ἐκεῖ. καὶ εἶδον πάντες οἱ βασιλεῖς οἱ δοῦλοι ἀδραζάρ, ὅτι ἔπταισαν ἐνώπιον ἰσραὴλ, καὶ ἠντεμόλησαν μετὰ ἰσραὴλ, καὶ ἐδουλώσαντο αὐτούς. καὶ ἐφοβήθη συρία τοῦ σῶσαι ἔτι τοὺς υἱοὺς ἀμμών.

ΚΕΦΑΛ. ια'. 11.

Καὶ ἐγένετο ὡς ἐπέστρεψεν τὸ ἐνιαυτὸς εἰς τὸν καιρὸν τῆς ἐξόδου τῶν βασιλέων, καὶ ἀπέστειλε δαβὶδ τὸν ἰωὰβ, καὶ τοὺς παῖδας αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸν πάντα ἰσραὴλ, καὶ διέφθειραν τοὺς υἱοὺς ἀμμών, καὶ πολιορκήσαν ἐν ῥαββάθ. καὶ δαβὶδ ἐκάθισεν ἐν ἱερουσαλήμ, καὶ ἐγένετο πρὸς ἑσπέραν. καὶ ἀνέστη δαβὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ, καὶ περιεπάτει ὧδε τοῦ δώμα-

τος

τ῀ τ῀ οἴκου τ῀ βασιλέως. καὶ εἶδε γυναῖκα λουομένην ἀπὸ τ῀ δώματος, καὶ ἡ γυνὴ ἦν
λὶ τ῀ σ῀ εἶδεν σφόδρα. καὶ ἀπέστειλε δαβὶδ, καὶ ἐζήτησε τὴν γυναῖκα, καὶ εἶπεν. οὐχὶ αὕτη
βερσαβεὲ θυγάτηρ ἐλιὰβ, γυνὴ οὐρίου τ῀ χεταίου; καὶ ἀπέστειλε δαβὶδ ἀγγέλους, καὶ ἔλα-
βεν αὐτὴν, καὶ εἰσῆλθε πρὸς αὐτὴν καὶ ἐκοιμήθη μετ' αὐτ῀. καὶ αὕτη ἁγιαζομένη ἀπὸ ἀκαθαρ
σίας αὐτ῀, καὶ ἀπέστρεψεν εἰς τὸν οἶκον αὐτ῀ς, καὶ συνελάβετο ἡ γυνή. καὶ ἀπέστειλε καὶ ἀ-
πήγγειλε τ῀ δαβὶδ, καὶ εἶπεν· ἰδοὺ ἐγὼ εἰμὶ συνειλημμένη. καὶ ἀπέστειλε δαβὶδ πρὸς ἰωα-
ὰβ λέγων· ἀπόστειλον πρός με τὸν οὐρίαν τὸν χεταῖον. καὶ ἀπέστειλεν ἰωαὰβ τὸν οὐρίαν πρὸς δα
βὶδ. καὶ παρεγένετο οὐρίας, καὶ εἰσῆλθε πρὸς αὐτόν. καὶ ἐπηρώτησεν δαβὶδ εἰς εἰρήνην
ἰωαὰβ, καὶ εἰς εἰρήνην τ῀ λαοῦ, καὶ εἰς εἰρήνην τ῀ πολέμου. καὶ εἶπε δαβὶδ τ῀ οὐρίᾳ. κατάβη
θι εἰς τὸν οἶκόν σου, καὶ νίψαι τοὺς πόδας σου. καὶ ἐξῆλθεν οὐρίας ἐξ οἴκου τ῀ βασιλέως, καὶ ἐξ-
ῆλθεν ὀπίσω αὐτ῀ ἄρσις τ῀ βασιλέως, καὶ ἐκοιμήθη οὐρίας παρὰ τὴν θύραν τ῀ οἴκου τ῀ βασι-
λέως μετὰ πάντων τ῀ παιδίων τ῀ κυρίου αὐτ῀, καὶ οὐ κατέβη εἰς τὸν οἶκον αὐτ῀. καὶ ἀπήγγειλαν
τ῀ δαβὶδ λέγοντες· ὅτι οὐ κατέβη οὐρίας εἰς τὸν οἶκον αὐτ῀. καὶ εἶπε δαβὶδ πρὸς οὐρίαν·
οὐχὶ ἐξ ὁδοῦ σὺ ὄρχη; τί ὅτι οὐ κατέβης εἰς τὸν οἶκόν σου; καὶ εἶπεν οὐρίας πρὸς δαβίδ, ἡ κιβω
τὸς, καὶ ἰσραὴλ καὶ ἰούδας, κατοικοῦσιν ἐν σκηναῖς, καὶ ὁ κύριός μου ἰωαὰβ, καὶ οἱ δοῦλοι τ῀
κυρίου μου ἐπὶ πρόσωπον τ῀ ἀγροῦ παρεμβάλλουσι, καὶ ἐγὼ εἰσελεύσομαι εἰς τὸν οἶκόν μου
τ῀ φαγεῖν καὶ πεῖν καὶ κοιμηθῆναι μετὰ τ῀ γυναικός μου; ζῇ ἡ ψυχή σου εἰ ποιήσω τὸ ῥῆμα
τοῦτο. καὶ εἶπε δαβὶδ πρὸς οὐρίαν· καθίσον ἐνταῦθα, καὶ γε σήμερον καὶ αὔριον ἐξαποστελῶ
σε. καὶ ἐκάθισεν οὐρίας ἐν ἰερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ τῇ ἐπαύριον. καὶ ἐκάλεσεν αὐτὸν δα
βὶδ, καὶ ἔφαγεν ἐνώπιον αὐτ῀, καὶ ἔπιε, καὶ ἐμέθυσεν αὐτόν, καὶ ἐξῆλθεν ἐπάνω τ῀ κοιμη
θῆναι ἐπὶ τῆς κοίτης αὐτ῀ μετὰ τῶν παίδων τοῦ κυρίου αὐτ῀, καὶ εἰς τὸν οἶκον αὐτ῀ οὐ κατέ
βη. καὶ ἐγένετο πρωΐ, καὶ ἔγραψε δαβὶδ βιβλίον πρὸς ἰωαὰβ, καὶ ἀπέστειλεν ἐν χειρὶ οὐρίου,
καὶ ἔγραψεν ἐν τ῀ βιβλίῳ λέγων· ἐξένεγκε τὸν οὐρίαν ἐξεναντίας τ῀ πολέμου τ῀ κραταιοῦ,
καὶ ἀποστραφήσεσθε ἀπ' ὄπισθεν αὐτ῀, καὶ πληγήσεται καὶ ἀποθανεῖται. καὶ ἐγένετο ἐν τ῀
φυλάσσειν ἰωαὰβ ἐπὶ τὴν πόλιν, καὶ ἔθηκεν τὸν οὐρίαν εἰς τὸν τόπον οὗ ἤδει, ὅτι ἄνδρες δυ
νάμεως ἐκεῖ, καὶ ἐξῆλθον οἱ ἄνδρες ἐκ τ῀ πόλεως καὶ ἐπολέμουν μετὰ ἰωαὰβ. καὶ ἔπεσαν ἀπὸ
τ῀ λαοῦ ἐκ τῶν παίδων δαβὶδ, καὶ ἀπέθανε καὶ γε οὐρίας ὁ χεταῖος. καὶ ἀπέστειλεν ἰωαὰβ,
καὶ ἀπήγγειλε τ῀ δαβὶδ πάντας τοὺς λόγους τ῀ πολέμου λαλῆσαι πρὸς τὸν βασιλέα, καὶ
ἐνετείλατο τ῀ ἀγγέλῳ λέγων· ὡς τ῀ συντελέσαι σε πάντας τοὺς λόγους τ῀ πολέμου λαλῆ-
σαι πρὸς τὸν βασιλέα, καὶ ἐὰν ἀναβῇ ὁ θυμὸς τ῀ βασιλέως, καὶ εἴπωσι σοι· τί ὅτι ἠγγίκα-
τε πρὸς τὴν πόλιν πολεμῆσαι; οὐκ ἤδειτε, ὅτι τοξεύσουσιν ἐπάνωθεν τ῀ τείχους; τίς ἐ-
πάταξε τὸν ἀβιμελὲχ υἱὸν ἰεροβοὰλ υἱοῦ νήρ; οὐχὶ γυνὴ ἔῤῥιψε λιλάσμα μύλου ἐπ' αὐτὸν
ἀπὸ ἄνωθεν τ῀ τείχους, καὶ ἀπέθανεν ἐν θαμασεί; ἵνατί προσηγάγετε πρὸς τὸ τεῖχος;
ὄρᾳς· καὶ γε ὁ δοῦλός σου οὐρίας ὁ χεταῖος ἀπέθανε. καὶ ἐπορεύθη ὁ ἄγγελος ἰωαὰβ πρὸς τὸν
βασιλέα εἰς ἰερουσαλὴμ. καὶ παρεγένετο καὶ ἀπήγγειλε τῷ δαβὶδ πάντα ὅσα ἀπήγγειλεν
αὐτ῀ ἰωαὰβ, πάντα τὰ ῥήματα τ῀ πολέμου. καὶ ἐθυμώθη δαβὶδ πρὸς ἰωαὰβ. καὶ εἶπε δαβὶδ
πρὸς τὸν ἄγγελον· ἵνατί προσηγάγετε πρὸς τὴν πόλιν τ῀ πολεμῆσαι; οὐκ ἤδειτε ὅτι πληγή
σεσθε ἀπὸ τ῀ τείχους; τίς ἐπάταξε τὸν ἀβιμελὲχ υἱὸν ἰεροβοάλ; οὐχὶ γυνὴ ἔῤῥιψεν ἐπ' αὐτὸν
λιλάσμα μύλου ἀπὸ τ῀ τείχους, καὶ ἀπέθανεν ἐν θαμασεί; ἵνατί προσηγάγετε πρὸς τὸ τεῖχος;
καὶ εἰπεῖς ὁ ἄγγελος πρὸς δαβὶδ· ὅτι ἐκραταίωσαν ἐφ' ἡμᾶς οἱ ἄνδρες, καὶ ἐξῆλθον ἐφ' ἡ-
μᾶς εἰς τὸν ἀγρόν, καὶ ἐγενήθημεν ἐπ' αὐτοὺς, ἕως τ῀ θύρας τ῀ πύλης, καὶ ἐτόξευσαν οἱ τοξεύ
οντες πρὸς τοὺς παῖδάς σου ἐπάνωθεν τ῀ τείχους, καὶ ἀπέθανον ἀπὸ τῶν παίδων τ῀ βασι
λέως, καὶ γε οὐρίας ὁ δοῦλός σου ὁ χεταῖος ἀπέθανε. καὶ εἶπε δαβὶδ πρὸς τὸν ἄγγελον· τάδε
ἐρεῖς τ῀ ἰωαὰβ· μὴ πονηρὸν ἔσω ἐν ὀφθαλμοῖς σου τὸ ῥῆμα τοῦτο, ὅτι ποτὲ μὲν οὕτως, καὶ
ποτὲ οὕτως φάγεται ἡ μάχαιρα, κραταίωσον τὸν πόλεμόν σου εἰς τὴν πόλιν, καὶ κατα-
πάτασον αὐτήν. καὶ ἄνδρωσον τὴν γυναῖκα οὐρίου, ὅτι ἀπέθανεν οὐρίας ὁ ἀνὴρ αὐτ῀, καὶ ἐκόψατο ἐ-
πὶ τὸν ἄνδρα αὐτ῀, καὶ ἐπλήθυνε τὸ πένθος, καὶ ἀπέστειλε δαβὶδ, καὶ συνήγαγεν αὐτὴν εἰς τὸν
οἶκον αὐτ῀, καὶ ἐγένετο αὐτ῀ εἰς γυναῖκα, καὶ ἔτεκεν αὐτῷ υἱόν. καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα
ὃ ἐποίησε δαβὶδ ἐν ὀφθαλμοῖς κυρίου.

ΚΕΦΑΛ. ιβ'. 12.

ΚΑὶ ἀπέστειλε κύριος τὸν ναθαν τὸν προφήτην πρὸς δαβὶδ, καὶ εἰσῆλθε πρὸς αὐτόν,
καὶ εἶπεν αὐτ῀· ἀνάγγειλόν μοι κρίσιν. καὶ εἶπεν αὐτ῀· δύο ἦσαν ἄνδρες ἐν πό-
λει μιᾷ, εἷς πλούσιος καὶ εἷς πένης. καὶ τ῀ πλουσίου ἦν ποίμνια καὶ βουκόλια πολλὰ σφό-
δρα, καὶ τ῀ πένητος οὐκ ἦν οὐδὲν ἀλλ' ἢ ἄμνας μίας μικρᾶς, ἣν ἐκτήσατο καὶ ἐζωοποίησεν,
καὶ ἐξέθρεψεν αὐτήν, καὶ ἐνηλικιώθη μετ' αὐτοῦ καὶ μετὰ τῶν υἱῶν αὐτ῀ ἐπ' αὐτὸν, ἐκ τοῦ ἄρτου
αὐτ῀ ἤσθιεν, καὶ ἐκ τ῀ ποτηρίου αὐτ῀ ἔπινεν, καὶ ἐν τ῀ κόλπῳ αὐτ῀ ἐκάθευδεν· καὶ ἦν αὐτῷ θυγά-

της. καὶ ἦλθε πάροδον τοῦ ἀνδρὸς τοῦ πλησίον, καὶ ἐφείσατο λαβεῖν ἐκ τῶν προβάτων αὐτοῦ, καὶ ἐκ τῶν βοῶν αὐτοῦ, τοῦ ποιῆσαι τοῦ ξένου ἐλθόντι πρὸς αὐτόν, καὶ ἔλαβε τὸν ἀμνὸν τοῦ πτωχοῦ, καὶ ἐποίησεν αὐτὸν τοῦ ἀνδρὸς τοῦ ἐλθόντι πρὸς αὐτόν. καὶ ἐθυμώθη ὀργῇ Δαβὶδ σφόδρα τοῦ ἀνδρός, καὶ εἶπε Δαβὶδ πρὸς Ναθαν· ζῇ Κύριος, ὅτι υἱὸς θανάτου ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο, καὶ τὸν ἀμνὸν ἀποτίσει ἐπταπλασίονα ἀνθ' ὧν ὅτι ἐποίησε τὸ ῥῆμα τοῦτο, καὶ πρὸ οὐ ἐφείσατο. καὶ εἶπε Ναθαν πρὸς Δαβὶδ· σὺ εἶ ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο. τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ· ἐγὼ εἰμὶ ὃς ἔχρισά σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ ἐγὼ εἰμὶ ὁ ἐῤῥυσάμην σε ἐκ χειρὸς Σαούλ, καὶ ἔδωκά σοι τὸν οἶκον τοῦ Κυρίου σου· καὶ τὰς γυναῖκας τοῦ Κυρίου σου εἰς τὸν κόλπον σου, καὶ ἔδωκά σοι τὸν οἶκον Ἰσραὴλ καὶ Ἰούδα. καὶ εἰ μικρόν σοι ὄφελον, προσθήσω σοι καὶ ταῦτα, καὶ τί ὅτι ἐφαύλισας τὸν λόγον Κυρίου, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον ὀφθαλμοῖς Κυρίου; τὸν Οὐρίαν τὸν Χετταῖον ἐπάταξας ἐν ῥομφαίᾳ, καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες εἰς γυναῖκα σεαυτῷ, καὶ αὐτὸν ἀπέκτεινας ἐν ῥομφαίᾳ υἱῶν Ἀμμών. καὶ νῦν οὐκ ἀποστήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου ἕως αἰῶνος, ἀνθ' ὧν ὅτι ἐξουδένωσάς με, καὶ ἔλαβες τὴν γυναῖκα τοῦ Οὐρίου τοῦ Χεττταίου, τοῦ εἶναί σοι εἰς γυναῖκα. τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπί σε κακὰ ἐκ τοῦ οἴκου σου, καὶ λήψομαι τὰς γυναῖκάς σου κατ' ὀφθαλμούς σου, καὶ δώσω τοῖς πλησίον σου, καὶ κοιμηθήσεται μετὰ τῶν γυναικῶν σου ἐναντίον τοῦ ἡλίου τούτου, ὅτι ἐποίησας λανθάνῃ. διὰ γὰρ ποιήσω τὸ ῥῆμα τοῦτο ἐναντίον παντὸς Ἰσραὴλ, καὶ ἐναντίον τοῦ ἡλίου τούτου. καὶ εἶπε Δαβὶδ τῷ Ναθαν· ἡμάρτηκα τῷ Κυρίῳ. καὶ εἶπε Ναθαν πρὸς Δαβὶδ· καὶ Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς, πλὴν ὅτι παροξύνων παρώξυνας τοὺς ἐχθρούς σου ἐν τῷ ῥήματι τούτῳ. καὶ γε ὁ υἱός σου ὁ τεχθείς σοι, θανάτῳ ἀποθανεῖται. καὶ ἀπῆλθε Ναθαν εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἔθραυσε Κύριος τὸ παιδάριον ὃ ἔτεκεν ἡ γυνὴ Οὐρίου τῷ Δαβὶδ, καὶ ἠῤῥώστησε. καὶ ἐζήτησε Δαβὶδ τὸν θεὸν περὶ τοῦ παιδαρίου, καὶ ἐνήστευσε Δαβὶδ νηστείαν, καὶ εἰσῆλθε, καὶ ηὐλίσθη ἐπὶ τῆς γῆς, καὶ ἀνέστησαν ἐπ' αὐτὸν οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ ἐγεῖραι αὐτὸν ἀπὸ τῆς γῆς, καὶ οὐκ ἠθέλησε, καὶ οὐ συνέφαγον αὐτοῖς ἄρτον. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἀπέθανε τὸ παιδάριον. καὶ ἐφοβήθησαν οἱ δοῦλοι Δαβὶδ ἀναγγεῖλαι αὐτῷ, ὅτι τέθνηκε τὸ παιδάριον, ὅτι εἶπον· ἰδοὺ ἐν τῷ τὸ παιδάριον ἔτι ζῶν ἐλαλήσαμεν πρὸς αὐτὸν, καὶ οὐκ εἰσήκουσε τῆς φωνῆς ἡμῶν. καὶ πῶς εἴπωμεν πρὸς αὐτὸν, ὅτι τέθνηκε τὸ παιδάριον; καὶ ποιήσει κακά. καὶ συνῆκε Δαβὶδ, ὅτι οἱ παῖδες αὐτοῦ ψιθυρίζουσι. καὶ ἔγνω Δαβὶδ, ὅτι τέθνηκε τὸ παιδάριον. καὶ εἶπε Δαβὶδ πρὸς τοὺς παῖδας αὐτοῦ· εἰ τέθνηκε τὸ παιδάριον; καὶ εἶπον, τέθνηκε· καὶ ἀνέστη Δαβὶδ ἐκ τῆς γῆς, καὶ ἐλούσατο καὶ ἠλείψατο, καὶ ἤλλαξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ προσεκύνησεν· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἤτησεν ἄρτον φαγεῖν, καὶ παρέθηκαν αὐτῷ ἄρτον καὶ ἔφαγε. καὶ εἶπον οἱ παῖδες αὐτοῦ πρὸς αὐτόν· τί τὸ ῥῆμα τοῦτο ὃ ἐποίησας ἕνεκα τοῦ παιδαρίου; ὅτι ἔτι ζῶντος ἔκλαιες, καὶ ἐνήστευες, καὶ ἠκρύπνεις, καὶ νῦν ἀπέθανε τὸ παιδάριον καὶ ἔφαγες ἄρτον καὶ ἔπιες. καὶ εἶπεν Δαβίδ· ἔτι ζῶντος τοῦ παιδαρίου ἔκλαυσα καὶ ἐνήστευσα, ὅτι εἶπα· τίς οἶδεν εἰ ἐλεήσει με Κύριος, καὶ ζήσεται τὸ παιδάριον. καὶ νῦν τέθνηκεν, ἵνατί τοῦτο ἐγὼ νηστεύω; μὴ δυνήσομαι ἐπιστρέψαι αὐτὸν ἔτι; ὅτι ἐγὼ πορεύσομαι πρὸς αὐτὸν, καὶ αὐτὸς οὐκ ἀναστρέψει πρός με. καὶ παρεκάλεσε Δαβὶδ τὴν Βηρσαβεὲ γυναῖκα αὐτοῦ, καὶ εἰσῆλθε πρὸς αὐτὴν, καὶ ἐκοιμήθη μετ' αὐτῆς, καὶ συνέλαβε, καὶ ἔτεκεν υἱόν. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σαλωμών, καὶ Κύριος ἠγάπησεν αὐτόν, καὶ ἀπέστειλεν ἐν χειρὶ Ναθαν τοῦ προφήτου, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰεδιδιά διὰ τὸν λόγον Κυρίου. καὶ ἐπολέμησεν Ἰωὰβ ἐν Ῥαββὰθ, υἱῶν Ἀμμών, καὶ κατελάβετο τὴν πόλιν τῆς Βασιλείας. καὶ ἀπέστειλεν Ἰωὰβ ἀγγέλους πρὸς Δαβὶδ, καὶ εἶπεν· ἐπολέμησα ἐν Ῥαββὰθ, καὶ κατελαβόμην τὴν πόλιν τῶν ὑδάτων. καὶ νῦν συνάγαγε τὸ κατάλοιπον τοῦ λαοῦ, καὶ παρεμβαλὲ ἐπὶ τὴν πόλιν, καὶ προκαταλαβὲ αὐτὴν, ἵνα μὴ προκαταλάβωμαι ἐγὼ τὴν πόλιν, καὶ κληθῇ τὸ ὄνομά μου ἐπ' αὐτήν. καὶ συνήγαγε Δαβὶδ πάντα τὸν λαόν, καὶ ἐπορεύθη εἰς Ῥαββὰθ, καὶ ἐπολέμησεν ἐν αὐτῇ, καὶ κατελάβετο αὐτὴν, καὶ ἔλαβε τὸν στέφανον μολχὸμ τοῦ Βασιλέως αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ ὁ σταθμὸς αὐτοῦ τάλαντον χρυσίου, καὶ λίθου τιμίου, καὶ ἦν ἐπὶ τῆς κεφαλῆς Δαβὶδ, καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκε πολλὰ σφόδρα. καὶ τὸν λαὸν τὸν ὄντα ἐν αὐτῇ ἐξήγαγε, καὶ ἔθηκεν ἐν τοῖς πρίοσι, καὶ ἐν τοῖς τριβόλοις τοῖς σιδηροῖς, καὶ ἐν τοῖς πελέκεσι σιδηροῖς, καὶ διήγαγεν αὐτοὺς διὰ τοῦ πλινθείου. καὶ οὕτως ἐποίησε πάσαις ταῖς πόλεσιν υἱῶν Ἀμμών, καὶ ἀνέστρεψε Δαβὶδ καὶ πᾶς Ἰσραὴλ εἰς Ἰερουσαλήμ.

ΚΕΦΑΛ. ιγ'. 13.

ΚΑΙ ἐγένετο μετὰ ταῦτα, καὶ τοῦ ἀδελφοῦ Ἀβεσσαλὼμ υἱῷ Δαβὶδ ἦν ἀδελφὴ καλὴ τοῦ εἴδους σφόδρα, καὶ ὄνομα αὐτῇ Θημάρ, καὶ ἠγάπησεν αὐτὴν Ἀμνών, υἱὸς Δαβίδ. καὶ ἐθλίβετο Ἀμνὼν ὥστε ἀῤῥωστεῖν σφόδρα διὰ Θημάρ τὴν ἀδελφὴν αὐτοῦ, ὅτι παρθένος ἦν αὕτη, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὑποδρόγκου γὴ ὀφθαλμοῖς ἀμνὼμ τὸ ποιῆσαί τι αὐτῇ. καὶ εἶμ ὄψ ἀμνὼμ ἐναντίον, καὶ ὄνομα αὐτῇ ἰωναδὰβ, υἱὸς σαμαὰ τοῦ ἀδελφοῦ δαβίδ. καὶ ἰωναδὰβ, ἀνὴρ σοφὸς σφόδρα, καὶ εἶπεν αὐτῇ· τί σοι ὅτι οὕτως ἀδυνατεῖς υἱὲ τοῦ βασιλέως πρωΐ πρωΐ; οὐκ ἀπαγγελεῖς μοι; καὶ εἶπεν αὐτῷ ἀμνών· θημὰρ τὴν ἀδελφὴν ἀβεσαλὼμ τοῦ ἀδελφοῦ μου ἐγὼ ἀγαπῶ. καὶ εἶπεν αὐτῷ ἰωναδὰβ· κοιμήθητι ἐπὶ τῆς κλίνης σου, καὶ μαλακίσθητι· καὶ εἰσελεύσεται ὁ πατήρ σου ἰδεῖν σε, καὶ ἐρεῖς πρὸς αὐτόν, ἐλθέτω δὴ θημὰρ ἡ ἀδελφή μου, καὶ ψωμισάτω με, καὶ ποιησάτω ἐνώπιον ὀφθαλμούς μου δύο κολλυρίδας, ὅπως ἴδω καὶ φάγω ἐκ τῶν χειρῶν αὐτῆς. καὶ ἐκοιμήθη ἀμνών, καὶ ἐμαλακίσθη· καὶ εἰσῆλθεν ὁ βασιλεὺς ἰδεῖν αὐτόν, καὶ εἶπεν ἀμνὼμ πρὸς τὸν βασιλέα· ἐλθέτω δὴ θημὰρ ἡ ἀδελφή μου πρός με, καὶ κολλυρισάτω γὴ ὀφθαλμοῖς μου δύο κολλυρίδας, καὶ φάγομαι ἐκ τῆς χειρὸς αὐτῆς. καὶ ἀπέστειλε δαβὶδ πρὸς θημὰρ εἰς τὸν οἶκον λέγων· πορεύθητι εἰς τὸν οἶκον ἀμνὼμ τοῦ ἀδελφοῦ σου, καὶ ποίησον αὐτῷ βρῶμα. καὶ ἐπορεύθη θημὰρ εἰς τὸν οἶκον ἀμνὼμ τοῦ ἀδελφοῦ αὐτῆς, καὶ αὐτὸς κοιμώμενος, καὶ ἔλαβε τὸ σὰς καὶ ἐφύρασε, καὶ ἐκολλύρισε ἐνώπιον ὀφθαλμοὺς αὐτοῦ, καὶ ἤψησε τὰς κολλυρίδας. καὶ ἔλαβε τὸ τήγανον, εἰς ὃ ἀποχέουσι, καὶ κατεκέχωσεν ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἠθέλησε φαγεῖν. καὶ εἶπεν ἀμνών· ἐξαγάγετε πάντα ἄνδρα ἀπ' ἐμοῦ. καὶ ἐξήγαγον πάντα ἄνδρα ἀπ' ἐναντίον αὐτοῦ. καὶ εἶπεν ἀμνὼμ πρὸς θημάρ· εἰσένεγκέ μοι τὸ βρῶμα εἰς τὸ ταμιεῖον, καὶ φάγομαι ἐκ τῆς χειρός σου. καὶ ἔλαβε θημὰρ τὰς κολλυρίδας ἃς ἐποίησε, καὶ εἰσήνεγκε τῷ ἀμνὼμ ἀδελφῷ αὐτῆς εἰς τὸν ταμιῶνα, καὶ προσήγαγεν αὐτῷ τοῦ φαγεῖν. καὶ ἐπελάβετο αὐτῆς, καὶ εἶπεν αὐτῇ· δεῦρο κοιμήθητι μετ' ἐμοῦ ἀδελφή μου. καὶ εἶπεν αὐτῷ· μὴ ἀδελφέ μου, μὴ ταπεινώσῃς με, διότι οὐ ποιηθήσεται οὕτως ἐν Ἰσραήλ. μὴ ποιήσῃς τὴν ἀφροσύνην ταύτην, καὶ ἐγὼ ποῦ ἀρίσω τὸ ὄνειδός μου, καὶ σὺ ἔσῃ ὡς εἷς τῶν ἀφρόνων ἐν Ἰσραήλ. καὶ νῦν λάλησον δὴ πρὸς τὸν βασιλέα, ὅτι οὐ μὴ κωλύσῃ με ἀπὸ σοῦ. καὶ οὐκ ἠθέλησεν ἀμνὼν ἀκοῦσαι τῆς φωνῆς αὐτῆς, καὶ ἐκράτησεν αὐτῆς, καὶ ἐταπείνωσεν αὐτήν, καὶ ἐκοιμήθη μετ' αὐτῆς. καὶ ἐμίσησεν αὐτὴν ἀμνὼμ μῖσος μέγα σφόδρα, ὅτι μεγάλη ὁ μῖσος ὃ ἐμίσησεν αὐτὴν ὑπὲρ τὴν ἀγάπην ἣν ἠγάπησεν αὐτήν. καὶ εἶπεν αὐτῇ ἀμνών· ἀνάστηθι πορεύου. καὶ εἶπεν αὐτῷ θημάρ· μὴ ἀδελφέ, ὅτι μεγάλη ἡ κακία ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην ἣν πεποίηκας μετ' ἐμοῦ, τοῦ ἐξαποστεῖλαί με. καὶ οὐκ ἠθέλησεν ἀμνὼν ἀκοῦσαι τῆς φωνῆς αὐτῆς, καὶ ἐκάλεσε τὸν παιδάριον αὐτοῦ τὸν διάκονα αὐτοῦ, καὶ εἶπεν αὐτῷ· ἐξαπόστειλον δὴ ταύτην ἀπ' ἐμοῦ ἔξω, καὶ ἀπόκλεισον τὴν θύραν ὀπίσω αὐτῆς. καὶ ἐπ' αὐτῇ ἦν χιτὼν καρπωτός, ὅτι οὕτως ἐνεδιδύσκοντο αἱ θυγατέρες τοῦ βασιλέως αἱ παρθένοι τοὺς ἐπενδύτας αὐτῶν. καὶ ἐξήγαγεν αὐτὴν ὁ λατομεργὸς αὐτοῦ ἔξω, καὶ ἀπέκλεισε τὴν θύραν ὀπίσω αὐτῆς. καὶ ἔλαβε θημὰρ σποδόν, καὶ ἐπέθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτῆς, καὶ τὸν χιτῶνα τὸν ἐπ' αὐτῇ τὸν καρπωτὸν διέρρηξε, καὶ ἐπέθηκε τὰς χεῖρας αὐτῆς ἐπὶ τὴν κεφαλὴν αὐτῆς. καὶ ἐπορεύθη πορευομένη καὶ κραυγάζουσα. καὶ εἶπε πρὸς αὐτὴν ἀβεσαλὼμ ὁ ἀδελφὸς αὐτῆς· μὴ ἀμνὼν ὁ ἀδελφός σου ἐγένετο μετὰ σοῦ; καὶ νῦν ἀδελφή μου σώφρονσον, ὅτι ἀδελφός σου ἐστί, μὴ θῇς εἰς τὴν καρδίαν σου τὸ λαλῆσαι τὸ ῥῆμα τοῦτο. καὶ ἐκαθίσθη θημὰρ χηρεύουσα ἐν τῷ οἴκῳ ἀβεσαλὼμ τοῦ ἀδελφοῦ αὐτῆς. καὶ ἤκουσεν ὁ βασιλεὺς δαβὶδ πάντας τοὺς λόγους τούτους, καὶ ἐθυμώθη σφόδρα, καὶ οὐκ ἐλύπησε τὸ πνεῦμα ἀμνὼν τοῦ υἱοῦ αὐτοῦ, ὅτι ἠγάπα αὐτόν, ὅτι πρωτότοκος αὐτοῦ ἦν. καὶ οὐκ ἐλάλησεν ἀβεσαλὼμ μετὰ ἀμνὼν ἀπὸ πονηροῦ ἕως ἀγαθοῦ, ὅτι ἐμίσει ἀβεσαλὼμ τὸν ἀμνὼν ἐπὶ τῷ λόγου οὗ ἐταπείνωσε θημὰρ τὴν ἀδελφὴν αὐτοῦ. καὶ ἐγένετο εἰς διετηρίδας ἡμερῶν, καὶ ἦσαν κείροντες τοῦ ἀβεσαλὼμ ἐν Βελασὼρ τῇ ἐχόμενα Ἐφραείμ. καὶ ἐκάλεσεν ἀβεσαλὼμ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ ἦλθεν ἀβεσαλὼμ πρὸς τὸν βασιλέα καὶ εἶπεν· ἰδοὺ δὴ κείρουσι τοῦ δούλου σου, πορευθήτω δὴ ὁ βασιλεὺς καὶ οἱ παῖδες αὐτοῦ μετὰ τοῦ δούλου σου. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἀβεσαλώμ· μὴ δὴ υἱέ μου, οὐ μὴ πορευθῶμεν πάντες ἡμεῖς, καὶ οὐ μὴ καταβαρυνθῶμεν ἐπὶ σέ. καὶ κατεβιάσατο αὐτὸν, καὶ οὐκ ἠθέλησε πορευθῆναι, καὶ εὐλόγησεν αὐτόν. καὶ εἶπεν ἀβεσαλὼμ πρὸς αὐτόν· καὶ εἰ μή, πορευθήτω δὴ μεθ' ἡμῶν ἀμνὼν ὁ ἀδελφός μου. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ἵνατί πορευθῇ ἀμνὼν μετὰ σοῦ; καὶ κατεβιάσατο αὐτὸν ἀβεσαλώμ, καὶ ἀπέστειλε μετ' αὐτοῦ τὸν ἀμνών, καὶ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ ἐποίησεν ἀβεσαλὼμ πότον κατὰ τὸν πότον τοῦ βασιλέως, καὶ ἐνετείλατο ἀβεσαλὼμ τοῖς παιδαρίοις αὐτοῦ λέγων· ἴδετε ὡς ἂν ἀγαθυνθῇ ἡ καρδία ἀμνὼν ἐν τῷ οἴνῳ, καὶ εἶπω πρὸς ὑμᾶς, πατάξατε τὸν ἀμνών, καὶ θανατώσατε αὐτόν· μὴ φοβηθῆτε, ὅτι οὐχὶ ἐγὼ ὁ ἐντελλόμενος ὑμῖν; ἀνδρίζεσθε, καὶ γίνεσθε εἰς υἱοὺς δυναμεως. καὶ ἐποίησαν τὰ παιδάρια ἀβεσαλὼμ τῷ ἀμνών, καθὰ ἐνετείλατο αὐτοῖς. καὶ ἀνέστησαν πάντες οἱ υἱοὶ τοῦ βασιλέως, καὶ ἐπεκάθισεν ἀνὴρ ἐπὶ τὸν ἡμίονον αὐτοῦ, καὶ ἔφυγον. καὶ ἐγένετο αὐτῶν ὄντων ἐν τῇ ὁδῷ, καὶ ἡ ἀκοὴ ἦλθε πρὸς δαβὶδ λεγόντων· ἐπάταξεν ἀβεσαλὼμ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδεὶς εἷς. καὶ αὐτὸς

σι ὁ Βασιλεὺς, καὶ διερρήξατε τὰ ἱμάτια αὐτοῦ. καὶ ἐκοιμήθη ὕπνῳ ἐν τῇ γῇ. καὶ πάντες οἱ παῖδες
αὐτοῦ οἱ παιδισκῶτοὺ αὐτοῦ, διερρήξαν τὰ ἱμάτια αὐτῶν. καὶ ἀπεκρίθη Ἰωναδὰβ ὁ υἱὸς σαμὰ
ἀδελφοῦ Δαβίδ, καὶ εἶπε· μὴ εἰπάτω ὁ κύριός μου ὁ Βασιλεὺς, ὅτι πάντα τὰ παιδάρια αὐ-
τοῦ υἱοὺς τοῦ Βασιλέως ἐθανάτωσεν, ὅτι ἀλλ' ἢ Ἀμνὼν μονώτατος ἀπέθανεν, ὅτι ἐν τῇ σόμα-
τος ἀδιοσκολώμενος ἐμνᾶτο ἀπὸ τῆς ἡμέρας ἧς ἐταπείνωσε θυμὰρ τὴν ἀδελφὴν αὐτοῦ. καὶ
νῦν μὴ θέσθω ὁ κύριός μου ὁ Βασιλεὺς ἐπὶ τὴν καρδίαν αὐτοῦ ῥῆμα λέγων· ὅτι πάντες οἱ υἱοὶ
τοῦ Βασιλέως ἀπέθανον, ὅτι ἀλλ' ἢ Ἀμνὼν μονώτατος ἀπέθανε. καὶ ἀπέδρα Ἀβεσσαλώμ, καὶ
ἤρε τὸ παιδάριον ὁ σκοπὸς οὗ ὀφθαλμὸς αὐτοῦ καὶ εἶδε, καὶ ἰδοὺ λαὸς πολὺς ὁδεύων ἐν τῇ
τρίβῳ τῇ ὡραίᾳ ὄπισθεν αὐτοῦ ἐκ πλευρᾶς τοῦ ὄρους, ἐν τῇ καταβάσει. καὶ παρεγένετο ὁ σκο-
πὸς, καὶ ἀπήγγειλε τῷ Βασιλεῖ, καὶ εἶπεν· εἶδόν τινας ἑώρακα ἐκ τῆς ὁδοῦ τῆς ὡραίας ἐκ μέρους τοῦ ὄ-
ρους. καὶ εἶπεν Ἰωναδὰβ πρὸς τὸν Βασιλέα· ἰδοὺ οἱ υἱοὶ τοῦ Βασιλέως πάρεισι, κατὰ τὸν λόγον τοῦ
δούλου σου, οὕτως ἐγένετο. καὶ ἐγένετο μόνον συντελέσαι λαλοῦντα, καὶ ἰδοὺ οἱ υἱοὶ τοῦ Βασιλέως ἦλ-
θον, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυσαν. καὶ γε ὁ Βασιλεὺς καὶ πάντες οἱ παῖδες
αὐτοῦ ἔκλαυσαν κλαυθμὸν μέγαν σφόδρα, καὶ Ἀβεσσαλὼμ ἀπέδρα καὶ ἀπῆλθε πρὸς Θολμαὶ
υἱὸν Ἀμιοὺδ Βασιλέα Γεδισοὺρ εἰς γῆν χαμαχαθά. καὶ ἐπενθήσεν ὁ Βασιλεὺς Δαβὶδ ἐπὶ τὸν
υἱὸν αὐτοῦ πάσας τὰς ἡμέρας. καὶ Ἀβεσσαλὼμ ἀπέδρα, καὶ ἐπορεύθη εἰς Γεδισοὺρ, καὶ ἦν ἐκεῖ
ἔτη τρία. καὶ ἐκόπασε τὸ πνεῦμα τοῦ Βασιλέως τοῦ ἐξελθεῖν ὀπίσω Ἀβεσσαλώμ, ὅτι παρεκλή-
θη ἐπὶ Ἀμνών, ὅτι ἀπέθανε.

ΚΕΦΑΛ. ιδ'. 14.

Καὶ ἔγνω Ἰωὰβ υἱὸς Σαρουΐας, ὅτι ἡ καρδία τοῦ Βασιλέως ἐπὶ Ἀβεσσαλώμ, καὶ ἀπέστειλεν
εἰς Θεκωὲ καὶ ἔλαβεν ἐκεῖθεν γυναῖκα σοφὴν, καὶ εἶπε πρὸς αὐτήν· πένθησον δὴ καὶ
ἔνδυσαι ἱμάτια πένθικὰ, καὶ μὴ ἀλείψῃ ἔλαιον, καὶ ἔσῃ ὡς γυνὴ πενθοῦσα ἐπὶ τεθνηκότι
ἡμέρας ἐπὶ ἡμέρας πολλάς, καὶ εἰσελεύσῃ πρὸς τὸν Βασιλέα, καὶ λαλήσεις πρὸς αὐτὸν κατὰ τὸ ῥῆ-
μα τοῦτο. καὶ ἔθηκεν Ἰωὰβ τοὺς λόγους αὐτοῦ στόματι αὐτῆς. καὶ ἦλθεν ἡ γυνὴ ἡ Θεκωΐτις πρὸς τὸν
Βασιλέα, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτῆς εἰς τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ, καὶ εἶπε·
σῶσον Βασιλεῦ σῶσον. καὶ εἶπε πρὸς αὐτὴν ὁ Βασιλεύς· τί ἔστι σοι; ἡ δὲ εἶπε· καὶ μάλα γυ-
νὴ χήρα ἐγώ εἰμι, καὶ ἀπέθανεν ὁ ἀνήρ μου, καὶ γε τῇ δούλῃ σου δύο υἱοί, καὶ ἐμαχέσαντο ἀμ-
φότεροι ἐν τῷ ἀγρῷ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἀνὰ μέσον αὐτῶν, καὶ ἔπαισεν ὁ εἷς τὸν ἀ-
δελφὸν αὐτοῦ, καὶ ἐθανάτωσεν αὐτόν. καὶ ἰδοὺ ἐπανέστη ὅλη ἡ πατριὰ πρὸς τὴν δούλην σου,
καὶ εἶπον· δὸς τὸν παίσαντα τὸν ἀδελφὸν αὐτοῦ, καὶ θανατώσωμεν αὐτὸν ἀντὶ τῆς ψυχῆς τοῦ
ἀδελφοῦ αὐτοῦ, οὗ ἀπέκτεινε, καὶ ἐξαροῦμεν, καὶ γε τὸν κληρονόμον ὑμῶν, καὶ σβέσουσι τὸν
ἄνθρακά μου τὸν καταλειφθέντα, ὥστε μὴ θέσθαι τῷ ἀνδρί μου κατάλειμμα, καὶ ὄνομα ἐπὶ
προσώπου τῆς γῆς. καὶ εἶπεν ὁ Βασιλεὺς πρὸς τὴν γυναῖκα· ὑγιαίνουσα βάδιζε εἰς τὸν οἶκόν
σου, καὶ ἐγὼ ἐντελοῦμαι περὶ σου. καὶ εἶπεν ἡ γυνὴ ἡ Θεκωΐτις πρὸς τὸν Βασιλέα· ἐπ' ἐμὲ
ἀνομία κύριέ μου Βασιλεῦ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου, καὶ ὁ Βασιλεὺς, καὶ ὁ θρόνος αὐ-
τοῦ ἀθῷος. καὶ εἶπεν ὁ Βασιλεύς. τίς ὁ λαλῶν πρός σε, καὶ ἄξεις αὐτὸν πρός με, καὶ οὐ προσθή-
σει ἔτι ἅψασθαι αὐτοῦ. καὶ εἶπεν ἡ γυνή· μνημονευσάτω δὴ ὁ Βασιλεὺς τοῦ κυρίου θεοῦ αὐτοῦ,
ἵνα μὴ πληθυνθῶσιν ἀγχιστεῖς τοῦ αἵματος, τοῦ διαφθεῖραι, καὶ οὐ μὴ ἐξαλείψωσι τὸν υἱόν μου· καὶ
εἶπε· ζῇ κύριος, εἰ πεσεῖται ἀπὸ τῆς τριχὸς τοῦ υἱοῦ σου ἐπὶ τὴν γῆν. καὶ εἶπεν ἡ γυνή· λαλη-
σάτω δὴ ἡ δούλη σου πρὸς τὸν κύριόν μου τὸν Βασιλέα ῥῆμα. καὶ εἶπε· λάλησον. καὶ εἶπεν
ἡ γυνή· ἵνα τί ἐλογίσω οὕτως ἐπὶ λαὸν θεοῦ, ἢ ἐκ στόματος τοῦ Βασιλέως ὁ λόγος οὗτος, ὡς
πλημμέλεια τοῦ ἐπιστρέψαι τὸν Βασιλέα τὸν ἐξωσμένον αὐτοῦ, ὅτι θανάτῳ ἀποθανούμεθα, καὶ
ὡσεὶ τὸ ὕδωρ τὸ καταφερόμενον ἐπὶ τὴν γῆν ὃ οὐ συναχθήσεται, καὶ λήψεται ὁ θεὸς ψυχήν, καὶ
λογιζόμενος τοῦ ἐξώσαι ἐξωσμένον. καὶ νῦν ὃ ἦλθον λαλῆσαι πρὸς τὸν Βασιλέα τοῦ ποιῆσαι τὸ ῥῆ-
μα μου τὸ ῥῆμα τοῦτο, ὅτι ὄψεταί με ὁ λαός, καὶ ὄρθρισεν ἡ δούλη σου λαλῆσαι λαλησάτω δὴ πρὸς τὸν κύριόν
μου τὸν Βασιλέα, εἴ πως ποιήσει ὁ Βασιλεὺς τὸ ῥῆμα τῆς δούλης αὐτοῦ, ὅτι ἀκούσει ὁ Βασιλεὺς,
ῥύσασθαι δὴ τὴν δούλην αὐτοῦ ἐκ χειρὸς τοῦ ἀνδρὸς τοῦ ζητοῦντος ἐξαραί με, καὶ τὸν υἱόν μου ἀπὸ τῆς
κληρονομίας θεοῦ. καὶ ἐρεῖ ἡ δούλη σου· γενηθήτω δὴ ὁ λόγος τοῦ κυρίου μου τοῦ Βασιλέως εἰς θυ-
σίαν, ὅτι καθὼς ἄγγελος τοῦ θεοῦ, οὕτως ὁ κύριός μου ὁ Βασιλεὺς τοῦ ἀκούειν τὸ ἀγαθὸν καὶ τὸ πο-
νηρόν, καὶ ἔσαι μετὰ σοῦ κύριός σου ὁ θεός σου. καὶ ἀπεκρίθη ὁ Βασιλεὺς, καὶ εἶπε πρὸς τὴν
γυναῖκα· μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ ῥῆμα ὃ ἐγὼ ἐπερωτῶ σε. καὶ εἶπεν ἡ γυνή· λαλησάτω δὴ
ὁ κύριός μου ὁ Βασιλεύς. καὶ εἶπεν ὁ Βασιλεύς· μὴ ἡ χεὶρ Ἰωὰβ ἐν παντὶ τούτῳ μετὰ σοῦ; καὶ εἶ-
πεν ἡ γυνὴ ζῇ ἡ ψυχή σου κύριέ μου Βασιλεῦ, εἰ ἔστιν εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστε-
ρὰ ἀπὸ παντὸς ὧν ἐλάλησεν ὁ κύριός μου ὁ Βασιλεύς, ὅτι ὁ δοῦλός σου Ἰωὰβ αὐτὸς ἐνετείλα-
τό μοι, καὶ αὐτὸς ἔθετο ἐν στόματι τῆς δούλης σου πάντας τοὺς λόγους τούτους, ἐνεκεν τοῦ πε-
ριελθεῖν τὸ πρόσωπον τοῦ ῥήματος τούτου, ἐλάλησεν ὁ δοῦλός σου Ἰωὰβ τὸν λόγον τοῦτον. καὶ ὁ
κύριός

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ιυείος μετ ὁ Βασιλεὺς σόφος, καθὼς σοφία ἀγγέλου τῦ θεῦ τῦ γνῶναι πάντα τὰ ἐν τῇ γαρ-
λίᾳ σε. καὶ εἶπεν ὁ Βασιλεὺς πῶς ἰωαὲ ἰδοὺ δὴ ἐποίησα σοι κατὰ τὸν λόγον σου ἰδοὺ, πο
δύσε ἐπίστρεψον τὸ παιδάριον τὸν Ἀβεσαλὼμ. καὶ ἔπεσεν ἰωαὲ ὕπτι πρόσωπον αὐτῦ ὑπὲρ τῆ
γῆν, καὶ προσεκύνησε καὶ εὐλόγησε τὸν Βασιλέα, καὶ εἶπεν ἰωαὲ. σήμερον ἔγνω ὁ δοῦλός σε,
τι χάριν εὗρα ἐνώπιόν σε κύριέ με Βασιλεῦ. ὅτι ἐποίησεν ὁ κύριός με ὁ Βασιλεὺς τὸν λόγον
τῦ δούλου σε. καὶ ἀνέστη ἰωαὲ, καὶ ἐπορεύθη εἰς γεθσὲρ, καὶ ἤγαγε τὸν Ἀβεσαλὼμ εἰς ἱερουσα-
λήμ. καὶ εἶπεν ὁ Βασιλεὺς ἀπόστραφήτω εἰς τὸν οἶκον αὐτῦ, καὶ τὸ πρόσωπόν με μὴ βλεπέτω.
καὶ ἀπέστρεψεν Ἀβεσαλὼμ εἰς τὸν οἶκον αὐτῦ, καὶ τὸ πρόσωπον τῦ Βασιλέως οὐκ εἶδε. καὶ ὡς
Ἀβεσαλὼμ οὐκ ἦν ἀνὴρ ἐν παντὶ ἰσραὴλ ἀινετὸς σφόδρα, ἀπὸ ἴχνους ποδὸς αὐτοῦ καὶ ἕως κορυφῆς
αὐτῦ οὐκ ἦν ἐν αὐτῷ μῶμος. καὶ ἐν τῷ κείρεσθαι αὐτὸν τὴν κεφαλὴν αὐτῦ, καὶ ἐγένετο ἐπ' ἀρ-
χῆ ἡμερῶν εἰς ἡμέρας, ὡς ἂν ἐκείρετο, ὅτι κατεβάρυνεν ἐπ' αὐτόν, καὶ ἐκείρετο αὐτὴν, ἔκαστε
τὴν τρίχα ἐκ κεφαλῆς αὐτῦ σίκλους σίκλους, ἐν τῷ σίκλῳ τῦ βασιλικῷ. καὶ ἐτέχθησαν
τῷ Ἀβεσαλὼμ τρεῖς υἱοὶ καὶ θυγάτηρ μία, καὶ τὸ ὄνομα αὐτῆ μαοχᾶ. αὕτη ἦν γυνὴ καλὴ τῷ εἴ
δει σφόδρα, καὶ γίνεται γυνὴ ῥοβοὰμ υἱῷ ζαλομών, καὶ τίκτει αὐτῷ τὸν ἀβία. καὶ ἐκάθισεν Ἀβεσα-
λὼμ ἐν ἱερουσαλὴμ δύο ἔτη ἡμερῶν, καὶ τὸ πρόσωπον τῦ Βασιλέως οὐκ εἶδε. καὶ ἀπέστειλεν Ἀ-
βεσαλὼμ πρὸς ἰωαὲ, τοῦ ἀπέσταλαι αὐτὸν πρὸς τὸν Βασιλέα, καὶ οὐκ ἠθέλησεν ἐλθεῖν πρὸς αὐτόν,
καὶ ἀπέστειλεν ἐκ δευτέρου πρὸς αὐτὸν, καὶ οὐκ ἐθέλησε παραγενέσθαι. καὶ εἶπεν Ἀβεσαλὼμ
πρὸς τοὺς παῖδας αὐτῦ ἴδετε δὴ ἡ μερὶς ἐν ἀγρῷ τῦ ἰωαὲ ἐχομένη μου, καὶ αὐτῷ ἐκεῖ κριθαὶ,
πορεύεσθε, καὶ ἐμπρήσατε αὐτὴν ἐν πυρί. καὶ ἐνέπρησαν οἱ παῖδες τῦ Ἀβεσαλὼμ τὴν μερίδα
ἰωαὲ ἐν πυρί. καὶ παραγίνονται οἱ δοῦλοι ἰωαὲ πρὸς αὐτὸν διερρηχότες τὰ ἱμάτια αὐτῶν, καὶ
εἶπον ἐνέπρησαν οἱ δοῦλοι Ἀβεσαλὼμ τὴν μερίδα ἐν πυρί. καὶ ἀνέστη ἰωαὲ, καὶ ἦλθε πρὸς Ἀβεσ
αλὼμ εἰς τὸν οἶκον, καὶ εἶπεν πρὸς αὐτόν· ἵνατί ἐνέπρησαν οἱ παῖδές σε τὴν μερίδα τὴν ἐμὴν
ἐν πυρί; καὶ εἶπεν Ἀβεσαλὼμ πρὸς ἰωαὲ ἰδοὺ ἀπέστειλα πρός σε λέγων· ἧκε ὧδε, καὶ ἀπέστει
λά σε πρὸς τὸν Βασιλέα λέγων· ἵνατί ἦλθον ἐκ γεθσὲρ, ἀγαθόν μοι ἦν τοῦ ἔτι εἶναί με ἐκεῖ,
καὶ νῦν ἰδοὺ τὸ πρόσωπον τῦ Βασιλέως οὐκ εἶδον. εἰ δὲ ὄφλημ ἐν ἐμοὶ ἀδικία, καὶ θανάτωσόν με.
καὶ εἰσῆλθεν ἰωαὲ πρὸς τὸν Βασιλέα, καὶ ἀπήγγειλεν αὐτῷ, καὶ ἐκάλεσε τὸν Ἀβεσαλὼμ, καὶ
εἰσῆλθε πρὸς τὸν Βασιλέα, καὶ προσεκύνησεν αὐτῷ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτῦ ἐπὶ τὸν
κόλπον τῆ πρόσωπον τῦ Βασιλέως, καὶ κατεφίλησεν ὁ Βασιλεὺς τὸν Ἀβεσαλὼμ.

ΚΕΦΑΛ. ιε'. 15.

ΚΑὶ ἐγένετο μετὰ τοῦτο, καὶ ἐποίησεν ἑαυτῷ Ἀβεσαλὼμ ἅρματα, καὶ ἵππους, καὶ πεν-
τήκοντα ἄνδρας παρατρέχειν ἔμπροσθεν αὐτοῦ. καὶ ὤρθρισεν Ἀβεσαλὼμ, καὶ ἔστη ἐπὶ
χεῖρα τῆ ὁδοῦ τῆ πύλης, καὶ ἐγένετο πᾶς ἀνὴρ ᾧ ἐγένετο κρίσις, ἦλθε πρὸς τὸν Βασιλέα εἰς
κρίσιν, καὶ ἐβόησε πρὸς αὐτὸν Ἀβεσαλὼμ, καὶ εἶπεν αὐτῷ ἐκ ποίας πόλεως σύ εἶ; καὶ εἶπεν
ἀνὴρ ἐκ μιᾶς φυλῆς ἰσραὴλ ὁ δοῦλός σου. καὶ εἶπε πρὸς αὐτὸν Ἀβεσαλὼμ· ἰδοὺ οἱ λόγοι σα
γαθοὶ, καὶ δίκαιοι, καὶ ὁ ἀκούων οὐκ ἔστι σοι παρὰ τῦ Βασιλέως. καὶ εἶπεν Ἀβεσαλὼμ· τίς
με καταστήσει κριτὴν ἐν τῇ γῇ, καὶ ἐπ' ἐμὲ ἐλεύσεται πᾶς ἀνὴρ ᾧ ἐὰν ᾖ αὐτῷ λογία, καὶ κρί-
σις, καὶ δικαιώσω αὐτόν; καὶ ἐγένετο ἐν τῷ ἐγγίζειν αὐτὸν τοῦ προσκυνῆσαι αὐτόν, καὶ ἐξέ
τεινε τὴν χεῖρα αὐτοῦ, καὶ κατεφιλάμβανετο αὐτῦ, καὶ κατεφίλησεν αὐτόν. καὶ ἐποίησεν
Ἀβεσαλὼμ κατὰ τὸ ῥῆμα τοῦτο παντὶ ἰσραὴλ, τοῖς παραγινομένοις εἰς κρίσιν πρὸς τὸν Βασι
λέα, καὶ ἐδιοποιεῖτο Ἀβεσαλὼμ τὰς καρδίας υἱῶν ἰσραὴλ. καὶ ἐγένετο ἀπὸ τέλους τεσσα-
ράκοντα ἐτῶν, καὶ εἶπεν Ἀβεσαλὼμ πρὸς τὸν πατέρα αὐτῦ. πορεύσομαι δὴ καὶ ἀποτίσω
τὰς εὐχάς μου ἃς ηὐξάμην τῷ κυρίῳ ἐν χεβρών, ὅτι εὐχὴν ηὔξατο ὁ δοῦλός σε, ἐν τῷ οἰκεῖν
με ἐν γεθσὲρ ἐν συρίᾳ λέγων· ἐὰν ἀποστρέφων ἀποστρέψῃ με ὁ κύριος εἰς ἱερουσαλὴμ, καὶ λα-
τρεύσω τῷ κυρίῳ. καὶ εἶπεν αὐτῷ ὁ Βασιλεύς· βάδιζε εἰς εἰρήνην. καὶ ἀναστὰς ἐπορεύθη
εἰς χεβρών, καὶ ἀπέστειλεν Ἀβεσαλὼμ κατασκόπους ἐν πάσαις φυλαῖς ἰσραὴλ λέγων· ἐν τῷ
ἀκοῦσαι ὑμᾶς τὴν φωνὴν τῆ σαλπίγγος, καὶ ῥεῖτε· βεβασίλευκεν Ἀβεσαλὼμ ἐν χεβρών. καὶ
ἐπορεύθησαν μετὰ Ἀβεσαλὼμ διακόσιοι ἄνδρες ἐξ ἱερουσαλὴμ κεκλημένοι, καὶ πορευόμενοι τῇ
ἁπλότητι αὐτῶν, καὶ οὐκ ἐγνώσθη πᾶν ῥῆμα. καὶ ἀπέστειλεν Ἀβεσαλὼμ, καὶ ἐκάλεσε τὸν ἀχι-
τόφελ τὸν γαλαμωνῖτον τὸν σύμβουλον τοῦ δαβὶδ ἐκ τῆς πόλεως αὐτοῦ ἐκ γωλᾶ, ἐν τῷ θυ-
σιάζειν αὐτὸν τὰς θυσίας. καὶ ἐγένετο σύστεμμα ἰσχυρόν, καὶ ὁ λαὸς ὁ πορευόμενος, καὶ πολὺς
μετὰ Ἀβεσαλώμ. καὶ παρεγένετο ὁ ἄγγελος πρὸς δαβὶδ λέγων· ἐγκέκλιται ἡ καρδία ἀνδρῶν ἰ-
σραὴλ ὀπίσω Ἀβεσαλώμ. καὶ εἶπε δαβὶδ πᾶσι τοῖς παισὶν αὐτοῦ τοῖς μετ' αὐτοῦ ἐν ἱερου-
σαλήμ· ἀναστῆτε, καὶ φύγωμεν, ὅτι οὐκ ἔσεται ἡμῖν σωτηρία ἀπὸ προσώπου Ἀβεσαλώμ. ταχύνα
τε τοῦ πορευθῆναι ἵνα μὴ ταχύνῃ, καὶ καταλάβῃ ἡμᾶς, καὶ ἐκκλώσῃ ἐφ' ἡμᾶς τὴν κακίαν, καὶ
πατάξῃ τὴν πόλιν ἐν στόματι ῥομφαίας. καὶ εἶπον οἱ παῖδες τῦ Βασιλέως πρὸς τὸν Βασιλέα·
κατὰ πάντα ὅσα ἂν αἱρῆται ὁ κύριος ἡμῶν ὁ Βασιλεύς, ἰδοὺ οἱ παῖδές σου. καὶ ἐξῆλθεν

ὁ Βασι-

ὁ Βασιλεὺς καὶ πᾶς ὁ οἶκος αὐτοῦ τοῖς ποσὶν αὐτῶν. καὶ ἀφῆκεν ὁ Βασιλεὺς τὰς δλίκα γυ-
ναῖκας τὰς παλλακὰς αὐτοῦ φυλαξοσιν ἐν οἴκῳ, καὶ ἐξῆλθεν ὁ Βασιλεὺς, καὶ πάντες οἱ πα-
δλοι αὐτοῦ μετ' αὐτοῦ, καὶ πάντες οἱ παῖδλοι αὐτοῦ αὐτὰ χεῖρας αὐτῶν
παρῆγον, καὶ πᾶς χορευθὶ καὶ πᾶς ὀφελεθθὶ, καὶ οἱ πάντες γεθθαῖοι ἐξακόσιοι αὐδρες, οἱ ἦσαν-
τες περὶ ἐκ γεθ, παρεπορδύοντο κατὰ πρόσωπον τοῦ Βασιλέως. καὶ εἶπεν ὁ Βασιλεὺς πρὸς
ἐθθὶ τὸν γεθθαῖον, ἵνατί πορδύη καὶ σὺ μετ' ἡμῶν; ἀπόστρεφου, καὶ οἴκῃ μετὰ τοῦ Βασιλέως, ὅτι
ξένος εἶ σὺ, καὶ ὅτι μετώκισας σὺ ἐκ τοῦ τόπου σου, εἰ ἐχθὲς παραγέγονας, καὶ σήμερον κα-
νήσω σε μετ' ἡμῶν τοῦ πορδυθῆναι; ⸫ ἐγὼ πορδύομαι οὗ ἐὰν πορδυθῶ. πορδύε καὶ ἀπόστρεφε,
καὶ ἀπόστρεψον ἀὸς ἀδελφούς σε μετὰ σοῦ, καὶ λύεις ποιήσει μετὰ σοῦ ἔλεος καὶ ἀλήθειαν.
καὶ ἀπεκρίθη ἐθθὶ τοῦ Βασιλεῖ, καὶ εἶπε· ζῇ λύεις, καὶ ζῇ ὁ λύεις μου ὁ Βασιλεὺς, ὅτι εἰς ἐν τό-
πον οὗ ἐὰν ἦ ὁ λύεις μου ὁ βασιλεὺς, καὶ ἐὰν εἰς θάνατον, καὶ ἐὰν εἰς ζωλὶ, ὅτι ἐκεῖ ἔσομαι ὁ δοῦλός
σου. καὶ εἶπεν ὁ Βασιλεὺς πρὸς ἐθθὶ· δεῦρο, καὶ διαβαινε μετ' ἐμοῦ. καὶ παρῆλθεν ὁ ἐθθὶ ὁ γε-
θθαῖος καὶ ὁ Βασιλεὺς, καὶ πάντες οἱ παῖδλοι αὐτοῦ, καὶ πᾶς ὁ ὄχλος ὁ μετ' αὐτοῦ, καὶ πᾶσα
ἡ γῆ ἔκλαιε φωνῇ μεγάλῃ. καὶ ὁ Βασιλεὺς διέβη χειμάῤῥουν Κεδρων, καὶ πᾶς ὁ λαὸς, καὶ
ὁ Βασιλεὺς παρεπορδύοντο ἐπὶ πρόσωπον ὁδοῦ τῆς ἐρήμου. καὶ ἰδοὺ, καὶ γε Σαδὼκ ὁ ἱε-
ρεὺς, καὶ πάντες οἱ λευῖται μετ' αὐτοῦ αἴροντες τὴν κιβωτὸν διαθήκης κυρίου ἀπὸ θαιβαδ,
καὶ ἔστησαν τὴν κιβωτὸν διαθήκης κυρίου θεοῦ, ἕως ἐπαύσατο πᾶς ὁ λαὸς παρελθεῖν ἐκ τῆς πό-
λεως. καὶ εἶπεν ὁ Βασιλεὺς πρὸς τὸν σαδὼκ· ἀπόστρεψον τὴν κιβωτὸν τοῦ θεοῦ εἰς τὴν πόλιν,
ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς κυρίου, καὶ ἀποστρέψει με, καὶ δείξει μοι αὐτὴν, καὶ τὴν οὐπερ-
αν αὐτῆς, ἐὰν ὅτως εἴπῃ οὐ ἠθέλησα ἐν σοί, ἰδοὺ ἐγώ εἰμι, ποιείτω τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐ-
τοῦ. καὶ εἶπεν ὁ Βασιλεὺς τῷ Σαδὼκ τῷ ἱερεῖ· ἴδετε σὺ ἀποστρέφεις τὴν πόλιν ἐν εἰρήνῃ, καὶ
ἀχιμαας ὁ υἱός σε, καὶ ἰωναθαν ὁ υἱὸς ἀβιαθαρ, οἱ δύο υἱοὶ ὑμῶν μετ' ὑμῶν. ἴδετε ἐγὼ εἰμι,
αὐλίζομαι ἐν ῥαβαὼθ τῆς ἐρήμου, ἕως τοῦ ἐλθεῖν ῥῆμα παρ' ὑμῶν τοῦ ἀπαγγεῖλαί μοι. καὶ ἀπε-
στρεψε σαδὼκ, καὶ ἀβιάθαρ τὴν κιβωτὸν τοῦ θεοῦ εἰς ἱερουσαλὴμ, καὶ ἐκαθίσαν ἐκεῖ. καὶ δα-
βὶδ ἀνέβαινε τὴν ἀνάβασιν τοῦ ὄρους τῶν ἐλαιῶν ἀναβαίνων, καὶ κλαίων, καὶ τὴν κεφαλὴν
αὐτοῦ κεκαλυμμένον, καὶ αὐτὸς ἐπορεύετο ἀνυπόδετος, καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ ἐκάλυ-
ψαν ἀνὴρ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἀνέβαινον, ἀναβαίνοντες καὶ κλαίοντες, καὶ ἀπηγγέλη τῷ
δαβὶδ λέγοντες· καὶ ἀχιτόφελ, ἐν τοῖς συστρεφομένοις μετὰ ἀβεσαλὼμ. καὶ εἶπε δαβὶδ· διά-
σκέδασον τὴν βουλὴν ἀχιτόφελ, κύριε ὁ θεός μου. καὶ ἦν δαβὶδ ὀρχόμενον ἕως τοῦ ὤμους, ὃ πε-
σκιώπησεν ἐκεῖ τοῦ κυρίου. καὶ ἰδοὺ εἰς ἀπαντησιν αὐτοῦ χουσὶ ὁ ἀρχιεταῖρος δαβὶδ δι ἐρ-
ρηχὼς χιτῶνα αὐτοῦ, καὶ γῆ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ⸫ εἶπεν αὐτῷ δαβὶδ· ἐὰν διέλθῃς μετ'
ἐμοῦ, καὶ ἔσῃ ἐπ' ἐμὲ εἰς βαρσαγμα, καὶ ἐὰν ἀποστρέψῃς ἀδὶ τὴν πόλιν καὶ ὄρεις τῷ ἀβεσαλὼμ,
καὶ δηλήλυθασιν οἱ ἀδελφοί σου, καὶ ὁ Βασιλεὺς κατόπιδέ μου δηλήλυθεν ὁ πατήρ σου.
καὶ υἱῷ πᾶς σου εἰμὶ Βασιλοῦ, ἐασόν με ζῆσαι, πᾶς τὸ πατρός σε ἡμῖν τότε, καὶ νῦν ἐγὼ
δοῦλος σός, καὶ διασκεδάσεις μοι τὴν βουλὴν ἀχιτόφελ. καὶ ἰδοὺ ἐκεῖ μετὰ σοῦ Σαδὼκ καὶ
ἀβιαθαρ οἱ ἱερεῖς, καὶ ἔσαι παῦ ῥῆμα ὃ ἐὰν ἀκούσῃς ἐκ τοῦ οἴκου τοῦ Βασιλέως, καὶ ἀπαγ-
γελεῖς τοῦ σαδὼκ καὶ ἀβιαθαρ τοῖς ἱερεῦσιν. ἰδοὺ ἐκεῖ μετ' αὐτῶν δύο υἱοὶ αὐτῶν, ἀχιμάας υἱὸς
τοῦ Σαδὼκ, καὶ ἰωνάθαν υἱὸς τοῦ ἀβιαθαρ, καὶ ἀποστελεῖτε ἐν χειρὶ αὐτῶν πρός με παῦ ῥῆμα ὃ
ἐὰν ἀκούσητε. καὶ εἰσῆλθε ὁ ἀρχιεταῖρος χουσὶ δαβὶδ εἰς τὴν πόλιν, καὶ ἀβεσαλὼμ ἦρτο
εἰσπορεύεσθαι εἰς ἱερουσαλήμ.

ΚΕΦΑΛ. ιε'. ις'.

ΚΑὶ δαβὶδ παρῆλθε βραχύ τι ἀπὸ τῆς ῥώς, καὶ ἰδοὺ σιβὰ ὁ παιδαδειον μεμφιβοσθὲ
εἰς ἀπαντησιν αὐτοῦ, καὶ ζεῦγος ὄνων ἐσαγμένων, καὶ ἐπ' αὐτοῖς διακόσιοι ἄρ-
τοι, καὶ οἱ φοίνικες, καὶ οἱ παλαθαι, καὶ νεβελ οἴνου, καὶ ἐκατὸν φοίνικες. καὶ εἶπεν ὁ
Βασιλεὺς πρὸς σιβα· τί ταῦτά σοι; καὶ εἶπε σιβα· τὰ κτήνη τῇ οἰκίᾳ, τοῦ Βασιλέως τοῦ
ἐκαθῆσθαι. καὶ οἱ ἄρτοι, καὶ αἱ θαλάθαι εἰς βρῶσιν τοῖς παιδαρίοις, καὶ ὁ οἶνος πιεῖν τοῖς
ἐκλελυμένοις ἐν τῇ ἐρήμῳ. καὶ εἶπεν ὁ Βασιλεὺς· καὶ ποῦ ὁ υἱὸς τοῦ κυρίου σου; καὶ εἶπε σιβὰ
πρὸς τὸν Βασιλέα· ἰδοὺ κάθηται ἐν ἱερουσαλὴμ, ὅτι εἶπε· σήμερον ἀποστρέψουσί μοι τὴν οἰ-
κον ἰσραὴλ τὴν βασιλείαν τοῦ πατρός μου. ⸫ εἶπεν ὁ Βασιλεὺς τοῦ σιβᾶ· ἰδοὺ σοι πάντα ὅσα
δὴ τοῦ μεμφιβοσθὲ. καὶ εἶπε σιβὰ προσκυνήσας· εὕρομι χάριν ἐν ὀφθαλμοῖς σου κύριε μου Βα-
σιλεῦ. καὶ ἦλθεν ὁ Βασιλεὺς δαβὶδ ἕως βαθυρείμ, καὶ ἰδοὺ ἐκεῖθεν ἀνὴρ ἐξεπορεύετο ἐκ συγ-
γενείας οἴκου σαουλ, καὶ ὄνομα αὐτοῦ σεμεῖ υἱὸς γηρᾶ. ἐξῆλθε δὲ ἐκπορευόμενος, καὶ κατηρᾶτο
μενος, καὶ λιθάζων ἐν λίθοις τὸν δαβὶδ, καὶ πάντας τοὺς παῖδας τοῦ Βασιλέως δαβὶδ. καὶ
πᾶς ὁ λαὸς ἰσχυρὸς, καὶ πάντες οἱ δυνατοὶ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ Βασιλέως. καὶ ὅτως
εἶπε σεμεῖ ἐν τῷ κατηρᾶσθαι αὐτόν· ἔξελθε ἔξελθε ἀνὴρ αἱμάτων, καὶ ἀνὴρ ὁ παράνομος,
ἐπέστρεψεν ἐπὶ σὲ κύριος πάντα τὰ αἵματα τοῦ οἴκου σαουλ, ἀνθ' ὧν ἐβασίλευσας αὐτ' αὐτ',
καὶ ἔδωκε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἔδωκε λύριῳ τῷ βασιλέως γῇ χεὶ ἀβεσαλὼμ τῷ υἱῷ σε, καὶ ἰδοὺ σὺ γῇ τῇ οἰκίᾳ σου, ὅτι ἀνὴρ αἱμάτων σύ. καὶ εἶπεν ἀβεσαὶ ὁ τοῦ σερουίας πρὸς τὸν βασιλέα· ἵνατί μὴ ἀποκτανθῇ ὁ κυων οὗτος τὸν κύριόν μου τὸν βασιλέα; διαβήσομαί δή, καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἀβεσαί· τί ἐμοὶ καὶ ὑμῖν υἱοὶ σερουίας; καὶ ἄφετε αὐτὸν, καὶ οὕτως καταρᾶσθω ὅτι κύριος εἶπεν αὐτῷ· καταρᾶσθαι τὸν σιμεϊ, καὶ τίς ἐρεῖ· τί ἐποίησας οὕτως; καὶ εἶπε σιμεϊ πρὸς ἀβεσαί, καὶ πρὸς πάντας οὺς παῖδας αὐτοῦ· ἰδοὺ ὁ υἱός μου ὁ ἐξελθὼν ἐκ τῆς κοιλίας μου ζητεῖ τὴν ψυχήν μου, καὶ πόσῳ πλεῖον ὁ υἱὸς τοῦ ἐμινααίου; ἄφετε αὐτὸν καταρᾶσθαι ὅτι εἶπεν αὐτῷ κύριος, εἴ πως ἴδοι κύριος ἐν τῇ ταπεινώσει μου, καὶ ἀποδῴσει μοι ἀγαθὰ ἀντὶ τῆς καταρᾶς αὐτοῦ τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἐπορεύθη σιμεϊ, καὶ πάντων οἱ ἄνδρες αὐτοῦ ἐν τῇ ὁδῷ. καὶ σιμεϊ ἐπορεύετο ἐκ πλευρᾶς τοῦ ὄρους ἐχόμενα αὐτοῦ, πορευόμενος καὶ καταρώμενος, καὶ λιθάζων ἐν λίθοις ἐκ πλαγίων αὐτοῦ, καὶ τῆς χοῦς πάσσων. καὶ ἦλθεν ὁ βασιλεὺς, καὶ πᾶς ὁ λαὸς μετ' αὐτοῦ ἐκλελυμένοι, καὶ ἀνέψυξαν ἐκεῖ. καὶ ἀβεσαλὼμ, καὶ πᾶς ἀνὴρ ἰσραὴλ, εἰσῆλθον εἰς ἱερουσαλήμ, καὶ ἀχιτόφελ μετ' αὐτοῦ. καὶ ἐγένετο ἡνίκα ἦλθε χουσὶ ὁ ἀρχιταῖρος δαβὶδ πρὸς ἀβεσαλὼμ, καὶ εἶπε χουσὶ πρὸς ἀβεσαλὼμ· ζήτω ὁ βασιλεύς. καὶ εἶπεν ἀβεσαλὼμ πρὸς χουσί· οὐκ ἔστιν τὸ ἔλεός σου μετὰ τοῦ ἑταίρου σου; ἵνατί οὐκ ἐπῆλθες μετὰ τοῦ ἑταίρου σου; καὶ εἶπε χουσὶ πρὸς ἀβεσαλώμ· οὐχί, ἀλλὰ καθότι ἐξελέξατο κύριος, καὶ ὁ λαὸς οὗτος καὶ πᾶς ἀνὴρ ἰσραὴλ, αὐτῷ ἔσομαι, καὶ μετ' αὐτοῦ καθήσομαι, καὶ τὸ δεύτερον τίνι ἐγὼ δουλεύσω; οὐχὶ ἐνώπιον τοῦ υἱοῦ αὐτοῦ; καθάπερ ἐδούλευσα ἐνώπιον τοῦ πατρός σε, οὕτως ἔσομαι ἐνώπιόν σου. καὶ εἶπεν ἀβεσαλὼμ πρὸς ἀχιτόφελ· φέρετε ἑαυτοῖς βουλὴν τί ποιήσωμεν. καὶ εἶπεν ἀχιτόφελ πρὸς ἀβεσαλώμ· εἴσελθε πρὸς τὰς παλλακὰς τοῦ πατρός σου ἃς κατέλιπε φυλάσσειν τὸν οἶκον αὐτοῦ, καὶ ἀκούσεται πᾶς ἰσραὴλ, ὅτι κατήσχυνας τὸν πατέρα σε, καὶ ἰσχύσουσιν πάντων αἱ χεῖρες σὺν μετὰ σοῦ. καὶ ἔπηξαν τῷ σκηνῇ τοῦ ἀβεσαλὼμ ἐπὶ τὸ δῶμα, καὶ εἰσῆλθεν ἀβεσαλὼμ πρὸς τὰς παλλακὰς τοῦ πατρὸς αὐτοῦ κατ' ὀφθαλμοὺς παντὸς ἰσραὴλ. καὶ ἡ βουλὴ ἀχιτόφελ ἣν ἐβουλεύσατο ἐν ταῖς ἡμέραις ταῖς πρώταις, ὡς προστυχὼν ἐπερωτήσει τις τὸν λόγον τοῦ θεοῦ, οὕτως πᾶσα ἡ βουλὴ τοῦ ἀχιτόφελ καί γε τῷ δαβὶδ, καί γε τοῦ ἀβεσαλώμ.

ΚΕΦΑΛ. ιζ'. 17.

ΚΑὶ εἶπεν ἀχιτόφελ πρὸς ἀβεσαλὼμ· ὡσὶ λέξω δὴ ἐμαυτῷ δώδεκα χιλιάδας ἀνδρῶν, καὶ ἀναστήσομαι, καὶ καταδιώξω ὀπίσω δαβὶδ τὴν νύκτα, καὶ ἐπελεύσομαι ἐπ' αὐτὸν, καὶ αὐτὸς κοπιῶν, καὶ ἐκλυόμενον χερσὶ, καὶ ἐκστήσω αὐτὸν, καὶ φεύξεται πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ, καὶ πατάξω τὸν βασιλέα μονώτατον, καὶ ἀποστρέψω πάντα τὸν λαὸν πρός σε, ὃν τρόπον ἀποστρέφει ἡ νύμφη πρὸς τὸν ἄνδρα αὐτῆς, πλὴν τὴν ψυχὴν ἀνδρὸς ἑνὸς σὺ ζητεῖς, καὶ πᾶς ὁ λαὸς εἰρηνεύσει. καὶ ἤρεσεν τὸν λόγον ἐν ὀφθαλμοῖς ἀβεσαλὼμ καὶ ἐν ὀφθαλμοῖς πάντων τῶν πρεσβυτέρων ἰσραὴλ. καὶ εἶπεν ἀβεσαλὼμ· καλέσατε δὴ καί γε τὸν χουσὶ τὸν ἀραχί, καὶ ἀκουσόμεθα τί ἐν τῷ στόματι αὐτοῦ, καί γε αὐτοῦ. καὶ εἰσῆλθε χουσὶ πρὸς ἀβεσαλώμ, καὶ εἶπεν ἀβεσαλὼμ πρὸς αὐτὸν λέγων· κατὰ τὸ ῥῆμα τοῦτο ἐλάλησεν ἀχιτόφελ, εἰ ποιήσωμεν κατὰ τὸν λόγον αὐτοῦ, εἰ δὲ μή, σὺ λάλησον. καὶ εἶπε χουσὶ πρὸς ἀβεσαλώμ· οὐκ ἀγαθὴ αὕτη ἡ βουλὴ ἣν ἐβουλεύσατο ἀχιτόφελ τὸ ἅπαξ τοῦτο. καὶ εἶπε χουσί· σὺ οἶδας τὸν πατέρα σου, καὶ τοὺς ἄνδρας αὐτοῦ, ὅτι δυνατοί εἰσι σφόδρα, καὶ κατάπικροι τῇ ψυχῇ αὐτῶν, ὡς ἄρκτος ἠκνωμένη ἐν ἀγρῷ, καὶ ὡς ὗς τραχεῖα ἐν τῷ πεδίῳ. καὶ ὁ πατήρ σου, ἀνὴρ πολεμιστὴς, καὶ οὐ μὴ καταλύσῃ τὸν λαὸν. ἰδοὺ γὰρ αὐτὸς νῦν κέκρυπται ἐν ἑνὶ τῶν βοθυρίων, ἢ ἐν ἑνὶ τόπῳ καὶ ἔσται ἐν τῷ πεσεῖν ἐν αὐτοῖς ἐν ἀρχῇ, καὶ ἀκούσῃ ὁ ἀκούων, καὶ εἶπεν· ἐγένετο πληθὺς θραῦσις ἐν τῷ λαῷ τῷ ὀπίσω ἀβεσαλώμ, καί γε αὐτὸς υἱὸς δυνάμεως οὗ ἡ καρδία καθὼς ἡ καρδία τοῦ λέοντος, τηκομένη τακήσεται; ὅτι οἶδεν πᾶς ἰσραὴλ, ὅτι δυνατὸς ὁ πατήρ σου, καὶ οἱ υἱοὶ δυνάμεως παντός οἱ μετ' αὐτοῦ. οὕτως συμβουλεύω ἐγὼ συνεβουλεύσα, καὶ συναγόμενος συναχθήσεται πᾶς σὺν ἰσραὴλ ἀπὸ Δαν, καὶ ἕως Βηρσαβεὲ, ὡς ἡ ἄμμος ἡ τοῦ θαλάσσης εἰς πλῆθος, καὶ τὸ πρόσωπόν σου πορευόμενον ἐν μέσῳ αὐτῶν, καὶ ἥξομεν ἐπ' αὐτὸν εἰς ἕνα τῶν τόπων οὗ ἐὰν εὑρώμεν αὐτὸν ἐκεῖ, καὶ παρεμβαλοῦμεν ἐπ' αὐτὸν, ὡς πίπτει δρόσος ἐπὶ τὴν γῆν, καὶ οὐχ ὑπολειφόμεθα ἐν αὐτῷ, καὶ τοῖς ἀνδράσιν αὐτοῦ τοῖς μετ' αὐτοῦ καί γε ἕνα. καὶ ἐὰν εἰς τὴν πόλιν συναχθῇ, καὶ λήψεται πᾶς ἰσραὴλ πρὸς τὴν πόλιν ἐκείνην σχοινία, καὶ συρροῦμεν αὐτὴν ἕως εἰς τὸν χειμάῤῥουν ἕως μὴ καταλειφθῇ ἐκεῖ μηδὲ λίθος. καὶ εἶπεν ἀβεσαλὼμ, καὶ πᾶς ἀνὴρ ἰσραὴλ· ἀγαθὴ ἡ βουλὴ χουσὶ τοῦ ἀραχί, ὑπὲρ τὴν βουλὴν ἀχιτόφελ. καὶ κύριος ἐνετείλατο διασκεδάσαι τὴν βουλὴν τοῦ ἀχιτόφελ τὴν ἀγαθὴν, ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ ἀβεσαλὼμ τὰ κακὰ πάντα. καὶ εἶπε χουσὶ ὁ τοῦ ἀραχὶ πρὸς σαδὼκ καὶ ἀβιάθαρ τοὺς ἱερεῖς· οὕτως καὶ οὕτως συνεβούλευσεν ἀχιτόφελ τῷ ἀβεσαλώμ, καὶ τοῖς πρεσβυτέροις ἰσραὴλ, καὶ οὕτως καὶ οὕτως συνεβούλευσα ἐγώ. καὶ νῦν ἀπόστειλατε ταχύ,

καὶ ἀπαγγείλατε τῷ Δαβὶδ λέγοντες· μὴ αὐλισθῆς τὴν νύκτα ἐν ἀραβὼθ ἀλλ' ὀρήμωε διάβαινε πορεύου μή ποτε διαπείσῃ τὸν Βασιλέα, καὶ πάντα τὸν λαὸν τὸν μετ' αὐτοῦ· καὶ ἰωνάθαν, καὶ ἀχιμαὰς, εἰσηκόσαν ἐν τῇ φωγῇ ρωγήλ, καὶ ἐπορεύθη ἡ παιδίσκη, καὶ ἀπήγγελλεν αὐτοῖς, καὶ αὐτοὶ πορεύονται, καὶ ἀπαγγέλλουσι τῷ Βασιλεῖ Δαβὶδ, ὅτι οὐκ ἠδυνάσθησαν ὀφθῆναι τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν. καὶ εἶδεν αὐτοὺς παιδάριον, καὶ ἀπήγγειλε τῷ Ἀβεσαλὼμ, καὶ ἐπορεύθησαν οἱ δύο ταχέως, καὶ εἰσῆλθον εἰς οἶκον ἀνδρὸς ἐν Βαθουείμ, καὶ αὐτῷ λάκκος ἐν τῇ αὐλῇ, καὶ διατέβησαν ἐκεῖ. καὶ ἔλαβεν ἡ γυνὴ, καὶ διεπέτασε τὸν ὦν κάλυμμα ἐπὶ τὸ πρόσωπον τοῦ λάκκου, καὶ ἔψυξεν ἐπ' αὐτῷ ἀραβὼθ, καὶ οὐκ ἐγνώσθη ῥῆμα. καὶ ἦλθον οἱ παῖδες Ἀβεσαλὼμ πρὸς τὴν γυναῖκα εἰς τὴν οἰκίαν, καὶ εἶπον· ποῦ Ἀχιμαὰς, καὶ Ἰωνάθαν; καὶ εἶπεν αὐτοῖς ἡ γυνὴ· παρῆλθον μικρὸν τοῦ ὕδατος, καὶ ἐζήτησαν, καὶ οὐχ εὗρον, καὶ ἀνέστρεψαν εἰς Ἰερουσαλήμ. ἐγένετο δὲ μετὰ τὸ ἀπελθεῖν αὐτοὺς, ἀνέβησαν ἐκ τοῦ λάκκου, καὶ ἐπορεύθησαν, καὶ ἀπήγγειλαν τῷ Βασιλεῖ Δαβὶδ, καὶ λέγουσιν αὐτῷ· ἀάστητε, καὶ διάβητε ταχέως τὸ ὕδωρ, ὅτι τάδε βεβούλευται Ἀχιτόφελ. καὶ ἀνέστη Δαβὶδ, καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ, καὶ διέβησαν τὸν Ἰορδάνην, ἕως τοῦ φωτὸς τοῦ πρωΐ, ἕως ἑνὸς οὐκ ἔλαθεν, ὃς οὐ διέβη τὸν Ἰορδάνην. καὶ Ἀχιτόφελ εἶδεν ὅτι οὐκ ἐγνώσθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐπάταξε τὴν ὄνον αὐτοῦ, καὶ ἀνέστη, καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ εἰς τὴν πόλιν αὐτοῦ, καὶ ἐνετείλατο τῷ οἴκῳ αὐτοῦ καὶ ἀπήγξατο, καὶ ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ. καὶ Δαβὶδ διῆλθεν εἰς Μαναείμ, καὶ Ἀβεσαλὼμ διέβη τὸν Ἰορδάνην, αὐτὸς καὶ πᾶς ἀνὴρ Ἰσραὴλ μετ' αὐτοῦ, καὶ τὸν Ἀμεσσαὶ ἐπέστησεν Ἀβεσαλὼμ αὐτὶ Ἰωὰβ ἐπὶ τῆς δυνάμεως. καὶ Ἀμεσσαὶ υἱὸς ἀνδρὸς, καὶ ὄνομα αὐτῷ Ἰεθὲρ ὁ Ἰσραηλίτης, οὗτος εἰσῆλθε πρὸς Ἀβιγαίαν θυγατέρα Ἰεσσαὶ ἀδελφὴν Σαρουίας μητρὸς Ἰωὰβ, καὶ παρῳκίβαλεν Ἀβεσαλὼμ καὶ πᾶς Ἰσραὴλ ἐν τῇ γῇ Γαλαάδ. καὶ ἐγένετο ὅτε εἰσῆλθε Δαβὶδ εἰς Μαναείμ, καὶ Σοὺβὶ υἱὸς Ναὰς ἐκ Ῥαββὰθ υἱῶν Ἀμμὼν, καὶ Μαχεὶρ υἱὸς Ἀμιὴλ ὁ ἐκ Λοδαβὰρ. καὶ Βορζελλὶ ὁ Γαλααδίτης ὁ ἐκ Ῥωγελλίμ, ἤνεγκαν Δίκα κοίτας ἀμφιτάπους, καὶ λέβητας Δίκα, καὶ σκόπιν κριθᾶς καὶ πυρὸν καὶ ἄλευρον, καὶ ἄλφιτον, καὶ λύαμον, καὶ φακὸν, καὶ μέλι, καὶ βούτυρον, καὶ πρόβατα, καὶ σαφφὼθ βοῶν, καὶ προσήνεγκαν τῷ Δαβὶδ, καὶ τῷ λαῷ μετ' αὐτοῦ φαγεῖν. ὅτι εἶπαν ὁ λαὸς πεινῶν, καὶ ἐκλυόμενος, καὶ διψῶν ἐν τῇ ὀρήμῳ.

ΚΕΦΑΛ. ιή. 18.

ΚΑὶ ἐπεσκέψατο Δαβὶδ πάντα τὸν λαὸν τὸν μετ' αὐτοῦ, καὶ διατέτηκεν ἐπ' αὐτῶν χιλιάρχας καὶ ἑκατοντάρχας, καὶ ἀπέστειλε Δαβὶδ τὸν λαὸν τὸ τρίτον ἐν χειρὶ Ἰωὰβ, καὶ τὸ τρίτον ἐν χειρὶ Ἀβεσαὶ υἱοῦ Σαρουίας ἀδελφοῦ Ἰωὰβ, καὶ τὸ τρίτον ἐν χειρὶ Ἐθθὶ τοῦ Γεθθαίου. καὶ εἶπε Δαβὶδ πρὸς τὸν λαόν· ἐξελθὼν ἐξελεύσομαι καὶ γὲ ἐγὼ μεθ' ὑμῶν. καὶ εἶπεν· οὐκ ἐξελεύσῃ, ὅτι ἐὰν φυγῇ φύγωμεν, οὐ θήσουσιν ἐφ' ἡμᾶς καρδίαν. καὶ ἐὰν ἀποθάνωμεν τὸ ἥμισυ ἡμῶν, οὐ θήσουσιν ἐφ' ἡμᾶς καρδίαν, ὅτι σὺ ὡς ἡμεῖς δέκα χιλιάδες. καὶ νῦν ἀγαθὸν, ὅτι σὺ ἔσῃ ἡμῖν ἐν τῇ πόλει εἰς βοηθὸν τοῦ βοηθεῖν. καὶ εἶπεν αὐτοῖς ὁ Βασιλεύς· ὃ ἐὰν ἀρέσῃ ἐν ὀφθαλμοῖς ὑμῶν ποιήσω. καὶ ἔστη ὁ Βασιλεὺς ἐπὶ χεῖρα τῆς πύλης, πᾶς ὁ λαὸς ἐξεπορεύετο εἰς ἑκατοντάδας καὶ εἰς χιλιάδας. καὶ ἐνετείλατο ὁ Βασιλεὺς τῷ Ἰωὰβ καὶ τῷ Ἀβεσαὶ καὶ τῷ Ἐθθὶ λέγων· φείσασθέ μοι τοῦ παιδαρίου τοῦ Ἀβεσαλώμ. καὶ πᾶς ὁ λαὸς ἤκουσεν ἐντελλομένου τοῦ Βασιλέως πᾶσι τοῖς ἄρχουσι, περὶ Ἀβεσαλώμ. καὶ ἐξῆλθε πᾶς ὁ λαὸς εἰς τὸν ἀγρὸν παρεμβολὴν Ἰσραὴλ, καὶ ἐγένετο ὁ πόλεμος ἐν τῷ δρυμῷ Ἐφραίμ, καὶ ἔπταισεν ἐκεῖ ὁ λαὸς Ἰσραὴλ ἐνώπιον τῶν παίδων Δαβίδ. καὶ ἐγένετο ἡ θραῦσις μεγάλη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς εἴκοσι χιλιάδες ἀνδρῶν. καὶ ἐγένετο ἐκεῖ ὁ πόλεμος διεσπαρμένος ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ ἐπλεόνασεν ὁ δρυμὸς τοῦ καταφαγεῖν ἐκ τοῦ λαοῦ, ὑπὲρ οὓς κατέφαγεν ἡ μάχαιρα ἐν τῷ λαῷ, τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ συνήντησεν Ἀβεσαλὼμ ἐνώπιον τῶν παίδων Δαβίδ. καὶ Ἀβεσαλὼμ ἐπὶ τοῦ ἡμιόνου αὐτοῦ, καὶ εἰσῆλθεν ὁ ἡμίονος ὑπὸ τὸν κλάδον τῆς δρυὸς τῆς μεγάλης, καὶ συνεπλάκη ἡ λεφαλὴ αὐτοῦ ἐν τῇ δρυῒ, καὶ ἐκρεμάσθη ἀνὰ μέσον τοῦ οὐρανοῦ καὶ ἀνὰ μέσον τῆς γῆς, καὶ ἡ ἡμίονος ὑπὸ αὐτὸν παρῆλθε. καὶ εἷς ἀνὴρ εἶδεν, καὶ ἀπήγγειλε τῷ Ἰωὰβ καὶ εἶπεν· ἰδοὺ ἑώρακα τὸν Ἀβεσαλὼμ κρεμάμενον ἐν τῇ δρυΐ. καὶ εἶπεν Ἰωὰβ τῷ ἀνδρὶ τῷ ἀπαγγέλλοντι αὐτῷ· καὶ ἰδοὺ ἑώρακας, καὶ τί ὅτι οὐκ ἐπάταξας αὐτὸν ἐκεῖ εἰς τὴν γῆν; καὶ ἐγὼ ἔδωκα ἂν σοι ἑκατὸν σίκλους ἀργυρίου, καὶ ζώνην μίαν. εἶπεν ὁ ἀνὴρ πρὸς Ἰωάβ· καὶ ἐὰν σὺ ἔστησας ἐπὶ τὰς χεῖράς μου χιλίους σίκλους ἀργυρίου, οὐ μὴ ἐπιβάλω τὴν χεῖρά μου ἐπὶ τὸν υἱὸν τοῦ Βασιλέως, ὅτι ἐν τοῖς ὠσὶν ἡμῶν ἐνετείλατο ὁ Βασιλεὺς σοὶ καὶ τῷ Ἀβεσαὶ, καὶ τῷ Ἐθθὶ λέγων· φυλάξατέ μοι τὸ παιδάριον τὸν Ἀβεσαλώμ, μὴ ποιήσαι ἐν τῇ ψυχῇ αὐτοῦ ἄδικον, καὶ πᾶς ὁ λόγος οὐ λύσεται ἀπὸ τοῦ Βασιλέως, καὶ σὺ ἔστης ἐξεναντίας, καὶ εἶπεν Ἰωάβ· οὐχ οὕτως μενῶ ἐνώπιόν σου. καὶ ἔλαβεν Ἰωὰβ τρία βέλη ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἔπηξεν αὐτὰ ἐν τῇ καρδίᾳ Ἀβεσαλὼμ ἔτι αὐτοῦ ζῶντος ἐν τῇ

καρδίᾳ

λαρδίας τῆ δηνός. καὶ ἐκύκλωσαν δίκα παιδάρια αἴροντα σκόνη ἰωάβ, καὶ ἐπάταξαν τὸν
ἀβεσσαλὼμ, καὶ ἐθανάτωσαν αὐτόν. καὶ ἐσάλπισεν ἰωάβ ἐν τῇ λιρατίνῃ, καὶ ἀπέστρεψεν ὁ λαὸς
τοῦ μὴ διώκειν ὀπίσω ἰσραὴλ, ὅτι ἐφείσατο ἰωάβ τοῦ λαοῦ. καὶ ἔλαβον ἰωάβ τὸν ἀβεσσαλὼμ, καὶ
ἔρριψαν αὐτὸν εἰς χάσμα μέγα ἐν τῇ δρυμῷ, εἰς τὸν βόθινον τὸν μέγαν, καὶ ἐστήλωσαν ἐπ' αὐ-
τὸν σωρὸν λίθων μέγαν σφόδρα. καὶ πᾶς ἰσραὴλ ἔφυγεν αὐτὸν εἰς τὸ σκήνωμα αὐτοῦ. ἀβεσσα-
λὼμ δὲ ἔτι ζῶν ἔλαβε, καὶ ἔστησεν ἑαυτῷ στήλην ἐν τῇ κοιλάδι τοῦ Βασιλέως, ὅτι
εἶπεν· ὅτι οὐκ ἔστιν αὐτῷ υἱός, ἕνεκα τοῦ ἀναμνῆσαι τὸ ὄνομα αὐτοῦ. ἐν ἐπάλξει τῆς στήλης ἐπὶ τοῦ
ὀνόματι αὐτοῦ, καὶ ἐπάλεσεν αὐτὴν χεὶρ ἀβεσσαλὼμέως ἕως τὴν ἡμέρας ταύτης. καὶ ἀχιμάας υἱὸς σα-
δὼκ εἶπε· δραμοῦμαι δὴ καὶ εὐαγγελιῶ τῷ Βασιλεῖ, ὅτι ἔκρινεν αὐτῷ κύριος ἐκ χειρὸς τῶν ἐχ-
θρῶν αὐτοῦ. καὶ εἶπεν αὐτῷ ἰωάβ· οὐκ ἀνὴρ εὐαγγελίων σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ εὐαγγελιῇ
ἐν ἡμέρᾳ ἄλλῃ, ἐν δὲ τῇ ἡμέρᾳ ταύτῃ οὐκ εὐαγγελιῇ οὗ εἵνεκεν ὁ υἱὸς τοῦ Βασιλέως τέθνηκε.
καὶ εἶπεν ἰωάβ τῷ χουσί· Βασίσας ἀπάγγειλον τῷ Βασιλεῖ ὅσα εἶδον. καὶ προσεκύνησε χου-
σὶ τῷ ἰωάβ, καὶ ἔδραμε. καὶ προσέθετο ἔτι ἀχιμάας υἱὸς σαδὼκ καὶ εἶπε πρὸς ἰωάβ· καὶ ἔσω,
ὅτι δραμοῦμαι δὴ γε ἐγὼ ὀπίσω τοῦ χουσί. καὶ εἶπεν ἰωάβ· ἵνατί σὺ τοῦτο τρέχεις υἱέ μου; δίδυρον οὐκ
ἔστι σοι εὐαγγέλια εἰς ὠφέλειαν προβαίνοντα. καὶ εἶπεν ἀχιμάας· τί γὰρ ἐὰν δραμοῦμαι; καὶ εἶπεν
αὐτῷ ἰωάβ· δράμε, καὶ ἔδραμεν ἀχιμάας τὴν ὁδὸν τοῦ πεδίου, καὶ ὑπερέβη τὸν χουσί. καὶ
Δαβὶδ ἐκάθητο ἀνὰ μέσον τῶν δύο πυλῶν. καὶ ἐπορεύθη ὁ σκοπὸς εἰς τὸ δῶμα τῆς πύλης
πρὸς τὸ τεῖχος, καὶ ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε, καὶ ἰδοὺ ἀνὴρ τρέχων μόνος ἐνώπιον αὐτοῦ.
καὶ ἀνεβόησεν ὁ σκοπὸς, καὶ ἀπήγγειλε τῷ Βασιλεῖ. καὶ εἶπεν ὁ Βασιλεύς· εἰ μόνος ὁδὸν, εὐαγ-
γελία ἐν τῷ στόματι αὐτοῦ. καὶ ἐπορεύετο πορευόμενος καὶ ἐγγίζων, καὶ εἶδεν ὁ σκοπὸς ἄνδρα
ἕτερον τρέχοντα, καὶ ἀνεβόησε πρὸς τὴν πύλην, καὶ εἶπεν. καὶ ἰδοὺ ἀνὴρ ἕτερος τρέχων μόνος, καὶ
εἶπεν ὁ Βασιλεύς· καὶ γε οὗτος εὐαγγελιζόμενος. καὶ εἶπεν ὁ σκοπὸς· ἐγὼ ὁρῶ τὸν δρόμον τοῦ
πρώτου ὡς δρόμον ἀχιμάας υἱοῦ Σαδώκ. καὶ εἶπεν ὁ Βασιλεύς· ἀνὴρ ἀγαθὸς οὗτος, καὶ γε εἰς
εὐαγγελίαν ἀγαθὴν ἐλεύσεται. καὶ ἐβόησεν ἀχιμάας, καὶ εἶπε πρὸς τὸν Βασιλέα· εἰρήνη. καὶ
προσεκύνησε τῷ Βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ εἶπεν· εὐλογητὸς κύριος ὁ
θεός σου, ὃς ἀπέκλεισε τοὺς ἄνδρας τοὺς ἐπαιρομένους τὴν χεῖρα αὐτῶν ἐπὶ τὸν κύριόν μου τὸν Βασι-
λέα. καὶ εἶπεν ὁ Βασιλεύς· εἰρήνη τῷ παιδαρίῳ τῷ ἀβεσσαλὼμ; καὶ εἶπεν ἀχιμάας· εἶδον τὸ
πλῆθος τὸ μέγα ἐπιφαινόμενον ἐν τῷ ἀρτεῖλαι ἰωάβ τὸν δοῦλον τοῦ Βασιλέως, καὶ τὸν δοῦλόν
σου, καὶ οὐκ ἔγνων τί ἐκεῖ. καὶ εἶπεν ὁ Βασιλεύς· ἐπίστρεψον καὶ παράστηθι ὧδε, καὶ ἐπεστράφη καὶ ἔστη
ἀπέναντι, καὶ ἰδοὺ χουσὶ ὁπίσω αὐτοῦ παραγίνεται, καὶ εἶπε τῷ Βασιλεῖ· εὐαγγελισάτω ὁ κύριός μου
ὁ Βασιλεύς, ὅτι ἔκρινέ σοι κύριος σήμερον ἐκ χειρὸς πάντων τῶν ἐπαιρομένων ἐπὶ σέ. καὶ εἶ-
πεν ὁ Βασιλεὺς πρὸς τὸν χουσί· εἰρήνη τῷ παιδαρίῳ τῷ ἀβεσσαλὼμ; καὶ εἶπεν ὁ χουσί· γέ-
νοιτο ὡς τὸ παιδάριον, οἱ ἐχθροὶ τοῦ κυρίου μου τοῦ Βασιλέως, καὶ πάντες ὅσοι ἐπανέστησαν ἐπ'
αὐτὸν εἰς κακά. καὶ ἐταράχθη ὁ Βασιλεύς, καὶ ἀνέβη εἰς τὸ ὑπερῷον τῆς πύλης καὶ ἔκλαυσε, καὶ
οὕτως εἶπεν ἐν τῷ κλαίειν αὐτόν· υἱέ μου ἀβεσσαλὼμ, υἱέ μου, υἱέ μου ἀβεσσαλὼμ, τίς δώῃ τὸν
θάνατόν μου αὐτὶ σοῦ; ἐγὼ αὐτὶ σοῦ. ἀβεσσαλὼμ υἱέ μου, υἱέ μου, ἀβεσσαλὼμ υἱέ μου.

ΚΕΦΑΛ. ιθ'. 19.

ΚΑΙ ἀπηγγέλη τῷ ἰωάβ λέγοντες· ἰδοὺ ὁ Βασιλεὺς κλαίει καὶ πενθεῖ ὀπίσω ἀβεσσαλώμ.
καὶ ἐγένετο ἡ σωτηρία ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς πένθος παντὶ τῷ λαῷ, ὅτι ἤκουσεν ὁ λαὸς
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λεγόντων ὅτι λυπεῖται ὁ Βασιλεὺς ὀπίσω τοῦ υἱοῦ αὐτοῦ; καὶ διεκλείσθη
ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν, καθὼς διακλείεται ὁ λαὸς οἱ αἰσχυνό-
μενοι ἐν τῷ φεύγειν ἐκ πολέμου. καὶ ὁ Βασιλεὺς ἐκρύψε τὸ πρόσωπον αὐτοῦ, καὶ ἐβόησε
ὁ Βασιλεὺς φωνῇ μεγάλῃ, λέγων· υἱέ μου ἀβεσσαλὼμ, ἀβεσσαλὼμ υἱέ μου. καὶ εἰσῆλθεν
ἰωάβ πρὸς τὸν Βασιλέα εἰς τὸν οἶκον καὶ εἶπε· κατῃσχυνας σήμερον τὰ πρόσωπα πάντων τῶν
δούλων σου τῶν ἐξαιρουμένων σε καὶ σήμερον, καὶ τὴν ψυχὴν τῶν υἱῶν σου, καὶ τῶν θυγατέρων
σου, καὶ τὴν ψυχὴν τῶν γυναικῶν σου, καὶ τῶν παλλακῶν σου, τοῦ ἀγαπᾶν τοὺς μισοῦντάς σε,
καὶ μισεῖν τοὺς ἀγαπῶντάς σε. καὶ ἀπήγγελας σήμερον, ὅτι οὐκ εἰσὶν οἱ ἄρχοντές σου, καὶ οἱ παῖ-
δές σου, ὅτι ἔγνωκα σήμερον ὅτι εἰ ἀβεσσαλὼμ ἔζη, καὶ πάντες ἡμεῖς σήμερον νεκροί, ὅτι τότε δοῦ-
λος ἦν ἐν ὀφθαλμοῖς σου. καὶ νῦν ἀνάστας ἔξελθε καὶ λάλησον εἰς τὰς καρδίας τῶν δούλων σου,
ὅτι ἐν κυρίῳ ὤμοσα, ὅτι εἰ μὴ ἐκπορεύσῃ σήμερον, εἰ αὐλισθήσεται ἀνὴρ μετὰ σοῦ τὴν νύκτα
ταύτην. καὶ ἐπίγνωθι σεαυτῷ, ὅτι κακόν σοι τοῦτο, ὑπὲρ πᾶν τὸ κακὸν, τὸ ἐπελθόν σοι ἐκ
νεότητός σου ἕως τοῦ νῦν. καὶ ἀνέστη ὁ Βασιλεὺς, καὶ ἐκάθισεν ἐν τῇ πύλῃ, καὶ πᾶς ὁ λαὸς ἀ-
πήγγειλαν λέγοντες· ἰδοὺ ὁ Βασιλεὺς κάθηται ἐν τῇ πύλῃ. καὶ εἰσῆλθε πᾶς ὁ λαὸς κατὰ
πρόσωπον τοῦ Βασιλέως ἐπὶ τὴν πύλην, καὶ ἰσραὴλ ἔφυγεν ἀνὴρ εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ
ἐπὶ πᾶς ὁ λαὸς διακεκινόμενος ἐν πάσαις φυλαῖς ἰσραὴλ, λέγοντες· ὁ Βασιλεὺς ἐλυτρώσατο ἡμᾶς ἐκ
πάντων τῶν ἐχθρῶν ἡμῶν, καὶ αὐτὸς ἐξεῖλε ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νιῶ τῶ φθύγγω ἀπὸ τῆς γῆς καὶ ἀπὸ τῆς βασιλείας αὐτοῦ ὅτι ἀθετοπαλῶμεν καὶ ἀθετοπαλωμεῦμεν
ἐχρίσαμεν ἐφ' ἡμῶν ἀπέθανον γὰρ τοῦ πολέμου. καὶ νιῦ, ἵνατί ὑμεῖς λωφοῦντε τοῦ ὑποστρέψαι
τὸν βασιλέα; καὶ τὸ ῥῆμα παντὸς ἰσραὴλ ἦλθε πρὸς τὸν βασιλέα. καὶ ὁ βασιλεὺς δαβὶδ ἀπέστειλε
πρὸς σαδὼκ καὶ πρὸς ἀβιάθαρ τοὺς ἱερεῖς λέγων· λαλήσατε πρὸς τοὺς πρεσβυτέρους ἰού-
δα λέγοντες· ἵνατί γίνεσθε ἔσχατοι τοῦ ὑποστρέψαι τὸν βασιλέα εἰς τὸν οἶκον αὐτοῦ; καὶ ὁ λόγος
παντὸς ἰσραὴλ ἦλθε πρὸς τὸν βασιλέα εἰς τὸν οἶκον αὐτοῦ· ἀδελφοί μου ὑμεῖς, ὀστᾶ μου καὶ σάρ-
κες μου ὑμεῖς. καὶ ἵνατί γίνεσθε ἔσχατοι τοῦ ὑποστρέψαι τὸν βασιλέα εἰς τὸν οἶκον αὐτοῦ; καὶ
τῷ ἀμεσσαὶ εἴπατε· οὐχὶ ὀστοῦν μου καὶ σάρξ μου σύ; καὶ νιῦ τάδε ποιήσαι μοι ὁ θεός, καὶ
τάδε προσθείη, εἰ μὴ ἄρχων δυνάμεως ἔσῃ ἐνώπιον ἐμοῦ, πάσας τὰς ἡμέρας αὐτῦ ἰωάβ. καὶ ἔκλινε
τὴν καρδίαν παντὸς ἀνδρὸς ἰούδα, ὡς ἀνδρὸς ἑνός. καὶ ἀπέστειλαν πρὸς τὸν βασιλέα λέ-
γοντες· ὑποστράφηθι σὺ καὶ πάντες οἱ δοῦλοί σου. καὶ ἐπέστρεψεν ὁ βασιλεύς, καὶ ἦλθεν ἕως
τοῦ ἰορδάνου. καὶ ἀνδρὸς ἰούδα ἦλθον εἰς γάλγαλα, τοῦ πορεύεσθαι εἰς ἀπάντησιν τοῦ βασι-
λέως, διαπεράσαι τὸν ἰορδάνην τὸν βασιλέα. καὶ ἐτάχυνε σεμεῖ ὑὸς γηρᾶ, ὃς ἦν ἐκ
βαθαρεήμ, καὶ κατέβη μετὰ ἀνδρὸς ἰούδα εἰς ἀπάντησιν τοῦ βασιλέως δαβίδ, καὶ χίλιοι
ἄνδρες μετ' αὐτοῦ ἐκ τοῦ βενιαμείν, καὶ σιβὰ ὁ παιδάριον τοῦ οἴκου σαοὺλ, καὶ δωδεκαὶδε-
κα υἱοὶ αὐτοῦ μετ' αὐτοῦ, καὶ εἴκοσι δοῦλοι αὐτοῦ μετ' αὐτοῦ, καὶ κατεβίβασαν τὸν ἰορδάνην ἔμ-
προσθεν τοῦ βασιλέως, καὶ ἐλειτούργησαν τὴν λειτουργίαν τῆς διαβιβάσαι τὸν βασιλέα. καὶ
διέβη ἡ διάβασις τοῦ ἀγαγεῖν τὸν οἶκον τοῦ βασιλέως, καὶ τοῦ ποιῆσαι τὸ ἀγαθὸν ἐνώπιον
αὐτοῦ. καὶ σεμεῖ ὑὸς γηρᾶ ἔπεσεν ἐνώπιον προσώπου αὐτοῦ ἐνώπιον τοῦ βασιλέως, διαλαινομέ-
νος αὐτοῦ τὸν ἰορδάνην. καὶ εἶπε πρὸς τὸν βασιλέα· μὴ λογιζέσθω ὁ κύριός μου ὁ βασιλεὺς
ἀνομίαν, καὶ μὴ μνησθῇς ὅσα ἠδίκησεν ὁ παῖς σου ἐν τῇ ἡμέρᾳ ᾗ ἐξεπορεύθη ὁ κύριός μου ὁ βα-
σιλεὺς ἐξ ἰερουσαλήμ, τοῦ θέσθαι τὸν βασιλέα εἰς τὴν καρδίαν ἑαυτοῦ. ὅτι ἔγνω ὁ δοῦλός σου,
ὅτι ἐγὼ ἥμαρτον, καὶ ἰδοὺ ἐγὼ ἦλθον σήμερον πρότερος παντὸς ἰσραὴλ καὶ οἴκου ἰωσήφ, τοῦ
καταβῆναί με εἰς ἀπαάντησιν τῷ κυρίῳ μου τῷ βασιλέως. καὶ ἀπεκρίθη ἀβισαὶ υἱὸς σαρουίας, καὶ
εἶπε· μὴ οὐτὶ τούτου οὐ θανατωθήσεται σεμεί, ὅτι κατηράσατο τὸν χριστὸν τοῦ κυρίου; καὶ εἶπε
δαβίδ· τί ἐμοὶ καὶ ὑμῖν υἱοὶ σαρουίας, ὅτι γίνεσθέ μοι σήμερον εἰς ἐπίβουλον; σήμερον οὐ θανα-
τωθήσεται τις ἀνὴρ ἐξ ἰσραὴλ, ὅτι οὐκ οἶδα ἐὰ σήμερον βασιλεύσω ἐγὼ ἐπὶ τὸν ἰσραήλ. καὶ
εἶπεν ὁ βασιλεὺς πρὸς σεμεί· οὐ μὴ ἀποθάνῃς. καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεύς. καὶ ἰδοὺ μεμφι-
βοδὲ υἱὸς ἰωναθὰν υἱοῦ σαοὺλ, κατέβη εἰς ἀπαντὴν τῷ βασιλέως, καὶ οὐκ ἐβράπευσατο τοὺς πό-
δας αὐτοῦ, οὐδὲ ὠνυχίσατο, οὐδὲ ἐποίησε τὸν μύσακα αὐτοῦ, καὶ τὰ ἱμάτια αὐτοῦ οὐκ ἀπέπλυ-
νεν ἀπὸ τῆς ἡμέρας ἧς ἀπῆλθεν ὁ βασιλεύς, ἕως τῆς ἡμέρας ἧς αὐτὸς παρεγένετο ἐν εἰρήνῃ. καὶ
ἐγένετο ὅτε εἰσῆλθεν εἰς ἰερουσαλὴμ εἰς ἀπάντησιν τῷ βασιλέως, καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς·
τί ὅτι οὐκ ἐπορεύθης μετ' ἐμοῦ μεμφιβοδέ; καὶ εἶπε πρὸς αὐτὸν μεμφιβοδέ· κύριέ μου βασι-
λεῦ, ὁ παῖς μου ἐξηπάτησέ με, ὅτι εἶπεν ὁ παῖς σου αὐτῷ· ἐπισάξόν μοι τὸν ὄνον καὶ ἐπιβῶ
ἐπ' αὐτῶν, καὶ πορεύσομαι μετὰ τοῦ βασιλέως, ὅτι χωλὸς ὁ δοῦλός σου, καὶ διεβάλετο ἐν τῷ δοῦ-
λῳ σου πρὸς τὸν κύριόν μου τὸν βασιλέα. καὶ ὁ κύριός μου ὁ βασιλεύς, ὡς ἄγγελος τοῦ θεοῦ.
καὶ ποίησον τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου, ὅτι οὐκ ἦν πᾶς ὁ οἶκος τοῦ πατρός μου, ὅτι ἀλλ' ἢ ἄν-
δρες θανάτου τῷ κυρίῳ μου τῷ βασιλεῖ. καὶ ἔθηκας τὸν δοῦλόν σου ἐν τοῖς ἐδέδουσι τῆς τρά-
πεζάν σου. καὶ τί ἔστι μοι ἔτι δικαίωμα; καὶ τοῦ βεκραγγαὶ με ἔτι πρὸς τὸν βασιλέα; καὶ εἶ-
πεν αὐτῷ ὁ βασιλεύς· ἵνατί λαλεῖς ἔτι σὺ λόγους σου; εἶπόν σοι, σιβά, διελεῖσθε τὸν ἀγρόν.
καὶ εἶπε μεμφιβοδὲ πρὸς τὸν βασιλέα· καὶ γε τὰ πάντα λαβέτω μετὰ τὸ παραγενέσθαι τὸν κύ-
ριόν μου τὸν βασιλέα ἐν εἰρήνῃ εἰς τὸν οἶκον αὐτοῦ. καὶ βερζελλὶ ὁ γαλααδίτης, κατέβη ἐκ ρω-
γελλὶμ, καὶ διέβη μετὰ τοῦ βασιλέως τὸν ἰορδάνην τοῦ προπέμψαι αὐτὸν τὸν ἰορδάνην. καὶ
βερζελλὶ, ἀνὴρ πρεσβύτης σφόδρα, υἱὸς ὀγδοήκοντα ἐτῶν, καὶ αὐτὸς διέθρεψε τὸν βασιλέα,
ἐν τῷ οἰκεῖν αὐτὸν ἐν μαναεὶμ, ὅτι ἀνὴρ μέγας ἦν σφόδρα. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς βερ-
ζελλὶ· σὺ διαβήσῃ μετ' ἐμοῦ, καὶ διαθρέψω σε μετ' ἐμοῦ ἐν ἰερουσαλήμ. καὶ εἶπε βερ-
ζελλὶ πρὸς τὸν βασιλέα· πόσαι ἡμέραι ἐτῶν ζωῆς μου, ὅτι ἀναβήσομαι μετὰ τοῦ βασιλέως εἰς
ἰερουσαλήμ; υἱὸς ὀγδοήκοντα ἐτῶν ἐγώ εἰμι σήμερον, μὴ γνώσομαι ἀνὰ μέσον ἀγαθοῦ καὶ ἀνὰ
μέσον πονηροῦ; ἢ γνώσεται ἔτι ὁ δοῦλός σου ὃ φάγομαι ἢ ὃ πίομαι; ἢ ἀκούσομαι ἔτι φωνὴν ᾀδόντων
καὶ ᾀδουσῶν; καὶ ἵνατί ἔσαι ἔτι ὁ δοῦλός σου εἰς φορτίον τῷ κυρίῳ μου τῷ βασιλέα;
ὡς βραχὺ διαβήσεται ὁ δοῦλός σου τὸν ἰορδάνην μετὰ τοῦ βασιλέως. καὶ ἵνατί ἀνταποδίῳ
δωσί μοι ὁ βασιλεὺς τὴν ἀνταπόδοσιν ταύτην; διαθισάτω δὴ ὁ δοῦλός σου, καὶ ἀποθανοῦμαι
ἐν τῇ πόλει μου, πλὴν τοῦ τάφου τοῦ πατρός μου καὶ τῆς μητρός μου. καὶ ἰδοὺ ὁ δοῦλός σου χαμαάμ
ὁ υἱός μου, διαβήσεται μετὰ τοῦ κυρίου μου τοῦ βασιλέως, καὶ ποίησον αὐτῷ τὸ ἀγαθὸν ἐν ὀφθαλ-
μοῖς σου. καὶ εἶπεν ὁ βασιλεύς· μετ' ἐμοῦ δὴ διαβήτω χαμαάμ, καὶ ἐγὼ ποιήσω τὸ ἀγαθὸν ἐν
ὀφθαλμοῖς σου, καὶ πάντα ὅσα ἂν ἐκλέξηται ἐπ' ἐμοί, ποιήσω σοι. καὶ διέβη πᾶς ὁ λαὸς τὸν ἰορ-
δάνην,

σλαὼλω, καὶ ὁ Βασιλεὺς σλίεθ, καὶ διατεθίλησεν ὁ Βασιλεὺς τὸν Βορζελλί, καὶ σὺλόγησεν αὐτὸν, καὶ ἐπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ σλίεθη ὁ Βασιλεὺς εἰς γάλγαλα, καὶ χαμαὰμ σλίεθ μετ' αὐτοῦ, καὶ πᾶς ὁ λαὸς ἰούδα σλαβάινοντοῦ μετὰ τοῦ Βασιλέως, διαγε τὸ ἥμισυ τοῦ λαοῦ ἰσραὴλ. καὶ ἰδοὺ πᾶς ἀνὴρ ἰσραὴλ πρεγγέρ πρὸς τὸν Βασιλέα, καὶ εἶπεν πρὸς τὸν Βασιλέα· τί ὅτι ἐκλεψάσε οἱ ἀδελφοί ἡμῶν ἀνὴρ ἰούδα, καὶ σλεβίβασαν τὸν Βασιλέα & τὸν οἶκον αὐτοῦ τὸν ἰορδάνην, καὶ παντὸν ἄνδρον σλαβίσ μετ' αὐτοῦ; & ἀπεκρίθη πᾶς ἀνὴρ ἰσραὴλ τῷ ἀνδρὶ ἰούδα, καὶ εἶπεν· σλίοτι ἐγγίζει πρός με ὁ Βασιλεύς. καὶ ἵνατί οὕτως ἐθυμώθης περὶ τοῦτο; μὴ βρῶσιν ἐφάγομεν ἐκ τοῦ Βασιλέως, ἢ σλόμα σλέσλωκεν, ἢ ἄρσιν ἦρεν ἡμῖν; & ἀπεκρίθη ἀνὴρ ἰσραὴλ τῷ ἀνδρὶ ἰούδα, καὶ εἶπεν· δέκα χεῖρες μοι ἐν τῷ Βασιλεῖ, καὶ πρωτότοκος ἐγώ, ἢ σύ, διαί γε ἐν τῷ σλαβίσ ἐμί ὑπὲρ σέ. καὶ ἵνατί ἐξουδένωσάς με, καὶ οὐκ ἐλογίσθη ὁ λόγος μου πρῶτος ἐμοῦ τοῦ ἰούδα ἀποστρέψαι τὸν Βασιλέα ἐμοί; καὶ ἐσκληρώθη ὁ λόγος ἀνδρὸς ἰούδα, ὑπὲρ τὸν λόγον ἀνδρὸς ἰσραὴλ.

ΚΕΦΑΛ. κ'. 20.

ΚΑὶ ἐκεῖ ὀνόματι καλούμενος ἰὸς πονηρός, καὶ ὄνομα αὐτῷ σαβεὲ, υἱὸς Βοχωρὶ ἀνὴρ ἰεμιναῖος, καὶ ἐσάλπισεν ἐν τῇ λερατίνῃ & εἶπεν· δὲν ἔσιν ἡμῖν μερὶς ἐν τῷ σλαβίσ, οὐδὲ κλῆρονομία ἡμῖν ἐν υἱῷ ἰεσσαὶ. ἀνὴρ εἰς τὰ σκηνώματά σου ἰσραὴλ. καὶ ἀνέβη πᾶς ἀνὴρ ἰσραὴλ ἀπὸ ὄπισθεν σλαβίσ ὀπίσω σαβεὲ υἱοῦ Βοχωρί. καὶ ἀνὴρ ἰούδα ἐκολλήθη τῷ Βασιλεῖ αὐτῶν ἀπὸ τοῦ ἰορδάνου, καὶ ἕως ἱερουσαλήμ. καὶ εἰσῆλθε σλαβίσ εἰς τὸν οἶκον αὐτοῦ ἱερουσαλήμ. καὶ ἔλαβεν ὁ Βασιλεὺς τὰς δέκα γυναῖκας τὰς παλλακὰς αὐτοῦ ἃς ἀφῆκε φυλάσσειν τὸν οἶκον, καὶ ἔδωκεν αὐτὰς ἐν οἴκῳ φυλακῆς, καὶ σλίεβρεψεν αὐτὰς, καὶ πρὸς αὐτὰς οὐκ εἰσῆλθε, καὶ ἦσαν συνεχόμεναι ἕως ἡμέρας θανάτου αὐτῶν χήραι ζῶσαι. καὶ εἶπεν ὁ Βασιλεὺς πρὸς ἀμεσσαί· βόησόν μοι τὸν ἄνδρα ἰούδα τρεῖς ἡμέρας, σὺ δὲ αὐτὸς πάρει. καὶ ἐπορεύθη ἀμεσσαὶ τοῦ βοῆσαι τὸν ἰούδα, καὶ ἐχρόνισεν ἀπὸ τοῦ καιροῦ οὗ ἐτάξατο αὐτῷ σλαβίσ. καὶ εἶπε σλαβίσ πρὸς ἀμεσσαί· νῦν κακοποιήσει ἡμᾶς σαβεὲ, υἱὸς Βοχωρὶ ὑπὲρ ἀβεσσαλώμ. καὶ νῦν σὺ λάβε μετὰ σεαυτοῦ τοὺς παῖδας τοῦ κυρίου σου, καὶ καταδίωξον ὀπίσω αὐτοῦ, μή ποτε ἑαυτῷ εὕρωσι πόλεις ὀχυράς, & σκάσωσι τοὺς ὀφθαλμούς ἡμῶν. καὶ ἐξῆλθον ὀπίσω αὐτοῦ ἀβεσσαὶ καὶ οἱ ἄνδρες ἰωάβ, καὶ ὁ χορεθθί, καὶ ὀφελεθθί, καὶ παντὸς οἱ δυνατοί, καὶ ἐξῆλθον ἐξ ἱερουσαλὴμ σλιῶξαι ὀπίσω σαβεὲ υἱὸ Βοχωρί. καὶ αὐτοὶ πρὰ & λίθῳ τῷ μεγάλῳ, & ἐν γαβαὼν. καὶ ἀμεσσαὶ εἰσῆλθεν ἐμπροσθεν αὐτοῦ, καὶ ἰωάβ περιεζωσμένος μανδύαν τὸ ἔνδυμα αὐτοῦ, καὶ ἐπ' αὐτῷ ἐζωσμένος μαχαιραν ἐζευγμένην ἐπὶ ὀσφύος αὐτοῦ, ἐν διολεῖ αὐτῆς, καὶ ἡ μάχαιρα ἐξῆλθε, καὶ ἔπεσε. καὶ εἶπεν ἰωάβ & ἀμεσσαί· εἰ ὑγιαίνεις σὺ ἀδελφέ; καὶ διατί ἔχεν ἡ χεὶρ ἡ δεξιὰ ἰωάβ & τοῦ πώγωνος ἀμεσσαὶ, τοῦ διαπασθαι αὐτόν. καὶ ἀμεσσαὶ οὐκ ἐφυλάξαθ τὴν μάχαιραν τὴν ἐν τῇ χειρὶ ἰωάβ, καὶ ἔπαισεν αὐτὸν ἐν αὐτῇ ἰωάβ εἰς τὴν ψόαν, καὶ ἐξεχύθη ἡ διοιλία αὐτοῦ ὑπὲρ τὴν γῆν, καὶ οὐκ ἐδιπλοτόμωσεν αὐτόν, καὶ ἀπέθανε. καὶ ἰωάβ καὶ ἀβεσσὰ ὁ ἀδελφὸς αὐτοῦ, ἐδίωξεν ὀπίσω σαβεὲ υἱὸ Βοχωρί. καὶ ἀνὴρ ἔστη ἐπ' αὐτὸν τῶν παιδαρίων ἰωάβ καὶ εἶπε· τίς ὁ βουλόμενος ἰωάβ, καὶ τίς τὸ σλαβίσ ὀπίσω ἰωάβ. καὶ ἀμεσσαὶ τεθνηκὼς περιφυρμένος ἐν τῷ αἵματι ἐν μέσῳ & τρίβῳ. καὶ εἶδεν ἀνὴρ ἰσραὴλ, ὅτι εἰστήκει πᾶς ὁ λαὸς, & ἀπέστρεψε τὸν ἀμεσσαὶ ἐκ & τρίβου εἰς τὸν ἀγρὸν, καὶ ἐπέστρεψεν ἐπ' αὐτὸν ἱμάτιον, διαθ' ὅτι εἶδεν, ὅτι πᾶς ὁ ἐρχόμενος ἐπ' αὐτὸν ἵστατο. καὶ ἐν ἐγκάρδῳ ὅτε μετέστη ἐκ & τρίβου, πᾶν ἦλθε πᾶς ἀνὴρ ἰσραὴλ ὀπίσω ἰωάβ, & διώξαι ὀπίσω σαβεὲ υἱὸ Βοχωρί. καὶ διῆλθε ἐν πάσαις φυλαῖς ἰσραὴλ εἰς ἐβὲλ, καὶ εἰς βαιθμαχά, καὶ πάντας ἐν χαρρί, καὶ πᾶσαι αἱ πόλεις ἐξεκλησιάσθησαν, καὶ ἦλθον διατεπίσθεν αὐτοῦ, καὶ πατεγγίσθησαν καὶ ἐπολιόρκουν ἐπ' αὐτὸν ἐνεβὲλ καὶ φορμαχά, & ἐξέχεαν πρόχωμα πρὸς τὴν πόλιν, καὶ ἔστη ἐν τῷ πλατεισμαῖ, καὶ πᾶς ὁ λαὸς ὁ μετὰ ἰωάβ ἐνεοῦσαν διαβαλεῖν τὸ τεῖχος, καὶ ἐβόησε γυνὴ σοφὴ ἐκ τοῦ τείχους καὶ εἶπεν· ἀκούσατε, ἀκούσατε, εἴπατε πρὸς ἰωάβ· ἔγγιζον ἕως ὧδε, καὶ λαλήσω πρὸς αὐτόν. καὶ προσήγγισε πρὸς αὐτὴν. καὶ εἶπεν ἡ γυνὴ· εἰ σὺ εἶ ἰωάβ; ὁ δὲ εἶπεν· ἐγώ. εἶπε δὲ αὐτῷ· ἄκουσον τοὺς λόγους & δούλης σου. καὶ εἶπεν ἰωάβ· ἀκούω, ἐγώ εἰμι. καὶ εἶπε λέγουσα· λόγον ἐλάλησαν ἐν πρώτοις λέγοντες· ἐρωτήσει ἐρωτήσῃ ἐν τῇ ἐβὲλ καὶ ἐν δανῶ, ἐξέλιπον ἠθέλησαν οἱ πιστοὶ & ἰσραὴλ, ἐρωτῶντες ἐπερωτῶσιν ἐν ἐνεβὲλ, καὶ οὕτως εἶπεν· εἰ ἐξέλιπεν, ἐγώ εἰμι εἰρηνικὰ τῶν ἐνεχομένων ἰσραὴλ, σὺ δὲ ζητεῖς θανατῶσαι πόλιν καὶ μητρόπολιν ἐν ἰσραὴλ. καὶ ἵνατί διαπαντὸς ζεῖς διληρονομίαν κυρίου; καὶ ἀπεκρίθη ἰωάβ καὶ εἶπεν· ἱλεώς μοι ἱλεώς μοι, εἰ διαπαντὸς ζῶ, καὶ εἰ ἐξαφθερῶ. οὐχ οὕτως ὁ λόγος, ὅτι ἀνὴρ ἐξ ὄρους ἐφραὶμ σαβεὲ, υἱὸς Βοχωρὶ ὄνομα αὐτῷ, καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ὑπὲρ τὸν Βασιλέα σλαβίσ, σόλον μοι μόνον καὶ ἀπελεύσομαι ἐπάνωθεν & τῆς πόλεως. καὶ εἶπεν ἡ γυνὴ πρὸς ἰωάβ· ἰδοὺ ἡ κεφαλὴ αὐτοῦ ῥιφήσεται πρός σε ἐξ & τοῦ τείχους. & εἰσῆλθεν ἡ γυνὴ πρὸς πάντα τὸν λαὸν, καὶ ἐλάλησε πρὸς πᾶσαν τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτῆς, ἐξελεῖν τὴν κεφαλὴν σαβεὲ υἱοῦ Βοχωρί. καὶ ἀφαιροῦσι τὴν κεφαλὴν σαβεὲ υἱὸ Βοχωρὶ,

καὶ ἐξαπέστειλεν αὐτοὺς πρὸς Ἰωάβ. καὶ ἐστάλησαν ἐν Ἀροὴρ καὶ διεπάρησαν ἐκ τῆς πόλεως ἀπὸ αὐτοῦ καὶ ἦλθον εἰς τὰ σκηνώματα αὐτῶν. καὶ Ἰωὰβ ἀπέστρεψεν εἰς Ἱερουσαλὴμ πρὸς τὸν Βασιλέα. καὶ ὁ Ἰωὰβ ὤθησε πάσῃ τῇ δυνάμει Ἰσραὴλ, καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τοῦ Χορεθθὶ, καὶ τοῦ Φελεθθὶ, καὶ ἀδωνιρὰμ ἐπὶ τοῦ φόρου, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺθ ὑπομιμνήσκων, καὶ σουσὰ γραμματεὺς, καὶ σαδὼκ καὶ ἀβιάθαρ ἱερεῖς. καὶ γὲιρας ὁ Ἰαιρεὶ ἦν ἱερεὺς τοῦ Δαβίδ.

ΚΕΦΑΛ. κά. 21.

ΚΑὶ ἐγένετο λιμὸς ἐν ταῖς ἡμέραις Δαβὶδ τρία ἔτη, γινώσκων ὁ ἐχόμενος γινώσκετε, καὶ ἐζήτησε Δαβὶδ τὸ πρόσωπον Κυρίου, καὶ εἶπε Κύριος τῷ Σαοὺλ καὶ τῷ οἴκῳ αὐτοῦ ἡ ἀδικία, ἐν θανάτῳ αἱμάτων αὐτοῦ, ὅτι οὗ ἐθανάτωσε τοὺς Γαβαωνίτας. καὶ ἐκάλεσεν ὁ Βασιλεὺς Δαβὶδ τοὺς Γαβαωνίτας, καὶ εἶπε πρὸς αὐτούς. καὶ οἱ Γαβαωνίται, οὐχὶ υἱοὶ Ἰσραὴλ εἰσὶν, ὅτι ἀλλ' ἢ ἐκ τοῦ ἀμορραίου, καὶ οἱ υἱοὶ Ἰσραὴλ ὤμοσαν αὐτοῖς. καὶ ἐζήτησε Σαοὺλ παταξαι αὐτοὺς ἐν τῷ ζήλωσαι αὐτὸν υἱὸς Ἰσραὴλ καὶ Ἰούδα. καὶ εἶπε Δαβὶδ πρὸς τοὺς Γαβαωνίτας· τί ποιήσω ὑμῖν, καὶ ἐν τίνι ἐξιλάσομαι, καὶ εὐλογήσετε τὴν κληρονομίαν Κυρίου; καὶ εἶπον αὐτῷ οἱ Γαβαωνίται· οὐκ ἔστι ἡμῖν ἀργύριον ἢ χρυσίον μετὰ Σαοὺλ καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ οὐκ ἔστιν ἡμῖν ἀνὴρ θανατώσεως ἐκ παντὸς Ἰσραήλ; καὶ εἶπε· τί ὑμεῖς λέγετε καὶ ποιήσω ὑμῖν. καὶ εἶπαν πρὸς τὸν Βασιλέα· ὁ ἀνὴρ ὃς συνετέλεσεν ἡμᾶς καὶ ἐδολίωσεν ἡμᾶς, ὃς παρελογίσατο ἐξολεθρεῦσαι ἡμᾶς, ἀφανίσωμεν αὐτὸν τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ. δότε ἡμῖν ἑπτὰ ἄνδρας ἐκ τῶν υἱῶν αὐτοῦ, καὶ ἐξολεθρεύσω, μᾶλλον αὐτοὺς Κυρίῳ ἐν Κυρίῳ Γαβαὼν Σαοὺλ ἐκλεκτοὺς Κυρίου. καὶ εἶπεν ὁ Βασιλεύς· ἐγὼ δώσω. καὶ ἐφείσατο ὁ Βασιλεὺς τοῦ μεμφιβοσθὲ υἱὸν Ἰωνάθαν τοῦ Σαοὺλ, διὰ τὸν ὅρκον Κυρίου τὸν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Δαβὶδ, καὶ ἀνὰ μέσον Ἰωνάθαν τοῦ Σαοὺλ. καὶ ἔλαβεν ὁ Βασιλεὺς τοὺς δύο υἱοὺς ῥεσφὰ θυγατρὸς Αἰὰ, παλλακῆς Σαοὺλ, οὓς ἔτεκε Κυρίῳ Σαοὺλ, τὸν Ἑρμωνεὶ καὶ τὸν μεμφιβοσθὲ καὶ τοὺς πέντε υἱοὺς Μελχόλ, θυγατρὸς Σαοὺλ, οὓς ἔτεκε τῷ Ἀδριήλ, υἱῷ Βορζελλὶ τοῦ μαουλαθί, καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ τῶν Γαβαωνιτῶν. καὶ ἐξιλίασαν αὐτοὺς ἐν τῷ ὄρει ἐναντίον Κυρίου. καὶ ἔπεσον ἐκεῖ οἱ ἑπτὰ ἅμα τὸ αὐτό. αὐτοὶ δὲ ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ ἐν πρώτοις, ἐν ἀρχῇ θερισμοῦ κριθῶν. καὶ ἔλαβε ῥεσφὰ θυγάτηρ Αἰὰ τὸν σάκκον, καὶ διέτεινεν αὐτὸν ἑαυτῇ ἐπὶ τὸν πέτραν ἐν ἀρχῇ θερισμοῦ κριθῶν, ἕως ἔσταξεν ἐπ' αὐτοὺς ὕδατα θεοῦ ἐκ τοῦ οὐρανοῦ. καὶ οὐκ ἔδωκε τὰ πετεινὰ τοῦ οὐρανοῦ καταπαῦσαι ἐπ' αὐτοὺς ἡμέρας, καὶ τὰ θηρία τοῦ ἀγροῦ νυκτός. καὶ ἀνηγγέλη Δαβὶδ πάντα ἃ ἐποίησε ῥεσφὰ θυγάτηρ Αἰὰ, παλλακὴ Σαοὺλ. καὶ ἐπορεύθη Δαβὶδ καὶ ἔλαβε τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ παρὰ τῶν ἀνδρῶν Ἰαβεὶς γαλαάδ, οἳ ἔκλεψαν αὐτοὺς ἐκ τῆς πλατείας Βαιθσάν, ὅπου ἐκρέμασαν αὐτοὺς ἐκεῖ οἱ ἀλλόφυλοι ἐν τῇ ἡμέρᾳ ἧ ἐπάταξαν οἱ ἀλλόφυλοι τὸν Σαοὺλ ἐν Γελβουέ, καὶ ἀνήνεγκεν ἐκεῖθεν τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ, καὶ συνήγαγε τὰ ὀστᾶ τῶν ἐξιλιασμένων, καὶ ἔθαψε τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ, καὶ τὰ ὀστᾶ τῶν ἐκκρεμασθέντων, ἐν γῇ Βενιαμὶν, ἐν τῇ πλευρᾷ ἐν Σηλὰ πάππου Κὶς τοῦ πατρὸς αὐτοῦ. καὶ ἐποίησαν πάντα ὅσα ἐνετείλατο ὁ Βασιλεύς. καὶ ἐπήκουσεν ὁ Θεὸς τῇ γῇ μετὰ ταῦτα. καὶ ἐνῴμοσεν ἔτι πόλεμος τοῖς ἀλλοφύλοις μετὰ Ἰσραὴλ, καὶ κατέβη Δαβὶδ καὶ οἱ παῖδες αὐτοῦ μετ' αὐτοῦ, καὶ ἐπολέμησαν μετὰ τῶν ἀλλοφύλων. καὶ ἐξελύθη Δαβὶδ, καὶ ἔστη εἰς λῶ ἐν τοῖς ἐκγόνοις τοῦ ῥαφαείμ, καὶ ὁ σταθμὸς τοῦ δόρατος αὐτοῦ τριακοσίων σίκλων ὁλκῆς χαλκοῦ, καὶ αὐτὸς περιεζωσμένος μαχαίρᾳ, καὶ διενοεῖτο τοῦ παταξαι τὸν Δαβὶδ, καὶ ἐβοήθησεν αὐτῷ Ἀβεσσὰ υἱὸς σαρουίας, καὶ ἔσωσεν αὐτὸν Ἀβεσσὰ καὶ ἐπάταξε τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν αὐτόν. τότε ὤμοσαν οἱ ἄνδρες Δαβὶδ λέγοντες· οὐκ ἐξελεύσῃ ἔτι μεθ' ἡμῶν εἰς πόλεμον, καὶ οὐ μὴ σβέσῃς τὸν λύχνον Ἰσραήλ. καὶ ἐνῴμοσεν μετὰ ταῦτα ἔτι πόλεμος ἐν Νὲβ μετὰ τῶν ἀλλοφύλων. τότε ἐπάταξε Σοβοχαὶ ὁ Ἀσωθὲ τοὺς ὠσιωσιμμένους ἀπογόνους τῶν γιγάντων, καὶ ἐνῴμοσεν ἔτι πόλεμος ἐν Γὸβ μετὰ τῶν ἀλλοφύλων, καὶ ἐπάταξεν Ἐλεανὰν υἱὸς Ἀρωεὶ ὁ Βαιθλεεμίτης τὸν Γολιὰθ τὸν Γεθθαῖον, καὶ τὸ ξύλον τοῦ δόρατος αὐτοῦ ὡς αὐτίον ὑφαινόντων. καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γὲθ, καὶ ἦν ἀνὴρ ἐκ μασιὼν, καὶ οἱ δάκτυλοι τῶν χειρῶν καὶ οἱ δάκτυλοι τῶν ποδῶν αὐτοῦ ἓξ καὶ ἓξ, εἴκοσι τέσσαρες ἀριθμῷ, καὶ γε αὐτὸς ἐτέχθη τῷ ῥαφᾶ, καὶ ὠνείδισε τὸν Ἰσραήλ. καὶ ἐπάταξεν αὐτὸν Ἰωνάθαν υἱὸς σαφᾶ τοῦ ἀδελφοῦ Δαβὶδ. οἱ τέσσαρες οὗτοι ἐτέχθησαν ἀπόγονοι τῶν γιγάντων, τῷ ῥαφᾶ ἐν Γὲθ, καὶ ἔπεσον ἐν χειρὶ Δαβὶδ καὶ ἐν χειρὶ τῶν δούλων αὐτοῦ.

ΚΕΦΑΛ. κβ'. 22.

ΚΑὶ ἐλάλησε Δαβὶδ τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ἧ ἐξεῖλεν αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαοὺλ, καὶ εἶπε· Κύριε πέτρα μου καὶ ὀχύρωμά μου, καὶ ἐξαιρούμενός μοι· ὁ Θεός μου φύλαξ μου ἔσομαι, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ· ὑπερασπισμός μου, καὶ κέρας σωτηρίας μου, ἀντιλήπτωρ μου, καὶ καταφυγή μου σωτηρίας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πηρίας μου, ἀπ' ἀδίκου σώσει με. μνεστὸν ἐπικαλέσομαι Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.
ὅτι περιέσχον με συντρίμμοι θανάτου, καὶ χείμαρροι ἀνομίας ἐβάμβισάν με. ὠδῖνοι θανάτου
ἐκύκλωσάν με, προέφθασάν με σκληρότητοι θανάτου. ἐν τῇ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν
Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐβόησα. καὶ ἐπακούσεται ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ
κραυγή μου ἐν τοῖς ὠσὶν αὐτοῦ. καὶ ἐταράχθη καὶ ἐσείσθη ἡ γῆ, καὶ τὰ θεμέλια τοῦ οὐρανοῦ συ-
νεταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ἐθυμώθη Κύριος αὐτοῖς. καὶ ἀνέβη καπνὸς ἐν ὀργῇ αὐ-
τοῦ, καὶ πῦρ ἐκ στόματος αὐτοῦ κατέσθεται, ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐτοῦ, καὶ ἔκλινεν
οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. καὶ ἐπεκάθισεν ὑπὶ χερουβὶμ καὶ
ἐπετάσθη. καὶ ὤφθη ὑπὶ πτερύγων ἀνέμου, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ
αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκότος ὑδάτων ἐπάχυνεν ἐν νεφέλαις ἀέρων. ἀπὸ τοῦ φέγγους ἐναντίον
αὐτοῦ ἐξεκαύθησαν ἄνθρακες πυρός. καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος, καὶ ὁ ὕψιστος ἔδωκε
φωνὴν αὐτοῦ, καὶ ἀπέσειλε βέλη, καὶ διεκόρπισεν αὐτούς. καὶ ἤστραψεν ἀστραπὴν καὶ ἐξέστησεν
αὐτούς, καὶ ὤφθησαν ἀφέσεις θαλάσσης. καὶ ἀπεκαλύφθη θεμέλια τῆς οἰκουμένης ἐν τῇ ἐπιτιμή-
σει Κυρίου, ἀπὸ πνοῆς πνεύματος θυμοῦ αὐτοῦ. ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με, εἵλκυσέ με
ἐξ ὑδάτων πολλῶν ἐρρύσατό με ἐξ ἐχθρῶν μου ἰσχυρῶν, ἐκ τῶν μισούντων με, ὅτι ἐκραταιώθη-
σαν ὑπὲρ ἐμέ. προέφθασάν με ἐν ἡμέρᾳ θλίψεώς μου, καὶ ἐγένετο Κύριος ἀντιλήπτωρ μου, καὶ
ἐξήγαγέ με εἰς πλατυσμόν. καὶ ἐξείλετό με, ὅτι ηὐδόκησεν ἐν ἐμοί. καὶ ἀνταποδώσει μοι Κύ-
ριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι, ὅτι
ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου. ὅτι πάντα τὰ κρίματα αὐτοῦ κα-
τεναντίον μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα ἀπ' ἐμοῦ. καὶ ἔσομαι ἄμωμος αὐτῷ,
καὶ προφυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην
μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. μετὰ ὁσίου ὁσιω-
θήσῃ, καὶ μετὰ ἀνδρὸς τελείου τελεωθήσῃ ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρε-
βλοῦ στρεβλωθήσῃ. καὶ τὸν λαὸν τὸν πτωχὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.
ὅτι σὺ φωτιεῖς λύχνον μου Κύριε, καὶ ὁ Κύριος ἐκλάμψει μοι τὸ σκότος μου, ὅτι ἐν σοὶ δραμοῦ-
μαι μονόζωνος, καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος. ὁ ἰσχυρὸς ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὸ
ῥῆμα Κυρίου πεπυρωμένον, ὑπερασπιστής ἐστι πάντων τῶν πεποιθότων ἐπ' αὐτόν. ὅτι τίς ἰσχυρὸς
πλὴν τοῦ Κυρίου; καὶ τίς κραταιὸς πλὴν τοῦ Θεοῦ ἡμῶν; ὁ ἰσχυρὸς ὁ κραταιώσας με δυνάμει, καὶ ἔθετο
ἄμωμον τὴν ὁδόν μου. πνεῖς τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ὑπὲρ τὰ ὑψηλά μου ἱστᾷ με. ὁ διδά-
σκων χεῖράς μου εἰς πόλεμον, καὶ καταξεῖς τόξον χαλκοῦν ἐν βραχίονί μου, καὶ ἔδωκάς
μοι ὑπερασπισμὸν σωτηρίας μου, καὶ ὑπεκοή σου ἐπλήθυνέ με. πλατυνεῖς τὰ διαβήματά
μου ὑποκάτω μου, καὶ οὐκ ἐσαλεύθησαν τὰ σκέλη μου. διώξω ἐχθρούς μου καὶ ἀφανιῶ αὐτούς,
καὶ οὐκ ἀποστρέψω ἕως ἂν συντελέσω αὐτούς, καὶ θλάσω αὐτοὺς καὶ οὐ δυνήσονται, καὶ πεσοῦν-
ται ὑπὸ τοὺς πόδας μου. καὶ ἐνίσχυσάς με δυνάμει εἰς πόλεμον, καμψεῖς τοὺς ἐπανισταμένους
ἐπ' ἐμὲ ὑποκάτω μου. τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον τοὺς μισοῦντάς με, καὶ ἐθανάτωσας
αὐτούς. βοήσονται καὶ οὐκ ἔστι βοηθῶν πρὸς Κύριον, καὶ οὐκ ἐπήκουσεν αὐτῶν. καὶ ἐλεανεῖ αὐτούς, ὡσ-
χοῦν γῆς, ὡς πηλὸν ἐξόδων ἐλεπτυνεῖς αὐτούς. καὶ ῥύσῃ με ἐκ μαχαίρας λαοῦ, φυλάξει με εἰς κε-
φαλὴν ἐθνῶν. λαός οὐ σὺ ἔγνως, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. υἱοὶ ἀλλότριοι ἐ-
ψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἀρρωστήσουσι, καὶ σφαλοῦσιν ἐκ τῶν συγκλεισμῶν αὐτῶν. ζῇ Κύ-
ριος καὶ εὐλογητὸς ὁ φύλαξ μου, καὶ ὑψωθήσεται ὁ Θεὸς μου ὁ φύλαξ τῆς σωτηρίας μου. ἰσχυρὸς Κύριος ὁ
δικαιοδοὺς ἐκδικήσεις ἐμοί, καὶ ὑποδεδύκει λαοὺς ὑποκάτω μου. καὶ ἐξαγαγών με ἐξ ἐχθρῶν μου, καὶ ἐκ
τῶν ἐπεγειρομένων ἐπ' ἐμὲ ὑψώσεις με, ἐξ ἀνδρὸς ἀδικημάτων ῥύσῃ με. διὰ τοῦτο ἐξομολογή-
σομαί σοι Κύριε ἐν ἔθνεσι Κύριε. καὶ τῷ ὀνόματί σου ψαλῶ, μεγαλύνων τὰς σωτηρίας τοῦ Βασι-
λέως αὐτοῦ, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ τῷ Δαβὶδ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

ΚΕΦΑΛ. κγ. 23.

ΚΑὶ οὗτοι οἱ λόγοι Δαβὶδ οἱ ἔσχατοι. πιστὸς Δαβὶδ υἱὸς Ἰεσσαὶ, καὶ πιστὸς ἀνὴρ οὗ ἀνέστησε
Κύριος ὑπὲρ χριστοῦ Θεοῦ Ἰακὼβ, καὶ δυνατεῖς ψαλμοὶ Ἰσραήλ. καὶ πνεῦμα Κυρίου ἐλά-
λησεν ἐν ἐμοί, καὶ ὁ λόγος αὐτοῦ διὰ γλώσσης μου. εἶπεν ὁ Θεὸς Ἰσραήλ. ἐμοὶ ἐλάλησε φύλαξ
Ἰσραήλ παράβολα, εἶπον ἐν ἀνθρώποις ὡς εὐφράνθητε φόβῳ Θεοῦ; καὶ ἐν φωτὶ Θεοῦ
πρωΐας, καὶ ἀνατείλαι ὁ ἥλιος τοπερεῖ. ἐξ οὐ πεπλήθυνεν ἐκ τῆς φάραγγος, καὶ ὡς ἐξ ὑετοῦ χλόης ἀπὸ γῆς.
ἐὰν γὰρ ᾖ τὸ οἶκός μου μετὰ ἰσχυροῦ, διαθήκην ἀιώνιον ἔθετό μοι ἐτοίμην ἐν παντὶ καιρῷ
περφυλαγμένην, ὅτι πᾶσα σωτηρία μου καὶ πᾶν θέλημα ἐν Κυρίῳ, ὅτι ἐὰν βλαστήσῃ ὁ παράνο-
μος, ὡσεὶ ἄκανθαι ἐξωσμέναι πάντες οὗτοι, ὅτι οὐ χειρὶ ληφθήσονται, καὶ ἀνὴρ οὐ κοπιάσει
ἐν ὀφθαλμοῖς, καὶ πλῆθος σιδήρου καὶ ξύλου δόρατος καὶ ἐν πυρὶ κατακαυθήσονται ἐν αὐτῇ.
καὶ ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν τοῦ Δαβίδ. ἰεβοσθὲ ὁ χαναναῖος ὁ ἄρχων τῶν τριῶν τρι-
σὶν, οὗτος ἐπῆρε τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ ὀκτακοσίους τραυματίας ἐπάταξε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μετ' αὐτὸν ἐλεάναρ υἱὸς πατραδέλφου αὐτοῦ, ἐν τοῖς τρισὶν δυνατοῖς ἀδελφοῖς. οὗτος ἦν μετὰ δαβὶδ ἐν σειρᾶ, ἐν ᾧ ὠνείδισαν αὐτὸν ἐν τοῖς ἀλλοφύλοις. καὶ οἱ ἀλλόφυλοι συνήχθησαν ἐκεῖ εἰς πόλεμον, καὶ ἀνέβησαν ἀνὴρ ἰσραὴλ πρὸ προσώπου αὐτοῦ, καὶ αὐτὸς ἀνέστη καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις, ἕως οὗ ἐκοπίασεν ἡ χεὶρ αὐτοῦ, καὶ προσεκολλήθη ἡ χεὶρ αὐτοῦ πρὸς τὴν μάχαιραν. καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ὁ λαὸς ἐπέστρεψεν ὀπίσω αὐτοῦ, πλὴν ἐκλιδύσκειν. καὶ μετ' αὐτὸν σαμαΐα υἱὸς ἄγε ὁ ἀρραῖος. καὶ συνήχθησαν οἱ ἀλλόφυλοι εἰς θηρία, καὶ ἦν ἐκεῖ μερὶς ἀγροῦ πλήρης φακῆ· καὶ ὁ λαὸς ἔφυγεν ἀπὸ προσώπου ἀλλοφύλων, καὶ ἐστάθη ἐν μέσῳ τῆς μερίδος, καὶ ἐξεῖλε αὐτὴν, καὶ ἐπάταξε τοὺς ἀλλοφύλους, καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην. καὶ κατέβησαν τρεῖς ἀπὸ τῶν τριάκοντα ἀρχόντων, καὶ ἦλθον εἰς κασωὰ πρὸς δαβὶδ εἰς τὸ σπήλαιον ὀδολλάμ. καὶ πάγμα τῶν ἀλλοφύλων παρενέβαλεν ἐν τῇ κοιλάδι ῥαφαείμ, καὶ δαβὶδ τότε ἐν τῇ πρωτοχῇ, καὶ τὸ ὑστέρημα τῶν ἀλλοφύλων τότε ἐν βηθλεέμ· καὶ ἐπεθύμησε δαβὶδ, καὶ εἶπε· τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν βηθλεὲμ τοῦ ἐν τῇ πύλῃ; τὸ δὲ σύστημα τῶν ἀλλοφύλων τότε ἐν βηθλεέμ. καὶ διέῤῥηξαν οἱ τρεῖς δυνατοὶ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν βηθλεὲμ τοῦ ἐν τῇ πύλῃ, καὶ ἔλαβον καὶ παρεγένοντο πρὸς δαβὶδ, καὶ οὐκ ἠθέλησε πεῖν αὐτὸ, καὶ ἔσπεισεν αὐτὸ τῷ κυρίῳ καὶ εἶπε· ἵλεώς μοι κύριε τοῦ ποιῆσαι τοῦτο, εἰ αἷμα τῶν ἀνδρῶν τῶν πορευθέντων ἐν ταῖς ψυχαῖς αὐτῶν πίομαι. καὶ οὐκ ἠθέλησε πεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί, καὶ ἀβεσσὰ ὁ ἀδελφὸς ἰωὰβ υἱὸς σαρουίας, οὗτος ἄρχων ἐν τοῖς τρισὶ, καὶ οὗτος ἐξήγειρε τὸ δόρυ αὐτοῦ ὑπὲρ τριακοσίους τραυματίας, καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισὶν ἐκ τῶν τριῶν ἐκείνων ἐνδοξος, καὶ ἐγένετο αὐτοῖς εἰς ἄρχοντα, πλὴν ἕως τῶν τριῶν οὐκ ἦλθε. καὶ βαναίας υἱὸς ἰωδαὲ ἀνὴρ υἱὸς δυνατὸς ἀπὸ καβασεὴλ, πολλοὺς ἔργους ἀπὸ καβασεὴλ, οὗτος ἐπάταξε δύο υἱοὺς ἀριὴλ τοῦ μωαβ, καὶ αὐτὸς κατέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν μέσῳ τοῦ λάκκου ἐν τῇ ἡμέρᾳ τοῦ χιόνος, καὶ αὐτὸς ἐπάταξε τὸν ἄνδρα τὸν αἰγύπτιον ἄνδρα ὁρατόν. ἐν δὲ τῇ χειρὶ τοῦ αἰγυπτίου δόρυ ὡς ξύλον διαβάθρας, καὶ κατέβη πρὸς αὐτὸν ἐν ῥάβδῳ, καὶ ἥρπασε τὸ δόρυ ἐκ τῆς χειρὸς τοῦ αἰγυπτίου, καὶ ἀπέκτεινεν αὐτὸν ἐν τῷ δόρατι αὐτοῦ. ταῦτα ἐποίησε βαναίας υἱὸς ἰωδαὲ, καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισὶ δυνατοῖς ἐκ τῶν τριῶν ἐνδοξος, καὶ πρὸς τοὺς τρεῖς οὐκ ἦλθε. καὶ ἔταξεν αὐτὸν δαβὶδ πρὸς τοὺς ἀκροάς αὐτοῦ. καὶ τὰ ὀνόματα τῶν δυνατῶν δαβὶδ τοῦ βασιλέως· ἀζαὴλ ἀδελφὸς ἰωὰβ, οὗτος ἐν τοῖς τριάκοντα. ἐλεάναν υἱὸς πατραδέλφου αὐτοῦ ἐκ βηθλεέμ, σεμμὰ ὁ ἀρωδί, χελλὴς ὁ χελωβί, ἰρὰ υἱὸς ἐκκῆς ὁ θεκωίτης, ἀβιέζερ ὁ ἀναθωθίτης, σαβουχαὶ ὁ ἀσωβίτης, ἐλλὰν ὁ ἀλωνίτης, μοὲ ὁ νετωφαθίτης, ἐλὴ υἱὸς βαανὰ ὁ νετωφαθίτης, ἐθθὶ υἱὸς ῥιβὰ ἐκ γαβαὰ βενιαμίν, βαναίας ὁ φαραθωνίτης, ὑδαὶ ἐκ ναλαλιγαΐας, ἀριὴλ υἱὸς τοῦ ἀραβωθίτου, ζαὼρ ὁ βερζαμίτης, ἐλεασὰ υἱὸς ὀλαβονίτης, βασὰ ὁ γωνῖνι, ἰωνάθαν υἱὸς σαμὰ ὁ ἀρωρίτης, ἀχιὰν υἱὸς ἀράρατὰ ὁ ἀραβουρίτης, ἐλιφαλὰθ υἱὸς τοῦ μααχί, ἐλιὰβ υἱὸς ἀχιτόφελ τοῦ γελωνίτου, ἀσαραὶ ὁ καρμήλιος τοῦ οὐρὶ υἱὸς ἀσβί, ἰγάλλαι υἱὸς νάθαν, καὶ βανὶ υἱὸς ἀγαδὶ, ἐλιφὶ ὁ ἀμμανίτης, γελωρὶ ὁ βηρωθαῖος ὁ αἴρων τὰ σκῦλα ἰωὰβ υἱοῦ σαρουίας, ἴρας ὁ ἐθθιραῖος, καὶ οὐρίας ὁ χεθθαῖος. οἱ πάντες, τριάκοντα καὶ ἑπτά.

ΚΕΦΑΛ. κδ'. 24.

ΚΑὶ προσέθετο ὀργὴν κύριος ἐκκαῦσαι ἐν ἰσραὴλ, καὶ ἐπέσεισε τὸν δαβὶδ ἐν αὐτοῖς λέγων· πορεύθητι, καὶ ἀρίθμησον τὸν ἰσραὴλ, καὶ τὸν ἰούδαν. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἰωὰβ ἄρχοντα τῆς ἰσχύος, τὸν μετ' αὐτοῦ· διέλθε δὴ πάσας τὰς φυλὰς ἰσραὴλ καὶ ἰούδα, ἀπὸ δὰν καὶ ἕως βηρσαβεὲ, καὶ ἐπίσκεψαι τὸν λαὸν, καὶ γνώσομαι τὸν ἀριθμὸν τοῦ λαοῦ. καὶ εἶπεν ἰωὰβ πρὸς τὸν βασιλέα· καὶ προσθήσει κύριος ὁ θεός σου πρὸς τὸν λαὸν οὗ ὧσπερ αὐτοὺς ἑκατονταπλάσιον, καὶ οἱ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως ὁρῶντες. καὶ ὁ κύριός μου ὁ βασιλεὺς ἱνατί βούλεται ἐν τῷ λόγῳ τούτῳ; καὶ κατίσχυσεν ὁ λόγος τοῦ βασιλέως πρὸς ἰωὰβ καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως. καὶ ἐξῆλθεν ἰωὰβ, καὶ οἱ ἄρχοντες τῆς δυνάμεως ἐνώπιον τοῦ βασιλέως, διασκέψασθαι τὸν λαὸν τὸν ἰσραὴλ. καὶ διέβησαν τὸν ἰορδάνην, καὶ παρενέβαλον ἐν ἀροὴρ ἐκ δεξιῶν τῆς πόλεως τῆς ἐν μέσῳ τῆς φάραγγος γάδ, καὶ ἐλιέζερ, καὶ ἦλθον εἰς γαλαάδ καὶ εἰς γῆν βαθασὼρ καὶ εἰς δὰν καὶ περιῆλθον εἰς σιδῶνα, καὶ ἦλθον εἰς μαψαρτύρ, καὶ εἰς πόλεις τὰς πόλεις τοῦ εὐαίου, καὶ τοῦ χαναναίου. καὶ παρεγένοντο ἐπὶ νότου ἰούδα εἰς βηρσαβεὲ, καὶ περιῴδευσαν ἐν πάσῃ τῇ γῇ, καὶ παρεγένοντο ἀπὸ τέλους ἐννέα μηνῶν, καὶ εἴκοσι ἡμερῶν, εἰς ἱερουσαλήμ. καὶ ἔδωκεν ἰωὰβ τὸν ἀριθμὸν τῆς διασκέψεως τοῦ λαοῦ τῷ βασιλεῖ, καὶ ἦν ἰσραὴλ ὀκτακόσιαι χιλιάδες ἀνδρῶν δυνάμεως σπωμένων ῥομφαίαν. καὶ ἀνὴρ ἰούδα, τριακόσιαι χιλιάδες ἀνδρῶν μαχητῶν. καὶ ἐπάταξε καρδίαν δαβὶδ αὐτὸν μετὰ τὸ ἀριθμῆσαι τὸν λαόν, καὶ εἶπε δαβὶδ πρὸς κύριον· ἥμαρτον σφόδρα ποιήσας τὸ ῥῆμα τοῦτο. καὶ νῦν κύριε παρελθάτω δὴ τὴν ἀνομίαν τοῦ δούλου σου, ὅτι ἐμωράνθην σφόδρα.

καὶ

ὴ αὐτὸν σλαβὶσλ τὸ πρωΐ. καὶ λόγῳ κυρίου ἐγώ φῳ πρὸς γὰσλ τὸν προφήτην τὸν ὁρῶντα πρὸς σλαβὶσλ λέγων· πορεύθητι καὶ λάλησον πρὸς σλαβὶσλ λέγων· τάδε λέγει κύριος· τρία ἐγὼ αἴρω ἀπὸ σὲ, ἡ ἔκλεξαι σεαυτῷ γῆ ἀπ᾽ αὐτῶν, καὶ ποιήσω σοι. καὶ εἰσῆλθε γὰσλ πρὸς σλαβὶσλ, καὶ ἀπήγγειλε καὶ εἶπεν αὐτῷ· ἔκλεξαι σεαυτῷ γῆν ἐὰν θέλῃς σοι, ἢ ἦλθοι σοι τρία ἔτη λιμὸς γῆ σῇ γῇ σου, ἢ τρεῖς μῆνας φεύγειν σε ἔμπροσθεν τῶν ἐχθρῶν σου καὶ ἔσονταί σε καταλαμβάνοντα σε, ἢ τρεῖς ἡμέρας γῆν θάνατον γῆ σῇ γῇ σου. νῦν οὖν γνῶθι καὶ ἴδε τί ἀποκριθῶ τῷ ἀποστείλαντί με. καὶ εἶπε σλαβὶσλ πρὸς γάσλ· σφόδρα μοι πανταχόθεν σφόδρα δεῖ καὶ τὰ τρία, ἐμπίπτουσιν δὴ εἰς χεῖρας κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα, εἰς δὲ χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω. καὶ ἐξελέξατο ἑαυτῷ σλαβὶσλ τὸν θάνατον καὶ ἡμέρας. καὶ αἱ ἡμέραι θερισμοῦ πυρῶν, καὶ ἔδωκε κύριος θάνατον γῆ ἰσραὴλ ἀπὸ πρωΐθεν ἕως ὥρας ἀρίστου, καὶ ἤρξατο ἡ θραῦσις γῆ τοῦ λαοῦ. καὶ ἀπέπεσεν ἐκ τοῦ λαοῦ κυρίου ἀπὸ σλαὶ καὶ ἕως Βηρσαβεὲ, ἑβδομήκοντα χιλιάδες ἀνδρῶν. καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ θεοῦ τὴν χεῖρα αὐτοῦ εἰς ἱερουσαλὴμ τοῦ σλιαφθεῖραι αὐτήν, καὶ παρεκλήθη κύριος ἐπὶ τῇ κακίᾳ, καὶ εἶπε τοῦ ἀγγέλῳ τοῦ σλιαφθείροντος γῆ τοῦ λαοῦ· πολὺ νῦν, ἄνες τὴν χεῖρά σου. καὶ ὁ ἄγγελος τοῦ θεοῦ ὁ ἦν ἐκεῖ πρὸς τῇ ἅλῳ ὁρνᾶ τοῦ ἰεβουσαίου. καὶ εἶδεν σλαβὶσλ τὸν ἄγγελον τὸν τύπτοντα τὸν λαὸν, καὶ εἶπεν· ἰδοὺ ἐγὼ ἐμί ἡμάρτησα, καὶ γε ἐγὼ εἰμὶ ὁ ποιμὴν ἐκακοποίησα, καὶ οὗτοι τὰ πρόβατα τί ἐποίησαν; γενέσθω δή χεὶρ σου γῆ ἐμοὶ, καὶ γῆ τοῦ οἴκου τοῦ πατρός μου. καὶ ἦλθε γὰσλ πρὸς σλαβὶσλ γῆ τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἶπεν αὐτῷ· ἀνάβηθι, καὶ στῆσον τοῦ κυρίῳ θυσιαστήριον γῆ τῇ ἅλῳ ὁρνᾶ τοῦ ἰεβουσαίου. καὶ ἀνέβη σλαβὶσλ κατὰ τὸ ῥῆμα γὰσλ τοῦ προφήτου, ὃν τρόπον ἀνετείλατο αὐτῷ κύριος, καὶ διέκυψεν ὁρνᾶ, καὶ εἶδε τὸν βασιλέα καὶ τοὺς παῖδας αὐτοῦ διαπορευομένους ἐπάνω αὐτοῦ. καὶ ἐξῆλθεν ὁρνᾶ, καὶ προσεκύνησε τοῦ βασιλεῖ τῷ προσώπῳ αὐτοῦ ἐπὶ γῆν. καὶ εἶπεν ὁρνᾶ· τί ὅτι ἦλθεν ὁ κύριός μου ὁ βασιλεὺς πρὸς τὸν δοῦλον αὐτοῦ; καὶ εἶπε σλαβὶσλ· κτήσασθαί σοὶ σοῦ τὴν ἅλῳ τοῦ οἰκοδομῆσαι θυσιαστήριον τοῦ κυρίῳ, καὶ συσχεθῇ ἡ θραῦσις ἐπάνωθεν τοῦ λαοῦ. καὶ εἶπεν ὁρνᾶ πρὸς σλαβὶσλ· λαβέτω, καὶ ἀνενεγκάτω ὁ κύριός μου ὁ βασιλεὺς τοῦ κυρίῳ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ, ἰδοὺ οἱ βόες εἰς ὁλοκάυτωμα, καὶ οἱ τροχοὶ καὶ τὰ σκεύη τῶν βοῶν εἰς ξύλα. τὰ πάντα ἔδωκεν ὁρνᾶ τοῦ βασιλεῖ. καὶ εἶπεν ὁρνᾶ πρὸς τὸν βασιλέα· λύτρωσαί μου ὁ θεός σου ἐν εὐδοκήσαι σε. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ὁρνᾶ· οὐχί, ὅτι ἀλλ᾽ ἢ λυτρώμενος λυτρώσομαί σοὶ σοῦ ἐν ἀναλλάγματι, καὶ οὐκ ἀνοίσω κυρίῳ τοῦ θεῷ μου ὁλοκάυτωμα δωρεάν. καὶ ἐκτήσατο σλαβὶσλ ἅλῳ, καὶ τοὺς βόας ἐν ἀργυρίῳ σίκλων πεντήκοντα, καὶ ᾠκοδόμησεν ἐκεῖ σλαβὶσλ θυσιαστήριον τοῦ κυρίῳ, καὶ ἀνήνεγκεν ὁλοκαυτώσεις καὶ εἰρηνικὰς, καὶ προσέθηκε σλαλομὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ᾽ ἐσχάτῳ, ὅτι μικρὸν ἦν ἐν πρώτοις. καὶ ἐπήκασε κύριος τῇ γῇ, καὶ συνεσχέθη ἡ θραῦσις ἐπάνωθεν ἰσραήλ.

Τέλος τῶν Βασιλειῶν β΄.

ΒΑΣΙΛΕΙΩΝ ΤΡΙΤΗ.

ΚΕΦΑΛ. α΄. ι.

Καὶ ὁ βασιλεὺς σλαβὶσλ προβεβηκὼς ἡμέραις, καὶ συνεβάλλοντο αὐτὸν ἱματίοις, καὶ οὐκ ἐθερμαίνετο. καὶ εἶπον οἱ παῖδες αὐτοῦ· ζητησάτωσαν τοῦ κυρίῳ ἡμῶν τοῦ βασιλέως νεανίσκα, καὶ παστάσεται τοῦ βασιλέως, καὶ ἔσται αὐτὸν θάλπουσα, καὶ κοιμηθήσεται μετ᾽ αὐτοῦ, καὶ θερμανθήσεται ὁ κύριος ἡμῶν ὁ βασιλεύς. καὶ ἐζήτησαν νεανίσκα καλὴν ἐκ πάσης ὁρίων ἰσραὴλ, καὶ εὗρον τὴν ἀβισὰκ τὴν σωμανίτιν, καὶ ἤγαγον αὐτὴν πρὸς τὸν βασιλέα. καὶ ἡ νεανίς, καλὴ τοῦ εἶδος σφόδρα, καὶ ἦν θάλπουσα τὸν βασιλέα, καὶ ἐλειτούργει αὐτῷ. καὶ ὁ βασιλεὺς οὐκ ἔγνω αὐτήν. καὶ ἀδωνίας ὁ υἱὸς ἀγγιθ ἐπῆρε λέγων· ἐγὼ βασιλεύσω. καὶ ἐποίησεν αὐτῷ ἅρματα καὶ ἱππεῖς, καὶ πεντήκοντα ἄνδρας παρατρέχειν ἔμπροσθεν αὐτοῦ, καὶ οὐκ ἐπεκώλυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ οὐδέποτε, λέγων, διατί σὺ τοῦτο ἐποίησας; καὶ γε αὐτὸς ὡραῖος τῷ ὄψει σφόδρα, καὶ αὐτὸν ἔτεκεν ὀπίσω ἀβεσαλώμ. καὶ ἐγένοντο οἱ λόγοι αὐτοῦ μετὰ ἰωὰβ τοῦ υἱοῦ σαρουΐας, καὶ μετὰ ἀβιάθαρ τοῦ ἱερέως, καὶ ἐβοήθουν ὀπίσω ἀδωνίου. καὶ σαδὼκ ὁ ἱερεὺς, καὶ βαναίας υἱὸς ἰωδαὲ, καὶ ναθὰν ὁ προφήτης, καὶ σεμεὶ καὶ ῥησεὶ, καὶ οἱ δυνατοὶ τοῦ σλαβὶσλ οὐκ ἦσαν ὀπίσω ἀδωνίου. καὶ ἐθυσίασεν ἀδωνίας πρόβατα καὶ μόσχους καὶ ἄρνας παρὰ τὸν λίθον τὸν ζωελὲθ, ὃς ἐγγύς ἐστιν τῆς πηγῆς ῥωγὴλ, καὶ ἐκάλεσε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ πάντας τοὺς ἰουδαίους υἱοὺς ἰούδα, παῖδας τοῦ βασιλέως, καὶ ναθὰν τὸν προφήτην, καὶ βαναίαν, καὶ τοὺς δυνατούς, καὶ σολομῶντα τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐκάλεσε. καὶ εἶπε ναθὰν πρὸς βηρσαβεὲ μητέρα σολομῶν λέγων· οὐκ ἤκουσας ὅτι ἐβασίλευσεν ἀδωνίας υἱὸς ἀγγιθ, καὶ ὁ κύριος ἡμῶν σλαβὶσλ οὐκ ἔγνω; νῦν οὖν δεῦρο, συμβου-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συμβουλεύσω σοι συμβουλίαν, καὶ ἀγάλου τὴν ψυχήν σου, καὶ τὴν ψυχὴν τοῦ υἱοῦ σου Σολομῶν. δεῦρο, εἴσελθε πρὸς τὸν Βασιλέα Δαβὶδ, καὶ ἐρεῖς πρὸς αὐτὸν λέγουσα· οὐχὶ σὺ κύριέ μου Βασιλεῦ ὤμοσας τῇ δούλῃ σου λέγων· ὅτι Σολομὼν ὁ υἱός σου Βασιλεύσει μετ' ἐμέ, καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρόνου μου; καὶ τί ὅτι ἐβασίλευσεν Ἀδωνίας; καὶ ἰδοὺ ἔτι σου λαλούσης ἐκεῖ μετὰ τοῦ Βασιλέως, καὶ ἐγὼ εἰσελεύσομαι ὀπίσω σου, καὶ πληρώσω τοὺς λόγους σου. καὶ εἰσῆλθε Βηρσαβεὲ πρὸς τὸν Βασιλέα εἰς τὸ ταμεῖον. καὶ ὁ Βασιλεὺς πρεσβύτης σφόδρα, καὶ Ἀβισὰκ ἡ σωμανῖτις ἐλειτούργουσα τῷ Βασιλεῖ, καὶ ἔκυψε Βηρσαβεὲ, καὶ προσεκύνησε τῷ Βασιλεῖ. καὶ εἶπεν ὁ Βασιλεύς· τί ἔστι σοι; ἡ δὲ εἶπε· κύριέ μου Βασιλεῦ, σὺ ὤμοσας ἐν κυρίῳ τῷ θεῷ σου τῇ δούλῃ σου, λέγων· ὅτι ὁ υἱός σου Σολομὼν Βασιλεύσει μετ' ἐμέ, καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρόνου μου. καὶ νῦν ἰδοὺ Ἀδωνίας ἐβασίλευσε, καὶ σὺ κύριέ μου Βασιλεῦ οὐκ ἔγνως. καὶ ἔθυσίασε μόσχους, καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθος, καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ Βασιλέως, καὶ Ἀβιάθαρ τὸν ἱερέα, καὶ Ἰωὰβ τὸν ἄρχοντα τῆς δυνάμεως, καὶ τὸν Σολομῶντα τὸν δοῦλόν σου οὐκ ἐκάλεσε. καὶ σὺ κύριέ μου Βασιλεῦ, οἱ ὀφθαλμοὶ πάντων Ἰσραὴλ πρὸς σέ, ἀπαγγεῖλαι αὐτοῖς τίς καθήσεται ἐπὶ τοῦ θρόνου τοῦ κυρίου μου τοῦ Βασιλέως μετ' αὐτόν. καὶ ἔσται, ὡς ἂν κοιμηθῇ ὁ κύριός μου ὁ Βασιλεὺς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔσομαι ἐγὼ καὶ Σολομὼν ὁ υἱός μου ἁμαρτωλοί. καὶ ἰδοὺ ἔτι αὐτῆς λαλούσης μετὰ τοῦ Βασιλέως, καὶ Ναθὰν ὁ προφήτης εἰσῆλθε, καὶ ἀνήγγειλαν τῷ Βασιλεῖ λέγοντες· ἰδοὺ Ναθὰν ὁ προφήτης. καὶ εἰσῆλθε ἐνώπιον τοῦ προσώπου τοῦ Βασιλέως, καὶ προσεκύνησε τῷ Βασιλεῖ, κατὰ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ εἶπεν Ναθάν· κύριέ μου Βασιλεῦ, σὺ εἶπας, Ἀδωνίας βασιλεύσει ὀπίσω μου, καὶ αὐτὸς καθίσεται ἐπὶ τοῦ θρόνου μου; ὅτι κατέβη σήμερον, καὶ ἔθυσε μόσχους καὶ ἄρνας, καὶ πρόβατα εἰς πλῆθος, καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ Βασιλέως, καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως, καὶ Ἀβιάθαρ τὸν ἱερέα, καὶ ἰδοὺ εἰσὶν ἐσθίοντες καὶ πίνοντες ἐνώπιον αὐτοῦ, καὶ εἶπον· ζήτω ὁ Βασιλεὺς Ἀδωνίας. καὶ ἐμὲ αὐτὸν τὸν δοῦλόν σου, καὶ Σαδὼκ τὸν ἱερέα, καὶ Βαναίαν υἱὸν Ἰωδαὲ, καὶ Σολομῶντα τὸν δοῦλόν σου, οὐκ ἐκάλεσεν. εἰ παρὰ τοῦ κυρίου μου τοῦ Βασιλέως γέγονε τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐγνώρισας τῷ δούλῳ σου τίς καθήσεται ἐπὶ τοῦ θρόνου τοῦ κυρίου μου τοῦ Βασιλέως μετ' αὐτόν; καὶ ἀπεκρίθη ὁ Βασιλεὺς Δαβὶδ, καὶ εἶπε· καλέσατέ μοι τὴν Βηρσαβεὲ, καὶ εἰσῆλθεν ἐνώπιον τοῦ Βασιλέως, καὶ ἔστη ἐνώπιον αὐτοῦ. καὶ ὤμοσεν ὁ Βασιλεύς, καὶ εἶπε· ζῇ κύριός μου ὃς ἐλυτρώσατό τὴν ψυχήν μου ἐκ πάσης θλίψεως, ὅτι καθὼς ὤμοσά σοι ἐν κυρίῳ θεῷ Ἰσραὴλ λέγων, ὅτι Σολομὼν ὁ υἱός σου Βασιλεύσει μετ' ἐμέ, καὶ αὐτὸς καθίσεται ἐπὶ τοῦ θρόνου μου ἀντ' ἐμοῦ, ὅτι οὕτω ποιήσω τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἔκυψε Βηρσαβεὲ ἐπὶ πρόσωπον αὐτῆς τῇ γῇ, καὶ προσεκύνησε τῷ Βασιλεῖ, καὶ εἶπε· ζήτω ὁ κύριός μου ὁ Βασιλεὺς Δαβὶδ εἰς τὸν αἰῶνα. καὶ εἶπεν ὁ Βασιλεὺς Δαβὶδ· καλέσατέ μοι τὸν Σαδὼκ τὸν ἱερέα, καὶ Ναθὰν τὸν προφήτην, καὶ Βαναίαν υἱὸν Ἰωδαέ. καὶ εἰσῆλθον ἐνώπιον τοῦ Βασιλέως. καὶ εἶπεν ὁ Βασιλεὺς αὐτοῖς· λάβετε μεθ' ὑμῶν τοὺς δούλους τοῦ κυρίου ὑμῶν, καὶ ἐπιβιβάσατε τὸν υἱόν μου Σολομὼν ἐπὶ τὴν ἡμίονον τὴν ἐμήν, καὶ καταγάγετε αὐτὸν εἰς τὸν γηών, καὶ χρισάτω αὐτὸν ἐκεῖ Σαδὼκ ὁ ἱερεὺς καὶ Ναθὰν ὁ προφήτης εἰς βασιλέα ἐπὶ τὸν Ἰσραὴλ, καὶ σαλπίσατε κερατίνῃ, καὶ ἐρεῖτε· ζήτω ὁ Βασιλεὺς Σολομών. καὶ ἀναβήσεσθε ὀπίσω αὐτοῦ, καὶ εἰσελεύσεται καὶ καθίσεται ἐπὶ τοῦ θρόνου μου, καὶ αὐτὸς βασιλεύσει ἀντ' ἐμοῦ. καὶ ἐγὼ ἐνετειλάμην, τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ Ἰσραὴλ καὶ Ἰούδαν. καὶ ἀπεκρίθη Βαναίας υἱὸς Ἰωδαὲ τῷ Βασιλεῖ, καὶ εἶπε· γένοιτο οὕτως, οὕτω εἴποι κύριος ὁ θεὸς τοῦ κυρίου μου τοῦ Βασιλέως. καθὼς ἦν κύριος μετὰ τοῦ κυρίου τοῦ Βασιλέως, οὕτως ἔσται μετὰ Σολομῶντος, καὶ μεγαλυνάτω τὸν θρόνον αὐτοῦ ὑπὲρ τὸν θρόνον τοῦ κυρίου μου τοῦ Βασιλέως Δαβίδ. καὶ κατέβη Σαδὼκ ὁ ἱερεὺς, καὶ Ναθὰν ὁ προφήτης, καὶ Βαναίας υἱὸς Ἰωδαὲ, καὶ ὁ Χερεθθὶ, καὶ ὁ Φελεθθὶ, καὶ ἐπεκάθισαν τὸν Σολομῶντα ἐπὶ τὴν ἡμίονον τοῦ Βασιλέως Δαβὶδ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸν γηών. καὶ ἔλαβε Σαδὼκ ὁ ἱερεὺς τὸ κέρας τοῦ ἐλαίου ἐκ τῆς σκηνῆς, καὶ ἔχρισε τὸν Σολομῶντα, καὶ ἐσάλπισε τῇ κερατίνῃ, καὶ εἶπε πᾶς ὁ λαός· ζήτω ὁ Βασιλεὺς Σολομών. καὶ ἀνέβη πᾶς ὁ λαὸς ὀπίσω αὐτοῦ, καὶ ἐχόρδυνον ἐν χοροῖς, καὶ σύφρανόμενοι σύφροσύνῃ μεγάλῃ, καὶ ἐρράγη ἡ γῆ ἐν τῇ φωνῇ αὐτῶν. καὶ ἤκουσεν Ἀδωνίας καὶ πάντες οἱ κλητοὶ αὐτοῦ, καὶ αὐτοὶ συνετέλεσαν φαγεῖν. καὶ ἤκουσε Ἰωὰβ τὴν φωνὴν τῆς κερατίνης, καὶ εἶπε· τίς ἡ φωνὴ τῆς πόλεως ἠχούσης; καὶ ἔτι αὐτοῦ λαλοῦντος, καὶ ἰδοὺ Ἰωνάθαν υἱὸς Ἀβιαθὰρ τοῦ ἱερέως ἦλθε, καὶ εἶπεν Ἀδωνίας· εἴσελθε, ὅτι ἀνὴρ δυνάμεως εἶ σὺ, καὶ ἀγαθὰ εὐαγγελίσαι. καὶ ἀπεκρίθη Ἰωνάθαν, καὶ εἶπε· καὶ μάλα, ὁ κύριος ἡμῶν ὁ Βασιλεὺς Δαβὶδ, ἐβασίλευσε τὸν Σολομῶντα, καὶ ἀπέστειλε μετ' αὐτοῦ ὁ Βασιλεὺς τὸν Σαδὼκ τὸν ἱερέα, καὶ Ναθὰν τὸν προφήτην, καὶ Βαναίαν τὸν υἱὸν Ἰωδαὲ, καὶ τὸν Χερεθθὶ, καὶ τὸν Φελεθθὶ, καὶ ἐπεκάθισαν αὐτὸν ἐπὶ τὴν ἡμίονον τοῦ Βασιλέως, καὶ ἔχρισαν αὐτὸν Σαδὼκ ὁ ἱερεὺς καὶ Ναθὰν ὁ προφήτης εἰς βασιλέα ἐν τῷ γηών, καὶ ἀνέβησαν ἐκεῖθεν εὐφραινόμενοι, καὶ ἤχησεν ἡ πόλις αὐτῶν φωνὴν μίαν ἀκούσατε. καὶ ἐκάθισε Σολομὼν ἐπὶ θρόνου τοῦ Βασιλέως, καὶ εἰσῆλθον

οἱ

οἱ παῖδοι τοῦ βασιλέως εὐλογῆσαι τὸν κύριον ἡμῶν τὸν βασιλέα δαβὶδ λέγοντες· ἀγαθύναι ἀγαθύναι ὁ θεὸς τὸ ὄνομά σου τοῦ ὑοῦ σου ὡς τὸ ὄνομά σου, καὶ μεγαλύναι τὸν θρόνον αὐτοῦ ὡς τὸν θρόνον σου. καὶ προσεκύνησεν ὁ βασιλεὺς ἐπὶ τῆς κοίτης αὐτοῦ, καί γε οὕτως εἶπεν ὁ βασιλεύς· εὐλογητὸς κύριος ὁ θεὸς ἰσραὴλ, ὃς ἔδωκε σήμερον ἐκ τοῦ σπέρματός μου καθήμενον ἐπὶ θρόνου μου, καὶ οἱ ὀφθαλμοί μου βλέπουσι. καὶ ἠγέρθησαν καὶ ἠγωνίασαν πάντες οἱ παῖδοι τοῦ ἀδωνίου, καὶ ἀπῆλθον ἀνὴρ εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἀδωνίας ἐφοβήθη ἀπὸ προσώπου σολομῶντος, καὶ ἀνέστη καὶ ἀπῆλθε καὶ ἀπελάβετο τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀπηγγέλη τῷ σολομῶντι λέγοντες· ἰδοὺ ἀδωνίας ἐφοβήθη τὸν βασιλέα σολομῶν, καὶ κατέχει τῶν κεράτων τοῦ θυσιαστηρίου λέγων· ὀμοσάτω μοι σήμερον σολομών, εἰ οὐ θανατώσει τὸν παῖδα αὐτοῦ ἐν ῥομφαίᾳ. καὶ εἶπε σολομών· ἐὰν γένηται εἰς υἱὸν δυνάμεως, εἰ πεσεῖται μία τρίχα αὐτοῦ ἐπὶ τῆς γῆς, καὶ ἐὰν κακία εὑρεθῇ ἐν αὐτῷ, θανατωθήσεται. καὶ ἀπέστειλε βασιλεὺς σολομών, καὶ κατέλυσεν αὐτὸν ἀπὸ τοῦ θυσιαστηρίου. καὶ εἰσῆλθε καὶ προσεκύνησε τῷ βασιλεῖ σολομῶντι, καὶ εἶπεν αὐτῷ σολομών· πορεύου εἰς τὸν οἶκόν σου.

ΚΕΦΑΛ. Β'. 2.

ΚΑΙ ἤγγισαν αἱ ἡμέραι δαβὶδ ἀποθανεῖν αὐτόν, καὶ ἐνετείλατο τῷ σολομῶντι υἱῷ αὐτοῦ λέγων· ἐγὼ εἰμι, πορεύομαι ἐν ὁδῷ πάσης τῆς γῆς, καὶ ἰσχύσεις, καὶ ἔσῃ εἰς ἄνδρα τέλειον, καὶ φυλάξεις τὴν φυλακὴν κυρίου θεοῦ σου, τοῦ πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, καὶ τὰ μαρτύρια αὐτοῦ τὰ γεγραμμένα ἐν τῷ νόμῳ μωϋσέως, ἵνα συνῆσις ἃ ποιήσεις ἐπὶ πάντα ὅσα ἂν ἐντείλωμαί σοι, ἵνα στήσῃ κύριος τὸν λόγον αὐτοῦ ὃν ἐλάλησε περὶ ἐμοῦ λέγων· ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν, πορεύεσθαι ἐνώπιόν μου ἐν ἀληθείᾳ, ἐν ὅλῃ καρδίᾳ αὐτῶν, καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν λέγων, οὐκ ἐξολοθρευθήσεταί σοι ἀνὴρ ἐπάνωθεν τοῦ θρόνου ἰσραήλ. καί γε σὺ ἔγνως ὅσα ἐποίησέ σοι ἰωὰβ υἱὸς σαρουίας, ὅσα ἐποίησε τοῖς δυσὶν ἀρχισὶ τῶν δυνάμεων ἰσραὴλ, τῷ ἀβεννὴρ υἱῷ νήρ, καὶ τῷ ἀμεσσαὶ υἱῷ ἰεθθερ, καὶ ἀπέκτεινεν αὐτούς, καὶ ἔταξε τὰ αἵματα πολέμου ἐν εἰρήνῃ, καὶ ἔδωκεν αἷμα πολέμου ἐν τῇ ζώνῃ αὐτοῦ τῇ ἐν τῇ ὀσφύϊ αὐτοῦ, καὶ ἐν τοῖς ὑποδήμασι αὐτοῦ τοῖς ἐν τοῖς ποσὶν αὐτοῦ. καὶ ποιήσεις κατὰ τὴν σοφίαν σου, καὶ οὐ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν εἰρήνῃ εἰς ᾅδου. καὶ τοῖς υἱοῖς βερζελλὶ τοῦ γαλααδίτου ποιήσεις ἔλεος, καὶ ἔσονται ἐν τοῖς ἐσθίουσι τὴν τράπεζάν σου, ὅτι οὕτως ἤγγισάν μοι ἐν τῷ ἀποδιδράσκειν ἀπὸ προσώπου ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ σου. καὶ ἰδοὺ μετὰ σοῦ σεμεὶ υἱὸς γηρὰ, υἱὸς τοῦ ἰεμενὶ ἐκ βαουρείμ, καὶ αὐτὸς κατηράσατό με κατάραν ὀδυνηρὰν τῇ ἡμέρᾳ ᾗ ἐπορευόμην εἰς παρεμβολάς, καὶ αὐτὸς κατέβη εἰς ἀπάντησίν μου εἰς τὸν ἰορδάνην, καὶ ὤμοσα αὐτῷ ἐν κυρίῳ λέγων· εἰ θανατώσω σε ἐν ῥομφαίᾳ, καὶ οὐ μὴ ἀθῳώσῃς αὐτόν, ὅτι ἀνὴρ σοφὸς εἶ σύ, καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ, καὶ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν αἵματι εἰς ᾅδου. καὶ ἐκοιμήθη δαβὶδ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει δαβίδ. καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσε δαβὶδ ἐπὶ τὸν ἰσραὴλ, τεσσαράκοντα ἔτη. ἐν χεβρὼν ἐβασίλευσεν ἑπτὰ ἔτη, καὶ ἐν ἰερουσαλὴμ ἐβασίλευσε τριάκοντα, καὶ τρία ἔτη. καὶ σολομὼν ἐκάθισεν ἐπὶ τοῦ θρόνου δαβὶδ τοῦ πατρὸς αὐτοῦ υἱὸς ἐτῶν δώδεκα. καὶ ἡτοιμάσθη ἡ βασιλεία αὐτοῦ σφόδρα. καὶ εἰσῆλθεν ἀδωνίας υἱὸς ἀγγὶθ πρὸς βηρσαβεὲ μητέρα σολομῶντος, καὶ προσεκύνησεν αὐτῇ. ἡ δὲ εἶπεν· εἰρήνη ἡ εἴσοδός σου; καὶ εἶπεν· εἰρήνη, λόγος μοι πρός σε. καὶ εἶπεν αὐτῷ· λάλει. καὶ εἶπεν αὐτῇ· σὺ οἶδας, ὅτι ἐμοὶ ἦν ἡ βασιλεία, καὶ ἐπ' ἐμὲ ἔθετο πᾶς ἰσραὴλ τὸ πρόσωπον αὐτοῦ εἰς βασιλεύειν, καὶ ἐστράφη ἡ βασιλεία, καὶ ἐγένετο τῷ ἀδελφῷ μου, ὅτι παρὰ κυρίου ἐγένετο αὐτῷ. καὶ νῦν αἴτησιν μίαν ἐγὼ αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου. καὶ εἶπεν αὐτῇ βηρσαβεὲ· λάλει. καὶ εἶπεν αὐτῇ· εἰπὸν δὴ πρὸς τὸν βασιλέα σολομών, ὅτι οὐκ ἀποστρέψει τὸ πρόσωπόν σου ἀπὸ σοῦ, καὶ δώσει μοι τὴν ἀβισὰκ τὴν σωμανῖτιν εἰς γυναῖκα. καὶ εἶπεν βηρσαβεὲ· καλῶς ἐγὼ λαλήσω περὶ σοῦ τῷ βασιλεῖ. καὶ εἰσῆλθε βηρσαβεὲ πρὸς τὸν βασιλέα σολομῶντα λαλῆσαι αὐτῷ περὶ ἀδωνίου. καὶ ἀνέστη ὁ βασιλεὺς εἰς ἀπάντησιν αὐτῆς, καὶ κατεφίλησεν αὐτήν, καὶ ἐκάθισεν ὧδε τοῦ θρόνου αὐτοῦ, καὶ ἐτέθη θρόνος τῇ μητρὶ τοῦ βασιλέως, καὶ ἐκάθισεν ἐκ δεξιῶν αὐτοῦ. καὶ εἶπεν αὐτῷ· αἴτησιν μίαν μικρὰν ἐγὼ αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν μου. καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς· αἴτησαι μᾶτερ ἐμοί, ὅτι οὐκ ἀποστρέψω σε. καὶ εἶπε· καθήσθω δὴ ἀβισὰκ ἡ σωμανῖτις τοῦ ἀδωνίου τοῦ ἀδελφῷ μου εἰς γυναῖκα. καὶ ἀπεκρίθη ὁ βασιλεὺς σολομὼν καὶ εἶπε τῇ μητρὶ αὐτοῦ· καὶ ἵνατί σὺ αἰτῇ τὴν ἀβισὰκ τὴν σωμανῖτιν τῷ ἀδωνίᾳ; καὶ αἰτήσαι αὐτῷ τὴν βασιλείαν, ὅτι οὗτος ἀδελφός μου ὁ μέγας ὑπὲρ ἐμέ, καὶ αὐτῷ ἀβιάθαρ ὁ ἱερεὺς, καὶ αὐτῷ ἰωὰβ υἱὸς σαρουίας ἀρχιστράτηγος στρατιᾶς. καὶ ὤμοσεν ὁ βασιλεὺς σολομὼν τῷ τοῦ κυρίου λέγων· τάδε ποιήσαι μοι ὁ θεός, καὶ τάδε προσθείη, ὅτι κατὰ τὴν ψυχὴν αὐτοῦ ἐλάλησεν ἀδωνίας τὸν λόγον τοῦτον. καὶ νῦν ζῇ κύριος ὃς ἡτοίμασέ με, καὶ ἔθετό με ὧδε τὸν θρόνον δαβὶδ τοῦ πατρός μου, καὶ αὐτὸς ἐποίησέ μοι οἶκον καθὼς ἐλάλησε κύριος, ὅτι σήμερον θανατωθήσεται ἀδωνίας.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀδωνίας. καὶ ἔξαπέστειλεν ὁ βασιλεὺς σολομὼν ἐν χειρὶ βαναίᾳ υἱοῦ ἰωδαὲ, καὶ ἀνεῖλεν αὐτὸν, καὶ ἐπέθανεν ἀδωνίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ διέθετο τῷ ἱερεῖ εἶπεν ὁ βασιλεὺς· ἀπόπορεύου σὺ εἰς ἀναθὼθ εἰς ἀγρόν σου, ὅτι ἀνὴρ θανάτου εἶ σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ οὐ θανατώσω σε, ὅτι ἔπαρας τὴν κιβωτὸν κυρίου ἐνώπιον τοῦ πατρός μου, καὶ ὅτι ἐκακοπάθησ ἐν πάσιν οἷς ἐκακοπάθησεν ὁ πατήρ μου. καὶ ἔξέβαλε σολομὼν τὸν διάθετον, τοῦ μὴ εἶναι ἱερέα τοῦ κυρίου, πληρωθῆναι τὸν λόγον κυρίου ὃν ἐλάλησεν ἐπὶ τὸν οἶκον ηλὶ ἐν σηλώμ. καὶ ἡ ἀκοὴ ἦλθεν ἕως ἰωὰβ υἱοῦ σαρουίας, ὅτι ἰωὰβ ἐπέστρεψεν ὀπίσω ἀδωνίᾳ, καὶ ὀπίσω σολομῶντος οὐκ ἐκλινε. καὶ ἔφυγεν ἰωὰβ εἰς τὸ σκήνωμα τοῦ κυρίου, καὶ κατέσχε τὰ κέρατα τοῦ θυσιαστηρίου. καὶ ἀπηγγέλη τῷ σολομῶντι λέγοντες· ὅτι πέφυγεν ἰωὰβ εἰς τὸ σκηνὴ τοῦ κυρίου, καὶ ἰδοὺ κατέχει τὰ κέρατα τοῦ θυσιαστηρίου. καὶ ἀπέστειλε σολομὼν ὁ βασιλεὺς πρὸς ἰωὰβ λέγων. τί γέγονέ σοι, ὅτι πέφυγας εἰς τὸ θυσιαστήριον; καὶ εἶπεν ἰωὰβ· ὅτι ἐφοβήθην ἀπὸ προσώπου σου καὶ ἔφυγον πρὸς κύριον. καὶ ἀπέστειλε σολομὼν τὸν βαναίαν υἱὸν ἰωδαὲ λέγων· πορεύου καὶ ἄνελε αὐτὸν, καὶ θάψον αὐτόν. καὶ ἦλθε βαναίας υἱὸς ἰωδαὲ πρὸς ἰωὰβ εἰς τὴν σκηνὴν τοῦ κυρίου, καὶ εἶπεν αὐτῷ· τάδε λέγει ὁ βασιλεύς· ἔξελθε. καὶ εἶπεν ἰωὰβ· οὐκ ἐκπορεύσομαι, ὅτι ὧδε ἀποθανοῦμαι. καὶ ἐπέστρεψε βαναίας υἱὸς ἰωδαὲ, καὶ εἶπε τοῦ βασιλεῖ λέγων· τάδε λελάληκεν ἰωὰβ, καὶ τάδε ἀπεκρίνατό μοι. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ποίησον αὐτῷ καθὼς εἴρηκε, καὶ ἄνελε αὐτὸν καὶ θάψεις αὐτόν. καὶ ἀφαιρεῖς σήμερον τὸ αἷμα ὃ ἐξέχεεν ἰωὰβ ἀπ' ἐμοῦ, καὶ ἀπὸ τοῦ οἴκου τοῦ πατρός μου. καὶ ἐπέστρεψε κύριος τὸ αἷμα τῆς ἀδικίας αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, ὃς ἐπέπεσε τοῖς δυσὶν ἀνθρώποις τοῖς δικαίοις καὶ ἀγαθοῖς ὑπὲρ αὐτὸν, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ῥομφαίᾳ. καὶ ὁ πατήρ μου δαβὶδ οὐκ ἔγνω τὸ αἷμα αὐτῶν, τὸν ἀβεννὴρ υἱὸν νὴρ ἀρχιστράτηγον ἰσραὴλ, καὶ τὸν ἀμεσσαὶ υἱὸν ἰεθὲρ ἀρχιστράτηγον ἰούδα, καὶ ἐπέστρεψε τὰ αἵματα αὐτῶν εἰς κεφαλὴν αὐτοῦ, καὶ εἰς κεφαλὴν τοῦ σπέρματος αὐτοῦ εἰς τὸν αἰῶνα. καὶ τῷ δαβὶδ καὶ τῷ σπέρματι αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ, καὶ τῷ θρόνῳ αὐτοῦ, γένοιτό μοι εἰρήνη ἕως αἰῶνος παρὰ κυρίου. καὶ ἀνέβη βαναίας υἱὸς ἰωδαὲ, καὶ ἀπέκτεινεν αὐτὸν, καὶ ἐθανάτωσεν αὐτὸν, καὶ ἐθάψεν αὐτὸν ἐν τῷ οἴκῳ αὐτοῦ ἐν τῇ ἐρήμῳ. καὶ ἔδωκεν ὁ βασιλεὺς τὸν βαναίαν υἱὸν ἰωδαὲ ἀντ' αὐτοῦ ἐπὶ τὴν στρατηγίαν, καὶ ἡ βασιλεία κατωρθώθη ἐν ἱερουσαλήμ, καὶ τὸν σιμεὶ ἔδωκεν ὁ βασιλεὺς εἰς ἱερεῖς πρῶτον, ἀντὶ ἀβιάθαρ. καὶ σολομὼν υἱὸς δαβὶδ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ καὶ ἰούδα ἐν ἱερουσαλήμ. καὶ ἔδωκε κύριος φρόνησιν τῷ σολομῶντι, καὶ σοφίαν πολλὴν σφόδρα, καὶ πλάτος καρδίας, ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν.

ΚΕΦΑΛ. γ'. 3.

Καὶ ἐπληθύνη ἡ φρόνησις σολομῶντος σφόδρα, ὑπὲρ φρόνησιν πάντων υἱῶν ἀρχαίων, καὶ ὑπὲρ πάντας φρονίμους αἰγύπτου. καὶ ἔλαβε τὴν θυγατέρα φαραὼ, καὶ εἰσήγαγεν αὐτὴν εἰς πόλιν δαβὶδ, ἕως συντελέσαι αὐτὸν οἰκοδομῆσαι τὸν οἶκον αὐτοῦ, καὶ τὸν οἶκον κυρίου καὶ πρόσοψιν, καὶ τὸ τεῖχος ἱερουσαλὴμ κύκλῳ, καὶ ἔπαξ ἐτησίᾳ ἐποίησε. καὶ συνετέλεσε καὶ ἦραν τοῦ σολομῶντος ἑβδομήκοντα χιλιάδων ἄροντος ἄρσιν, καὶ ὀγδοήκοντα χιλιάδων λατόμων ἐν τῷ ὄρει. καὶ ἐποίησε σολομὼν τῇ θαλάσσῃ, καὶ τὰ ὑποστρώματα, καὶ τοὺς λουτῆρας τοὺς μεγάλους, καὶ τοὺς σύλους, καὶ τὴν κρημνὸν ἣ αὐτῆς, καὶ τὴν θάλασσαν τὴν χαλκῆν, καὶ ὠκοδόμησεν τὴν ἄκραν καὶ τὰς ἐπάλξεις αὐτῆς, καὶ διέκοψε τὴν πόλιν δαβὶδ. οὕτως θυγάτηρ φαραὼ ἀνέβαινεν ἐκ τῆς πόλεως δαβὶδ εἰς τὸν οἶκον αὐτῆς, οὗ ὠκοδόμησεν αὐτῇ. τότε ὠκοδόμησε τὴν ἄκραν. καὶ σολομὼν ἀνέφερε πρὸς τὸ τελεῖν τὰς ὁλοκαυτώσεις, καὶ εἰρηνικὰς ὧδε τὸ θυσιαστήριον ὃ ὠκοδόμησε τοῦ κυρίου, καὶ ἐθυμία ἐνώπιον κυρίου, καὶ συνετέλεσε τὸν οἶκον. καὶ οὗτοι οἱ ἄρχοντες οἱ καθεσάμενοι ὧδε τὰ ἔργα τοῦ σολομῶντος, τρεῖς χιλιάδες καὶ ἑξακόσιοι ὡς λαὸς τοῦ λαοῦ τὰ ποιοῦντας τὰ ἔργα, καὶ ὠκοδόμησε τὴν ἀσσοὺρ καὶ τὴ μαγδὼ, καὶ τὴν γαζὲρ, καὶ τὴν βαιθωρὼν τὴν ἐπάνω, καὶ τὰ βαλλάθ, πλὴν μετὰ τὸ οἰκοδομῆσαι αὐτὸν τὸν οἶκον κυρίου, καὶ τὸ τεῖχος ἱερουσαλὴμ κύκλῳ. μετὰ ταῦτα ὠκοδόμησε τὰς πόλεις ταύτας. καὶ ἐν τοῖς ἐπὶ δαβὶδ ἔζη ἐτελεύτα τοῖς σολομῶντι λέγων· ἰδοὺ μετὰ σοῦ σημεῖον υἱὸς γυναικὸς υἱὸς τοῦ ἀποθνήσκοντος τοῦ ἰεμουὴλ ἐκ χεβρών. καὶ οὗτος κατηρώτησέ με κατὰ πρόσωπον ὁδῷ ἡμέρᾳ ἐπορευόμην εἰς πτολεμοὺς, καὶ αὐτὸς κατέβη εἰς ἀπάντησίν μοι εἰς τὸν ἰορδάνην, καὶ ὡμολόγησα αὐτῷ κατὰ τοῦ κυρίου λέγων· εἰ θανατώθησεται ἐν ῥομφαίᾳ, καὶ νῦν μὴ ἀθῳώσῃς αὐτὸν, ὅτι ἀνὴρ φρόνιμος εἶ σὺ, καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ, καὶ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν αἵματι εἰς ᾅδου. καὶ ἀφεῖλας ὁ βασιλεὺς ἐκάλεσε τὸν σεμεΐ, καὶ εἶπεν αὐτῷ· ᾠκοδόμησον σεαυτῷ οἶκον ἐν ἱερουσαλὴμ, καὶ κάθου ἐκεῖ, καὶ οὐκ ἐξελεύσῃ ἐκεῖθεν οὐδαμοῦ, καὶ ἔσῃ ἐν τῇ ἡμέρᾳ ἣ ἐξέλθῃς καὶ διαβήσῃ τὸν χειμάῤῥουν κεδρών. γινώσκων γνώσῃ, ὅτι θανάτῳ ἀποθανῇ, τὸ αἷμά σου ἔσται ἐπὶ τὴν κεφαλήν σου. καὶ ὤρκισεν αὐτὸν ὁ βασιλεὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ εἶπε σεμεΐ πρὸς τὸν βασιλέα· ἀγαθὸν τὸ ῥῆμα ὃ ἐλάλησας κύριέ μου βασι-

λεῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοῦ. οὕτω ποιήσει ὁ λαός σου. καὶ ἐκάθισε σεμεὶ ἐν ἱερουσαλὴμ τρία ἔτη. καὶ ἐγρηγόρθη μετὰ τρία ἔτη, καὶ ἀπέδρασαν δύο δοῦλοι τοῦ σεμεὶ πρὸς ἀγχοῦς υἱὸν μααχὰ βασιλέα γεθ. καὶ ἀπηγγέλη τῷ σεμεὶ λέγοντες· ἰδοὺ οἱ δοῦλοί σου ἐν γεθ. καὶ ἀνέστη σεμεὶ καὶ ἐπέζευξε τὸν ὄνον αὐτοῦ, καὶ ἐπορεύθη εἰς γεθ πρὸς ἀγχοῦς τοῦ ἐκζητῆσαι τοὺς δούλους αὐτοῦ. καὶ ἐπορεύθη σεμεὶ, καὶ ἤγαγε τοὺς δούλους αὐτοῦ ἐκ γεθ, καὶ ἀπηγγέλη τῷ Σολομῶνι λέγοντες· ὅτι ἐπορεύθη σεμεὶ ἐξ ἱερουσαλὴμ εἰς γεθ, καὶ ἀνέστρεψε τοὺς δούλους αὐτοῦ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς, καὶ ἐκάλεσε τὸν σεμεὶ, καὶ εἶπε πρὸς αὐτόν. οὐχὶ ὥρκισά σε κύριος τοῦ κυρίου, καὶ ἐπεμαρτυράμην σοι λέγων· ἐν ᾗ ἂν ἡμέρᾳ ἐξέλθῃς ἐξ ἱερουσαλὴμ, καὶ πορευθῇς εἰς δεξιὰ, ἢ εἰς ἀριστερὰ, γινώσκων γνώσῃ ὅτι θανάτῳ ἀποθανῇ; καὶ εἶπάς μοι· ἀγαθὸν τὸ ῥῆμα ὃ ἤκουσας, καὶ τί ὅτι οὐκ ἐφύλαξας τὸν ὅρκον κυρίου, καὶ τὴν ἐντολὴν ἣν ἐνετειλάμην σοι; καὶ εἶπεν ὁ βασιλεὺς πρὸς σεμεί· σὺ ἔγνως πᾶσαν τὴν κακίαν σου ἣν οἶδεν ἡ καρδία σου, ἃ ἐποίησας δαβὶδ τῷ πατρί μου, καὶ ἀπέστρεψε κύριος τὴν κακίαν εἰς κεφαλήν σου, καὶ ὁ βασιλεὺς σολομὼν εὐλογημένος, καὶ ὁ θρόνος δαβὶδ ἔσται ἕτοιμος ἐνώπιον κυρίου εἰς τὸν αἰῶνα. καὶ ἐνετείλατο ὁ βασιλεὺς σολομὼν τῷ βαναίᾳ υἱῷ ἰωδαέ, καὶ ἐξῆλθε καὶ ἀνεῖλεν αὐτὸν, καὶ ἀπέθανε. καὶ ἦν ὁ βασιλεὺς σολομὼν φρόνιμος σφόδρα, καὶ σοφός. καὶ ἐδόθη καὶ ἰσραὴλ πολὺ σφόδρα, ὡς ἡ ἄμμος ἡ ἐπὶ θαλάσσης εἰς πλῆθος, καὶ πίνοντες ἐδίοντες καὶ χαίροντες. καὶ σολομὼν ἦν ἄρχων ἐν πάσαις ταῖς βασιλείαις, ἀπὸ τοῦ ποταμοῦ γῆς φυλιστιείμ, καὶ ἕως ὁρίου αἰγύπτου. καὶ ἤγαγον φέροντες δῶρα, καὶ ἐδούλευον τῷ σολομῶνι πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ σολομὼν ἤρξατο ἀνοίγειν τὰ θησαυρίσματα τοῦ λιβάνου, καὶ αὐτὸς ᾠκοδόμησε τὴν θερμαὶ ἐν τῇ ἐρήμῳ. καὶ ἦσαν οἱ ἀρίσοι, καὶ ταῦτα τὰ δίδοντα τῷ σολομῶνι ἐν ἡμέρᾳ μιᾷ. ἑξακόσιοι κόροι σεμιδάλεως, καὶ ἑξήκοντα κόροι ἀλφίτων λευκοπανισμένου, δέκα μόσχοι ἐκλεκτοὶ, καὶ εἴκοσι βόες νομαδικοὶ, καὶ ἑκατὸν πρόβατα, ἐκτὸς ἐλάφων καὶ δορκάδων καὶ ὀρνίθων ἐκλεκτῶν νομάδων, ὅτι ἦν ἄρχων ἐν πάντι τόπῳ τοῦ ποταμοῦ, ἀπὸ θαφὶ ἕως γάζης, ἐν πᾶσι τοῖς βασιλεῦσι τοῦ ποταμοῦ. καὶ ἦν αὐτῷ εἰρήνη ἐκ πάντων τῶν μερῶν αὐτοῦ κυκλόθεν. καὶ κατῴκει ἰούδα καὶ ἰσραὴλ, πεποιθότες ἕκαστος ὑποκάτω τῆς ἀμπέλου αὐτοῦ καὶ ὑποκάτω τῆς συκῆς αὐτοῦ, ἐδίοντες καὶ πίνοντες καὶ εὐφραίνοντες, ἀπὸ δαὰν καὶ ἕως βηρσαβεὲ, πάσας τὰς ἡμέρας σολομῶντος. καὶ ἦσαν τῷ σολομῶνι τεσσαράκοντα χιλιάδες κοιλάδες ἵπποι εἰς ἅρματα, καὶ δώδεκα χιλιάδες ἱππεῖς, καὶ ἦν ἄρχων ἐν πᾶσι τοῖς βασιλεῦσιν ἀπὸ τοῦ ποταμοῦ, καὶ ἕως γῆς ἀλλοφύλων, καὶ ἕως ὁρίων αἰγύπτου. καὶ σολομὼν ὑπὸ δαβὶδ ἐβασίλευσεν ὅλῃ ἰσραὴλ καὶ ἰούδαν ἐν ἱερουσαλὴμ, πλὴν ὁ λαὸς ἦσαν θυμιῶντες ἔτι τοῖς ὑψηλοῖς, ὅτι οὐκ ᾠκοδομήθη οἴκῳ τοῦ ὀνόματι κυρίῳ ἕως τοῦ νῦν. καὶ ἠγάπησε σολομὼν τὸν κύριον, πορεύεσθαι ἐν τοῖς προστάγμασι δαβὶδ τοῦ πατρὸς αὐτοῦ, πλὴν ἐν τοῖς ὑψηλοῖς ἔθυε καὶ ἐθυμία, καὶ ἀνέστη, καὶ ἐπορεύθη εἰς γαβαὼν θύσαι ἐκεῖ, ὅτι αὕτη ὑψηλοτάτη καὶ μεγάλη· χιλίαν ὁλοκάυτωσιν ἀνήνεγκε σολομὼν ἐπὶ τὸ θυσιαστήριον ἐν γαβαὼν, καὶ ὤφθη κύριος τῷ σολομῶνι ἐν ὕπνῳ τὴν νύκτα, καὶ εἶπεν αὐτῷ· αἴτησαι τί αἴτημα σεαυτῷ. καὶ εἶπε σολομὼν· σὺ ἐποίησας μετὰ τοῦ δούλου σου δαβὶδ τοῦ πατρός μου ἔλεος μέγα, καθὼς ἐπορεύθη ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ ἐν δικαιοσύνῃ, καὶ ἐν εὐθύτητι καρδίας μετὰ σοῦ, καὶ ἐφύλαξας αὐτῷ τὸ ἔλεος τὸ μέγα τοῦτο, δοὺς αὐτῷ υἱὸν καθήμενον ἐπὶ τοῦ θρόνου αὐτοῦ, ὡς ἡ ἡμέρα αὕτη. καὶ νῦν κύριε ὁ θεός μου, σὺ ἐβασίλευσας τὸν δοῦλόν σου αὐτὶ δαβὶδ τοῦ πατρός μου, καὶ ἐγὼ εἰμὶ παιδάριον μικρόν, καὶ οὐκ οἶδα τὴν εἴσοδόν μου καὶ τὴν ἔξοδόν μου. ὁ δὲ δοῦλός σου ἐν μέσῳ τοῦ λαοῦ σου, ὃν ἐξελέξω λαὸν πολύν, ὃς οὐκ ἀριθμηθήσεται, καὶ οὐκ ἐξαριθμηθήσεται ἀπὸ πλήθους. καὶ δώσεις τῷ δούλῳ σου καρδίαν τοῦ ἀκοῦσαι καὶ διακρίνειν τὸν λαόν σου τοῦ συνιέναι ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ. καὶ ὅτι τίς δυνήσεται κρίνειν τὸν λαόν σου τὸν βαρὺν τοῦτον; καὶ ἦρεσεν ἐνώπιον κυρίου, ὅτι ἐπήτησε σολομὼν τὸ ῥῆμα τοῦτο. καὶ εἶπε κύριος πρὸς αὐτόν· ἀνθ' ὧν ἐπήτησω παρ' ἐμοῦ τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐπήτησω σεαυτῷ ἡμέρας πολλὰς, καὶ οὐκ ἐπήτησω πλοῦτον, οὐδὲ ἐπήτησω ψυχὰς τῶν ἐχθρῶν σου, ἀλλ' ἐπήτησω σεαυτῷ σύνεσιν τοῦ ἐπακούειν κρίματος, ἰδοὺ πεποίηκα κατὰ τὸ ῥῆμά σου, ἰδοὺ δέδωκά σοι καρδίαν φρονίμου, καὶ σοφοῦ, ὡς σὺ οὐ γέγονεν ὁμοιός σοι ἔμπροσθέν σου, καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι, καὶ ἃ οὐκ ἐπήτησω δέδωκά σοι, καὶ πλοῦτον καὶ δόξαν, ὡς σὺ οὐ γέγονεν ἀνὴρ ὅμοιός σοι ἐν βασιλεῦσι. καὶ ἐὰν πορεύθῃς ἐν τῇ ὁδῷ μου, φυλάσσων τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου, ὡς ἐπορεύθη δαβὶδ ὁ πατήρ σου, καὶ πληθυνῶ τὰς ἡμέρας σου. καὶ ἐξυπνίσθη σολομὼν, καὶ ἰδοὺ ἐνύπνιον. καὶ ἀνέστη καὶ παρεγένετο εἰς ἱερουσαλὴμ, καὶ ἔστη κατὰ πρόσωπον τοῦ θυσιαστηρίου τοῦ κυρίου προσώπου διαθήκης κυρίου ἐν σιών, καὶ ἀνήγαγεν ὁλοκαυτώσεις, καὶ ἐποίησεν εἰρηνικὰς, καὶ ἐποίησε πότον μέγαν ἑαυτῷ, καὶ πᾶσι τοῖς παισὶν αὐτοῦ. τότε ἤφθησαν δύο γυναῖκες πόρναι τοῦ βασιλέως, καὶ ἔστησαν ἐνώπιον αὐτοῦ. καὶ εἶπεν ἡ γυνὴ ἡ μία· ἐν ἐμοὶ κύριε μου, ἐγὼ καὶ ἡ γυνὴ αὕτη ᾠκοῦμεν ἐν οἴκῳ ἑνί, καὶ ἐτέκομεν ἐν τοῦ οἴκου. καὶ ἐγένηθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ τεκούσης μου, ἔτεκε καὶ ἡ γυνὴ αὕτη, καὶ ἡμεῖς μετὰ τὸ αὐτὸ, οὐκ ἦν οὐδεὶς μεθ' ἡμῶν, πλὴν ἐμοῦ καὶ σοῦ

γὴ τοῦ οἴκου. καὶ ἀπέθανεν ὁ υἱὸς τῆς γυναικὸς ταύτης τὴν νύκτα, ὡς ἐπεκοιμήθη ἐπ' αὐτόν, καὶ ἀνέστη μέσης τῆς νυκτὸς, καὶ ἔλαβε τὸν υἱόν μου ἐκ τῶν ἀγκαλῶν μου, καὶ ἐκοίμησεν αὐτὸν ἐν τοῖς κόλποις αὐτῆς, καὶ τὸν υἱὸν ἑαυτῆς τὸν τεθνηκότα ἐκοίμησεν ἐν τοῖς κόλποις μου. καὶ ἀνέστην πρωὶ θηλάσαι τὸν υἱόν μου, καὶ ἐκαὶ ἰδοὺ τεθνηκώς, καὶ ἰσιδὲ διετρόνησα αὐτὸν πρωΐ, καὶ ἰδοὺ οὐκ ἦν ὁ υἱός μου ὃν ἔτεκον. καὶ εἶπεν ἡ γυνὴ ἑτέρα· οὐχί, ἀλλὰ ὁ υἱός μου ὁ ζῶν, ὁ δὲ υἱός σου ὁ τεθνηκώς. καὶ ἐλάλησαν ἐνώπιον τοῦ Βασιλέως. καὶ εἶπεν ὁ Βασιλεὺς αὐτῇς· σὺ λέγεις ὅτι οὗτος ὁ υἱός μου ὁ ζῶν, καὶ ὁ υἱός σου ὁ τεθνηκώς. ἡ σὺ λέγεις, ὅτι οὐχί, ἀλλ' ἢ ὁ υἱός μου ὁ ζῶν, καὶ ὁ υἱός σου ὁ τεθνηκώς. καὶ εἶπεν ὁ Βασιλεύς· λάβετέ μοι μάχαιραν. καὶ προσήνεγκαν τῷ μαχαίραν ἐνώπιον τοῦ Βασιλέως, καὶ εἶπεν ὁ Βασιλεύς· διέλετε τὸ παιδάριον τὸ ζῶν τὸ θηλάζον, εἰς δύο, καὶ δότε τὸ ἥμισυ αὐτοῦ τούτῳ, καὶ τὸ ἥμισυ αὐτοῦ τούτῃ. καὶ ἀπεκρίθη ἡ γυνὴ ἧς ὁ υἱὸς ὁ ζῶν, καὶ εἶπε πρὸς τὸν Βασιλέα, ὅτι ἐταράχθη ἡ μήτρα αὐτῆς ἐπὶ τῷ υἱῷ αὐτῆς, καὶ εἶπεν· ἐν ἐμοὶ κύριε, δότε αὐτῇ τὸ παιδίον, καὶ θανάτῳ μὴ θανατώσητε αὐτό. καὶ αὕτη εἶπε· μήτε ἐμοί, μήτε τούτῃ ἔστω, διέλετε. καὶ ἀπεκρίθη ὁ Βασιλεύς, καὶ εἶπε· δότε τὸ παιδίον τὸ ζῶν τῇ γυναικὶ τῇ εἰπούσῃ, δότε αὐτῇ αὐτὸ, καὶ θανάτῳ μὴ θανατώσητε αὐτὸ, αὕτη ἡ μήτηρ αὐτοῦ. καὶ ἤκουσε πᾶς Ἰσραὴλ τὸ κρίμα ὃ ἔκρινεν ὁ Βασιλεύς, καὶ ἐφοβήθησαν ἀπὸ προσώπου τοῦ Βασιλέως, ὅτι εἶδον ὅτι φρόνησις θεοῦ ἐν αὐτῷ.

ΚΕΦΑΛ. κα'. 4.

Καὶ ἰδοὺ ὁ Βασιλεὺς Σολομὼν Βασιλεύων ἐπὶ Ἰσραήλ. καὶ οὗτοι οἱ ἄρχοντες οἳ ἦσαν αὐτῷ, Ἀζαρίας υἱὸς Σαδὼκ ὁ ἱερεύς, Ἐλιὰμ καὶ Ἀχιὰ υἱοὶ Σισὰ γραμματεῖς, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλὶδ ἀναμιμνήσκων, καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τῆς δυνάμεως, καὶ Σαδὼκ καὶ Ἀβιάθαρ ἱερεῖς, καὶ Ἀζαρίας υἱὸς Ναθὰν ἐπὶ τῶν Διατεταμένων, καὶ Ζαβοὺθ υἱὸς Ναθὰν ἐπαρχος τοῦ Βασιλέως, καὶ Ἀχισὰρ ἐπὶ οἰκονόμου, καὶ Ἐλιαὲ υἱὸς Σαφὰτ ἐπὶ τῆς πατριᾶς, καὶ Ἀδωνιρὰμ υἱὸς Αὐδὼμ ἐπὶ τῶν φόρων. καὶ τοῦ Σολομὼν Διώδεκα Διατεσάμενοι ἐπὶ πάντα Ἰσραὴλ, χορηγεῖν τοῦ Βασιλεῖ καὶ τοῦ οἴκῳ αὐτοῦ. μιᾶς ἐν τοῦ γιαυτῷ ἐγίνετο, ἐπὶ τοῦ ἓξ χορηγεῖν. καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Βαινὼρ ὁ υἱὸς Ἐφραὶμ εἰς, υἱὸς Δακὲρ ἐν Μαχεμὰτ, καὶ ἐν Βαιθαλαμὶμ, καὶ ἐν Βαιθσαμίς. καὶ Ἐλὼν ἕως Βαιθανάν, εἷς υἱὸς σὲδ ὃν ἀραβὼθ αὐτοῦ σωχώ, καὶ πᾶσα ἡ γῆ Ὀφὲρ υἱὸς Ἀμιναδάβ, πᾶσαν νεφθαδώρ. Ταφὰθ θυγατὴρ Σολομῶντος ἦν αὐτῷ εἰς γυναῖκα. εἷς Βανὰ υἱὸς Ἀχιλοὺθ τὴν Θαανάχ, καὶ μαγεδδὼ, καὶ πᾶς ὁ οἶκος σαὺ, ὁ πρεσὼλ Ζαρθανὰ ὑπὸ Ἰσδρὲλ ἀπὸ τοῦ Ἰσραὴλ, καὶ ἕως Βαθσαὺ, ἕως Ἀβελμαεθλᾶ, ἕως Βερεμὲρ λαὶ ἐκμαὰλ εἷς. υἱὸς Ναβὲρ ἐν Ῥαμὼθ γαλαὰδ, τούτῳ χοίνισμα ὀργυᾶ, ἢ ἐν τῇ Βασαὼ, ἑξήκοντα πόλεις μεγάλαι τειχήρεις, καὶ μοχλοὶ χαλκοῖ εἷς. Ἀχινασὰβ υἱὸς Ζαδδὼ μαναείμ, Ἀχιμαὸς ἐν Νεφθαλείμ, καὶ οὗτος ἔλαβε τὴν μασεμαὰθ θυγατέρα Σολομῶντος εἰς γυναῖκα. Βαανὰ υἱὸς Χουσὶ ἐν Ἀσὴρ, καὶ ἐν Βαελὼθ. Ἰωσαφὰτ υἱὸς Φαρὲ ἐν Ἰσσάχαρ. Σεμεῖ υἱὸς Ηλὰ ἐν τοῦ Βενιαμίν. Γαβὲρ υἱὸς Ἀδαὶ ἐν τῇ γῇ Γαλαὰδ σηὼρ Βασιλέως τοῦ Ἐσεβῶν, καὶ ὤγ Βασιλέως τοῦ Βασαὶ, καὶ Νασὼβ εἷς ἐν γῇ Ἰούδα. καὶ ἐχορήγουν οἱ διατεσάμενοι οὗτοι τοῦ Βασιλεῖ Σολομῶντι, καὶ πάντα τὰ διαγγέλματα ὃν τῶν τραπέζαν τοῦ Βασιλέως, ἕκαστος μιᾶς αὐτοῦ οὐ παραλλάσσουσι λόγον. καὶ τὰς κριθὰς καὶ ἄχυρον τοῖς ἵπποις, καὶ τοῖς ἅρμασιν, ἤρον εἰς τὸν τόπον οὗ ἂν ἦ ὁ Βασιλεὺς ἕκαστος κατὰ τὴν σύταξιν αὐτοῦ. καὶ ἔδωκε κύριος Σοφίαν καὶ φρόνησιν τοῦ Σολομῶντι πολλὴν σφόδρα, καὶ χύμα διαρσίας, ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν. καὶ ἐπληθύνθη Σοφία Σολομῶντος σφόδρα ὑπὲρ τὴν φρόνησιν πάντων ἀρχαίων ἀνθρώπων, καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου. καὶ ἐσοφίσθη ὑπὲρ πάντας ἀνθρώπους, καὶ ἐσοφίσθη ὑπὲρ Γαιθὰν τὸν Ἰσραΐτην, καὶ Αἰμάν, καὶ τὸν Χαλχὸλ, καὶ τὸν Δαρδὰ υἱοὺ σαμάλ. καὶ ἐλάλησε Σολομὼν τρεῖς χιλιάδας παραβολὰς, καὶ ἦσαν αἱ ᾠδαὶ αὐτοῦ πεντακισχίλιαι. καὶ ἐλάλησε περὶ τῶν ξύλων ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ, καὶ ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης ἐκ τοῦ τοίχου. καὶ ἐλάλησε περὶ τῶν κτηνῶν, καὶ περὶ τῶν πετεινῶν, καὶ περὶ τῶν ἑρπετῶν, καὶ περὶ τῶν ἰχθύων. καὶ παρεγίνοντο πάντες οἱ λαοὶ, ἀκοῦσαι τὴν Σοφίαν Σολομῶντος. καὶ ἐλάμβανε δῶρα παρὰ πάντων τῶν Βασιλέων τῆς γῆς, ὅσοι ἤκουον τὴν Σοφίαν αὐτοῦ.

ΚΕΦΑΛ. κε'. 5.

Καὶ ἀπέστειλε χειρὰμ Βασιλεὺς Τύρου τοὺς παῖδας αὐτοῦ, χρίσαι πρὸς Σολομῶντα. ἤκουσε γὰρ, ὅτι αὐτὸν ἔχρισαν εἰς Βασιλέα ἀντὶ πάντων τοῦ πατρὸς αὐτοῦ, ὅτι ἀγαπῶν ἦν χειρὰμ τὸν Δαβὶδ πάσας τὰς ἡμέρας. καὶ ἀπέστειλε Σολομὼν πρὸς χειρὰμ λέγων· σὺ οἶδας τὸν πατέρα μου Δαβὶδ, ὅτι οὐκ ἠδυνάσθη οἰκοδομῆσαι οἶκον τοῦ ὀνόματι κυρίου θεοῦ μου ἀπὸ προσώπου τῶν πολέμων τῶν κυκλωσάντων αὐτὸν, ἕως τοῦ δοῦναι κύριον αὐτοὺς ὑπὸ τὰ ἴχνη τῶν ποδῶν αὐτοῦ. καὶ νῦν ἀνέπαυσε κύριος ὁ θεός μου ἐμοὶ κυκλόθεν, οὐκ ἔστιν ἐπίβουλος, καὶ οὐκ ἔστιν ἀπάντημα πονηρόν. καὶ ἰδοὺ ἐγὼ λέγω οἰκοδομῆσαι οἶκον τοῦ ὀνόματι κυρίου θεοῦ μου, καθὼς ἐλάλησε κύριος πρὸς Δαβὶδ τὸν πατέρα μου λέγων· ὁ υἱός σου ὃν δώσω ἀντὶ σοῦ ἐπὶ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν θρόνον σου, οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου. καὶ νῦν γνεῖλαι καὶ ἰσχάτωσόν μοι ξύλα ἐκ τοῦ λιβάνου, καὶ ἰδοὺ οἱ δοῦλοί μου μετὰ τῶν δούλων σου, καὶ τὸν μισθὸν δουλείας σου δώσω σοι κατὰ πάντα ὅσα ἂν εἴπῃς, ὅτι σὺ οἶδας ὅτι οὐκ ἔστιν ἡμῖν εἰδὼς ξύλα κόπτειν, καθὼς οἱ Σιδώνιοι. καὶ ἐγένηθη καθὼς ἤκουσε χειρὰμ τῶν λόγων Σολομῶντος, ἐχάρη σφόδρα καὶ εἶπεν· εὐλογητὸς ὁ θεὸς σήμερον, ὃς ἔδωκε τῷ Δαβὶδ υἱὸν φρόνιμον ὑπὲρ τὸν λαὸν τὸν πολὺν τοῦτον. καὶ ἀπέστειλε πρὸς Σολομῶντα λέγων· ἀκήκοα πρὸς πάντων ὧν ἀπέστειλας πρός με, ἐγὼ ποιήσω πᾶν θέλημά σου, ξύλα κέδρινα καὶ πρόκινα. οἱ δοῦλοί μου καταξέουσιν αὐτὰ ἐκ τοῦ λιβάνου εἰς τὴν θάλασσαν, καὶ ἐγὼ θήσομαι αὐτὰ σχεδίας ἐκ τοῦ τόπου οὗ ἐὰν ἀποστείλῃς πρός με, καὶ ἐκπλεύσω αὐτὰ ἐκεῖ, καὶ σὺ ἀρεῖς, καὶ ποιήσεις τὸ θέλημά μου τοῦ δοῦναι ἄρτους τῷ οἴκῳ μου. καὶ ἦν χειρὰμ δίδους τῷ Σολομῶντι κέδρους καὶ πρόκινα καὶ πᾶν θέλημα αὐτοῦ. καὶ Σολομὼν ἔδωκε τῷ χειρὰμ εἴκοσι χιλιάδας κόρους πυρὸν, καὶ μαχὴλ τῷ οἴκῳ αὐτοῦ, καὶ εἴκοσι χιλιάδας βαὺθ ἐλαίου λεκοπαυισμένου, καὶ τὸ αὐτὸ ἐδίδου Σολομὼν τῷ χειρὰμ κατ' ἐνιαυτόν. καὶ κύριος ἔδωκε σοφίαν τῷ Σολομῶντι, καθὼς ἐλάλησεν αὐτῷ. καὶ ἦν εἰρήνη ἀνὰ μέσον Σολομῶντος καὶ ἀνὰ μέσον χειρὰμ, καὶ διεθέντο διαθήκην ἀνὰ μέσον αὐτῶν. καὶ ἀνέβιβασεν ὁ βασιλεὺς φόρον ἐκ παντὸς Ἰσραὴλ, καὶ ἦν ὁ φόρος τριάκοντα χιλιάδες ἀνδρῶν, καὶ ἀπέστελλον αὐτὸν εἰς τὸν λίβανον δέκα χιλιάδες, ἐν τῷ μηνὶ ἀλλασσόμενοι. μῆνα ἦν ἐν τῷ λιβάνῳ, καὶ δύο μῆνας ἐν τῷ οἴκῳ αὐτῶν, καὶ Ἀδωνιρὰμ ὑπὲρ τοῦ φόρου. καὶ ἦν τῷ Σολομῶντι ἑβδομήκοντα χιλιάδες αἴροντος αἶρσιν, καὶ ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ ὄρει, χωρὶς τῶν ἀρχόντων τῶν καθεσταμένων ὑπὲρ τῶν ἔργων τῷ Σολομῶντι, τρεῖς χιλιάδες καὶ ἑξακόσιοι ὑπερέχοντες οἱ ποιοῦντες τὰ ἔργα, καὶ ἐπίμασαν τοὺς λίθους καὶ τὰ ξύλα τρία ἔτη.

ΚΕΦΑΛ. ε'. ϛ'.

ΚΑΙ ἐγενήθη ἐν τῷ τετρακοσιοστῷ ἔτει καὶ χιλιοστῷ ἔτει ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ αἰγύπτου, τῷ ἔτει τῷ τετάρτῳ, ἐν μηνὶ τῷ δευτέρῳ, βασιλεύοντος τοῦ βασιλέως Σολομὼν ὑπὲρ τὸν Ἰσραὴλ, καὶ ἐνετείλατο ὁ βασιλεὺς, καὶ ἄραντες λίθους τιμίους μεγάλους εἰς τὸν θεμέλιον τοῦ οἴκου, καὶ λίθους ἀπελεκήτους, καὶ ἐτελείωσαν οἱ υἱοὶ Σολομὼν, καὶ οἱ υἱοὶ Χειράμ. καὶ ἐνέβαλον αὐτούς. ἐν τῷ ἔτει τῷ τετάρτῳ ἐθεμελίωσε τὸν οἶκον Κυρίου, ἐν μηνὶ Ἰανεὶ. μηνὶ τῷ δευτέρῳ, ἐν δεκάτῳ ἐνιαυτῷ, ἐν μηνὶ Βουσὶλ, αὐτὸς ὁ μὴν μηνὶ ὀγδόῳ, συνετελέσθη ὁ οἶκος εἰς πάντα λόγον αὐτοῦ, καὶ εἰς πᾶσαν διάταξιν αὐτοῦ, καὶ ᾠκοδόμησε αὐτὸν ἐν ἑπτὰ ἔτεσι. καὶ ᾠκοδόμησε τὸν οἶκον τῷ Κυρίῳ. καὶ ὁ οἶκος οὗ ᾠκοδόμησεν ὁ βασιλεὺς Σολομὼν τῷ Κυρίῳ, τεσσαρακοντα πήχεων τὸ μῆκος αὐτοῦ, καὶ εἴκοσι ἐν πήχει πλάτος αὐτοῦ, καὶ τριάκοντα καὶ εἴκοσι ἐν πήχει τὸ ὕψος αὐτοῦ. καὶ τὸ αἴλαμ κατὰ πρόσωπον αὐτοῦ εἰς τὸ ὕψος τοῦ οἴκου, δέκα πήχεις πλάτος αὐτοῦ, κατὰ πρόσωπον τοῦ οἴκου. καὶ ᾠκοδόμησε τὸν οἶκον καὶ συνετέλεσεν αὐτὸν, καὶ ἐποίησε τῷ οἴκῳ θυρίδας σκαπτὰς κεκυπτομένας λεπτάς, καὶ ἐδείμησεν ὦμον τοίχου τοῦ οἴκου μέλαθρα κύκλοθεν τοῦ ναοῦ, καὶ τοῦ σηκοῦ. καὶ ἐποίησε πλευρὰς κύκλοθεν. ἡ πλευρὰ ἡ ἄνω καὶ κάτω πήχεως τὸ πλάτος αὐτῆς, καὶ τὸ μέσον ἐξ πήχεως τὸ πλάτος, καὶ ἡ τρίτη ἑπτὰ ἐν πήχει τὸ πλάτος αὐτῆς, ὅτι διάσημα ἔδωκε τῷ οἴκῳ κύκλοθεν ἐξωθεν τοῦ οἴκου, ὅπως μὴ ἅπτωνται τῶν τοίχων τοῦ οἴκου. καὶ ὁ οἶκος ἐν τῷ οἰκοδομεῖσθαι αὐτὸν, λίθοις ἀκροτόμοις ἀργοῖς ᾠκοδομήθη. καὶ σφῦρα καὶ πέλεκυς καὶ πᾶν σκεῦος σιδήρου οὐκ ἠκούσθη ἐν τῷ οἴκῳ, ἐν τῷ οἰκοδομεῖσθαι αὐτόν. καὶ ὁ θυρεὸς τῆς πλευρᾶς τῆς ἄνω ἐκάτωθεν, ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς, καὶ ἑλικτὴ ἀναβασις εἰς τὸ μέσον, καὶ ἐκ τῆς μέσης εἰς τὰ τριώροφα. καὶ ᾠκοδόμησε τὸν οἶκον, καὶ συνετέλεσεν αὐτὸν, καὶ ἐκοίλανε τὸν οἶκον φατνώμασιν καὶ διατάξεσιν ἐκ λεπτοῖς, καὶ ᾠκοδόμησε τοὺς ἐξέδρους δίολα τοῦ οἴκου. τοῦτο ἐν πήχει τὸ ὕψος αὐτοῦ, καὶ συνέχε τὸν συνδυασμὸν ἐν ξύλοις λεπτοῖς. καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σολομὼν λέγων· ὁ οἶκος οὗτος οὗ σὺ οἰκοδομεῖς, ἐὰν πορεύσῃ ἐν τοῖς προστάγμασί μου, καὶ τὰ κρίματά μου ποιῇς, καὶ φυλάσσῃς πάσας τὰς ἐντολάς μου καὶ πορεύσῃ ἐν αὐταῖς, στήσω τὸν λόγον μου ὃν ἐλάλησα πρὸς Δαβὶδ τὸν πατέρα σου, καὶ κατασκηνώσω ἐν μέσῳ υἱῶν Ἰσραὴλ, καὶ οὐκ ἐγκαταλείψω τὸν λαόν μου Ἰσραήλ. καὶ ᾠκοδόμησε Σολομὼν τὸν οἶκον, καὶ συνετέλεσεν αὐτὸν, καὶ ᾠκοδόμησε τοὺς τοίχους τοῦ οἴκου ἔσωθεν δόμα ξύλων λεπτοῖς, ἀπὸ τοῦ ἐδάφους τοῦ οἴκου καὶ ἕως τῶν τοίχων, καὶ ἕως τῶν δοκῶν. ἐκοίλοσε δὲ σανίσι ξύλων ἔσωθεν, καὶ περιέσχε τὸ ἔσω τοῦ οἴκου ἐν πλευραῖς κεδρίναις. καὶ ᾠκοδόμησε τοὺς εἴκοσι πήχεις ἀπ' ἄκρου τοῦ τοίχου τὸ πλευρὸν τὸ ἐν ἀπὸ τοῦ ἐδάφους ἕως τῶν δοκῶν. καὶ ἐποίησεν αὐτῷ ἔσωθεν ἐκ τοῦ δαβεὶρ τὸν τοῖχον, εἰς τὸ ἅγιον τῶν ἁγίων. καὶ τεσσαρακοντα πήχεων ἦν ὁ ναὸς κατὰ πρόσωπον τοῦ δαβεὶρ, ἐν μέσῳ τοῦ οἴκου ἔσωθεν, δένδρα ἐκεῖ τῶν λιβωνὸν διαθήκης Κυρίου, εἴκοσι πήχεις πλάτος, καὶ εἰς πρόσωπον τοῦ δαβεὶρ εἴκοσι πήχεις τὸ ὕψος αὐτοῦ, καὶ περιέσχεν αὐτὸ χρυσίῳ συγκεκλεισμένῳ. καὶ ἐποίησε θυσιαστήριον ξύλινον κατὰ πρόσωπον τοῦ δαβεὶρ, καὶ περιέσχεν αὐτὸ χρυσίῳ, καὶ ὅλον τὸν οἶκον περιέσχε χρυσίῳ ἕως συντελείας παντὸς τοῦ οἴκου. καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐποίησεν ὁ Χιρὰμ λαβεῖν, δύο χορδαβεὶμ ξύλων λευκοσίνων πήχεων μεγέθους ἑκαθμωμένων, καὶ ὡσὰν πήχεων πλούγιον τὸ χορδαβὶμ τὸ ἕνος, καὶ ὡσὰν πήχεων πλούγιον αὐτοῦ λιθύτορον, πέντε καὶ ὡσὰν πήχεις ἀπὸ μέρους πλουγίου αὐτοῦ εἰς μέρος πλουγίου αὐτοῦ. οὕτως ἐποίησε χερουβὶμ ἐπὶ λιθύτορον καὶ ἐποίησε μίαν ἀμφοτέρους, καὶ τὸ ὕψος τοῦ χερουβὶμ τοῦ ἑνός, πέντε καὶ ὡσὰν πήχεις. καὶ ἔστω ἐπὶ χορδαβὶμ ἐπὶ λιθύτορον, καὶ ἀμφότερα τὰ χερουβὶμ καὶ μέσῳ τοῦ οἴκου τοῦ ἐσωτάτου, καὶ διεπέτασε τὰς πλούγας αὐτῶν, καὶ ἥπτετο πτέρυξ μία τοῦ τοίχου τοῦ οἴκου, καὶ πτέρυξ χερουβὶμ τοῦ λιθύτορος ἥπτετο τοῦ τοίχου τοῦ λιθύτορος, καὶ αἱ πτέρυγες αὐτῶν καὶ μέσῳ τοῦ οἴκου ἥπτοντο πτέρυξ πτέρυγος. καὶ ποιήσει τὰ χερουβὶμ χρυσία, καὶ πάντας τοὺς τοίχους τοῦ οἴκου κύκλῳ, ἐγκολαπτὰ ἐγράψε γραφὶδι χερουβὶμ, καὶ φοίνικας ἐπὶ ἐσωτέρου, καὶ ἐπὶ ἐξωτέρου. καὶ τὸ ἔδαφος τοῦ οἴκου, ποιήσει χρυσίου τοῦ ἐσωτάτου καὶ τοῦ ἐξωτάτου. καὶ ἐπὶ θυρώμασι τοῦ ναοῦ, ἐποίησε θύρας ξύλων ἀρκευθίνων, καὶ φλιὰς πεντάπλευρος, καὶ δύο θύρας ξύλων πευκίνων, καὶ ἐγκολαπτὰ ἐπ' αὐτῶν ἐγκεκολαμμένα χερουβὶμ, καὶ φοίνικας καὶ πετάλα διαπεπετασμένα, καὶ περιέχε χρυσίου, καὶ κατέβαινον ἐπὶ τὰ χερουβὶμ, καὶ ἐπὶ τοὺς φοίνικας τὸ χρυσίον. καὶ οὕτως ἐποίησε τοῦ πυλῶνι τοῦ ναοῦ. φλιὰς ξύλων ἀρκεύθου, τετράπλευρος. καὶ ἐπ' ἀμφοτέραις ταῖς θύραις ξύλα πευκίνα, δύο πτυχαὶ ἡ θύρα ἡ μία, καὶ στροφεῖς αὐτῶν. καὶ δύο πτυχαὶ ἡ θύρα ἡ λιθύτορος, στρεφόμεναι, ἐγκεκολαμμέναι χερουβὶμ, καὶ φοίνικες, διαπεπετασμένα πετάλα, καὶ περιέχε χρυσίου κατηγομένου ἐπὶ τὸ ἐκτύπωσιν. καὶ ᾠκοδόμησε τὴν αὐλὴν τὴν ἐσωτάτην, τρεῖς σίχους ἀπελεκήτων, καὶ σίχους κατεργασμένους λιθίνους κύκλῳ. καὶ ᾠκοδόμησε τὴν αὐλὴν οἴκου λυρίου τὴν ἐσωτάτην, τοῦ αὐλάμ τοῦ οἴκου τοῦ κατὰ πρόσωπον τοῦ ναοῦ.

ΚΕΦΑΛ. ζ. 7.

ΚΑΙ μετὰ τὸ ῥῆμα τοῦτο, οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς πονηρίας αὐτοῦ, καὶ ἐπέστρεψεν καὶ ἐποίησε τὸν μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν, ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγένοντο ἱερεῖς εἰς τὰ ὑψηλά. καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τοῦ οἴκου Ἱεροβοὰμ, καὶ εἰς ὄλεθρον καὶ εἰς ἀφανισμόν, ἀπὸ προσώπου τῆς γῆς. * Ἐν τῷ καιρῷ ἐκείνῳ ἠρρώστησεν Ἀβιὰ υἱὸς Ἱεροβοὰμ, καὶ τῇ γυναικὶ αὐτοῦ εἶπεν Ἱεροβοὰμ· ἀναστηθι καὶ ἀλλοιωθήσῃ, καὶ γνώσονται ὅτι σὺ γυνὴ Ἱεροβοὰμ. καὶ πορεύθητι εἰς Σηλὼ, ἰδοὺ ἐκεῖ Ἀχιὰ ὁ προφήτης, αὐτὸς ἐλάλησεν ἐπ' ἐμὲ τοῦ βασιλεῦσαι ἐπὶ τοῦ λαοῦ τούτου. καὶ λαβὲ εἰς τὴν χεῖρά σου τοῦ ἀνθρώπου τοῦ θεοῦ ἄρτους, καὶ πολύεια τοῖς τέκνοις αὐτοῦ, καὶ σαφύλας, καὶ σαμνον μέλιτος, καὶ εἰσελεύσῃ πρὸς αὐτόν. αὐτὸς ἀναγγελεῖ σοι, τί ἔσται τῷ παιδίῳ. καὶ ἐποίησεν οὕτω γυνὴ Ἱεροβοὰμ, καὶ ἀναστᾶσα καὶ ἐπορεύθη εἰς Σηλὼ, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ἀχιά. καὶ ὁ ἄνθρωπος προεβέβητο τὴν ἡλικίαν, καὶ ἠμβλυώπησαν οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ τοῦ γήρους αὐτοῦ. καὶ εἶπε Κυρίῳ πρὸς Ἀχιά· ἰδοὺ γυνὴ Ἱεροβοὰμ εἰσέρχεται, τοῦ ἐπερωτῆσαι ῥῆμα παρὰ σοῦ ὧδε ὧδε ἕνα αὐτῇ, ὅτι ἀῤῥωστός ἐστι. κατὰ τοῦτο, καὶ κατὰ ταῦτα, λαλήσεις πρὸς αὐτήν· καὶ ἐγένετο ὡς εἰσήρχετο ἐν τῷ εἰσέρχεσθαι αὐτὴν, καὶ αὕτη ἀπεξενώθη. καὶ ἐγένετο ὡς ἤκουσεν Ἀχιὰ τὴν φωνὴν ποδῶν αὐτῆς, εἰσερχομένης αὐτῆς ἐν τῷ ἀποίγματι, καὶ εἶπεν· εἴσελθε γυνὴ Ἱεροβοὰμ, ἵνατί ταῦτα σὺ ἀπεξενοῦσαι; καὶ ἐγὼ εἰμὶ ἀπόστολος πρὸς σὲ σκληρός. πορεύθεισα, εἰπὸν τῷ Ἱεροβοὰμ· τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ· ἀνθ' οὗ ὕψωσά σε ἀπὸ μέσου τοῦ λαοῦ, καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαὸν Ἰσραὴλ, καὶ ἔῤῥηξα τὸ βασίλειον ἀπὸ οἴκου Δαβὶδ, καὶ ἔδωκα αὐτὸ σοί, καὶ οὐκ ἐγένου ὡς δοῦλός μου Δαβὶδ, ὃς ἐφύλαξε τὰς ἐντολάς μου, καὶ ὃς ἐπορεύθη ὀπίσω μου ἐν πάσῃ καρδίᾳ αὐτοῦ, τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου, καὶ ἐπονηρεύσω τοῦ ποιῆσαι παρὰ πάντας ὅσοι ἐγένοντο ἔμπροσθέν σου, καὶ ἐπορεύθης καὶ ἐποίησας σεαυτῷ θεοὺς ἑτέρους, καὶ χωνευτὰ τοῦ παροργίσαι με, καὶ ἐμὲ ἔῤῥιψας ὀπίσω σου. διὰ τοῦτο ἰδοὺ ἐγὼ ἄγω κακίαν πρὸς οἶκον Ἱεροβοὰμ, καὶ ἐξολεθρεύσω Ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον, ἐπεχόμενον καὶ καταλελειμμένον ἐν Ἰσραήλ. καὶ ἐκκαθαριῶ Ἱεροβοὰμ, καθὼς ἐκκαθαίρεται ἡ κόπρος ἕως τελειωθῇ πᾶσα αὐτήν. τὸν τεθνηκότα τοῦ Ἱεροβοὰμ ἐν τῇ πόλει καταφάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι Κύριος ἐλάλησε. καὶ σὺ ἀνάστα, πορεύθητι εἰς οἶκόν σου, ἐν τῷ εἰσέρχεσθαι πόδας σου τὴν πόλιν ἀποθανεῖται τὸ παιδάριον, καὶ κόψονται αὐτὸν πᾶς Ἰσραήλ, καὶ θάψουσιν αὐτόν, ὅτι οὗτος μόνος εἰσελεύσεται τοῦ Ἱεροβοὰμ πρὸς τάφον, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα καλὸν, πρὸ τοῦ Κυρίου θεοῦ Ἰσραὴλ ἐν οἴκῳ Ἱεροβοὰμ. καὶ ἀναστήσει Κύριος ἑαυτῷ βασιλέα ἐπὶ Ἰσραήλ, ὃς πλήξει τὸν οἶκον Ἱεροβοὰμ ταύτην τὴν ἡμέραν. καὶ ἔτι, καὶ γε νῦν πλήξει Κύριος τὸν Ἰσραὴλ καθὰ κινεῖται ὁ κάλαμος ἐν τῷ ὕδατι. καὶ ἐκριζώσει τὸν Ἰσραὴλ ἀπὸ ἄνω τῆς χθονὸς τῆς ἀγαθῆς ταύτης, ἣν ἔδωκε τοῖς πατράσιν αὐτῶν, καὶ λικμήσει αὐτοὺς ἀπὸ πέραν τοῦ ποταμοῦ, ἀνθ' ὧν ὅσον ἐποίησαν τὰ ἄλση αὐτῶν παροργίζοντες τὸν Κύριον. καὶ δώσει Κύριος τὸν Ἰσραὴλ χάριν ἁμαρτιῶν Ἱεροβοὰμ, ὃς ἥμαρτε καὶ ὃς ἐξήμαρτεν Ἰσραήλ. καὶ ἀνέστη γυνὴ Ἱεροβοὰμ, καὶ ἐπορεύθη εἰς Θερσά. καὶ ἐγένετο ὡς εἰσῆλθεν ἐν τῷ πυθύρῳ τῆς οἰκίας, καὶ τὸ παιδάριον ἀπέθανε, καὶ ἔθαψαν αὐτό, καὶ ἐκόψαντο αὐτὸ πᾶς Ἰσραὴλ κατὰ τὸ ῥῆμα Κυρίου ὃ

ἐλάλησεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ελαλησεν γὰρ χειλει σλεου αὐτου ἀχιὰ τοῦ προφητου. καὶ πολιοσὸν ῥῆμα τῷ ἱεροβοαμ ὅσα ἐπολιμησε τὴν οἶκα ἐβασιλευσεν, ἰσλὰ αὐτὰ γεγραμμενα ἐπὶ βιβλίου ῥημάτων τῶν ἡμερῶν τῶν βασιλεων ἰσραὴλ. καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσεν ἱεροβοαμ εἴκοσι τὴν δύο ἔτη, καὶ ἐκοιμήθη μετὰ τῶν πατέρων αὐτου, καὶ ἐβασίλευσεν ἀσλαὶ υἱὸς αὐτου αὐτ' αὐτου. καὶ ῥοβοαμ υἱὸς σολομῶντος ἐβασίλευσεν ἰὼδὴ ἰούδαν, ὑὸς τεσσαρακοντα καὶ ἑνὸς χρονου τῷ ῥοβοαμ, γὰρ τοῦ βασιλεῦσαι αὐτόν, καὶ ἑπτακαίδεκα ἔτη ἐβασίλευσεν γὰρ ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελέξατο κύριος θεὸς ἀπὸ πασῶν φυλῶν ἰσραὴλ. καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτου νααμὰ ἡ ἀμμανίτης. καὶ ἐποίησεν ῥοβοαμ τὸ πονηρὸν γὼπιον κυρίου, καὶ παρεζήλωσεν αὐτὸν γὰρ ταῖς ἁμαρτίαις οἷς παρεζήλωσαν οἱ πατέρες αὐτου, καὶ γὰρ ταῖς ἁμαρτίαις αὐτῶν ἃς ἥμαρτον. καὶ ᾠκοδόμησαν κὴ αὐτοὶ ἑαυτοῖς ὑψηλὰ καὶ στήλας καὶ ἄλση ἐπὶ παντα βουνὸν ὑψηλὸν, καὶ ὑπὸ δρυὸν κοιλοτητα πανὸς ξύλου συσκίου. καὶ συνδεσμος ἐγενήθη γὰρ τῇ γῇ, καὶ ἐποίησαν κατὰ πάντων τῶν βδελυγμάτων τῶν ἐθνῶν, ὧν ἐξῆρε κύριος κατὰ προσώπου υἱῶν ἰσραὴλ. καὶ ἐγένετο γὰρ τῷ ἐνιαυτῷ τῷ τεσσαρεσκαιδεκάτῳ βασιλεύοντος ῥοβοαμ, ἀνέβη σουσακὶμ βασιλεὺς αἰγύπτου ἐπὶ ἱερουσαλὴμ, καὶ ἔλαβε πάντας οὺς θησαυροὺς οἴκου κυρίου καὶ οὺς θησαυροὺς οἴκου τοῦ βασιλέως, καὶ σύρατα τὰ χρυσᾶ ἃ ἐποίησε σολομὼν ἐν χειρὸς τοῦ παιδὸς αὐτου ἀδραζὰρ βασιλέως σουβᾶ, καὶ εἰσῆνεγκεν αὐτὰ εἰς ἱερουσαλὴμ, τὰ πάντα ἃ ἔλαβεν ὅπλα τὰ χρυσᾶ ὅσα ἐποίησε σολομὼν, καὶ ἀπῆνεγκεν αὐτὰ εἰς αἴγυπτον, καὶ ἐποίησεν ῥοβοαμ ὁ βασιλεὺς ὅπλα χαλκᾶ αὐτ' αὐτῶν, καὶ ἐπέθηκεν ἐπ' αὐτὰ οἱ ἡγούμενοι τῶν παρατρεχόντων οἱ φυλάσσοντες τὸν πυλῶνα οἴκου τοῦ βασιλέως. καὶ ἐγένετο ὅτε εἰσεπορεύετο ὁ βασιλεὺς εἰς οἶκον κυρίου, καὶ ἦρον αὐτὰ οἱ παρατρέχοντες, καὶ ἐπορεύοντο αὐτὰ εἰς τὸ θεὶ τῶν παρατρεχόντων. καὶ τὰ λοιπὰ τῶν λόγων ῥοβοαμ, καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ πόλεμος ἦν ἀνὰ μέσον ἱεροβοαμ πάσας τὰς ἡμέρας. καὶ ἐκοιμήθη ῥοβοαμ μετὰ τῶν πατέρων αὐτου, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν ἀβιὰ ὁ υἱὸς αὐτοῦ αὐτ' αὐτοῦ.

ΚΕΦΑΛ. ιε. 15.

ΚΑΙ γὰρ τῷ ὀγδόῳ καὶ δεκάτῳ ἔτει βασιλεύοντος ἱεροβοαμ υἱοῦ ναβὰτ, βασιλεύει ἀβιοὺ υἱὸς ῥοβοαμ ἐπὶ ἰούδα, καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ ἱερουσαλὴμ. καὶ ὄνομα τῆς μητρὸς αὐτου μααχὰ, θυγατηρ ἀβεσαλὼμ, καὶ ἐπορεύθη γὰρ ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτου, αἷς ἐποίησεν γὼπιον αὐτου. καὶ οὐκ ἦν ἡ καρδία αὐτου τελεία μετὰ κυρίου θεοῦ αὐτου, ὡς ἡ καρδία δαβὶδ τοῦ πατρὸς αὐτου, ὅτι δαβὶδ ἐποίησεν εὐθὲς κατὰ πάντα ὃ ἐνετείλατο αὐτῷ κύριος ὁ θεὸς κατὰ πᾶν τὸ λειμμα γὰρ ἱερουσαλὴμ, ἵνα στήσῃ τὰ τέκνα αὐτου μετ' αὐτόν. καὶ στήσει τὴν ἱερουσαλὴμ, ὡς ἐποίησε δαβὶδ τὸν δύδεκα γὼπιον κυρίου, οὐκ ἐξέκλινεν ἀπὸ παντων ὧν ἐνετείλατο αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτου, ἐκτὸς γὰρ ῥήματος ἀρείου τοῦ χετταίου. καὶ πόλεμος ἦν μεταξὺ ῥοβοαμ, καὶ μεταξὺ ἱεροβοαμ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτου. καὶ τὰ λοιπὰ τῶν λόγων ἀβιὰ, καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ πόλεμος ἦν ἀνὰ μέσον ἀβιὰ, καὶ ἀνὰ μέσον ἱεροβοαμ. καὶ ἐκοιμήθη ἀβιὰ μετὰ τῶν πατέρων αὐτου, γὰρ τῷ εἰκοστῷ ἔτει τοῦ ἱεροβοαμ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτου γὰρ πόλει δαβίδ, καὶ βασιλεύει ἀσὰ ὁ υἱὸς αὐτου αὐτ' αὐτ'. καὶ γὰρ ἔτει εἰκοστῷ τοῦ ἱεροβοαμ βασιλέως ἰσραὴλ, βασιλεύει ἀσὰ ἐπὶ ἰούδα, καὶ τεσσαρακοντα καὶ ἓν ἔτος ἐβασίλευσεν γὰρ ἱερουσαλὴμ, καὶ ὄνομα τῇ μητρὸς αὐτου αὐνὰ, θυγατηρ ἀβεσαλώμ. καὶ ἐποίησεν ἀσὰ τὸ δύδεκα γὼπιον κυρίου, ὡς δαβὶδ ὁ πατὴρ αὐτου, καὶ ἀφεῖλε τὰς τελετὰς ἀπὸ τῆς γῆς, καὶ ἐξαπέστειλε παντα τὰ ἐνθυμήματα ἃ ἐποίησαν οἱ πατέρες αὐτου. καὶ τὴν αὐνὰ τὴν μητέρα ἑαυτοῦ μετέστησε τοῦ μὴ εἶναι ἡγεμόνα, διαθὼς ἐποίησε σωσόλομ γὰρ τῷ ἄλσει αὐτῆς. καὶ ἐξέκοψεν ἀσὰ τὰς διαπαλύσεις αὐτῆς, καὶ γὰρ ἔπρησε πυρὶ γὰρ χειμάρρῳ τῷ κιδρὼν, τὰ δὲ ὑψηλὰ οὐκ ἐξῆρε, πλὴν ἡ καρδία ἀσὰ ἦν τελεία μετὰ κυρίου πάσας τὰς ἡμέρας αὐτου. καὶ εἰσήνεγκε οὺς λίονας τοῦ πατρὸς αὐτοῦ, καὶ οὺς λίονας αὐτοῦ εἰσήνεγκεν εἰς τὸν οἶκον κυρίου ἀργυροῦς, καὶ χρυσοῦς καὶ σκεύη. καὶ πόλεμος ἦν ἀνὰ μέσον ἀσὰ, καὶ ἀνὰ μέσον βαασὰ βασιλέως ἰσραὴλ πάσας τὰς ἡμέρας αὐτῶν. καὶ ἀνέβη βαασὰ βασιλεὺς ἰσραὴλ ἐπὶ ἰούδαν, καὶ ᾠκοδόμησε τὴν ῥαμὰ, τοῦ μὴ εἶναι ἐκπορευόμενον καὶ εἰσπορευόμενον γὰρ ἀσὰ βασιλεῖ ἰούδα. καὶ ἔλαβεν ἀσὰ σύμπαν τὸ ἀργύριον, καὶ τὸ χρυσίον τὸ εὑρεθὲν γὰρ θησαυροῖς οἴκου κυρίου, καὶ γὰρ τοῖς θησαυροῖς τοῦ οἴκου τοῦ βασιλέως, καὶ ἐδώκεν αὐτὰ εἰς χεῖρας παίδων αὐτοῦ, καὶ ἐξαπέστειλεν αὐτοὺς ὁ βασιλεὺς ἀσὰ πρὸς υἱὸν ἄδερ, υἱὸν ταβερεμμὼν υἱὸς ἀζαὴλ βασιλέως συρίας τοῦ κατοικοῦντος γὰρ δαμασκῷ, λέγων· διαθὴκη διαθήκην αὐὰ μέσον ἐμοῦ, καὶ αὐὰ μέσον σοῦ, καὶ αὐὰ μέσον τοῦ πατρός μου, καὶ τοῦ πατρός σου. ἰδοὺ ἐξαπέσταλκά σοι δῶρα ἀργύριον καὶ χρυσίον, δεῦρο διάσκέδασον τὴν διαθήκην σου τῆς πρὸς βαασὰ βασιλέα ἰσραὴλ, καὶ ἀναβήσεται ἀπ' ἐμοῦ. καὶ ἤκουσεν υἱὸς ἄδερ τοῦ βασιλέως ἀσὰ, καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῶν δυνάμεων αὐτοῦ ταῖς πόλεσι τοῦ ἰσραὴλ, καὶ ἐπάταξε τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῶν, καὶ τῶν ἀδελφῶν, καὶ τῶν ἀδελφῶν οἴκου μαασὰ, καὶ πᾶσαν τὴν χωνδρεθ, ἕως πάσης φυγῆς νε φελεμ. καὶ ἐγκόπτω ὡς ἔκαστε Βαασὰ, καὶ διέλιπε τοῦ οἰκοδομεῖν τὴν ῥαμὰ, καὶ αὐτὸς ἐγένετο εἰς θερσά. καὶ ὁ Βασιλεὺς ἀσὰ πᾶν ὑπήγγειλε παντὶ ἰούδα εἰς οὐδένα, καὶ ἄραται τοὺς λίθους φῆ ῥαμὰ, καὶ τὰ ξύλα αὐτῆ ἃ ᾠκοδόμησε Βαασὰ, καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς ὁ Βασιλεὺς ἀσὰ πόλεις Βενιαμὶν, καὶ τὴν σκοπιάν. καὶ τὰ λοιπὰ τῶν λόγων ἀσὰ, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, καὶ πάντα ἃ ἐποίησε, καὶ τὰς πόλεις ἃς ᾠκοδόμησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς Βασιλεῦσιν ἰούδα; πλὴν ἐν καιρῷ τοῦ γήρους αὐτοῦ, ἐπόνεσε τοὺς πόδας αὐτοῦ. καὶ ἐκοιμήθη ἀσὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαβὶδ πατρὸς αὐτοῦ, καὶ Βασιλεύει ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ναβατὰτ υἱὸς ἱεροβοὰμ Βασιλεύει ἐπὶ ἰσραὴλ, ἐν ἔτει δευτέρῳ τοῦ ἀσὰ Βασιλέως ἰούδα, καὶ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ ἔτη δύο, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ τοῦ πατρὸς αὐτοῦ, καὶ ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἐξήμαρτε τὸν ἰσραὴλ, καὶ ἐπανέστησεν αὐτῷ βαασὰ υἱὸς ἀχιὰ ἐπὶ τὸν οἶκον βιελαὼ ἐξ ἀκιὰ, καὶ ἐπάταξεν αὐτὸν ἐν γαβαθὼν τῆ τῶν ἀλλοφύλων, καὶ ναδὰτ, καὶ πᾶς ἰσραὴλ πολιορκοῦσιν ἐπὶ γαβαθὼν, καὶ ἐβασίλευσεν αὐτὸν βαασὰ ἐν ἔτει τρίτῳ τοῦ ἀσὰ ἐξ ἀκιὰ Βασιλέως ἰούδα, καὶ ἐβασίλευσεν αὐτὸν αὐτοῦ. καὶ ἐγένετο ὡς ἐβασίλευσεν, καὶ ἐπάταξε ὅλον τὸν οἶκον ἱεροβοὰμ, καὶ οὐκ ἐκατέλιπε πᾶσαν πνοὴν τοῦ ἱεροβοὰμ, ἕως τοῦ ἐξολοθρεῦσαι αὐτὸν, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ ἀκιὰ τοῦ σηλωνίτου, διὰ τὰς ἁμαρτίας ἱεροβοὰμ, ὃς ἐξήμαρτε τὸν ἰσραὴλ, καὶ ἐν τῷ παροργισμῷ αὐτοῦ ᾧ παρώργισε τὸν κύριον θεὸν τοῦ ἰσραὴλ. καὶ τὰ λοιπὰ τῶν λόγων ναδὰτ, καὶ πάντα ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς Βασιλεῦσιν ἰσραὴλ;

ΚΕΦΑΛ. ις'. ιϛ.

Καὶ ἐν ἔτει τρίτῳ τοῦ ἀσὰ Βασιλέως ἰούδα, Βασιλεύει βαασὰ υἱὸς ἀχιὰ ἐπὶ πάντα ἰσραὴλ ἐν θερσᾶ, εἰκοσι καὶ τέσσαρα ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ ἱεροβοὰμ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἐξήμαρτε τὸν ἰσραὴλ. καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ ἰηοῦ υἱοῦ ἀνανὶ πρὸς βαασὰ λέγων· ἀνθ' ὧν ὕψωσά σε ἀπὸ γῆς, καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαόν μου ἰσραὴλ, καὶ ἐπορεύθης ἐν τῇ ὁδῷ ἱεροβοὰμ, καὶ ἐξήμαρτον τὸν λαόν μου τὸν ἰσραὴλ τοῦ παροργίσαι με ἐν ταῖς ματαίοις αὐτῶν, ἰδοὺ ἐγὼ ἐξεγείρω ὀπίσω βαασὰ, καὶ ὀπίσω τοῦ οἴκου αὐτοῦ, καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον ἱεροβοὰμ υἱοῦ ναβάτ. τὸν τεθνηκότα τοῦ βαασὰ ἐν τῇ πόλει καταφαγονται αὐτὸν οἱ κύνες, καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τοῖς πεδίοις καταφαγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ τὰ λοιπὰ τῶν λόγων βαασὰ, καὶ πάντα ἃ ἐποίησε, καὶ αἱ δυναστεῖαι αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραὴλ; καὶ ἐκοιμήθη βαασὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν θερσᾶ, καὶ βασιλεύει ηλὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. ἐν ἔτει εἰκοστῷ καὶ ὀγδόῳ τοῦ ἀσὰ βασιλέως ἰούδα, καὶ ἐν χειρὶ ἰοὺ, υἱοῦ ἀνανὶ τοῦ προφήτου, ἐλάλησε κυρίῳ ἐπὶ βαασὰ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ, πᾶσαν τὴν κακίαν, ἣν ἐποίησεν ἐνώπιον κυρίου, τοῦ παροργίσαι αὐτὸν ἐν τοῖς ὀργίοις τῶν χειρῶν αὐτοῦ, τοῦ εἶναι αὐτὸν κατὰ τὸν οἶκον ἱεροβοὰμ, καὶ ὅτι τοῦ πατάξαι αὐτόν. καὶ ηλὰ υἱὸς βαασὰ, ἐβασίλευσεν ἐπὶ τὸν ἰσραὴλ δύο ἔτη ἐν θερσᾶ, καὶ συνέστρεψεν ἐφ' ἑαυτὸν οἶκον παῖδίσας αὐτοῦ, καὶ ζαμβρὶ ὁ ἄρχων ἥμισυς ἅρματος ἵππου, καὶ αὐτὸς ἦν ἐν θερσᾶ πίνων, μεθύων ἐν τῷ οἴκῳ ὡσᾶ τοῦ οἰκονόμου ἐν θερσᾶ. καὶ εἰσῆλθε ζαμβρὶ, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἐβασίλευσεν αὐθ' αὑτοῦ. καὶ ἐγένετο ἐν τῷ βασιλεῦσαι αὐτὸν ἐν τῷ καθίσαι αὐτὸν ἐπὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐπάταξεν ὅλον τὸν οἶκον βαασὰ κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ἐπὶ τὸν οἶκον βαασὰ καὶ πᾶς ἡλιοὺ τὸν προφήτην, διὰ πασῶν τῶν ἁμαρτιῶν βαασὰ, καὶ ηλὰ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἐξήμαρτον τὸν ἰσραὴλ τοῦ παροργίσαι κύριον τὸν θεὸν ἰσραὴλ ἐν τοῖς ματαίοις αὐτῶν. καὶ τὰ λοιπὰ τῶν λόγων ηλὰ, καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν Βασιλέων ἰσραὴλ; ζαμβρὶ ἐβασίλευσεν ἐν θερσᾶ ἡμέρας ἑπτά. καὶ ἡ παρεμβολὴ ἰσραὴλ ἦν γαβαθὼν τὴν τῶν ἀλλοφύλων, καὶ ἤκουσεν ὁ λαὸς ἐν τῇ παρεμβολῇ λεγόντων· συνεστραφη ζαμβρὶ καὶ ἐπαισε τὸν βασιλέα, καὶ ἐβασίλευσεν ἐν ἡμέρᾳ ἐκείνῃ ἐν τῇ παρεμβολῇ. καὶ ἀνέβη ζαμβρὶ καὶ πᾶς ἰσραὴλ μετ' αὐτοῦ ἐκ γαβαθὼν, καὶ πολιορκοῦσιν ἐπὶ θερσᾶ. καὶ ἐγένετο ὡς εἶδε ζαμβρὶ, ὅτι προκατελήμφθη αὐτοῦ ἡ πόλις, καὶ εἰσπορεύεται εἰς ἄντρον τοῦ οἴκου βασιλέως, καὶ ἐνεπύρισεν ἐπ' αὐτὸν τὸν οἶκον τοῦ βασιλέως ἐν πυρὶ, καὶ ἀπέθανεν ἕνεκεν τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐποίησε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, τοῦ πορευθῆναι ἐν ὁδῷ ἱεροβοὰμ υἱοῦ ναβὰτ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἐποίησεν, ὡς ἐξήμαρτε τὸν ἰσραὴλ. καὶ τὰ λοιπὰ τῶν λόγων ζαμβρὶ καὶ τὰς συναγωγὰς αὐτοῦ ἃς συνῆγεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν Βασιλέων ἰσραὴλ; τότε μερίζεται ὁ λαὸς ἰσραὴλ. τὸ ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω θαμνὶ υἱοῦ γωναθ τοῦ Βασιλεῦσαι αὐτόν, καὶ τὸ ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω ζαμβρὶ, ὁ λαὸς ὁ ὢν ὀπίσω ζαμβρὶ, ὑπερεκράτησε τοῦ λαοῦ τοῦ ὀπί-

σω

σω θαμνὶ υἱῶν γωνάδ, καὶ ἀπέθανε θαμνὶ καὶ ἐωρᾶμ ὁ ἀδελφὸς αὐτ̃ ἀντ̃ αὐτ̃ ἐκείνου. καὶ ἐβα
σίλευσε ζαμβρὶ μετὰ θαμνὶ, ἐν τῷ ἔτει τῷ τριακοστῷ καὶ πρώτῳ τ̃ βασιλέως ἀσὰ, βασιλεύει
ζαμβρὶ ἐπὶ ἰσραὴλ σιδώνια ἔτη, ἐν θερσᾶ βασιλεύει ἓξ ἔτη. καὶ ἐκτίσατο ζαμβρὶ τὸ ὄρ⊙ τὸ
σεμορών, παρὰ σεμμὴρ τοῦ κυρίου τοῦ ὄρους σίνα παλαιτῶν ἀργυρίου. καὶ ὠκοδόμησε τὸ ὄρος,
καὶ ἐπωνόμασε τὸ ὄνομα τοῦ ὄρους οὗ ὠκοδόμησεν ὧδε τοῦ ὀνόματι σεμμὴρ τοῦ κυρίου, τοῦ ὄρους
σεμηρών. καὶ ἐποίησε ζαμβρὶ τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας
τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ, καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ ἱεροβοὰμ υἱοῦ ναβὰτ, καὶ ἐν ταῖς
ἁμαρτίαις αὐτοῦ αἷς ἥμαρτε τὸν ἰσραὴλ, τοῦ παροργίσαι τὸν κύριον θεὸν ἰσραὴλ ἐν τοῖς μα
ταίοις αὐτῶν. καὶ τὰ λοιπὰ τῶν λόγων ζαμβρὶ, καὶ πάντα ἃ ἐποίησε, καὶ πᾶσα ἡ δυναστεία
αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραὴλ καὶ
ἐκοιμήθη ζαμβρὶ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται ἐν σαμαρείᾳ, καὶ βασιλεύει ἀχαὰβ
ὁ υἱὸς αὐτοῦ ἀντ̃ αὐτοῦ. ὁ δὲ ἀχαὰβ υἱὸς ζαμβρὶ, ἐβασίλευσεν ἐπὶ ἰσραὴλ ἐν ἔτει τριακοστῷ καὶ
ὀγδόῳ τοῦ ἀσὰ βασιλέως ἰούδα. βασιλεύει δὲ ἀχαὰβ υἱὸς ζαμβρὶ ἐπὶ ἰσραήλ. καὶ ἐν τοῦ ἐ-
νιαυτῷ τοῦ ὀγδοηκοστῷ τοῦ ζαμβρὶ, βασιλεύει ἰωσαφὰτ υἱὸς ἀσὰ ἐτῶν τριακοντα καὶ πέντε
ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ εἴκοσι ἓξ ἔτη ἐβασίλευσεν ἐν ἰερουσαλήμ. καὶ ὄνομα τ̃ μητρὸς
αὐτοῦ γαζουβᾶ, θυγάτηρ σιλεί. καὶ ἐπορεύθη ἐν τῇ ὁδῷ ἀσὰ τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἐξέ-
κλινεν ἀπ̃ αὐτοῦ τοῦ ποιεῖν τὸ εὐθὲς ἐνώπιον κυρίου, πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν. ἔθυεν ἐν τοῖς
ὑψηλοῖς, καὶ ἐθυμία. καὶ ἀπεστείλατο ἰωσαφὰτ μετὰ βασιλέως ἰσραὴλ, καὶ πᾶσα ἡ δυναστεία
αὐτοῦ ἣν ἐποίησε, καὶ οὓς ἐπολέμησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡ-
μερῶν τῶν βασιλέων ἰούδα; καὶ τὰ λοιπὰ τῶν συμπλοκῶν ἃς ἦν ἐν ταῖς ἡμέραις ἀσὰ τοῦ πα-
τρὸς αὐτοῦ, ἦρξεν ἀπὸ γῆς. καὶ βασιλεὺς οὐκ ἦν ἐν συρίᾳ νασήβ. καὶ ὁ βασιλεὺς ἰωσαφὰτ
ἐποίησε ναῦν, εἰς θαρσεῖς πορεύεσθαι εἰς σωφειρὰ ἐπὶ τὸ χρυσίον, καὶ οὐκ ἐπορεύθη, ὅτι συνετρί
βη ναῦς ἐν γασιὼν γαβέ. τότε εἶπεν ὁ βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφάτ· ἐξαποστελῶ σοὺ παῦ
σαι μετὰ τῶν παίδων ἐν τῇ νηΐ, καὶ οὐκ ἠβούλήθη ἰωσαφάτ. καὶ ἐκοιμήθη ἰωσαφὰτ μετὰ
τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει δαβὶδ, καὶ ἐβασίλευσεν
ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ̃ αὐτοῦ. ἐν ἔτει δευτέρῳ τοῦ ἰωσαφὰτ βασιλέως ἰούδα, ἀχαὰβ υἱὸς ζαμ
βρὶ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ ἐν σαμαρείᾳ, εἴκοσι καὶ δύο ἔτη. καὶ ἐποίησεν ἀχαὰβ τὸ πονηρὸν
ἐνώπιον κυρίου, καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας οὓς ἔμπροσθεν αὐτοῦ. καὶ οὐκ ἦν αὐτῷ ἱκα-
νὸν τοῦ πορεύεσθαι ἐν ταῖς ἁμαρτίαις ἱεροβοὰμ υἱοῦ ναβάτ. καὶ ἔλαβε γυναῖκα τὴν ἰεζαβὴλ
θυγατέρα ἐθεβαὰλ βασιλέως σιδωνίων, καὶ ἐπορεύθη καὶ ἐδούλευσε τῷ βαὰλ, καὶ προ-
σεκύνησεν αὐτῷ, καὶ ἔστησε θυσιαστήριον τῷ βαὰλ ἐν οἴκῳ τῷ προσχυσμάτων αὐτ̃, οὗ ὠκο-
δόμησεν ἐν σαμαρείᾳ. ⊡ ἐποίησεν ἀχαὰβ ἄλσ⊙, καὶ προσέθηκεν ἀχαὰβ τ̃ ποιῆσαι παροργί
σματα, τοῦ παροργίσαι τὸν κύριον θεὸν τοῦ ἰσραὴλ, καὶ τῇ ψυχῇ αὐτοῦ τοῦ ἐξολοθρεῦσαι
ἐκακοποίησεν ὑπὲρ πάντας οὓς βασιλεῖς οὓς γενομένους ἔμπροσθεν αὐτ̃. καὶ ἐν ταῖς ἡμέραις
αὐτοῦ ᾠκοδόμησεν ἀχιὴλ ὁ βεθηλίτης τὴν ἱεριχώ, ἐν τῷ ἀβειρὰμ πρωτοτόκῳ αὐτ̃ ἐθεμελίω-
σεν αὐτήν, καὶ τῷ σεγοὺβ τῷ νεωτέρῳ αὐτοῦ ἐπέστησε τὰς θύρας αὐτῆς, κατὰ τὸ ῥῆμα κυ-
ρίου ὃ ἐλάλησεν ἐν χειρὶ ἰησοῦ υἱοῦ ναυῆ.

ΚΕΦΑΛ. ιζ'. 17.

ΚΑΙ εἶπεν ηλιοὺ ὁ προφήτης ὁ ἐκ θεσβῶν τῆς γαλαὰδ πρὸς ἀχαὰβ· ζῇ κύριος ὁ θεὸς
τῶν δυνάμεων ὁ θεὸς ἰσραὴλ ᾧ παρέστηκα ἐνώπιον αὐτοῦ, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος
καὶ ὑετὸς, ὅτι εἰμὶ λόγος στόματ⊙ μου. καὶ ἐγένε⊙ ῥῆμα κυρίου πρὸς ηλιού· πορεύου ἐνθεν
ἐνθ̃ καὶ κατὰ ἀνατολάς, καὶ κρύβηθι ἐν τῷ χειμαῤῥώῳ χορὰθ τοῦ ἐστὶ πρόσωπον τ̃ ἰορδάνου. καὶ
ἔσται, ἐκ τ̃ χειμαῤῥώου πίεσαι ὕδωρ, καὶ τοῖς κόραξιν ἐντελοῦμαι διαθρέψαι σε ἐκεῖ. καὶ ἐπο-
ρεύθη ηλιὰ κατὰ τὸ ῥῆμα κυρίου, καὶ ἐκαθίσθη ἐν τῷ χειμαῤῥώῳ χορὰθ ἐπὶ προσώπου τ̃ ἰορδάνου,
καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους τοπρωΐ, καὶ κρέας τὸ δειλινὸν, καὶ ἐκ τ̃ χειμαῤῥώου ἔ-
πινεν ὕδωρ. καὶ ἐγένε⊙ μεθ' ἡμέρας, καὶ ἐξηράνθη ὁ χειμαῤῥώους, ὅτι οὐκ ἐγένε⊙ ὑετὸς ἐπὶ τ̃
γῆς. καὶ ἐγένε⊙ ῥῆμα κυρίου πρὸς ηλιού· ἀνάστηθι, καὶ πορεύθητι εἰς σαρεφθὰ τῆς σιδωνίας. ἰ-
δοὺ γὰρ ἐτέταλμαι ἐκεῖ γυναικὶ χήρᾳ τ̃ διατρέφειν σε. καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς σαρεφθὰ, καὶ
ἦλθεν εἰς τὸν πυλῶνα τῆς πόλεως. καὶ ἰδοὺ ἐκεῖ γυνὴ χήρα συνέλεγε ξύλα, καὶ ἐβόησεν ὀπί-
σω αὐτῆς ηλιού. καὶ εἶπεν αὐτῇ· λαβὲ δή μοι ὀλίγον ὕδωρ εἰς ἄγ⊙, καὶ πίομαι· καὶ ἐπορεύ-
θη λαβεῖν. καὶ ἐβόησεν ὀπίσω αὐτῆς ηλιού, καὶ εἶπεν αὐτῇ· λάβε δή μοι καὶ ψωμὸν ἄρτου ἐν
τῇ χειρί σου, καὶ φάγομαι. καὶ εἶπεν ἡ γυνή· ζῇ κύριός ⊙ θεός σου εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ'
ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καψάκῃ. καὶ ἰδοὺ ἐγὼ συλλέγω
δύο ξυλαρια, καὶ εἰσελεύσομαι καὶ ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου· καὶ φαγόμε-
θα, καὶ ἀποθανούμεθα. καὶ εἶπεν πρὸς αὐτὴν ηλιού· θάρσει, εἰσελθὲ καὶ ποίησον κατὰ τὸ ῥῆ
μά σου, πλὰ ποίησόν μοι ἐγκρυφίαν μικρὸν ἐκεῖθεν, καὶ ἔξοισεις μοι ἐν πρώτοις, σαυτῇ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

καὶ τοῖς τέκνοις σε ποιήσεις ἐνώπιον ἐμοῦ, ὅτι τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ· ἡ οὐσία τοῦ ἀλοῦρε οὐκ ἐκλείψει, καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει, ἕως ἡμέρας τοῦ δοῦναι Κύριον ὑετὸν ἐπὶ τῆς γῆς. καὶ ἐπορεύθη ἡ γυνή, καὶ ἐποίησεν κατὰ τὸ ῥῆμα Ἠλιοὺ, καὶ ἔφαγον αὐτὸς, καὶ ἔδωκαν αὐτῷ, καὶ αὐτῇ, καὶ αὐτοῖς, καὶ τὰ τέκνα αὐτῆς. καὶ ἡ οὐσία τοῦ ἀλοῦρου οὐκ ἐκλείψει, καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήθη, κατὰ τὸ ῥῆμα Κυρίου ὃ ἐλάλησεν ἐν χειρὶ Ἠλιού. καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἠρρώστησεν ὁ υἱὸς τῆς γυναικὸς τῆς Κυρίας τοῦ οἴκου, καὶ ἦν ἡ ἀῤῥωστία αὐτοῦ σφοδρὰ, ἕως οὗ οὐκ ἐγκατελείφθη ἐν αὐτῷ πνεῦμα. καὶ εἶπε πρὸς Ἠλιού· τί ἐμοὶ καὶ σοὶ ἄνθρωπε τοῦ θεοῦ, εἰσῆλθες πρός με τοῦ ἀναμνῆσαι τὰς ἀδικίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου; καὶ εἶπεν Ἠλιού πρὸς τὴν γυναῖκα· δός μοι τὸν υἱόν σου. καὶ ἔλαβεν αὐτὸν ἐκ τοῦ κόλπου αὐτῆς, καὶ ἀνέβη αὐτὸν εἰς τὸ ὑπερῷον ἐν ᾧ αὐτὸς ἐκάθητο ἐκεῖ, καὶ ἐκοίμισεν αὐτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ, καὶ ἀπέδοσεν Ἠλιού, καὶ εἶπεν· οἴμοι Κύριε ὁ θεός μου, μὴ καὶ τὴν χήραν μετ' ἐμοῦ κατοικοῦσαν μετ' αὐτῆς, συνεκάκωσας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς; καὶ ἐνεφύσησε τρὶς εἰς τὸ παιδάριον τρίς, καὶ ἐπεκαλέσατο τὸν Κύριον καὶ εἶπε· Κύριε ὁ θεός μου, ἐπιστραφήτω δὴ ἡ ψυχὴ τοῦ παιδαρίου τούτου εἰς αὐτόν. καὶ ἐγένετο οὕτως, καὶ ἀνέβησε τὸ παιδάριον, καὶ κατήγαγεν αὐτὸ ἀπὸ τοῦ ὑπερῴου εἰς τὸν οἶκον, καὶ ἔδωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ. καὶ εἶπεν Ἠλιού· βλέπε, ζῇ ὁ υἱός σου. καὶ εἶπεν ἡ γυνὴ πρὸς Ἠλιού· ἐν τούτῳ ἔγνωκα, ὅτι ἄνθρωπος τοῦ θεοῦ εἶ σύ, καὶ ῥῆμα Κυρίου ἐν τῷ στόματί σου ἀληθινόν.

ΚΕΦΑΛ. ιη'. 18.

Καὶ ἐγένετο μετὰ ἡμέρας πολλὰς, καὶ ῥῆμα Κυρίου ἐγένετο πρὸς Ἠλιοὺ ἐν τῷ ἐνιαυτῷ τῷ τρίτῳ λέγων· πορεύθητι, καὶ ὄφθητι τῷ Ἀχαάβ, καὶ δώσω ὑετὸν ἐπὶ προσώπου τῆς γῆς. καὶ ἐπορεύθη Ἠλιού τοῦ ὀφθῆναι τῷ Ἀχαάβ, καὶ ἦν λιμὸς κραταιὸς ἐν Σαμαρείᾳ. καὶ ἐκάλεσεν Ἀχαὰβ τὸν Ἀβδιοῦ τὸν οἰκονόμον. καὶ Ἀβδιοῦ ἦν φοβούμενος τὸν Κύριον σφόδρα. καὶ ἐγένετο ἐν τῷ τὸν πεῖραι τὴν Ἰεζάβελ τοὺς προφήτας Κυρίου, καὶ ἔλαβεν Ἀβδιοῦ ἑκατὸν ἄνδρας προφήτας, καὶ ἐκρύψεν αὐτοὺς ἀνὰ πεντήκοντα ἐν σπηλαίοις, καὶ διέτρεφεν αὐτοὺς ἐν ἄρτῳ καὶ ὕδατι. καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἀβδιοῦ· πορεύου, καὶ διέλθωμεν ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων καὶ ἐπὶ πάντας χειμάῤῥους, ἐάν πως εὕρωμεν βοτάνην, καὶ περιποιησώμεθα ἵππους καὶ ἡμιόνους, καὶ οὐκ ἐξολοθρευθήσονται ἀπὸ τῶν κτηνῶν. καὶ ἐμέρισαν ἑαυτοῖς τὴν ὁδὸν τοῦ διελθεῖν ἐν αὐτῇ. Ἀχαὰβ ἐπορεύθη ἐν ὁδῷ μιᾷ μόνος, καὶ Ἀβδιοῦ ἐπορεύθη ἐν ὁδῷ ἄλλῃ μόνος, καὶ ἦν Ἀβδιοῦ ἐν τῇ ὁδῷ. καὶ ἦλθεν Ἠλιοὺ εἰς συνάντησιν αὐτοῦ. καὶ Ἀβδιοῦ ἐπεσε, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ εἶπεν· εἰ σὺ εἶ αὐτὸς Κύριός μου Ἠλιού; καὶ εἶπεν Ἠλιού· ἀβδιού· πορεύου λέγε τῷ Κυρίῳ σου· ἰδοὺ Ἠλιού. καὶ εἶπεν Ἀβδιού· τί ἥμαρτηκα, ὅτι δίδως τὸν δοῦλόν σου εἰς χεῖρας Ἀχαὰβ τοῦ θανατῶσαί με; ζῇ Κύριος ὁ θεός σου, εἰ ἔστιν ἔθνος, ἢ βασιλεία, ὃ οὐκ ἀπέστειλεν ὁ Κύριός μου ζητεῖν σε. καὶ εἶπον· οὐκ ἔστι. καὶ ἐξώρκισε τὴν βασιλείαν καὶ τὰς χώρας αὐτῆς, ὅτι οὐχ εὑρήκει σε. καὶ νῦν σὺ λέγεις, πορεύου ἀνάγγειλον τῷ Κυρίῳ σου· ἰδοὺ Ἠλιού. καὶ ἔσται ἐὰν ἐγὼ ἀπέλθω ἀπὸ σοῦ, καὶ πνεῦμα Κυρίου ἀρεῖ σε εἰς γῆν ἣν οὐκ οἶδα, καὶ εἰσελθόντος μου ἀπαγγεῖλαι τῷ Ἀχαάβ, καὶ οὐχ εὑρήσει σε, καὶ ἀποκτενεῖ με, καὶ ὁ δοῦλός σου δέδοται φοβούμενος τὸν Κύριον ἐκ νεότητος αὐτοῦ. ἢ οὐκ ἀπηγγέλη σοι τῷ Κυρίῳ μου, οἷα ἐποίησα ἐν τῷ ἀποκτεῖναι τὴν Ἰεζάβελ τοὺς προφήτας Κυρίου, καὶ ἔλαβον ἐκ τῶν προφητῶν Κυρίου ἑκατὸν ἄνδρας, καὶ ἔκρυψα αὐτοὺς ἐν τοῖς σπηλαίοις ἀνὰ πεντήκοντα, καὶ ἔθρεψα αὐτοὺς ἐν ἄρτοις καὶ ὕδασι; καὶ νῦν σὺ λέγεις μοι, πορεύου λέγε τῷ κυρίῳ σου· ἰδοὺ Ἠλιού, καὶ ἀποκτενεῖ με; καὶ εἶπεν Ἠλιού· ζῇ Κύριος ὧν παρέστηκα ἐνώπιον αὐτοῦ, ὅτι σήμερον ὀφθήσομαι αὐτῷ. καὶ ἐπορεύθη Ἀβδιοῦ εἰς συνάντησιν τῷ Ἀχαάβ, καὶ ἀπήγγειλεν αὐτῷ. καὶ ἐξῆλθεν Ἀχαάβ, καὶ ἐπορεύθη εἰς συνάντησιν Ἠλιού. καὶ ἐγένετο ὡς εἶδεν Ἀχαὰβ τὸν Ἠλιού, καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἠλιού· εἰ σὺ εἶ αὐτὸς ὁ διαστρέφων τὸν Ἰσραήλ; καὶ εἶπεν Ἠλιού· οὐ διαστρέφω τὸν Ἰσραήλ, ὅτι ἀλλ' ἢ σὺ καὶ οἶκος τοῦ πατρός σου, ἐν τῷ καταλιμπάνειν ὑμᾶς Κύριον τὸν θεὸν ὑμῶν, καὶ ἐπορεύθης ὀπίσω τῶν Βααλίμ. καὶ νῦν ἀπόστειλον, καὶ συναθροισον πρός με πάντα Ἰσραὴλ εἰς ὄρος τὸ Καρμήλιον, καὶ τοὺς προφήτας τοῦ Βααλ τετρακοσίους καὶ πεντήκοντα, καὶ τοὺς προφήτας τῆς Ἀσχάρας τετρακοσίους καὶ πεντήκοντα, καὶ τοὺς προφήτας τῶν ἀλσῶν τετρακοσίους ἐσθίοντας τράπεζαν Ἰεζάβελ. καὶ ἀπέστειλεν Ἀχαὰβ εἰς πάντα Ἰσραὴλ, καὶ συνήγαγε πάντας τοὺς προφήτας εἰς τὸ ὄρος τὸ Καρμήλιον. καὶ προσήγαγεν Ἠλιοὺ πρὸς πάντας, καὶ εἶπεν αὐτοῖς Ἠλιού· ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπὶ ἀμφοτέραις ταῖς ἰγνύαις; εἰ ἔστι Κύριος ὁ θεός, πορεύεσθε ὀπίσω αὐτοῦ. εἰ δὲ ὁ Βάαλ αὐτός, πορεύεσθαι ὀπίσω αὐτοῦ. καὶ οὐκ ἀπεκρίθη ὁ λαὸς λόγον. καὶ εἶπεν Ἠλιού πρὸς τὸν λαόν· ἐγὼ κατελείμμαι προφήτης Κυρίου μόνος, καὶ οἱ προφῆται τοῦ Βάαλ τετρακόσιοι καὶ πεντήκοντα ἄνδρες, καὶ οἱ προφῆται τῶν ἀλσῶν τετρακόσιοι, δότωσαν ὑμῖν δύο βόας, καὶ ἐκλεξάσθωσαν ἑαυτοῖς τὸν ἕνα, καὶ μελισάτωσαν, καὶ ἐπιθέτωσαν ἐπὶ τῶν ξύλων, καὶ πῦρ μὴ ἐπιθέτωσαν, καὶ ἐγὼ ποιήσω τὸν βοῦν τὸν ἄλλον, καὶ πῦρ οὐ μὴ ἐπιθῶ, καὶ βοᾶτε ἐν ὀνόματι θεῶν ὑμῶν, καὶ ἐγὼ ἐπικαλέσομαι ἐν τῷ

ὀνόματι

ὀνόματι Κυρίου τοῦ θεοῦ μου. καὶ ἔσται ὁ θεὸς ὃς ἂν ἐπακούσῃ ἐν πυρί, οὗτος θεός. καὶ ἀπεκρίθησαν πᾶς ὁ λαός, καὶ εἶπαν· καλόν τὸ ῥῆμα ὃ ἐλάλησας. καὶ εἶπεν Ηλιοὺ τοῖς προφήταις τῆς Ἀσχάρας· ἐκλέξασθε ἑαυτοῖς τὸν μόσχον τὸν ἕνα, καὶ ποιήσατε πρῶτοι, ὅτι πολλοὶ ὑμεῖς, καὶ ἐπικαλεῖσθε ἐν ὀνόματι θεᾶς ὑμῶν, καὶ πῦρ μὴ ἐμβάλητε. καὶ ἔλαβον τὸν μόσχον, καὶ ἐποίησαν. καὶ ἐπεκαλέσαντο ἐν ὀνόματι τοῦ Βάαλ ἐκ πρωΐθεν ἕως μεσημβρίας, καὶ εἶπον· ἐπάκουσον ἡμῶν ὁ Βάαλ, ἐπάκουσον ἡμῶν. καὶ οὐκ ἦν φωνή, καὶ οὐκ ἦν ἀνάκρασις, καὶ διεπορεύοντο ἐπὶ τοῦ θυσιαστηρίου ὃ ἐποίησαν. καὶ ἐγένετο μεσημβρία, καὶ ἐμυκτήρισεν αὐτοὺς Ηλιοὺ ὁ Θεσβίτης, καὶ εἶπεν· ἐπικαλεῖσθε ἐν φωνῇ μεγάλῃ, ὅτι ἔστιν ἀδολεσχία αὐτῷ, καὶ ἅμα μήποτε χρηματίζῃ αὐτός, ἢ μήποτε καθεύδῃ αὐτός, καὶ ἐξαναστήσεται. καὶ ἐπεκαλοῦντο ἐν φωνῇ μεγάλῃ, καὶ κατὰ τὸ μόνον τοῦ ἐθισμοῦ αὐτῶν ἐν μαχαίραις, καὶ ἐν σιρομάσταις ἕως ἐκχύσεως αἵματος ἐπ' αὐτούς, καὶ προεφήτευον ἕως ὅτε παρῆλθε τὸ δειλινόν. καὶ ἐγένετο ὡς ὁ καιρὸς τοῦ ἀναβῆναι τὴν θυσίαν, καὶ οὐκ ἦν φωνή, καὶ ἐλάλησεν Ηλιοὺ ὁ Θεσβίτης πρὸς τοὺς προφήτας τῶν προσχυσμάτων, λέγων· μετάστητε ἀπὸ τοῦ νεῦ καὶ ἐγὼ ποιήσω τὸ ὁλοκάυτωμά μου. καὶ μετέστησαν, καὶ ἀπῆλθον, καὶ εἶπεν Ηλιοὺ πρὸς τὸν λαόν· προσαγάγετε πρός με. καὶ προσήγαγε πᾶς ὁ λαὸς πρὸς αὐτόν, καὶ ἔλαβεν Ηλιοὺ δώδεκα λίθους κατὰ ἀριθμὸν φυλῶν τοῦ Ισραὴλ, ὡς ἐλάλησε Κυρίῳ πρὸς αὐτὸν λέγων· Ισραὴλ ἔσται τὸ ὄνομά σου. καὶ ᾠκοδόμησε τοὺς λίθους ἐν ὀνόματι Κυρίου, καὶ ἐποίησε τὸ θυσιαστήριον τὸ κατασκαμμένον. καὶ ἐποίησε θάλασσαν χωροῦσαν δύο μετρητὰς σπόρου κύκλοθεν τοῦ θυσιαστηρίου, καὶ ἐσύβασε τὰς σχίδακας ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησε, καὶ ἐμέλισε τὸ ὁλοκάυτωμα καὶ ἐπέθηκεν ἐπὶ τὰς σχίδακας, καὶ ἐσύβασεν ἐπὶ τὸ θυσιαστήριον, καὶ εἶπε· λάβετέ μοι τέσσαρας ὑδρίας ὕδατος καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκάυτωμα, καὶ ἐπὶ τὰς σχίδακας. καὶ ἐποίησαν οὕτως. καὶ εἶπε· δευτερώσατε. καὶ ἐδεύτερωσαν. καὶ εἶπε· τριτώσατε. καὶ ἐτριτόδυσαν. καὶ διεπορεύετο τὸ ὕδωρ κύκλῳ τοῦ θυσιαστηρίου, καὶ τὴν θάλασσαν ἐπλήσαν ὕδατος. καὶ ἀνεβόησεν Ηλιοὺ εἰς τὸν οὐρανόν, καὶ εἶπε· Κύριε ὁ θεὸς Ἀβραὰμ καὶ Ισαὰκ καὶ Ισραήλ, ἐπάκουσόν μου σήμερον ἐν τούτῳ, καὶ σήμερον γνώτωσαν πᾶς ὁ λαὸς ὅτι σὺ εἶ Κύριος ὁ θεὸς Ισραὴλ, καὶ ἐγὼ δοῦλός σου, καὶ διὰ σὲ πεποίηκα τὰ ῥήματα ταῦτα. ἐπάκουσόν μου Κύριε ἐπάκουσόν μου ἐν πυρί, καὶ γνώτω ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ Κύριος ὁ θεὸς, καὶ σὺ ἐστρέψας τὴν καρδίαν τοῦ λαοῦ τούτου ὀπίσω. καὶ ἔπεσε πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε τὸ ὁλοκάυτωμα, καὶ τὰς σχίδακας, καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ, καὶ τοὺς λίθους, καὶ τὸν χοῦν διέλειξε τὸ πῦρ. καὶ ἔπεσε πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶπον· ἀληθῶς Κύριός ἐστιν αὐτὸς θεὸς ὁ θεός. καὶ εἶπεν Ηλιοὺ πρὸς τὸν λαόν· συλλάβετε τοὺς προφήτας τοῦ Βάαλ, μηδεὶς σωθήτω ἐξ αὐτῶν. καὶ συνέλαβον αὐτούς, καὶ κατήγαγεν αὐτοὺς Ηλιοὺ εἰς τὸν χειμάῤῥουν Κισσῶν, καὶ ἔσφαξεν αὐτοὺς ἐκεῖ. καὶ εἶπεν Ηλιοὺ τῷ Ἀχαάβ· ἀνάβηθι, καὶ φάγε καὶ πίε, ὅτι φωνὴ τοῦ ὄμβρου τοῦ ὑετοῦ. καὶ ἀνέβη Ἀχαὰβ τοῦ φαγεῖν καὶ πιεῖν. καὶ Ηλιοὺ ἀνέβη ἐπὶ τὴν Καρμηλον, καὶ ἔκυψεν ἐπὶ τὴν γῆν, καὶ ἔθηκε τὸ πρόσωπον αὐτοῦ ἀνὰ μέσον τῶν γονάτων αὐτοῦ, καὶ εἶπε τῷ παιδαρίῳ αὐτοῦ· ἀνάβηθι καὶ ἐπίβλεψον ὁδὸν τῆς θαλάσσης. καὶ ἀνέβη καὶ ἐπέβλεψε, καὶ εἶπεν· οὐκ ἔστιν οὐθέν. καὶ εἶπεν Ηλιοὺ· κύκλωσον καὶ ἐπίβλεψον ἑπτάκις. καὶ ἐπέστρεψε τὸ παιδάριον ἑπτάκις. καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ, καὶ ἰδοὺ νεφέλη μικρὰ ὡς ἴχνος ἀνδρὸς ἀνέτειλε ὕδωρ ἀπὸ θαλάσσης. καὶ εἶπεν· ἀνάβηθι, καὶ εἶπον τῷ Ἀχαάβ· ζεῦξον τὸ ἅρμα σου, καὶ κατάβηθι μὴ καταλάβῃ σε ὁ ὑετός. καὶ ἐγένετο ἕως ὧδε καὶ ἕως ὧδε, καὶ ὁ οὐρανὸς συνεσκότασε νεφέλαις, καὶ πνεύματι, καὶ ἐγένετο ὑετὸς μέγας, καὶ ἔκλαιεν καὶ ἐπορεύετο Ἀχαὰβ ἕως Ιεζραέλ, καὶ χεὶρ Κυρίου ἐγένετο ἐπὶ τὸν Ηλιοὺ, καὶ συνέσφιγξε τὴν ὀσφὺν αὐτοῦ, καὶ ἔτρεχεν ἔμπροσθεν Ἀχαὰβ ἕως Ιεζραέλ.

ΚΕΦΑΛ. ιθ'. 19.

Καὶ ἀπήγγειλεν Ἀχαὰβ τῇ Ιεζάβελ τῇ γυναικὶ αὐτοῦ, πάντα ὅσα ἐποίησεν Ηλιοὺ, καὶ ὡς ἀπέκτεινε πάντας τοὺς προφήτας ῥομφαίᾳ. καὶ ἀπέστειλεν Ιεζάβελ, καὶ εἶπεν· σὺ εἶ Ηλιοὺ καὶ ἐγὼ Ιεζάβελ, τάδε ποιήσαισάν μοι οἱ θεοί, καὶ τάδε προσθείησαν, ὅτι ταύτην τὴν ὥραν αὔριον θύσομαι τὴν ψυχήν σου, ὡσεὶ ἑνὸς ἐξ αὐτῶν. καὶ ἐφοβήθη Ηλιοὺ καὶ ἀνέστη, καὶ ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ, καὶ ἔρχεται εἰς Βηρσαβεὲ τῆς Ιούδα. καὶ ἀφῆκε τὸ παιδάριον αὐτοῦ ἐκεῖ, καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν ἡμέρας, καὶ ἦλθε, καὶ ἐκάθισεν ὑπὸ ῥάμνον ἕνα, καὶ ἠτήσατο τὴν ψυχὴν αὐτοῦ ἀποθανεῖν, καὶ εἶπεν· ἱκανούσθω νῦν, λάβε δὴ τὴν ψυχήν μου ἀπ' ἐμοῦ Κύριε, ὅτι οὐ κρείσσων ἐγώ εἰμι ὑπὲρ τοὺς πατέρας μου, καὶ ἐκοιμήθη, καὶ ὕπνωσεν ἐκεῖ ὑπὸ τὸν φυτόν. καὶ ἰδοὺ τις ἥψατο αὐτοῦ, καὶ εἶπεν αὐτῷ· ἀνάστηθι καὶ φάγε. καὶ ἐπέβλεψεν Ηλιοὺ, καὶ ἰδοὺ πρὸς κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυρίτης καὶ καμψάκης ὕδατος. καὶ ἀνέστη καὶ ἔφαγε καὶ ἔπιε, καὶ ἐπορεύθη ἐν ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἕως ὄρους τοῦ θεοῦ Χωρήβ. καὶ εἰσῆλθεν ἐκεῖ εἰς τὸ σπήλαιον, καὶ κατέλυσεν ἐκεῖ. καὶ ἰδοὺ ῥῆμα κυρίου πρὸς αὐτὸν, καὶ εἶπε· τί σὺ ὧδε Ἠλιού. καὶ εἶπεν Ἠλιού· ζηλῶν ἐζήλωκα τῷ κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοί Ἰσραήλ, τὰ θυσιαστήριά σου κατέσκαψαν, καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. καὶ εἶπεν· ἔξελθε καὶ στῆθι ἐνώπιον κυρίου. καὶ ἰδοὺ παρελεύσεται κύριος, καὶ πνεῦμα μέγα κραταιὸν διαλύον ὄρη, καὶ συντρίβον πέτρας ἐνώπιον κυρίου τοῦ θεοῦ· οὐκ ἐν τῷ πνεύματι κύριος. καὶ μετὰ τὸ πνεῦμα σεισμός, οὐκ ἐν τῷ σεισμῷ κύριος. καὶ μετὰ τὸν σεισμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ κύριος. καὶ μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς, ἐκεῖ κύριος. καὶ ἐγένετο ὡς ἤκουσεν Ἠλιού, καὶ ἐπεκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν τῇ μηλωτῇ αὐτοῦ, καὶ ἐξῆλθε, καὶ ἔστη ἐπὶ τὸ στόμιον, καὶ ἰδοὺ πρὸς αὐτὸν φωνή, καὶ εἶπε· τί σὺ ὧδε Ἠλιού; καὶ εἶπεν Ἠλιού· ζηλῶν ἐζήλωκα τῷ κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν τὴν διαθήκην σου οἱ υἱοί Ἰσραήλ, τὰ θυσιαστήριά σου καθεῖλον, καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. καὶ εἶπε κύριος πρὸς αὐτόν· πορεύου ἀνάστρεφε εἰς τὴν ὁδόν σου, καὶ ἥξεις εἰς τὴν ὁδὸν ἔρημον Δαμασκόν, καὶ χρίσεις τὸν Ἀζαὴλ εἰς βασιλέα ἐπὶ Συρίας, καὶ τὸν Ἰηοὺ υἱὸν Ναμεσσὶ χρίσεις εἰς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ τὸν Ἐλισσαὲ υἱὸν Σαφὰτ ἀπὸ Ἀβελμαουλὰ χρίσεις εἰς προφήτην ἀντί σου. καὶ ἔσται, ὃν σώζοντος ἐκ ῥομφαίας Ἀζαὴλ θανατώσει Ἰηού, καὶ τὸν σῳζόμενον ἐκ ῥομφαίας Ἰηοὺ θανατώσει Ἐλισσαέ. καὶ καταλείψεις ἐν Ἰσραὴλ ἑπτὰ χιλιάδας ἀνδρῶν, πάντα γόνατα ἃ οὐκ ἔκαμψαν γόνυ τῇ Βααλ, καὶ πᾶν στόμα ὃ οὐ προσεκύνησαν αὐτῷ. καὶ ἀπῆλθεν ἐκεῖθεν καὶ εὑρίσκει τὸν Ἐλισσαὲ υἱὸν Σαφὰτ, καὶ αὐτὸς ἀροτριᾷ ἐν Βασί, καὶ δώδεκα ζεύγη ἐνώπιον αὐτοῦ, καὶ αὐτὸς ἐν τοῖς δώδεκα. καὶ ἀπῆλθεν Ἠλιοὺ ἐπ' αὐτὸν, καὶ ἐπέῤῥιψε τὴν μηλωτὴν αὐτοῦ ἐπ' αὐτὸν, καὶ κατέλιπεν Ἐλισσαὲ τοὺς βόας, καὶ ἔδραμεν ὀπίσω Ἠλιού, καὶ εἶπε· καταφιλήσω τὸν πατέρα μου, καὶ τὴν μητέρα μου, καὶ ἀκολουθήσω ὀπίσω σου. καὶ εἶπεν αὐτῷ, πορεύου ἀνάστρεφε, ὅτι πεποίηκά σοι. καὶ ἀνέστρεψεν ἀπ' αὐτοῦ, καὶ ἔλαβε τὸ ζεῦγος τῶν βοῶν καὶ ἔθυσε. καὶ ἥψησεν αὐτὰ ἐν τοῖς σκεύεσι τῶν βοῶν, καὶ ἔδωκε τῷ λαῷ καὶ ἔφαγον. καὶ ἀνέστη, καὶ ἐπορεύθη ὀπίσω Ἠλιού, καὶ ἐλειτούργει αὐτῷ.

ΚΕΦΑΛ. κ'. 20.

Καὶ υἱὸς Ἁδὰδ Βασιλεὺς Συρίας, συνήθροισε πᾶσαν τὴν δύναμιν αὐτοῦ, καὶ ἀνέβη, καὶ ἐκάθισεν ἐπὶ τὴν Σαμάρειαν, καὶ πολιορκεῖ ἐπ' αὐτὴν. καὶ ἀπέστειλε πρὸς Ἀχαὰβ Βασιλέα Ἰσραὴλ εἰς τὴν πόλιν, καὶ εἶπε πρὸς αὐτόν· τάδε λέγει υἱὸς Ἁδάδ· τὸ ἀργύριόν σου, καὶ τὸ χρυσίον σου ἐμόν ἐστι, καὶ αἱ γυναῖκές σου, καὶ τὰ τέκνα σου τὰ καλὰ, ἐμά ἐστι, καὶ ἀπεκρίθη ὁ Βασιλεὺς Ἰσραὴλ, καὶ εἶπε· καθὼς ἐλάλησας κυρίε μου Βασιλεῦ, σὸς ἐγώ εἰμι, καὶ πάντα τὰ ἐμά. καὶ ἀνέστρεψαν οἱ ἄγγελοι, καὶ εἶπαν· τάδε λέγει ὁ υἱὸς Ἁδάδ· ἐγὼ ἀπέστειλα πρὸς σὲ λέγων· τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον σου, καὶ τὰς γυναῖκας, καὶ τὰ τέκνα σου, δώσεις ἐμοί, ὅτι ταύτην τὴν ὥραν αὔριον ἀποστελῶ οὓς πάντας μου πρὸς σὲ, καὶ ὀρύνησουσι τὸν οἶκόν σου, καὶ τοὺς οἴκους τῶν παίδων σου, καὶ ἔσται πάντα τὰ ὡραῖα μήματα τῶν ὀφθαλμῶν αὐτῶν, ἐφ' ἃ ἂν ἐπιβάλωσι τὰς χεῖρας αὐτῶν, καὶ λήψονται. καὶ ἐκάλεσεν ὁ Βασιλεὺς Ἰσραὴλ πάντας τοὺς πρεσβυτέρους τῆς γῆς, καὶ εἶπε· γνῶτε δὴ καὶ ἴδετε, ὅτι κακίαν οὗτος ζητεῖ, ὅτι ἀπέστειλε πρός με περὶ τῶν γυναικῶν μου, καὶ περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν θυγατέρων μου, τὸ ἀργύριόν μου καὶ τὸ χρυσίον μου οὐκ ἀπεκώλυσα ἀπ' αὐτοῦ. καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι, καὶ πᾶς ὁ λαός· μὴ ἀκούσῃς, καὶ μὴ θελήσῃς. καὶ εἶπε τοῖς ἀγγέλοις υἱοῦ Ἁδάδ· λέγετε τῷ κυρίῳ ὑμῶν, πάντα ὅσα ἀπέστειλας πρὸς τὸν δοῦλόν σου, ἐν πρώτοις ποιήσω. τὸ δὲ ῥῆμα τοῦτο, οὐ δυνήσομαι ποιῆσαι. καὶ ἀπῆραν οἱ ἄνδρες, καὶ ἀπέστρεψαν αὐτῷ λόγον. καὶ αὐτὰ ἀπέστειλε πρὸς αὐτὸν υἱὸς Ἁδάδ λέγων· τάδε ποιήσαισάν μοι οἱ θεοί, καὶ τάδε προσθείησαν, εἰ ἐκποιήσει ὁ χοῦς Σαμαρείας τοῖς ἀλωπηξί, παντὶ τῷ λαῷ τοῖς ποσοῖς μου. καὶ ἀπεκρίθη ὁ Βασιλεὺς Ἰσραὴλ, καὶ εἶπεν· εἰπάτω οὕτως ὁ ζωννύων με, μὴ καυχάσθω ὁ ζωννύμενος, ὡς ὁ λύων. καὶ ἐγένετο ὅτε ἀπεκρίθη αὐτῷ τὸν λόγον τοῦτον, πίνων ἦν αὐτὸς, καὶ πάντες οἱ Βασιλεῖς οἱ μετ' αὐτοῦ ἐν σκηναῖς. καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· οἰκοδομήσατε χαράκωμα. καὶ ἔθεντο χάρακα ἐπὶ τὴν πόλιν. καὶ ἰδοὺ προφήτης εἷς προσῆλθε τῷ Ἀχαὰβ Βασιλεῖ Ἰσραὴλ. καὶ εἶπε· τάδε λέγει κύριος· εἰ ἑώρακας πάντα τὸν ὄχλον τὸν μέγαν τοῦτον; ἰδοὺ ἐγὼ δίδωμι αὐτὸν σήμερον εἰς χεῖράς σου, καὶ γνώσῃ ὅτι ἐγώ κύριος. καὶ εἶπεν Ἀχαάβ· ἐν τίνι; καὶ εἶπε· τάδε λέγει κύριος ἐν τοῖς παιδαρίοις τῶν ἀρχόντων τῶν χωρῶν. καὶ εἶπεν Ἀχαάβ· τίς συνάψει πόλεμον; καὶ εἶπεν· σύ. καὶ ἐπορεύθη Ἀχαὰβ καὶ πᾶς ὁ λαὸς τῶν ἀρχόντων τῶν χωρῶν, καὶ ἐγένοντο διακόσιοι διακοσιοστοὶ καὶ δύο, καὶ μετὰ ταῦτα ἐπορεύθη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν λαὸν πάντα υἱὸν Δωὰμμεως, ἐξήκοντα ἑπτὰ χιλιάδας. καὶ ἦλθε μεσημβρίας, καὶ υἱὸς
Ἄδερ πίνων καὶ μεθύων ἐν σκηνῇ αὐτὸς καὶ οἱ Βασιλεῖς τριάκοντα, καὶ δύο Βασιλεῖς συμβοη-
βοὶ αὐτοῦ. καὶ ἦλθον τὰ ταμιεῖα ἀρχόντων τῶν χωρῶν ἐν πρώτοις, καὶ ἀπέσειλεν υἱὸς Ἄδ-
δερ, καὶ ἀπήγγειλαν τῷ Βασιλεῖ συρίας λέγοντες· ἄνδρες ἦλθον ἐξελήλυθασιν ἐκ σαμαρείας. καὶ
εἶπεν αὐτοῖς· εἰ εἰς εἰρήνην ἐκπορεύονται, συλλάβετε αὐτοὺς ζῶντας. καὶ εἰς πόλεμον ἦλθον,
ζῶντας συλλαβέτε αὐτούς, καὶ μὴ ἐξελθέτωσαν ἐκ τῆς πόλεως. καὶ οὗτοι ἦλθον ἐκ τῆς
πόλεως τὰ ταμιεῖα ἀρχόντων τῶν χωρῶν, καὶ ἡ δυνάμις ὀπίσω αὐτῶν ἐπάταξεν ἕκα-
στον παρ' αὐτοῦ, καὶ ἐφόνευσεν ἕκαστον παρ' αὐτοῦ. καὶ ἔφυγε συρία καὶ κατεδίωξεν αὐ-
τοὺς ἰσραήλ, καὶ σώζεται ὁ ἄδερ Βασιλεὺς συρίας ἐφ' ἵππου ἱππέως. καὶ ἦλθεν ὁ Βασι-
λεὺς ἰσραήλ, καὶ ἔλαβε πάντας τοὺς ἵππους καὶ τὰ ἅρματα, καὶ ἐπάταξε πληγὴν μεγάλην
ἐν συρίᾳ. καὶ προσῆλθε προφήτης πρὸς Βασιλέα ἰσραήλ, καὶ εἶπε· πορεύου καὶ γνῶθι, καὶ
ἴδε τί ποιήσεις, ὅτι τῷ ἐνιαυτῷ τῷ γινομένῳ, υἱὸς Ἄδερ Βασιλεὺς συρίας, ἀναβαίνει πρός σέ.
καὶ οἱ παῖδες Βασιλέως συρίας εἶπον πρὸς αὐτόν· θεὸς ὀρέων θεὸς ἰσραήλ, καὶ οὐ θεὸς πεδι-
νῶν, διὰ τοῦτο ἐκρατήσαμεν ὑπὲρ ὑμᾶς. ἐὰν δὲ πολεμήσωμεν αὐτοὺς κατ' ὀλίγον, ἢ μὴν κρα-
τήσωμεν ὑπὲρ αὐτούς. καὶ ῥῆμα τοῦτο ποίησον, ἀπόστειλον τοὺς Βασιλεῖς ἕκαστον εἰς τὸν
τόπον αὐτοῦ, καὶ θὲς ἄντ' αὐτῶν σατράπας, καὶ ἀλλάξομαί σοι δυνάμιν κατὰ τὴν δύναμιν τὴν
πεσοῦσαν ἀπὸ σοῦ, καὶ ἵππον ἀντὶ τὴν ἵππον, καὶ ἅρματα κατὰ τὰ ἅρματα, καὶ πολεμή-
σομεν πρὸς αὐτοὺς κατ' ὀλίγον, καὶ κρατήσωμεν ὑπὲρ αὐτούς. καὶ ἤκουσε τῆς φωνῆς αὐτῶν,
καὶ ἐποίησεν ὕτως. καὶ ἐγένετο, ὡς ἐνιαυτῷ τῷ γινομένῳ, ἐπεσκέψατο υἱὸς Ἄδερ τὴν
συρίαν, καὶ ἀνέβη εἰς ἐφεκὰ εἰς πόλεμον ἐπὶ ἰσραήλ. καὶ οἱ υἱοὶ ἰσραὴλ ἐπεσκέπησαν καὶ παρε-
γένοντο εἰς ἀπάντησιν αὐτῶν, καὶ παρενέβαλον ἰσραὴλ ἐξεναντίας αὐτῶν, ὡσεὶ δύο ποίμνια αἰγῶν, καὶ συρία ἔπλησε τὴν γῆν. καὶ προσῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ, καὶ εἶπε τῷ Βα-
σιλεῖ ἰσραήλ· τάδε λέγει κύριος, ἀνθ' ὧν εἶπε συρία θεὸς ὀρέων κύριος ὁ θεὸς ἰσραήλ, καὶ οὐ
κύριος κυριεύσω αὐτῶν, καὶ δώσω τὴν δύναμιν τὴν μεγάλην ταύτην εἰς χεῖρας σὰς, καὶ γνώ-
σῃ ὅτι ἐγὼ κύριος. καὶ παρεμβάλλουσιν ἕτοι ἀπέναντι τούτων ἑπτὰ ἡμέρας. καὶ ἐγένετο ἐν τῇ
ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ προσήγαγεν ὁ πόλεμος, καὶ ἐπάταξεν ἰσραὴλ τὴν συρίαν ἑκατὸν καὶ
εἴκοσι χιλιάδας πεζῶν ἐν ἡμέρᾳ μιᾷ, καὶ ἔφυγον οἱ καταλοιποὶ εἰς ἀφεκὰ εἰς τὴν πόλιν,
καὶ ἔπεσε τὸ τεῖχος ἐπὶ εἴκοσι καὶ ἑπτὰ χιλιάδας ἀνδρῶν τοὺς καταλοίπους. καὶ υἱὸς Ἄδερ ἔ-
φυγε, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ κρυπτοῦ εἰς τὸ ταμεῖον, καὶ εἶπον πρὸς αὐτὸν οἱ παῖδες
αὐτοῦ· ἰδοὺ δὴ οἴδαμεν, ὅτι Βασιλεῖς οἴκου ἰσραήλ, Βασιλεῖς ἐλέους εἰσίν. περιθώμεθα δὴ σάκ-
κους ἐπὶ τὰς ὀσφύας ἡμῶν, καὶ σχοινία ἐπὶ τὰς κεφαλὰς ἡμῶν, καὶ ἐξέλθωμεν πρὸς Βασιλέα
ἰσραήλ, εἴπως ζωογονήσει τὰς ψυχὰς ἡμῶν. καὶ περιεζώσαντο σάκκους περὶ τὰς ὀσφύας αὐτῶν,
καὶ ἔθεντο σχοινία ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ εἶπον τῷ Βασιλεῖ ἰσραὴλ· ὁ δοῦλός σου υἱὸς Ἄδερ
λέγει· ζησάτω δὴ ἡ ψυχή μου. καὶ εἶπεν· εἰ ἔτι ζῇ, ἀδελφός μού ἐστι. καὶ οἱ ἄνδρες οἰωνίσαντο,
καὶ ἐπείσαντο, καὶ ἀνέλεξαντο τὸν λόγον ἐκ τοῦ στόματος αὐτοῦ, καὶ εἶπον· ἀδελφός σου υἱὸς
Ἄδερ; καὶ εἶπεν· εἰσέλθετε καὶ λάβετε αὐτόν. καὶ ἦλθε πρὸς αὐτὸν υἱὸς Ἄδερ, καὶ ἀνεβιβάζε
σιν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα. καὶ εἶπε πρὸς αὐτόν· τὰς πόλεις ἃς ἔλαβεν ὁ πατήρ μου παρὰ
τοῦ πατρός σου, ἀποδώσω σοι. καὶ ἔξοδους θήσεις σεαυτῷ ἐν δαμασκῷ, καθὼς ἔθετο ὁ πατήρ μου ἐν σαμαρείᾳ, καὶ ἐγὼ ἐν δαμὰκ ἐξαποστελῶ σε. καὶ διέθετο αὐτῷ διαθήκην, καὶ ἐξαπέ-
στειλεν αὐτόν. καὶ ἄνθρωπος εἷς ἐκ τῶν υἱῶν τῶν προφητῶν, εἶπε πρὸς τὸν πλησίον αὐτοῦ· ἐν λό
γῳ κυρίου πάταξόν με δή. καὶ οὐκ ἠθέλησεν ὁ ἄνθρωπος πατάξαι αὐτόν. καὶ εἶπε πρὸς αὐ-
τόν· ἀνθ' ὧν οὐκ εἰσήκουσας τῆς φωνῆς κυρίου, ἰδοὺ σὺ ἀποστρέχεις ἀπ' ἐμοῦ, καὶ πατάξει σε
λέων. καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, καὶ εὑρίσκει αὐτὸν λέων, καὶ ἐπάταξεν αὐτόν. καὶ εὑρίσκει ἄν
θρωπον ἄλλον, καὶ εἶπε· πάταξόν με δή, καὶ ἐπάταξεν αὐτὸν ὁ ἄνθρωπος, καὶ πατάξας συ-
νέτριψε. καὶ ἐπορεύθη ὁ προφήτης, καὶ ἔστη τῷ Βασιλεῖ ἰσραὴλ ἐπὶ τῆς ὁδοῦ, καὶ κατεδήσατο
ἐν τελαμῶνι τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ ἐγένετο, ὡς ὁ Βασιλεὺς παρεπορεύετο, καὶ οὗτος
ἐβόα πρὸς τὸν Βασιλέα, καὶ εἶπεν· ὁ δοῦλός σου ἐξῆλθεν ὀπίσω τοῦ πολέμου, καὶ ἰδοὺ
ἀνὴρ ἐξήγαγε πρός με ἄνδρα, καὶ εἶπε πρός με· φύλαξον τὸν ἄνδρα. ἐὰν δὲ ἐκπηδήσῃ
ἐκπηδήσει, καὶ ἔσαι ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, ἢ τάλαντον ἀργυρίου στήσεις. καὶ ἐγένετο
ὡς πολεμεῖτο ὁ δοῦλός σου ὧδε καὶ ὧδε, καὶ οὗτος ἐκλείπει. καὶ εἶπεν πρὸς αὐτὸν ὁ Βασιλεὺς
ἰσραήλ· ἰδοὺ τὸ γνῶσμα παρ' ἐμοὶ ἐφόνευσας. καὶ ἔσπευσε, καὶ ἀφεῖλε τὸν τελαμῶνα ἀπὸ τῶν
ὀφθαλμῶν αὐτοῦ. καὶ ἐπέγνω αὐτὸν ὁ Βασιλεὺς ἰσραήλ, ὅτι ἐκ τῶν προφητῶν ἦν. καὶ εἶπεν
πρὸς αὐτὸν· τάδε λέγει κύριος, ἀνθ' ὧν ἐξαπέστειλας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, καὶ ἔ-
σαι ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ. καὶ ἀπῆλθεν ὁ Βα-
σιλεὺς ἰσραὴλ συγκεχυμένῳ, καὶ ἐκλελυμένῳ.

Κεφαλ.

ΚΕΦΑΛ. κά. 21.

Καὶ ἐγγίζω μετὰ τὰ ῥήματα ταῦτα, ἡ ἀμπελὼν ἦν Ναβουθαὶ τῷ Ἰσραηλίτῃ, παρὰ τὴν αὐλὴν Ἀχαὰβ βασιλέως Σαμαρείας. καὶ ἐλάλησεν Ἀχαὰβ πρὸς Ναβουθαὶ λέγων· δός μοι τὴν ἀμπελῶνά σου, καὶ ἔσαι μοι εἰς λάχανον λαχανώνη, ὅτι ἐγγίζων ἐστὶ τοῦ οἴκου μου, κἀγὼ δώσω σοι ἀμπελῶνα ἄμεινον ἀγαθὸν ὑπὲρ αὐτόν. εἰ δὲ ἀρέσκει σοι, δώσω σοι ἀργύριον αὐτάλλαγμα τοῦ ἀμπελῶνος τούτου, καὶ ἔσαι μοι εἰς λάχανον λαχανώνη. καὶ εἶπεν Ναβουθαὶ πρὸς Ἀχαὰβ, μὴ μοι γένοιτο παρὰ θεοῦ μου δοῦναι κληρονομίαν πατέρων μου. καὶ ἦλθεν Ἀχαὰβ εἰς οἶκον αὐτοῦ συγκεχυμένος, καὶ ἐκλελυμένος διὰ λόγῳ ὃν ἐλάλησε πρὸς αὐτὸν Ναβουθαὶ ὁ Ἰσραηλίτης, καὶ εἶπεν· οὐ δώσω σοι τὴν κληρονομίαν πατέρων μου. καὶ ἐγγίζων τὸν πονηρὸν Ἀχαὰβ τεταραγμένον, καὶ ἐκοιμήθη ἐπὶ τῆς κλίνης αὐτοῦ, καὶ συνεκάλυψε τὸ πρόσωπον αὐτοῦ, καὶ οὐκ ἔφαγεν ἄρτον. καὶ εἰσῆλθεν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ πρὸς αὐτὸν, καὶ ἐλάλησε πρὸς αὐτόν· τί τὸ πονηρόν σε τεταραγμένον, καὶ οὐκ εἶ σὺ ἐδώδιμον ἄρτον; καὶ εἶπε πρὸς αὐτήν· ὅτι ἐλάλησα πρὸς Ναβουθαὶ τὸν Ἰσραηλίτην λέγων· δός μοι τὴν ἀμπελῶνά σου ἀργυρίου, εἰ δὲ μή, βούλομαί σοι ἀμπελῶνα ἄλλον ἀντ' αὐτοῦ. καὶ εἶπεν· οὐ δώσω σοι κληρονομίαν πατέρων μου. καὶ εἶπεν πρὸς αὐτὸν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ· σὺ νῦν οὕτω ποιεῖς βασιλεὺς Ἰσραήλ; ἀνάστηθι καὶ φάγε ἄρτον, καὶ σαυτοῦ γενοῦ, ἐγὼ δώσω σοι τὴν ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰσραηλίτου. καὶ ἔγραψε βιβλίον ἐπὶ τοῦ ὀνόματος Ἀχαὰβ, καὶ ἐσφράγισεν τῷ σφραγίσματι αὐτοῦ. καὶ ἐπέστειλε τὸ βιβλίον πρὸς τοὺς πρεσβυτέρους, καὶ τοὺς ἐλευθέρους τοὺς κατοικοῦντας μετὰ Ναβουθαί. καὶ ἐγγέγραπται ἐν τῷ βιβλίῳ λέγων· νηστεύσατε νηστείαν, καὶ καθίσατε τὸν Ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ, καὶ ἐγκαθίσατε δύο ἄνδρας υἱοὺς παρανόμων ἐξ ἐναντίας αὐτοῦ, καὶ καταμαρτυρησάτωσαν αὐτοῦ, λέγοντες· κατηράσω θεὸν, καὶ βασιλέα. καὶ ἐξάγαγον αὐτὸν ἔξω τῆς πόλεως, καὶ λιθοβολησάτωσαν αὐτὸν, καὶ ἀποθανέτω. καὶ ἐποίησαν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ οἱ πρεσβύτεροι, καὶ οἱ ἐλεύθεροι οἱ κατοικοῦντες ἐν τῇ πόλει αὐτοῦ, καθὼς ἀπέστειλε πρὸς αὐτοὺς Ἰεζάβελ, καθὰ ἐγγέγραπτο ἐν τοῖς βιβλίοις, οἷς ἀπέστειλε πρὸς αὐτούς. καὶ ἐκάλεσαν νηστείαν καὶ ἐκάθισαν τὸν Ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ, καὶ εἰσῆλθον δύο ἄνδρες υἱοὶ παρανόμων, καὶ ἐκάθισαν ἐξεναντίας αὐτοῦ, καὶ κατεμαρτύρησαν αὐτοῦ οἱ ἄνδρες τῆς ἀρετσατίας τοῦ Ναβουθαὶ, κατὰ παντὸς τοῦ λαοῦ λέγοντες· κατηράσατο θεὸν, καὶ βασιλέα. καὶ ἐξήγαγον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἐλιθοβόλησαν αὐτὸν οἱ λίθοις, καὶ ἀπέθανε. καὶ ἀπέστειλαν πρὸς Ἰεζάβελ λέγοντες· λελιθοβόληται Ναβουθαὶ, καὶ τέθνηκε. καὶ ἐγένετο, ὡς ἤκουσεν Ἰεζάβελ λέγοντος, ἐλέχωσαι Ναβουθαὶ ἢ ἀπέθανε, καὶ εἶπεν πρὸς Ἀχαάβ· ἀνάστα, κληρονόμει τὸν ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰσραηλίτου, ὃς οὐκ ἔδωκέ σοι ἀργύριον, ὅτι οὐκ ἔστιν Ναβουθαὶ ζῶν, ὅτι τέθνηκε. καὶ ἐγένετο, ὡς ἤκουσεν Ἀχαάβ, ὅτι τέθνηκεν Ναβουθαὶ ὁ Ἰσραηλίτης, καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ ἐγένετο μετανοῦντα καὶ αὐέση. καὶ κατέβη Ἀχαὰβ εἰς τὸν ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰσραηλίτου, κληρονομῆσαι αὐτόν. καὶ εἶπε κύριος πρὸς Ἠλιού τὸν Θεσβίτην, λέγων· ἀνάστηθι καὶ κατάβηθι εἰς ἀπάντησιν Ἀχαὰβ Βασιλέως Ἰσραὴλ τοῦ ἐν Σαμαρείᾳ, ἰδοὺ οὗτος ἐν ἀμπελῶνι Ναβουθαὶ, ὅπου κατέβηκεν ἐκεῖ κληρονομῆσαι αὐτόν, καὶ λαλήσεις πρὸς αὐτὸν λέγων· τάδε λέγει κύριος, ὡς σὺ ἐφόνευσας καὶ ἐκληρονόμησας; διὰ τοῦτο τάδε λέγει κύριος· ἐν τῷ τόπῳ ᾧ ἔλειξαν οἱ κύνες τὸ αἷμα Ναβουθαὶ, ἐκεῖ λείξουσιν οἱ κύνες τὸ αἷμά σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου. καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἠλιού· εἰ εὕρηκάς με ὁ ἐχθρός μου; καὶ εἶπεν· εὕρηκα, διότι πράτλω πεπέρασαι, ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου παροργίσαι αὐτόν. τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ κακὰ, καὶ ἐκκαύσω ὀπίσω σου, καὶ ἐξολοθρεύσω τὸν Ἀχαὰβ ἀπὸ προσώπου πρὸς τοῖχον, καὶ συνεχόμενον, καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραήλ, καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον Ἱεροβοὰμ υἱοῦ Ναβάτ, καὶ ὡς τὸν οἶκον Βαασὰ υἱοῦ Ἀχιὰ διὰ τὴν παροργισμὸν ὃν παρώργισας, καὶ ἐξήμαρτον τὸν Ἰσραήλ. καὶ τῇ Ἰεζάβελ ἐλάλησε κύριος λέγων· οἱ κύνες κατα φάγονται αὐτὴν ἐν τῷ πρωτειχίσματι τοῦ Ἰεζράελ. τὸν τεθνηκότα τοῦ Ἀχαὰβ ἐν τῇ πόλει φάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τῷ πεδίῳ φάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ. πλὴν ματαίως Ἀχαὰβ ὃς ἐπράθη, ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, ὃν μετέθηκεν αὐτὸν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ, καὶ ἐβδελύχθη σφόδρα, πορευθῆναι ὀπίσω τῶν βδελυγμάτων, καθὰ ἐποίησεν ὁ Ἀμορραῖος, ὃν ἐξωλόθρευσε κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. καὶ ἐγένετο ὡς ἤκουσεν ὁ λόγος ὡς κατηγύνη Ἀχαὰβ ἀπὸ προσώπου κυρίου, καὶ ἐπορεύθη κλαίων, καὶ διέρρηξε τὸν χιτῶνα αὐτοῦ, καὶ ἐζώσατο σάκκον ἐπὶ τὸ σῶμα αὐτοῦ, καὶ ἐνήστευσεν, καὶ ἐκοιμήθη ἐπὶ σάκκου ἐν τῇ ἡμέρᾳ ἐπάταξεν Ναβουθαὶ τὸν Ἰσραηλίτην, καὶ ἐπορεύθη κλαίων. καὶ ἐγένετο ῥῆμα κυρίου ἐν χειρὶ Ἠλιού τοῦ Θεσβίτου, λέγων· ἑώρακας ὡς κατηγύνη Ἀχαὰβ ἀπὸ προσώπου μου; ἀνθ' ὧν ὅτι ἐκοπάσθη ἀπὸ προσώπου μου, οὐκ ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀλλ' ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ αὐτοῦ, ἐπάξω τὴν κακίαν οἴκου αὐτοῦ.

Κεφαλ.

ΚΕΦΑΛ. κβ'. 22.

Καὶ ἔρχεται εἰς σαμάρειαν, καὶ ἐκάθισε τὰ τρία ἔτη, καὶ οὐκ ἦν πόλεμος ἀνὰ μέσον συρίας καὶ ἀνὰ μέσον ἰσραήλ. καὶ ἐγένηθη ἐν τῷ τρίτῳ γένεσθαι, καὶ κατέβη ἰωσαφὰτ βασιλεὺς ἰούδα, πρὸς βασιλέα ἰσραήλ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς τοὺς παῖδας αὐτοῦ· οἴδατε, ὅτι ἡμῖν ῥεμμὰθ γαλαάδ, καὶ ἡμεῖς σιωπῶμεν λαβεῖν αὐτὴν, ἐκ χειρὸς βασιλέως συρίας; καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφάτ· εἰ ἀναβήσῃ μετ' ἐμοῦ εἰς πόλεμον εἰς ῥεμμὰθ γαλαάδ; καὶ εἶπεν ἰωσαφὰτ· καθὼς ἐγὼ, ὅτως καὶ σὺ, καθὼς ὁ λαός μου ὁ λαός σου, καθὼς οἱ ἵπποι μου οἱ ἵπποί σου. καὶ εἶπεν ἰωσαφὰτ βασιλεὺς ἰούδα πρὸς βασιλέα ἰσραήλ· ἐπερωτήσατε δὴ σήμερον τὸν λόγον κυρίου, καὶ συνήθροισεν ὁ βασιλεὺς ἰσραὴλ πάντας τοὺς προφήτας ὡς τετρακοσίους ἄνδρας. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς· εἰ πορεύθωμεν εἰς ῥεμμὰθ γαλαάδ εἰς πόλεμον, ἢ ἐπάσχωμεν; καὶ εἶπον· ἀνάβαινε, καὶ δώσει κύριος εἰς χεῖρας τοῦ βασιλέως. καὶ εἶπεν ἰωσαφὰτ πρὸς τὸν βασιλέα ἰσραήλ· οὐκ ἔστιν ὧδε προφήτης τοῦ κυρίου, καὶ ἐπερωτήσομεν τὸν κύριον δι' αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφάτ· ἔτι εἷς ἀνὴρ εἰς τὸ ἐπερωτῆσαι δι' αὐτοῦ τὸν κύριον, καὶ ἐγὼ μεμίσηκα αὐτὸν, ὅτι οὐ λαλεῖ περὶ ἐμοῦ καλὰ, ἀλλὰ κακὰ, μιχαίας υἱὸς ἰεμβλαά. καὶ εἶπεν ἰωσαφὰτ βασιλεὺς ἰούδα· μὴ λεγέτω ὁ βασιλεὺς ὅτως. καὶ ἐκάλεσεν ὁ βασιλεὺς ἰσραὴλ σύνδρομον ἕνα, καὶ εἶπε· τάχυνον μιχαίαν υἱὸν ἰεμβλαά. καὶ ὁ βασιλεὺς ἰσραὴλ, καὶ βασιλεὺς ἰούδα ἰωσαφὰτ, ἐκάθητο ἀνὴρ ἐπὶ τοῦ θρόνου αὐτοῦ ἐνδεδυμένοι ἐν ταῖς στολαῖς σαμαρείας. καὶ πάντες οἱ προφῆται προεφήτευον ἐνώπιον αὐτῶν. καὶ ἐποίησεν ἑαυτῷ σεδεκίας υἱὸς χαναανὰ κέρατα σιδηρᾶ, καὶ εἶπε· τάδε λέγει κύριος· ἐν τούτοις κερατιεῖς τὴν συρίαν ἕως συντελεσθῇ. καὶ πάντες οἱ προφῆται προεφήτευον ὅτως λέγοντες· ἀνάβαινε εἰς ῥεμμὰθ γαλαάδ, καὶ εὐοδωθήσῃ, καὶ δώσει κύριος εἰς χεῖράς σου τὸν βασιλέα συρίας. καὶ ὁ ἄγγελος ὁ πορευθεὶς καλέσαι τὸν μιχαίαν, ἐλάλησεν αὐτῷ λέγων· ἰδοὺ δὴ πάντες οἱ προφῆται ἐν στόματι ἑνὶ λαλοῦσι καλὰ περὶ τοῦ βασιλέως, γενοῦ δὴ καὶ σὺ εἰς τῶν λόγων σου, καὶ λάλησον καλά. καὶ εἶπε μιχαίας· ζῇ κύριος, ὅτι ἃ ἐὰν εἴπῃ κύριος πρός με, ταῦτα λαλήσω. καὶ ἦλθε πρὸς τὸν βασιλέα. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· μιχαία. εἰ ἀναβῶ εἰς ῥεμμὰθ γαλαάδ εἰς πόλεμον, ἢ ἀπόσχωμαι; καὶ εἶπεν· ἀνάβαινε καὶ εὐοδωθήσει· κύριος εἰς χεῖρας τοῦ βασιλέως. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ἕτι δὶς ἐγὼ ὁρκίζω σε, ὅπως λαλήσῃς πρός με ἀλήθειαν ἐν ὀνόματι κυρίου. καὶ εἶπε μιχαίας· οὐχ ὅτως, ἑώρακα πάντα τὸν ἰσραὴλ διεσπαρμένον ἐν τοῖς ὄρεσιν, ὡς πρόβατον ᾧ οὐκ ἔστι ποιμήν. καὶ εἶπε κύριος· οὗτοι οὐκ ἔχουσι δεσπότην· ἀποστρεφέτω ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ ἐν εἰρήνῃ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ βασιλέα ἰούδα· οὐκ εἶπά σοι, ὅτι ὁ προφητεύει οὗτός μοι κακὰ, ἀλλ' ἢ κακά; καὶ εἶπε μιχαίας· οὐχ οὕτως οὐκ ἐγὼ, ἄκουε ῥῆμα κυρίου· οὐχ οὕτως εἶδον ἐγὼ κύριον θρόνου ἰσραὴλ καθήμενον ἐπὶ θρόνου αὐτοῦ; καὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ εἱστήκει πρὸς αὐτὸν, ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ εὐωνύμων αὐτοῦ. καὶ εἶπε κύριος· τίς ἀπατήσει τὸν ἀχαὰβ βασιλέα ἰσραὴλ, καὶ ἀναβήσεται καὶ πεσεῖται ἐν ῥεμμὰθ γαλαάδ; καὶ εἶπεν οὗτος, οὕτως. καὶ οὗτος, ἕως τοῦ οὕτως. καὶ ἐξῆλθε πνεῦμα, καὶ ἔστη ἐνώπιον κυρίου, καὶ εἶπεν· ἐγὼ ἀπατήσω αὐτόν. καὶ εἶπε πρὸς αὐτὸν κύριος· ἐν τίνι; καὶ εἶπεν· ἐξελεύσομαι καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν αὐτοῦ· καὶ εἶπεν· ἀπατήσεις, καί γε δυνήσῃ· ἔξελθε καὶ ποίησον οὕτως. καὶ νῦν ἰδοὺ ἔδωκε κύριος πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν σου τούτων, καὶ κύριος ἐλάλησεν περὶ σοῦ κακά. καὶ προσῆλθε σεδεκίας υἱὸς χαναανὰ, καὶ ἐπάταξε τὸν μιχαίαν ἐπὶ τὴν σιαγόνα, καὶ εἶπε· ποίου πνεύματος κυρίου τὸ λαλῆσαν ἐν σοί; καὶ εἶπε μιχαίας· ἰδοὺ σὺ ὄψῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν εἰσέλθῃς εἰς τὸ ταμεῖον τοῦ ταμείου τοῦ κρυβῆναι ἐκεῖ. καὶ εἶπε βασιλεὺς ἰσραήλ· λάβετε τὸν μιχαίαν, καὶ ἀποστρέψατε αὐτὸν πρὸς ἀμμὼν τὸν ἄρχοντα τῆς πόλεως, καὶ πρὸς ἰωὰς υἱὸν τοῦ βασιλέως, εἴπατε· διάδετε τοῦτον ἐν φυλακῇ, καὶ ἐδιεῖν αὐτὸν ἄρτου θλίψεως καὶ ὕδατος θλίψεως, ἕως τοῦ ὑποστρέψαι με ἐν εἰρήνῃ. καὶ εἶπε μιχαίας· ἐὰν ὑποστρέφων ὑποστρέψῃς ἐν εἰρήνῃ, οὐκ ἐλάλησε κύριος ἐν ἐμοί. καὶ ἀνέβη βασιλεὺς ἰσραὴλ, καὶ ἰωσαφὰτ βασιλεὺς ἰούδα μετ' αὐτοῦ εἰς ῥεμμὰθ γαλαάδ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ βασιλέα ἰούδα· συγκάλυψόν με, καὶ εἰσελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ ἔνδυσαι τὴν ἱματισμόν μου. καὶ συνεκαλύψατο ὁ βασιλεὺς ἰσραὴλ, καὶ εἰσῆλθεν εἰς τὸν πόλεμον. καὶ ὁ βασιλεὺς συρίας ἐνετείλατο τοῖς ἄρχουσι τῶν ἁρμάτων αὐτοῦ, τριάκοντα καὶ δύο, λέγων· μὴ πολεμεῖτε μικρὸν ἢ μέγαν, ἀλλ' ἢ τὸν βασιλέα ἰσραὴλ μονώτατον. καὶ ἐγένετο, ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν ἰωσαφὰτ βασιλέα ἰούδα, καὶ αὐτὸν εἶπαν· φαίνεται βασιλεὺς ἰσραὴλ οὗτος, καὶ ἐκύκλωσαν αὐτὸν πολεμῆσαι, καὶ ἀνεβόησεν ἰωσαφάτ. καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων, ὅτι οὐκ ἔστι βασιλεὺς ἰσραὴλ οὗτος, καὶ ἀπέστρεψαν ἀπ' αὐτοῦ, καὶ ἐπάταξε τὸν βασιλέα ἰσραὴλ ἀνὰ μέσον τοῦ θωρακίου, καὶ ἀνὰ μέσον τοῦ θώρακος. καὶ εἶπε τῷ ἡνιόχῳ αὐτοῦ·

αὐτοῦ· ἐπίστρεψον τὰς χεῖράς σου, καὶ ἀξάγαγέ με ἐκ τοῦ πολέμου, ὅτι τέτρωμαι, καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ὁ Βασιλεὺς ἰωσαφὰτ ἐκακώθη ἐν τῷ ἅρματι ἀξαγαγεῖν αὐτὸν εἰς τὸν πόλεμον, καὶ ἐπέχυνε τὸ αἷμα ἐκ τῆς πληγῆς εἰς τὸν κόλπον τοῦ ἅρματος, καὶ ἀπέθανεν ἑσπέρας. καὶ ἐξεπορεύετο τὸ αἷμα ἐκ τῆς τροπῆς, ἕως τοῦ κόλπου τοῦ ἅρματος· καὶ ἔκραξεν ὁ στρατοκήρυξ ἐν τῇ παρεμβολῇ, διώνυμον τοῦ ἡλίου, λέγων· ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν καὶ εἰς τὴν ἑαυτοῦ γῆν, ὅτι τέθνηκεν ὁ Βασιλεύς. καὶ ἦλθον εἰς σαμαρείαν, καὶ ἔθαψαν τὸν Βασιλέα ἐν σαμαρείᾳ, καὶ ἀπένιψαν τὸ αἷμα ἐν τῇ κρήνῃ σαμαρείας. καὶ ἐξέλιξαν αἱ ὕδραι καὶ οἱ λιμνάδες τὸ αἷμα, καὶ αἱ πόρναι ἐλούσαντο ἐν τῷ αἵματι, κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησε. καὶ τὰ λοιπὰ τῶν λόγων ἀχαὰβ, καὶ πάντα ἃ ἐποίησε, καὶ οἶκον ἐλεφάντινον ὃν ᾠκοδόμησε, καὶ πάσας τὰς πόλεις ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν Βασιλέων ἰσραήλ; καὶ ἐκοιμήθη ἀχαὰβ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν ὀχοζίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ἰωσαφὰτ υἱὸς ἀσὰ ἐβασίλευσεν ὑπὲρ ἰούδα, ἐν ἔτει τετάρτῳ τοῦ ἀχαὰβ βασιλέως ἰσραήλ ἐβασίλευσεν ἰωσαφὰτ υἱὸς ἀσά, πριακονταπενταέτων ἐν τῷ βασιλεύειν αὐτόν, καὶ εἴκοσι καὶ ἑπτὰ ἔτη ἐβασίλευσεν ἐν ἰερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ, ἀζούβα θυγάτηρ σαλαΐ, καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ ἀσὰ τοῦ πατρὸς αὐτοῦ, οὐκ ἐξέκλινεν ἀπ' αὐτῆς τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου, πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν· ἔτι ὁ λαὸς ἐθυσίαζε, καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. καὶ εἰρήνευσεν ἰωσαφὰτ μετὰ βασιλέως ἰσραήλ, καὶ τὰ λοιπὰ τῶν λόγων ἰωσαφὰτ, καὶ αἱ δυνάμεις αὐτοῦ ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν βασιλέων ἰούδα; καὶ ἐκοιμήθη ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη πόλει τοῖς πατράσιν αὐτοῦ ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐβασίλευσεν ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ὀχοζίας υἱὸς ἀχαὰβ ἐβασίλευσεν ὑπὲρ ἰσραὴλ ἐν σαμαρείᾳ, ἐν ἔτει ἑπτακαιδεκάτῳ ἰωσαφὰτ βασιλέως ἰούδα. ὀχοζίας υἱὸς ἀχαὰβ ἐβασίλευσεν ὑπὲρ ἰσραὴλ ἐν σαμαρείᾳ, δύο ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐν ὁδῷ ἰεζάβελ τῆς μητρὸς αὐτοῦ, καὶ ἐν ταῖς ἁμαρτίαις οἴκου ἰεροβοὰμ υἱοῦ ναβάτ, ὃς ἐξήμαρτε τὸν ἰσραήλ, καὶ ἐδούλευσε τοῖς βααλὶμ, καὶ προσεκύνησεν αὐτοῖς, καὶ παρώργισε τὸν κύριον θεὸν ἰσραὴλ κατὰ πάντα τὰ ῥήματα ἐμπροσθεν αὐτοῦ.

Τέλος τῶν βασιλειῶν τρίτης.

ΒΑΣΙΛΕΙΩΝ ΤΕΤΑΡΤΗ

ΚΕΦΑΛ. α'. 1.

ΚΑΙ ἠθέτησε μωὰβ ἐν ἰσραὴλ μετὰ τὸ ἀποθανεῖν ἀχαὰβ, καὶ ἔπεσεν ὀχοζίας διὰ τοῦ δικτυωτοῦ, τοῦ ἐν τῷ ὑπερῴῳ αὐτοῦ ἐν σαμαρείᾳ, καὶ ἠρρώσησε, καὶ ἀπέστειλεν ἀγγέλους, καὶ εἶπε πρὸς αὐτούς· πορεύθητε καὶ ἐπιζητήσατε ἐν τῷ βάαλ μυῖαν θεὸν ἀκκαρών, εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης. καὶ ἐπορεύθησαν ἐπερωτῆσαι αὐτόν. καὶ ἄγγελος κυρίου ἐλάλησε πρὸς ἠλιὰ τὸν θεσβίτην, λέγων· ἀνάστας πορεύθητι εἰς συναντησιν τῶν ἀγγέλων ὀχοζίου βασιλέως σαμαρείας, καὶ ῥεῖς πρὸς αὐτούς· εἰ παρὰ τὸ μὴ εἶναι θεὸν ἐν ἰσραὴλ ἐν σαμαρείᾳ, ὑμεῖς πορεύεσθε ἐπιζητῆσαι ἐν τῇ βάαλ μυῖαν θεὸν ἀκκαρών; καὶ διὰ τοῦτο, ὅτι τάδε λέγει κύριος· ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι ἐκεῖ θανάτῳ ἀποθανῇ. καὶ ἐπορεύθη ἠλιού, καὶ εἶπε πρὸς αὐτούς. καὶ ἀπεστράφησαν οἱ ἄγγελοι πρὸς αὐτὸν, καὶ εἶπε πρὸς αὐτούς· τί ὅτι ἐπεστρέψατε; καὶ εἶπαν πρὸς αὐτόν· ἀνὴρ ἀνέβη εἰς συναντησιν ἡμῖν, καὶ εἶπε πρὸς ἡμᾶς· πορεύεσθε ὑποστρέψατε πρὸς τὸν βασιλέα τὸν ἀποστείλαντα ὑμᾶς, καὶ λαλήσατε πρὸς αὐτόν· τάδε λέγει κύριος, εἰ παρὰ τὸ μὴ εἶναι θεὸν ἐν ἰσραὴλ, σὺ πορεύῃ ἐπιζητῆσαι ἐν τῇ βάαλ μυῖαν θεὸν ἀκκαρών; διὰ τοῦτο ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θανάτῳ ἀποθανῇ. καὶ ὑποστρέψαντες ἀπήγγειλαν τῷ βασιλεῖ καθὰ ἐλάλησεν ἠλιού. καὶ εἶπεν· τίς ἡ ἰδέα τοῦ ἀνδρὸς τοῦ ἀναβαίνοντος εἰς συναντησιν ὑμῖν, καὶ λαλήσαντος πρὸς ὑμᾶς τοὺς λόγους τούτους; καὶ εἶπον πρὸς αὐτόν· ἀνὴρ δασύς, καὶ ζώνῃ δερματίνῃ περιεζωσμένος τὴν ὀσφῦν αὐτοῦ. καὶ εἶπεν· ἠλιού ὁ θεσβίτης ἐστίν. καὶ ἀπέστειλε πρὸς αὐτὸν ἡγούμενον πεντηκοντάρχου, καὶ τοὺς πεντηκοντα αὐτοῦ, καὶ ἀνέβη καὶ ἦλθε πρὸς αὐτόν. καὶ ἰδοὺ ἠλιού ἐκάθητο ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, καὶ ἐλάλησεν ὁ πεντηκοντάρχος πρὸς αὐτόν, καὶ εἶπεν· ἄνθρωπε τοῦ θεοῦ, ὁ βασιλεύς ἐκάλεσέ σε, καταβῆθι. καὶ ἀπεκρίθη ἠλιού, καὶ εἶπεν πρὸς τὸν πεντηκοντάρχον· καὶ εἰ ἄνθρωπος τοῦ θεοῦ ἐγώ, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ πῦρ, καὶ καταφάγεταί σε, καὶ τοὺς πεντήκοντά σου, καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτόν, καὶ τοὺς πεντήκοντα αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶ αὐτῶ. καὶ προσέθετο ὁ Βασιλεὺς, καὶ ἀπέστειλε πρὸς αὐτὸν ἄλλον τριτηκόνταρχον, καὶ τοὺς τριτήκοντα αὐτῶ, καὶ ἀνέβη καὶ ἐλάλησεν ὁ τριτηκόνταρχος πρὸς αὐτὸν, καὶ εἶπεν· ἄνθρωπε τοῦ θεοῦ, τάδε λέγει ὁ Βασιλεύς· ταχέως κατάβηθι. καὶ ἀπεκρίθη Ἠλιοὺ, καὶ ἐλάλησε πρὸς αὐτὸν, καὶ εἶπεν· εἰ ἄνθρωπος τοῦ θεοῦ ἐγώ εἰμι, καταβήτω πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατάφαγέτω σε, καὶ τοὺς τριτήκοντά σου. καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτὸν καὶ τοὺς τριτήκοντα αὐτοῦ. καὶ προσέθετο ὁ Βασιλεὺς ἔτι ἀποστεῖλαι ἡγούμενον τριτηκόνταρχον τρίτον καὶ τοὺς τριτήκοντα αὐτοῦ. καὶ ἦλθε πρὸς αὐτὸν ὁ τριτηκόνταρχος ὁ τρίτος, καὶ ἔκαμψεν τὰ γόνατα αὐτοῦ κατέναντι Ἠλιοὺ, καὶ ἐδεήθη αὐτοῦ, καὶ ἐλάλησε πρὸς αὐτὸν, καὶ εἶπεν· ἄνθρωπε τοῦ θεοῦ, γενηθήτω δὴ ἡ ψυχή μου, καὶ ἡ ψυχὴ τῶν δούλων σου τούτων τῶν τριτηκόντα ἐν ὀφθαλμοῖς σου. ἰδοὺ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε τοὺς δύο τριτηκοντάρχους τοὺς πρώτους, καὶ τοὺς τριτήκοντα αὐτῶν. καὶ νῦν γενηθήτω δὴ ἡ ψυχὴ τῶν δούλων σου ἐν ὀφθαλμοῖς σου. καὶ ἐλάλησεν ἄγγελος κυρίου πρὸς Ἠλιοὺ, καὶ εἶπε· κατάβηθι μετ' αὐτοῦ, μὴ φοβηθῆς ἀπὸ προσώπου αὐτοῦ. καὶ ἀνέστη Ἠλιοὺ καὶ κατέβη μετ' αὐτῶν πρὸς τὸν Βασιλέα, καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπε· τάδε λέγει κύριος· τί ὅτι ἀπέστειλας ἀγγέλους ἐκζητῆσαι ἐν Βεελ βάαλ μυῖαν θεὸν ἀκκαρών; ἐκ τούτου, ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θανάτῳ ἀποθανῇ. καὶ ἀπῆλθε καὶ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν Ἠλιού. καὶ τὰ λοιπὰ τῶν λόγων Ὀχοζίου ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν Βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς Βασιλεῦσιν Ἰσραήλ; καὶ Ἰωρὰμ υἱὸς Ἀχαὰβ Βασιλεύει ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἔτει δεκάτῳ δευτέρου, ἔτει εἰκοστῷ καὶ πρώτῳ τῆς Βασιλείας Ἰωσαφάτ, Βασιλέως Ἰούδα, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, πλὴν οὐχ ὡς οἱ ἀδελφοὶ αὐτοῦ, οὐδὲ ὡς ἡ μήτηρ αὐτοῦ, καὶ ἀπέστησε τὰς στήλας τοῦ Βάαλ ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ, καὶ σωὲτρι ψν αὐτάς, πλὴν ἐν ταῖς ἁμαρτίαις οἴκου Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ ἐκολλήθη, οὐκ ἀπέστη ἀπ' αὐτῶν, καὶ ἐθυμώθη ὀργῇ κυρίου εἰς τὸν οἶκον Ἀχαάβ.

ΚΕΦΑΛ. Β'. 2.

Καὶ ἐγένετο ἐν τῷ ἀναγαγεῖν κύριον τὸν συσεισμῶ ἐν Ἠλιοὺ, ὡς εἰς τὸν οὐρανόν. καὶ ἐπορεύθη Ἠλιοὺ καὶ Ἐλισσαιὲ ἐκ Γαλγάλων. καὶ εἶπεν Ἠλιὰς πρὸς Ἐλισσαιέ· κάθου δὴ ὧδε, ὅτι κύριος ἀπέσταλκέ με ἕως Βαιθήλ. καὶ εἶπεν Ἐλισσαιέ· ζῇ κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. καὶ ἦλθον εἰς Βαιθήλ. καὶ ἦλθον οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν Βαιθὴλ πρὸς Ἐλισσαιὲ, καὶ εἶπον πρὸς αὐτόν· εἰ ἔγνως, ὅτι λαμβάνει σήμερον κύριος τὸν κύριόν σου ἐπάνωθεν τῆς κεφαλῆς σου; καὶ εἶπε· καὶ ἐγὼ ἔγνωκα, σιωπᾶτε. καὶ εἶπεν αὐτῷ Ἠλιού· κάθου δὴ ὧδε, ὅτι κύριος ἀπέσταλκέ με εἰς Ἱεριχώ. καὶ εἶπεν Ἐλισσαιέ· ζῇ κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. καὶ ἦλθον εἰς Ἱεριχώ, καὶ ἤγγισαν οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν Ἱεριχὼ πρὸς Ἐλισσαιὲ, καὶ εἶπον πρὸς αὐτόν· εἰ ἔγνως, ὅτι σήμερον λαμβάνει κύριος τὸν κύριόν σου, ἐπάνωθεν τῆς κεφαλῆς σου. καὶ εἶπε· καὶ γε ἐγὼ ἔγνωκα, σιωπᾶτε. καὶ εἶπεν αὐτῷ Ἠλιού· κάθου δὴ ὧδε, ὅτι κύριος ἀπέσταλκέ με ἕως τοῦ Ἰορδάνου. καὶ εἶπεν Ἐλισσαιέ· ζῇ κύριος, καὶ ζῇ ἡ ψυχή σου εἰ ἐγκαταλείψω σε. καὶ ἐπορεύθησαν ἀμφότεροι, καὶ τριτήκοντα ἄνδρες ἐκ τῶν προφητῶν, καὶ ἔστησαν ἐξεναντίας μακρόθεν. καὶ ἀμφότεροι ἔστησαν ἐπὶ τοῦ Ἰορδάνου. καὶ ἔλαβεν Ἠλιοὺ τὴν μηλωτὴν αὐτοῦ καὶ ἐλίασεν, καὶ ἐπάταξε τὸ ὕδωρ, καὶ διῃρέθη τὸ ὕδωρ ἐνθα καὶ ἐνθα, καὶ διέβησαν ἀμφότεροι ἐν ξηρῷ. καὶ ἐγένετο ἐν τῷ διαβῆναι αὐτοὺς, καὶ Ἠλιὰς εἶπε πρὸς Ἐλισσαιέ· αἴτησαι τί ποιήσω σοι, πρὶν ἢ ἀναλημφθῆναί με ἀπὸ σοῦ. καὶ εἶπεν Ἐλισσαιέ· γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ' ἐμέ. καὶ εἶπεν Ἠλιού· ὠσκλήρυνας τοῦ αἰτήσασθαι. καὶ εἶπεν· ἐὰν ἴδῃς με ἀναλαμβανόμενον ἀφ' σοῦ, καὶ ἔσαι σοι οὕτως, καὶ ἐὰν μή, οὐ μὴ γένηται. καὶ ἐγένετο αὐτῶν πορευομένων, ἐπορεύοντο καὶ ἐλάλουν, καὶ ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρὸς, καὶ διέσχισεν αὐτὰ μέσον ἀμφοτέρων, καὶ ἀνελήφθη Ἠλιὰς ἐν συσεισμῷ ὡς εἰς τὸν οὐρανόν. καὶ Ἐλισσαιὲ ἑώρα, καὶ ἐβόα· πάτερ πάτερ ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ. καὶ οὐκ εἶδεν αὐτὸν ἔτι. καὶ ἐπελάβετο τῶν ἱματίων αὐτοῦ, καὶ διέῤῥηξεν αὐτὰ εἰς δύο ῥήγματα. καὶ ὕψωσεν Ἠλιὰς τὴν μηλωτὴν αὐτοῦ, ἣ ἔπεσεν ἐπάνωθεν Ἐλισσαιὲ, καὶ ἐπέστρεψεν Ἐλισσαιὲ, καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ Ἰορδάνου, καὶ ἔλαβε τὴν μηλωτὴν Ἠλιὰ ἣ ἔπεσεν ἐπάνωθεν αὐτοῦ, καὶ ἐπάταξε τὸ ὕδωρ καὶ οὐ διέστη, καὶ εἶπε· ποῦ ὁ θεὸς Ἠλιὰ ἀπφώ; καὶ ἐπάταξε τὰ ὕδατα, καὶ διῤῥάγησαν ἐνθα καὶ ἐνθα, καὶ διέβη Ἐλισσαιὲ διὰ ξηρᾶς. καὶ εἶδον αὐτὸν οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν Ἰεριχὼ ἐξεναντίας, καὶ εἶπον· ἐπαναπέπαυται τὸ πνεῦμα Ἠλιὰ ἐπὶ Ἐλισσαιέ. καὶ ἦλθον εἰς συναντησιν αὐτῷ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν, καὶ εἶπον πρὸς αὐτόν· ἰδοὺ δὴ μετὰ τῶν παίδων σου πεντήκοντα ἄνδρες υἱοὶ δυνάμεως, πορευθήτωσαν δὴ ζητησάτωσαν τὸν κύριόν σου, μήποτε ἦρεν αὐτὸν πνεῦμα κυρίου καὶ ἔῤῥιψεν αὐτὸν ἐν τῷ Ἰορδάνῃ ἐφ' ἓν τῶν ὀρέων, ἢ ἐφ' ἓν τῶν βουνῶν. καὶ εἶπεν Ἐλισσαιέ· οὐκ ἀποστελεῖτε. καὶ ᾐδέσαντο αὐτὸν, ἕως ὅτε ἠσχύνθη, καὶ εἶπεν· ἀφέσθε, καὶ ἀπέστειλαν πεντήκοντα ἄνδρας, καὶ ἐζήτησαν τρεῖς ἡμέρας καὶ οὐχ εὗρον αὐτὸν, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

αὐτὸν. καὶ αὐτὸς ἐκάθητο γὰρ ἐν Ιεριχώ, καὶ εἶπαν ἐλιάσαιε· οὐκ ἔστιν πρὸς ὑμᾶς μὴ ἀρσείλητε; καὶ ἔστιν οἱ ἄνδρες τῆς πόλεως πρὸς ἐλιάσαιε· ἰδοὺ ἡ παροίκησις τῆς πόλεως ἀγαθὴ, καθὼς σὺ κύριε βλέπεις, καὶ τὰ ὕδατα πονηρὰ, καὶ ἡ γῆ ἄτεκνος. καὶ εἶπαν ἐλιάσαιε· λάβετέ μοι ὑδρίαν καινὴν, καὶ δότε ἐκεῖ ἅλας. καὶ ἔλαβον καὶ ἤνεγκαν πρὸς αὐτόν. καὶ ἐξῆλθεν ἐλιάσαιε εἰς τὴν διέξοδον τῶν ὑδάτων, καὶ ἔρριψεν ἐκεῖ ἅλας, καὶ εἶπε· τάδε λέγει κύριος, ἰάσιμα τὰ ὕδατα ταῦτα, οὐκ ἔσαι ἔτι ἐκεῖθεν θάνατος, καὶ ἄτεκνος. καὶ ἰάθησαν τὰ ὕδατα ἕως τῆς ἡμέρας ταύτης κατὰ τὸ ῥῆμα ἐλιάσαιε, ὃ ἐλάλησε. καὶ ἀνέβη ἐκεῖθεν εἰς Βαιθήλ, καὶ ἀναβαίνοντος αὐτοῦ ἐν τῇ ὁδῷ, καὶ παιδάρια μικρὰ ἐξῆλθον ἐκ τῆς πόλεως καὶ κατέπαιζον αὐτοῦ, καὶ ἔστιν αὐτῷ· ἀνάβαινε φαλακρὲ ἀνάβαινε. καὶ ἐξέκλινεν ὀπίσω αὐτῶν, καὶ εἶδεν αὐτὰ, καὶ κατηράσατο αὐτοῖς ἐν ὀνόματι κυρίου. καὶ ἰδοὺ ἐξῆλθον δύο ἄρκοι ἐκ τοῦ δρυμοῦ, καὶ ἀνέῤῥηξαν ἐξ αὐτῶν τεσσαράκοντα καὶ δύο παῖδας. καὶ ἐπορεύθη ἐκεῖθεν τὸ ὄρος τὸ καρμήλιον, κἀκεῖθεν ἐπέστρεψεν εἰς σαμάρειαν.

ΚΕΦΑΛ. γ'. 3.

ΚΑΙ ἰωρὰμ υἱὸς ἀχιὰβ, ἐβασίλευσεν ἐν ἰσραὴλ ἐν ἔτει ὀκτωκαιδεκάτῳ ἰωσαφὰτ βασιλέως ἰούδα, καὶ ἐβασίλευσε δώδεκα ἔτη, καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου, πλὴν οὐχ ὡς ὁ πατὴρ αὐτοῦ, ὅσῳ ὡς ἡ μήτηρ αὐτοῦ, καὶ μετέστησε τὰς στήλας τοῦ Βάαλ ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ. πλὴν ἐν τῇ ἁμαρτίᾳ ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς ἐξήμαρτε τὸν ἰσραὴλ ἐκολλήθη, οὐκ ἀπέστη ἀπ' αὐτῶν. καὶ μωσὰ βασιλεὺς μωὰβ ἦν ἀνὴρ, καὶ ἀπέστρεφε τῷ βασιλεῖ ἰσραὴλ ἐν τῇ ἐπαναστάσει ἑκατὸν χιλιάδας ἀρνῶν, καὶ ἑκατὸν χιλιάδας κριῶν ὧν πόκων. καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν ἀχιὰβ, καὶ ἠθέτησε βασιλεὺς μωὰβ ἐν βασιλεῖ ἰσραήλ. καὶ ἐξῆλθεν ὁ βασιλεὺς ἰωρὰμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ σαμαρείας, καὶ ἐπεσκέψατο τὸν ἰσραήλ· καὶ ἐπορεύθη καὶ ἔστειλε πρὸς ἰωσαφὰτ βασιλέα ἰούδα, λέγων· βασιλεὺς μωὰβ ἠθέτησεν ἐν ἐμοὶ, εἰ πορεύσῃ μετ' ἐμοῦ εἰς μωὰβ εἰς πόλεμον; καὶ εἶπεν· ἀναβήσομαι. ὅμοιός μοι ὅμοιός σοι, ὡς ὁ λαός μου ὁ λαός σου, ὡς οἱ ἵπποι μου οἱ ἵπποι σου. καὶ εἶπε· ποίᾳ ὁδῷ ἀναβῶ; καὶ εἶπεν· ὁδὸν ὄρους μου ἐδώμ. καὶ ἐπορεύθη ὁ βασιλεὺς ἰσραὴλ, καὶ ὁ βασιλεὺς ἰούδα, καὶ ὁ βασιλεὺς ἐδώμ, καὶ ἐκύκλωσαν ὁδὸν ἑπτὰ ἡμερῶν, καὶ οὐκ ἦν ὕδωρ τῇ παρεμβολῇ καὶ τοῖς κτήνεσι τοῖς ἐν τοῖς ποσὶν αὐτῶν. καὶ εἶπε τοῖς παισὶν αὐτοῦ ὁ βασιλεὺς ἰσραήλ· ὤ, ὅτι ἐκέκληκεν ὁ κύριος οὗτος τοὺς βασιλεῖς πορεύεσθαι αὐτοὺς ἐν χειρὶ μωάβ. καὶ εἶπεν ἰωσαφὰτ πρὸς αὐτὸν, ὁ βασιλεὺς ἰούδα· οὐκ ἔστιν ὧδε προφήτης τοῦ κυρίου, καὶ ἐπιζητήσωμεν τὸν κύριον παρ' αὐτοῦ; καὶ ἀπεκρίθη εἷς τῶν παίδων τοῦ βασιλέως ἰσραήλ, καὶ εἶπεν· ὧδε ἐλιάσαιε υἱὸς σαφὰτ, ὃς ἐπέχεεν ὕδωρ ἐπὶ χεῖρας ἠλιού. καὶ εἶπεν ἰωσαφὰτ· ἔστιν αὐτῷ ῥῆμα κυρίου; καὶ κατέβη πρὸς αὐτὸν βασιλεὺς ἰσραὴλ, καὶ ἰωσαφὰτ βασιλεὺς ἰούδα, καὶ βασιλεὺς ἐδώμ. καὶ εἶπεν ἐλιάσαιε πρὸς βασιλέα ἰσραὴλ· τί ἐμοὶ καὶ σοί; διάβηθι πρὸς τοὺς προφήτας τοῦ πατρός σου, καὶ τοὺς προφήτας τῆς μητρός σου. καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς ἰσραήλ· μή, ὅτι ἐκάλεσε κύριος τοὺς τρεῖς βασιλεῖς, τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖρας μωάβ; καὶ εἶπεν ἐλιάσαιε· ζῇ κύριος τῶν δυνάμεων ᾧ παρέστηκα ἐνώπιον αὐτοῦ, ὅτι εἰ μὴ πρόσωπον ἰωσαφὰτ βασιλέως ἰούδα ἐγὼ λαμβάνω, εἰ ἐπέβλεψα πρὸς σὲ καὶ εἶδόν σε. καὶ νῦν λάβετέ μοι ψάλλοντα. καὶ ἐγένετο, ὡς ἔψαλλεν ὁ ψάλλων, καὶ ἐγένετο ἐπ' αὐτὸν χεὶρ κυρίου, καὶ εἶπε· τάδε λέγει κύριος· ποιήσατε τὸν χειμάῤῥουν τοῦτον βοθύνους βοθύνους, ὅτι τάδε λέγει κύριος· οὐκ ὄψεσθε πνεῦμα, καὶ οὐκ ὄψεσθε ὑετὸν, καὶ ὁ χειμάῤῥους οὗτος πλησθήσεται ὕδατος, καὶ πίεσθε ὑμεῖς, καὶ αἱ κτήσεις ὑμῶν καὶ τὰ κτήνη ὑμῶν. καὶ κοῦφα αὐτὰ ἐν ὀφθαλμοῖς κυρίου, καὶ παραδώσει τὸν μωὰβ εἰς χεῖρας ὑμῶν, καὶ πατάξετε πᾶσαν πόλιν ὀχυρὰν, καὶ πᾶν ξύλον ἀγαθὸν καταβαλεῖτε, καὶ πάσας πηγὰς ὕδατος ἐμφράξετε, καὶ πᾶσαν μερίδα ἀγαθὴν ἀχρειώσετε ἐν λίθοις. καὶ ἐγένετο πρωΐ, ἀναβαινούσης τῆς θυσίας, καὶ ἰδοὺ ὕδατα ἤρχοντο ἐξ ὁδοῦ ἐδώμ, καὶ ἐπλήσθη ἡ γῆ ὕδατος. καὶ πᾶσα μωὰβ ἤκουσεν, ὅτι ἀνέβησαν οἱ τρεῖς βασιλεῖς πολεμεῖν αὐτούς, καὶ ἐβόησαν ἐκ πανὸς πανοπλίᾳ καὶ ἐπάνω, καὶ ἔστησαν ἐπὶ τοῦ ὁρίου. καὶ ὤρθρισαν πρωΐ, καὶ ὁ ἥλιος ἀνέτειλεν ἐπὶ τὰ ὕδατα. καὶ εἶδε μωὰβ ἐξεναντίας τὰ ὕδατα πυῤῥὰ, ὡς αἷμα, καὶ εἶπεν· αἷμα τοῦτο ἡ ῥομφαίαι. καὶ ἐμαχέσαντο οἱ βασιλεῖς, καὶ ἐπάταξεν ἀνὴρ τὸν πλησίον αὐτοῦ, καὶ νῦν ἐπὶ τὰ σκῦλα μωάβ. καὶ εἰσῆλθον εἰς τὴν παρεμβολὴν ἰσραὴλ, καὶ ἰσραὴλ ἀνέστησαν καὶ ἐπάταξαν τὴν μωὰβ, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτῶν. καὶ εἰσῆλθον εἰσπορευόμενοι καὶ τύπτοντες τὴν μωὰβ, καὶ τὰς πόλεις καθεῖλον, καὶ ἐπὶ πᾶσαν μερίδα ἀγαθὴν ἔῤῥιψεν ἀνὴρ τὸν λίθον αὐτοῦ καὶ ἐνέπλησαν αὐτὴν, καὶ πᾶσαν πηγὴν ὕδατος ἐνέφραξαν, καὶ πᾶν ξύλον ἀγαθὸν κατέβαλον, ἕως τοῦ καταλιπεῖν οὐ λίθος τοῦ τοίχου καθηρεμένος. καὶ ἐκύκλωσαν οἱ σφενδονῆται, καὶ ἐπάταξαν αὐτήν. καὶ εἰσῆλθεν ὁ βασιλεὺς μωὰβ, ὅτι ἐκρατύνθη ὑπὲρ αὐτὸν ὁ πόλεμος. καὶ ἔλαβε μεθ' ἑαυτοῦ ἑπτακοσίους ἄνδρας ἐσπασμένους ῥομφαίαν, διακόψαι πρὸς τὸν βασιλέα ἐδώμ, καὶ οὐκ ἠδυνήθησαν. καὶ ἔλαβε τὸν υἱὸν αὐτοῦ τὸν πρωτότοκον ὃν ἐβασίλευσεν αὐτ' αὐτοῦ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ, καὶ αὐλίσθηκεν αὐτὸν ὁλονυκτωμα ὠῖ τοῦ τείχους. καὶ ἐγγὺς μετὰμελὸν μέγας ὠῖ ἰσραὴλ. καὶ ἀπῆραν ἀπ' αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς τὴν γῆν.

ΚΕΦΑΛ. ϛ'. 4.

Καὶ γυνὴ μία ἀπὸ τῶν υἱῶν τῶν προφητῶν ἐβόα πρὸς τὸν ἐλισσαιὲ λέγουσα· ὁ δοῦλός σου ὁ ἀνήρ μου ἀπέθανε, καὶ σὺ ἔγνως ὅτι ὁ δοῦλος σου φοβούμενος τὸν κύριον, καὶ ὁ δανειστὴς ἦλθε λαβεῖν τοὺς δύο υἱούς μου αὐτῷ εἰς δούλους. καὶ εἶπε πρὸς αὐτὴν ἐλισσαιέ· τί ποιήσω σοι; αὐτάγγειλόν μοι τί ἔστι σοι ἐν τῷ οἴκῳ σου; ἡ δὲ εἶπεν· οὐκέτι τῇ δούλῃ σου ἐν τῷ οἴκῳ μου, εἰ μὴ ὀλίγον ἀλείψομαι ἔλαιον. καὶ εἶπε πρὸς αὐτὴν· δεῦρο αἴτησαι αὐτῇ σκεύη ἔξωθεν παρὰ πάντων τῶν γειτόνων σου, σκεύη κενά, καὶ μὴ ὀλιγώσῃς, καὶ εἰσελεύσῃ καὶ ἀποκλείσῃς τὴν θύραν κατὰ σοῦ, καὶ τῶν υἱῶν σου· καὶ ἀρχεῖς εἰς τὰ σκεύη ταῦτα, καὶ ὃ πληρωθῇ ἀρεῖς. καὶ ἀπῆλθε παρ' αὐτοῦ, καὶ ἐποίησεν ὅτως, καὶ ἀπέκλεισε τὴν θύραν καθ' ἑαυτήν, καὶ τῶν υἱῶν αὐτῆς, αὐτοὶ προσήγγιζον πρὸς αὐτὴν, καὶ αὐτὴ ἐπέχεεν ἕως ἐπλήσθησαν τὰ σκεύη. καὶ εἶπε πρὸς τὸν υἱὸν αὐτῆς· ἐγγίσατε ἔτι πρός με σκεῦος. καὶ εἶπον αὐτῇ· οὐκ ἔστιν ἔτι σκεῦος, καὶ ἔστη ὁ ἔλαιον. καὶ ἦλθε καὶ ἀπήγγειλε τῷ ἀνθρώπῳ τοῦ θεοῦ, καὶ εἶπεν ἐλισσαιέ· δεῦρο, καὶ ἀπόδος τὸ ἔλαιον, καὶ ἀπότισον τὸν τόκον σου, καὶ σὺ καὶ οἱ υἱοί σου ζήσεσθε ἐν τοῖς λοιποῖς ἐλαίῳ. καὶ ἐγένετο ἡμέρα, καὶ διῆλθεν ἐλισσαιὲ εἰς σωμάν, καὶ ἐκεῖ γυνὴ μεγάλη, καὶ ἐκράτησεν αὐτὸν φαγεῖν ἄρτον. καὶ ἐγένετο ἀφ' ἱκανοῦ τοῦ εἰσπορεύεσθαι αὐτὸν, διέκλινε τοῦ ἐκεῖ φαγεῖν ἄρτον, καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς· ἰδοὺ δὴ ἔγνωκα, ὅτι ἄνθρωπος τοῦ θεοῦ ἅγιός ἐστιν, διαπορεύεται ἐφ' ἡμᾶς διαπαντός. ποιήσωμεν δὴ αὐτῷ ὑπερῷον τόπον μικρὸν, καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην καὶ τράπεζαν καὶ δίφρον καὶ λυχνίαν, καὶ ἔσται εἰς τὸ εἰσπορεύεσθαι πρὸς ἡμᾶς, καὶ ἐκκλινεῖ ἐκεῖ. καὶ ἐγένετο ἡμέρα, καὶ εἰσῆλθεν ἐκεῖ, καὶ ἐξέκλινεν εἰς τὸ ὑπερῷον, καὶ ἐκοιμήθη ἐκεῖ. καὶ εἶπε πρὸς γιεζὶ τὸν παιδάριον αὐτοῦ· κάλεσόν μοι τὴν σωμανίτιν ταύτην. καὶ ἐκάλεσεν αὐτὴν, καὶ ἔστη ἐνώπιον αὐτοῦ, καὶ εἶπεν αὐτῇ· εἶπον δὴ πρὸς αὐτὴν· ἰδοὺ ἐξέστησας ἡμῖν πᾶσαν τὴν ἔκστασιν ταύτην, τί δεῖ ποιῆσαι σοί; εἰ ἔστι λόγος σοι πρὸς τὸν βασιλέα ἢ πρὸς τὸν ἄρχοντα τῆς δυνάμεως; ἡ δὲ εἶπεν· ἐν μέσῳ τοῦ λαοῦ ἐγώ εἰμι, οἰκῶ ἀνυχίζουσα. καὶ εἶπε πρὸς γιεζεί· τί δεῖ ποιῆσαι αὐτῇ; καὶ εἶπε γιεζεὶ τὸ παιδάριον αὐτοῦ· καὶ μάλα ὑὸς οὐκ ἔστιν αὐτῇ, καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης. καὶ εἶπεν· κάλεσον αὐτὴν, ἐκάλεσεν αὐτὴν, καὶ ἔστη πρὸ τῆς θύρας. καὶ εἶπεν ἐλισσαιὲ πρὸς αὐτήν· εἰς τὸν καιρὸν τοῦτον ὡς ἡ ὥρα ζῶσα, καὶ σὺ περιλήμψῃ υἱόν. ἡ δὲ εἶπε· μὴ κύριε, μὴ διάψευσον τὴν δούλην σου. καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνὴ, καὶ ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥρα ζῶσα, ὡς ἐλάλησε πρὸς αὐτὴν ἐλισσαιὲ. καὶ ἠνδρώθη τὸ παιδάριον. καὶ ἐγένετο ἡμέρα καὶ ἐξῆλθε τὸ παιδάριον πρὸς τὸν πατέρα αὐτοῦ, πρὸς τοὺς θερίζοντας, καὶ εἶπε πρὸς τὸν πατέρα αὐτοῦ· τὴν κεφαλήν μου, τὴν κεφαλήν μου. καὶ εἶπε τῷ παιδαρίῳ· ἆρον αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ. καὶ ἦρεν αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ. καὶ ἐκοιμήθη ὠῖ τῶν γονάτων αὐτῆς ἕως μεσημβρίας, καὶ ἀπέθανε. καὶ αὐλίσθηκεν αὐτὸν, καὶ ἐκοίμησεν αὐτὸν ὠῖ τὴν κλίνην τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ ἀπέκλεισε κατ' αὐτοῦ. καὶ ἐξῆλθε καὶ ἐκάλεσε τὸν ἄνδρα αὐτῆς, καὶ εἶπεν· ἀπόστειλόν δὴ μοι ἓν τῶν παιδαρίων, καὶ μίαν τῶν ὄνων, καὶ δραμοῦμαι ἕως τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ ἐπιστρέψω. καὶ εἶπε· τί, ὅτι σὺ πορεύῃ πρὸς αὐτὸν σήμερον; οὐ νεομηνία, οὐδὲ σάββατον; ἡ δὲ εἶπεν· εἰρήνη. καὶ ἐπέσαξε τὴν ὄνον, καὶ εἶπε πρὸς τὸ παιδάριον αὐτῆς· ἄγε, πορεύου, μὴ ἐπίσχῃς μοι τοῦ ὠῖ ἐλθεῖν, ὅτι ἐὰν εἴπω σοι· πορεύου, καὶ πορεύσῃ πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ εἰς ὄρος τὸ καρμήλιον. καὶ ἐπορεύθη, καὶ ἦλθεν ἕως τοῦ ἀνθρώπου τοῦ θεοῦ, εἰς τὸ ὄρος. καὶ ἐγένετο ὡς εἶδεν ἐλισσαιὲ ὀρχομένην αὐτὴν, καὶ εἶπε πρὸς γιεζεὶ τὸ παιδάριον αὐτοῦ· ἰδοὺ ἡ σωμανίτις ἐκείνη. νῦν δράμε εἰς ἀπάντησιν αὐτῇ, καὶ ὄρεις· εἰρήνη σοί; καὶ εἰρήνη ἐν ἀνδρί σου; καὶ εἰρήνη τῷ παιδαρίῳ; ἡ δὲ εἶπεν· εἰρήνη. καὶ ἦλθε πρὸς τὸν ἐλισσαιὲ εἰς τὸ ὄρος, καὶ ἐπελάβετο τῶν ποδῶν αὐτοῦ. καὶ ἤγγισεν γιεζεὶ ἀπῶσαι αὐτὴν. καὶ εἶπεν ἐλισσαιὲ· ἄφες αὐτὴν, ὅτι ἡ ψυχὴ αὐτῆς κατώδυνος αὐτῇ, καὶ κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ, καὶ οὐκ ἀπήγγειλέ μοι. ἡ δὲ εἶπε· μὴ ἠτησάμην υἱὸν παρὰ τοῦ κυρίου μου; οὐκ εἶπον· μὴ πλανήσεις μετ' ἐμοῦ; καὶ εἶπεν ἐλισσαιὲ τῷ γιεζεί· ζῶσαι τὴν ὀσφύν σου, καὶ λάβε τὴν βακτηρίαν μου ἐν τῇ χειρί σου, καὶ δεῦρο, ὅτι ἐὰν εὕρῃς ἄνδρα οὐ λογήσεις αὐτῷ, καὶ ἐὰν λογήσῃ σε οὐκ ἀποκριθήσῃ αὐτῷ, καὶ θήσεις τὴν βακτηρίαν μου ἐπὶ πρόσωπον τοῦ παιδαρίου. καὶ εἶπεν ἡ μήτηρ τοῦ παιδαρίου· ζῇ κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. καὶ ἀνέστη ἐλισσαιὲ καὶ ἐπορεύθη ὀπίσω αὐτῆς. καὶ γιεζεὶ ἦλθεν ἔμπροσθεν αὐτῆς, καὶ ἐπέθηκε τὴν βακτηρίαν ἐπὶ πρόσωπον τοῦ παιδαρίου, καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις. καὶ ἐπέστρεψεν εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἀπήγγειλεν αὐτῷ λέγων· οὐκ ἠγρύπνησε τὸ παιδάριον. καὶ εἰσῆλθεν ἐλισσαιὲ εἰς τὸν οἶκον, καὶ ἰδοὺ τὸ παιδάριον τεθνηκὸς, κεκοιμισμένον ἐπὶ τῆς κλίνης αὐτοῦ. καὶ εἰσῆλθε ἐλισσαιὲ εἰς τὸν οἶκον, καὶ ἀπέκλεισε τὴν θύραν ἐπ' αὐτῶν, καὶ προσηύξατο πρὸς κύριον, καὶ ἀνέβη, καὶ ἐκοιμήθη ἐπὶ τὸ παιδάριον, καὶ ἔθηκε τὸ στόμα αὐτοῦ ἐπὶ τὸ στόμα αὐτοῦ, καὶ

αὖ ὀφθαλμὰς αὐτοῦ ὡδὶ αὖς ὀφθαλμοὺς αὐτοῦ, καὶ τὰς χεῖρας αὐτοῦ ὡδὶ τὰς χεῖρας αὐτοῦ, καὶ τὰ ἴχνη αὐτοῦ ὡδὶ τὰ ἴχνη αὐτοῦ, καὶ γνῶ φύσησόν αὐτὸν, καὶ λίκνα μὴ γνῶ ἐπ' αὐτὸν, καὶ διεθρομαύθη ἡ σὰρξ τοῦ παιδαρείου. καὶ ἐπέστρεψε, καὶ ἐπορεύθη γὴ τὴν οἰκίαν γῆθεν καὶ γῆθεν. καὶ ἀνέβη, καὶ συνεκάλυψεν ὡδὶ τὸ παιδάριον ἕως ἑπτάκις, καὶ ἤνοιξε τὸ παιδάριον αὖς ὀφθαλμὰς αὐτοῦ. καὶ ἐβόησεν ἐλισαιὲ πρὸς γιεζεί, καὶ εἶπε· κάλεσον τὴν σωμανίτιν ταύτην. καὶ ἐκάλεσεν καὶ εἰσῆλθε πρὸς αὐτὸν, καὶ εἶπεν ἐλισαιέ· λάβε τὸν υἱόν σου. καὶ εἰσῆλθεν ἀγυνὴ, καὶ ἔπεσεν παρὰ τοὺς πόδας αὐτοῦ, καὶ προσεκύνησε τῇ γῇ τῷ γόνατι, καὶ ἔλαβε τὸν υἱὸν αὐτῆς, καὶ ἐξῆλθε. καὶ ἐλισαιὲ ἐπέστρεψεν εἰς γάλγαλα, καὶ ὁ λιμὸς γῆ τῇ γῇ, καὶ οἱ υἱοὶ τῶν προφητῶν ἐκάθηντο γῶπον αὐτοῦ. καὶ εἶπεν ἐλισαιὲ τῷ παιδαρείῳ αὐτοῦ· ἐπίσησον τὸν λέβητα τὸν μέγαν, καὶ ἕψει ἕψημα τοῖς υἱοῖς τῶν προφητῶν. καὶ ἐξῆλθεν εἰς τὸν ἀγρὸν συλλέξαι ἀρίωθ, καὶ εὗρεν ἄμπελον γῶ τῷ ἀγρῷ, καὶ συνέλεξεν ἀπ' αὐτῆς τολύπην ἀγρίαν πλήρη τὸ ἱμάτιον αὐτοῦ, καὶ γῆβαλεν εἰς τὸν λέβητα τοῦ ἕψεματος, ὅτι οὐκ ἔγνωσαν, καὶ γῆχεεν τοῖς ἀνδράσι φαγεῖν. καὶ ἐγένετο γῶ τῷ ἐδιέιν αὐτοὺς ἐκ τοῦ ἕψεματος, καὶ ἰδοὺ ἀνέβοησαν, καὶ εἶπαν θάνατος γῶ τῷ λέβητι, ἄνθρωπε τοῦ θεοῦ. καὶ οὐκ ἠδύναντο φαγεῖν. καὶ εἶπε· λάβετε ἄλευρον, καὶ ἐμβάλετε εἰς τὸν λέβητα. καὶ εἶπεν ἐλισαιὲ πρὸς γιεζεί· ἐκχεε τῷ λαῷ, καὶ ἐδιέτωσαν. καὶ οὐκ ἐγένετο ἐκεῖ ἔτι ῥῆμα πονηρὸν γῶ τῷ λέβητι. καὶ ἀνὴρ διῆλθεν ἐκ Βαιθαρισά, καὶ ἤνεγκε πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ πρωτογενημάτων εἴκοσι ἄρτους κριθίνους καὶ παλάθας, καὶ εἶπε· δὸς τῷ λαῷ, καὶ ἐδιέτωσαν. καὶ εἶπεν ὁ λειτουργὸς αὐτοῦ· τίνι δῶ τοῦτο γῶπον ἐνώπιον ἀνδρῶν; καὶ εἶπε· δὸς τῷ λαῷ καὶ ἐδιέτωσαν, ὅτι τάδε λέγει κύριος· φαγονται, καὶ καταλείψουσι. καὶ ἔφαγον. καὶ κατέλιπεν κατὰ τὸ ῥῆμα κυρίου.

ΚΕΦΑΛ. ε. ς.

ΚΑὶ νεεμὰν ὁ ἀρχων τῆ δυνάμεως τῆ συρίας ἦν ἀνὴρ μέγας, ἔναντι βασιλέως γῶπον τοῦ κυρίου αὐτοῦ, καὶ τεθαυμασμένος προσώπῳ, ὅτι δι' αὐτοῦ ἔδωκε κύριος σωτηρίαν συρίᾳ. καὶ ὁ ἀνὴρ ἦν δυνατὸς ἰσχύϊ λελεπρωμένος. καὶ ἐκ συρίας ἐξῆλθον μονόζωνοι, καὶ ἠχμαλώτευσαν ἐκ γῆς ἰσραὴλ νεανίδα μικρὰν, καὶ ἦν γῶπον τῆ γυναικὸς νεεμάν. ἡ δὲ εἶπε τῇ κυρίᾳ αὐτῆς· ὄφελον, ὁ κύριός μου γῶπον τοῦ προφήτου τοῦ θεοῦ, τοῦ γῶ σαμαρείας, τότε ἀρσωμάξει αὐτὸν ἀπὸ τῆ λέπρας αὐτοῦ. καὶ εἰσῆλθε καὶ ἀπήγγειλε τῷ κυρίῳ αὐτῆς, καὶ εἶπεν· ὅτως καὶ ὅτως ἐλάλησεν ἡ νεανὶς ἡ ἐκ γῆς ἰσραήλ. καὶ εἶπε βασιλεὺς συρίας πρὸς νεεμάν· δεῦρο εἴσελθε, καὶ ἀποστελῶ βιβλίον πρὸς βασιλέα ἰσραήλ. καὶ ἐπορεύθη, καὶ ἔλαβεν γῶ τῇ χειρὶ αὐτοῦ δέκα τάλαντα ἀργυρίου, καὶ ἑξακισχιλίας χρυσοῦς, καὶ δέκα ἀλλαξομωλύας στολὰς, καὶ ἤνεγκε τὸ βιβλίον πρὸς τὸν βασιλέα ἰσραὴλ, λέγων· καὶ νῦν ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο πρός σε, ἰδοὺ ἀπέσταλα πρός σε νεεμὰν τὸν δοῦλόν μου, καὶ ἀρσωμάξεις αὐτὸν ἀπὸ τῆ λέπρας αὐτοῦ. καὶ ἐγένετο ὡς ἀνέγνω βασιλεὺς ἰσραὴλ τὸ βιβλίον, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἶπε· μὴ θεὸς ἐγὼ, τοῦ ζωοποιῆσαι, ἢ τοῦ θανατῶσαι; ὅτι οὗτος ἀπέστειλε πρός με ἄνθρωπον, ἀρσωμάξαι ἄνθρωπον ἀπὸ τῆ λέπρας αὐτοῦ; ὅτι πλὴν γνῶτε δὴ καὶ ἴδετε, ὅτι πρόφασίν ζητεῖ οὗτος ἀπ' ἐμοῦ. καὶ ἐγένετο, ὡς ἤκουσε ἐλισαιὲ, ὃν διέρρηξεν ὁ βασιλεὺς ἰσραὴλ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπέστειλε πρὸς τὸν βασιλέα ἰσραὴλ, λέγων· ἵνατί διέρρηξας τὰ ἱμάτιά σου; ἐλθέτω δὴ πρός με νεεμάν, καὶ γνώτω, ὅτι ἔστι προφήτης γῶ ἰσραὴλ. καὶ ἦλθε νεεμὰν γῶ ἵππῳ καὶ ἅρματι, καὶ ἔστη ὡδὶ θύρας οἴκου ἐλισαιέ, καὶ ἀπέστειλεν ἐλισαιὲ ἄγγελον πρὸς αὐτὸν, λέγων· πορεύθεις λοῦσαι ἑπτάκις γῶ τῷ ἰορδάνῃ, καὶ ὡδὶ ἐπιστρέψει ἡ σὰρξ σου σοί, καὶ καθαρισθήσῃ. καὶ ἐθυμώθη νεεμὰν· καὶ ἀπῆλθε, καὶ εἶπεν· ἰδοὺ δὴ ἔλεγον, ὅτι ἐξελεύσεταί πρός με, καὶ στήσεται καὶ ἐπικαλέσεται γῶ ὀνόματι θεοῦ αὐτοῦ, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ὡδὶ τὸν τόπον, καὶ ἀρσωμάξει τὸν λεπρόν· οὐχὶ ἀγαθοὶ ἄβανα καὶ φαρφὰρ ποταμοὶ δαμασκοῦ ὑπὲρ ἰορδάνην, καὶ πάντα τὰ ὕδατα ἰσραήλ; οὐχὶ πορευθεὶς λούσομαι γῶ αὐτοῖς, καὶ καθαρισθήσομαι; καὶ ἐξέκλινε καὶ ἀπῆλθεν γῶ θυμῷ, καὶ ἤγγισαν οἱ παῖδες αὐτοῦ, καὶ ἐλάλησαν πρὸς αὐτόν· μέγαν λόγον ἐλάλησε ὁ προφήτης πρός σε, οὐχὶ ποιήσεις; ὅτι εἶπε πρός σε· λοῦσαι, καὶ καθαρισθήτι. καὶ κατέβη νεεμὰν καὶ ἐβαπτίσατο γῶ τῷ ἰορδάνῃ ἑπτάκις, κατὰ τὸ ῥῆμα ἐλισαιέ, καὶ ἀπέστρεψεν ἡ σὰρξ αὐτοῦ ὡς σὰρξ παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη. καὶ ἐπέστρεψε πρὸς ἐλισαιὲ αὐτὸς, καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἦλθε καὶ ἔστη γῶπον αὐτοῦ, καὶ εἶπεν· ἰδοὺ δὴ ἔγνωκα ὅτι οὐκ ἔστι θεὸς γῶ πάσῃ τῇ γῇ, ὅτι ἀλλ' ἢ γῶ τῷ ἰσραὴλ. καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. καὶ εἶπεν ἐλισαιέ· ζῇ κύριος, ὧ παρέστηκα γῶπον αὐτοῦ, εἰ λήψομαι. καὶ παρεβιάσατο αὐτὸν λαβεῖν, καὶ ἠπείθησε. καὶ εἶπε νεεμάν· καὶ εἰ μὴ δοθήτω δὴ τῷ δούλῳ σου, γόμος ζεύγους ἡμιόνων, καὶ σὺ μοι δώσεις ἐκ τῆ γῆς τῆ πυρρᾶς· ὅτι οὐ ποιήσει ἔτι ὁ δούλος σου ὁλοκάρπωμα καὶ θυσίας θεοῖς ἑτέροις, ἀλλ' ἢ τῷ κυρίῳ μόνῳ, τῷ ῥήματι τούτῳ, καὶ περὶ τοῦ λόγου τούτου, καὶ ἱλάσεται ὁ κύριος τῷ δούλῳ σου, γῶ τῷ εἰσπορεύεσθαί τὸν κύριόν μου εἰς οἶκον ῥεμμαν προσκυνῆσαι αὐτὸν, καὶ ἐκεῖ ἐπαναπαύσεται ὡδὶ τῆ χειρός μου, καὶ προσκυνήσω γῶ οἴκῳ ῥεμμαν, γῶ τῷ προσκυνεῖν αὐτὸν γῶ οἴκῳ ῥεμμαν,

μαν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαὶ, καὶ ἱλασθήσεται διὰ λύειον τοῦ διὰ ὅλων τῶν λόγων τούτων. καὶ εἶπαν ἐλισσαιὲ πρὸς νεεμαὶ· δὸς ὑμῖν εἰς ἐρήνην. καὶ ἀπῆλθον ἀπ' αὐτοῦ εἰς χαβραθὰ τῆς γῆς. καὶ εἶπε γιεζεὶ ὁ παιδάριον ἐλισσαιὲ· ἰδοὺ ἐφείσατο ὁ λύειός μου τοῦ νεεμαὶ τοῦ σύρου τούτου, τοῦ μὴ λαβεῖν ἐκ χειρὸς αὐτοῦ, ὧν ἐλάβοχε. ζῇ λύειος, ὅτι εἰ μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ, καὶ λήψομαι ἀπ' αὐτοῦ τι. καὶ ἐδίωξε γιεζεὶ ὀπίσω τοῦ νεεμαὶ. καὶ εἶδεν ὡς ἀνὴρ νεεμαὶ πρέχοντα ὀπίσω αὐτοῦ, καὶ ἐπέστρεψεν ἀπὸ τοῦ ἅρματος εἰς ἀπάντησιν αὐτοῦ, καὶ εἶπεν· εἰρήνη. ὁ λύειός μου ἀπέσταλέ με λέγων· ἰδοὺ νῦν ἦλθον πρός με δύο παιδάρια ἀπὸ ὄρους ἐφραὶμ ἀπὸ τῶν υἱῶν τῶν προφητῶν, δὸς δὴ αὐτοῖς τάλαντον ἀργυρίου, καὶ δύο ἀλλαξομωνίας στολάς. καὶ εἶπε νεεμαὶ· λάβε δὴ τάλαντον ἀργυρίου, καὶ ἔλαβε δύο τάλαντα ἀργυρίου ἐν δυσὶ θυλακίοις, καὶ δύο ἀλλαξομωνίας στολὰς ἐδωκεν ταῖς δυσὶ παιδάρια αὐτοῦ, καὶ ἦραν ἔμπροσθεν αὐτοῦ, καὶ ἦλθεν εἰς τὸ στοτεινόν, καὶ ἔλαβεν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ κατέθετο ἐν οἴκῳ, καὶ ἐξαπέστειλε τοὺς ἄνδρας. καὶ αὐτοὶ ἦλθε καὶ κατέστη πρὸς τὸν λύειον αὐτοῦ. καὶ εἶπε πρὸς αὐτὸν ἐλισσαιὲ· πόθεν γιεζεί; καὶ εἶπε γιεζεὶ, ὁ ὡσπόρευται ὁ δοῦλός σου ὧδε καὶ ὧδε; καὶ εἶπε πρὸς αὐτὸν ἐλισσαιὲ· οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ, καὶ οἶδα ὅτι ἐπέστρεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος αὐτοῦ, εἰς συναντῆσαί σοι; καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ ἔλαβες τὰ ἱμάτια, καὶ λήψῃ ἐν αὐτῷ ἐλαίας καὶ ἀμπελῶνας, καὶ πρόβατα καὶ βόας, καὶ παῖδας καὶ παιδίσκας, καὶ ἡ λέπρα νεεμαὶ κολληθήσεταί σοι, καὶ τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ λελεπρωμένος, ὡσεὶ χιών.

ΚΕΦΑΛ. ε. 6.

ΚΑὶ εἶπεν οἱ υἱοὶ τῶν προφητῶν πρὸς ἐλισσαιὲ· ἰδοὺ δὴ ὁ τόπος ἐν ᾧ ἡμεῖς οἰκοῦμεν ἐνώπιόν σου, στενὸς ἀφ' ἡμῶν, πορευθῶμεν δὴ ἕως τοῦ ἰορδάνου, καὶ λάβωμεν ἐκεῖθεν ἀνὴρ εἷς δοκὸν μίαν, καὶ ποιήσωμεν ἑαυτοῖς ἐκεῖ τοῦ οἰκεῖν ἐκεῖ. καὶ εἶπε· πορεύεσθε. καὶ εἶπεν ὁ εἷς· δεῦρο ὦδε καὶ, δεῦρο μετὰ τῶν δούλων σου. καὶ εἶπεν· ἐγὼ πορεύσομαι. καὶ ἐπορεύθη μετ' αὐτῶν, καὶ ἦλθον εἰς τὸν ἰορδάνην, καὶ ἔτεμνον ξύλα, καὶ ἰδοὺ ὁ εἷς καταβάλλων τὴν δοκόν, καὶ τὸ σιδήριον ἐκπεσὸν ἐκ τοῦ στελέχους, ἐξέπεσεν εἰς τὸ ὕδωρ, καὶ ἀνεβόησεν· ὦ κύριε. καὶ αὐτὸ μεκρυμμένον. καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ· ποῦ ἔπεσε; καὶ ἔδειξεν αὐτῷ τὸν τόπον, καὶ ἀπέκνισε ξύλον, καὶ ἔρριψεν αὐτὸ ἐκεῖ, καὶ ἐπεπόλασε τὸ σιδήριον. καὶ εἶπεν· ἔψωσόν σε αὐτῷ. καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ, καὶ ἔλαβεν αὐτό. καὶ ὁ βασιλεὺς συρίας ἦν πολεμῶν ἐν ἰσραήλ, καὶ ἐβουλεύσατο πρὸς τοὺς παῖδας αὐτοῦ λέγων· εἰς δεῖνα τόπον τοῦτον ἐλμωνὶ παρεμβαλῶ. καὶ ἀπέστειλεν ἐλισσαιὲ πρὸς τὸν βασιλέα ἰσραὴλ λέγων· φύλαξαι μὴ παρελθεῖν ἐν τῷδε τόπῳ τούτῳ, ὅτι ἐκεῖ συρία κέκρυπται. καὶ ἀπέστειλεν ὁ βασιλεὺς ἰσραὴλ εἰς τὸν τόπον, ὃν εἶπεν αὐτῷ ἐλισσαιὲ, καὶ ἐφυλάξατο ἐκεῖθεν οὐδὲ μίαν ἢ δύο, καὶ ἐξεκινήθη ἡ ψυχὴ βασιλέως συρίας περὶ τοῦ λόγου τούτου. καὶ ἐκάλεσε τοὺς παῖδας αὐτοῦ, καὶ εἶπε πρὸς αὐτούς· ὁ κατηγγελεύετέ μοι, τίς περὶ ἐμοῦ μετὰ βασιλέως ἰσραήλ; καὶ εἶπεν εἷς τῶν παιδίων αὐτοῦ· οὐχὶ κύριε μου βασιλεῦ. ὅτι προφήτης ἐλισσαιὲ ὁ ἐν ἰσραὴλ, ἀναγγέλλει τῷ βασιλεῖ ἰσραὴλ πάντας τοὺς λόγους, οὓς ἐὰν λαλήσῃς ἐν τῷ ταμείῳ τοῦ κοιτῶνός σου; καὶ εἶπε· πορεύεσθε ἴδετε ποῦ οὗτος, καὶ ἀποστελῶ καὶ λήψομαι αὐτὸν. καὶ ἀπηγγέλη αὐτῷ λέγοντος· ἰδοὺ ἐν δωθαΐμ. καὶ ἀπέστειλεν ἐκεῖ ἵππον καὶ ἅρμα καὶ δυνάμιν βαρεῖαν, καὶ ἦλθον νυκτὸς καὶ περιεκύκλωσαν τὴν πόλιν. καὶ ὠρθρισεν ὁ ἐκτενὴς ἐλισσαιὲ καὶ ἐξῆλθε. καὶ ἰδοὺ δύναμις κυκλόθεν τὴν πόλιν, καὶ ἵπποι καὶ ἅρμα. καὶ εἶπε τὸ παιδάριον πρὸς αὐτόν· ὦ κύριε πῶς ποιήσωμεν; καὶ εἶπεν ἐλισσαιὲ· μὴ φοβοῦ, ὅτι πλείους οἱ μεθ' ἡμῶν, ὑπὲρ τοὺς μετ' αὐτῶν. καὶ προσηύξατο ἐλισσαιὲ, καὶ εἶπε· κύριε, διάνοιξον δὴ τοὺς ὀφθαλμοὺς τοῦ παιδαρίου, καὶ ἰδέτω. καὶ διήνοιξε κύριος τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶδε. καὶ ἰδοὺ τὸ ὄρος πλῆρες ἵππων. καὶ ἅρμα πυρὸς πρὸς κύκλῳ ἐλισσαιὲ, καὶ κατέβησαν πρὸς αὐτόν. καὶ προσηύξατο ἐλισσαιὲ πρὸς κύριον, καὶ εἶπε· πάταξον δὴ τὸ ἔθνος τοῦτο ἀορασίᾳ. καὶ ἐπάταξεν αὐτοὺς ἀορασίᾳ, κατὰ τὸ ῥῆμα ἐλισσαιέ. καὶ εἶπε πρὸς αὐτοὺς ἐλισσαιέ· οὐχὶ αὕτη ἡ πόλις, καὶ οὐχ αὕτη ἡ ὁδός; δεῦτε ὀπίσω μου, καὶ ἀπάξω ὑμᾶς πρὸς τὸν ἄνδρα οὗ ζητεῖτε. καὶ ἀπήγαγεν αὐτοὺς εἰς σαμάρειαν. καὶ ἐγένετο ὡς εἰσῆλθεν εἰς σαμάρειαν, καὶ εἶπεν ἐλισσαιέ· ἄνοιξον δὴ κύριε τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἰδέτωσαν. καὶ διήνοιξε κύριος τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον, καὶ ἰδοὺ ἦσαν ἐν μέσῳ σαμαρείας. καὶ εἶπεν ὁ βασιλεὺς ἰσραὴλ πρὸς ἐλισσαιέ, ὡς εἶδεν αὐτούς· εἰ πατάξας πατάξω πάτερ; καὶ εἶπεν· οὐ πατάξεις, εἰ μὴ οὓς ἠχμαλώτευσας ἐν ῥομφαίᾳ σου, καὶ τόξῳ σου, σὺ τυπήσεις. παράθου ἄρτους καὶ ὕδωρ ἐνώπιον αὐτῶν, καὶ φαγέτωσαν καὶ πιέτωσαν, καὶ ἀποστελέτωσαν πρὸς τὸν κύριον αὐτῶν. καὶ παρέθηκεν αὐτοῖς παράθεσιν μεγάλην, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἀπέστειλεν αὐτούς, καὶ ἀπῆλθον πρὸς τὸν κύριον αὐτῶν, καὶ οὐκέτι προσέθεντο ἔτι μονόζωνοι συρίας τοῦ ἐλθεῖν εἰς γῆν ἰσραήλ.

ΚΕΦΑΛ. ζ. 7.

ΚΑὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἤθροισεν υἱὸς ἁδὰδ βασιλεὺς συρίας, πᾶσαν τὴν παρεμβολὴν αὐτοῦ, καὶ ἀνέβη καὶ περιεκάθισε ἐπὶ σαμάρειαν. καὶ ἐγένετο λιμὸς μέγας ἐν σα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαρείας. καὶ ἰδοὺ πυθιεκάθισαν ἐπ' αὐτῶν, ἕως ὁ ἐγχώνθη λιφαλὴ ὄνου πογντήκοντα σίκλων ἀργυρίου, καὶ τὰ τεσσαρα τοῦ κάβου κόπρου πυθισρῶν πογντα σίκλων ἀργυρίου. καὶ λιῶ ὁ Βασιλεὺς ἰσραὴλ διαπορεύομαι ὧδε τοῦ τείχους. καὶ γυνὴ ἐβόησε πρὸς αὐτὸν, λέγουσα· σῶσαι λυύειε Βασιλεῦ. καὶ εἶπεν αὐτῇ· μὴ σε σώσαι λυύειε, πόθεν σώσω σε; μὴ ἀπὸ τῆς ἅλωνος, ἢ ἀπὸ τῆς ληνοῦ; καὶ εἶπεν αὐτῇ ὁ Βασιλεύς· τί ἔσαι σοι; καὶ εἶπεν ἡ γυνὴ· αὕτη εἶπεν πρός με, δὸς τὸν υἱόν σου καὶ φαγόμεθα αὐτὸν σήμερον, καὶ τὸν υἱόν μου αὔριον, καὶ ἥψησαμεν τὸν υἱόν μου καὶ ἐφάγομεν αὐτόν. καὶ εἶπον πρὸς αὐτὴν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ· δὸς τὸν υἱόν σου, καὶ φαγώμεθα αὐτόν, καὶ ἔκρυψεν τὸν υἱὸν αὐτῆς. καὶ ἐγένετο, ὡς ἤκουσεν ὁ Βασιλεὺς ἰσραὴλ τοὺς λόγους τῆς γυναικός, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ αὐτὸς διεπορεύετο ἐπὶ τοῦ τείχους, καὶ εἶδεν ὁ λαὸς τὸν σάκκον ἐπὶ τῆς σαρκὸς αὐτοῦ ἔσωθεν, καὶ εἶπεν ὁ Βασιλεύς· τάδε ποιήσαί μοι ὁ θεὸς καὶ τάδε προσθείη, ἐὰν στήσεται ἡ λιφαλὴ ἐλισαιὲ ἐπ' αὐτῷ σήμερον. καὶ ἐλισαιὲ ἐκάθητο ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ οἱ πρεσβύτεροι ἐκάθηντο μετ' αὐτοῦ. καὶ ἀπέστειλεν ἄνδρα πρὸ προσώπου αὐτοῦ· καὶ πρὶν ἐλθεῖν τὸν ἄγγελον πρὸς αὐτὸν, καὶ αὐτὸς εἶπε πρὸς τοὺς πρεσβυτέρους· εἰ μὴ οἴδατε, ὃ τι ἀπέστειλε ὁ υἱὸς τοῦ φονεύτου τούτου ἀφελεῖν τὴν λιφαλήν μου; ἴδετε ὡς ἂν ἔλθῃ ὁ ἄγγελος, ἀκλείσατε τὴν θύραν, καὶ στραβλίψατε αὐτὸν ἐν τῇ θύρᾳ. οὐχὶ φωνὴ τοῦ πόδων τοῦ κυρίου αὐτοῦ κατόπισθεν αὐτοῦ; ἔτι αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, καὶ ἰδοὺ ὁ ἄγγελος κατέβη πρὸς αὐτὸν, καὶ εἶπεν· ἰδοὺ αὕτη ἡ κακία παρὰ κυρίου, τί ὑπομενῶ τοῦ κυρίου ἔτι; καὶ εἶπεν ἐλισαιέ· ἄκουσον λόγον κυρίου. τάδε λέγει κύριος· ὡσεὶ ὥρα αὔριον μέτρον σεμιδάλεως σίκλου, καὶ δίμετρον κριθῶν σίκλου ἐν ταῖς πύλαις σαμαρείας. καὶ ἀπεκρίθη ὁ τριστάτης, ἐφ' οὗ ὁ Βασιλεὺς ἐπανεπαύετο ἐπὶ τὴν χεῖρα αὐτοῦ, πρὸς τὸν ἐλισαιὲ, καὶ εἶπεν· ἰδοὺ ποιήσει κύριος καταῤῥάκτας ἐν οὐρανῷ, μὴ ἔσαι τὸ ῥῆμα τοῦτο. καὶ ἐλισαιὲ εἶπεν· ἰδοὺ σὺ ὄψει τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖθεν οὐ φαγῇ. καὶ τέσσαρες ἄνδρες ἦσαν λεπροὶ παρὰ τὴν θύραν τῆς πόλεως, καὶ εἶπεν αὐτὸς πρὸς τὸν πλησίον αὐτοῦ· τί ἡμεῖς καθήμεθα ὧδε ἕως ἀποθανούμεν; ἐὰν εἰπωμεν· εἰσέλθωμεν εἰς τὴν πόλιν, καὶ ὁ λιμὸς ἐν τῇ πόλει, καὶ ἀποθανούμεθα ἐκεῖ, καὶ ἐὰν καθίσωμεν ὧδε, καὶ ἀποθανούμεθα. καὶ νῦν δεῦτε, καὶ ἐμπέσωμεν εἰς τὴν παρεμβολὴν συρίας, ἐὰν ζωογονήσωσιν ἡμᾶς, καὶ ζήσωμεθα, καὶ ἐὰν θανατώσωσιν ἡμᾶς, καὶ ἀποθανούμεθα. καὶ ἀνέστησαν ἐν τῷ σκότει, εἰσελθεῖν εἰς τὴν παρεμβολὴν συρίας, καὶ εἰσῆλθον εἰς μέσον παρεμβολῆς συρίας, καὶ ἰδοὺ οὐκ ἔστιν ἀνὴρ ἐκεῖ. καὶ κύριος ἐποίησε παρεμβολῇ συρίας, φωνὴν ἅρματος, καὶ φωνὴν ἵππου, καὶ φωνὴν δυνάμεως μεγάλης. καὶ εἶπεν ἀνὴρ πρὸς τὸν ἀδελφὸν αὐτοῦ· νῦν ἐμισθώσατο ἐφ' ἡμᾶς ἰσραὴλ τοὺς βασιλεῖς τῶν χετταίων, καὶ τοὺς βασιλεῖς αἰγύπτου, τοῦ ἐλθεῖν ἐφ' ἡμᾶς. καὶ ἀνέστησαν, καὶ ἀπέδρασαν ἐν τῷ σκότει, καὶ ἐγκατέλιπον τὰς σκηνὰς αὐτῶν, καὶ τοὺς ἵππους αὐτῶν, καὶ τοὺς ὄνους αὐτῶν, ὡς ὄντας ἐν τῇ παρεμβολῇ, ὡς ἦσαν, καὶ ἔφυγον πρὸς τὴν ψυχὴν ἑαυτῶν, καὶ εἰσῆλθον οἱ λεπροὶ ὅτε ἔως μέρους τῆς παρεμβολῆς, καὶ εἰσῆλθον εἰς σκηνὴν μίαν, καὶ ἔφαγον, καὶ ἔπιον, καὶ ἦραν ἐκεῖθεν ἀργύριον καὶ χρυσίον καὶ ἱματισμόν, καὶ ἐπορεύθησαν, καὶ ἔκρυψαν. καὶ εἰσῆλθον εἰς σκηνὴν ἄλλην, καὶ ἔλαβον ἐκεῖθεν καὶ ἐπορεύθησαν, καὶ ἔκρυψαν. καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ· οὐχ ὅτως ἡμεῖς ποιοῦμεν; ἡ ἡμέρα αὕτη ἡμέρα εὐαγγελίας ἐστὶν, καὶ ἡμεῖς σιωπῶμεν, καὶ μένομεν ἕως φωτὸς τῆς πρωΐ, καὶ εὑρήσομεν ἀνομίαν; καὶ νῦν δεῦρο καὶ εἰσέλθωμεν, καὶ ἀναγγείλωμεν εἰς τὸν οἶκον τοῦ Βασιλέως. καὶ εἰσῆλθον καὶ ἐβόησαν πρὸς τὴν πύλην τῆς πόλεως, καὶ ἀνήγγειλαν αὐτοῖς λέγοντες· εἰσήλθομεν εἰς τὴν παρεμβολὴν συρίας, καὶ ἰδοὺ οὐκ ἔστιν ἐκεῖ ἀνὴρ, καὶ φωνὴ ἀνθρώπου, ὅτι εἰ μὴ ἵπποι δεδεμένοι, καὶ ὄνοι, καὶ αἱ σκηναὶ αὐτῶν ὡς εἰσί. καὶ ἐβόησαν οἱ θυρωροὶ, καὶ ἀνήγγειλαν εἰς τὸν οἶκον τοῦ Βασιλέως. καὶ ἀνέστη ὁ Βασιλεὺς νυκτὸς, καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ· ἀναγγελῶ δὴ ὑμῖν ἃ ἐποίησεν ἡμῖν συρία. ἔγνωσαν ὅτι πεινῶμεν ἡμεῖς, καὶ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς, καὶ ἐκρύβησαν ἐν τῷ ἀγρῷ λέγοντες· ὅτι ἐξελεύσονται ἐκ τῆς πόλεως, καὶ συλλήψόμεθα αὐτοὺς ζῶντας, καὶ εἰς τὴν πόλιν εἰσελευσόμεθα. καὶ ἀποκριθεὶς εἷς τῶν παίδων αὐτοῦ εἶπε· λαβέτωσαν δὴ πέντε τῶν ἵππων τῶν ὑπολελειμμένων, οἳ κατελείφθησαν ὧδε, ἰδοὺ εἰσὶ πρὸς παῦ ὁ πλῆθος ἰσραὴλ ὁ ἐκλείπων, καὶ ἀποστελοῦμεν ἐκεῖ, καὶ ὀψόμεθα. καὶ ἔλαβον δύο ἁμάδας ἵππων, καὶ ἀπέστειλεν ὁ Βασιλεὺς ἰσραὴλ ὀπίσω τοῦ Βασιλέως συρίας, λέγων· δεῦτε, καὶ ἴδετε· καὶ ἐπορεύθησαν ὀπίσω αὐτοῦ ἕως τοῦ Ἰορδάνου. καὶ ἰδοὺ πᾶσα ἡ ὁδὸς πλήρης ἱματίων καὶ σκευῶν ὧν ἔῤῥιψε συρία ἐν τῷ θαμβεῖσθαι αὐτούς. καὶ ἀπέστρεψαν οἱ ἄγγελοι, καὶ ἀνήγγειλαν τῷ Βασιλεῖ ἰσραὴλ. καὶ ἐξῆλθεν ὁ λαὸς, καὶ διήρπασαν τὴν πᾶσαν παρεμβολὴν συρίας. καὶ ἐγένετο μέτρον σεμιδάλεως σίκλου, καὶ δίμετρον κριθῶν σίκλου, κατὰ τὸ ῥῆμα κυρίου. καὶ ὁ Βασιλεὺς κατέστησε τὸν τριστάτην, ἐφ' οὗ ὁ Βασιλεὺς ἐπανεπαύετο ἐπὶ τῇ χειρὶ αὐτοῦ, ἐπὶ τῆς πύλης. καὶ συνεπάτησεν αὐτὸν ὁ λαὸς ἐν τῇ πύλῃ, καὶ ἀπέθανε, καθὰ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ θεοῦ, ὃς ἐλάλησεν ἐν τῷ καταβῆναι τὸν ἄγγελον πρὸς αὐτόν. καὶ ἐγένετο καθὰ ἐλάλησεν ἐλισαιὲ πρὸς τὸν Βασιλέα, λέγων· δίμετρον κριθῆς σίκλου καὶ μέτρον σεμιδάλεως σίκλου, καὶ ἔσαι ὡς ἡ ὥρα αὕτη αὔριον ἐν τῇ πύλῃ Σαμα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βαμαρέας. καὶ ἀπεκρίθη ὁ τεῖχος τῆς ἐλισαιὲ, καὶ εἶπεν· ἰδοὺ ἐν τῷ λιμῷ ποιεῖ καταβρῶσκοντας γὰρ τοῦ ἀρτου, μὴ ἔσαι τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν ἐλισαιὲ· ἰδοὺ ὄψει τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖθεν ὁ φαγῆ. καὶ ἐγγὺς ὄντως, καὶ συνεπάτησαν αὐτὸν ὁ λαὸς γὰρ τῇ πύλῃ, καὶ ἀπέθανε.

ΚΕΦΑΛ. ἡ. 8.

Καὶ ἐλισαιὲ ἐλάλησε πρὸς τὴν γυναῖκα, ἧς ἐζωοπύρησε τὸν υἱόν, λέγων· ἀναστηθι, καὶ πορεύου σὺ, καὶ ὁ οἶκός σου, καὶ παροίκει οὗ ἐὰν παροικήσῃς, ὅτι λιμὸν ἐπὶ τὴν γῆν, καί γε ἥξει ἐπὶ τὴν γῆν ἑπτὰ ἔτη. καὶ ἀνέστη ἡ γυνὴ, καὶ ἐποίησε κατὰ τὸ ῥῆμα ἐλισαιὲ, καὶ ἀπῆλθε μετὰ τοῦ οἴκου αὐτῆς, καὶ παρῴκει ἐν γῇ ἀλλοφύλων ἑπτὰ ἔτη. καὶ ἐγένετο μετὰ τὸ τέλος τῶν ἑπτὰ ἐτῶν, καὶ ἐπέστρεψεν ἡ γυνὴ ἐκ τῆς ἀλλοφύλων εἰς τὴν πόλιν, καὶ ἦλθε βοῆσαι πρὸς τὸν βασιλέα, περὶ τοῦ οἴκου αὐτῆς, καὶ περὶ τῶν ἀγρῶν αὐτῆς. καὶ ὁ βασιλεὺς ἐλάλει πρὸς γιεζεὶ τὸν παιδάριον ἐλισαιὲ τοῦ ἀνθρώπου τοῦ θεοῦ, λέγων· διήγησαι δὴ ἐμοὶ πάντα τὰ μεγάλα ἃ ἐποίησεν ἐλισαιέ, καὶ ἐγένετο αὐτοῦ διηγουμένου τῷ βασιλεῖ, ὡς ἐζωπύρησεν ἡμιθνητα, καὶ ἰδοὺ ἡ γυνὴ ἧς ἐζωπύρησε τὸν υἱὸν αὐτῆς ἐλισαιὲ, βοῶσα πρὸς τὸν βασιλέα, περὶ τοῦ οἴκου αὐτῆς, καὶ περὶ τῶν ἀγρῶν αὐτῆς, καὶ εἶπε γιεζεὶ· κύριε βασιλεῦ, αὕτη ἡ γυνὴ καὶ ὁ υἱὸς αὐτῆς, ὃν ἐζωπύρησεν ἐλισαιέ. καὶ ἐπηρώτησεν ὁ βασιλεὺς τὴν γυναῖκα, καὶ διηγήσατο αὐτῷ. καὶ ἔδωκεν αὐτῇ ὁ βασιλεὺς εὐνοῦχον ἕνα, λέγων· ἐπίστρεψον πάντα τὰ αὐτῆς, καὶ πάντα τὰ γενήματα τῆς ἀγροῦ αὐτῆς, ἀπὸ ἡμέρας ἧς κατέλιπε τὴν γῆν, ἕως τοῦ νῦν. καὶ ἦλθεν ἐλισαιὲ εἰς δαμασκόν, καὶ υἱὸς βενεδὰδ βασιλεὺς συρίας ἠρρώστει. καὶ ἀπηγγέλη αὐτῷ λέγοντες· ἦκε ὁ ἄνθρωπος τοῦ θεοῦ ὧδε. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἀζαηλ· λαβὲ ἐν τῇ χειρί σου μαναὰ, καὶ πορεύου εἰς ἀπαντησιν τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ ἐπιζήτησον παρ' αὐτοῦ τὸν κύριον δι' αὐτοῦ, λέγων· εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστείας μου ταύτης; καὶ ἐπορεύθη ἀζαηλ εἰς ἀπαντησιν αὐτοῦ, καὶ ἔλαβε μαναὰ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ πάντα τὰ ἀγαθὰ, δαμασκοῦ ἄρσιν τεσσαράκοντα καμήλων, καὶ ἦλθε, καὶ ἔστη ἐνώπιον αὐτοῦ, καὶ εἶπε πρὸς ἐλισαιὲ· ὁ υἱός σου, υἱὸς βενεδὰδ βασιλεὺς συρίας, ἀπέστειλέ με πρὸς σὲ, λέγων· εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστείας μου ταύτης; καὶ εἶπε πρὸς αὐτὸν ἐλισαιέ· πορεύου εἰπὸν αὐτῷ, ζωῇ ζήσῃ, καὶ ἔδειξέ μοι κύριος, ὅτι θανάτῳ ἀποθανεῖται, καὶ ἔστη τὸ πρόσωπον αὐτοῦ, καὶ ἔκλαυσε τὰ ὕδατα ἕως ὑπερεῖχεν, καὶ ἔθηκεν ἕως αἰσχύνης, καὶ ἔκλαυσεν ὁ ἄνθρωπος τοῦ θεοῦ, καὶ εἶπεν ἀζαηλ· τί, ὅτι ὁ κύριός μου κλαίει; καὶ εἶπεν· οἶδα ὅσα ποιήσεις τοῖς υἱοῖς ἰσραὴλ κακά. τὰ ὀχυρώματα αὐτῶν ἐξαποστελεῖς ἐν πυρί, καὶ τοὺς ἐκλεκτοὺς αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενεῖς, καὶ τὰ νήπια αὐτῶν ἐνθήσεις, καὶ τὰς ἐγκύους ἐχούσας αὐτῶν ἀναῤῥήξεις. καὶ εἶπεν ἀζαηλ· τίς ὅτι ὁ δοῦλός σου, ὁ κύων ὁ τεθνηκὼς ὅτι ποιήσει τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν ἐλισαιέ· ἔδειξέ μοι κύριος σὲ βασιλεύοντα ἐπὶ συρίαν. καὶ ἀπῆλθεν ἀπὸ ἐλισαιὲ, καὶ εἰσῆλθε πρὸς τὸν κύριον αὐτοῦ, καὶ εἶπεν αὐτῷ· τί εἶπέν σοι ἐλισαιέ; καὶ εἶπεν· εἶπέ μοι ἐλισαιέ, ζωῇ ζήσῃ. καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ ἔλαβε τὸ μαχιβὰρ, καὶ ἔβαψεν ἐν τῷ ὕδατι, καὶ ἐπέβαλεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ, καὶ ἀπέθανε, καὶ ἐβασίλευσεν ἀζαηλ αὐτὶ αὐτοῦ. ἐν ἔτει πέμπτῳ ἰωροβοὰμ υἱῷ ἀχαὰβ βασιλεῖ ἰσραὴλ, ἐβασίλευσεν ἰωρὰμ υἱὸς ἰωσαφὰτ βασιλέως ἰούδα, υἱὸς τριάκοντα καὶ δύο ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν ἰερουσαλήμ. καὶ ἐπορεύθη ἐν ὁδῷ βασιλέων ἰσραὴλ, καθὼς ἐποίησεν οἶκος ἀχαὰβ, ὅτι θυγάτηρ ἀχαὰβ ἦν αὐτῷ εἰς γυναῖκα, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ οὐκ ἠθέλησε κύριος διαφθεῖραι τὸν ἰούδαν, διὰ δαβὶδ τὸν δοῦλον αὐτοῦ, καθὼς εἶπε, δοῦναι αὐτῷ τὸ λύχνον, καὶ τοῖς υἱοῖς αὐτοῦ πάσας τὰς ἡμέρας. ἐν ταῖς ἡμέραις αὐτοῦ ἀθέτησεν ἐδὼμ, ὑπὸ χεῖρα τοῦ χειρὸς ἰούδα, καὶ ἐβασίλευσεν ἐφ' ἑαυτοῦ βασιλέα, καὶ διέβη ἰωρὰμ εἰς σιὼρ καὶ πάντα τὰ ἅρματα τὰ μετ' αὐτοῦ. καὶ ἐγένετο αὐτὸς ἀνέστη, καὶ ἐπάταξεν ἐδὼμ τὸν κυκλώσαντα αὐτὸν, καὶ τοὺς ἄρχοντας τῶν ἁρμάτων. καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν, καὶ ἀθέτησεν ἐδὼμ ὑπὸ χεῖρα τοῦ χειρὸς ἰούδα, ἕως τῆς ἡμέρας ταύτης. τότε ἀθέτησεν λοβνὰ, ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωρὰμ, καὶ πάντα ὅσα ἐποίησεν, οὐκὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τῆς βασιλείας ἰούδα; καὶ ἐκοιμήθη ἰωρὰμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ, ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐβασίλευσεν ὀχοζίας υἱὸς αὐτοῦ αὐτὶ αὐτοῦ. ἐν ἔτει δωδεκάτῳ ἰωρὰμ υἱῷ ἀχαὰβ βασιλεῖ ἰσραὴλ, ἐβασίλευσεν ὀχοζίας υἱὸς ἰωρὰμ, ὢν ὑιὸς καὶ δύο ἐτῶν ὀχοζίας ἐν τῷ βασιλεύειν αὐτόν. καὶ ὄνομα τῇ μητρὸς αὐτοῦ γοθολία, θυγάτηρ ζαμβρεὶ βασιλέως ἰσραὴλ. καὶ ἐπορεύθη ἐν ὁδῷ οἴκου ἀχαὰβ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καθὼς ὁ οἶκος ἀχαὰβ * γαμβρὸς γὰρ οἴκου ἀχαὰβ ἦν, καὶ ἐπορεύθη μετὰ ἰωρὰμ υἱοῦ ἀχαὰβ, εἰς πόλεμον μετὰ ἀζαηλ βασιλέως ἀλλοφύλων, ἐν ῥαμὰθ τῇ γαλαάδι. καὶ ἐπάταξαν οἱ σύροι ἰωρὰμ, καὶ ἀπέστρεψεν ὁ βασιλεὺς ἰωρὰμ τοῦ ἰατρεύθῆναι ἐν ἰεζραέλ, ἀπὸ τῶν πληγῶν, ὧν ἐπάταξαν αὐτὸν ἐν ῥαμὼθ, ἐν τῷ πολεμεῖν αὐτὸν μετὰ ἀζαηλ βασιλέως συρίας, καὶ ὀχοζίας υἱὸς ἰωρὰμ βασιλεὺς ἰούδα κατέβη, τοῦ ἰδεῖν τὸν ἰωρὰμ υἱὸν ἀχαὰβ ἐν ἰεζραέλ, ὅτι ἠῤῥώστει αὐτός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. θ'. 9.

Καὶ ἐλιᾶσαι ὁ προφήτης ἐκάλεσεν ἕνα τῶν υἱῶν τῶν προφητῶν, καὶ εἶπεν αὐτῷ· ζῶσαι τὴν ὀσφύν σου, καὶ λαβὲ τὸν φακὸν τοῦ ἐλαίου τούτου ἐν τῇ χειρί σου, καὶ πορεύου εἰς ῥαμὼθ γαλαάδ, καὶ εἰσελεύσεται ἐκεῖ, καὶ ὄψεται ἐκεῖ Ἰηοὺ υἱὸν Ναμεσσί, καὶ εἰσελεύσῃ καὶ ἀναστήσεις αὐτὸν ἐκ μέσου τῶν ἀδελφῶν αὐτοῦ, καὶ εἰσάξεις αὐτὸν εἰς τὸ ταμιεῖον, καὶ λήψῃ τὸν φακὸν τοῦ ἐλαίου, καὶ χεεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ εἴπεις· τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ· ἔχρισά σε εἰς βασιλέα τῶν Ἰσραήλ, καὶ ἀνοίξεις τὴν θύραν, καὶ φεύξῃ, καὶ οὐ μενεῖς. καὶ ἐπορεύθη ὁ νεανίσκος ὁ προφήτης εἰς ῥαμὼθ γαλαάδ, καὶ εἰσῆλθε, καὶ ἰδοὺ οἱ ἄρχοντες τῆς δυνάμεως ἐκαθήντο, καὶ εἶπε· λόγος μοι πρός σε ὁ ἄρχων. καὶ εἶπεν Ἰηού· πρὸς τίνα ἐκ πάντων ἡμῶν; καὶ εἶπε· πρός σε, ὁ ἄρχων. καὶ ἀνέστη, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον, καὶ ἐπέχεεν τὸ ἔλαιον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ εἶπεν αὐτῷ· τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ· ἔχρισά σε εἰς βασιλέα ἐπὶ λαὸν Κυρίου ἐπὶ τὸν Ἰσραήλ, καὶ ἐξολοθρεύσεις τὸν οἶκον Ἀχαὰβ τοῦ κυρίου σου ἐκ προσώπου μου, καὶ ἐκδικήσεις τὰ αἵματα τῶν δούλων μου τῶν προφητῶν, καὶ τὰ αἵματα πάντων τῶν δούλων Κυρίου ἐκ χειρὸς Ἰεζαβέλ, καὶ ἐκ χειρὸς ὅλου τοῦ οἴκου Ἀχαάβ, καὶ ἐξολοθρεύσεις τὸν οἶκον Ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον, καὶ συνεχόμενον, καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραήλ, καὶ δώσω τὸν οἶκον Ἀχαάβ, ὡς τὸν οἶκον Ἱεροβοὰμ υἱοῦ Ναβάτ, καὶ ὡς τὸν οἶκον Βαασὰ υἱοῦ Ἀχιά, καὶ τὴν Ἰεζαβέλ καταφαγονται οἱ κύνες ἐν τῇ μερίδι Ἰεζραέλ, καὶ οὐκ ἔσται ὁ θάπτων. καὶ ἤνοιξε τὴν θύραν, καὶ ἔφυγεν. καὶ Ἰηοὺ ἐξῆλθε πρὸς τοὺς παῖδας τοῦ κυρίου αὐτοῦ, καὶ εἶπαν αὐτῷ· εἰρήνη; τί ὅτι εἰσῆλθεν ὁ ἐπίληπτος οὗτος πρὸς σέ; καὶ εἶπεν αὐτοῖς· ὑμεῖς οἴδατε τὸν ἄνθρωπον, καὶ τὴν ἀδολεσχίαν αὐτοῦ. καὶ εἶπαν· ἄδικον εἰ οὐκ ἀπαγγελεῖς, ἀπάγγειλον δὴ ἡμῖν. καὶ εἶπεν Ἰηοὺ πρὸς αὐτούς· οὕτως καὶ οὕτως ἐλάλησε πρός με λέγων, τάδε λέγει Κύριος· ἔχρισά σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ. καὶ ἀνοίσαντες ἔστρωσαν, καὶ ἔλαβεν ἕκαστος τὸ ἱμάτιον αὐτοῦ, καὶ ἔθηκαν ὑποκάτω αὐτοῦ ἐπὶ γοῦν ἕνα τῶν ἀναβάθμων ἐκάθητο, καὶ ἐσάλπισαν ἐν κερατίνῃ, καὶ εἶπαν· ἐβασίλευσεν Ἰηού. καὶ συνεστράφη Ἰηοὺ υἱὸς Ἰωσαφὰτ υἱοῦ Ναμεσσὶ πρὸς Ἰωράμ. καὶ Ἰωρὰμ αὐτὸς ἐφύλασσεν ἐν ῥαμὼθ γαλαάδ, αὐτὸς καὶ πᾶς Ἰσραὴλ ἀπὸ προσώπου Ἀζαὴλ βασιλέως Συρίας. καὶ ἀπέστρεψεν Ἰωρὰμ ὁ βασιλεὺς ἰᾶσθαι ἐν Ἰεζραέλ, ἀπὸ τῶν πληγῶν, ὧν ἐπάταξαν αὐτὸν οἱ Σύροι ἐν τῷ πολεμεῖν αὐτὸν μετὰ Ἀζαὴλ βασιλέως Συρίας, καὶ εἶπεν Ἰηού· εἰ ἔστιν ψυχὴ ὑμῶν μετ' ἐμοῦ, μὴ ἐξελθέτω ἐκ τῆς πόλεως σωτηρία φυγεῖν, τοῦ προδοθῆναι καὶ ἀπαγγεῖλαι ἐν Ἰεζραέλ. καὶ ἔστησεν, καὶ ἐπορεύθη Ἰηού, καὶ κατέβη εἰς Ἰεζραέλ, ὅτι Ἰωρὰμ βασιλεὺς Ἰσραὴλ ἐθεραπεύετο ἐν Ἰεζραέλ ἀπὸ τῶν τραυμάτων, ὧν κατετόξευσαν αὐτὸν οἱ Ῥαμαεὶμ, ἐν τῇ ῥαμὰθ ἐν τῷ πολεμεῖν μετὰ Ἀζαὴλ βασιλέως Συρίας, ὅτι αὐτὸς δυνατὸς καὶ ἀνὴρ δυνάμεως ἐκυμαίνετο ἐκεῖ. καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα, κατέβη ἰδεῖν τὸν Ἰωρὰμ, καὶ ὁ σκοπὸς ἀνέβη ἐπὶ τὸν πύργον ἐν Ἰεζραέλ. καὶ εἶδε τὸν κονιορτὸν Ἰηού, ἐν τῷ παραγίνεσθαι αὐτὸν, καὶ εἶπε· κονιορτὸν ἐγὼ βλέπω. καὶ εἶπεν Ἰωρὰμ· λάβε ἱππέα, καὶ ἀπόστειλον εἰς ἀπάντησιν αὐτῶν, καὶ ἐπάτω· εἰρήνη; καὶ ἐπορεύθη ἱππεὺς ἵππου εἰς ἀπάντησιν αὐτοῦ, καὶ εἶπεν· τάδε λέγει ὁ βασιλεύς, εἰ εἰρήνη; καὶ εἶπεν Ἰηού· τί σοι καὶ εἰρήνη; ἐπίστρεφε εἰς τὰ ὀπίσω μου. καὶ ἀπήγγειλεν ὁ σκοπός, λέγων· ἦλθεν ὁ ἄγγελος ἕως αὐτῶν, καὶ οὐκ ἀνέστρεψεν. καὶ ἀπέστειλεν ἱππεὺς ἵππου δεύτερον, καὶ ἦλθε πρὸς αὐτὸν, καὶ εἶπεν· τάδε λέγει ὁ βασιλεύς, εἰ εἰρήνη; καὶ εἶπεν Ἰηού· τί σοι καὶ εἰρήνη; ἐπίστρεφε εἰς τὰ ὀπίσω μου. καὶ ἀπήγγειλεν ὁ σκοπός, λέγων· ἦλθεν ἕως αὐτῶν, καὶ οὐκ ἀνέστρεψεν, καὶ ὁ ἄγων ἦν ὁμοίως τὸν Ἰηοὺ υἱὸν Ναμεσσί, ὅτι ἐν παραλλαγῇ ἐγκόπτει. καὶ εἶπεν Ἰωρὰμ· ζεῦξον. καὶ ἔζευξεν ἅρμα, καὶ ἐξῆλθεν Ἰωρὰμ βασιλεὺς Ἰσραὴλ, καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα ἀνὴρ ἐν ἅρματι αὐτοῦ, καὶ ἐξῆλθον εἰς ἀπάντησιν Ἰηού, καὶ εὗρον αὐτὸν ἐν τῇ μερίδι Ναβουθαὶ τοῦ Ἰσραηλίτου. καὶ ἐγένετο ὡς εἶδεν Ἰωρὰμ τὸν Ἰηού, καὶ εἶπεν· εἰρήνη Ἰηού; καὶ εἶπεν· εἰρήνη Ἰηοὺ; ἕως τί πορνεῖαι Ἰεζαβὲλ ἡ μήτηρ σου, καὶ τὰ φαρμακεῖα αὐτῆς τὰ πολλά; καὶ ἐπέστρεψεν Ἰωρὰμ τὰς χεῖρας αὐτοῦ τοῦ φεύγειν, καὶ εἶπε πρὸς Ὀχοζίαν· δόλος Ὀχοζία. καὶ ἔπληξεν Ἰηοὺ τὴν χεῖρα αὐτοῦ ἐν τῷ τόξῳ, καὶ ἐπάταξεν τὸν Ἰωρὰμ ἀνὰ μέσον τῶν βραχιόνων αὐτοῦ, καὶ ἐξῆλθε τὸ βέλος διὰ τῆς καρδίας αὐτοῦ, καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ, καὶ εἶπεν Ἰηοὺ πρὸς Βαδεκὰρ τὸν τριστάτην αὐτοῦ· ἆρον καὶ ῥῖψον αὐτὸν ἐν τῇ μερίδι τοῦ ἀγροῦ Ναβουθαὶ τοῦ Ἰσραηλίτου, ὅτι μνημονεύω ἐγὼ καὶ σὺ ἡνίκα ἐπορευόμεθα ἐπὶ ζυγὸν ὀπίσω Ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ, καὶ Κύριος ἐλάλησεν ἐπ' αὐτὸν τὸ λῆμμα τοῦτο, λέγων· εἰ μὴ τὰ αἵματα τῶν αἱμάτων Ναβουθαὶ, καὶ τὰ αἵματα τῶν υἱῶν αὐτοῦ εἶδον ἐχθές, φησὶ Κύριος, καὶ ἀνταποδώσω αὐτῷ ἐν τῇ μερίδι ταύτῃ, φησὶ Κύριος. καὶ νῦν ἆρας ῥῖψον αὐτὸν ἐν τῇ μερίδι κατὰ τὸ ῥῆμα Κυρίου. καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα εἶδε, καὶ ἔφυγεν ὁδὸν Βαιθγάν. καὶ ἐδίωξεν ὀπίσω αὐτοῦ Ἰηού, καὶ εἶπε· καὶ γὰρ αὐτόν. καὶ ἐπάταξεν αὐτὸν ἐν τῷ ἅρματι, ἐν τῷ ἀναβαίνειν Γαί, ἣ ὄψιν Ἰεβλαάμ, καὶ ἔφυγεν εἰς Μαγεδδὼ, καὶ ἀπέθανεν ἐκεῖ, καὶ ἐπεβίβασαν αὐτὸν οἱ παῖδες αὐτοῦ

ἐπὶ

ιδὶ τὸ ἅρμα, καὶ ἤγαγον αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ ἔθαψαν αὐτὸν ἐν τοῖς τάφοις αὐτοῦ ἐν πόλει Ἰαβὶσ. καὶ ἐγένετο ἐνδεκάτῳ ἔτει Ἰωρὰμ Βασιλέως Ἰσραὴλ, ἐβασίλευσεν Ὀχοζίας ἐπὶ Ἰούδαν, καὶ ἦλθεν Ἰηοὺ εἰς Ἰεζραέλ. καὶ Ἰεζάβελ ἤκουσε, καὶ ἔθετο τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἐκόσμησε τὴν κεφαλὴν αὐτῆς, καὶ διέκυψε διὰ τῆς θυρίδος. καὶ Ἰηοὺ εἰσεπορεύετο ἐν τῇ πύλῃ, καὶ εἶπεν· εἰ εἰρήνη Ζαμβεὶ ὁ φονεύτης τοῦ κυρίου αὐτοῦ; καὶ ἐπῆρεν τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θυρίδα, καὶ εἶδεν αὐτὴν, καὶ εἶπε· τίς εἶ σύ; καταβηθι μετ' ἐμοῦ. κατέκυψαν πρὸς αὐτὸν δύο εὐνοῦχοι, καὶ εἶπε· κυλίσατε αὐτὴν· καὶ ἐκύλισαν αὐτὴν, καὶ ἐρράνθη τὸ αἷμα τῶν ἵππων πρὸς τὸν τοῖχον, καὶ πρὸς τοὺς ἵππους, καὶ συνεπάτησαν αὐτήν. καὶ εἰσῆλθεν Ἰηοὺ, καὶ ἔφαγε καὶ ἔπιε, καὶ εἶπεν· ἐπισκέψασθε δὴ τὴν κατηραμένην ταύτην, καὶ θάψατε αὐτήν, ὅτι θυγάτηρ Βασιλέως ἐστί. καὶ ἐπορεύθησαν θάψαι αὐτήν, καὶ οὐχ εὗρεν ἐν αὐτῇ ἄλλο τι, ἢ τὸ κρανίον, καὶ τὰ ἴχνη τῶν χειρῶν, καὶ οἱ πόδες. καὶ ἐπέστρεψαν καὶ ἀπήγγειλαν αὐτῷ, καὶ εἶπε· λόγος κυρίου ὃν ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἠλιοῦ τοῦ Θεσβίτου, λέγων· ἐν τῇ μερίδι Ἰεζραὲλ καταφάγονται οἱ κύνες τὰς σάρκας Ἰεζάβελ, καὶ ἔσται τὸ θνησιμαῖον Ἰεζάβελ ὡς κοπρία ἐπὶ προσώπου τοῦ ἀγροῦ, ἐν τῇ μερίδι Ἰεζραὲλ, ὥστε μὴ εἰπεῖν αὐτούς, Ἰεζάβελ.

ΚΕΦΑΛ. ί. 10.

Καὶ τοῖς Ἀχαὰβ ἑβδομήκοντα υἱοὶ ἐν Σαμαρείᾳ. καὶ ἔγραψεν Ἰηοὺ βιβλίον, καὶ ἀπέστειλεν ἐν Σαμαρείᾳ πρὸς τοὺς ἄρχοντας Σαμαρείας, πρὸς τοὺς πρεσβυτέρους, καὶ πρὸς τοὺς τιθηνοὺς τοῖς υἱοῖς Ἀχαὰβ, λέγων· καὶ νῦν ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο πρὸς ὑμᾶς, μεθ' ὑμῶν οἱ υἱοὶ τοῦ κυρίου ὑμῶν, καὶ μεθ' ὑμῶν τὸ ἅρμα, καὶ οἱ ἵπποι, καὶ πόλεις ὀχυραὶ, καὶ τὰ ὅπλα, καὶ ὀφθῆτε τὸν ἀγαθὸν καὶ τὸν εὐθῆ ἐν τοῖς υἱοῖς τοῦ κυρίου ὑμῶν, καὶ καταστήσατε αὐτὸν ἐπὶ τὸν θρόνον τοῦ πατρὸς αὐτοῦ, καὶ πολεμήσατε ὑπὲρ τοῦ οἴκου τοῦ κυρίου ὑμῶν. καὶ ἐφοβήθησαν σφόδρα, καὶ εἶπον· ἰδοὺ οἱ δύο Βασιλεῖς οὐκ ἔστησαν ἐν προσώπῳ αὐτοῦ, καὶ πῶς στησόμεθα ἡμεῖς; καὶ ἀπέστειλαν οἱ ἐπὶ τοῦ οἴκου καὶ οἱ ἐπὶ τῆς πόλεως, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ τιθηνοὶ πρὸς Ἰηοὺ, λέγοντες· παῖδές σου ἡμεῖς, καὶ ὅσα ἐὰν εἴπῃς πρὸς ἡμᾶς, ποιήσομεν· οὐ βασιλεύσομεν ἄνδρα, τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου ποιήσομεν. καὶ ἔγραψε πρὸς αὐτοὺς Ἰηοὺ βιβλίον δεύτερον, λέγων· εἰ ἐμοὶ ὑμεῖς, καὶ τῆς φωνῆς μου ὑμεῖς ἀκούετε, λάβετε τὴν κεφαλὴν ἀνδρῶν τῶν υἱῶν τοῦ κυρίου ὑμῶν, καὶ γένεσθε πρός με, ὡς ἡ ὥρα αὔριον αὔριον ἐν Ἰεζραέλ. καὶ οἱ υἱοὶ τοῦ Βασιλέως ἦσαν ἑβδομήκοντα ἄνδρες, ὅτοι ἄνδρες τῆς πόλεως ἐξέτρεφον αὐτούς. καὶ ἐγένετο, ὡς ἦλθε τὸ βιβλίον πρὸς αὐτούς, καὶ ἔλαβον οὗτοι τοὺς υἱοὺς τοῦ Βασιλέως, καὶ ἔσφαξαν αὐτοὺς ἑβδομήκοντα ἄνδρας, καὶ ἔθηκαν τὰς κεφαλὰς αὐτῶν ἐν καρτάλλοις, καὶ ἀπέστειλαν αὐτὰς πρὸς αὐτὸν εἰς Ἰεζραέλ. καὶ ἦλθεν ὁ ἄγγελος, καὶ ἀπήγγειλε, λέγων· ἤνεγκαν τὰς κεφαλὰς τῶν υἱῶν τοῦ Βασιλέως. καὶ εἶπε· θέτε αὐτὰς βωμοὺς δύο, πρὰ τῆς θύρας τῆς πόλεως εἰς πρωΐ. καὶ ἐγένετο ἐν πρωΐ, καὶ ἐξῆλθε, καὶ ἔστη ἐν τῇ πυλῇ τῆς πόλεως, καὶ εἶπε πρὸς πάντα τὸν λαόν· δίκαιοι ὑμεῖς, ἰδοὺ ἐγὼ εἰμι, συνεστράφην ἐπὶ τὸν κύριόν μου, καὶ ἀπέκτεινα αὐτόν, καὶ τίς ἐπάταξε πάντας τούτους; ἴστε ἄφρω, ὅτι οὐ πεσεῖται ἀπὸ τοῦ ῥήματος κυρίου εἰς τὴν γῆν, ὃ ἐλάλησε κύριος ἐπὶ τὸν οἶκον Ἀχαὰβ, καὶ κύριος ἐποίησεν ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἠλιού. καὶ ἐπάταξεν Ἰηοὺ πάντας τοὺς καταλειφθέντας ἐν τῷ οἴκῳ Ἀχαὰβ ἐν Ἰσραὴλ, καὶ πάντας τοὺς ἀδήλους αὐτοῦ, καὶ τοὺς γνωστοὺς αὐτοῦ, καὶ τοὺς ἱερεῖς αὐτοῦ, ὥστε μὴ καταλιπεῖν αὐτῷ κατάλειμμα. καὶ ἀνέστη, καὶ ἐπορεύθη εἰς Σαμάρειαν αὐτὸς ἐν Βαιθακὰδ τῶν ποιμένων ἐν τῇ ὁδῷ. καὶ Ἰηοὺ εὗρε τοὺς ἀδελφοὺς Ὀχοζίου βασιλέως Ἰούδα, καὶ εἶπε· τίνος ὑμεῖς; καὶ εἶπον· ἀδελφοὶ Ὀχοζίου ἡμεῖς, καὶ κατέβημεν εἰς εἰρήνην τῶν υἱῶν τοῦ Βασιλέως, καὶ τῶν υἱῶν τῆς βασιλομήτορος, καὶ εἶπε· συλλάβετε αὐτοὺς ζῶντας. καὶ ἔσφαξεν αὐτοὺς ἐν Βαιθακάδ, τεσσαράκοντα καὶ δύο ἄνδρας, οὐ κατέλιπεν ἄνδρα ἐξ αὐτῶν. καὶ ἐπορεύθη ἐκεῖθεν, καὶ εὗρε τὸν Ἰωναδὰβ υἱὸν Ῥηχὰβ ἐν τῇ ὁδῷ εἰς ἀπάντησιν αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπε πρὸς αὐτὸν Ἰηού· εἰ ἔστι καρδία σου μετὰ καρδίας μου ὁμοίως, καθὼς ἡ καρδία μου μετὰ τῆς καρδίας σου; καὶ εἶπεν Ἰωναδάβ· ἔστιν. καὶ εἶπεν Ἰηού· καὶ εἰ ἔστι, δός μοι τὴν χεῖρά σου. καὶ ἔδωκε τὴν χεῖρα αὐτοῦ, καὶ ἀνεβίβασεν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα, καὶ εἶπε πρὸς αὐτόν· πορεύου μετ' ἐμοῦ καὶ ἴδε, τὸν ζῆλωσαί με τῷ κυρίῳ Σαβαὼθ. καὶ ἐπεκάθισεν αὐτὸν ἐν τῷ ἅρματι αὐτοῦ, καὶ εἰσῆλθον εἰς Σαμάρειαν, καὶ ἐπάταξε πάντας τοὺς καταλειφθέντας τῷ Ἀχαὰβ ἐν Σαμαρείᾳ, ἕως τοῦ ἀφανίσαι αὐτὸν, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν πρὸς Ἠλιού. καὶ συνήθροισεν Ἰηοὺ πάντα τὸν λαόν, καὶ εἶπε πρὸς αὐτούς· Ἀχαὰβ ἐδούλευσε τῷ Βάαλ ὀλίγα, καὶ Ἰηοὺ δουλεύσει αὐτῷ πολλά. καὶ νῦν πάντες οἱ προφῆται τοῦ Βαάλ, πάντας τοὺς δούλους αὐτοῦ καὶ τοὺς ἱερεῖς αὐτοῦ, καλέσατε πρός με, ἀνὴρ μὴ ὑπολειπέσθω, ὅτι θυσία μοι μεγάλη τῷ Βαάλ. πᾶς δὲ ὃς ἐὰν ὑπολειφθῇ, ἀποθανεῖται. καὶ ἐποίησεν ἐν πανουργίᾳ, ἵνα ἀπολέσῃ τοὺς δούλους τοῦ Βαάλ, καὶ εἶπεν Ἰηού· ἁγιάσατε ἱερείαν τῷ Βάαλ, καὶ θεραπείαν, καὶ ἐκήρυξεν, καὶ ἀπέστειλεν

λεν

λον ἐνὸς ἐν παντὶ Ἰσραὴλ, καὶ ἐπελέγων· καὶ νῦν πάντες οἱ δοῦλοι τοῦ Βάαλ, καὶ πάντες οἱ ἱερεῖς αὐτοῦ, καὶ πάντες οἱ προφῆται αὐτοῦ μηδεὶς ἀπολειφθήτω, ὅτι θυσίαν μεγάλην ποιῶ, ὃς ἂν ἀπολειφθῇ οὐ ζήσεται. καὶ ἦλθον πάντες οἱ δοῦλοι τοῦ Βάαλ, καὶ πάντες οἱ ἱερεῖς αὐτοῦ, καὶ πάντες οἱ προφῆται αὐτοῦ, οὐκ ἀπελείφθη ἀνὴρ ὃς οὐ παρεγένετο. καὶ εἰσῆλθον εἰς τὸν οἶκον τοῦ Βάαλ, καὶ ἐπλήσθη ὁ οἶκος τοῦ Βάαλ στόμα εἰς στόμα. καὶ εἶπεν τοῖς ἐπὶ τοῦ οἴκου στολάρχαις· ἐξαγάγετε στολὰς πᾶσι τοῖς δούλοις τοῦ Βάαλ. καὶ ἐξήνεγκεν αὐτοῖς ὁ στολάρχης. καὶ εἰσῆλθεν Ἰωναδὰβ υἱὸς Ῥηχὰβ εἰς οἶκον τοῦ Βάαλ, καὶ εἶπεν τοῖς δούλοις τοῦ Βάαλ· ἐρευνήσατε καὶ ἴδετε, εἰ ἔστι μεθ' ὑμῶν τῶν δούλων τοῦ κυρίου, καὶ ἐξαπόστειλατε πάντας τοὺς δούλους κυρίου, οὓς εὑρίσκομεν ὧδε. καὶ εἰσῆλθον, καὶ ὡς ἐλάλησεν Ἰωνάδαβ, ὅτι οὐκ ἔστιν τῶν δούλων κυρίου, ὅτι εἰ μὴ οἱ δοῦλοι τοῦ Βάαλ μόνοι πάντες, καὶ εἰσῆλθε τοῦ ποιῆσαι τὰ θυμιάματα, καὶ τὰ ὁλοκαυτώματα. καὶ Ἰηοὺ ἔταξεν ἔξω τοὺς ἐξήκοντα ἄνδρας, καὶ εἶπεν· ἀνὴρ ὃς ἐὰν σωθῇ ἀπὸ τῶν ἀνδρῶν ὧν ἐγὼ ἄγω ἐπὶ χεῖρας ὑμῶν, ἡ ψυχὴ αὐτοῦ ἀντὶ τῆς ψυχῆς αὐτοῦ. καὶ ἐγένετο ὡς συνετέλεσε ποιῶν τὴν ὁλοκαύτωσιν, καὶ εἶπεν Ἰηοὺ τοῖς παρατρέχουσι, καὶ τοῖς τρισὶν αὐτοῦ· εἰσελθόντες, πατάξατε αὐτούς, μὴ ἐξελθέτω ἐξ αὐτῶν ἀνήρ. καὶ ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας, καὶ ἔῤῥιψαν οἱ παρατρέχοντες, καὶ οἱ τρισάπται, καὶ ἐπορεύθησαν ἕως πόλεως οἴκου τοῦ Βάαλ, καὶ ἐξήνεγκαν τὴν στήλην τοῦ Βάαλ, καὶ ἐνέπρησαν αὐτήν, καὶ κατέσπασαν τὰς στήλας τοῦ Βάαλ, καὶ ἔταξεν αὐτὸν εἰς λατρουσίαν ἕως τῆς ἡμέρας ταύτης. καὶ ἠφάνισεν Ἰηοὺ τὸν οἶκον τοῦ Βάαλ ἐξ Ἰσραήλ, πλὴν τῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτεν τὸν Ἰσραήλ, ἀπ' αὐτῶν ἦν ὅπισθεν αὐτῶν, αἱ δαμάλεις αἱ χρυσαῖ ἐν Βαιθὴλ καὶ ἐν Δαν. καὶ εἶπε κύριος πρὸς Ἰηοὺ· ἀνθ' ὧν ὅσα ἠγάθωσας ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου, καὶ πάντα ὅσα ἐν τῇ καρδίᾳ μου ἐποίησας τῷ οἴκῳ Ἀχαάβ, υἱοί τέταρτοί σοι καθήσονται ἐπὶ θρόνου Ἰσραήλ. καὶ Ἰηοὺ οὐκ ἐφύλαξε πορεύεσθαι ἐν νόμῳ κυρίου θεοῦ Ἰσραήλ, ἐν ὅλῃ καρδίᾳ αὐτοῦ, οὐκ ἀπέστη ἐπὶ πάντα ἐφ' οἷς ἐποίησεν τὸν Ἰσραήλ, τὰς ἁμαρτίας Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτεν τὸν Ἰσραήλ. ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξατο κύριος συγκόπτειν ἐν τῷ Ἰσραήλ, καὶ ἐπάταξεν αὐτοὺς Ἀζαὴλ ἐν παντὶ ὁρίῳ Ἰσραήλ, ἀπὸ τοῦ Ἰορδάνου κατ' ἀνατολὰς ἡλίου, πᾶσαν τὴν γῆν Γαλαάδ, τὴν Γαδδί, καὶ τὴν Ῥουβήν, καὶ τὴν Μανασσῆ, ἀπὸ Ἀροὴρ ἣ ἔστιν ἐπὶ τοῦ χειμάῤῥου Ἀρνών, καὶ τὴν Γαλαάδ καὶ τὴν Βασάν. καὶ τὰ λοιπὰ τῶν λόγων Ἰηοὺ, καὶ πάντα ἃ ἐποίησε, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, καὶ τὰς σωφρύνεις ἃς συνῆψεν, οὐχὶ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ; καὶ ἐκοιμήθη Ἰηοὺ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν Σαμαρείᾳ, καὶ ἐβασίλευσεν Ἰωαχὰζ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσεν Ἰηοὺ ἐπὶ τοῦ Ἰσραήλ, εἰκοσποκτώ ἔτη ἐν Σαμαρείᾳ.

ΚΕΦΑΛ. ιδ. ιι.

στρεψεν ἰωσίας τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ, ἀλλ' ἢ πολεμεῖν αὐτὸν ἐκραταιώθη, καὶ οὐκ ἤκουσε τῶν
λόγων νεχαὼ ἐκ στόματος θεοῦ, καὶ ἦλθε τοῦ πολεμῆσαι ἐν τῷ πεδίῳ μαγεδδώ, καὶ ἐτάξαν
το οἱ τοξόται διὰ βασιλέα ἰωσίαν. καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν αὐτοῦ· ἀγαγέτέ με,
ὅτι ἐπόνεσα σφόδρα. καὶ ἀγήγαγον αὐτὸν οἱ παῖδες αὐτοῦ, ἐκ τοῦ ἅρματος, καὶ ἀνέβασαν αὐ
τὸν διὰ τὸ ἅρμα τὸ δεύτερον ὃ ἦν αὐτῷ, καὶ ἤγαγον αὐτὸν εἰς ἱερουσαλήμ, καὶ ἀπέθανε, καὶ ἐτάφη
μετὰ τῶν πατέρων αὐτοῦ. καὶ πᾶς ἰούδα καὶ ἱερουσαλὴμ ἐπένθησαν διὰ ἰωσίαν, καὶ ἐλελώνησεν ἱερε
μίας διὰ ἰωσίαν. καὶ εἶπαν πάντες οἱ ἄρχοντες, καὶ αἱ ἄρχουσαι θρηνοῦσαι διὰ ἰωσίαν, ἕως τῆς σή
μερον, καὶ ἔδωκαν αὐτὸν εἰς πρόσταγμα διὰ ἰσραήλ. ἰδοὺ γεγραπται ἐπὶ τῶν θρήνων. καὶ ἦσαν οἱ
λοιποὶ λόγοι ἰωσίου, καὶ ἡ ἐλπὶς αὐτοῦ γεγραμμένα ἐν νόμῳ κυρίου. καὶ οἱ λόγοι αὐτοῦ οἱ πρῶτοι
καὶ οἱ ἔσχατοι, ἰδοὺ γεγραμμένοι διὰ βιβλίων βασιλέων ἰσραὴλ καὶ ἰούδα. καὶ ἔλαβον ὁ λαὸς τῆς
γῆς τὸν ἰωάχαζ υἱὸν ἰωσίου, καὶ ἔχρισαν αὐτὸν, καὶ κατέστησαν αὐτὸν αὐτὶ τοῦ πατρὸς αὐτοῦ εἰς
βασιλέα διὰ ἱερουσαλήμ. υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν ἦν ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτόν. καὶ
πρίμμωον ἐβασίλευσεν διὰ ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ ἀμιτάλ, θυγάτηρ ἱερεμίου
ἐκ λοβνά, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, κατὰ πάντα ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ. καὶ
ἔδησε αὐτὸν ἰωάχαζ φαραὼ νεχαὼ ἐν δεβλαθὰ ἐν γῇ ἀιθαμ, τοῦ μὴ βασιλεύειν αὐτὸν ἐν ἱερου
σαλήμ. καὶ μετήγαγεν ὁ βασιλεὺς εἰς αἴγυπτον, καὶ ἐπέβαλε φόρον διὰ τὴν γῆν ἑκατὸν τάλαντα
ἀργυρίου, καὶ τάλαντον χρυσίου. καὶ κατέστησε φαραὼ νεχαὼ τὸν ἐλιακεὶμ υἱὸν ἰωσίου βασι
λέα διὰ ἰούδα αὐτὶ ἰωσίου τοῦ πατρὸς αὐτοῦ, καὶ μετέστρεψε τὸ ὄνομα αὐτοῦ ἰωακείμ. καὶ ἔλαβε
φαραὼ νεχαὼ τὸν ἰωάχαζ ἀδελφὸν ἰωακείμ, καὶ εἰσήγαγεν αὐτὸν εἰς αἴγυπτον, καὶ ἀπέθανεν ἐκεῖ,
καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκαν τῷ φαραὼ. τότε ἤρξατο ἡ γῆ φορολογεῖσθαι τοῦ δοῦναι τὸ
ἀργύριον διὰ στόματος φαραώ, καὶ ἕκαστος κατ' ἰσότητα τὸ ἀργύριον, καὶ τὸ χρυσίον παρὰ τοῦ
λαοῦ τῆς γῆς δοῦναι αὐτῷ φαραὼ νεχαῶ. ὧν εἴκοσι καὶ πέντε ἐτῶν ἰωακείμ ἐν τῷ βασιλεύειν
αὐτὸν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ζεχωρά, θυγάτηρ
νηρίου ἐν ῥαμᾶ. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐ
τοῦ. ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνέβη ναβεχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος εἰς τὴν γῆν, καὶ ἦν
αὐτῷ δουλεύων τρία ἔτη, καὶ ἀπέστη ἀπ' αὐτοῦ. καὶ ἀπέστειλε κύριος ἐπ' αὐτὸν τοὺς χαλδαίους,
καὶ λῃστρια συρων, καὶ λῃστρια μωαβιτῶν, καὶ υἱῶν ἀμμών, καὶ ἐν χαμαρίας, καὶ ἀπέστησαν μετὰ
τὸν λόγον τοῦ κυρίου, τὸν λόγον κυρίου, ὃν ἐλάλησεν αὐτοῖς ἐν τοῖς παισὶν αὐτοῦ τοῖς προφήταις. πλὴν θυμὸς κυ
ρίου ἦν ἐπὶ ἰούδαν, τοῦ ἀρπάσαι αὐτὸν ἀπὸ προσώπου αὐτοῦ, διὰ τὰς ἁμαρτίας μανασσῆ ἐν πᾶ
σιν οἷς ἐποίησε, καὶ ἐν αἵματι ἀθῴων ὧ ἐξέχεεν ἰωακείμ, καὶ ἔπλησε τὴν ἱερουσαλὴμ αἵματος ἀθῴου,
καὶ οὐκ ἠθέλησε κύριος ἐξιλάσασθαι αὐτόν. καὶ αὐτὸν ἐπ' αὐτὸν ναβεχοδονόσορ βασιλεὺς βα
βυλῶνος, καὶ ἔδησεν αὐτὸν χαλκαῖς πέδαις, καὶ ἤγαγεν εἰς βαβυλῶνα. καὶ μέρος τῶν σκευῶν οἴ
κου κυρίου ἀπέλυσεν εἰς βαβυλῶνα, καὶ ἔθηκεν αὐτὰ ἐν τῷ ναῷ αὐτοῦ ἐν βαβυλῶνι. καὶ τὰ λοι
πὰ τῶν λόγων ἰωακείμ, καὶ πάντα ἃ ἐποίησεν, ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡ
μερῶν τοῖς βασιλεῦσιν ἰούδα. καὶ ἐκοιμήθη ἰωακείμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν γα
νιζανὶ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν ἰεχωνίας υἱὸς αὐτοῦ αὐτ' αὐτοῦ. υἱὸς ὀκτωκαί
δεκα ἐτῶν ἰεχωνίας ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ τρίμηνον καὶ δέκα ἡμέρας ἐβασίλευσεν
ἐν ἱερουσαλήμ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου. καὶ ἀπέστρεψε πρὸς τὸν βασιλέα βαβυλῶνος
ὁ βασιλεὺς ναβεχοδονόσορ, καὶ εἰσήγαγεν αὐτὸν εἰς βαβυλῶνα μετὰ τῶν σκευῶν τῶν ἡδυσμένων
οἴκου κυρίου, καὶ ἐβασίλευσεν τὸν σεδεκίαν ἀδελφὸν πατρὸς αὐτοῦ διὰ ἰούδαν καὶ ἱερουσα
λήμ. υἱὸς ἐτῶν εἴκοσι καὶ ἑνὸς ἔτους σεδεκίας ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ἕνδεκα ἔτη ἐβασί
λευσεν ἐν ἱερουσαλήμ. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου θεοῦ αὐτοῦ, καὶ οὐκ ἐνετράπη ἀπὸ
προσώπου ἱερεμίου τοῦ προφήτου καὶ ἐκ στόματος κυρίου, ἐν τῷ τὸν βασιλέα ναβουχο
δονόσορ ἀθετῆσαι, ὃ ὤρκισεν αὐτὸν ἐν τῷ θεῷ, καὶ ἐσκλήρυνε τὸν τράχηλον αὐτοῦ, καὶ τὴν
καρδίαν αὐτοῦ κατίσχυσε, τοῦ μὴ ἐπιστρέψαι πρὸς κύριον θεὸν ἰσραήλ. καὶ πάντες οἱ ἐν ἀρχοῦσι
ἰούδα, καὶ οἱ ἱερεῖς, καὶ ὁ λαὸς τῆς γῆς, ἐπλήθυναν τὰ ἀθετῆσαι ἀθετήματα, κατὰ βδελύγματα
τῶν ἐθνῶν, καὶ ἐμίαναν τὸν οἶκον κυρίου τὸν ἐν ἱερουσαλήμ, καὶ ἐξαπέστειλε κύριος ὁ θεὸς τῶν
πατέρων

πατρῴων αὐτοῦ ἐν χειρὶ τῶν προφητῶν αὐτοῦ ὀρθρίζων, καὶ ἀπεστελλων τοὺς ἀγγέλους αὐτοῦ, ὅτι ἐφείσατο τοῦ λαοῦ αὐτοῦ, καὶ τοῦ ἁγιάσματος αὐτοῦ. καὶ ἦσαν μυκτηρίζοντες τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐξουθενοῦντες τοὺς λόγους αὐτοῦ, καὶ ἐμπαίζοντες ἐν τοῖς προφήταις αὐτοῦ ἕως ἀνέβη ὁ θυμὸς κυρίου ἐν τῷ λαῷ αὐτοῦ, ἕως οὐκ ἰᾶτο. καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς τὸν βασιλέα τῶν χαλδαίων, καὶ ἀπέκτεινε τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ ἐν οἴκῳ ἁγιάσματος αὐτοῦ, καὶ οὐκ ἐφείσατο τοῦ σκληρίου, καὶ τὰς παρθένους αὐτῶν οὐκ ἠλέησε, καὶ τοὺς πρεσβυτέρους αὐτῶν ἀπήγαγε. τὰ πάντα παρέδωκεν εἰς τὰς χεῖρας αὐτῶν, καὶ πάντα τὰ σκεύη οἴκου τοῦ θεοῦ τὰ μεγάλα καὶ τὰ μικρὰ, καὶ τοὺς θησαυροὺς οἴκου κυρίου, καὶ πάντας τοὺς θησαυροὺς τοῦ βασιλέως, καὶ τῶν μεγιστάνων, πάντα εἰσήνεγκεν εἰς Βαβυλῶνα, καὶ ἐνέπρησε τὸν οἶκον κυρίου, καὶ κατέσκαψε τὸ τεῖχος ἰερουσαλὴμ, καὶ τὰς βάρεις αὐτῆς ἐνέπρησεν ἐν πυρὶ, καὶ πᾶν σκεῦος ὡραῖον εἰδον εἰς ἀφανισμόν, καὶ ἀπώκισεν τοὺς καταλοίπους εἰς Βαβυλῶνα, καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους ἕως βασιλείας μήδων, τοῦ πληρωθῆναι λόγον κυρίου διὰ στόματος ἰερεμίου, ἕως τοῦ προσδέξασθαι τὴν γῆν τὰ σάββατα αὐτῆς, τοῦ σαββατίσαι πάσας τὰς ἡμέρας ἐρημώσεως αὐτοῦ, ἐσαββάτισεν εἰς συμπλήρωσιν ἑβδομήκοντα ἐτῶν. ἔτους πρώτου κύρου τοῦ βασιλέως περσῶν, μετὰ τὸ πληρωθῆναι ῥῆμα κυρίου διὰ στόματος ἰερεμίου, ἐξήγειρε κύριος τὸ πνεῦμα κύρου βασιλέως περσῶν. καὶ παρήγγειλε κηρύξαι ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ ἐν γραπτῷ, λέγων· τάδε λέγει κύρος ὁ βασιλεὺς περσῶν. πάσας τὰς βασιλείας τῆς γῆς ἔδωκέ μοι κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐνετείλατό μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν ἰερουσαλὴμ, τῇ ἐν τῇ ἰουδαίᾳ. τίς ἐξ ὑμῶν ἐκ παντὸς τοῦ λαοῦ αὐτοῦ, ἔσαι κύριος ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβήτω.

Τέλος παραλειπομένων βασιλειῶν τῆς β'.

α καὶ ἐν τῷ πρώτῳ ἔτει κύρου βασιλέως περσῶν
β καὶ ἀνέστησαν οἱ ἀρχοντες τῶν πατριῶν ἰούδα
γ καὶ ὁ βασιλεὺς κύρος ἐξήνεγκε τὰ σκεύη οἴκου κυρίου
δ καὶ οὗτοι οἱ υἱοὶ τῆς χώρας οἱ ἀναβαίνοντες ἀπὸ τῆς αἰχμαλωσίας
ε καὶ οὗτοι οἱ ἀναβαίνοντες ἀπὸ θελμελεχὲλ
ς καὶ ἀπὸ τῶν υἱῶν τῶν ἰορεὶμ
ζ καὶ ἀπὸ ἀρχόντων παντοίων
η καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ οἱ λευῖται
θ καὶ ἔφασαν ὁ μὲν ὁ ἐβδομο
ι καὶ σωήχθη ὁ λαὸς, ὡς ἀνὴρ εἷς
ια καὶ ἀνέστησαν ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ
ιβ ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου
ιγ καὶ ὁ οἶκος κυρίου ἀπεθεμελιώθη
ιδ καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις
ιε καὶ ἐν ἔτει δευτέρῳ
ις καὶ ἔστη ἰησοῦς, καὶ οἱ υἱοὶ αὐτοῦ
ιζ καὶ ἔστησαν οἱ ἱερεῖς ἐσολισμένοι
ιη καὶ ὡς ὁ λαὸς ἐσήμανε φωνῇ μεγάλῃ
ιθ καὶ πολλοὶ ἀπὸ τῶν ἱερέων, καὶ τῶν λευιτῶν
κ καὶ οὐκ ἦν ὁ λαὸς ἐπιγινώσκων τὴν φωνὴν τῆς σημασίας
κα καὶ ἡ φωνὴ ἦν κλαυθμὸς ἕως ἀρμακηρόθ
κβ καὶ εἶπε πρὸς αὐτοὺς ζοροβάβελ
κγ καὶ ἴδε ὁ λαὸς τῆς γῆς ἐκλύων τὰς χεῖρας τοῦ λαβεῖν ἰούδα
κδ ἐν βασιλείᾳ ἀσουήρου
κε ῥεβααλτὰμ
κς καὶ ἀπέστειλαν ὁ βασιλεὺς πρὸς ῥεουμ βααλτὰμ
κζ καὶ τότε ὁ φορολόγος τῆς ἀρθαδὰ βασιλέως
κη καὶ πρεσβύτεροι ἀγγαῖος ὁ προφήτης, καὶ ζαχαρίας
κθ τότε ἀνέστησαν ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ καὶ ἰησοῦς
λ καὶ ἐν αὐτῷ τῷ καιρῷ ἦλθεν ἐπ' αὐτοὺς θαθθαναὶ ἔπαρχος
λα διασάφησις ἐπιστολῆς ἧς ἀπέστειλε θαθθαναὶ ἔπαρχος
λβ τότε βασιλεὺς ὁ βασιλεὺς ἔθηκε γνώμην
λγ τότε θαθθαναὶ ἔπαρχος
λδ καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ, ὁ ἰούδας, καὶ οἱ λευῖται
λε καὶ μετὰ τὰ ῥήματα τοῦτα ἐν βασιλείᾳ ἀρθασασθὰ βασιλέως περσῶν ἀνέβη ἔσδρας
λς καὶ αὕτη ἡ διασάφησις τοῦ διαστάγματος
λζ εὐλογητὸς κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν
λη ἐγὼ ἐνεπετυώθην, ὡς χεὶρ κυρίου
λθ ἐν τῷ καιρῷ ἐκείνῳ οἱ ἐληλυθότες ἀπὸ τῆς αἰχμαλωσίας
μ καὶ συνήχθησαν πρός με πάντες ὁ διώκων λόγον κυρίου
μα καὶ ὡς προσκύνεσπε ἔσδρας
μβ καὶ εὑρέθησαν ἀπὸ τῶν υἱῶν τῶν ἱερέων λόγοι νεεμίου ἀχαλία
μγ καὶ ἐγὼ ἐν μηνὶ χασελεῦ ἔτους εἰκοστοῦ
μδ καὶ ἐγὼ ἐν μηνὶ νισὰν
με καὶ ἦκεσε ζαναβαλλατοαρωνῖ
μς καὶ ἐπέστρεψα αὐτοῖς λόγον
μζ καὶ ἀνέβη ἐλιασὰβ
μη καὶ ὧδε χεῖρα ἐμὴν αὐδοῶν ἰδριχώ
μθ καὶ ἐγένετο ὡς ἤκουσε ζαναβαλὰ, καὶ τωβία, καὶ οἱ ἀραβοὶ, καὶ οἱ ἀμμανῖται
ν ἐγὼ νενίκα ἤκουσαν οἱ ἐχθροὶ ἡμῶν
να ἐν τῷ καιρῷ ἐκείνῳ εἶπε τοῖς λαῷ
νβ οἱ ἀδελφοί μου, καὶ οἱ γνωστοί μου
νγ καὶ ἐκάλεσα οὓς ἱερεῖς

νδ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νσ΄ καὶ ἐγρήγορεν ὁ καθὼς ἡκούσθη τῷ σαναβαλλάτ
νε΄ καὶ ἐγὼ εἰσῆλθον εἰς οἶκον σεμεΐ
νς΄ καὶ τωβίας, καὶ σαναβαλλάτ
νζ΄ καὶ ἐτελείωσαν τὸ τεῖχος.
νη΄ καὶ ἐγρήγορεν ἡνίκα ὠκοδομήθη τὸ τεῖχος
νθ΄ καὶ ἔδωκεν ὁ θεὸς εἰς τὴν καρδίαν μου
ξ΄ καὶ οἱ υἱοὶ ἀνέβησαν ἀπὸ θραμμαχὲλ
ξα΄ καὶ ἐκάθισαν οἱ ἱερεῖς
ξβ΄ καὶ ἔστη ἔσδρας ὁ ἱερεὺς ὑπὲρ βήματος ξυλίνου
ξγ΄ καὶ ἰησοῦς καὶ σαβαννααίας, καὶ ϛαραβίας ἦσαν σωνεπίζοντες τῷ λαῷ
ξδ΄ καὶ εἶπε νεεμίας
ξε΄ καὶ οἱ λοιποὶ
ξς΄ καὶ ἀπῆλθον ὁ λαὸς φαγεῖν, καὶ πιεῖν
ξζ΄ καὶ ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ συνήχθησαν οἱ ἄρχοντες
ξη΄ καὶ ἐν ἡμέρᾳ ἑνὶ τοῦ μηνὸς τάπου συνήχθησαν οἱ υἱοὶ ἰσραὴλ
ξθ΄ καὶ ἔστη ὑπὲρ ἀναβάσει τῶν λευιτῶν ἰησοῦς
ο΄ καὶ εἶπαν ἔσδρας· σὺ εἶ αὐτὸς κύριος μόνος
οα΄ καὶ ἐκάθισαν οἱ ἄρχοντες τῆ χώρας
οβ΄ καὶ ὅποι ἄρχοντες τοῦ λαοῦ
ογ΄ καὶ ὅποι ἱερεῖς καὶ λευῖται
οδ΄ κὴ ἐν ἡμέραις ἰωακεὶμ οἱ ἀδελφοὶ αὐτῶν
οε΄ καὶ οἱ υἱοὶ ἐλιασὶβ οἱ ἀδελφοὶ αὐτῶν
ος΄ καὶ ἀπὸ τῶν ἡμερῶν ἱερεῶν
οζ΄ καὶ ἐστήσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
οη΄ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεγνώσθη ἐν βιβλίῳ μωϋσῆ
οθ΄ ἐν ταῖς ἡμέραις ἐκείναις εὑρὴν ἐν ἰσδὰ παντὸς οὐ λίωος ἐν σεββάτῳ
οι΄ καὶ ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον οὐ ἰουδαίους, οἱ ἐκάθισαν γυναῖκας ἀζωτίας

ΕΣΔΡΑΣ

ΚΕΦΑΛ. ά. 1.

ΚΑὶ ἐν τῷ πρώτῳ ἔτει βύρου Βασιλέως πέρσων, τοῦ τελεσθῆναι λόγον κυρίου ἀπὸ στόματος ἱερεμίου, ἐξήγειρε κύριος τὸ πνεῦμα βύρου Βασιλέως πέρσων, καὶ παρήγγειλε φωνὴν ἐν πάσῃ βασιλείᾳ αὐτοῦ, καί γε ἐν γραπτῷ λέγων· οὕτως εἶπε βύρος ὁ Βασιλεὺς πέρσων· πᾶσας τὰς βασιλείας τῆς γῆς ἔδωκέ μοι κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐπέσκεψατο ἐπ' ἐμὲ τοῦ οἰκοδομῆσαι οἶκον αὐτῷ ἐν ἱερουσαλὴμ, τῇ ἐν τῇ ἰουδαίᾳ. τίς ἐν ὑμῖν ἀπὸ παντὸς τοῦ λαοῦ αὐτοῦ, καὶ ἔσαι ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβήσεται εἰς ἱερουσαλὴμ τὴν ἐν τῇ ἰουδαίᾳ, καὶ οἰκοδομησάτω τὸν οἶκον θεοῦ ἰσραὴλ, αὐτὸς ὁ θεὸς ὁ ἐν ἱερουσαλήμ. καὶ πᾶς ὁ καταλειπόμενος ἀπὸ παντὸς τοῦ τόπου οὗ αὐτὸς παροικεῖ ἐκεῖ, καὶ λήψονται αὐτὸν ἄνδρες ἀπὸ τόπου αὐτοῦ ἐν ἀργυρίῳ, καὶ χρυσίῳ, καὶ ἐν ἀποσκευῇ, καὶ κτήνεσι μετὰ τοῦ ἐκουσίου εἰς οἶκον τοῦ θεοῦ τοῦ ἐν ἱερουσαλήμ.

β Καὶ ἀνέστησαν ἄρχοντες πατριῶν τοῦ ἰούδα καὶ βενιαμὶν, καὶ οἱ ἱερεῖς, καὶ οἱ λευῖται πάντων ὧν ἐξήγειρεν ὁ θεὸς τὸν νοῦν αὐτῶν, τοῦ ἀναβῆναι οἰκοδομῆσαι τὸν οἶκον κυρίου ἐν ἱερουσαλήμ, καὶ πάντες οἱ κυκλόθεν ἐνίσχυσαν ἐν χερσὶν αὐτῶν ἐν σκεύεσιν ἀργυρίου, ἐν χρυσῷ, καὶ ἐν ἀποσκευῇ, καὶ ἐν κτήνεσι, καὶ ἐν ξενίοις, πάρεξ τῶν ἐκουσίων.

γ Καὶ ὁ Βασιλεὺς κύρος ἐξήνεγκε τὰ σκεύη οἴκου κυρίου, ἃ ἔλαβεν ναβοχοδονόσορ ἀπὸ ἱερουσαλὴμ, καὶ ἔδωκεν αὐτὰ ἐν οἴκῳ θεοῦ αὐτοῦ. καὶ ἐξήνεγκεν αὐτὰ κύρος ὁ Βασιλεὺς πέρσων ὑπὸ χεῖρα μιθριδάτου γαζοφυλακος, καὶ ἐπείθμησεν αὐτὰ τῷ σαββασάρ τῷ ἄρχοντι τοῦ ἰούδα. καὶ ἔστιν ὁ ἀριθμὸς αὐτῶν, φιάλαι χρυσαῖ τριάκοντα, καὶ φιάλαι ἀργυραῖ χίλιαι, πύελαι μύριαι ἐννέα καὶ εἴκοσι, ϲ κεφαροὶ χρυσοῖ τριάκοντα, καὶ ἀργυροῖ καὶ σκεύη ἕτερα χίλια. πάντα τὰ σκεύη τῷ χρυσῷ καὶ τῷ ἀργύρῳ πεντακισχίλια τετρακόσια, τὰ πάντα ἀναβαίνοντα μετὰ σαοσαβασσὰρ ἀπὸ τῆς ἀποικίας ἐκ βαβυλῶνος εἰς ἱερουσαλήμ.

ΚΕΦΑΛ. β΄. 2.

Καὶ ἔστιν οἱ υἱοὶ τῆς χώρας, οἱ ἀναβαίνοντες ἀπὸ τῆς αἰχμαλωσίας τῆς ἀποικίας, ἧς ἀπῴκισε ναβοχοδονόσορ βασιλεὺς βαβυλῶνος εἰς βαβυλῶνα, καὶ ἐπέστρεψαν εἰς ἱερουσαλὴμ καὶ ἰούδα, ἀνὴρ εἰς πόλιν αὐτοῦ. οἱ ἦλθον μετὰ ζοροβάβελ, ἰησοῦς, νεεμίας, σταράας, ῥεελίας, μαρδοχαῖος, βαλασσαὺ, μασφαρ βαγουαὶ, ῥεούμ, βαανά· ἀριθμὸς ἀνδρῶν λαοῦ ἰσραὴλ· υἱοὶ φόρος δισχίλιοι ἑκατὸν ἑβδομη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κοντα δύο. υἱοὶ σαββατίε τριακόσιοι ἑβδομήκοντα ἑπτά. υἱοὶ ἀδὼν ἑπτακόσιοι ἑβδομήκοντα τρεῖς. υἱοὶ φαὰθ μωὰβ, τοῖς υἱοῖς ἰησοὺε ἰωὰβ δισχίλιοι ὀκτακόσιοι δέκα δύο. υἱοὶ αἰλὰμ χίλιοι διακόσιοι τριακόσιοι τεσσαράκοντα πέντε. υἱοὶ ζαθθοὺ ἐννακόσιοι πεντεκαίδεκα. υἱοὶ ζακχαὶ ἑπτακόσιοι ἑξήκοντα. υἱοὶ βανουὶ ἑξακόσιοι πεντεκαίδεκα δύο. υἱοὶ βαβαὶ ἑξακόσιοι εἴκοσι τρεῖς. υἱοὶ ἀζγὰδ χίλιοι διακόσιοι εἴκοσι δύο. υἱοὶ ἀδωνικὰμ ἑξακόσιοι ἑξήκοντα ἕξ. υἱοὶ βαγοὲ δισχίλιοι τριακόσιοι ἑξήκοντα ἕξ. υἱοὶ ἀδὶν πεντακόσιοι τριακόσιοι πεντεκαίδεκα. υἱοὶ ἀτὴρ, τοῦ ἐζεκίε ἐννενήκοντα ὀκτώ. υἱοὶ βασσοὺ τριακόσιοι εἴκοσι τρεῖς. υἱοὶ ἰωρὰ ἑκατὸν δέκα δύο. υἱοὶ ἀσὰμ διακόσιοι εἴκοσι τρεῖς. υἱοὶ γαβὲρ ἐννενήκοντα πέντε. υἱοὶ βεθλεὲμ ἑκατὸν εἴκοσι τρεῖς. υἱοὶ νετωφὰ πεντήκοντα ἕξ. υἱοὶ ἀναθὼθ ἑκατὸν μία. υἱοὶ ἀζμὼθ, τεσσαρακοντα τρεῖς. υἱοὶ καριαθιαρὶμ, χαφιρὰ, καὶ βηρώθ, ἑπτακόσιοι μία. υἱοὶ φαρὰμ καὶ γαβαὰ ἑξακόσιοι εἴκοσι εἷς. ἄνδρες μαχμὰς ἑκατὸν εἴκοσι δύο. ἄνδρες βαιθὴλ καὶ αἰὰ τριακόσιοι εἴκοσι τρεῖς. υἱοὶ ναβὰ ν. υἱοὶ μαγεβεὶς ἑκατὸν πεντήκοντα ἕξ. υἱοὶ ηλαμὰρ χίλιοι διακόσιοι νεν. υἱοὶ ηρὰμ τριακόσιοι εἴκοσι. υἱοὶ λυδὶδ, λοδαδὶ καὶ ὠνὼ ἑπτακόσιοι εἴκοσι πέντε. υἱοὶ ἱεριχὼ τριακόσιοι μέ. υἱοὶ σεναὰ τρισχίλιοι ἑξακόσιοι λ. καὶ οἱ ἱερεῖς· υἱοὶ ἰεδαὰ τοῦ οἴκου ἰησοὺ ἐννακόσιοι ἑβδομήκοντα τρεῖς. υἱοὶ ἐμμὴρ χίλιοι ν. υἱοὶ φασσοὺρ χίλιοι διακόσιοι μζ. υἱοὶ ἠρὲμ χίλιοι ἑπτακαίδεκα. καὶ οἱ λευῖται· υἱοὶ ἰησοὺ καδμιὴλ, τοῖς υἱοῖς ὡδουΐα ὀδ. οἱ ἄδοντες· υἱοὶ ἀσὰφ ἑκατὸν μή. υἱοὶ τῶν πυλωρῶν· υἱοὶ σελλούμ, υἱοὶ ἀτὴρ, υἱοὶ τελμὼν, υἱοὶ ἀκοὺβ, υἱοὶ ἀτιτὰ, υἱοὶ σωβαὶ, οἱ πάντες ἑκατὸν λθ. οἱ ναθιναῖοι· υἱοὶ σιὰ, υἱοὶ σεφὰτ, υἱοὶ ἀββαὼθ, υἱοὶ χειρασὶ, υἱοὶ σιρσὰ, υἱοὶ φασὼρ, υἱοὶ λαβαὼ, υἱοὶ ἀγαβὰ, υἱοὶ ἀκκοὺβ, υἱοὶ ἀγαβὶ, υἱοὶ σελαμὶ, υἱοὶ ἀνὰν, υἱοὶ γεδδιὴλ, υἱοὶ γαὰρ, υἱοὶ ῥαιὰ, υἱοὶ ῥασὼν, υἱοὶ νεκωδὰ, υἱοὶ γαζὰμ, υἱοὶ ἀζὼ, υἱοὶ φασὴ, υἱοὶ ῥασὶ, υἱοὶ ἀσσνὰ, υἱοὶ μεννὶ, υἱοὶ νεφουσὶμ, υἱοὶ βακβοὺκ, υἱοὶ ἀκιφὰ, υἱοὶ ἀνοὺρ, υἱοὶ βασαλὼθ, υἱοὶ μεισὰ, υἱοὶ ἀρσὰ, υἱοὶ βαρκὸς, υἱοὶ σισαρὰ, υἱοὶ θεμὰ, υἱοὶ ναθὶε, υἱοὶ ἀτιφά. υἱοὶ δούλων σολομὼν, υἱοὶ σωτὰι, υἱοὶ σωφρὰθ, υἱοὶ ἐαλὰ, υἱοὶ λορκὼν, υἱοὶ γεδδιὴλ, υἱοὶ σαφατία, υἱοὶ ἀτὴλ, υἱοὶ φαχορὰθ ἁσεβωὶμ, υἱοὶ ἀμεὶ, πάντοι οἱ ναθαναὶμ ἅμα, καὶ υἱοὶ ἀβδεσελμὰ, τριακόσιοι ἐνενήκοντα δύο.

ε Καὶ οὗτοι οἱ ἀναβαίνοντε ἀπὸ θελμελὲχ, θελαρίσα, χόρουβ, ἀδδὰν, ἐμμὴρ, καὶ οὐκ ἐδυνήθησαν τοῦ ἀναγγεῖλαι οἶκον πατριᾶς αὐτῶν, καὶ σπέρμα αὐτῶν, εἰ ἐξ ἰσραὴλ εἰσιν. υἱοὶ δελαΐα, υἱοὶ τωβίου, υἱοὶ νεγωδὰ, ἑξακόσιοι νβ.

ς Καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων, καὶ οἱ ὁβαΐα, υἱοὶ ἀκκωὺς, υἱοὶ μοῤζελλαὶ, ὃς ἔλαβεν ἀπὸ τῶν θυγατέρων βορζελλαὶ τοῦ γαλααδίτου γυναῖκα, καὶ ἐκλήθη ὑπὸ τοῦ ὀνόματι αὐτῶν. οὗτοι ὧν ἐζήτησαν γραφὴν αὐτῶν οἱ μεθωσὶμ, καὶ οὐχ εὑρέθησαν, καὶ ἠγνισθήσαν ἀπὸ τῆ ἱερατείας. καὶ εἶπεν θοῤθὰ αὐτοῖς τοῦ μὴ φαγεῖν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων ἕως ἀναστῇ ἱερεὺς τοῖς φωτίζουσιν, καὶ τοῖς τελείοις. πᾶσα δὲ ἡ ἐκκλησία ὁμοῦ ὡσεὶ τεσσαρῶν μυριάδες δισχίλιοι ἑξήκοντα, χωρὶς δούλων αὐτῶν καὶ παιδίσκων αὐτῶν. οὗτοι ἑπτακισχίλιοι τριακόσιοι λζ. καὶ ὅτοι ἄδοντες καὶ ᾄδουσαι διακόσιοι. ἵπποι αὐτῶν ἑπτακόσιοι λς. ἡμίονοι αὐτῶν διακόσιοι μέ. κάμηλοι αὐτῶν τετρακόσιοι λέ. ὄνοι αὐτῶν ἑξακισχίλιοι ἑπτακόσιοι εἴκοσι.

ζ Καὶ ἀπὸ ἀρχόντων πατριῶν, ὡ τοῦ εἰσελθεῖν αὐτοὺ εἰς οἶκον κυρίε τ ὡ ἱερουσαλὴμ, ἥκασιάσαντο εἰς οἶκον τοῦ θεοῦ τοῦ στῆσαι αὐτὸν ἐπὶ τὸ ἑτοιμασίαν αὐτοῦ, ὅσα δυνάμις αὐτῶν ἔδωκαν εἰς θησαυρὸν τοῦ ἔργου, χρυσίε δραχμῶν ἑξακισχιλίας καὶ χιλίας, καὶ ἀργυρίε μνᾶς πεντακισχιλίας, καὶ χιτῶνας τ ἱερέων ἑκατόν.

η Καὶ ἐκάθισαν οἱ ἱερεῖς, καὶ οἱ λευῖται, καὶ οἱ ἀπὸ τοῦ λαοῦ, καὶ οἱ ᾄδοντες, καὶ οἱ πυλωροὶ, καὶ οἱ ναθινεὶμ ὡ πόλεσιν αὐτῶν, καὶ πᾶς ἰσραὴλ ὡ πόλεσιν αὐτῶν.

θ Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος, καὶ οἱ υἱοὶ ἰσραὴλ ὡ πόλεσιν αὐτῶν.

ι ΚΕΦΑΛ. γ. 3.

Καὶ συνήχθη ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς ἱερουσαλὴμ. ια καὶ ἀνέστησεν ὁ τοῦ ἰωσεδὲκ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἱερεῖς, καὶ ζοροβαβὲλ ὁ τοῦ σαλαθιὴλ, καὶ οἱ ἀδελφοὶ αὐτῶν, καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον θεοῦ ἰσραὴλ, τοῦ ἀναφέρειν ἐπ' αὐτῷ ὁλοκαυτώσεις κατὰ τὰ γεγραμμένα ὡ νόμῳ μωϋσῆ ἀνθρώπε τ θεοῦ. καὶ ἡτοίμασαν τὸ θυσιαστήριον ἐπὶ τ ἑτοιμασίαν αὐτοῦ, ὅτι ἐγκατοικοῦσιν ἐπ' αὐτοῖς ἀπὸ τῶν λαῶν τῶν γαιῶν, καὶ ἀνέβη ἐπ' αὐτὸ ὁλοκαύτωσις τοῦ κυρίου τὸ πρωὶ καὶ εἰς ἑσπέραν. καὶ ἐποίησαν τὴν ἑορτὴν ὡ σκηνῶν καθὼ γέγραπται, καὶ ὁλοκαυτώσεις ἡμέραν ἡμέρα ὡ ἀριθμῷ, ὡς ἡ κρίσις λόγον ἡμέρας ὡ ἡμέρᾳ αὐτοῦ. καὶ μετὰ ταῦτα ὁλοκαυτώσεις ὡ τοῦ λειτουργεῖν, καὶ εἰς τὰς καμπυλίας, καὶ εἰς τὰς ἑορτὰς τοῦ κυρίου τὰς ἡγιασμένας, καὶ πᾶσι ἑκουσιαζομένῳ ἑκούσιον τοῦ κυρίου.

ιβ Ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου ἤρξαντο ἀναφέρειν ὁλοκαυτώσεις τοῦ κυρίου.

ιγ καὶ ὁ οἶκος τοῦ κυρίου οὐκ ἐθεμελιώθη.

ιδ καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις, καὶ τοῖς τέκτοσι, καὶ βρώματα, καὶ πόματα, καὶ ἔλαιον τοῖς σιδωνίοις, καὶ τοῖς τυρίοις, τοῦ ἐξενεγκαι ξύλα κέδρινα ἀπὸ τοῦ λιβάνου πῶς θέλουσιν ἵππῃς, κατ' ὧν χώρη-

σιν

σιμ λύρᾳ Βασιλέως πόρσωμ ἐπ' αὐτούς.

κδ Καὶ γὼ ἔστειλα τῷ δυνάστῃ τῷ ἐλθεῖν αὐτοὺς εἰς οἶκον λυρίᾳ τ θεᾶ ἡμῶν γὼ ἰδρασταλήμ, γὼ μιμὶ ἔδρᾳ δυνάστης, ἤρξατο ζοροβάβελ ὁ τῷ σαλαθιὴλ, καὶ ἰησοῦς ὁ τῷ ἰωσεδὲκ, καὶ οἱ κατάλοιποι τῶν ἀδελφῶν αὐτ οἱ ἱερεῖς καὶ οἱ λευῖται, καὶ πάντες οἱ ἐρχόμενοι ἐκ τῆς αἰχμαλωσίας εἰς ἰδρασταλήμ, καὶ ἔκτισαν οὓς λευίτας ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, τῷ νικοποιεῖν ὠδὴν τοὺς ποιοῦντας τὰ ἔργα γὼ οἴκῳ λυρίᾳ.

κε καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι γὼ σάλπιγξι, καὶ οἱ λευῖται ἱροὶ ἀσὰφ γὼ κυμβάλοις τῷ αἰνεῖν τὸν λύριον ὠδὴ χεῖρας δαβὶδ Βασιλέως ἰσραὴλ, καὶ ἀπεκρίθησαν γὼ αἴνῳ καὶ ἀνθομολογήσει τῷ λυρίᾳ, ὅτι ἀγαθὸν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ ὠδὴ ἰσραὴλ.

κς καὶ πᾶς ὁ λαὸς ἐσάλπισε φωνῇ μεγάλῃ αἶνον τῷ λυρίᾳ ὠδὴ τῇ θεμελιώσει τοῦ οἴκου λυρίου.

κζ καὶ πολλοὶ ἀπὸ τῶν ἱερέων, καὶ τῶν λευιτῶν, καὶ ἀρχόντων τῶν πατριῶν, οἱ πρεσβύτεροι οἱ εἶδοσαν τὸν οἶκον τὸν πρῶτον γὼ θεμελιώσει αὐτοῦ, καὶ οὗτον τὸν οἶκον ὀφθαλμοῖς ἑαυτῶν, ἔκλαιον φωνῇ μεγάλῃ, καὶ ὁ ὄχλος γὼ σημασίᾳ μετ' ὑψροσύνης τ ὑψῶσαι ὠδήν.

κη καὶ οὐκ ἦν ὁ λαὸς ὠδὴ γινώσκειν τὴν φωνὴν τῆς σημασίας τῆς ὑψροσύνης ἀπὸ τῆς φωνῆς τοῦ κλαυθμοῦ τοῦ λαοῦ, ὅτι ὁ λαὸς ἐκραύγασε φωνῇ μεγάλῃ.

κθ ΚΕΦΑΛ. δ'. 4.

ΚΑὶ ἤκουσαν οἱ θλίβοντες ἰούδα καὶ βενιαμὶν, ὅτι υἱοὶ τῆς ἀποικίας οἰκοδομοῦσιν οἶκον τῷ λυρίᾳ θεῷ ἰσραὴλ, καὶ ἤγγισαν πρὸς ζοροβάβελ, καὶ πρὸς τοὺς ἀρχόντας τῶν πατριῶν, καὶ εἶπον αὐτοῖς· οἰκοδομήσωμεν μεθ' ὑμῶν, ὅτι ὡς ὑμεῖς ἐκζητοῦμεν τῷ θεῷ ὑμῶν, καὶ αὐτῷ ἡμεῖς θυσιάζομεν ἀπὸ ἡμερῶν ἀσαραδὰν βασιλέως ἀσσὴρ, τοῦ ἀνενέγκαντος ἡμᾶς ὧδε.

λ καὶ εἶπον πρὸς αὐτοὺς ζοροβάβελ καὶ ἰησοῦς, καὶ οἱ λοιπὸν τῶν ἀρχόντων τῶν πατριῶν τοῦ ἰσραὴλ· οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι οἶκον τῷ θεῷ ἡμῶν, ὅτι ἡμεῖς αὐτοὶ ἐπὶ τὸ αὐτὸ οἰκοδομήσομεν τῷ λυρίᾳ θεῷ ἡμῶν, ὡς ἐνετείλατο ἡμῖν κύρος ὁ βασιλεὺς πόρσων.

λα καὶ ἰδοὺ ὁ λαὸς τῆς γῆς ἐκλύων τὰς χεῖρας τοῦ λαοῦ ἰούδα, καὶ ἐνεπόδιζον αὐτοῖς τοῦ οἰκοδομεῖν, καὶ μισθούμενοι ἐπ' αὐτοὺς βουλόμενοι τοῦ διασκεδάσαι βουλὴ αὐτῶν πᾶσας τὰς ἡμέρας κύρος βασιλέως πόρσων, καὶ ἕως βασιλείας δαρείου βασιλέως.

λβ καὶ ἐν βασιλείᾳ ἀσουήρου, καὶ ἐν ἀρχῇ βασιλείας αὐτοῦ ἔγραψαν ἐπιστολὴν οἰκοῦντας ἰούδαν, καὶ ἰδρασταλήμ. καὶ ἐν τοῖς ἡμέραις ἀρθαδαδὰ ἔγραψαν ἐν εἰρήνῃ μιθριδάτης καὶ ταβεὴλ, σὺν τοῖς λοιποῖς συμβούλοις αὐτῶν, πρὸς ἀρθαζαδὰ βασιλέα πέρσων. ἔγραψεν ὁ φορολόγος γραφὴν καὶ συνέσει ἑρμηνευομένην.

λγ Ρεουμβαλταὰμ, καὶ σαμψαὶ ὁ γραμματεὺς ἔγραψαν ἐπιστολὴν μίαν κατὰ ἰδρασταλήμ τῷ ἀρθαζαδὰ βασιλεῖ, τάδε ἔκρινε· ρεουμβαλταὰμ, καὶ σαμψαὶ ὁ γραμματεὺς, καὶ οἱ κατάλοιποι συμβούλοι ημῶν, δεινάιοι, ἀφαρσαθαχαῖοι, ταρφαλαῖοι, ἀρφασαῖοι, ἀρχιναῖοι, βαβυλώνιοι, σουσαναχαῖοι, σαυαῖοι, καὶ οἱ κατάλοιποι ἐθνῶν ὧν ἀπῴκισεν ἀσσναφὰρ ὁ μέγας, καὶ ὁ τίμιος, καὶ κατῴκισεν αὐτοὺς ἐν πόλεσι τῆς ὁμόρρου, καὶ τὸ κατάλοιπον πέραν τοῦ ποταμοῦ. αὕτη ἡ διαταγὴ τῆς ἐπιστολῆς ἧς ἀπέστειλαν πρὸς αὐτὸν πρὸς ἀρθαζαδὰ βασιλέα οἱ παῖδές σου, ἀνδρῶν πόρραν τοῦ ποταμοῦ. γνωστὸν ἔστω τῷ βασιλεῖ, ὅτι οἱ ἰουδαῖοι οἱ ἀναβάντες ἀπὸ σοῦ πρὸς ἡμᾶς ἦλθοσαν εἰς ἰδρασταλήμ, τὴν πόλιν τὴν ἀποστατικὴν καὶ πονηρὰν, καὶ οἰκοδομοῦσι, καὶ τὰ τείχη αὐτῆς κατηρτισμένοι εἰσὶ, καὶ θεμελίους αὐτῆς ἀνύψωσαν. νῦν ὃν γνωστὸν ἔστω τῷ βασιλεῖ, ὅτι ἐὰν ἡ πόλις ἐκείνη οἰκοδομηθῇ, καὶ τὰ τείχη αὐτῆς καταρτισθῶσι, φόρους οὐκ ἐσοντί σοι, οὐδὲ δώσουσι, καὶ τοῦτο βασιλεῖς κακοποιεῖ, καὶ ἀχρημοσύνην βασιλέως οὐκ ἔξεστιν ἡμῖν ἰδεῖν. διὰ τοῦτο ἐπέμψαμεν καὶ ἐγνωρίσαμεν τῷ βασιλεῖ, ἵνα ὦσι σκεπτὸν τὸν βίβλον ὑπομνηματισμοῦ τῶν πατέρων σου, καὶ εὑρήσεις καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη πόλις ἀρσάσης, καὶ μακροποιοῦσα βασιλεῖς καὶ χώρας, καὶ φυγαδίαι δόλῳ γίνονται γὼ μέσῳ αὐτῆς ἀπὸ χρόνων αἰῶνος. διὰ τοῦτο ἡ πόλις αὕτη ἠρήμωται. γνωρίζομεν οὖν ἡμεῖς τῷ βασιλεῖ, ὅτι ἂν ἡ πόλις ἐκείνη οἰκοδομηθῇ, καὶ τὰ τείχη αὐτῆς καταρτισθῇ, οὐκ ἔστι σοι εἰρήνη.

λδ Καὶ ἀπέστειλεν ὁ βασιλεὺς πρὸς ρεουμβαλταὰμ καὶ σαμψαὶ γραμματέα, καὶ τοὺς λοιποὺς συμβούλους αὐτῶν, τοὺς οἰκοῦντας γὼ σαμαρείᾳ, καὶ τοὺς καταλοίπους πόρραν τοῦ ποταμοῦ εἰρήνην, καὶ φασίν· ὁ φορολόγος οὗ ἀπεστείλατε πρὸς ἡμᾶς, ἐκλήθη ἔμπροσθέν μου, καὶ παρ' ἐμοῦ ἐτέθη γνώμη, καὶ ἐπεσκεψάμεθα, καὶ εὕρομεν ὅτι ἡ πόλις ἐκείνη ἀφ' ἡμερῶν αἰῶνος ὠδὴ βασιλεῖς ἐπαίρεται, καὶ ἀρσάσεις καὶ φυγαδίαι γίνονται γὼ αὐτῇ. καὶ βασιλεῖς ἰσχυροὶ γίνονται γὼ ἰδρασταλήμ, καὶ ὠκρατοῦντες ὅλης γῆς πέραν τοῦ ποταμοῦ, καὶ φόροι πλήρεις, καὶ μέρος δίδοται αὐτοῖς. καὶ νῦν θέτε γνώμην καταργῆσαι τοὺς ἄνδρας ἐκεί

νος, καὶ ἡ πόλις ἐκείνη οὐκ οἰκοδομηθήσεται, οὐκέτι ὅπως ἀπὸ τῆς γνώμης τοῦ φυλαγμένοι ἄνεσιν ποιῆσαι περὶ τούτου, μήποτε πληθυθῇ ἀφανισμὸς εἰς κακοποίησιν βασιλεῦσι.

κζ Τότε ὁ φορολόγος τῆς ἀρθαζαδὰ βασιλέως ἀνέγνω τὴν ὑπόμνησιν ῥεσμβαλταὰμ καὶ σαμψαὶ γραμματέως καὶ συμβούλων αὐτῶν, καὶ ἐπορεύθησαν ταχὺ εἰς ἱερουσαλὴμ καὶ τῇ ἱουδαίᾳ, καὶ κατήργησαν αὐτοὺς τῇ ἵπποις καὶ δυνάμει. τότε ἤργησε τὸ ἔργον οἴκου τοῦ θεοῦ τὸ τῇ ἱερουσαλὴμ, καὶ ἦν ἀργοῦν ἕως δευτέρου ἔτους τῆς βασιλείας βασιλέως πέρσων.

κή ΚΕΦΑΛ. ε. ς.

ΚΑὶ προεφήτευσεν ἀγγαῖος ὁ προφήτης, καὶ ζαχαρίας ὁ τοῦ ἀδδὼ, προφητείαν ἦδον οὗς ὑὸς τοῦ τῇ ἰουδαίᾳ καὶ ἱερουσαλὴμ τῇ ὀνόματι θεοῦ ἰσραὴλ ἐπ' αὐτούς.

κθ Τότε ἀνέστησαν ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ, καὶ ἰησοῦς ὑὸς ἰωσεδὲκ, καὶ ἤρξαντο οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ τὸν τῇ ἱερουσαλὴμ, καὶ μετ' αὐτῶν οἱ προφῆται τοῦ θεοῦ βοηθοῦντες αὐτοῖς.

λ Ἐν αὐτῷ τῷ καιρῷ ἦλθον ἐπ' αὐτοὺς θαθθαναὶ ἔπαρχος πέραν τοῦ ποταμοῦ, καὶ σαθαρβοζαναὶ καὶ οἱ συμβούλοι αὐτῶν, καὶ τοιάδε εἶπον αὐτοῖς· τίς ἔθηκεν ὑμῖν γνώμην τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦτον, καὶ τὴν χορηγίαν ταύτην καταρτίσασθαι; τότε ταῦτα εἶπον αὐτοῖς, τινὰ ὄντα τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν οἰκοδομούντων τὴν πόλιν ταύτην, καὶ οἱ ὀφθαλμοὶ τοῦ θεοῦ ἦσαν τὴν αἰχμαλωσίαν ἰούδα, καὶ οὐ κατήργησαν αὐτοὺς ἕως γνώμη τοῦ δαρείου ἀπηλλάγη, καὶ τότε ἀπεστάλη τοῦ φορολόγου περὶ τούτου. διασάφησις ἣν ἔστειλαν θαθθαναὶ ὁ ἔπαρχος τοῦ πέραν τοῦ ποταμοῦ.

λά Καὶ σαθαρβοζάνης, καὶ οἱ συμβουλοι αὐτῶν ἀφαρσαχαῖοι, οἱ ὄντες τοῦ πέραν τοῦ ποταμοῦ, δαρείῳ τοῦ βασιλεῖ ῥήμασιν ἀπέστειλαν πᾶς αὐτὸν, καὶ τάδε γέγραπται ἐν αὐτῷ· Δαρείῳ τοῦ βασιλεῖ εἰρήνη πᾶσα.

γνωσὸν ἔστω βασιλεῖ, ὅτι ἐπορεύθημεν εἰς τὴν ἰουδαίαν χώραν, εἰς οἶκον τοῦ θεοῦ τοῦ μεγάλου, καὶ αὐτὸς οἰκοδομεῖται λίθοις ἐκλεκτοῖς, καὶ ξύλα ἐντίθεται ἐν τοῖς τοίχοις, καὶ τὸ ἔργον ἐκεῖνο σπουδαῖον γίνεται, καὶ εὐοδοῦται ἐν χερσὶν αὐτῶν. τότε ἠρωτήσαμεν αὐτοὺς πρεσβυτέρους ἐκείνους, καὶ οὕτως εἴπαμεν αὐτοῖς· τίς τε ἔθηκεν ὑμῖν γνώμην τὸν οἶκον τοῦτον οἰκοδομῆσαι, καὶ τὴν χορηγίαν ταύτην καταρτίσασθαι; καὶ τὰ ὀνόματα αὐτῶν ἠρωτήσαμεν αὐτοὺς γνωρίσαι σοι, ὥστε γράψαι σοι τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀρχόντων αὐτῶν. καὶ τοιοῦτο ῥῆμα ἀπεκρίθησαν ἡμῖν λέγοντες· ἡμεῖς δούλοι ἐσμὲν τοῦ θεοῦ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ οἰκοδομοῦμεν τὸν οἶκον ὃν ᾠκοδομήθη πρὸ τούτου ἔτη πολλά, καὶ βασιλεὺς τοῦ ἰσραὴλ μέγας ᾠκοδόμησεν αὐτὸν, καὶ κατηρτίσατο αὐτὸν αὐτοῖς. ἀφότε δὲ παρώργισαν οἱ πατέρες ἡμῶν τὸν θεὸν τοῦ οὐρανοῦ, καὶ ἔδωκεν αὐτοὺς εἰς χεῖρας ναβουχοδονόσορ βασιλέως βαβυλῶνος τοῦ χαλδαίου, καὶ τὸν οἶκον τοῦτον κατέλυσε, καὶ τὸν λαὸν ἀπῴκισεν εἰς βαβυλῶνα. ἀλλ' ἐν ἔτει πρώτῳ κύρου τοῦ βασιλέως, κύρος ὁ βασιλεὺς ἔθετο γνώμην, τὸν οἶκον τοῦ θεοῦ τοῦτον οἰκοδομηθῆναι, καὶ τὰ σκεύη τοῦ οἴκου τοῦ θεοῦ τὰ χρύσεα, καὶ τὰ ἀργυρᾶ, ἃ ναβουχοδονόσορ ἐξήνεγκεν ἀπὸ τοῦ οἴκου τοῦ ἐν ἱερουσαλὴμ, καὶ ἀπήνεγκεν αὐτὰ εἰς τὸν ναὸν τοῦ βασιλέως, ἐξήνεγκεν αὐτὰ κύρος ὁ βασιλεὺς ἀπὸ τοῦ ναοῦ τοῦ βασιλέως, καὶ ἔδωκε τῷ σαναβασσάρῳ τῷ θησαυροφύλακι, τῷ ὄντι τοῦ θησαυροῦ, καὶ εἶπεν αὐτῷ· πάντα τὰ σκεύη λαβὲ, καὶ πορεύου θὲς αὐτὰ ἐν τῷ οἴκῳ τῷ ἐν ἱερουσαλὴμ, εἰς τὸν τόπον αὐτῶν. τότε σαναβασσάρ ἐκεῖνος ἦλθε, καὶ ἔδωκε θεμελίους τοῦ οἴκου τοῦ θεοῦ ἐν ἱερουσαλὴμ, καὶ ἀπὸ τότε ἕως τοῦ νῦν ᾠκοδομήθη, καὶ οὐκ ἐτελέσθη. καὶ νῦν εἰ ὄντι τὸν βασιλέα ἀγαθὸν, σκεπτέσθω ἐν τῷ οἴκῳ τῆς γάζης τοῦ βασιλέως βαβυλῶνος, ὅπως γνῷς ὅτι ἀπὸ τοῦ βασιλέως κύρου ἐτέθη γνώμη οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ ἐκείνου, τὸν ἐν ἱερουσαλὴμ, καὶ γνοὺς ὁ βασιλεὺς περὶ τούτου πεμψάτω πρὸς ἡμᾶς.

λβ ΚΕΦΑΛ. ς. ζ.

ΤΟτε δαρεῖος ὁ βασιλεὺς ἔθηκε γνώμην, καὶ ἐπεσκέψατο ἐν ταῖς βιβλιοθήκαις ὅπου γάζα κεῖται ἐν βαβυλῶνι, καὶ εὑρέθη ἐν ἀμαθὰ πόλει ἐν τῇ βάρει τῆς μήδων πόλεως κεφαλὶς μία, καὶ οὕτω γεγραμμένον ἐν αὐτῇ ὑπόμνημα. Ἐν ἔτει πρώτῳ κύρου βασιλέως, κῦρος ὁ βασιλεὺς ἔθηκε γνώμην περὶ οἴκου τοῦ θεοῦ τοῦ ἐν ἱερουσαλήμ. Οἶκος οἰκοδομηθήτω, καὶ τόπος ὁ θυσιάζουσι τὰ θυσιάσματα, καὶ ἔθηκεν ἔπαρμα, ὕψος πήχεις ἑξήκοντα, πλάτος αὐτοῦ πήχεων ἑξήκοντα, καὶ λίθοι λίθινοι κεκραταιοὶ τρεῖς, καὶ λίθος ξύλινος εἷς, καὶ ἡ δαπάνη ἐκ οἴκου τοῦ βασιλέως δοθήσεται. καὶ τὰ σκεύη οἴκου τοῦ θεοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ἃ ναβουχοδονόσορ ἐξήνεγκεν ἀπὸ τοῦ οἴκου τοῦ ἐν ἱερουσαλὴμ, καὶ ἐκόμισεν εἰς βαβυλῶνα, δοθήτω, καὶ ἀπελθέτω εἰς τὸν ναὸν τὸν ἐν ἱερουσαλὴμ, ὃν τόπον οὗ ἐτέθη ἐν οἴκῳ τοῦ θεοῦ. νῦν οὖν ἔστω ἔπαρχοι πέραν τοῦ ποταμοῦ μακρὰν ἄντου ζαθαρβοζαναὶ, καὶ οἱ συμβουλοι αὐτῶν, ἀφαρσαχαῖοι οἱ ὄντες τοῦ πέραν τοῦ ποταμοῦ μακρὰν ὄντου ἐκεῖθεν. καὶ νῦν ἄφετε τὸ ἔργον οἴκου τοῦ θεοῦ οἱ ἀφηγούμενοι τῶν ἰουδαίων, καὶ οἱ πρεσβύτεροι τῶν ἰουδαίων οἶκον τοῦ θεοῦ ἐκείνου οἰκοδομήθησαν ὄντι τοῦ τόπου αὐτοῦ, καὶ ἀπ' ἐμοῦ γνώμη

γνώμη ἐτέθη, μήποτε τί ποιήσητε μετὰ τῶν προδυτέρων τῶν Ἰουδαίων, τ οἶκον δομηθῆναι οἶκον τῷ θεῷ ἐκείνου. καὶ ἀπὸ ὑπαρχόντων βασιλέως τῶν φόρων τῶν τοπαρχῶν τοῦ ποταμοῦ, ὧν μελῶς δ' ἀπαύη ἔστω, δίδωμι ταῖς αὐθράσιν ἐκείνοις, τὸ μὴ καταργηθῆναι. καὶ ὃ ἂν ὑστέρημα, καὶ ἀπὸ βοῶν καὶ ἀρνῶν, καὶ ἀμνῶν εἰς ὁλοκαυτώσεις τοῦ θεοῦ τ οὐρανοῦ, πυρός, ἅλας, οἶνον, ἔλαιον, κατὰ τὸ ῥῆμα τῶν ἱερέων τῶν ἐν Ἰερουσαλήμ, ἔστω δίδομον αὐτοῖς ἡμέραν ἐξ ἡμέρας, ὃ ἐὰν αἰτήσωσιν, ἵνα ὦσιν ὀσμὴ εὐωδίας προσφέροντες τοῦ θεοῦ τοῦ οὐρανοῦ, καὶ προσεύχωνται εἰς ζωὴν τ Βασιλέως, καὶ τῶν υἱῶν αὐτοῦ. καὶ ἀπ' ἐμοῦ ἐτέθη γνώμη, ὅτι πᾶς ἄνθρωπος ὃς ἀλλοιώσει τὸ ῥῆμα τοῦτο, καθαιρεθήσεται ξύλον ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὠρθωμένος παγήσεται ἐπ' αὐτοῦ, καὶ ὁ οἶκος αὐτοῦ ὁ κατ' ἐμὲ ποιηθήσεται. καὶ ὁ θεός, ὃ κατασκηνοῖ τὸ ὄνομα ἐκεῖ, καταστρέψαι πάντα βασιλέα καὶ λαόν, ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἀλλάξαι καὶ ἀφανίσαι τὸν οἶκον τ θεοῦ ἐκείνου τὸν ἐν Ἰερουσαλήμ. ἐγὼ δαρεῖος ἔθηκα γνώμην, ὅπως μελῶς ἔσται.

κγ Τότε θαβανὰι ὁ ἔπαρχος πόρρω τοῦ ποταμοῦ, Σαθαρβουζανὰι, καὶ οἱ συμβουλοι αὐτοῦ, πῶς ἃ ἀπέστειλε δαρεῖος βασιλεύς, οὕτως ἐποίησαν ὡς μελῶς, καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων ᾠκοδόμησαν, καὶ οἱ λυσίτται ἐν προφητείᾳ ἀγγαίου τοῦ προφήτου, καὶ ζαχαρίου υἱοῦ αὐτῶν ᾠκοδόμησαν, καὶ κατηρτίσαν τὸν ἀπὸ γνώμης θεοῦ Ἰσραήλ, καὶ ἀπὸ γνώμης Κύρου, καὶ δαρείου, καὶ ἀρθασασθὰ βασιλέως περσῶν, καὶ ἐτέλεσαν τὸν οἶκον τοῦτον ἕως ἡμέρας τρίτης μηνὸς ἀδὰρ, ὅ ἐστιν ἔτος ἕκτον τῆς βασιλείας δαρείου τ βασιλέως.

κδ Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ, οἱ ἱερεῖς, καὶ οἱ λευῖται, καὶ οἱ κατάλοιποι υἱῶν ἀποικίας, ἐγκαίνια τοῦ οἴκου τοῦ θεοῦ μετ' εὐφροσύνης. καὶ προσήνεγκαν εἰς τὰ ἐγκαίνια τοῦ οἴκου τοῦ θεοῦ μόσχους ἑκατὸν, κριοὺς διακοσίους, ἀμνοὺς τετρακοσίους, χιμαίρους αἰγῶν ὑπὲρ ἁμαρτίας παντὸς Ἰσραὴλ διώδεκα, εἰς ἀριθμὸν φυλῶν Ἰσραήλ. καὶ ἔστησαν τοὺς ἱερεῖς ἐν διαιρέσεσιν αὐτῶν, καὶ τοὺς λευίτας ἐν μερισμοῖς αὐτῶν ἐπὶ δουλείας οἴκου τοῦ θεοῦ ἐν Ἰερουσαλήμ, κατὰ τὸ γεγραμμένον βίβλου μωϋσῆ. καὶ ἐποίησαν οἱ υἱοὶ τῆς ἀποικίας τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τ πρώτου, ὅτι ἐκαθαρίσθησαν οἱ ἱερεῖς καὶ λευῖται ἕως εἷς, πάντες καθαροί, καὶ ἔσφαξαν τὸ πάσχα τοῖς πᾶσιν υἱοῖς τῆς ἀποικίας, καὶ τοῖς ἀδελφοῖς αὐτῶν, τοῖς ἱερεῦσι καὶ ἑαυτοῖς. καὶ ἔφαγον υἱοὶ Ἰσραὴλ τὸ πάσχα, οἱ ἀπὸ τῆς ἀποικίας, καὶ πᾶς ὁ χωριζόμενος τῆς ἀκαθαρσίας ἐθνῶν τῆς γῆς πρὸς αὐτούς, τοῦ ἐκζητῆσαι κύριον θεὸν Ἰσραήλ, καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας μετ' εὐφροσύνης, ὅτι εὐφράνων αὐτοὺς κύριος, καὶ κύριος ἀπέστρεψε καρδίαν βασιλέως ἀσσυρίου ἐπ' αὐτούς, κραταιῶσαι τὰς χεῖρας αὐτῶν ἐν ἔργοις οἴκου τ θεοῦ Ἰσραήλ.

κε ΚΕΦΑΛ. ζ'. 7.

ΚΑὶ μετὰ τὰ ῥήματα ταῦτα, ἐν βασιλείᾳ ἀρθαξαδὰ βασιλέως περσῶν, αὐτὸς ἔπεσθαι ὑὸς ζαρέου, ὑὸς ἀζαρίου, ὑοῦ χελκία, ὑοῦ σελέμ, ὑοῦ σαδδοὺκ, ὑοῦ ἀχιτώβ, υἱοῦ σαμαρία, ὑοῦ ἐζραΐα, ὑοῦ ἐζυία, ὑὸς βοκκί, ὑὸς ἀβιεζουὲ, ὑὸς Φινεὲς, ὑὸς ἐλεάζαρ, ὑὸς ἀαρὼν τοῦ ἱερέως τ πρώτου. αὐτὸς ἔσπρας αὐτὸς ἀνέβη ἐκ βαβυλῶνος, καὶ αὐτὸς γραμματεὺς ταχὺς ἐν νόμῳ μωϋσῆ ὃν ἔδωκε κύριος ὁ θεὸς Ἰσραήλ, καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεὺς, ὅτι χεὶρ κυρίου θεοῦ αὐτ ἐπ' αὐτὸν ἐν πᾶσιν οἷς ἐζήτησεν αὐτὸς, καὶ ἀνέβησαν ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀπὸ τῶν ἱερέων, καὶ ἀπὸ τῶν λευιτῶν, καὶ οἱ ἄδοντες καὶ οἱ πυλωροὶ, καὶ ναθινεὶμ εἰς Ἰερουσαλήμ, ἐν ἔτει ἑβδόμῳ τοῦ ἀρθασασθὰ τοῦ βασιλέως, καὶ ἦλθον εἰς Ἰερουσαλὴμ τοῦ μηνὸς τοῦ πέμπτου. οὗτος ἦν ἔτος ἑβδόμου τοῦ βασιλέως, ὅτι ἐν μιᾷ τ μηνὸς τ πρώτου, αὐτὸς ἐθεμελίωσε τὴν ἀνάβασιν τὴν ἀπὸ βαβυλῶνος· ἐν δὲ τῇ πρώτῃ τ μηνὸς τ πέμπτου ἦλθον εἰς Ἰερουσαλήμ, ὅτι χεὶρ θεοῦ αὐτοῦ ἦν ἀγαθὴ ἐπ' αὐτὸν, ὅτι ἔσπρας ἐζήτησεν ἐν καρδίᾳ αὐτ ζητῆσαι τὸν νόμον, καὶ ποιεῖν, καὶ διδάσκειν ἐν Ἰερουσαλήμ πρόσταγμα καὶ κρίμα.

κζ Καὶ αὕτη ἡ διαστάφησις τ διατάγματος, ὃ ἔδωκεν ἀρθασασθὰ τοῦ ἔσπρα τοῦ ἱερέως, τοῦ γραμματέως βιβλίου λόγων ἐντολῶν κυρίου καὶ προσταγμάτων αὐτ ὑπὲρ τοῦ Ἰσραήλ.

Ἀρθασασθὰ βασιλεὺς βασιλέων, ἔσπρᾳ γραμματεῖ νόμου κυρίου θεοῦ τ οὐρανοῦ. τετέλεσται λόγος καὶ ἡ ἀπόκρισις, ἀπ' ἐμοῦ ἐτέθη γνώμη, ὅπως ὃς ἐὰν στασιάζηται ἐν βασιλείᾳ μου ἀπὸ λαοῦ Ἰσραὴλ, ἱερέων, λευιτῶν, προβυθίσαι εἰς Ἰερουσαλήμ, μετὰ σοῦ προβυθῆναι ἀπὸ προσώπου τ βασιλέως, καὶ τῶν ἑπτὰ συμβούλων ἀπεσταλκέναι ὑπὲρ τοῦ ἰουδαίαν καὶ Ἰερουσαλὴμ ἐν νόμῳ θεοῦ αὐτῶν τῷ ἐν χερί σου, καὶ εἰς οἶκον κυρίου ἀργύριον καὶ χρυσίον, ὃ ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι ἐκουσιάσθησαν τῷ θεῷ τ Ἰσραὴλ, τῷ ἐν Ἰερουσαλὴμ κατοικοῦντι. καὶ πᾶν ἀργύριον καὶ χρυσίον ὃ ἂν εὕρῃς ἐν πάσῃ χώρᾳ βαβυλῶνος μετὰ ἐκουσιασμοῦ τ λαοῦ, καὶ ἱερέων τῶν ἐκουσιαζομένων εἰς οἶκον τ θεοῦ, τὸν ἐν Ἰερουσαλήμ. καὶ πάντα προσορυόμενον ὅσον ἐπιμελὲς ἐν τούτῳ ἔστω ἐκ τοῦ ἐν βιβλίῳ τούτῳ, μόσχος, κριὸς, ἀμνὸς, καὶ θυσίας αὐτῶν, καὶ σπονδὰς αὐτῶν, καὶ προσοίσεις αὐτὰ ὑπὲρ τ θυσιαστηρίου τ οἴκου τ θεοῦ ὑμῶν, τ ἐν Ἰερουσαλήμ. καὶ εἴ τι ὑπὲρ σὲ καὶ τοὺς ἀδελφούς σε ἀγαθυνθῆ ἐν διαπαλαίστῃ τ ἀργυρίου καὶ χρυσίου, ποιῆσαι ὡς ἀρεστὸν τοῦ θεοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμῶν ποιήσατε, καὶ τὰ σκεύη τὰ δεδομένα σοι εἰς λειτουργίαν οἴκου τοῦ θεοῦ παράδου ἐνώπιον τοῦ θεοῦ ἐν Ἱερουσαλήμ. καὶ τὸ καταλοιπον χρείας οἴκου θεοῦ σου, ὃ ἂν φανῇ σοι δοῦναι, δόσεις ἀπὸ οἴκου γάζης βασιλέως, καὶ ἀπ' ἐμοῦ. ἐγὼ ἀρθασασθὰ βασιλεὺς ἔθηκα γνώμην πάσαις ταῖς γαζαις ταῖς ἐν πόρᾳ τοῦ ποταμοῦ, ὅπως ἂν ὃ ἂν αἰτήσῃ ὑμᾶς Ἔσδρας ὁ ἱερεὺς, καὶ γραμματεὺς τοῦ νόμου τοῦ θεοῦ τοῦ οὐρανοῦ, ἑτοίμως γινέσθω, ἕως ἀργυρίου ταλάντων ἑκατὸν, καὶ ἕως πυροῦ κορων ἑκατὸν, καὶ ἕως οἴνου βατῶν ἑκατὸν, καὶ ἕως ἐλαίου βαθ ἑκατὸν, καὶ ἅλας ὅπ ἔστι γραφή, πᾶν ὅδιμ ἐν γνώμῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ γινέσθω. πῶς ἔχετε μή τις ὧν χειρίσει εἰς τὸν οἶκον θεοῦ τοῦ οὐρανοῦ, μήποτε γένηται ὀργὴ ὧδε ἐπὶ βασιλέαν τε βασιλέως, καὶ τῶν υἱῶν αὐτοῦ. καὶ ὑμῖν ἐγνώρισται, ἐν πᾶσι τοῖς ἱερεῦσι, καὶ τοῖς λευίταις, ἀδ ὄσι, πυλωροῖς, ναθινείμ, καὶ λειτουργοῖς οἴκου θεοῦ, τέλος φόρος μὴ ἔστω σοι, ὅπ ἐξουσιάσεις καταπαλαῖσθαι αὐτούς. καὶ σὺ ἔσδρα, ὡς ἡ σοφία τοῦ θεοῦ ἐν χειρί σου, κατάστησον γραμματεῖς καὶ κριτὰς, ἵνα ὦσι κρίνοντες παντὶ τῷ λαῷ, τοῖς ἐν πόρᾳ τε ποταμοῦ, πᾶσι τοῖς εἰδόσιν νόμον τοῦ θεοῦ σου, καὶ τῷ μὴ εἰδότι γνωριεῖτε. καὶ πᾶς ὃς ἂν μὴ ἢ ποιῶν τὸν νόμον τοῦ θεοῦ, καὶ τὸν νόμον τοῦ βασιλέως, ἑτοίμως τὸ κρίμα ἔσαι γινόμενον ἐξ αὐτοῦ, ἐάν τε εἰς θάνατον, ἐάν τε εἰς παιδείαν, ἐάν τε εἰς ζημίαν τοῦ βίου, ἐάν τε εἰς δεσμά.

λζ Εὐλογητὸς κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν, ὃς ἔδωκεν ἐν καρδίᾳ τοῦ βασιλέως οὕτως, τοῦ δοξάσαι τὸν οἶκον κυρίου τὸν ἐν Ἱερουσαλήμ, καὶ ἐπ' ἐμὲ ἔκλινεν ἔλεος ἐνώπιον ὀφθαλμοῖς τοῦ βασιλέως, καὶ τῶν συμβούλων αὐτοῦ, καὶ πάντων τῶν ἀρχόντων τοῦ βασιλέως, τῶν ἐπηρμένων. λη Καὶ ἐγὼ ἐκραταιώθην ὡς χεὶρ θεοῦ ἀγαθὴ ἐπ' ἐμέ, καὶ συνῆξα ἀπὸ Ἰσραὴλ ἄρχοντας ἀναβαίνειν μετ' ἐμοῦ.

ΚΕΦΑΛ. ἡ. 8.

Καὶ οὗτοι οἱ ἄρχοντες πατριῶν αὐτῶν, οἱ ὁδηγοὶ ἀναβαίνοντες μετ' ἐμοῦ, ἐν βασιλείᾳ ἀρθασασθὰ τοῦ βασιλέως Βαβυλῶνος· ἀπὸ υἱῶν Φινεές, γηρσών. ἀπὸ υἱῶν ἰθάμαρ, δανιήλ. ἀπὸ υἱῶν δαβίδ, ἀττούς. ἀπὸ υἱῶν σεχανίας. ἀπὸ υἱῶν φόρος, ζαχαρίας, καὶ μετ' αὐτοῦ τὸ σύντεμμα ἑκατὸν ὀγδοήκοντα. ἀπὸ υἱῶν φααθμωάβ, ἐλιωναὶ υἱὸς σεραΐα, καὶ μετ' αὐτοῦ διακόσιοι τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν ζαθόης, ἐχγιὰς υἱὸς ἀζιήλ, καὶ μετ' αὐτοῦ τριακόσια τὰ ἀρσενικά. καὶ ἀπὸ τῶν υἱῶν ἀδιδίμ, ὠβὴδ υἱὸς ἰωναθάν, καὶ μετ' αὐτοῦ πεντήκοντα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν αἰσλὰμ, ἠσαΐας υἱὸς ἀθελία, καὶ μετ' αὐτοῦ ἑβδομήκοντα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν σαφατία, ζαβδίας υἱὸς μιχαήλ, καὶ μετ' αὐτοῦ ὀγδοήκοντα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν ἰωὰβ, ἀβδία υἱὸς ἰειήλ, καὶ μετ' αὐτοῦ διακόσιοι δεκαοκτὼ τὰ ἀρσενικά. καὶ ἀπὸ τῶν υἱῶν βαανί, σελιμὼθ, υἱὸς ἰωσεφία, καὶ μετ' αὐτοῦ ἑκατὸν ἑξήκοντα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν βαβεί, ζαχαρίας υἱὸς βαβεί, καὶ μετ' αὐτοῦ εἴκοσι ὀκτὼ τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν ἀσγάδ, ἰωανὰν υἱὸς ἑκατάν, καὶ μετ' αὐτοῦ ἑκατὸν δέκα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν ἀδωνικὰμ ἔσχατοι, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν, ἐλιφαλὰτ, ἰειὴλ καὶ Σαμμαΐα, καὶ μετὰ αὐτῶν ἑξήκοντα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν βαγοαΐ, ἀθὰι καὶ ζαβδὶ, καὶ μετ' αὐτοῦ ἑβδομήκοντα τὰ ἀρσενικά. καὶ συνῆξα αὐτοὺς πρὸς ποταμὸν τὸν ἐρχόμενον πρὸς τὴν Δύν, καὶ παρενεβάλομεν ἐκεῖ ἡμέρας τρεῖς. καὶ συνῆκα ἐν τῷ λαῷ, καὶ ἐν τοῖς ἱερεῦσι, καὶ ἀπὸ ἐμοῦ λευὶ οὐχ εὗρον ἐκεῖ. καὶ ἀπέστειλα τῷ Ἐλεαζάρ, τῷ Ἀριὴλ, τῷ σεμεΐα, καὶ τῷ μαωναὶ, καὶ τῷ ἰαριὲβ, καὶ τῷ ἐλναθὰμ, καὶ τῷ Ναθὰν, καὶ τῷ ζαχαρίᾳ, καὶ τῷ μεσαλλὰμ, καὶ τῷ ἰωρείμ, καὶ τῷ ἐλναθὰν συνιόντας, καὶ ἐξέλιπεν καὶ αὐτοῦ ὧδε ἄρχοντας ἐν ἀργυρίῳ τόπε, καὶ ἔθηκα ἐν στόματι αὐτῶν λόγους λαλῆσαι πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς ἀθινείμ, ἐν ἀργυρίῳ τόπε, τοῦ ἐνεγκαι ἡμῖν ἄνδρας εἰς οἶκον θεοῦ ἡμῶν. καὶ ἦλθοσαν ἡμῖν ὡς χεὶρ θεοῦ ἡμῶν ἀγαθὴ ἐφ' ἡμᾶς, ἄνδρα σοφὸν ἀπὸ υἱῶν μοολὶ τοῦ λευὶ τοῦ Ἰσραήλ. καὶ ἀρχὴν ἦλθον οἱ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαοκτώ. καὶ τὸν ἀσεβία, καὶ τὸν ὡσαΐαν ἀπὸ τῶν υἱῶν μεραρί. ἀδελφοὶ αὐτοῦ καὶ υἱοὶ αὐτοῦ εἴκοσι. καὶ ἀπὸ τῶν ναθινείμ, ὧν ἔδωκε δαβὶδ καὶ οἱ ἄρχοντες εἰς δουλείαν τοῦ λευὶ τῶν ναθινείμ, διακόσιοι εἴκοσι. πάντες συνήχθησαν ἐν ὀνόμασι, καὶ ἐκάλεσα ἐκεῖ νηστείαν ὧδε τοῦ ποταμοῦ Ἀθὰρ τοῦ ταπεινωθῆναι ἐνώπιον τοῦ θεοῦ ἡμῶν, ζητῆσαι παρ' αὐτοῦ ὁδὸν ὀρθείαν ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν, καὶ πάσῃ τῇ κτίσει ἡμῶν, ὅτι ἠσχύνθην αἰτήσασθαι παρὰ βασιλέως δύναμιν καὶ ἱππεῖς σῶσαι ἡμᾶς ἀπὸ ἐχθροῦ ἐν τῇ ὁδῷ. ὅτι εἴπαμεν τῷ βασιλεῖ λέγοντες· χεὶρ τοῦ θεοῦ ἡμῶν ὧδε πάντας τοὺς ζητοῦντας αὐτὸν εἰς ἀγαθὸν καὶ κράτος αὐτοῦ, καὶ ὄνομος αὐτοῦ ὧδε πάντας τοὺς ἐγκαταλείποντας αὐτόν. καὶ νηστεύσαμεν καὶ ἐζητήσαμεν παρὰ τοῦ θεοῦ ἡμῶν περὶ τούτου. καὶ ἐπήκουσεν ἡμῖν, καὶ δύναμις ἀπὸ ἀρχόντων ἐχθρῶν διώκοντα, ἱππεῖς καὶ σωτηρία, καὶ ἀσφάλεια. καὶ μετ' αὐτῶν ἀπὸ ἀδελφῶν αὐτῶν ἔπεμψα. καὶ ἔστησα αὐτοῖς τὸ ἀργύριον καὶ τὸ χρυσίον, καὶ τὰ σκεύη ἀπ' ἀρχῆς οἴκου θεοῦ ἡμῶν, ἃ ὕψωσεν ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ, καὶ πᾶς ἰσραὴλ οἱ εὑρισκόμενοι. καὶ ἔστησα ὧδε χεῖρας αὐτῶν ἀργυρίου τάλαντα ἑξακόσια ἑξήκοντα, καὶ σκεύη ἀργυρᾶ ἑκατὸν, καὶ τάλαντα χρυσίου ἑκατὸν. καὶ χαροφυροῖ χρυσοῖ εἴκοσιν εἰς τὸν ὁδὸν δραχμῶν χιλίων, καὶ σκεύη χαλκοῦν σίλβοντος ἀγαθὰ δύο φοῦ-

φορα

φοξα ἀπὸ τῶν ἀνομιῶν τῶν γειτόνων τῆς γῆς, καὶ εἶπα πρὸς αὐτοὺς· ὑμεῖς ἅγιοι κυρίῳ τῷ θεῷ, καὶ τὰ σκεύη ἅγια, καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον εἰσφοραὶ τῷ κυρίῳ θεῷ τῶν πατέρων ὑμῶν. ἀγρυπνεῖτε καὶ τηρεῖτε ἕως οὗ στῆτε ἐνώπιον τῶν ἀρχόντων τῶν ἱερέων, καὶ τῶν Λευιτῶν τῶν ἀρχόντων τῶν πατριῶν τῆς Ἰερουσαλήμ, εἰς σκηνὰς οἴκου κυρίου. καὶ ἐδέξαντο οἱ ἱερεῖς καὶ οἱ Λευῖται τὸ μόν τὸ ἀργύριον καὶ τὸ χρυσίον, καὶ τὰ σκεύη, ἐνεγκεῖν εἰς Ἰερουσαλὴμ εἰς οἶκον τοῦ θεοῦ ἡμῶν. καὶ ἠγέρμεν ἀπὸ τοῦ ποταμοῦ τοῦ Ἀλαοὺς τῇ δωδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου, τοῦ ἐλθεῖν εἰς Ἰερουσαλήμ. καὶ χεὶρ θεοῦ ἡμῶν ἐφ' ἡμῖν. καὶ ἐρρύσατο ἡμᾶς ἐκ χειρὸς ἐχθροῦ καὶ πολεμίου ἐν τῇ ὁδῷ. καὶ ἤλθομεν εἰς Ἰερουσαλήμ, καὶ ἐκαθίσαμεν ἐκεῖ ἡμέρας τρεῖς. καὶ ἐγνώθη τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐστήσαμεν τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἐν οἴκῳ τοῦ θεοῦ ἡμῶν ὧδε χεῖρα Μαιρεμὼθ, υἱοῦ Οὐρίου τοῦ ἱερέως, καὶ μετ' αὐτοῦ Ἐλεαζὰρ υἱὸς Φινεὲς. καὶ μετ' αὐτῶν Ἰωζαβὰδ, υἱὸς Ἰησοῦ. καὶ Νωαδία, υἱὸς Βαναία, οἱ Λευῖται, ἐν ἀριθμῷ καὶ ἐν σταθμῷ τὰ πάντα. καὶ ἐγράφη πᾶς ὁ σταθμός.

λθ Ἐν τῷ καιρῷ ἐκείνῳ οἱ ἐλθόντες ἀπὸ τῆς αἰχμαλωσίας οἱ υἱοὶ τῆς παροικίας, προσήνεγκαν ὁλοκαυτώσεις τῷ θεῷ Ἰσραὴλ μόσχους Ἰώδηλα πόρι πάντες Ἰσραὴλ, κριοὺς ἐννενήκοντα ἓξ, ἀμνοὺς ἑβδομήκοντα πέντε, χιμάρρους περὶ ἁμαρτίας Ἰώδηλα, τὰ πάντα ὁλοκαυτώματα τῷ κυρίῳ. καὶ ἔδωκαν τὸ νόμισμα τοῦ βασιλέως τοῖς διοικηταῖς τοῦ βασιλέως, καὶ ἐπάρχοις τοῦ πέραν τοῦ ποταμοῦ. καὶ ἐδόξασαν τὸν λαόν, καὶ τὸν οἶκον τοῦ θεοῦ.

ΚΕΦΑΛ. θ'. 9.

ΚΑὶ ὡς ἐτελέσθη ταῦτα, ἤγγισαν πρός με οἱ ἄρχοντες λέγοντες· οὐκ ἐχωρίσθη ὁ λαὸς Ἰσραὴλ, καὶ οἱ ἱερεῖς, καὶ οἱ Λευῖται ἀπὸ λαῶν τῶν γαιῶν τῶν μαρυμασιν αὐτῶν τοῦ Χαναανί, ὁ Ἐθθί, ὁ Φορεζί, ὁ Ἰεβουσί, ὁ Ἀμμωνί, ὁ Μωσοέ, καὶ ὁ Ἀμμωνί. οἱ ἐλάβοσαν ἀπὸ θυγατέρων αὐτῶν ἑαυτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν. καὶ ἐπερίσχυσε σπέρμα τὸ ἅγιον ἐν λαοῖς τῶν γαιῶν, καὶ χεὶρ τῶν ἀρχόντων ἐν τῇ ἀσωθεσίᾳ ταύτῃ ἐν ἀρχῇ. καὶ ὡς ἤκουσα τὸν λόγον τούτων, διερρήξα τὰ ἱμάτιά μου, καὶ ἐπαλλόμην, καὶ ἔτιλλον τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἀπὸ τοῦ ὠὠγωνός μου, καὶ ἐκαθήμην πρωΐζων.

μ Καὶ συνήχθησαν πρός με πᾶς Ἰώκων λόγον θεοῦ Ἰσραὴλ ὧδε ἀσωθεσίᾳ τῆς ἀφικεσίας. καὶ ἐγὼ ἐκαθήμην πρωΐζων ἕως τῆς θυσίας τῆς ἑσπερινῆς. καὶ ἐν θυσίᾳ τῇ ἑσπερινῇ ἀνέστην ἀπὸ τῆς ταπεινώσεώς μου. καὶ ἐν τῷ διαῤῥῆξαί με τὰ ἱμάτιά μου, καὶ ἐπαλλόμην, καὶ ἔκλινα ὧδε τὰ γόνατά μου, καὶ ἐκπετάζω τὰς χεῖράς μου πρὸς τὸν κύριον τὸν θεόν, καὶ εἶπα· κύριε ἠσχύνθην, καὶ ἐνετράπην τοῦ ὑψῶσαι θεέ μου τὸ πρόσωπόν μου πρός σε, ὅτι αἱ ἀνομίαι ἡμῶν ἐπλυθύνθησαν ὑπὲρ κεφαλῆς ἡμῶν, καὶ πλημμέλεια ἡμῶν ἐμεγαλύνθησαν ἕως εἰς τὸν οὐρανόν. ἀπὸ ἡμερῶν πατέρων ἡμῶν ἐσμὲν ἐν πλημμελείᾳ μεγάλῃ ἕως τῆς ἡμέρας ταύτης, καὶ ἐν ταῖς ἀνομίαις ἡμῶν παρεδόθημεν ἡμεῖς, καὶ οἱ Βασιλεῖς ἡμῶν, καὶ οἱ υἱοὶ ἡμῶν ἐν χειρὶ Βασιλέων τῶν ἐθνῶν, ἐν ῥομφαίᾳ, καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν διαρπαγῇ καὶ ἐν αἰσχύνῃ προσώπου ἡμῶν, ὡς ἡ ἡμέρα αὕτη. καὶ νῦν ὤλιγον ἐλείφθη ἡμῶν λύειν, τοῦ λαβεῖν ἡμῖν κατάλειμμα εἰς σωτηρίαν, καὶ δοῦναι ἡμῖν στήριγμα ἐν τόπῳ ἁγιάσματος αὐτοῦ, τοῦ φωτίσαι ὀφθαλμοὺς ἡμῶν, καὶ δοῦναι ζωοποίησιν μικρὰν ἐν τῇ δουλείᾳ ἡμῶν. ὅτι δοῦλοι ἐσμὲν, καὶ ἐν τῇ δουλείᾳ ἡμῶν οὐκ ἐγκατέλιπέν ἡμᾶς κύριος ὁ θεὸς ἡμῶν. καὶ ἔκλινεν ἐφ' ἡμᾶς ἔλεος ἐνώπιον βασιλέων Περσῶν, δοῦναι ἡμῖν ζωοποίησιν τοῦ ὑψῶσαι αὐτὸν τὸν οἶκον τοῦ θεοῦ ἡμῶν, καὶ ἀναστῆσαι τὰ ἔρημα αὐτοῦ, καὶ τοῦ δοῦναι ἡμῖν φραγμὸν ἐν Ἰούδᾳ καὶ Ἰερουσαλήμ. τί εἴπωμεν ὁ θεὸς ἡμῶν μετὰ τοῦτο, ὅτι ἐγκατελίπομεν ἐντολάς σου ἃς ἔδωκας ἡμῖν ἐν χειρὶ τῶν προφητῶν λέγων· ἡ γῆ εἰς ἣν εἰσπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτὴν, γῆ μετακεκινημένη ὅλη ἐν μετακινήσει λαοῦ τῶν ἐθνῶν ἐν μακρύμασιν αὐτῶν, ὧν ἔπλησαν αὐτὴν ἀπὸ στόματος ἕως στόμα ἐν ἀκαθαρσίαις αὐτῶν. καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ δῶτε τοῖς υἱοῖς αὐτῶν, καὶ ἀπὸ τῶν θυγατέρων αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ὑμῶν, καὶ οὐκ ἐκζητήσετε εἰρήνην αὐτῶν, καὶ ἀγαθὸν αὐτῶν, ἕως αἰῶνος ὅπως ἐνισχύσητε, καὶ φάγητε τὰ ἀγαθὰ τῆς γῆς, καὶ κληρονομήσητε τοῖς υἱοῖς ὑμῶν ἕως τοῦ αἰῶνος. καὶ μετὰ πάντα τὰ ἐρχόμενα ἐφ' ἡμᾶς ἐν ποιήμασιν ἡμῶν τοῖς πονηροῖς, καὶ ἐν πλημμελείᾳ ἡμῶν τῇ μεγάλῃ, ὅτι οὐκ ἔσιν ὡς ὁ θεὸς ἡμῶν, ὅτι ἐκάθισας ἡμῶν τὰς ἀνομίας, καὶ ἔδωκας ἡμῖν σωτηρίαν. ὅτι ἐπεστρέψαμεν διασκεδάσαι ἐν πολλοῖς σε, καὶ ὤλιγα μεβρύσαι ἐν τοῖς λαοῖς τῶν γαιῶν. μὴ προσέχωθῆς ἐν ἡμῖν ἕως σωτελείας, τοῦ μὴ εἶναι ἐγκατάλειμμα καὶ διασωζόμενον. κύριε ὁ θεὸς Ἰσραὴλ δίκαιος σύ, ὅτι καταλελείφθημεν διασωζόμενοι ὡς ἡ ἡμέρα αὕτη. ἰδοὺ ἡμεῖς πάντες ἐναντίον σου ἐν πλημμελείαις ἡμῶν, ὅτι οὐκ ἔστι σωθῆναι ἐνώπιόν σου ὧδε τούτῳ.

μά ΚΕΦΑΛ. ί. 10.

ΚΑὶ ὡς προσηύξατο ἐσδρας, καὶ ὡς ἐξηγόρευσε κλαίων καὶ προσευχόμενος ἐνώπιον τοῦ θεοῦ, συνήχθησαν πρὸς αὐτὸν ἀπὸ Ἰσραὴλ ἐκκλησία πολλὴ σφόδρα, ἀνδρῶν καὶ γυναικῶν καὶ νεανίσκων, ὅτι ἔκλαυσεν ὁ λαός, καὶ ὕψωσε κλαίων. καὶ ἀποκριθεὶς σεχενίας υἱὸς Ἰεὴλ ἀπὸ υἱῶν Ἠλὰμ, καὶ εἶπε τοῦ Ἐσδρας· ἡμεῖς ἠσωτεθήκαμεν τῷ

θεῷ ἡμῶν, καὶ ἐκαθίσαμεν γυναῖκας ἀλλοτρίας ἀπὸ τῶν λαῶν τῆς γῆς. καὶ νῦν ὑπάρχει μονὴ τῷ Ἰσραὴλ ἐπὶ τούτῳ. καὶ νῦν σταθώμεν διαθήκην τῷ θεῷ ἡμῶν, ἐκβαλεῖν πάσας τὰς γυναῖκας, καὶ τὰ γεγόμενα ἐξ αὐτῶν, ὡς ἂν βούλη. ἀνάστηθι, καὶ φοβέεσθον αὐτοὺς γὰρ σὺ τολαῖς θεοῦ ἡμῶν. καὶ ὡς ὁ νόμος γενηθήτω, ἀναστηθι ὅτι σὲ τὸ ῥῆμα, καὶ ἡμεῖς μετὰ σοῦ. ἴσχυσον, καὶ ποίησον. καὶ ἀνέστη Ἔσδρας, καὶ ὥρκισε τοὺς ἀρχοντας τοὺς ἱερεῖς καὶ λευίτας, καὶ πάντα Ἰσραὴλ, τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο. καὶ ὤμοσαν. καὶ ἀνέστη Ἔσδρας ἀπὸ προσώπου οἴκου τοῦ θεοῦ, καὶ ἐπορεύθη εἰς γαζοφυλάκιον Ἰωανὰν υἱοῦ Ἐλισούβ, καὶ ηὐλίσθη ἐκεῖ. ἄρτον οὐκ ἔφαγε, καὶ ὕδωρ οὐκ ἔπιεν, ὅτι ἐπένθει ἐπὶ τῇ ἀσωτοθεσίᾳ τῆς ἀποικίας. καὶ παρῆγγειλαν φωνῇ ἐν Ἰούδᾳ, καὶ ἐν Ἰερουσαλὴμ, πᾶσι τοῖς υἱοῖς τῆς ἀποικίας, τοῦ συναθροισθῆναι εἰς Ἰερουσαλήμ. πᾶς ὃς ἂν μὴ ἔλθῃ εἰς δύο ἡμέρας, ὡς ἂν ᾖ βουλὴ τῶν ἀρχόντων καὶ τῶν πρεσβυτέρων, ἀναθεματισθήσεται πᾶσα ἡ ὑπαρξις αὐτοῦ, καὶ αὐτὸς ἀφορισθήσεται ἀπὸ ἐκκλησίας τῶν ἀφεικότων. καὶ συνήχθησαν πάντες ἄνδρες Ἰούδα καὶ Βενιαμὶν εἰς Ἰερουσαλὴμ, εἰς τὰς τρεῖς ἡμέρας. οὗτος ὁ μὴν ὁ ἐννατος. ἐν εἰκάδι τοῦ μηνὸς ἐκαθίσθη πᾶς ὁ λαὸς ἐν πλατείᾳ οἴκου τοῦ θεοῦ, ἀπὸ τοῦ θορύβου αὐτῶν, περὶ τοῦ ῥήματος, καὶ ἀπὸ τοῦ χειμῶνος. καὶ ἀνέστη Ἔσδρας ὁ ἱερεύς, καὶ εἶπε πρὸς αὐτούς· ὑμεῖς ἠσωθετήκατε, καὶ ἐκαθίσατε γυναῖκας ἀλλοτρίας, τοῦ προσθεῖναι ἐπὶ πλημμέλειαν Ἰερουσαλήμ. καὶ νῦν δότε αἴνεσιν κυρίῳ θεῷ τῶν πατέρων ἡμῶν, καὶ ποιήσατε τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ, καὶ διαχωρίσατε ἀπὸ λαῶν τῆς γῆς ἀπὸ γυναικῶν τῶν ἀλλοτρίων. καὶ ἀπεκρίθησαν πᾶσα ἡ ἐκκλησία φωνῇ μεγάλῃ, καὶ εἶπον· μέγα τὸ ῥῆμά σου ἐφ' ἡμᾶς ποιῆσαι. ἀλλ' ὁ λαὸς πολύς, καὶ ὁ καιρὸς χειμερινός, καὶ οὐκ ἔστι δυνάμεις στῆναι ἔξω. καὶ τὸ ἔργον οὐκ εἰς ἡμέραν μίαν, οὐδὲ δύο, ὅτι ἐπληθύναμεν τοῦ ἁμαρτῆσαι ἐν τῷ ῥήματι τούτῳ. στήτωσαν οἱ ἄρχοντες ἡμῶν τῇ πάσῃ ἐκκλησίᾳ, καὶ πᾶσι τοῖς ἐν πόλεσιν ἡμῶν. ὃς ἐκάθισε γυναῖκας ἀλλοτρίας, ἐλθέτωσαν εἰς καιροὺς ἀπὸ συναγωγῶν, καὶ μετ' αὐτῶν πρεσβύτεροι πόλεως, καὶ πόλεως καιρικοί, τοῦ ἀποστρέψαι ὀργὴν θυμοῦ θεοῦ ἡμῶν ἀφ' ἡμῶν περὶ τοῦ ῥήματος τούτου. πλὴν Ἰωνάθαν υἱὸς Ἀσαὴλ, καὶ Ἰαασίας υἱὸς Θεκουὲ μετ' ἐμοῦ, καὶ Μεσολλὰμ καὶ Σαββαθαὶ ὁ λευίτης Βοηθοὶ αὐτοῖς. καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ τῆς ἀποικίας. καὶ διεκρίθησαν Ἔσδρας ὁ ἱερεὺς, καὶ ἄνδρες ἀρχόντων πατριῶν τῶν οἴκων, καὶ πάντες κατὰ ὀνόματα, ὅτι ἀπεστράφησαν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου τὸ ῥῆμα. καὶ ἐτέλεσαν κατὰ πάσας ἀνδρὸς, οἳ ἐκάθισαν γυναῖκας ἀλλοτρίας, ἕως ἡμέρας μιᾶς τοῦ μηνὸς τοῦ πρώτου.

μβ' Καὶ εὑρέθησαν ἀπὸ υἱῶν τῶν ἱερέων οἳ ἐκάθισαν γυναῖκας ἀλλοτρίας, ἀπὸ υἱῶν Ἰησοῦ υἱοῦ Ἰωσεδὲκ, ἀδελφοὶ αὐτοῦ Μαασσίας, καὶ Ἐλιέζερ, καὶ Ἰαρείμ, καὶ Γαδαλία. καὶ ἔδωκαν χεῖρα αὐτῶν τοῦ ἐξαγαγεῖν γυναῖκας ἑαυτῶν, καὶ πλημμελείας κριοὺ ἐκ προβάτων περὶ πλημμελήσεως αὐτῶν. καὶ ἀπὸ υἱῶν Ἐμμὴρ, Ἀνανία καὶ Ζαβδία. καὶ ἀπὸ υἱῶν Ἠρὰμ, Μασίας, καὶ Ἐλεία, καὶ Σεμαΐα, καὶ Ἰωνὰ, καὶ Ὀζίας. καὶ ἀπὸ υἱῶν Φασσοὺρ, Ἐλιωεναὶ, Μαασία, καὶ Ἰσμαὴλ, καὶ Ναθαναὴλ, καὶ Ἰωναβάδ, καὶ Ἠλασά. καὶ ἀπὸ τῶν Λευιτῶν, Ἰωναβάδ, καὶ Βαμοῦ, καὶ Ηὐλία αὐτὸς Κωλίτης, καὶ Φοτεία, καὶ Ἰούδας, καὶ Ἐλιέζερ. καὶ ἀπὸ τῶν ᾀδόντων, Ἐλισάβ. καὶ ἀπὸ τῶν θυρωρῶν, Σελλοὺμ, καὶ Τελλοὺμ, καὶ Ὠδιούς. καὶ ἀπὸ Ἰσραὴλ ἀπὸ υἱῶν Φόρος, Ῥαμία, καὶ Ἰζία, καὶ Μελχία καὶ Μελμὶν, καὶ Ἐλεάζαρ, καὶ Ἀσαβία, καὶ Βαναία. καὶ ἀπὸ υἱῶν Ηὐλὰμ, Ματθανία, καὶ Ζαχαρία, καὶ Αἰὴλ, καὶ Ἀβδία, καὶ Ἰεριμὼθ, καὶ Ηὐλία. καὶ ἀπὸ υἱῶν Ζαθθουΐα, Ἐλιωμιλωαὶ, Ἐλισούβ, Ματθαναὶ, καὶ Ἀρμὼθ, καὶ Ζαβδαὴλ, καὶ Ὀζιβαλ. καὶ ἀπὸ υἱῶν Βαβὶ, Ἰωανὰ, Ἀνανία, καὶ Ζαββὶ, καὶ Θαλί. καὶ ἀπὸ υἱῶν Βανὶ, Μοσολλὰμ, καὶ Λουχὶ, Ἀδαΐας, Ἰασοὺβ, καὶ Σαὰλ, καὶ Ῥημὼθ. καὶ ἀπὸ υἱῶν Φααθ, Μωαβ, Ἐδνὶ, καὶ Χαλὴλ, καὶ Βαναΐας, Μαασία, Ματθανία, Βεσελὴλ, καὶ Βανουὶ, καὶ Μανασσῆ. καὶ ἀπὸ υἱῶν Ηὐλὰμ, Ἐλιέζερ, Ἰεσεΐας, Μελχία, Σαμαΐας, Σεμεὼν, Βενιαμὶν, Μαλοὺχ, Σαμαρία. καὶ ἀπὸ υἱῶν Ἀσὴμ, Ματθαναΐα, Μεθθαθὰ, Ζαβδὶ, Ἐλιφαὲθ, Ἰαραμὶ, Μανασσῆ, Σεμεΐ. καὶ ἀπὸ υἱῶν Βανεὶ, Βαδλία, Ἀμράμ, καὶ Ὠὴλ, Βαναία, Βαδδαΐα, Χελία, Ὀβαννία, Μεριμὼθ, Ἐλισίβ, Ματθανία. καὶ ἐποίησαν οἱ υἱοὶ Βανεὶ, καὶ οἱ υἱοὶ Σεμεΐ, καὶ Σελεμίας, καὶ Ναθαν, καὶ Ἀδαΐας Μαχναδαὶ, Ἀβασσεὶ, Ἀσαρηὴλ, καὶ Σελεμίας, καὶ Σαμαρίας, Σελλούμ, Ἀμαρίας, Ἰωσήφ. ἀπὸ υἱῶν Ναβουὶ, Ἰεϊὴλ, Ματθαθίας, Ζαβαδὶ, Ξεβηνὰς, Ἰαδλαὶ, καὶ Ἰωνὴλ, καὶ Βαναΐα. πάντες οὗτοι ἐλάβοσαν γυναῖκας ἀλλοτρίας, καὶ ἐγέννησαν ἐξ αὐτῶν υἱούς.

ΛΟΓΟΙ

ΛΟΓΟΙ ΝΕΕΜΙΑ, ΥΙΟΥ ΑΧΑΛΙΑ.

ΚΕΦΑΛ. ά. 1.

Καὶ ἐγένετο ἐν μηνὶ χασελεῦ ἔτους εἰκοστοῦ, καὶ ἐγὼ ἤμην ἐν σουσαννα Βιρᾶ. καὶ ἦλθεν Ανανὶ εἷς ἐκ τῶν ἀδελφῶν μου, αὐτὸς καὶ ἄνδρες Ιούδα, καὶ ἠρώτησα αὐτοὺς περὶ τῶν σωθέντων, οἱ κατελείφθησαν ἀπὸ τῆς αἰχμαλωσίας, καὶ περὶ Ιερουσαλήμ. καὶ εἶπαν πρός με· οἱ καταλελειμμένοι ἀπὸ τῆς αἰχμαλωσίας ἐκεῖ ἐν τῇ χώρᾳ ἐν πονηρίᾳ μεγάλῃ, καὶ ἐν ὀνειδισμῷ, καὶ τεῖχος Ιερουσαλὴμ κεκαθηρημένον, καὶ πύλαι αὐτῆς ἐνεπρήσθησαν ἐν πυρί. καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαί με τοὺς λόγους τούτους, ἐκαθισα καὶ ἔκλαυσα καὶ ἐπένθησα ἡμέρας, καὶ ἦμην νηστεύων, καὶ προσευχόμενος ἐνώπιον τοῦ θεοῦ τοῦ οὐρανοῦ. καὶ εἶπα· μὴ δὴ λύσει ὁ θεὸς τοῦ οὐρανοῦ, ὁ ἰσχυρὸς καὶ μέγας καὶ φοβερός, φυλάσσων τὴν διαθήκην, καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσιν αὐτόν, καὶ τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ. ἔστω δὲ τὸ οὖς σου προσέχον, καὶ οἱ ὀφθαλμοί σου ἀνεῳγμένοι, τοῦ ἀκοῦσαι προσευχὴν τοῦ δούλου σου, ἣν ἐγὼ προσεύχομαι ἐνώπιόν σου σήμερον ἡμέραν καὶ νύκτα, περὶ υἱῶν Ισραὴλ δούλων σου. καὶ ἐξαγορεύσω ὑπὲρ ἁμαρτίας υἱῶν Ισραὴλ, αἷς ἡμάρτομεν σοι. καὶ ἐγὼ καὶ ὁ οἶκος τοῦ πατρός μου ἡμάρτομεν, ἐλαλήσει διελύσαμεν πρὸς σέ, καὶ οὐκ ἐφυλάξαμεν τὰς ἐντολάς, καὶ τὰ προστάγματα, καὶ τὰ κρίματα ἃ ἐνετείλω τῷ Μωϋσῆ παιδί σου. μνήσθητι δὴ τὸν λόγον οὗ ἐνετείλω τῷ Μωϋσῆ παιδί σου λέγων· ἐὰν ἀσωτεύσητε ὑμεῖς, ἐγὼ διασκορπιῶ ὑμᾶς ἐν τοῖς λαοῖς. καὶ ἐὰν ἐπιστρέψητε πρός με, καὶ φυλάξητε τὰς ἐντολάς μου, καὶ ποιήσητε αὐτάς, καὶ ἐὰν ᾖ ἡ διασπορά ὑμῶν ἀπ' ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξω αὐτοὺς, καὶ εἰσάξω αὐτοὺς εἰς τὸν τόπον οὗ ἐξελεξάμην κατασκηνῶσαι τὸ ὄνομά μου ἐκεῖ. καὶ αὐτοὶ παῖδές σου, καὶ λαός σου οὓς ἐλυτρώσω ἐν τῇ δυνάμει σου τῇ μεγάλῃ, καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ. μὴ δή, ἀλλὰ ἔστω τὸ οὖς σου προσέχον εἰς τὴν προσευχὴν τοῦ δούλου σου, καὶ εἰς τὴν προσευχὴν παίδων σου τῶν θελόντων φοβεῖσθαι τὸ ὄνομά σου. καὶ εὐόδωσον δὴ τῷ παιδί σου σήμερον, καὶ δὸς αὐτὸν εἰς οἰκτιρμοὺς ἐνώπιον τοῦ ἀνδρὸς τούτου, καὶ ἐγὼ ἤμην οἰνοχόος τοῦ βασιλέως.

ΚΕΦΑΛ. β. 2.

Καὶ ἐγένετο ἐν μηνὶ νισὰν ἔτους εἰκοστοῦ ἀρθασασθὰ βασιλέως, καὶ ἦν ὁ οἶνος ἐνώπιον ἐμοῦ, καὶ ἔλαβον τὸν οἶνον, καὶ ἔδωκα τῷ βασιλεῖ, καὶ ὅτι ὧν ἔτερος ἐνώπιον αὐτοῦ. καὶ εἶπέ μοι ὁ βασιλεύς· διὰ τί τὸ πρόσωπόν σου πονηρόν, καὶ ὅτι εἶ μὴ μεθύων; καὶ ὅτι εἶ μὴ πονηρία καρδίας; καὶ ἐφοβήθην σφόδρα, καὶ εἶπα τοῦ βασιλέως· ὁ βασιλεὺς εἰς τὸν αἰῶνα ζήτω. διὰ τί ὁ μὴ γένηται πονηρὸν τὸ πρόσωπόν μου, διότι ἡ πόλις οἴκου μνημείων πατέρων μου ἠρημώθη, καὶ αἱ πύλαι αὐτῆς κατεβρώθησαν ἐν πυρί. καὶ εἶπέ μοι ὁ βασιλεύς· περὶ τίνος σὺ ζητεῖς; καὶ προσηυξάμην πρὸς κύριον θεὸν τοῦ οὐρανοῦ, καὶ εἶπα τοῦ βασιλεῖ· εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, καὶ εἰ ἀγαθωθήσεται ὁ παῖς σου ἐνώπιόν σου, ὡς τε ἐκπέμψαι με εἰς τὴν Ιούδαν εἰς πόλιν μνημείων πατέρων μου, καὶ οἰκοδομήσω αὐτήν, καὶ εἶπέ μοι ὁ βασιλεύς, καὶ ἡ παλλακὴ ἡ καθημένη ἐχόμενα αὐτοῦ· ἕως πότε ἔσται ἡ πορεία σου, καὶ πότε ἀποστρέψεις; καὶ ἠγαθώθη ἐνώπιον βασιλέως, καὶ ἀπέστειλέ με, καὶ ἔδωκα αὐτῷ ὅρον, καὶ εἶπα τοῦ βασιλεῖ· εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, δότω μοι ἐπιστολὰς πρὸς τοὺς ἐπάρχους πέραν τοῦ ποταμοῦ, ὥστε παράγαγεῖν με ἕως ἔλθω ἐπὶ Ιούδαν. καὶ ἐπιστολὴν ἐπὶ ἀσὰφ φύλακα τοῦ παραδείσου, ὃς ὢν τῷ βασιλεῖ, ὡς τε δοῦναί μοι ξύλα στεγάσαι τὰς πύλας, καὶ εἰς τὸ τεῖχος τῆς πόλεως, καὶ εἰς οἶκον οὗ εἰσελεύσομαι πρὸς αὐτόν. καὶ ἔδωκέ μοι ὁ βασιλεὺς ὡς χεὶρ θεοῦ ἡ ἀγαθή. καὶ ἦλθον πρὸς τοὺς ἐπάρχους πέραν τοῦ ποταμοῦ, καὶ ἔδωκα αὐτοῖς τὰς ἐπιστολὰς τοῦ βασιλέως. καὶ ἀπέστειλε μετ' ἐμοῦ ὁ βασιλεὺς, ἀρχηγοὺς δυνάμεως, καὶ ἱππεῖς.

Καὶ ἤκουσε σαναβαλλὰτ ὁ Ωρωνί, καὶ τωβία ὁ δοῦλος ὁ ἀμμωνί, καὶ πονηρὸν αὐτοῖς ἐγένετο, ὅτι ἦκεν ὁ ἄνθρωπος ζητῆσαι ἀγαθὸν τοῖς υἱοῖς ἰσραήλ. καὶ ἦλθον εἰς Ιερουσαλήμ, καὶ ἦμην ἐκεῖ ἡμέρας τρεῖς. καὶ ἀνέστην νυκτὸς ἐγὼ καὶ ἄνδρες ὀλίγοι μετ' ἐμοῦ, καὶ οὐκ ἀπήγγειλα ἀνθρώπῳ ὅτι ὁ θεός δίδωσιν εἰς καρδίαν μου, τοῦ ποιῆσαι μετὰ τοῦ ἰσραήλ. καὶ κτῆνος οὐκ ἦν μετ' ἐμοῦ, εἰ μὴ τὸ κτῆνος ὃ ἐγὼ ἐπιβαίνω ἐπ' αὐτῷ. καὶ ἐξῆλθον ἐν πύλῃ τῇ γωληλὰ πρὸς δόμα ταννῆν τὸ συκοῦν, καὶ εἰς πύ-

λην

λω τῆ ἱερείας. καὶ ἕως μέλλω σωτρίβειν ἐν τῷ τείχει ἱερουσαλήμ, ὁ αὐτὸς διεθαιρέσι, καὶ πύλαι αὐτῆς διατεβρώθησαν πυρί. καὶ παρῆλθον ὧδε πύλην τῆς πηγῆς, καὶ εἰς κολυμβήθραν τοῦ Βασιλέως, καὶ ἐκεῖ τόπος τοῦ διτλοῦ παρελθεῖν ὑπὸ κάτω μου. καὶ ἤμην ἀναβαίνων ἐν τῷ τείχει τῆ μάρρα νυκτός, καὶ ἤμην σωτρίβων ἐν τῷ τείχει. καὶ ἤμην ἐν τῇ πύλῃ τῆ φάραγγος, καὶ ἐπέστρεψα. καὶ οἱ φυλάσσοντες οὐκ ἔγνωσαν τί ἐποροῦμην, καὶ τί ἐγὼ ποιῶ. καὶ τοῖς Ἰουδαίοις, καὶ τοῖς ἱερεῦσι, καὶ τοῖς ἐντίμοις, καὶ τοῖς στρατηγοῖς τοῖς διαλοίποις τοῖς ποιοῦσι τὰ ἔργα, ἕως τότε οὐκ ἀπήγγελα. καὶ εἶπα πρὸς αὐτούς· ὑμεῖς βλέπετε τὴν πονηρίαν ταύτην ἐν ᾗ ἐσμὲν ἐν αὐτῇ, πῶς ἱερουσαλὴμ ἔρημος, καὶ αἱ πύλαι αὐτῆς ἐδόθησαν πυρί. δεῦτε, καὶ οἰκοδομήσωμεν τὸ τεῖχος ἱερουσαλήμ, καὶ οὐκέτι ἐσόμεθα ἔτι ὄνειδος. καὶ ἀπήγγειλα αὐτοῖς τὴν χεῖρα τοῦ θεοῦ, ἣ ὅτι ἀγαθὴ ἐπ' ἐμέ, καὶ τοὺς λόγους τοῦ βασιλέως οὓς εἶπέ μοι. καὶ εἶπα· ἀναστῶμεν, καὶ οἰκοδομήσωμεν. καὶ ἐκραταιώθησαν αἱ χεῖρες αὐτῶν εἰς τὸ ἀγαθόν. καὶ ἤκουσε Σαναβαλλὰτ ὁ ἀρωνί, καὶ τωβία ὁ δοῦλος ὁ ἀμμωνί, καὶ γοσὲμ ὁ ἀραβί, καὶ διέγελασαν ἡμᾶς. καὶ ἐλθὼν ἐφ' ἡμᾶς, καὶ εἶπε· τί τὸ ῥῆμα ὃ ὑμεῖς ποιεῖτε, ἢ ὅτι τὸν βασιλέα ὑμεῖς ἀφίστατε;

μς Καὶ ἐπέστρεψα αὐτοῖς λόγον, καὶ εἶπα αὐτοῖς· ὁ θεὸς τοῦ οὐρανοῦ αὐτὸς εὐοδώσει ἡμῖν, καὶ ἡμεῖς δοῦλοι αὐτοῦ καθαροί, καὶ οἰκοδομήσομεν, καὶ ὑμῖν οὐκ ἔστι μερὶς, καὶ δικαιοσύνη, καὶ μνημόσυνον ἐν ἱερουσαλήμ.

ΚΕΦΑΛ. γ. 3.

ΚΑὶ ἀνέστη ἐλιασὲβ ὁ ἱερεὺς ὁ μέγας, καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς, καὶ ᾠκοδόμησαν τὴν πύλην τῆς προβατικῆς. αὐτοὶ ἁγίασαν αὐτὴν, καὶ ἔστησαν θύρας αὐτῆς, καὶ ἕως πύργου τῶν ἑκατὸν ἡγίασαν, ἕως πύργου ἀναμεήλ. μή Καὶ ὧδε χεῖρας αὐτοῦ ἱεριχώ, καὶ ὧδε χεῖρας ἐμοῦ ζακχοῦρ, υἱοῦ ἀμαννί. καὶ τὴν πύλην τὴν ἰχθυηρὰν ᾠκοδόμησαν οἱ ἀσαναὰ, αὐτοὶ ἐστέγασαν αὐτὴν, καὶ ἔστησαν θύρας αὐτῆς, καὶ μοχλοὺς αὐτῆς, καὶ μοχλοὺς αὐτῆς. καὶ ὧδε χεῖρας αὐτῶν κατέσχεν ἀπὸ ῥαμὼθ, υἱοῦ οὐρία, υἱοῦ ἀκκώς. καὶ ὧδε χεῖρα αὐτῶν κατέσχε μοσολλὰμ, υἱὸς βερεχίου, υἱοῦ μαζεβήλ. καὶ ὧδε χεῖρα αὐτῶν κατέσχε σαδδαιὸ, υἱὸς βανά. καὶ ὧδε χεῖρα αὐτῶν κατέσχον οἱ θεκωείμ, καὶ ἀδωρεὶμ οὐκ ἐσήνεγκαν τράχηλον αὐτῶν εἰς λουλείαν αὐτῶν. καὶ τὴν πύλην τοῦ ἰασανὰ ἐκραταίωσαν οἱ δὲ υἱὸς φασὲκ, καὶ μεσολλὰμ υἱὸς βασωδίας. αὐτοὶ ἔστεγασαν αὐτὴν, καὶ ἔστησαν θύρας αὐτῆς, καὶ μοχλοὺς αὐτῆς, καὶ μοχλοὺς αὐτῆς. καὶ ὧδε χεῖρας αὐτοῦ ἐκραταίωσε μαλτίας ὁ γαβαωνίτης, καὶ δυάδρων ὁ μηρωνωθίτης, ἄνδρες τῆς γαβαών, καὶ τῆς μασφὰ ἕως θρόνου τοῦ ἄρχοντος τοῦ πέραν τοῦ ποταμοῦ. καὶ παρ' αὐτὸν παρεσφαλὴ σατο ὀζιήλ, υἱὸς ἀχαρίου τῶν χρυσοχόων, καὶ ὧδε χεῖρας αὐτῶν ἐκραταίωσε ἀνανίας, ἕως τοῦ ῥωκείμ, καὶ διατέλιπον ἱερουσαλὴμ ἕως τοῦ τείχους τοῦ πλατέος. καὶ ὧδε χεῖρας αὐτῶν ἐκραταίωσε ῥαφαία, υἱὸς σουρ ἄρχων ἡμίσους πολιχώρου ἱερουσαλήμ. καὶ ὧδε χεῖρας αὐτῶν ἐκραταίωσεν ἐσδραὴλ, υἱὸς ἐρωμαμὼθ, καὶ διατέλιπον οἰκίας αὐτοῦ. καὶ ὧδε χεῖρα αὐτοῦ ἐκραταίωσεν ἀπηούβ, υἱὸς ἀσαβανία. καὶ λοὺτορ ἐκραταίωσε μελχίας, υἱὸς ῥαλμ. καὶ ἀσουὲβ, υἱὸς φαὰτ μωὰβ, καὶ ἕως πύργου τῶν θαναρείμ. καὶ ὧδε χεῖρα αὐτοῦ ἐκραταίωσε σαλλούμ, υἱὸς σαλωὴς, ἄρχων ἡμίσους πολιχώρου ἱερουσαλήμ, αὐτὸς καὶ αἱ θυγατέρες αὐτοῦ. τὴν πύλην τῆς φαράγγος ἐκραταίωσαν ἀνοὺμ, καὶ οἱ κατοικοῦντες ζανῶ, αὐτοὶ ᾠκοδόμησαν αὐτὴν, καὶ ἔστησαν θύρας αὐτῆς, καὶ μοχλοὺς αὐτῆς, καὶ μοχλούς. καὶ χίλιοι πήχεις ἐν τῷ τείχει ἕως τῆς πύλης τῆς κοπρίας, καὶ τὴν πύλην τῆς κοπρίας ἐκραταίωσε μελχία, υἱὸς ῥηχὰβ ἄρχων πολιχώρου βηθακαρὰμ, αὐτὸς καὶ υἱοὶ αὐτοῦ, καὶ ἔστησε πασσὰν αὐτὴν, καὶ ἔστησαν θύρας αὐτῆς, καὶ μοχλοὺς αὐτῆς, καὶ μοχλοὺς αὐτῆς. τὴν δὲ πύλην τῆς πηγῆς ἀσφαλίσατο σολωμὼν υἱὸς χαλιζέ, ἄρχων μέρους τῆς μασφά. αὐτὸς ᾠκοδόμησεν αὐτὴν, καὶ ἐστέγασεν αὐτὴν, καὶ ἔστησε τὰς θύρας αὐτῆς, καὶ μοχλοὺς αὐτῆς. καὶ τὸ τεῖχος κολυμβήθρας τῆς κοπιῶν τῆ κουρᾶ τοῦ βασιλέως, καὶ ἕως τῶν διλιμαθκὼν τῶν καταβαινουσῶν ἀπὸ πόλεως δαβίδ. ὀπίσω αὐτοῦ ἐκραταίωσεν νεεμίας, υἱὸς ζαβοὺχ ἄρχων ἡμίσους πολιχώρου βηθσοὺρ, ἕως κήπου τάφου δαβίδ, καὶ ἕως τῆς κολυμβήθρας τοῦ γεγονότος, καὶ ἕως οἴκου θαβαγαβαείμ. ὀπίσω αὐτοῦ ἐκραταίωσαν οἱ λευῖται, ῥαοὺμ υἱὸς βανασείμ, ὧδε χεῖρα αὐτοῦ ἐκραταίωσεν ἀσαβία, ἄρχων ἡμίσους πολιχώρου κεειλᾶ τοῦ πολιχώρου αὐτοῦ. καὶ μετ' αὐτὸν ἐκραταίωσαν ἀδελφοὶ αὐτῶν βαναὶ, υἱὸς ἡναδὰδ ἄρχων ἡμίσους πολιχώρου κεειλᾶ. καὶ ἐκραταίωσεν ὧδε χεῖρα αὐτοῦ ἀζοὺρ υἱὸς ἰησοῦ ἄρχων τοῦ μασφὲ μέτρον δευτέρου πύργου ἀναβάσεως τῆ συναπτούσης τῆς γωνίας. καὶ μετ' αὐτὸν ἐκραταίωσε βαρούχ υἱὸς ζαβοῦ μέτρον δεύτερον ἀπὸ τῆ γωνίας, ἕως θύρας βηθελίας σοὺβ τοῦ ἱερέως τοῦ μεγάλου. μετ' αὐτὸν ἐκραταίωσε μοραμὼθ, υἱὸς οὐρία υἱοῦ ἀκκὼς, μέτρον δεύτερον ἀπὸ θύρας βηθελισοὺβ ἕως ἐκλέψεως βηθελιασό. καὶ μετ' αὐτὸν ἐκραταίωσαν οἱ ἱερεῖς ἄνδρες ἀχχεχάρ. καὶ μετ' αὐτὸν ἐκράτησε βενιαμὶν καὶ ἀσοὺβ, κατέναντι οἴκου αὐτοῦ. καὶ μετ' αὐτὸν ἐκραταίωσεν ἀζαρίας υἱὸς μαασέου, υἱοῦ ἀνανίας, ἐχόμενα οἴκου αὐτοῦ. μετ' αὐτὸν ἐκραταίωσε βανεὶ υἱὸς ἀδαδὶ, μέτρον δεύτερον ἀπὸ βηθαρίας ἕως τῆς γωνίας καὶ ἕως τῆς καμπῆς φαλαχ ὑπὸ ζῶλαι ἐξεναντίας τῆς γωνίας, καὶ ὁ πύργος ἐξέχων ἐκ τοῦ οἴκου τοῦ βασι-

λέως

λέως αὐτοῦ ὁ ἀρχιφύλαξ τῆς φυλακῆς, καὶ μετ' αὐτοῦ φασλαία, ὡς φόρτος· καὶ οἱ ναθινεὶμ ἦσαν οἰκοῦντες ἐν Ὀφλὼ ἕως κἀπου πύλης τοῦ ὕδατος εἰς ἀνατολὰς, καὶ ὁ πύργος ὁ ἐξέχων. καὶ μετ' αὐτὸν ἐκραίτησαν οἱ θεκωεὶ μέτρον δεύτερον, ἐξ ἐναντίας τοῦ πύργου τοῦ μεγάλου τοῦ ἐξέχοντος, καὶ ἕως τοῦ τείχους τοῦ ὀφλᾶ ἀνατολικὸν πύλης ἵππων ἐκράτησαν οἱ ἱερεῖς ἀνὴρ ἐξ ἐναντίας οἴκου ἑαυτοῦ. καὶ μετ' αὐτὸν ἐκράτησε σαδδοὺκ υἱὸς ἐμμὴρ ἐξ ἐναντίας οἴκου ἑαυτοῦ. καὶ μετ' αὐτὸν ἐκράτησε σεμαΐας, υἱὸς σεχενίας, φύλαξ τῆς πύλης τῆς ἀνατολῆς. μετ' αὐτὸν ἐκράτησεν ἀνανίας, υἱὸς σελεμίας, καὶ ἀνὼμ, υἱὸς σελὲφ ὁ ἕκτος μέτρον δεύτερον. μετ' αὐτὸν ἐκράτησε μεσολὰμ, υἱὸς βαρεχίας ἐξέναντίας γαζοφυλακίου αὐτοῦ. μετ' αὐτὸν ἐκράτησε μελχίας, υἱὸς τοῦ σαρεφὶ ἕως βηθαναθνὶ, καὶ οἱ ῥωποπῶλαι ἀπέναντι πύλης τοῦ ἀμαφεκὰδ, καὶ ἕως ἀναβάσεως τῆς γωνίας. καὶ ἀνὰ μέσον τῆς πύλης τῆς πηδαβατικῆς, ἐκράτησαν οἱ χαλκεῖς, καὶ οἱ ῥωποπῶλαι.

ΚΕΦΑΛ. δ'. 4.

ΚΑὶ ἐγένετο ἡνίκα ἤκουσε σαναβαλλὰτ, ὅτι ἡμεῖς οἰκοδομοῦμεν τὸ τεῖχος, καὶ πονηρὸν ἦν αὐτῷ, καὶ ὠργίσθη λίαν πολὺ, καὶ ἐξεγέλασε τοὺς ἰουδαίους, καὶ εἶπεν ἐνώπιον τῶν ἀδελφῶν αὐτοῦ· αὗται αἱ δυνάμεις σομόρων. καὶ εἶπεν, ὅτι οἱ ἰουδαῖοι οὗτοι οἰκοδομοῦσι τὴν ἑαυτῶν πόλιν, ἆρα θυσιάζουσιν; ἆρα δυνήσονται; καὶ σήμερον ἱλάσονται τοὺς λίθους μετὰ τὸ χωμαγωνεῖσθαι γῆς ἰαωθγήτας; καὶ τωβίας ὁ ἀμανίτης ἐχόμενα αὐτοῦ ἦλθε, καὶ εἶπεν πρὸς ἑαυτούς· μὴ θυσιάζουσιν, ἢ φάγονται ἐπὶ τοῦ τόπου αὐτῶν; ἐχὶ ἀναβήσεται ἀλώπηξ, καὶ καθελεῖ τὸ τεῖχος λίθων αὐτῶν; ἄκουσον ὁ θεὸς ἡμῶν, ὅτι ἐγενήθημεν εἰς μυκτηρισμόν, καὶ ἐπίστρεψον ὀνειδισμὸν αὐτῶν εἰς κεφαλὴν αὐτῶν, καὶ δὸς αὐτοὺς εἰς μυκτηρισμὸν ἐν γῇ αἰχμαλωσίας, καὶ μὴ καλύψῃς ἐπὶ ἀνομίαν.

μθ Καὶ ἐγένετο ὡς ἤκουσαν σαναβαλλὰτ, καὶ τωβία, καὶ οἱ ἀράβιοι, καὶ οἱ ἀμμανῖται, ὅτι ἀνέβη ἡ φωνὴ τοῖς τείχεσιν ἱερουσαλὴμ, ὅτι ἤρξαντο αἱ διάσφαγαὶ ἀναφράσσεσθαι, καὶ πονηρὸν αὐτοῖς ἐφάνη σφόδρα, συνήχθησαν πάντες ὁμοθυμαδὸν ἐλθεῖν, καὶ παρατάξασθαι ἐν ἱερουσαλὴμ. καὶ προσηυξάμεθα πρὸς τὸν θεὸν ἡμῶν, καὶ ἐστήσαμεν προφύλακας ἐπ' αὐτοῖς ἡμέρας καὶ νυκτὸς, ἀπὸ προσώπου αὐτῶν. καὶ εἶπεν ἰούδας· ἰσχυρίζεται ἡ ἰσχὺς τῶν ἐχθρῶν, καὶ ὁ χοῦς πολὺς, καὶ ἡμεῖς δυνησόμεθα οἰκοδομεῖν ἐν τῷ τείχει. καὶ εἶπον οἱ θλίβοντες ἡμᾶς, οὐ γνώσονται, καὶ οὐκ ὄψονται ἕως ὅτου ἔλθωμεν εἰς μέσον αὐτῶν, καὶ φονεύσωμεν αὐτοὺς, καὶ καταπαύσωμεν τὸ ἔργον. καὶ ἐγένετο ὡς ἦλθοσαν οἱ ἰουδαῖοι οἱ οἰκοῦντες ἐχόμενα αὐτῶν, καὶ εἶπον ἡμῖν, ἀναβαίνουσιν ἐκ πάντων τῶν ἐθνῶν ἐφ' ἡμᾶς, καὶ ἔστησα εἰς τὰ κατώτατα τοῦ τόπου κατόπιθεν τοῦ τείχους ἐν τοῖς σκεπίλοις, καὶ ἔστησα τὸν λαὸν κατὰ δήμους, μετὰ ῥομφαιῶν αὐτῶν λόγχας αὐτῶν, καὶ τόξα αὐτῶν. καὶ εἶδον, καὶ ἀνέστην, καὶ εἶπον πρὸς τοὺς τιμίους, καὶ πρὸς τοὺς στρατηγοὺς καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ· μὴ φοβηθῆτε ἀπὸ προσώπου αὐτῶν, μνήσθητε τοῦ θεοῦ ἡμῶν τοῦ μεγάλου καὶ φοβεροῦ, καὶ πολεμήσατε περὶ τῶν ἀδελφῶν ἡμῶν, υἱῶν ὑμῶν, καὶ θυγατέρων ὑμῶν, καὶ γυναικῶν ὑμῶν, καὶ οἴκων ὑμῶν.

ν Καὶ ἐγένετο ἡνίκα ἤκουσαν οἱ ἐχθροὶ ἡμῶν ὅτι ἐγνώσθη ἡμῖν, καὶ διεσκέδασεν ὁ θεὸς τὴν βουλὴν αὐτῶν. καὶ ἐπεστρέψαμεν πάντες ἡμεῖς εἰς τὸ τεῖχος, ἀνὴρ εἰς τὸ ἔργον αὐτοῦ. καὶ ἐγένετο ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἥμισυ τῶν ἐκτεταγμένων ἐποίουν τὸ ἔργον, καὶ ἥμισυ αὐτῶν ἀντεῖχον, καὶ λόγχαι, καὶ θυρεοὶ, καὶ τόξα, καὶ οἱ θώρακες, καὶ οἱ ἄρχοντες ὀπίσω παντὸς οἴκου ἰούδα οἰκοδομούντων ἐν τῷ τείχει. καὶ οἱ αἴροντες ἐν τοῖς ἀρτίοις ἐνόπλοι, ἐν μιᾷ χειρὶ ἐποίει αὐτὸ τὸ ἔργον, καὶ ἐν μιᾷ ἐκράτει τὴν βολίδα. καὶ οἱ οἰκοδόμοι, ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐζωσμένον ἐπὶ τὸν ὀσφῦν αὐτοῦ, καὶ ὠκοδόμησαν. καὶ ὁ σαλπίζων ἐν τῇ λαβρατίνῃ ἐχόμενα αὐτοῦ. καὶ εἶπα πρὸς τοὺς ἐντίμους, καὶ πρὸς τοὺς ἄρχοντας, καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ, τὸ ἔργον πλατύ, καὶ πολὺ, καὶ ἡμεῖς σπαρασσόμεθα ἐπὶ τοῦ τείχους μακρὰν ἀνὴρ ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ. ἐν τόπῳ οὗ ἐὰν ἀκούσητε τὴν φωνὴν τῆς λαβρατίνης, ἐκεῖ συναχθήσεσθε πρὸς ἡμᾶς. καὶ ὁ θεὸς ἡμῶν πολεμήσει περὶ ἡμῶν. τὸ ἔργον καὶ ἥμισυ τοῦ ποιοῦντος, καὶ ἥμισυ αὐτῶν λαμβανόντων τὰς λόγχας, ἀπὸ ἀναβάσεως τοῦ ὄρθρου ἕως ἀνόλου τῶν ἄστρων.

να. Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ εἶπα τῷ λαῷ· ἕκαστος μετὰ τοῦ νεανίσκου αὐτοῦ αὐλισθήσεται ἐν μέσῳ ἱερουσαλὴμ. καὶ ἔστω ὑμῖν ἡ νὺξ προφυλακὴ, καὶ ἡμέρᾳ ἔργον. καὶ ἤμην ἐγὼ, καὶ οἱ ἄνδρες τῆς προφυλακῆς ὀπίσω μου. καὶ οὐκ ἦν ἐξ ἡμῶν ἐκεῖ ἐκδιδυσκόμενος ἀνὴρ τὰ ἱμάτια ἑαυτοῦ.

ΚΕΦΑΛ. ε'. 5.

ΚΑὶ ἡ κραυγὴ τοῦ λαοῦ καὶ γυναικῶν αὐτῶν μεγάλη πρὸς τοὺς ἀδελφοὺς ἑαυτῶν, τοὺς ἰουδαίους. καὶ ἦσαν τινες λέγοντες· ἐν υἱοῖς ἡμῶν, καὶ ἐν θυγατράσιν ἡμῶν ἡμεῖς πολλοί, καὶ πλησόμεθα σίτου, καὶ φαγόμεθα, καὶ ζησόμεθα. καὶ εἰσὶ τινες λέγοντες· ἀγροὶ ἡμῶν, καὶ ἀμπελῶνες ἡμῶν, καὶ οἰκίαι ἡμῶν, ἡμεῖς ἀγοράζομεν, καὶ πλησόμεθα σίτου, καὶ φαγόμεθα. καὶ εἰσί τινες λέγοντες· ἐδανείσαμεθα ἀργύριον εἰς φόρους βασιλέως ἀγροὶ ἡμῶν, καὶ ἀμπελῶνες ἡμῶν, καὶ οἰκίαι ἡμῶν. καὶ νῦν ὡς σὰρξ ἀδελφῶν ἡμῶν, σὰρξ ἡμῶν,

ἡμῶν. ὡς ἡμεῖς αὐτῶν, ἡμεῖς ἡμῶν. καὶ ἡμεῖς καταδυναστεύομεν τοὺς ἡμῶν, καὶ τὰς θυγατέρας ἡμῶν εἰς δούλας, καὶ εἰσὶν ἀπὸ θυγατέρων ἡμῶν καταδυναστεύομεναι, καὶ οὐκ ἔστι δυνάμις χειρῶν ἡμῶν, καὶ ἀγροὶ ἡμῶν, καὶ ἀμπελῶνες ἡμῶν τοῖς γονεῦσιν ἡμῶν. καὶ ἐλυπήθην σφόδρα, καθὼς ἤκουσα τὸν λόγον τοῦτον, καὶ ἐβουλευσάμην καρδίᾳ μου ἐπ' ἐμέ, καὶ ἐμαχησάμην πρὸς τοὺς γυναῖμας, καὶ τοὺς ἄρχοντας, καὶ εἶπον αὐτοῖς· ἀναπαύσει αὐτὸς τὸν ἀδελφὸν αὐτοῦ ἃ ὑμεῖς ποιεῖτε. καὶ ἐδωκα ἐπ' αὐτοὺς ἐκκλησίαν μεγάλην, καὶ εἶπον αὐτοῖς· ἡμεῖς ἐκτήμεθα τοὺς ἀδελφοὺς ἡμῶν τοὺς Ἰουδαίους, τοὺς πωληθέντας τοῖς ἔθνεσιν τὸν ἐξουσίᾳ ἡμῶν. καὶ ὑμεῖς πωλεῖτε τοὺς ἀδελφοὺς ὑμῶν, καὶ παραδοθήσονται ἡμῖν; καὶ ἡσύχασαν, καὶ οὐχ εὗρον λόγον. καὶ εἶπα· οὐκ ἀγαθὸς ὁ λόγος ὃν ὑμεῖς ποιεῖτε. οὐχ οὕτως, τὸν φόβῳ θεοῦ ἡμῶν ἀπελεύσεσθε ἀπὸ ὀνειδισμοῦ τῶν ἐθνῶν, τῶν ἐχθρῶν ἡμῶν.

νβ Καὶ οἱ ἀδελφοί μου, καὶ οἱ γνωστοί μου, καὶ ἐγώ, ἐθηκαμεν ἑαυτοῖς ἀργύριον, καὶ σῖτον ἐκκατελίπωμεν δὴ τῷ ἀπαίτησιν ταύτην. ὡσαύτως ἐψαπε δὴ αὐτοῖς, ὡς σήμερον ἀγροὺς αὐτῶν, καὶ ἀμπελῶνας αὐτῶν, καὶ ἐλαιῶνας αὐτῶν, καὶ οἰκίας αὐτῶν, καὶ ἀπὸ τοῦ ἀργυρίου τὸ σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον ἀπὸ γενεκατε ἑαυτοῖς. καὶ εἶπον· ἀποδώσομεν, καὶ παρ' αὐτῶν οὐ ζητήσομεν. οὕτως ποιήσομεν, καθὼς σὺ λέγεις.

νγ Καὶ ἐκάλεσα τοὺς ἱερεῖς, καὶ ὥρκισα αὐτοὺς, ποιῆσαι ὡς τὸ ῥῆμα τοῦτο. καὶ τὸν ἀναβολίου μου ἐξετίναξα, καὶ εἶπον· οὕτως ἐκτινάξαι ὁ θεὸς πάντα ἄνδρα, ὃς οὐ στήσει τὸν λόγον τοῦτον ἐκ τοῦ οἴκου αὐτοῦ, καὶ ἐκ τοῦ κόπου αὐτοῦ. καὶ ἔσαι οὕτως ἐκτετιναγμένος, καὶ κενός. καὶ εἶπε πᾶσα ἡ ἐκκλησία, ἀμήν. καὶ ᾔνεσαν τὸν κύριον. καὶ ἐποίησεν ὁ λαὸς τὸ ῥῆμα τοῦτο, ἀπὸ τῆς ἡμέρας ἧς γνετείλατό μοι, ἕως εἰς ἄρχοντα αὐτῶν γῆ ἰούδα, ἀπὸ ἔτους εἰκοστοῦ καὶ ἕως ἔτους τριακοστοῦ καὶ δευτέρου τοῦ ἀρθασασθὰ ἔτη δώδεκα, καὶ ἐγὼ καὶ οἱ ἀδελφοί μου βίαν αὐτῶν οὐκ ἔφαγον, καὶ τὰς βίας πρώτας ἃς πᾶν ἐμοὶ ἐβάρυναν ἐπ' αὐτούς, καὶ ἐλάβοσαν παρ' αὐτῶν γῆν ἄρτις καὶ γῆν οἶνον ἑκατὸν ἀργύριον δίδραγμα τοσαραϊκοντα, καὶ οἱ γνετιναγμένοι αὐτῶν ἐξεσαισόντα ὑμῖν τὸν λαόν. καὶ ἐγὼ οὐκ ἐποίησα οὕτως ἀπὸ προσώπου φόβου κυρίου, καὶ γῆ ὀργὴ τοῦ τείχους τούτου ἐκράτησα, καὶ ἀγρὸν οὐκ ἐκτησάμην, καὶ πάντες οἱ συναγμένοι ἐκεῖ δίδραγμον. καὶ οἱ ἰουδαῖοι ἑκατὸν πεντήκοντα ἄνδρες, καὶ ὀρχόμενοι πρὸς ἡμᾶς ἀπὸ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν ἦσαν τράπεζά μου. καὶ ἦν γινόμενον εἰς ἡμέραν μίαν μόσχος εἷς, καὶ πρόβατα ἐκλεκτά, καὶ χήνες ἐγένοντό μοι, καὶ ἀνὰ μέσον τοῦ δεκάδος ἐκράτησα ἡμέρας γῆ πᾶσιν οἶνος τοῦ πλήθει. καὶ σῖτος ἄρτου τοῦ βίας οὐκ ἐζήτησα, ὅτι βαρεῖα ἡ δουλεία ἐπὶ τὸν λαὸν τοῦτον. μνήσθητί μου ὁ θεός εἰς ἀγαθόν, πάντα ὅσα ἐποίησα τοῦ λαῷ τούτῳ.

νδ ΚΕΦΑΛ. ε'. ς'.

Καὶ ἐγένετο, καθὼς ἠκούσθη τοῦ Σαναβαλλὰτ, καὶ τωβία, καὶ τοῦ γησὰμ τοῦ ἀράβι, καὶ τοῖς καταλοίποις τῶν ἐχθρῶν ἡμῶν, ὅτι ᾠκοδόμησα τὸ τεῖχος, καὶ διαλείφθη γῆ αὐτοῖς πνοή. καὶ ἐγὼ ἕως τοῦ καιροῦ ἐκείνου θύρας οὐκ ἀπέστησα γῆ ταῖς πύλαις. καὶ ἀπέστειλε Σαναβαλλὰτ, καὶ γησὰμ πρός με λέγων· δεῦρο καὶ συναχθῶμεν ἐπὶ τὸν αὐλῶνα γῆ τῇ κώμαις γῆ τεδίῳ ὠνῶ. καὶ αὐτοὶ λογιζόμενοί μοι ποιῆσαι πονηρίαν. καὶ ἀπέστειλα ἐπ' αὐτοὺς ἀγγέλους λέγων· ἔργον μέγα ἐγὼ ποιῶ, καὶ δύναμαι καταβῆναι, μήποτε καταπαύσῃ τὸ ἔργον. ὡς αὖ τελειώσω αὐτὸ, καταβήσομαι πρὸς ὑμᾶς. καὶ ἀπέστειλαν πρός με, ὡς τὸ ῥῆμα τοῦτο. καὶ ἀπέστειλα αὐτοῖς κατὰ ταῦτα. καὶ ἀπέστειλε πρός με Σαναβαλλὰτ τὸν πέμπτον τὸν παῖδα ἐπ' αὐτοῦ, ἐπὶ ἐπιστολὴ ἀνεῳγμένην γῆ χειρὶ αὐτοῦ. καὶ ἦν γεγραμμένον γῆ αὐτῇ· γῆ ἔθνεσιν ἠκούθη, καὶ γησὰμ εἶπεν, ὅτι σὺ καὶ ἰουδαῖοι λογίζεσθε ἀφεστηκέναι. διὰ τοῦτο σὺ οἰκοδομεῖς τὸ τεῖχος, καὶ σὺ γίνῃ αὐτοῖς εἰς βασιλέα. καὶ πρὸς τούτοις, προφήτας ἔστησας σεαυτῷ, ἵνα καθίσῃς γῆ ἱερουσαλὴμ εἰς βασιλέα γῆ ἰουδαίᾳ. καὶ νῦν ἀπαγγελήσονται τοῦ βασιλεῖ οἱ λόγοι οὗτοι. καὶ νῦν δεῦρο βουλευσώμεθα ἐπὶ τοῦτο. καὶ ἀπέστειλα πρὸς αὐτὸν λέγων· οὐκ ἐγνώθη, ὡς οἱ λόγοι οὗτοι, ὡς σὺ λέγεις, ὅτι ἀπὸ καρδίας σὺ ψεύδῃ αὐτοῖ, ὅτι πάντες φοβερίζουσιν ἡμᾶς λέγοντες· ἐκλυθήσονται αἱ χεῖρες αὐτῶν ἀπὸ τοῦ ἔργου τούτου, καὶ οὐ ποιηθήσεται. καὶ νῦν ἐκραταίωσα τὰς χεῖράς μου.

νε Κἀγὼ εἰς οἶκον σεμεϊ υἱοῦ δαλαΐα, υἱοῦ μεταβεήλ, καὶ αὐτὸς συνεχόμενος, καὶ εἶπεν· συναχθῶμεν εἰς οἶκον τοῦ θεοῦ, γῆ μέσῳ αὐτοῦ, καὶ κλείσωμεν τὰς θύρας αὐτοῦ, ὅτι ἔρχονται νυκτὸς φονεῦσαί σε. καὶ εἶπε· τίς ἄνηρ οἷος ἐγὼ, καὶ φοβεῖται; καὶ τίς οἷος ἐγὼ εἰσελεύσεται εἰς τὸν οἶκον, καὶ ζήσεται; καὶ ἐπέγνων, καὶ ἰδοὺ ὁ θεὸς οὐκ ἀπέστειλεν αὐτὸν, ὅτι ἡ προφητεία λόγος κατ' ἐμοῦ.

νς Καὶ τωβίας καὶ σαναβαλλὰτ ἐμισθώσαντο ἐπ' ἐμὲ ὄχλον, ὅπως φοβηθῶ, καὶ ποιήσω οὕτως, καὶ ἁμαρτῶ, καὶ γένωμαι αὐτοῖς εἰς ὄνομα πονηρόν, ὅπως ὀνειδίσωσί με. μνήσθητι ὁ θεός τοῦ τωβίας, καὶ τῶν σαναβαλλὰτ, ὡς τὰ ποιήματα αὐτοῦ ταῦτα, καὶ τοῦ νωαδίας τῆς προφήτης, καὶ τοῖς καταλοίποις τῶν προφητῶν, οἳ ἦσαν φοβερίζοντές με.

νζ Καὶ ἐτελέσθη τὸ τεῖχος πεμπτῇ καὶ εἰκάδι τελουλ μηνὸς εἰς πεντήκοντα δύο ἡμέρας.

μέρας: καὶ ἐγώ εἰμι ἕνεκα ἔπεσαν πάντων οἱ ἐχθροὶ ἡμῶν, καὶ ἐφοβήθησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν, καὶ ἔπεσε φόβος μέγας σφόδρα ἐν ὀφθαλμοῖς αὐτῶν. καὶ ἔγνωσαν, ὅτι παρὰ τοῦ θεοῦ ἡμῶν ἐγένετο τελειωθῆναι τὸ ἔργον τοῦτο. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ἀπὸ πολλῶν ἐντίμων Ἰούδα ἐπιστολαὶ ἐπορεύοντο πρὸς Τωβίαν, καὶ αἱ Τωβίας ἤρχοντο πρὸς αὐτούς, ὅτι πολλοὶ ἐν Ἰούδᾳ ἔνορκοι ἦσαν αὐτῷ, ὅτι γαμβρὸς ἦν τοῦ σεχενίου τοῦ Ἀρὲ, καὶ Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ ἔλαβε τὴν θυγατέρα μεσολλὰμ, υἱοῦ Βαρεχίου, εἰς γυναῖκα. καὶ τοὺς λόγους αὐτοῦ ἤκουσαν λεγόντων πρός με, καὶ λόγους μου ἔπεμπεν ἐκφερόντων αὐτῷ, καὶ ἐπιστολὰς ἀπέστειλεν Τωβίας, φοβερίσαι με.

νή ΚΕΦΑΛ. ζ'. 7.

Καὶ ἐγένετο, ἡνίκα ᾠκοδομήθη τὸ τεῖχος, καὶ ἔστησα τὰς θύρας, καὶ ἐπεσκέπησαν οἱ πυλωροὶ, καὶ οἱ ᾄδοντες, καὶ οἱ λευῖται, καὶ ἐντειλάμην τοῦ Ἀνανίᾳ τοῦ ἀδελφῷ μου, καὶ τοῦ Ἀνανίᾳ ἄρχοντι τῆς Βιρὰ ἐν Ἰερουσαλήμ, ὅτι αὐτὸς ὡς ἀνὴρ ἀγαθὸς, καὶ φοβούμενος τὸν θεὸν παρὰ πολλούς. καὶ εἶπον αὐτοῖς· οὐκ ἀνοιγήσονται πύλαι Ἰερουσαλὴμ, ἕως ἅμα τοῦ ἡλίου, καὶ ἔτι αὐτῶν γρηγορούντων κλεισθήσονται αἱ θύραι, καὶ σφηνωθήσονται. καὶ στήσον φυλακὰς οἰκούντων ἐν Ἰερουσαλὴμ, ἀνὴρ ἐν φυλακῇ ἑαυτοῦ, καὶ ἀνὴρ ἀπέναντι οἰκίας ἑαυτοῦ. καὶ ἡ πόλις πλατεῖα καὶ μεγάλη, καὶ ὁ λαὸς ὀλίγος ἐν αὐτῇ, καὶ οὐκ ἦσαν οἰκίαι ᾠκοδομημέναι.

νθ Καὶ ἔδωκεν ὁ θεός εἰς τὴν καρδίαν μου, καὶ συνήξα τοὺς ἐντίμους καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν εἰς συνοδίας, καὶ εὗρον βιβλίον τῆς συνοδίας, οἳ ἀνέβησαν ἐν πρώτοις. καὶ εὗρον γεγραμμένον ἐν αὐτῷ· καὶ οὗτοι οἱ υἱοὶ τῆς χώρας, οἱ ἀναβαίνοντες ἀπὸ τῆς αἰχμαλωσίας τῆς ἀποικίας, ἧς ἀπῴκισε ναβοχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος, καὶ ἀπέστρεψαν εἰς Ἰερουσαλὴμ καὶ εἰς Ἰούδαν ἀνὴρ εἰς πόλιν ἑαυτοῦ μετὰ Ζοροβάβελ, καὶ Ἰησοῦ, καὶ Νεεμίου, Ἀζαρίας, καὶ Βαλμαναεμαὶ, Μαρδοχαίου, Βαασαὶ, μασφαρὲθ, Ἔσδρας, Βογοΐα, Ἰναὰμ, Βαανὰ, μασφὰρ, ἄνδρες λαοῦ Ἰσραήλ. υἱοὶ Φόρος, δισχίλιοι ἑκατὸν ἑβδομήκοντα δύο. υἱοὶ σαφατία, τριακόσιοι ἑβδομήκοντα δύο. υἱοὶ Ἀρὲ, ἑξακόσιοι τεσσαράκοντα δύο. υἱοὶ φαὰθμωὰβ, τοῖς υἱοῖς Ἰησοῦ καὶ Ἰωὰβ, δισχίλιοι ἑξακόσιοι ὀκτωκαίδεκα. υἱοὶ Ἀλὰμ, χίλιοι διακόσιοι τεσσαράκοντα πέντε. υἱοὶ σοθθαΐα, ὀκτακόσιοι τεσσαράκοντα τέσσαρες. υἱοὶ Ζακχὲ, ἐπτακόσιοι ἑξήκοντα. υἱοὶ Βαννεὶ, ἑξακόσιοι τεσσαράκοντα ὀκτώ. υἱοὶ Βηβεὶ, ἑξακόσιοι εἴκοσι ὀκτώ. υἱοὶ Ἀζγὰδ, δισχίλιοι τριακόσιοι εἴκοσι δύο. υἱοὶ Ἀδωνικὰμ, ἑξακόσιοι ἑξήκοντα ἑπτά. υἱοὶ Βαγοὶ, δισχίλιοι ἑξήκοντα ἑπτά. υἱοὶ Ἀδὶν, ἑξακόσιοι πεντήκοντα τέσσαρες. υἱοὶ Ἀτὴρ, τοῦ Ἐζεκίου ἐννενήκοντα ὀκτώ. υἱοὶ Ἀσὰμ, τριακόσιοι εἴκοσι ὀκτώ. υἱοὶ Βασεὶ, τριακόσιοι εἴκοσι τέσσαρες. υἱοὶ Ἀρεὶφ, ἑκατὸν δώδεκα δύο. υἱοὶ Ἀσγὼ, διακόσιοι ἑξήκοντα τρεῖς. υἱοὶ Βαιθαλεὲμ ἑκατὸν εἴκοσι τρεῖς. υἱοὶ Ἀτωφὰ, ἐνενήκοντα ἕξ. υἱοὶ Ἀναθὼθ, ἑκατὸν εἴκοσι ὀκτώ. υἱοὶ Ἀζαμωθ, ἀνδρῶν Βηθ τεσσαράκοντα δύο. ἀνδρῶν Καριαθιεὶμ, Καφιρὰ, καὶ Βηρὼθ, ἑπτακόσιοι τεσσαράκοντα τρεῖς. ἀνδρῶν Ἀραμὰ, καὶ Γαβαὰ, ἑξακόσιοι εἴκοσι. ἀνδρῶν Μαχμὰς, ἑκατὸν εἴκοσι δύο. ἀνδρῶν Βαιθὴλ, καὶ Ἀὶ ἑκατὸν εἴκοσι τρεῖς. ἀνδρῶν Ναβιὰ, ἑκατὸν ἐνενήκοντα πέντε. υἱοὶ Μαγεβὼς, ἑκατὸν ἐνενήκοντα ἕξ. ἀνδρῶν Ηλαμαὰ, χίλιοι διακόσιοι ἐνενήκοντα πέντε. υἱοὶ Ἠρὰμ, τριακόσιοι εἴκοσι. υἱοὶ Ἰεριχὼ, τριακόσιοι τεσσαράκοντα ἑνός. υἱοὶ Λοδαβὶδ, καὶ Ὠνὼ, ἑπτακόσιοι εἴκοσι εἷς. υἱοὶ Ναβαὰ, τρισχίλιοι ἑνακόσιοι λ'. οἱ ἱερεῖς υἱοὶ Ἰωδαὲ, εἰς οἶκον Ἰησοῦ, ἐννακόσιοι ἑβδομήκοντα τρεῖς. υἱοὶ Ἐμμὴρ, χίλιοι ἐνενήκοντα πέντε. υἱοὶ Φασεσοὺρ, χίλιοι διακόσιοι τεσσαράκοντα ἑπτά. υἱοὶ Ἠρὰμ, χίλιοι ἑπτακαίδεκα. οἱ λευῖται· υἱοὶ Ἰησοῦ τοῦ Καδμιὴλ, τοῖς υἱοῖς τοῦ Ὡδουΐα ἑβδομήκοντα τέσσαρες. οἱ ᾄδοντες· υἱοὶ Ἀσὰφ, ἑκατὸν εἴκοσι ὀκτώ. οἱ πυλωροὶ, υἱοὶ Σελλὰμ, υἱοὶ Ἀτὴρ, υἱοὶ Τολμὰν, υἱοὶ Ἀκκὼβ, υἱοὶ Τιτὰ, υἱοὶ Σαβεῖ, ἑκατὸν τριάκοντα ὀκτώ. οἱ ναθεὶμ, υἱοὶ Ηλὰ, υἱοὶ Ἀσεφὰ, υἱοὶ Ταβαὼθ, υἱοὶ Κηρὰς, υἱοὶ Σισαΐα, υἱοὶ Φασηλὼν, υἱοὶ Λαβαΐα, υἱοὶ Ἀγαβὰ, υἱοὶ Ἀκκὼβ, υἱοὶ Ἀτὰ, υἱοὶ Κιτὰρ, υἱοὶ Γαβὲ, υἱοὶ Σελμεὶ, υἱοὶ Ἀνὰν, υἱοὶ Σαλεπὰ, υἱοὶ Γαὰρ, υἱοὶ Ῥαασίας, υἱοὶ Ῥασσὼν, υἱοὶ Νεκωδὰ, υἱοὶ Γηζὰμ, υἱοὶ Ὀζὶ, υἱοὶ Φασὴ, υἱοὶ Βησὶ, υἱοὶ Μεινὼν, υἱοὶ Νεφωσεὶ, υἱοὶ Βακβὸκ, υἱοὶ Ἀχιφὰ, υἱοὶ Ἀρὲρ, υἱοὶ Βασαλὼθ, υἱοὶ Μισλὰ, υἱοὶ Ἀσλασὰν, υἱοὶ Βαρκὸβ, υἱοὶ Σισαρὰθ, υἱοὶ Θημὰ, υἱοὶ Νησιὰ, υἱοὶ Ἀτιφά. υἱοὶ δούλων Σολομὼν· υἱοὶ Σωτεὶ, υἱοὶ Σαφαρὰτ, υἱοὶ Φεριδὰ, υἱοὶ Λεηλὶ, υἱοὶ Δαρκὼν, υἱοὶ Γασδηλ, υἱοὶ Φαραχὰς, υἱοὶ Σαβαΐμ, υἱοὶ Ἀμμεί. πάντες οἱ ναθινεὶμ. καὶ υἱοὶ οἱ δούλων Σολομὼν, τριακόσιοι ἐνενήκοντα δύο.

ξ Καὶ οὗτοι ἀνέβησαν ἀπὸ Χορμελὲχ, Θελασὰρ, Χερούβ, Ἠρὼν, Ἐμμὴρ, καὶ οὐκ ἠδυνάσθη ἀπαγγεῖλαι οἶκος πατριῶν αὐτῶν, καὶ σπέρμα αὐτῶν, εἰ ἀπὸ Ἰσραήλ εἰσί. υἱοὶ Δαλαΐα, υἱοὶ Βουνὰ, υἱοὶ Τωβίας, υἱοὶ Νεκωδὰ, ἑξακόσιοι τεσσαράκοντα δύο. καὶ ἀπὸ τῶν ἱερέων, υἱοὶ Ἀβία, υἱοὶ Ἀκκὼς, υἱοὶ Βερζελλαὶ, ὅτι ἔλαβον ἀπὸ θυγατέρων Βερζελλαὶ τοῦ Γαλααδίτου γυναῖκας, καὶ ἐκλήθησαν ἐπ' ὀνόματι αὐτῶν. οὗτοι ἐζήτησαν γραφὴν αὐτῶν τῆς συνοδίας, καὶ οὐχ εὑρέθη, καὶ ἠγχισεύθησαν ἀπὸ τῆς ἱερατείας. καὶ εἶπεν Ἀθορσαθὰ αὐτοῖς, ἵνα μὴ φάγωσιν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων, ἕως οὗ ἀναστῇ ἱερεὺς φω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίσωμ, ἡ ἐγένετο πᾶσα ἡ ἐκκλησία εἰς τέσσαρας μυριάδας διςχιλίους διακοσίους ἑξήκοντα, πάρεξ δούλων αὐτῶν, καὶ παιδισκῶν, ἵππους διακοσίους ἑβδόμοντα ἕξ. οὗτοι ἐπιβακιχίλιοι τριακόσιοι τριάκοντα ἐπτά. ἡ ἄδοντες, καὶ ᾄδουσαι, διακόσιοι τριάκοντα ἕξ. ἡμίονοι διακόσιοι τεσσαράκοντα πρώτε, ἡμίονοι διακόσιοι τεσσαράκοντα πρώτε, καμήλοις διακοσίους τριάκοντα πρώτε, ὄνοι ἑξακισχίλιοι ἑπτακόσιοι εἴκοσι. καὶ ἀπὸ μόρους ἀρχηγῶν τῶν πατριῶν ἔδωκαν εἰς τὸ ὄργον αὐθεντικὰ, ἔδωκαν εἰς θησαυρὸν χρυσοῦς χιλίους, φιάλας πρωτικοντα, καὶ χιτῶνας τῶν ἱερέων τριάκοντα. ἀπὸ ἀρχηγῶν τῶν πατριῶν ἔδωκαν εἰς θησαυρὸς τοῦ ὄργου χρυσᾶ νομίσματα δύο μυριάδας, καὶ ἀργυρίου μνᾶς διςχιλίας τριακοσίας. καὶ ἔδωκαν οἱ καταλοιποὶ τοῦ λαοῦ χρυσίου δύο μυριάδας, καὶ ἀργυρίου μνᾶς διςχιλίας διακοσίας, καὶ χιτῶνας τῶν ἱερέων ξζ.

ξά Καὶ ἐκάθισαν οἱ ἱερεῖς, καὶ λευῖται, καὶ οἱ πυλωροὶ, καὶ οἱ ᾄδοντες, καὶ οἱ ἀπὸ τοῦ λαοῦ, καὶ οἱ ναθινεὶμ, καὶ πᾶς ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

ΚΕΦΑΛ. ἡ. 8.

ΚΑὶ ἔφθασεν ὁ μὴν ὁ ἑβδόμος, καὶ οἱ υἱοὶ ἰσραὴλ ἐν πόλεσιν αὐτῶν. καὶ συνήχθησαν πᾶς ὁ λαὸς, ὡς ἀνὴρ εἷς εἰς τὸ πλατὺ τὸ ἔμπροσθεν πύλης τοῦ ὑδατος. καὶ εἶπον τῷ ἔσδρα τῷ γραμματεῖ ἐνεγκαι τὸ βιβλίον νόμου μωϋσῆ, ὃν ἐνετείλατο κύριος τῷ ἰσραὴλ. καὶ ἤνεγκεν ἔσδρας ὁ ἱερεὺς τὸν νόμον ἐνώπιον τῆς ἐκκλησίας ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, καὶ πᾶς ὁ συνιὼν ἀκοῦσαι ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου, καὶ ἀνέγνω ἐν αὐτῷ ἀπὸ φωτὸς τοῦ διαφωτίσαι τὸν ἥλιον ἕως μεσούσης τῆς ἡμέρας, ἀπέναντι ἀνδρῶν καὶ γυναικῶν. καὶ αὐτοὶ συνιέντων, καὶ ὦτα πάντων τοῦ λαοῦ εἰς τὸ βιβλίον τοῦ νόμου.

ξβ Καὶ ἔστη ἔσδρας ὁ γραμματεὺς ἐπὶ βήματος ξυλίνου, καὶ ἔστησαν ἐχόμενα αὐτοῦ ματταθίας, καὶ σαμαίας, καὶ ἀνανίας, καὶ οὐρίας, καὶ χελκία, καὶ μαασία ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ ἀριστερῶν φεδαΐας, καὶ μισαὴλ, καὶ μελχίας, καὶ ὠσὰμ, καὶ ἀσεβασδανὰ, καὶ ζαχαρίας, καὶ μεσολλαμ. καὶ ἐπέβλεψεν ἔσδρας τὸ βιβλίον ἐνώπιον παντὸς τοῦ λαοῦ, ὅτι αὐτὸς ἐπάνω τοῦ λαοῦ. καὶ εὐλόγησεν ἔσδρας, καὶ ἀνέῳξε, ἔστη πᾶς ὁ λαός. καὶ ἐυλόγησεν ἔσδρας κύριον τὸν θεὸν τὸν μέγαν, καὶ ἀπεκρίθη πᾶς ὁ λαὸς, καὶ εἶπον, ἀμὴν ἐπάραντες τὰς χεῖρας αὐτῶν. καὶ ἔκυψαν, καὶ προσεπάνεσαν τῷ κυρίῳ, ὧν πρόσωπον ἐπὶ τὴν γῆν.

ξγ Καὶ ἰησοῦς, καὶ βανναίας, καὶ σαραβίας, ἰαδὶν σωνεπίζοντος αὐτοῦ σαβαθαῖος, καὶ μαιμπίας ἀζαρίας, ἰωζαβδαὶ αὐιφανὲς. καὶ οἱ λευῖται διεδίδασκον τὸν λαὸν εἰς τὸν νόμον, καὶ ὁ λαὸς ἐν τῇ στάσει αὐτοῦ. καὶ ἀνέγνωσαν ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ θεοῦ, καὶ ἐδίδασκον ἔσδρας, καὶ διέσειλεν ἐν ἐπισήμῳ κυρίῳ, καὶ συνῆκεν ὁ λαὸς ἐν τῇ ἀναγνώσει.

ξδ Καὶ εἶπε νεεμίας καὶ ἔσδρας ὁ ἱερεὺς καὶ γραμματεὺς, καὶ οἱ λευῖται, καὶ οἱ συνιέντες τῷ λαῷ. καὶ εἶπεν πᾶσι τῷ λαῷ· ἡμέρα ἁγία ἐστὶ τῷ κυρίῳ θεῷ ἡμῶν, μὴ πενθῆτε, μηδὲ κλαύσητε. ὅτι ἔκλαιε πᾶς ὁ λαὸς, ὡς ἤκουσε τοὺς λόγους τοῦ νόμου. καὶ εἶπεν αὐτοῖς· πορεύεσθε, καὶ φάγετε λιπάσματα, καὶ πίετε γλυκάσματα, καὶ ἀποστείλατε μερίδας τοῖς μὴ ἔχουσιν, ὅτι ἁγία ἐστὶν ἡ ἡμέρα κυρίῳ τῷ θεῷ ἡμῶν. καὶ μὴ διαπέσητε, ὅτι ἡ χαρὰ κυρίου αὕτη ἐστὶν ἰσχὺς ὑμῶν.

ξε Καὶ οἱ λευῖται κατεσιώπων πάντα τὸν λαὸν λέγοντες, σιωπᾶτε ὅτι ἡμέρα ἁγία, καὶ μὴ κατανύγητε.

ξς Καὶ ἀπῆλθε πᾶς ὁ λαὸς φαγεῖν, καὶ πιεῖν, καὶ ἀποστεῖλαι μερίδας, καὶ ποιῆσαι εὐφροσύνην μεγάλην, ὅτι συνῆκαν ἐν τοῖς λόγοις οἷς ἐγνώρισαν αὐτοῖς.

ξζ Καὶ ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ συνήχθησαν οἱ ἄρχοντες τῶν πατριῶν πάντων τοῦ λαοῦ, οἱ ἱερεῖς καὶ οἱ λευῖται πρὸς ἔσδραν τὸν γραμματέα, συνῆσαι πρὸς πάντας τοὺς λόγους τοῦ νόμου. καὶ εὑρέθη γεγραμμένον ἐν τῷ νόμῳ ᾧ ἐνετείλατο κύριος τῷ μωϋσῆ, ὅπως κατοικήσωσιν οἱ υἱοὶ ἰσραὴλ ἐν σκηναῖς ἐν ἑορτῇ ἐν μηνὶ τοῦ ἑβδόμου, καὶ ὅπως σημάνωσιν ἐν σάλπιγξιν ἐν πάσαις ταῖς πόλεσιν αὐτῶν, καὶ ἐν ἱερουσαλήμ. καὶ εἶπεν ἔσδρας· ἐξέλθετε εἰς τὸ ὄρος, καὶ ἐνέγκατε φύλλα ἐλαίας, καὶ φύλλα ξύλων λιπαρισίνων, καὶ φύλλα μυρσίνης, καὶ φύλλα φοινίκων, καὶ φύλλα ξύλου δασέως, ποιῆσαι σκηνὰς, κατὰ τὸ γεγραμμένον. καὶ ἐξῆλθεν ὁ λαὸς, καὶ ἤνεγκαν, καὶ ἐποίησαν ἑαυτοῖς σκηνὰς ἀνὴρ ὑπὲρ τοῦ δώματος αὐτοῦ, καὶ ἐν ταῖς αὐλαῖς αὐτῶν, καὶ ἐν αὐλαῖς οἴκου τοῦ θεοῦ, καὶ ἐν πλατείαις τῆς πόλεως, καὶ ἕως οἴκου ἐφραίμ. καὶ ἐποίησαν πᾶσα ἡ ἐκκλησία οἱ ὑποστρέψαντες ἀπὸ τῆς αἰχμαλωσίας σκηνὰς, καὶ ἐκάθισαν ἐν σκηναῖς, ὅτι οὐκ ἐποίησαν ἀπὸ ἡμερῶν ἰησοῦ υἱοῦ ναυῆ οὕτως οἱ υἱοὶ ἰσραὴλ, ἕως τῆς ἡμέρας ἐκείνης. καὶ ἐγένετο εὐφροσύνη μεγάλη, καὶ ἀνέγνω ἐν βιβλίῳ νόμου τοῦ θεοῦ ἡμέρα ἐν ἡμέρᾳ, ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς ἡμέρας τῆς ἐσχάτης. καὶ ἐποίησαν ἑορτὴν ἑπτὰ ἡμέρας, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἀγόμιον κατὰ τὸ κρίμα.

ξή

ΚΕΦΑΛ. θ'. 9.

ΚΑὶ ἐν ἡμέρᾳ εἰκοστῇ τετάρτῃ τοῦ μηνὸς τούτου, συνήχθησαν οἱ υἱοὶ ἰσραὴλ ἐν νηστείᾳ, καὶ ἐν σάκκοις καὶ σποδῷ ἐπὶ κεφαλῆς αὐτῶν. καὶ ἐχωρίσθησαν οἱ υἱοὶ ἰσραὴλ ἀπὸ παντὸς υἱοῦ ἀλλοφύλου, καὶ ἔστησαν, καὶ ἐξηγόρευσαν τὰς ἁμαρτίας αὐτῶν, καὶ τὰς ἀνομίας τῶν πατέρων αὐτῶν. καὶ ἔστησαν ἐπὶ τῆς στάσεως αὐτῶν, καὶ ἀνέγνωσαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐγνώσαν ἐν βιβλίῳ νόμε κυρίε θεὲ αὐτῶν.
ξθ' Καὶ ἦσαν ἐξ ἀγορεύοντες τῷ κυρίῳ, καὶ
προσκυνοῦντες τῷ κυρίῳ θεῷ αὐτῶν, καὶ ἔστη
ὧδε ἀναβάσει τῶν λευιτῶν ἰησοῦς, καὶ οἱ υἱοὶ καδ-
μιὴλ σεχανία υἱὸς σαραβίας, υἱοὶ χανανί, καὶ
ἐβόησαν φωνῇ μεγάλῃ πρὸς κύριον τὸν θεὸν αὐ
τῶν. καὶ εἶπον οἱ λευῖται, ἰησοῦς καὶ καδμιήλ·
ἀναστητε, καὶ εὐλογεῖτε τὸν κύριον θεὸν ὑμῶν
ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος. καὶ εὐλο
γήσουσιν ὄνομα δόξης σου, καὶ ὑψώσουσιν ὑπὲρ
πᾶσαν εὐλογίαν καὶ αἴνεσιν. καὶ εἶπεν ἔσδρας·
σὺ εἶ αὐτὸς κύριος μόνος. σὺ ἐποίησας τὸν
οὐρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ πᾶ
σαν τὴν δύναμιν αὐτῶν, τὴν γῆν, καὶ πάντα ὅσα
ἐπ' αὐτῇ, τὰς θαλάσσας, καὶ πάντα τὰ
ἐν αὐταῖς· καὶ σὺ ζωοποιεῖς τὰ πάντα, καὶ σοὶ
προσκυνοῦσιν αἱ στρατιαὶ τῶν οὐρανῶν. σὺ εἶ κύ
ριος ὁ θεός, σὺ ἐξελέξω ἀβραάμ, καὶ ἐξήγαγον
αὐτὸν ἐκ τῆς χώρας τῶν χαλδαίων, καὶ ἐπέθη-
κας αὐτῷ ὄνομα ἀβραάμ, καὶ εὗρον τὴν καρ-
δίαν αὐτοῦ πιστὴν ἐνώπιόν σου. καὶ διέθε
το πρὸς αὐτὸν διαθήκην, δοῦναι αὐτῷ τὴν γῆν τῶν χα
ναναίων, καὶ χετταίων, καὶ ἀμορραίων, καὶ φε-
ρεζαίων, καὶ ἰεβουσαίων, καὶ γεργεσαίων, καὶ
τοῦ σπέρματος αὐτοῦ. καὶ ἔστησας τοὺς λόγους σου,
ὅτι δίκαιος σὺ. καὶ εἶδον τὴν ταπείνωσιν
τῶν πατέρων ἡμῶν ἐν αἰγύπτῳ, καὶ τὴν κραυ
γὴν αὐτῶν ἤκουσας ἐπὶ θάλασσαν ἐρυθράν. καὶ
ἔδωκας σημεῖα ἐν αἰγύπτῳ ἐν φαραὼ, καὶ ἐν
πᾶσι τοῖς παισὶν αὐτοῦ, καὶ ἐν παντὶ τοῦ λαοῦ
τῆς γῆς αὐτοῦ, ὅτι ἔγνως ὅτι ὑπερηφάνευσαν ἐπ'
αὐτούς, καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡμέρα
αὕτη. καὶ τὴν θάλασσαν ἐρρήξας ἐνώπιον αὐ-
τῶν, καὶ διῆλθοσαν ἐν μέσῳ τῆς θαλάσσης ἐν ξη
ρασίᾳ, καὶ τοὺς καταδιώκοντας αὐτοὺς ἔρριψας
εἰς βάθυνον, ὡσεὶ λίθον ἐν ὕδασι σφοδρῷ, καὶ
ἐν στύλῳ νεφέλης ὡδήγησας αὐτοὺς ἡμέρας, καὶ
ἐν στύλῳ πυρὸς τὴν νύκτα, τοῦ φωτίσαι αὐ-
τοῖς τὴν ὁδὸν ἐν ᾗ πορεύονται ἐν αὐτῇ. καὶ ὄρος
ὄρος σινᾶ κατέβης, καὶ ἐλάλησας πρὸς αὐτοὺς
ἐξ οὐρανῶ, καὶ ἔδωκας αὐτοῖς κρίματα δύθεα,
καὶ νόμους ἀληθείας, πρόσταγματα, καὶ ἐντο-
λὰς ἀγαθάς. καὶ τὸ σάββατόν σου τὸ ἅγιον
ἐγνώρισας αὐτοῖς. ἐντολὰς, καὶ προστάγματα,
καὶ νόμον ἐνετείλω αὐτοῖς ἐν χειρὶ μωϋσῆ τοῦ
δούλου σου. καὶ ἄρτον ἐξ οὐρανοῦ ἔδωκας αὐτοῖς
εἰς σιτοδοσίαν αὐτῶν, καὶ ὕδωρ ἐκ πέτρας ἐξή
νεγκας αὐτοῖς εἰς δίψαν αὐτῶν. καὶ εἶπας αὐ
τοῖς, εἰσελθεῖν κληρονομῆσαι τὴν γῆν εἰς ἣν
ἐξέτεινας τὴν χεῖρά σου, δοῦναι αὐτοῖς. καὶ αὐ-
τοὶ καὶ οἱ πατέρες ἡμῶν ὑπερηφάνευσαν-
το, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν, καὶ
οὐκ ἤκουσαν τῶν ἐντολῶν σου, καὶ οὐκ ἠθέλησαν
ἀκοῦσαι, καὶ οὐκ ἐμνήσθησαν τῶν θαυμασίων
σου, ὧν ἐποίησας ἐν αὐτοῖς. καὶ ἐσκλήρυναν
τὸν τράχηλον ἑαυτῶν, καὶ ἔδωκαν ἀρχὴν τοῦ ἐπι-
στρέψαι εἰς δουλείαν αὐτῶν ἐν αἰγύπτῳ. καὶ σὺ
ὁ θεὸς ἀφίων ἀμαρτίας, ἐλεήμων, καὶ οἰκτίρ-
μων, μακρόθυμος, καὶ πολυέλεος, καὶ οὐκ ἐγ-
κατέλιπες αὐτούς. ἔτι δὲ καὶ ἐποίησαν αὐ-
τοῖς μόσχον χωνευτὸν, καὶ εἶπαν· οὗτοι οἱ θεοὶ
οἱ ἐξαγαγόντες ἡμᾶς ἐξ αἰγύπτου. καὶ ἐποίησαν
παροργισμοὺς μεγάλους. καὶ σὺ ἐν οἰκτιρμοῖς σε
τοῖς μεγάλοις, οὐκ ἐγκατέλιπες αὐτοὺς ἐν τῇ
ἐρήμῳ. τὸν στύλον τῆς νεφέλης οὐκ ἐξέκλινας
ἀπ' αὐτῶν ἡμέρας ὁδηγῆσαι αὐτοὺς ἐν τῇ ὁδῷ.
καὶ τὸν στύλον τοῦ πυρὸς τὴν νύκτα, φωτίζειν
αὐτοὺς τὴν ὁδὸν, ἐν ᾗ πορεύονται ἐν αὐτῇ.
καὶ τὸ πνεῦμά σου τὸ ἀγαθὸν ἔδωκας, σωφρο-
νίσαι αὐτούς. καὶ τὸ μάννα σου οὐκ ἀφυστέρησας
ἀπὸ στόματος αὐτῶν, καὶ ὕδωρ ἔδωκας αὐ
τοῖς ἐν τῇ δίψει αὐτῶν. καὶ τεσσαρακοντα
ἔτη διέθρεψας αὐτοὺς ἐν τῇ ἐρήμῳ, οὐχ ὑστέ-
ρησεν αὐτοῖς οὐδέν· ἱματια αὐτῶν οὐκ ἐπα-
λαιώθησαν, καὶ ὑποδήματα αὐτῶν οὐ διερ-
ράγησαν. καὶ ἔδωκας αὐτοῖς βασιλείας, καὶ
λαοὺς διεμέρισας αὐτοῖς. καὶ ἐκληρονόμησαν
τὴν γῆν σηὼν βασιλέως ἐσεβών, καὶ τὴν γῆν
ὼγ βασιλέως τῆς βασάν. καὶ τοὺς υἱοὺς αὐτῶν
ἐπλήθυνας ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ εἰ-
σήγαγον αὐτοὺς εἰς τὴν γῆν ᾗ εἶπας τοῖς πα-
τράσιν αὐτῶν, καὶ ἐκληρονόμησαν αὐτήν. καὶ
ἐξέτριψας ἐνώπιον αὐτῶν τοὺς κατοικοῦντας
τὴν γῆν τὸν χαναναίων, καὶ ἔδωκας αὐτοὺς
εἰς τὰς χεῖρας αὐτῶν, καὶ τοὺς βασιλεῖς αὐτῶν,
καὶ τοὺς λαοὺς τῆς γῆς, ποιῆσαι αὐτοῖς ὡς ἀρε-
σον ἐνώπιον αὐτῶν. καὶ κατελαβόσαν πόλεις
ὑψηλὰς, καὶ ἐκληρονόμησαν οἰκίας πλήρεις
παντὸς ἀγαθοῦ, λάκκους λελαξευμένους,
ἀμπελῶνας, καὶ ἐλαιῶνας, καὶ παῦ ξύλον βρώ
σιμον εἰς πλῆθος, καὶ ἐφάγοσαν, καὶ ἐνεπλή
σθησαν, καὶ ἐλιπάνθησαν, καὶ ἐτρύφησαν ἐν
ἀγαθοσύνῃ σου τῇ μεγάλῃ, καὶ ἔλακτισαν, καὶ
ἀπέστησαν ἀπὸ σοῦ, καὶ ἔρριψαν τὸν νόμον σου
ὀπίσω σώματος αὐτῶν. καὶ τοὺς προφήτας σου
ἀπέκτειναν, οἳ διεμαρτύροντο ἐν αὐτοῖς ἐπι-
στρέψαι αὐτοὺς πρὸς σέ. καὶ ἐποίησαν παροργισ
μοὺς μεγάλους, καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ θλι
βόντων αὐτούς· καὶ ἐθλίψαν αὐτούς, καὶ ἀνε-
βόησαν πρὸς σὲ ἐν καιρῷ θλίψεως αὐτῶν, καὶ
σὺ ἐξ οὐρανοῦ σου ἤκουσας, καὶ ἐν οἰκτιρμοῖς σε
τοῖς μεγάλοις ἔδωκας αὐτοῖς σωτηρίαν, καὶ
ἔσωσας αὐτοὺς ἐκ χειρὸς θλιβόντων αὐτούς. καὶ
ὡς ἀνεπαύσαντο, ἐπέστρεψαν ποιῆσαι τὸ πο
νηρὸν ἐνώπιόν σου, καὶ ἐγκατέλιπες αὐτοὺς
εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ κατῆρξαν ἐν αὐ-
τοῖς. καὶ πάλιν ἀνεβόησαν πρός σε, καὶ σὺ ἐξ
οὐρανοῦ εἰσήκουσας, καὶ ἐῤῥύσω αὐτοὺς ἐν οἰκτιρ
μοῖς σου πολλοῖς. καὶ ἐπεμαρτύρω αὐτοῖς τοῦ ἐπι-
στρέψαι αὐτοὺς εἰς τὸν νόμον σου, καὶ οὐκ ἤκου-
σαν, ἀλλ' ἐν ταῖς ἐντολαῖς σου καὶ κρίμασιν
ἡμάρτοσαν, ἃ ποιήσας αὐτὰ ἄνθρωπος ζή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεται ἐν αὐτοῖς. καὶ ἔδωκαν νῶτον ἀπειθοῦντα, καὶ τράχηλον αὐτῶν ἐσκλήρυναν, καὶ οὐκ ἤκουσαν. καὶ εἵλκυσας ἐπ' αὐτοὺς ἔτη πολλὰ, καὶ ἐπεμαρτύρω αὐτοῖς ἐν πνεύματί σου, ἐν χειρὶ προφητῶν σου, καὶ οὐκ ἐνωτίζαντο. καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ λαῶν τῆς γῆς, καὶ σὺ ἐν οἰκτιρμοῖς σου τοῖς πολλοῖς οὐκ ἐποίησας αὐτοὺς εἰς συντέλειαν, καὶ οὐκ ἐγκατέλιπες αὐτούς, καὶ ὅτι ἰσχυρὸς εἶ καὶ ἐλεήμων, καὶ οἰκτίρμων. καὶ νῦν ὁ θεὸς ἡμῶν ὁ ἰσχυρὸς, ὁ μέγας, ὁ ἰσχυρὸς, καὶ ὁ φοβερὸς, φυλάσσων τὴν διαθήκην, καὶ τὸ ἔλεός σου. μὴ ὀλιγωθήτω ἐνώπιόν σου πᾶς ὁ μόχθος, ὃς εὗρεν ἡμᾶς καὶ τοὺς βασιλεῖς ἡμῶν, καὶ τοὺς ἄρχοντας ἡμῶν καὶ τοὺς ἱερεῖς ἡμῶν, καὶ τοὺς προφήτας ἡμῶν, καὶ τοὺς πατέρας ἡμῶν, καὶ ἐν πάντι τῷ λαῷ σου, ἀπὸ ἡμερῶν βασιλέων ἀσσουρ, καὶ ἕως τῆς ἡμέρας ταύτης. καὶ σὺ δίκαιος εἰ ὅτι πᾶσι τοῖς ἐρχομένοις ἐφ' ἡμᾶς, ὅτι ἀληθείαν ἐποίησας. καὶ ἡμεῖς ἡμαρτομεν, καὶ οἱ βασιλεῖς ἡμῶν, καὶ οἱ ἄρχοντες ἡμῶν, καὶ οἱ ἱερεῖς ἡμῶν, καὶ οἱ πατέρες ἡμῶν οὐκ ἐποίησαν τὸν νόμον σου, καὶ οὐ προσέσχον τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, ἃ διεμαρτύρω αὐτοῖς. καὶ αὐτοὶ ἐν βασιλείᾳ σου, καὶ ἐν ἀγαθωσύνῃ σου τῇ πολλῇ, ἣν ἔδωκας αὐτοῖς, καὶ ἐν τῇ γῇ πλατείᾳ καὶ λιπαρᾷ ᾗ ἔδωκας ἐνώπιον αὐτῶν, οὐκ ἐδούλευσάν σοι, καὶ οὐκ ἐπέστρεψαν ἀπὸ πονηρευμάτων αὐτῶν τῶν πονηρῶν. ἰδοὺ σήμερον ἡμεῖς δοῦλοι, καὶ ἡ γῆ ἣν ἔδωκας τοῖς πατράσιν ἡμῶν φαγεῖν τὸν καρπὸν αὐτῆς τοῖς βασιλεῦσιν οἷς ἔδωκας ἐφ' ἡμᾶς, ἐν ἁμαρτίαις ἡμῶν, καὶ ἐν τοῖς σώμασιν ἡμῶν ἐξουσιάζουσι. καὶ ἐν θλίψει μεγάλῃ ἡμεῖς, ἐν πᾶσι τούτοις ἡμεῖς διαθήκην πιστὴν, καὶ γράφομεν, καὶ ἐσφραγίζουσι πάντες ἄρχοντες ἡμῶν, Λευῖται ἡμῶν, ἱερεῖς ἡμῶν.

ΚΕΦΑΛ. ι'. 10.

Καὶ ἐπὶ τῶν σφραγιζόντων Νεεμίας, ἀρθακαθὰ υἱὸς Ἀχαλία, καὶ Σεδεκίας υἱὸς Ἀραΐα, καὶ Ἀζαρία, καὶ Ἱερεμίας, Φασσοὺρ, Ἀμαρία, Μελχία, Ἀτὴς, Χαβαὶ, Μαλὺχ, Ἠρὰμ, Μεραμὼθ, Ἀβδία, Δανιὴλ, Γαναθὼν, Βαρούχ, Μεσουλὰμ, Ἀβδία, Μιαμὶν, Μααζία, Μελγαΐ, Σαμαΐα, οὗτοι ἱερεῖς. καὶ οἱ Λευῖται· Ἰησοῦς υἱὸς Ἀζανίου, Βαναΐου ἀπὸ υἱῶν Ἰωὰλ, Σαμαΐου, καὶ οἱ ἀδελφοὶ αὐτοῦ. Χαβανία, Ὡδαΐα, Καλιταὶ, Φελιὰ, Ἀνὰν, Μιχαρωὴ, Ἀσεβίας, Ἑσκχὼρ, Σαραβία, Σεβανία, Ὡδαΐα. υἱοὶ Βανουνὰ ἀρχόντων λαοῦ, Φόρος Φααθμωὰβ, Ἠλὰμ, Ζαθθουΐα. υἱοὶ Βανεὶ, Ἀσγάδ, Βηβαΐ, Ἀδωνία, Βαγοὶ, Ἀδινατὴς, Ἐζεκία, Ἀζοὺρ, Ὡδαΐα, Ἀσσὰμ, Βησαεὶφ, Ἀναθὼθ, Νωβαΐ, Μεγαφὶς, Μεσουλὰμ, Ἡζιρμεσὼ, Ζεβὴλ, Σαδδὼκ, Ἰεδδοὺα, Φαλτία, Ἀνὰν, Ἀνανία, Ὡσηὲ, Ἀνανία, Ἀσοὺβ, Ἀλωὴς, Φαλαὰλ, Ζαβὴν, Ῥαούμ, Ἀσαβανὰ, Μαασαΐα, καὶ Ἀΐα, Ἀνὰν, Ἡνὰμ, Λαλὺχ, Ἐσοὺμ, Βαανά. καὶ οἱ λαταλοίποι τοῦ λαοῦ, οἱ ἱερεῖς, οἱ λευῖται, οἱ πυλωροὶ, οἱ ᾄδοντες, οἱ ναθανεμεί. καὶ πᾶς ὁ προπορευόμενος ἀπὸ τοῦ λαοῦ τῆς γῆς πρὸς τὸν νόμον τοῦ θεοῦ, γυναῖκες αὐτῶν, υἱοὶ αὐτῶν, θυγατέρες αὐτῶν. πᾶς ὁ εἰδὼς καὶ συνιὼν, ἐνίσχυον ἐπὶ τοὺς ἀδελφοὺς αὐτῶν, καὶ κατηράσαντο αὐτούς, καὶ εἰσῆλθον ἐν ἀρᾷ καὶ ἐν ὅρκῳ τοῦ πορεύεσθαι ἐν νόμῳ τοῦ θεοῦ, ὃς ἐδόθη ἐν χειρὶ Μωϋσῆ δούλου τοῦ θεοῦ, φυλάσσεσθαι καὶ ποιεῖν πάσας τὰς ἐντολὰς Κυρίου, καὶ κρίματα αὐτοῦ, τοῦ μὴ δοῦναι θυγατέρας ἡμῶν τοῖς λαοῖς τῆς γῆς, καὶ τὰς θυγατέρας αὐτῶν οὐ λήψόμεθα τοῖς υἱοῖς ἡμῶν. καὶ λαοὶ τῆς γῆς οἱ φέροντες τοὺς ἀγορασμοὺς, καὶ πᾶσαν πρᾶσιν ἐν ἡμέρᾳ τοῦ σαββάτου ἀγοράσομεν παρ' αὐτῶν ἐν σαββάτῳ, καὶ ἐν ἡμέρᾳ ἁγίᾳ, καὶ ἀναβήσομεν τὸ ἔτος τὸ ἕβδομον, καὶ ἀπαίτησιν πάσης χειρός. Καὶ στήσομεν ἐφ' ἡμᾶς ἐντολὰς δοῦναι ἐφ' ἡμᾶς τρίτον τοῦ διδράχμου κατ' ἐνιαυτὸν εἰς δικαίωμα οἴκου τοῦ θεοῦ ἡμῶν, εἰς ἄρτους τοῦ προσώπου, καὶ θυσίαν τοῦ ἐνδελεχισμοῦ, καὶ εἰς ὁλοκάυτωμα τοῦ ἐνδελεχισμοῦ τῶν σαββάτων τῶν νεομηνιῶν εἰς τὰς ἑορτὰς, καὶ εἰς τὰ ἅγια, καὶ τὰ περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ Ἰσραὴλ, καὶ εἰς ἔργα οἴκου τοῦ θεοῦ ἡμῶν. καὶ κλήρους ἐβάλομεν περὶ κλήρου ξυλοφορίας, οἱ ἱερεῖς, καὶ οἱ λευῖται, καὶ ὁ λαὸς, ἐνέγκαι εἰς οἶκον θεοῦ ἡμῶν εἰς οἴκους πατριῶν ἡμῶν, εἰς καιροὺς ἀπὸ χρόνων κατ' ἐνιαυτὸν, ἐκκαύσαι ἐπὶ τὸ θυσιαστήριον Κυρίου τοῦ θεοῦ ἡμῶν, ὡς γέγραπται ἐν τῷ νόμῳ, καὶ ἐνέγκαι τὰ πρωτογενήματα τῆς γῆς ἡμῶν, καὶ πρωτογενήματα καρποῦ παντὸς ξύλου ἐνιαυτὸν κατ' ἐνιαυτὸν εἰς οἶκον Κυρίου· καὶ τὰ πρωτότοκα υἱῶν ἡμῶν, καὶ κτηνῶν ἡμῶν, ὡς γέγραπται ἐν τῷ νόμῳ. καὶ τὰ πρωτότοκα τῶν βοῶν ἡμῶν, καὶ ποιμνίων ἡμῶν, ἐνέγκαι εἰς οἶκον θεοῦ ἡμῶν τοῖς ἱερεῦσι, τοῖς λειτουργοῦσιν ἐν οἴκῳ θεοῦ ἡμῶν. καὶ τὴν ἀπαρχὴν σίτων ἡμῶν, καὶ τὸν καρπὸν παντὸς ξύλου οἴνου καὶ ἐλαίου, οἴσομεν τοῖς ἱερεῦσιν εἰς τὸ γαζοφυλάκιον οἴκου τοῦ θεοῦ, καὶ δεκάτας γῆς ἡμῶν τοῖς λευίταις. καὶ αὐτοὶ οἱ λευῖται δεκατοῦσιν ἐν πάσαις πόλεσι δουλείας ἡμῶν. καὶ ἔσται ὁ ἱερεὺς υἱὸς Ἀαρὼν μετὰ τοῦ λευίτου ἐν τῇ δεκάτῃ τοῦ λευίτου, καὶ οἱ λευῖται ἀνοίσουσι τὴν δεκάτην τῆς δεκάτης εἰς οἶκον θεοῦ ἡμῶν, εἰς γαζοφυλάκια εἰς οἶκον τοῦ θεοῦ, ὅτι εἰς τοὺς θησαυροὺς εἰσίσασιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ οἱ υἱοὶ Λευὶ τὰς ἀπαρχὰς σίτου, καὶ τοῦ οἴνου, καὶ τοῦ ἐλαίου. καὶ ἐκεῖ σκεύη τὰ ἅγια, καὶ οἱ ἱερεῖς οἱ λειτουργοὶ, καὶ οἱ πυλωροὶ, καὶ οἱ ᾄδοντες, καὶ οὐκ ἐγκαταλείψομεν τὸν οἶκον τοῦ θεοῦ ἡμῶν.

ΚΕΦΑΛ.

ξε' ΚΕΦΑΛ. ιά'. ιι.

ΚΑὶ ἐκάθισαν οἱ ἄρχοντες τοῦ λαοῦ ἐν Ἱερουσαλήμ, καὶ οἱ λοιπὸς τοῦ λαοῦ ἔβαλον λαχνοὺς ἐνέγκαι ἕνα ἀπὸ δέκα, λαβεῖν ἐν Ἱερουσαλὴμ τὴν πόλιν τὴν ἁγίαν, καὶ ἐννέα μέρη ἐν ταῖς πόλεσι, καὶ εὐλόγησαν ὁ λαὸς τοὺς πάντας ἄνδρας τοὺς ἑκουσιαζομένους λαβεῖν ἐν Ἱερουσαλήμ.

οβ' Καὶ οὗτοι οἱ ἄρχοντες τῆς χώρας, οἱ ἐκάθισαν ἐν Ἱερουσαλὴμ, καὶ ἐν πόλεσιν Ἰούδα ἐκάθισαν ἀνὴρ ἐν κατοχῇ αὐτοῦ, ἐν πόλεσιν αὐτῶν Ἰσραὴλ, οἱ ἱερεῖς καὶ οἱ λευῖται, καὶ οἱ ναθιναῖοι, καὶ υἱοὶ Σολομών. καὶ ἐν Ἱερουσαλὴμ ἐκάθισαν ἀπὸ υἱῶν Ἰούδα, καὶ ἀπὸ υἱῶν Βενιαμὶν, καὶ ἀπὸ υἱῶν Ἰούδα Ἀθαιὰ υἱὸς Ὀζίου, υἱὸς Ζαχαρίου, υἱὸς Ἀμαρίου, υἱὸς Σεφατίου, υἱὸς Μαελεήλ. καὶ ἀπὸ τῶν υἱῶν Φάρες, καὶ Μαλιὰ, υἱὸς Βαρούχ, υἱὸς Χαλαζὰ, υἱὸς Ὀζίου, υἱὸς Ἀδαΐου, υἱὸς Ἰωαρεὶμ, υἱὸς Ζαχαρίου, υἱὸς τοῦ Σιλωνί· πάντες υἱοὶ Φάρες, οἱ καθήμενοι ἐν Ἱερουσαλήμ, τετρακόσιοι ἑξηκοντακοκτὼ ἄνδρες δυνάμεως. καὶ οὗτοι υἱοὶ Βενιαμὶν, Σαλὼ υἱὸς Μεσουλὰμ, υἱὸς Ἰωὰδ, υἱὸς Φαδαΐου, υἱὸς Κωλαΐου, υἱὸς Μαασίου, υἱὸς Ἐθὶλ, υἱὸς Ἰωσαΐ. καὶ ὀπίσω αὐτοῦ Γαββαὶ Σαλλαὶ ἐννακόσιοι εἴκοσιν ὀκτώ, καὶ Ἰωὴλ υἱὸς Ζεχρὶ ἐπίσκοπος ἐπ' αὐτούς, καὶ Ἰούδα υἱὸς Ἀσανὰ ἀπὸ τῆς πόλεως δευτέρου ἀπὸ τῶν Ἱερέων, καὶ Ἰαδαΐα υἱὸς Ἰωαρεὶμ, Ἰαχὶν, Σαραΐα υἱὸς Ἑλχίνα, υἱὸς Μεσουλὰμ, υἱὸς Ἀδαΐου, υἱὸς Μαελεήλ, υἱὸς Ἀμασὶ υἱὸς Ἀζαρηὴλ υἱὸς Ἰωράμ, οἶκος τοῦ θεοῦ· καὶ οἱ ἀδελφοὶ αὐτῶν ποιοῦντες τὸ ἔργον οἴκου, ὀκτακόσιοι εἴκοσι δύο. καὶ Ἀδαΐα υἱὸς Ἱεροὰμ, υἱὸς Φαλελαΐα, υἱὸς Ναμάσι, υἱὸς Ζαχαρία, υἱὸς Φασεὼρ, υἱὸς Μελχία, καὶ ἀδελφοὶ αὐτοῦ ἀρχόντων πατριῶν διακόσιοι τεσσαρακοντα δύο. καὶ Μεσαὶ υἱὸς Ἐσριὴλ, υἱὸς Μοσολαμὼθ, υἱὸς Ἐμὲρ, καὶ ἀδελφοὶ αὐτοῦ δυνατοὶ πλατάρεως ἑκατὸν εἴκοσιν ὀκτώ, καὶ ἐπίσκοπος ἐπ' αὐτῶν Σοκελὴ, υἱὸς τῶν μεγάλων. καὶ ἀπὸ τῶν Λευιτῶν, Σαμαΐα υἱὸς Ἀσὼβ, υἱὸς Ἀζρεὶ, καὶ μαθθανίας υἱὸς Μιχὰ, καὶ Ἰωβὴβ υἱὸς Σαμωὶ, διακόσιοι ὀγδοήκοντα τέσσαρες. καὶ οἱ πυλωροὶ Ἀκκὼβ, Τελαμὶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν ἑκατὸν ἑβδομήκοντα δύο. καὶ ἐπίσκοπος Λευιτῶν, υἱὸς Βανὶ, υἱὸς Ὀζὶ, υἱὸς Σαβία, υἱὸς Μιχαὴλ. ἀπὸ υἱῶν Ἀσὰφ, τῶν ᾀδόντων ἀπὸ Σαλὼν ὀρύγου οἴκου τοῦ θεοῦ, ὅτι ἐν τόλμῃ τοῦ Βασιλέως ἐπ' αὐτούς. καὶ Φαταΐα υἱὸς Βασηζὰ πᾶς χεὰρ τοῦ Βασιλέως εἰς πᾶν χρῆμα τοῦ λαοῦ, καὶ πᾶς τὰς ἐπαύλεις ἐν ἀγρῷ αὐτῶν, καὶ ἀπὸ υἱῶν Ἰούδα ἐκάθισαν ἐν Καριαθαρβὰκ, καὶ ἐν ἰησοῦ, καὶ ἐν Βηρσαβεὲ, καὶ ἐπαύλεις αὐτῶν λαχεῖς, καὶ οἱ ἀγροὶ αὐτῆς, καὶ παρῳκοδόμησαν ἐν Βηρσαβεὲ, καὶ οἱ υἱοὶ Βενιαμὶν ἀπὸ γαβαὰ μαχαμὰς, καὶ ἀπὸ τῶν λευιτῶν μερίδες Ἰούδα τοῦ Βενιαμίν.

ογ' ΚΕΦΑΛ. ιϛ'. ιβ.

ΚΑὶ οὗτοι οἱ ἱερεῖς, καὶ οἱ λευῖται οἱ ἀναβάντες μετὰ ζοροβάβελ υἱοῦ Σαλαθιὴλ, καὶ Ἰησοῦ Σαραΐα, Ἱερεμία, Ἔσδρα, Ἀμαρία, Μαλούχ, Σελχωΐα. οὗτοι οἱ ἄρχοντες τῶν ἱερέων, καὶ ἀδελφοὶ αὐτῶν ἐν ἡμέραις Ἰησοῦ. καὶ οἱ λευῖται Ἰησοῦ, Βανοὺ, Καδμιὴλ, Σαραβία, Ἰωδαΐα, Μαθθανία ἐπὶ τῶν χειρῶν, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτῶν εἰς τὰς ἐφημερίας. καὶ Ἰησοῦς ἐγέννησε τὸν Ἰωακείμ, καὶ Ἰωακείμ ἐγέννησε τὸν Ἐλιασίβ, καὶ Ἐλιασίβ τὸν Ἰωδαΐ, καὶ Ἰωδαΐ ἐγέννησε τὸν Ἰωνάθαν, καὶ Ἰωνάθαν ἐγέννησε τὸν Ἀδδούς.

οδ' Καὶ ἐν ἡμέραις Ἰωακείμ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ οἱ ἄρχοντες τῶν πατριῶν, τῷ Σαραΐα Ἀμαρία, τῷ Ἱερεμία Ἀνανία, τῷ Ἔσδρᾳ Μεσολὰμ, τῷ Ἀμαρίᾳ Ἰωνὰν, τῷ Μαλούχ Ἰωνάθαν, τῷ Σελχωΐ Ἰωσήφ, τῷ Ἀδαμανὰς, τῷ Μαελωθ Ἐλκὶ, τῷ Ἀδδαΐ Ζαχαρία, τῷ Γανάθωθ Μεσολὰμ, τῷ Ἀβιᾶ Ζεχρὶ, τῷ Μιναμὶν Μοάδιος, τῷ Φελετὶ, τῷ Βαλγᾶς Μαμοῦς Σεμωΐα Ἰωνάθαν, τῷ Ἰωαρὶμ Ματθαναὶ, τῷ Ἰωδαΐ ὀζὶ, τῷ Σαλαὶ Καλλαὶ Λάβεδι, τῷ Ἐλκία Ἀσαβίας, Ἰωνάθαν, Ζαχαρία οἱ λευῖται ἐν ἡμέραις Ἐλιασίβ, Ἰωαδὰ, καὶ Ἰωανὰ, καὶ Ἰωαννοὺ, καὶ Ἰδούα, γεγραμμένοι ἄρχοντες τῶν πατριῶν. καὶ ἱερεῖς ἐν Βασιλείᾳ Δαρείου τοῦ Περσοῦ· οἱ δὲ λευῖ ἄρχοντες τῶν πατριῶν, γεγραμμένοι ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν, καὶ ἕως ἡμερῶν Ἰωανὰν υἱοῦ Ἐλισοὺ, καὶ οἱ ἄρχοντες τῶν λευιτῶν Ἀραβία καὶ Ζαραβία καὶ Ἰησοῦ.

οε' Καὶ υἱοὶ Καδμιὴλ, καὶ ἀδελφοὶ αὐτῶν κατέναντι αὐτῶν εἰς αἰνεῖν καὶ ὑμνεῖν ἐν ἐντολῇ Δαβὶδ ἀνθρώπου τοῦ θεοῦ, ἐφημερία πρὸς ἐφημερίαν, ἐν τῷ σωτηρεῖν με τοὺς πυλωροὺς ἐν ἡμέραις Ἰωακείμ υἱοῦ Ἰησοῦ, υἱοῦ Ἰωσεδὲκ, καὶ ἐν ἡμέραις Νεεμία, καὶ Ἔσδρα ἱερέως καὶ γραμματέως, καὶ ἐν ἐγκαινίοις τείχους Ἱερουσαλήμ, ἐζήτησαν τοὺς λευίτας ἐν τοῖς τόποις αὐτῶν, τοῦ ἐνέγκαι αὐτοὺς εἰς Ἱερουσαλὴμ, ποιῆσαι ἐγκαίνια καὶ εὐφροσύνην ἐν ᾠδαῖς καὶ ἐν ᾠδαῖς συμβαλίζοντες, καὶ ψαλτήρια, καὶ κινύρας, καὶ συνήχθησαν υἱοὶ τῶν ᾀδόντων καὶ ἀπὸ τῆς περιχώρου κυκλόθεν εἰς Ἱερουσαλήμ, καὶ ἀπὸ ἐπαύλεων, καὶ ἀπὸ ἀγρῶν, ὅτι ἐπαύλεις ᾠκοδόμησαν ἑαυτοῖς οἱ ᾀδόντες ἐν Ἱερουσαλήμ. καὶ ἐκαθαρίσθησαν οἱ ἱερεῖς καὶ οἱ λευῖται, καὶ ἐκαθάρισαν τὸν λαὸν, καὶ τοὺς πυλωροὺς, καὶ τὸ τεῖχος. καὶ ἀνέβησαν τοὺς ἄρχοντας Ἰούδα ἐπάνω τοῦ τείχους, καὶ ἔστησαν δύο πομπὰς αἰνέσεως μεγάλους. καὶ ἐπορεύθη ἐκ δεξιῶν ἐπάνω τοῦ τείχους τῆς κοπρείας, καὶ ἐπορεύθησαν ὀπίσω αὐτῶν ὡραία, καὶ ἥμισυ ἀρχόντων Ἰούδα, καὶ ἀζαρίας, καὶ Ἔσδρα, καὶ Μεσολὰμ, Ἰούδα καὶ Βενιαμὶν, καὶ Καλμαΐας καὶ Ἱερεμίας.

οϛ' Καὶ ἀπὸ τῶν υἱῶν τῶν Ἱερέων ἐν σάλπιγξι Ζαχαρίας, υἱὸς Ἰωνάθαν, υἱὸς Σεμαΐα, υἱὸς Μαθ-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

βανία, ὑὸς μαχκία, ὑὸς ζαμχὸρ, ὑὸς ἀσάφ. καὶ ἀδελφοὶ αὐτοῦ ζαμαία, καὶ ὀζιὴλ, γέλωμ, ἰαμμαία, ναθαναὴλ, καὶ ἰούδας ἀνανὶ τοῦ αἰνεῖν ϛὼ ὠδαῖς ὅλαβὶδ ἀνθρώπου τοῦ θεοῦ, ⁊ ἔσδρας ὁ γραμματεὺς ἔμπροσθεν αὐτῶν, ὑπὸ πύλης τ᾽ αἰνεῖν ἀπεναντὶ αὐτῶν. καὶ ἀνέβησαν ὑπὸ κλὶ μακρὰς πόλεως ὅλαβὶδ ϛὼ ἀναβάσει τοῦ τείχους, ἐπάνωθεν τοῦ οἴκου ὅλαβὶδ, ἕως ϕ πύλης τοῦ ὑδάτου κατ᾽ ἀνατολάς. καὶ πρὸς αἰνέσεως ἑ ὅλυτρᾶς ἄζεπερδὸν σωαντῶζα αὐτοῖς, καὶ ἐγὼ ὀπίσω αὐτῆς, καὶ τὸ ἥμισυ τοῦ λαοῦ ἐπάνω τοῦ τείχους, ὑπὲρ ἄνω τοῦ πύργου τοῦ θωρεὶμ, καὶ ἕως τοῦ τείχους τοῦ πλατείας, καὶ ὑπὲρ ἄνω τοῦ τείχους ἐφραὶμ, καὶ ὑπὲ πύλην εἰς πύλην ἰαναὰ, καὶ ὑπὲ πύλην τὴν ἰχθυρὰν, καὶ πύργον ἀναμεὴλ, καὶ ἕως τοῦ πύργου τοῦ μέα, καὶ ἕως πύλης ϕ προβατικῆς. καὶ ἔστησαν ὑπὲ πύλης τ᾽ φυλακῆς, καὶ ἔστησαν ἀε δύο ϕ αἰνέσεως ϛὼ οἴκῳ τοῦ θεοῦ, καὶ ἐγὼ καὶ ἥμισυ τοῦ στρατηγῶν μετ᾽ ἐμοῦ. καὶ οἱ ἱερεῖς ἐλιακεὶμ, μασίας, βενιαμὶν, μιχαίας, ἐλιωνὰ, ζαχαρίας, ἀνανίας, καὶ σεμείας, καὶ ἐλεάζαρ, καὶ ὀζὶ, καὶ ἰωανὰ, καὶ ἐμελχίας, καὶ ἐλεαμμίας, καὶ ἐζὸρ. καὶ ἠκούσθησαν οἱ ᾄδοντες, καὶ ἐζεζίας. καὶ ἐπεσκέφθησαν, καὶ ἐθυσίασαν, ⁊ ἔθυσαν ϛὼ τῇ ἡμέρᾳ ἐκείνῃ θυσιάσματα μεγάλα, καὶ εὐφράνθησαν, ὅτι ὁ θεὸς εὔφρανεν αὐτοὺς μεγάλως. καὶ αἱ γυναῖκες αὐτ καὶ τὰ τέκνα αὐτῶν εὐφράνθησαν, καὶ ἠκούσθη εὐφροσύνη ϛὼ ἱερουσαλὴμ μακρόθεν.

λζ Καὶ κατέστησαν ϛὼ τῇ ἡμέρᾳ ἐκείνῃ ἄνδρας ὑπὲ τῶν γαζοφυλακίων τοῖς θησαυροῖς τῆς ἀπαρχῆς καὶ τῆς σεκὼτους, καὶ τοῖς συναγμοῖς ϛὼ αὐτοῖς ἀρχσι τῶν πόλεων μερίσας τοῖς ἱερεῦσι καὶ τοῖς λευίταις, ὅτι εὐφροσύνη ἦν ϛὼ ἰούδα καὶ ὑπὲ αὐτοὺς ἱερεῖς, καὶ ὑπὲ αὐτοὺς λευίτας αὐτοὺς ἐσῶτας. καὶ ἐφύλαξαν φυλακὰς οἴκου τ᾽ θεοῦ αὐτῶν, καὶ φυλακὰς τοῦ καθαρισμοῦ. καὶ τοὺς ἄδοντας, καὶ τοὺς πυλωροὺς ὡς ϛὼ τολὰι ὅλαβὶδ, καὶ σολομὼν υἱοῦ αὐτοῦ, ὅτι ϛὼ ἡμέραις ὅλαβὶδ ἀσάφ ἀπαρχῆς πρώτου ϕ ᾀδόντων εἰς ὕμνον καὶ αἴνεσιν ϗ θεῷ. καὶ πᾶς ἰσραὴλ ϛὼ ἡμέραις ζοροβαβὲλ, καὶ ϛὼ ταῖς ἡμέραις νεεμίου δίδοντες μερίδας τῶν ᾀδόντων, καὶ τῶν πυλωρῶν, λόγος ἡμέρας ϛὼ ἡμέρᾳ αὐτοῦ, καὶ ἁγιάζοντες τοῖς λευίταις, καὶ οἱ λευῖται ἁγιάζοντες τοῖς υἱοῖς ἀαρών.

ΚΕΦΑΛ. ιγ'. 13.

ΕΝ τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεγνώσθη ϛὼ βιβλίῳ μωϋσῆ ϛὼ ὠσὶ τοῦ λαοῦ, καὶ εὑρέθη γεγραμμένον ϛὼ αὐτῷ, ὅπως μὴ εἰσέλθωσιν ἀμμανῖται καὶ μωαβῖται ϛὼ ἐκκλησίᾳ θεοῦ ἕως αἰῶνος. ὅτι οὐ συνήντησαν τοῖς υἱοῖς ἰσραὴλ ϛὼ ἄρτοις καὶ ὕδατι, καὶ ἐμισθώσαντο ἐπ᾽ αὐτοὺς τὸν βαλαὰμ, καταραθῆναι, καὶ ἐπέστρεψεν ὁ θεὸς ἡμῶν τὴν κατάραν εἰς εὐλογίαν. καὶ ἐγένετο ὡς ἤκουσαν τὸν νόμον, καὶ ἐχωρίσθησαν πᾶς ἐπίμικτος ϛὼ ἰσραὴλ, καὶ πρὸ τούτου ἐλιασὶβ ὁ ἱερεὺς οἰκῶν ϛὼ γαζοφυλακίῳ οἴκου θεοῦ ἡμῶν ἁγίου ϗ τωβίας. καὶ ἐποίησεν αὐτῷ γαζοφυλάκιον μέγα, καὶ ἐκεῖ ἦσαν πρότερον διδόντες τὴν μανασὴ, καὶ τὸν λίβανον, καὶ τὰ σκεύη, καὶ τὴν δεκάτην τοῦ σίτου, καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ϛὼ πολλῷ ϕ λευίτῃ καὶ τῷ ᾀδόντῳ ⁊ τῷ πυλωρῷ, καὶ ἀπαρχὰς τῶν ἱερέων. καὶ ϛὼ παντὶ τούτῳ οὐκ ἦμην ϛὼ ἱερουσαλὴμ, ὅτι ϛὼ ἔτει πρεσβυτέρῳ τοῦ ἀρβασαδὰ βασιλέως βαβυλῶνος ἦλθον πρὸς τὸν βασιλέα. καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἠτησάμην παρὰ τοῦ βασιλέως, καὶ ἦλθον εἰς ἱερουσαλὴμ. καὶ συνῆκαν ϛὼ τῇ πονηρίᾳ ἣν ἐποίησεν ἐλιασὶβ τῷ τωβίᾳ, ποιῆσαι αὐτῷ γαζοφυλάκιον ϛὼ αὐλῇ οἴκου τοῦ θεοῦ. καὶ πονηρὸν μοι ἐφάνη σφόδρα, ⁊ ἐξέβαλα πάντα τὰ σκεύη οἴκου τωβίας ἔξω ἀπὸ τοῦ γαζοφυλακίου, ⁊ εἶπα, καὶ ἐκαθάρισαν τὰ γαζοφυλάκια, καὶ ἐπέστρεψα ἐκεῖ σκεύη οἴκου τοῦ θεοῦ, τὸν μανασὴ, καὶ τὸν λίβανον. καὶ ἔγνων, ὅτι μερίδων τ᾽ λευιτῶν ὅτι ἐδόθησαν. καὶ ἐφύγοσαν αὐτὸς εἰς ἀγρὸν ἑαυτ, οἱ λευῖται, καὶ οἱ ᾀδοντες, ποιοῦντες τὸ ἔργον. καὶ ἐμαχεσάμην τοῖς στρατηγοῖς, ⁊ εἶπον· διατὶ ἐγκατελείφθη ὁ οἶκος τ᾽ θεοῦ; καὶ συνήγαγον αὐτοὺς, καὶ ἔστησα αὐτοὺς ὑπὲ τῆς σάσει αὐτῶν. καὶ πᾶς ἰούδα ἤνεγκαν δεκάτην τοῦ σίτου, καὶ τοῦ οἴνου, καὶ τοῦ ἐλαίου εἰς τοὺς θησαυρούς ὑπὲ χεῖρας σελεμίου ⁊ ἱερέως, καὶ σαδὼκ τοῦ γραμματέως, καὶ φεδαΐα ἀπὸ τῶν λευιτῶν. καὶ ὑπὲ χεῖρα αὐτῶν ἀνὰ ὑὸς ζαχούρ, ὑὸς ματθανίου, ὅτι πιστοὶ ἐλογίσθησαν ἐπ᾽ αὐτοὺς μερίσαι τοῖς ἀδελφοῖς αὐτῶν. μνήσθητί μου ὁ θεὸς ϛὼ τούτῳ, καὶ μὴ ἐξαλειφθήτω ἔλεός μου ὃ ἐποίησα ϛὼ οἴκῳ κυρίου τοῦ θεοῦ μου.

οβ Καὶ ϛὼ ταῖς ἡμέραις ἐκείναις εἶδον ϛὼ ἰούδα πατοῦντας ληνοὺς ϛὼ σαββάτῳ, καὶ φέροντας δράγματα, ⁊ ὠνουμένους ὑπὲ τὰς ὄνους, καὶ οἶνον καὶ σταφυλὴν καὶ σῦκα, καὶ πᾶν βάσαγμα, καὶ φέροντας εἰς ἱερουσαλὴμ ϛὼ ἡμέρᾳ σαββάτου. καὶ ἐπεμαρτυράμην ϛὼ ἡμέρᾳ πράσεως αὐτῶν, ὅτι ἐπώλουν ὠνισμὸν καὶ οἱ τύριοι, καὶ ἐκάθισαν ϛὼ αὐτῇ φέροντες ἰχθὺν, καὶ πᾶσαν πράσιν πωλοῦντες ϕ σαββάτῳ τοῖς υἱοῖς ἰούδα, καὶ ϛὼ ἱερουσαλήμ. καὶ ἐμαχεσάμην τοῖς υἱοῖς ἰούδα τοῖς ἐλευθέροις, καὶ εἶπα αὐτοῖς· τίς ὁ λόγος οὗτος ὁ πονηρὸς, ὃν ὑμεῖς ποιεῖτε, καὶ βεβηλοῦτε τὴν ἡμέραν τ᾽ σαββάτου; οὐχὶ οὕτως ἐποίησαν οἱ πατέρες ἡμῶν, καὶ ἤνεγκεν ἐπ᾽ αὐτοὺς ὁ θεὸς ἡμῶν, καὶ ἐφ᾽ ἡμᾶς πάντα τὰ κακὰ ταῦτα, καὶ ὑπὲ τὴν πόλιν ταύτην; καὶ ὑμεῖς προσθέτε ὀργὴν ὑπὲ ἰσραὴλ, βεβηλῶσαι τὸ σάββατον. καὶ ἐγένετο ἡνίκα κατέστησαν πύλαι ϛὼ ἱερουσαλὴμ πρὸ

πρὸ

τῶ σαββάτῳ, καὶ εἶπα, καὶ ἔκλεισαν τὰς πύλας. καὶ εἶπα, ὥστε μὴ ἀνοῖξαι αὐτὰς ἕως ὀπίσω τοῦ σαββάτου. καὶ ἐκ τῶν παιδαρίων μου ἔστησα ἐπὶ τὰς πύλας, ὥστε μὴ ἆραι βάσγματα ἐν ἡμέρᾳ τοῦ σαββάτου. καὶ ηὐλίσθησαν πάντες, καὶ ἐποίησαν πρᾶσιν ἔξω ἱεροσαλήμ, ἅπαξ καὶ δίς, καὶ διεμαρτυράμην αὐτοῖς, καὶ εἶπον πρὸς αὐτούς· διατί ὑμεῖς αὐλίζεσθε ἀπέναντι τοῦ τείχους; ἐὰν δευτέρως, ἐκτενῶ τὴν χεῖρά μου ἐν ὑμῖν. ἀπὸ τοῦ καιροῦ ἐκείνου οὐκ ἦλθαν ἐν σαββάτῳ. καὶ εἶπα πρὸς τοὺς λευίτας οἱ ἦσαν καθαριζόμενοι, καὶ ἐρχόμενοι φυλάσσοντες τὰς πύλας, ἁγιάζειν τὴν ἡμέραν τοῦ σαββάτου.

Πρὸς ταῦτα μνήσθητί μου ὁ θεός, καὶ φείσαι μου κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον τοὺς ἰουδαίους, οἱ ἐκάθισαν γυναῖκας ἀζώτιας, ἀμμανίτιδας, μωαβίτιδας, καὶ οἱ υἱοὶ αὐτῶν ἥμισυ λαλοῦσιν ἀζωτιστί, καὶ οὐκ εἰσὶν ὡσὰν γινώσκοντες λαλεῖν ἰουδαϊστί. καὶ ἐμαχεσάμην μετ' αὐτῶν, καὶ κατηρασάμην αὐτούς. καὶ ἐπάταξα ἐν αὐτοῖς ἄνδρας, καὶ ἐμαδάρωσα αὐτούς, καὶ ὥρκισα αὐτοὺς ἐν τῷ θεῷ· ἂν δῶτε τὰς θυγατέρας ἡμῶν τοῖς υἱοῖς αὐτῶν, καὶ ἐὰν λάβητε ἀπὸ τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς ὑμῶν. οὐχ οὕτως ἥμαρτεν Σολομὼν βασιλεὺς ἰσραήλ, καὶ ἐν ἔθνεσι πολλοῖς οὐκ ἦν ὁ βασιλεὺς ὅμοιος αὐτῷ; καὶ ἀγαπώμενος τοῦ θεοῦ ἦν, καὶ ἔδωκεν αὐτὸν ὁ θεὸς εἰς βασιλέα ἐπὶ πάντα ἰσραήλ. καὶ τοῦτον ἐξέκλιναν αἱ γυναῖκες αἱ ἀλλότριαι. καὶ ὑμῶν μὴ ἀκουσόμεθα ποιῆσαι τὴν πᾶσαν πονηρίαν ταύτην, ἀσωτεῦσαι ἐν τοῦ θεῷ ἡμῶν, καθίσαι γυναῖκας ἀλλοτρίας. καὶ ἀπὸ υἱῶν ἰωακὶμ τοῦ ἐλιασὶβ τοῦ ἱερέως τοῦ μεγάλου, νυμφίου τοῦ σαναβαλλὰτ τοῦ ὀρωνίτου, καὶ ἐξέβρασα αὐτὸν ἀπ' ἐμοῦ. μνήσθητι αὐτοῖς ὁ θεὸς ἐπὶ ἀγχιστείᾳ τῆς ἱερατείας, καὶ τοῦ λευίτου. καὶ ἐκαθάρισα αὐτοὺς ἀπὸ πάσης ἀλλοτριώσεως, καὶ ἔστησα ἐφημερίας τοῖς ἱερεῦσι καὶ τοῖς λευίταις, ἀνὴρ ὡς τὸ ὀργον αὐτοῦ, καὶ τὸ ξυλοφόρων ἐν καιροῖς ἀπὸ χρόνων, καὶ ἐν τοῖς βακχουρίοις. μνήσθητί μου ὁ θεὸς ἡμῶν εἰς ἀγαθωσύνῃ.

Τέλος τοῦ Νεεμίου.

α Ἔτους δευτέρου βασιλεύοντος ἀρταξέρξου
β καὶ ἐγρήγορε μετὰ τοὺς λόγους τούτους
γ καὶ ἄνθρωπος ἦν ἰουδαῖος ἐν σούσοις τῇ πόλει, καὶ ὄνομα αὐτῷ μαρδοχαῖος
δ καὶ εἰσῆλθεν ἐσθὴρ πρὸς ἀρταξέρξην τὸν βασιλέα
ε καὶ ἐλυπήθησαν οἱ δύο δυνάσται τοῦ βασιλέως οἱ ἀρχισωματοφύλακοι
ς καὶ μετὰ ταῦτα ἐξήτασεν ὁ βασιλεὺς ἀρταξέρξης ἀμαὰν (ἰουδαῖος ὢν)
ζ καὶ κατέλεξεν αὐτοῖς ὁ μαρδοχαῖος, ὅτι
η καὶ ἐλάλησε πρὸς τὴν βασιλέα ἀρταξέρξην λέγων
θ Βασιλεὺς μέγας ἀρταξέρξης τοῖς ἀπὸ τῆς ἰνδικῆς ἕως τῆς αἰθιοπίας
ι ὁ ὢν μαρδοχαῖος ὑπογνὺς τὸ συντελούμενον
ια καὶ εἰσῆλθον αἱ ἄβραι, καὶ οἱ δύνασται τοῦ βασιλέως, καὶ ἀπήγγειλαν αὐτῷ
ιβ καὶ ἐδήλωσε πρὸς αὐτοὺς ἀρταξέρξης τοὺς δυνάστας αὐτοῦ
ιγ εἰσῆλθεν ὁ ἀρταβαῖος καὶ ἐλάλησεν αὐτῷ
ιδ εἶπε δὲ ἐσθὴρ πρὸς τὸν ἀρταβαῖον
ιε καὶ ἀπήγγειλεν ἀρταβαῖος μαρδοχαίῳ
ις καὶ εἶπε μαρδοχαῖος πρὸς ἀρταβαῖον
ιζ καὶ ἀπέστειλεν ἐσθὴρ τὰ ῥήματα πρὸς αὐτόν
ιη καὶ βασίλισσα μαρδοχαῖος ἐποίησεν ὅσα ἐνετείλατο αὐτῷ ἐσθήρ
ιθ καὶ ἐσθὴρ βασίλισσα κατέφυγεν ὑπὸ τὸν λίνεον
κ καὶ ἐγρύπνει ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ
κα καὶ αὐτὸς ἐκάθητο ὑπὸ τὸν θρόνον
κβ καὶ ἔπεσεν ἡ βασίλισσα
κγ καὶ μετέβαλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς πραΰτητα
κδ καὶ εἶπεν αὐτῷ, εἰδόμενε λύει ὡς ἄγγελον θεοῦ
κε ἐν τῷ διαλέγεσθαι αὐτῷ
κς καὶ εἶπεν ὁ βασιλεύς, τί θέλεις ἐσθὴρ
κζ εἶπε ἡ ἐσθὴρ, ἡμέρα μου ἐπίσημον σήμερον ὅλην
κη καὶ εἶπεν ὁ βασιλεύς, καταπαύσατε ἀμαὰν
κθ καὶ ἐξῆλθεν ἀμαὰν ἀπὸ τοῦ βασιλέως χαίρων
λ καὶ εἶπε πρὸς αὐτὸν ζωσάρα ἡ γυνὴ αὐτοῦ
λα καὶ ἤρισε τὸ ῥῆμα τοῦ ἀμαὰν
λβ ὁ δὲ λύει· ἀπέστησε τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως
λγ ἐν δὲ τοῦ πιυθανέσθαι τὸν βασιλέα πρὸς τὴν δυνοίας τοῦ μαρδοχαίου
λδ εἶπε δὲ ὁ βασιλεὺς τοῦ ἀμαὰν· τί ποιήσω τοῦ ἀνθρώπῳ, ὃν ἐγὼ θέλω δοξάσαι
λε εἶπε δὲ ὁ βασιλεὺς τοῦ ἀμαὰν, καλῶς ἐλάλησας
λς ἔλαβε δὲ ἀμαὰν τὴν στολὴν, καὶ τὸν ἵππον, καὶ ἐστόλισαν τὸν μαρδοχαῖον
λζ ἀμαὰν δὲ ὑπέστρεψεν εἰς τὰ ἴδια
λη ἔτι αὐτῶν λαλούντων
λθ εἶπε δὲ ὁ βασιλεὺς ἐσθὴρ τῇ δευτέρᾳ ἐν τοῦ τόπῳ
μ καὶ ἀκριβῶσα εἶπεν
μα εἶπε δὲ ὁ βασιλεὺς τί οὖν
μβ εἶπε δὲ ἐσθὴρ ἄνθρωπος ἐχθρὸς ἀμαὰν
μγ καὶ ὁ βασιλεὺς ἐξανέστη ἐκ τοῦ συμποσίου εἰς τὸν κῆπον
μδ ἐπέστρεψε δὲ ὁ βασιλεὺς ἀπὸ τοῦ κήπου
με εἶπε δὲ βουγαθὰν, εἷς τῶν εὐνούχων πρὸς τὸν βασιλέα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

με΄ Εἶπε δὲ ὁ Βασιλεὺς, προσθήτω ἐπ' αὐτὸ
μ΄ καὶ εἶπεν ὁ Βασιλεὺς ἐδὼρ τῇ Βασιλίσσῃ
μά Ἐκλήθησαν δὲ οἱ γραμματεῖς, ἐν τῷ πρώτῳ μηνὶ
μβ΄ Βασιλεὺς μέγας ἀρταξέρξης τοῖς ἀπὸ Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας
νΓ΄ Οἱ μὲν ἐν ἵπποις ἀξύλθομ τοῦ δύοντος
νά καὶ εἶπεν ἐδὼρ τῷ Βασιλεῖ δοθήτω τοῖς ἰουδαίοις χρῆσθαι ὡσαύτως, καὶ τῷ αὔριον
νβ΄ Ἔγραψε δὲ ὁ μαρδοχαῖος ταῦτας τοὺς λόγους εἰς τὸ βιβλίον
νγ΄ καὶ ἔγραψεν ἐδὼρ ἡ Βασίλισσα θυγάτηρ Ἀμιναδὰβ
νδ΄ Ἔγραψε δὲ ὁ Βασιλεὺς ὧδε τῆς Βασιλείας τῆς τε γῆς, καὶ τῆς θαλάσσης
νε΄ Ἔτους τετάρτου Βασιλεύοντος πολέμαιος, καὶ Κλεοπάτρας

ΕΣΘΗΡ

Ἔτους δευτέρου Βασιλεύοντος ἀρταξέρξου τοῦ μεγάλου, τῇ μιᾷ τοῦ νισὰν, ἐνύπνιον εἶδε μαρδοχαῖος ὁ τοῦ ἰάϊρ, τοῦ σεμεΐου, τοῦ Κισαίου, ἐκ φυλῆς Βενιαμείν, ἄνθρωπος ἰουδαῖος, οἰκῶν ἐν σούσοις τῇ πόλει, ἄνθρωπος μέγας θεραπεύτης ὢν ἐν τῇ αὐλῇ τοῦ Βασιλέως. ἦν δὲ ἐκ τῆς αἰχμαλωσίας, ἧς ἠχμαλώτευσε ναβουχοδονόσορ ὁ Βασιλεὺς Βαβυλῶνος ἐξ Ἰερουσαλήμ, μετὰ Ἰεχονίου Βασιλέως τῆς Ἰουδαίας. καὶ ἦσαν αὐτοῦ τὸ ἐνύπνιον. Καὶ ἰδοὺ φωνὴ θορύβου, βρονταὶ καὶ σεισμὸς καὶ ταραχὸς ἐπὶ τῆς γῆς. Καὶ ἰδοὺ δύο δράκοντες μεγάλοι, ἕτοιμοι πρόσελθον ἀμφότεροι παλαίειν. καὶ ἐγένετο αὐτῶν φωνὴ μεγάλη, καὶ τῇ φωνῇ αὐτῶν ἡτοιμάσθη πᾶν ἔθνος εἰς πόλεμον, ὥστε πολεμῆσαι δίκαιον ἔθνος. καὶ ἰδοὺ ἡμέρα σκότους καὶ γνόφου, θλῖψις καὶ συνοχορία καὶ διάκωσις, ταραχὸς μέγας ἐπὶ τῆς γῆς, καὶ ἐταράχθη πᾶν ἔθνος δίκαιον, φοβούμενοι τὰ ἑαυτῶν κακά. Καὶ ἡτοιμάσθησαν ἀπολέσθαι, καὶ ἐβόησαν πρὸς τὸν θεόν. ἀπὸ δὲ τῆς βοῆς αὐτῶν ἐγένετο ὡσανεὶ ἀπὸ μικρᾶς πηγῆς ποταμὸς μέγας ὕδωρ πολύ, καὶ φῶς καὶ ὁ ἥλιος ἀνέτειλε, καὶ οἱ ταπεινοὶ ὑψώθησαν, καὶ κατέφαγον τοὺς ἐνδόξους. καὶ διεγερθεὶς μαρδοχαῖος ὁ ἑωρακὼς τὸ ἐνύπνιον τοῦτο, Καὶ ὁ θεὸς βεβούλευται ποιῆσαι, εἶχε τὸ ἐνύπνιον τοῦτο ἐν τῇ καρδίᾳ, καὶ ἐν πᾶσι λόγῳ ἤθελεν ἐπιγνῶναι αὐτὸ ἕως τῆς νυκτός. καὶ ἐνύχασε μαρδοχαῖος ἐν τῇ αὐλῇ μετὰ γαβαθὰ καὶ θάρρα τῶν δύο εὐνούχων τοῦ Βασιλέως, τῶν φυλασσόντων τὴν αὐλήν, ἤκουσέ τε αὐτῶν τοὺς λογισμούς, Καὶ τὰς μερίμνας αὐτῶν ἐζήρευνησεν. καὶ ἔμαθεν, ὅτι ἑτοιμάζουσι τὰς χεῖρας ἐπιβαλεῖν ἀρταξέρξῃ τῷ Βασιλεῖ. καὶ ἐπέστειλε τῷ Βασιλεῖ περὶ αὐτῶν. Καὶ ἐζήτησεν ὁ Βασιλεὺς τοὺς δύο εὐνούχους αὐτοῦ, καὶ ὁμολογήσαντος ἀπῆχθησαν. καὶ ἔγραψεν ὁ Βασιλεὺς τοὺς λόγους τούτους εἰς μνημόσυνον, καὶ μαρδοχαῖος ἔγραψε περὶ τῶν λόγων τούτων. καὶ ἐπέταξεν ὁ Βασιλεὺς μαρδοχαίῳ, θεραπεύειν ἐν τῇ αὐλῇ, καὶ ἔδωκεν αὐτῷ δώματα περὶ τούτου. καὶ ὃν ἀμὰν ἀμαλήκιτην ἐδόξασε Βουγαῖος ἐνδοξος ἐνώπιον τοῦ Βασιλέως, καὶ ἐζήτησε κακοποιῆσαι τὸν μαρδοχαῖον, καὶ τὸν λαὸν αὐτοῦ, ἕνεκεν τῶν δύο εὐνούχων τοῦ Βασιλέως.

ΚΕΦΑΛ. ά. ι.

Καὶ ἐγένετο μετὰ τοὺς λόγους τούτους ἐν ταῖς ἡμέραις ἀρταξέρξου. οὗτος ὁ ἀρταξέρξης ἀπὸ τῆς Ἰνδικῆς ἕως ἑκατὸν εἴκοσι ἑπτὰ χωρῶν ἐβασίλευσεν. ἐν ταύταις ταῖς ἡμέραις, ὅτε ἐνεθρονίσθη Βασιλεὺς ἀρταξέρξης ἐν σούσοις τῇ πόλει, ἐν τῷ τρίτῳ ἔτει Βασιλεύοντος αὐτοῦ, ἐποίησε τοῖς φίλοις καὶ τοῖς λοιποῖς ἔθνεσι, καὶ τοῖς ἀπὸ τῆς Περσῶν καὶ Μήδων ἐνδόξοις, καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν. καὶ μετὰ ταῦτα μετὰ τὸ δεῖξαι αὐτοῖς τὸν πλοῦτον τῆς Βασιλείας αὐτοῦ, καὶ τὴν δόξαν τῆς σφροσύνης αὐτοῦ ἐπὶ ἡμέρας ἑκατὸν ὀγδοήκοντα. ὅτε δὲ ἀνεπληρώθησαν αἱ ἡμέραι τοῦ γάμου, ἐποίησεν ὁ Βασιλεὺς πόσον τοῖς ἔθνεσι τοῖς εὑρεθεῖσιν εἰς τὴν πόλιν ἐπὶ ἡμέρας ἕξ, ἐν αὐλῇ τοῦ οἴκου τοῦ Βασιλέως κεκοσμημένῃ βυσσίνοις καὶ καρπασίνοις ταινίοις ἐπὶ χοινικίοις βυσσίνοις καὶ πορφυροῖς, ἐπὶ κίονας χρυσοῦς καὶ ἀργυροῦς, ἐπὶ σύλους πρίνους καὶ λιβίνους. κλίναι χρυσαῖ καὶ ἀργυραῖ ἐπὶ λιθοστρώτου σμαραγδίτου λίθου, καὶ πίνης, καὶ πρίνου λίθου. καὶ στρωμναὶ διαφανεῖς ποικίλως διηνθισμέναι, κύκλῳ ῥόδα πεπασμένα. ποτήρια χρυσᾶ καὶ ἀργυρᾶ, καὶ αὐθραδικὸν κυλίκιον πολυτελὲς ἀπὸ παλαιστίνης πρισμενείου. οἶνος πολὺς καὶ ἡδύς, ὃν αὐτὸς ὁ Βασιλεὺς ἔπινεν. ὁ δὲ πόσις οὗτος οὐκ ἦν πολυτελὴς νόμον ἐγένετο. οὕτως δὲ ἠθέλησεν ὁ Βασιλεύς, καὶ ἐπέταξε τοῖς οἰκονόμοις ποιῆσαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαι τὸ θέλημα αὐτοῦ, καὶ τὴν ἀνθρώπων. καὶ ἀσίν, ἣ Βασίλισσα ἐποίησε πόσον ταῖς γυναιξὶν ἐν τοῖς Βασιλείοις, ὅτι ὁ Βασιλεὺς ἀρταξέρξης. ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πίνοντος οἴνου μνῶ ὁ Βασιλεὺς, εἶπε τοῖς ἑπτὰ εὐνούχοις, καὶ Βαζαὰ, καὶ Θάρρα, καὶ Βαραζὴ, καὶ Ζαβολθὰ, καὶ Αβαταζὰ, καὶ Θαραβὰ, τοῖς ἑπτὰ εὐνούχοις τοῦ Βασιλέως ἀρταξέρξου, εἰσαγαγεῖν τὴν Βασίλισσαν πρὸς αὐτὸν, Βασιλεύειν αὐτὴν, καὶ περιθεῖναι αὐτῆς τὸ διάδημα, καὶ δεῖξαι αὐτῇ πᾶσι τοῖς ἄρχουσι τοῖς ἔθνεσι τὸ κάλλος αὐτῆς, ὅτι καλὴ ἦν. καὶ ἦλθε βασίλισσα Ἀσίν ἣ Βασίλισσα, ἐλθεῖν μετὰ τῶν εὐνούχων. καὶ ἐλυπήθη ὁ Βασιλεὺς, καὶ ὠργίσθη, καὶ εἶπε τοῖς Φίλοις ἑαυτοῦ· ἦ τοῦτο ἐλάλησεν Ἀσίν. ποιήσατε οὖν περὶ τότε νόμον καὶ κρίσιν. καὶ προσῆλθον αὐτῷ ἀρκεσάτου, καὶ σαρσωθαῖος, καὶ μαλησέαρ, οἱ ἄρχοντες Περσῶν καὶ Μήδων, οἱ ἔγγυς τοῦ Βασιλέως, οἱ πρώτοι καθημένοι τοῦ Βασιλέως, καὶ ἀπήγγελλαν αὐτῷ ἦ τὸν νόμον, ὡς δεῖ ποιῆσαι Ἀσίν τὴν Βασίλισσαν, ὅτι οὐκ ἐποίησε τὸ ῥῆμα τοῦ Βασιλέως προσαχθὲν διὰ τῶν εὐνούχων. καὶ εἶπεν ὁ μαχαῦς πρὸς τὸν Βασιλέα, καὶ πρὸς τοὺς ἄρχοντας· οὐ τὸν Βασιλέα μόνον ἠδίκησεν Ἀσίν ἣ Βασίλισσα, ἀλλὰ καὶ πάντας τοὺς ἄρχοντας, καὶ τοὺς ὑπερόχους τοῦ Βασιλέως. καὶ γὰρ διηγήσατο αὐτοῖς τὰ ῥήματα τῆς Βασιλίσσης, καὶ ὡς αὐτεῖπεν τοῦ Βασιλέως. ὡς ἂν αὐτείπῃ τῷ Βασιλεῖ ἀρταξέρξῃ, οὕτως σήμερον αἱ τυραννίδες αἱ λοιπαὶ τῶν ἀρχόντων πέρσαν καὶ μήδων, ἀκούσασαι τὸ ῥῆμα τοῦ Βασιλέως λεχθὲν ὑπ' αὐτῆς, τολμήσουσιν ὁμοίως ἀτιμάσαι τοὺς ἄνδρας αὐτῶν. εἰ οὖν δοκεῖ τῷ Βασιλεῖ, πρόσταξάτω Βασιλικὸν, καὶ γραφήτω ἦ τοὺς νόμους μήδων καὶ περσῶν· καὶ μὴ ἄλλως χρησάσθω, μὴ ἦ εἰσελθέτω ἔτι ἡ Βασίλισσα πρὸς αὐτὸν, καὶ τὴν Βασιλείαν αὐτῆς δότω ὁ Βασιλεὺς γυναικὶ κρείττονι αὐτῆς. καὶ ἀκουσθήτω ὁ νόμος ὁ ὑπὸ τοῦ Βασιλέως, ὃν ἐὰν ποιῇ ἐν τῇ Βασιλείᾳ αὐτοῦ. καὶ ὅτως πᾶσαι αἱ γυναῖκες πολυτιμήσουσι τιμὴν τοῖς ἀνδράσιν ἑαυτῶν, ἀπὸ πλουσίου ἕως πλησίον. καὶ ἤρεσεν ὁ λόγος τοῦ Βασιλέως, καὶ τοῖς ἄρχουσι. καὶ ἐποίησεν ὁ Βασιλεὺς καθὰ ἐλάλησεν ὁ μαχαῦς, καὶ ἀπέστειλεν εἰς πᾶσαν τὴν Βασιλείαν ἦ χώραν, ἦ τὴν λέξιν αὐτῶν, ὥστε εἶναι φόβον αὐτοῖς ἐν ταῖς οἰκίαις αὐτῶν.

ΚΕΦΑΛ. ϛ'. 2.

ΚΑὶ μετὰ τοὺς λόγους τούτους ἐκόπασεν ὁ Βασιλεὺς τὸ θυμῷ, καὶ οὐκ ἔτι ἐμνήσθη τῆς Ἀσίν μνημονεύων ὅσα ἐλάλησε, καὶ ὡς κατέκρινεν αὐτὴν, καὶ ἔπεμπον οἱ διάκονοι τοῦ Βασιλέως· ζητηθήτω τῷ Βασιλεῖ κοράσια ἀφθορᾶ, καλὰ τῷ εἴδει. καὶ καταστήσει ὁ Βασιλεὺς ἐπιμελητὰς ἐν πάσαις ταῖς χώραις τῆς Βασιλείας αὐτοῦ, καὶ ἀπολεξάτωσαν κοράσια παρθένα καλὰ τῷ εἴδει εἰς σοῦσαν τὴν πόλιν εἰς τὸ γυναικῶνα, καὶ παραδοθήτω ἐν χερὶ τοῦ εὐνούχου τοῦ Βασιλέως τοῦ φύλακι τῶν γυναικῶν. καὶ δοθήτω σκεύασμα, καὶ ἡ λοιπὴ ὡραιότης. καὶ ἡ γυνὴ ἣ ἂν ἀρέσκῃ τῷ Βασιλεῖ, Βασιλεύσει ἀντὶ Ἀσίν. καὶ ἤρεσε τοῦ Βασιλεῖ τὸ πρᾶγμα, καὶ ἐποίησεν οὕτως.

γ' Καὶ ἄνθρωπος ἦν ἰουδαῖος ἐν σούσοις τῇ πόλει, καὶ ὄνομα αὐτῷ μαρδοχαῖος ὁ τοῦ εἴρου, τοῦ σεμεϊ, τοῦ ἰσαΐου, ἐκ φυλῆς βενιαμίν, ὃς ἦν ἀχμαλωτος ἐξ ἱερουσαλήμ, ἦν ἀχμαλώτευσε ναβαχοδονόσορ ὁ Βασιλεὺς βαβυλῶνος. καὶ ἦν τοῦτο παῖς θρεπτὴ, θυγάτηρ ἀμιναδὰβ ἀδελφὸς πατρὸς αὐτοῦ, καὶ ὄνομα αὐτῇ ἐδνήρ. ἐν δὲ τῷ μεταλλάξαι αὐτῆς τοὺς γονεῖς, ἐπαιδεύσατο αὐτὴν ἑαυτῷ εἰς γυναῖκα. καὶ ἦν τὸ κοράσιον καλὸν τῷ εἴδει. καὶ ὅτε ἠκούσθη τὸ τοῦ Βασιλέως πρόσταγμα, συνήχθησαν πολλὰ κοράσια εἰς σοῦσαν τὴν πόλιν ὑπὸ χεῖρα, καὶ ἦλθε ἐδνὴρ πρὸς καὶ τὴν φύλακα τῶν γυναικῶν, καὶ ἤρεσεν αὐτῷ τὸ κοράσιον, καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ. καὶ ἐπέσπευσεν δοῦναι αὐτῇ τὸ σκεύασμα, καὶ τὰ μερίδια, καὶ τὰ ἑπτὰ κοράσια τὰ ἀπολειφθεισῶν αὐτῇ ἐκ Βασιλικοῦ. καὶ ἐτήρησεν αὐτὴν καλῶς, καὶ ταῖς ἅβραις αὐτῆς ἐν τῷ γυναικῶνι. καὶ οὐχ ὑπέδειξεν ἐδνὴρ τὸ γένος αὐτῆς, οὐδὲ τὴν πατρίδα. ὁ γὰρ μαρδοχαῖος ἐνετείλατο αὐτῇ, μὴ ἀναγγεῖλαι. καθ' ἑκάστην δὲ ἡμέραν περιπατεῖ ὁ μαρδοχαῖος ἦ τὴν αὐλὴν τὴν γυναικείαν, ὥστε σκοπῶν τὴ ἐδνὴρ συμβήσεται. οὕτως γὰρ ἦν καιρὸς κορασίου εἰσελθεῖν πρὸς τὸν Βασιλέα, ὅταν ἀναπληρώσῃ μῆνας δεκαδύο. ὅτως γὰρ ἀναπληροῦνται αἱ ἡμέραι τῆς θεραπείας. μῆνας ἓξ ἐν τοῖς ἀρώμασι καὶ ἐν τοῖς σμύγμασι τῶν γυναικῶν, καὶ μῆνας ἓξ ἀλειφομένων μυρίνῳ ἐλαίῳ, καὶ τότε εἰσπορεύονται πρὸς τὸν Βασιλέα. καὶ ᾧ ἐὰν εἴπῃ πρασθῆναι αὐτῷ συνεισέρχεται αὐτῷ ἀπὸ τοῦ γυναικῶνος ἕως τῶν Βασιλέων, δεῖπνος εἰσπορεύεται, καὶ πρὸς ἡμέραν ἀφ' ἧς εἰσῆλθεν ἐν τῷ γυναικῶνι ἐν δευτέρῳ, ὃ καὶ ὁ εὐνοῦχος τοῦ Βασιλέως ὁ φύλαξ τῶν γυναικῶν, καὶ οὐκ ἔτι εἰσπορεύεται πρὸς τὸν Βασιλέα, ἐὰν μὴ κληθῇ ὀνόματι. ἐν δὲ τῷ ἀναπληροῦσθαι τὸν χρόνον ἐδνὴρ τὸν θυγατρὸς ἀμιναδὰβ ἀδελφὸς πατρὸς μαρδοχαίου, εἰσελθεῖν εἰς τὸν Βασιλέα, οὐδὲν ἠθέτησεν ὧν ἐνετείλατο αὐτῇ ὁ εὐνοῦχος ὁ φύλαξ τῶν γυναικῶν. καὶ γὰρ ἐδνὴρ εὑρίσκετο χάριν παρὰ πάντων τῶν βλεπόντων αὐτήν.

δ' Καὶ εἰσῆλθεν ἐδνὴρ πρὸς ἀρταξέρξην τὸν Βασιλέα τῷ μηνὶ τῷ δεκάτῳ μιᾷ, ὅς ἐστιν ἄδαρ, τῷ ἑβδόμῳ ἔτει τῆς Βασιλείας αὐτοῦ. καὶ ἠγαπήθη ὁ Βασιλεὺς ἐδνὴρ, καὶ εὗρε χάριν παρὰ πάσας τὰς παρθένους. καὶ ἐπέθηκεν αὐτῇ τὸ διάδημα τὸ γυναικεῖον. καὶ ἐποίησεν ὁ Βασιλεὺς πότον μεγάλον πᾶσι τοῖς Φίλοις αὐτοῦ, καὶ ταῖς ἀφαιρέσεσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὧν ἡμέρας ἑπτὰ, καὶ ὕψωσε τὸν γάμον ἐνδηλ, καὶ ἄφεσιν ἐποίησε τοῖς ὑπὸ τὴν βασιλείαν αὐτοῦ. ὁ δὲ μαρδοχαῖος ἐθορύβησεν ἐν τῇ αὐλῇ. ἡ δὲ ἐσθὴρ οὐχ ὑπέδειξε τὴν πατρίδα αὐτῆς. ὅτως γὰρ ἐνετείλατο αὐτῇ μαρδοχαῖος, φοβεῖσθαι τὸν θεὸν, καὶ ποιεῖν τὰ πρόσταγματα αὐτοῦ, καθὼς ἦν μετ' αὐτοῦ, καὶ ἐσθὴρ οὐ μετέλλαξε τὴν ἀγωγὴν αὐτῆς.

ε Καὶ ἐλυπήθησαν οἱ δύο εὐνοῦχοι τοῦ βασιλέως, οἱ ἀρχισωματοφύλακοι, ὅτι προσῆλθε μαρδοχαῖος, καὶ ἐζήτουν ἀρκτέον εἶναι ἀπειλεῖν τὸν βασιλέα. καὶ ἐδηλώθη μαρδοχαίῳ ὁ λόγος, καὶ ἐσήμανεν ἐσθὴρ, καὶ αὐτὴ ἐνεφάνισε τῷ βασιλεῖ τὰ ἐν ὕπνοις. ὁ δὲ βασιλεὺς ἤτασε τοὺς δύο εὐνούχους, καὶ ἐκρέμασεν αὐτούς. καὶ ἐπέταξεν ὁ βασιλεὺς διαταχωρίσαι εἰς μνημόσυνον ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ, ὡσεὶ ἐν ὑπνοις μαρδοχαίε ἐν ἐγκωμίῳ.

ς΄ ΚΕΦΑΛ. γ. 3.

Μετὰ ταῦτα ἐδόξασεν ὁ βασιλεὺς ἀρταξέρξης ἀμὰν ἀμαδαθὰ βουγαῖον, καὶ ὕψωσεν αὐτὸν, καὶ ἐπρωτοβάθρει πάντων τῶν φίλων αὐτοῦ, καὶ πάντων οἱ ἐν τῇ αὐλῇ προσεκύνουν αὐτῷ. οὕτως γὰρ προσέταξεν ὁ βασιλεὺς ποιῆσαι. ὁ δὲ μαρδοχαῖος ὐ προσεκύνει αὐτῷ. καὶ ἐλάλησαν οἱ ἐν τῇ αὐλῇ τοῦ βασιλέως μαρδοχαίῳ· μαρδοχαῖε τί παρακούεις τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα; καθ' ἑκάστην ἡμέραν ἐλάλουν αὐτῷ, καὶ οὐχ ὑπήκουεν αὐτῶν. καὶ ὑπέδειξαν τῷ ἀμὰν, μαρδοχαῖον τοῖς τοῦ βασιλέως λόγοις αὐτιπαρατεινόμενον, καὶ ὑπεδείξεν αὐτοῖς ὁ μαρδοχαῖος ὅτι ἰουδαῖός ἐστι.

ζ Καὶ ἰδὼν ὁ ἀμὰν ὅτι οὐ προσκυνεῖ αὐτῷ μαρδοχαῖος, ἐθυμώθη σφόδρα, καὶ ἐβουλεύσατο ἀφανίσαι πάντας τοὺς ὑπὸ τὴν ἀρταξέρξου βασιλείαν ἰουδαίους. καὶ ἐποίησε ψήφισμα ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας ἀρταξέρξου, καὶ ἔβαλε λαχεῖν ἡμέραν ἐξ ἡμέρας, καὶ μῆνα ἐκ μηνός, ὥστε ἀπολέσαι ἐν μιᾷ ἡμέρᾳ τὸ γένος μαρδοχαίου. καὶ ἔπεσεν ὁ λαχὼν εἰς τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνός, ὅς ἐστιν ἀδάρ.

η Καὶ ἐλάλησε πρὸς τὸν βασιλέα ἀρταξέρξην λέγων· ὑπάρχει ἔθνος διεσπαρμένον ἐν τοῖς ἔθνεσιν ἐν πάσῃ τῇ βασιλείᾳ σου, οἱ δὲ νόμοι αὐτῶν ἐξαλλοι παρὰ πάντα τὰ ἔθνη, τῶν δὲ νόμων τοῦ βασιλέως παρακούσι. καὶ οὐ συμφέρει τῷ βασιλεῖ ἐᾶσαι αὐτούς. εἰ δοκεῖ τῷ βασιλεῖ, δογματισάσθω ἀφανίσαι αὐτούς. ἐγὼ διαγράψω εἰς τὸ γαζοφυλάκιον τοῦ βασιλέως, ἀργυρίου τάλαντα μύρια. καὶ περιελόμενος ὁ βασιλεὺς τὸ δακτύλιον, ἔδωκεν εἰς χεῖρας τῷ ἀμὰν, σφραγίσαι ἐπὶ τὸ γεγραμμένον ἐπὶ τῶν ἰουδαίων. καὶ εἶπεν ὁ βασιλεὺς τῷ ἀμάν· τὸ μὲν ἀργύριον ἔχε, τῷ δὲ ἔθνει χρῶ ὡς θέλεις. καὶ ἐκλήθησαν οἱ γραμματεῖς τοῦ βασιλέως μηνὶ πρώτῳ τῇ τρισκαιδεκάτῃ, καὶ ἐγράφη ὡς ἐπέταξεν ἀμὰν τοῖς στρατηγοῖς καὶ τοῖς ἄρχουσι τῶν ἑκατὸν εἴκοσι ἑπτὰ χωρῶν ἀπὸ ἰνδικῆς ἕως αἰθιοπίας, ταῖς ἑκατὸν εἴκοσι ἑπτὰ χώραις, τοῖς ἄρχουσι τῶν ἐθνῶν κατὰ τὴν αὐτῶν λέξιν, ὡς ἀρταξέρξης τοῦ βασιλεύς. καὶ ἀπεστάλη διὰ βιβλιογράφων εἰς τὸν ἀρταξέρξου βασιλείαν, ἀφανίσαι τὸ γένος τῶν ἰουδαίων ἐν ἡμέρᾳ μιᾷ μηνὸς δωδεκάτου ὃς ἐστιν ἄδαρ, καὶ διαρπάσαι τὰ ὑπάρχοντα αὐτῶν.

θ Τῆς δὲ ἐπιστολῆς ἐστὶ τὸ ἀντίγραφον τόδε· Βασιλεὺς μέγας ἀρταξέρξης τοῖς ἀπὸ τῆς ἰνδικῆς ἕως αἰθιοπίας ἑκατὸν εἴκοσι ἑπτὰ χωρῶν ἄρχουσι, καὶ πιστεύουσιν ὑπάρχειν ταῦτα γράφει· πολλῶν ἐπάρξας ἐθνῶν, καὶ πάσης ἐπικρατήσας οἰκουμένης, ἐβουλήθην μὴ τῷ θράσει τῆς ἐξουσίας ἐπαιρόμενος, ἐπιεικέστερον δὲ καὶ μετὰ ἐπιστήμης ἀεὶ διεξάγων τοὺς ὑπηκόους ἀκυμάντους διαπαντὸς διατελέσαι βίους, τήν τε βασιλείαν ἥρεμον, καὶ πορευτὴν μέχρι πόρρω παρεξέμενος, ἀνανεώσασθαί τε τὴν ποθουμένην τοῖς πᾶσιν ἀνθρώποις εἰρήνην. ποθουμένου δέ μου τῶν συμβούλων, ὡς ἂν ἀχθείη τοῦτο ὑπὸ πολλῶν, ἡ σωφροσύνη παρ' ἡμῖν διατρέψας, καὶ ἐν τῇ δυνοίᾳ ἀπρόσκλητος, καὶ βεβαίᾳ πίστει ἀποδεδειγμένος, ἐν διδύτοις τῶν βασιλειῶν γέρας ἀπηνεγκεν ἀμὰν ἐπεδείξεν ἡμῖν, ἐν πάσαις ταῖς ἐν τῇ οἰκουμένῃ φυλαῖς ἀπομεμίχθαι δυσμενῆ λαόν τινα, τοῖς νόμοις ἀντίθετον πᾶσι πᾶν ἔθνος, τά τε τῶν βασιλέων παραπέμποντας διὰ πικρῶν διατάγματα, πόσῳ μὴ διαπίπτειν τῶν ἐφ' ὑμῶν διατεθυμουμένων ἀμέμπτως συναρχίαν. διὰ ληφόδου δὲ τόδε τὸ ἔθνος μονώτατον, ἐναντία παραγωγῇ παντὶ διαπαντὸς ἀνθρώπῳ χρώμενον, διαγωγὴν νόμων ξενίζοσαν, πρὸς πάντας δυσνοοῦν τοῖς ἡμετέροις πράγμασι τὰ χείρισα συντελοῦν διακαῶς, καὶ πόσῳ τὸ μὴ τῶν βασιλέων δυσαθείας τυγχάνειν. πόσα τε κάγὼν ἐν οἷς σημαινομένους ὑμῖν ἐν τοῖς γεγραμμένοις ὑπὸ ἀμὰν τοῦ τεταγμένου ἐπὶ τῶν πραγμάτων, ὃς διδύτος πατρὸς ἡμῶν, πάντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολέσθαι ὁλοριζεί, ταῖς τῶν ἐχθρῶν μαχαίραις ἀνδυπαντὸς οἴκτου καὶ φειδοῦς, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἄδαρ, τοῦ αὐτοῦ ἔτους, ὅπως οἱ πάλαι καὶ νῦν δυσμενεῖς ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς τὸν ἅδην διατελθόντες, εἰς τὸν μετέπειτα χρόνον εὐσταθῆ καὶ ἀτάραχα παρέχωσιν ἡμῖν διὰ τέλους τὰ πράγματα. τάδε αὐτίγραφα τοῦ ἐπιστολῶν ἐκτίθεσθαι ἐν πάσῃ χώρᾳ, καὶ πᾶσι τάγα πᾶσιν ἑτοίμους εἶναι εἰς τὴν ἡμέραν ταύτην. ἐπισπεύδεσθαι δὲ τὸ πρᾶγμα καὶ εἰς σπουδήν. ὁ δὲ βασιλεὺς καὶ ἀμὰν ἐκωθωνίζοντο, ἐταράσσετο δὲ ἡ πόλις.

ΚΕΦΑΛ.

ι ΚΕΦΑΛ. ιδ'. 4.

Ὁ δὲ μαρδοχαῖος ὠλγυνὸς τὸ σώπελόμενον, διερρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνεδύσατο σάκκον, καὶ κατεπάσατο τεφρὸν, καὶ ἐκπηδήσας ἀπὸ τῆς πλατείας τῆς πόλεως ἐβόα φωνῇ μεγάλῃ πικρᾷ ἕως τῆς πύλης τοῦ βασιλέως, καὶ ἔστη. οὐ γὰρ ἦν αὐτῷ ἐξουσία εἰσελθεῖν εἰς τὴν αὐλὴν, σάκκον ἔχοντα καὶ τεφρόν. καὶ ἐν πάσῃ χώρᾳ οὗ ἐγγίζουσι τὰ γράμματα, κραυγὴ καὶ κοπετὸς καὶ θρῆνος μέγας τοῖς ἰουδαίοις, σάκκον καὶ τεφρὸν ἔστρωσαν ἑαυτοῖς.

ια Καὶ εἰσῆλθον αἱ ἄβραι, καὶ οἱ εὐνοῦχοι τῆς βασιλίσσης, καὶ ἀνήγγειλαν αὐτῇ. καὶ ἐταράχθη ἀκούσασα τὸ γεγονός. καὶ ἀπέστειλε σολίσασα τὸν μαρδοχαῖον, καὶ ἀφελέσθαι αὐτοῦ τὸν σάκκον. ὁ δὲ οὐκ ἐπείθη.

ιβ Καὶ ἡδὲ ἐδίδου προσκαλέσασθαι ἄγραθαῖον τὸν εὐνοῦχον αὐτῆς, ὃς παρειστήκει αὐτῇ, καὶ ἀπέστειλε μαθεῖν αὐτὴν παρὰ τοῦ μαρδοχαίου τὸ ἀκριβές. ὁ δὲ μαρδοχαῖος ἀπήγγειλεν αὐτῷ τὸ γεγονὸς, καὶ τὴν ἐπαγγελίαν ὧν ἐπηγγείλατο ἀργυρίου τῷ βασιλεῖ εἰς τὸν γαζοφυλάκιον μυρίων, ἵνα ἀπολέσῃ οὖν ἰουδαίους. καὶ τὸ ἀντίγραφον τῆς ἐν σούσοις ἐκτεθὲν ἀπὸ τοῦ ἀπολέσαι αὐτοὺς, ἔδωκεν αὐτῷ δοῦναι τῇ ἐσθὴρ. καὶ εἶπεν αὐτῷ, ἐντέλασθαι αὐτῇ εἰσελθούσῃ παρατήσασθαι τὸν βασιλέα, καὶ αἰτῆσαι αὐτὸν περὶ τοῦ λαοῦ, μνησθεῖσα ἡμερῶν ταπεινώσεώς σου, ὡς ἐτράφης ἐν χειρί μου, διότι ἀμὰν ὁ δευτερεύων τῷ βασιλεῖ ἐλάλησε κατ' ἡμῶν εἰς θανατον. ἐπικάλεσαι τὸν κύριον, καὶ λάλησον τῷ βασιλεῖ περὶ ἡμῶν, καὶ ῥῦσαι ἡμᾶς ἐκ θανάτου.

ιγ Εἰσελθὼν ὁ ἀγραθαῖος, ἐλάλησεν ἐδίδου πάντας τοὺς λόγους τούτους.

ιδ Καὶ εἶπεν ἐδίδου πρὸς ἀγραθαῖον· πορεύθητι πρὸς μαρδοχαῖον, καὶ εἰπὸν, ὅτι ἔθνη πάντα τῆς βασιλείας γινώσκει, ὅτι πᾶς ἄνθρωπος ἢ γυνὴ ὃς εἰσελεύσεται πρὸς τὸν βασιλέα εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν ἄκλητος, ὀκτὼ εἰσὶν αὐτῷ σωτηρία. πλὴν ᾧ ἐὰν ἐκτείνῃ ὁ βασιλεὺς τὴν χρυσῆν ῥάβδον, οὗτος σωθήσεται. ἐγὼ οὐ κέκλημαι εἰσελθεῖν πρὸς τὸν βασιλέα εἰσὶν αὗται ἡμέραι τριάκοντα.

ιε Καὶ ἀπήγγειλεν ἀγραθαῖος μαρδοχαίῳ πάντας τοὺς λόγους ἐδίδου.

ιϛ Καὶ εἶπε μαρδοχαῖος πρὸς ἀγραθαῖον· πορεύθητι, καὶ εἰπὸν αὐτῇ ἐδίδου. μὴ εἴπῃς σεαυτῇ, ὅτι σωθήσῃ μόνη ἐν τῇ βασιλείᾳ παρὰ πάντας τοὺς ἰουδαίους. ὡς ὅτι ἐὰν σιωπήσῃς ἐν τούτῳ τῷ καιρῷ, ἀλλαχόθεν βοήθεια καὶ σκέπη ἔσαι τοῖς ἰουδαίοις. σὺ δέ, καὶ ὁ οἶκος τοῦ πατρός σου ἀπολεῖσθε. καὶ τίς οἶδεν, εἰ εἰς τὸν καιρὸν τοῦτον ἐβασίλευσας;

ιζ Καὶ ἔλαβεν ἐδίδου τὸν πόνον πρὸς αὐτὸν, πρὸς μαρδοχαῖον λέγουσα· βασίλισσα ἐκκλησίαζον τοὺς ἰουδαίους τοὺς ἐν Σούσοις, καὶ νηστεύσατε ἐπ' ἐμοί. μὴ μὴ φάγητε, μηδὲ πίητε, ὡσεὶ ἡμέρας τρεῖς, καὶ νύκτα καὶ ἡμέραν. κἀγὼ καὶ αἱ ἄβραί μου ἀσιτίσομεν. καὶ τότε εἰσελεύσομαι πρὸς τὸν βασιλέα παρὰ τὸν νόμον, ἐὰν καὶ ἀπολέσθαι με δέῃ.

ιη Καὶ βασίλισσα μαρδοχαῖος, ἐποίησεν ὅσα ἐνετείλατο αὐτῷ ἐδίδου. καὶ ἐδεήθη κυρίου, μνησθεὶς πάντων τῶν ἔργων κυρίου. καὶ εἶπε· κύριε κύριε βασιλεὺς παντοκράτωρ, ὅτι σὺ εἶ πάντων τῶν ὄντων, καὶ οὐκ ἔστιν ὁ αὐτοῦ ἀντιποιούμενος, σὺ γὰρ θέλειν σε σῶσαι τὸν ἰσραήλ. ὅτι σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν θαυμαζόμενον ὑπὸ τὸν οὐρανόν. καὶ κύριος εἶ πάντων, καὶ οὐκ ἔστιν ὃς αὐτιπάξεταί σοι τῷ κυρίῳ. σὺ πάντα γινώσκεις. σὺ οἶδας κύριε, ὅτι οὐκ ἐν ὕβρει, οὐδὲ ἐν ὑπερηφανίᾳ, οὐδὲ ἐν φιλοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσκυνεῖν τὸν ὑπερήφανον ἀμάν· ὅτι ἠυδόκουν φιλεῖν πέλματα ποδῶν αὐτοῦ πρὸς σωτηρίαν ἰσραήλ. ἀλλ' ἐποίησα τοῦτο, ἵνα μὴ θῶ δόξαν ἀνθρώπου ὑπὲρ ἄνω δόξης θεοῦ. καὶ οὐ προσκυνήσω εἴδωλον, πλὴν σοῦ τοῦ κυρίου μου, καὶ οὐ ποιήσω αὐτὰ ἐν ὑπερηφανίᾳ. καὶ νῦν κύριε ὁ θεὸς, ὁ βασιλεὺς φείσαι τοῦ λαοῦ σου, ὅτι ὠδικήκασιν ἡμῖν εἰς καταφθοράν, καὶ ἐπεθύμησαν ἀφελέσαι τὴν ἀρχῆς κληρονομίαν σου. μὴ ὑπερίδῃς τὴν μερίδα σου, ἣν σεαυτῷ ἐλυτρώσω ἐκ γῆς αἰγύπτου. ἐπάκουσον τῆς δεήσεώς μου, καὶ ἱλάσθητι τῇ κληρονομίᾳ σου. στρέψον τὸν θρῆνον ἡμῶν εἰς εὐφροσύνην, ἵνα ζῶντες ὑμνήσωμεν τὸ ὄνομα κύριε, καὶ μὴ ἀφανίσῃς στόμα αἰνούντων σε κύριε.

ιθ Καὶ πᾶς ἰσραὴλ ἐπεκραξεν ἐξ ἰσχύος αὐτῶν, ὅτι θάνατος ἐν ὀφθαλμοῖς αὐτῶν. καὶ ἐδεήθη ἡ βασίλισσα καταφυγὴν ὑπὲρ τοῦ κυρίου ἐν ἀγῶνι θανάτου κατειλημμένη, καὶ ἀφελομένη τὰ ἱμάτια τῆς δόξης αὐτῆς, ἐνεδύσατο ἱμάτια στενοχωρείας καὶ θρήνου, καὶ αὐτὶ τῶν ὑπερηφάνων μύρων πολυτίμων σποδοῦ καὶ κοπρίων ἐνέπλησε τὴν κεφαλὴν αὐτῆς, καὶ τὸ σῶμα αὐτῆς ἐταπείνωσε σφόδρα, καὶ πάντα τόπον ἀγαλλιάματος αὐτῆς ἔπλησε θρηνῶν τριχῶν αὐτῆς. καὶ ἐδεήθη κυρίου θεοῦ ἰσραήλ, καὶ εἶπεν· κύριε μου, ὁ βασιλεὺς ἡμῶν σὺ εἶ μόνος, βοήθησόν μοι τῇ μόνῃ, καὶ μὴ ἐχούσῃ βοηθὸν εἰμή σε, ὅτι κίνδυνός μου ἐν χειρί μου. ἐγὼ ἤκουσα ἐκ γενετῆς μου ἐν φυλῇ πατριᾶς μου, ὅτι σὺ κύριε ἔλαβες τὸν ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν, καὶ τοὺς πατέρας ἡμῶν ἐκ πάντων τῶν προγόνων αὐτῶν εἰς κληρονομίαν αἰώνιον, καὶ ἐποίησας αὐτοῖς ὅσα ἐλάλησας. καὶ νῦν ἡμάρτομεν ἐνώπιόν σου, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, ἀνθ' ὧν ἐδοξάσαμεν τοὺς θεοὺς αὐτῶν. δίκαιος εἶ κύριε, καὶ νῦν οὐχ ἱκανοῦσθαι ἐν πικρασμῷ δουλείας ἡμῶν, ἀλλ' ἔθηκας τὰς χεῖρας αὐτῶν ἐν ταῖς χερσὶ τῶν

εἰδώλων

ἐλλώλωμ αὐτῶν, ἀζάρια ὁεσμὸν σώματός σε, καὶ ἀφανίσαι κληρονομίαν σε, καὶ ἐμφράξαι σώμα αἰνοιώτων σε. καὶ σβέσαι λόξαν οἴκου σου καὶ θυσιαστηρίου σου, καὶ ἀνοίξαι σώμα ἐθνῶν εἰς ἀρετὰς μαστίωμ, καὶ θαυμαδιῶαι βασιλέα σάρκινον εἰς αἰῶνα. μὴ παραδῶς κύριε τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσι, καὶ μὴ καταγελασάτωσαν γὰρ τῆ πτώσει ἡμῶν, ἀλλὰ στρέψον τὴν βουλὴν αὐτῶν ἐπ' αὐτούς. τὸν δὲ ἀρξάμενον ἐφ' ἡμᾶς παράδειγμά ποιον. μνήσθητι κύριε. γνώθητι γὰρ καιρῷ θλίψεως ἡμῶν, κἀγὼ ἐμὲ θάρσυνον βασιλεῦ τῶν θεῶν, καὶ πάσης ἀρχῆς κυριεύων. δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου ἐνώπιον τοῦ λέοντος, καὶ μεταθὲς τὴν καρδίαν αὐτοῦ εἰς μῖσος τοῦ πολεμοῦντος ἡμᾶς, εἰς συντέλειαν αὐτοῦ καὶ τῶν ὁμονοούντων αὐτῷ· ἡμᾶς δὲ ῥῦσαι ἐν χειρί σου, καὶ βοήθησόν μοι τῇ μόνῃ, καὶ μὴ ἐχόντι εἰ μὴ σὲ κύριε. σὺ πάντων γνῶσιν ἔχεις, καὶ οἶδας ὅτι ἐμίσησα δόξαν ἀνόμων, καὶ βδελύσσομαι λοιτὸν ἀπροσπέτων, καὶ παντὸς ἀλλοτρίου. σὺ οἶδας τὴν ἀνάγκην μου, ὅτι βδελύσσομαι τὸ σημεῖον τῆς ὑπερηφανίας μου, ὃ ὄντι ἐπὶ τῆς κεφαλῆς μου ἡμέρας ὀπτασίας μου. βδελύσσομαι αὐτὸ ὡς ῥάκκον καταμηνίου, καὶ οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡσυχίας μου. καὶ οὐκ ἔφαγον ἐν δούλῃ σου τραπέζαν ἁμάν, καὶ οὐκ ἐδόξασα συμπόσιον βασιλέως, οὐδὲ ἔπιον οἶνον σπονδῶν, καὶ οὐκ ἐφράνθη ἡ δούλη σου ἐφ' ἡμέρας μεταβολῆς μου μέχρι τοῦ νῦν, πλὴν ἐπὶ σοί κύριε ὁ θεὸς Ἀβραάμ. ὁ θεὸς ὁ ἰσχύων ἐπὶ πάντας, εἰσάκουσον φωνῆ ἀπηλπισμένων, καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πονηρευομένων, καὶ ῥῦσαί με ἐκ τοῦ φόβου μου.

κ ΚΕΦΑΛ. ε. 5.

ΚΑὶ ἐγένετο, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ὡς ἐπαύσατο προσευχομένη, ἐξεδύσατο τὰ ἱμάτια τῆς θεραπείας, καὶ περιεβάλλετο τὴν δόξαν αὐτῆς. καὶ γενηθεῖσα ἐπιφανὴς, ἐπικαλεσαμένη τὸν πάντων ἐπόπτην θεὸν καὶ σωτῆρα, παρέλαβε τὰς δύο ἅβρας. καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο ὡς τρυφερευομένη, ἡ δὲ ἑτέρα ἐπηκολούθει βαστάζουσα τὴν ἐνδυσιν αὐτῆς. καὶ αὐτὴ ἐρυθριῶσα ἐπὶ τῇ καλλονῇ αὐτῆς, καὶ τὸ πρόσωπον αὐτῆς ἱλαρὸν, ὡς πρόσφιλες. ἡ δὲ καρδία αὐτῆς ἀπεστενωμένη ἦν ὑπὸ φόβου. καὶ εἰσελθοῦσα πύλας τὰς θύρας, καὶ καθέστη ἐνώπιον τοῦ βασιλέως.

κά Καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ πᾶσαν στολὴν τῆς ὡραιότητος αὐτοῦ ἐνεδεδύκει, ὅλος σὺν χρυσῷ καὶ λίθῳ πολυτελῶν, καὶ ἦν φοβερὸς σφόδρα. καὶ ἄρας τὸ πρόσωπον αὐτοῦ πεπυρωμένον δόξῃ, ἐν ἀκμῇ θυμοῦ ἔβλεψεν.

κβ Καὶ ἔπεσε ἡ βασίλισσα, καὶ μετέβαλε τὸ χρῶμα αὐτῆς ἐν ἐκλύσει, καὶ κατέκυψεν ἐπὶ τὴν κεφαλὴν τῆς προδρομένης.

κγ Καὶ μετέβαλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς πραότητα, καὶ ἀγωνιάσας ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ ἀνέβαλεν αὐτὴν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ μέχρις οὗ ἀνέστη, καὶ παρεκάλει αὐτὴν λόγοις εἰρηνικοῖς, καὶ εἶπεν αὐτῇ· τί ἔστιν ἐδήρ. ἐγὼ ὁ ἀδελφός σου, θάρσει, οὐ μὴ ἀποθάνῃς, ὅτι κοινὸν τὸ πρόσταγμα ἡμῶν ἐστίν· προσέλθε. καὶ ἄρας τὸν χρυσοῦν ῥάβδον ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς, καὶ ἐπεράσατο αὐτὴν, καὶ εἶπε· λάλησόν μοι.

κδ Καὶ εἶπεν αὐτῷ· εἶδόν σε κύριε ὡς ἄγγελον θεοῦ, καὶ ἐταράχθη ἡ καρδία μου ἀπὸ τοῦ φόβου τῆς δόξης σου, ὅτι θαυμαστὸς εἶ κύριε, καὶ τὸ πρόσωπόν σου χαρίτων μεστόν.

κε Ἐμοῦ δὲ διαλεγομένου αὐτῇ, ἔπεσεν ἀπὸ ἐκλύσεως αὐτῆς. καὶ ὁ βασιλεὺς ἐπαράσσετο, καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ παρεκάλει αὐτήν.

κς καὶ εἶπεν ὁ βασιλεύς· τί θέλεις ἐδήρ; καὶ τί σου ἔστιν ἡ ἀξίωσις ἕως ἡμίσους τῆς βασιλείας μου, καὶ ἔσται σοι.

κζ Εἶπε δὲ ἐδήρ· ἡμέρα μου ἐπίσημός σήμερον ἐστίν. εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, ἐλθέτω καὶ ὁ βασιλεὺς καὶ ἁμὰν εἰς τὸν δοχὸν, ἵνα ποιήσω σήμερον.

κή Εἶπεν ὁ βασιλεύς· καταπαύσατε ἁμάν, ὅπως ποιήσωμεν τὸν λόγον ἐδήρ. καὶ παραγίνονται ἀμφότεροι εἰς τὸν δοχὸν, ἵνα ἐποίησεν ἐδήρ. ἐν δὲ τῷ πότῳ εἶπεν ὁ βασιλεὺς πρὸς ἐδήρ· τί ἔστιν σοι βασίλισσα ἐδήρ; καὶ ἔσται σοι ὅσα ἀξιοῖς. καὶ εἶπε· τὸ αἴτημά μου, καὶ τὸ ἀξίωμά μου, εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, ἐλθέτω ὁ βασιλεὺς καὶ ἁμὰν αὔριον εἰς τὸν δοχὸν, ἵνα ποιήσω αὐτοῖς, καὶ αὔριον ποιήσω τὰ αὐτά.

κθ καὶ ἐξῆλθεν ἁμὰν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς καὶ εὐφραινόμενος. ἐν δὲ τῷ ἰδεῖν ἁμὰν μαρδοχαῖον τὸν ἰουδαῖον ἐν τῇ αὐλῇ, ἐθυμώθη σφόδρα. καὶ εἰσελθὼν εἰς τὰ ἴδια, ἐκάλεσε φίλους, καὶ ζωσάραν τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξεδιήγησεν αὐτοῖς τὸν πλοῦτον αὐτοῦ, καὶ τὴν δόξαν ἵνα ὁ βασιλεὺς αὐτῷ περιέθηκε, καὶ ὡς ἐποίησεν αὐτὸν πρωτεύειν καὶ ἡγεῖσθαι τῶν βασιλείας. καὶ εἶπεν ἁμὰν· οὐ μὲν κλῆσιν ἡ βασίλισσα μετὰ τοῦ βασιλέως οὐδένα εἰς τὸν δοχὸν, ἀλλ' ἢ ἐμέ. καὶ εἰς τὸ αὔριον μέλλει με. καὶ τούτῳ μοι δώσει, ὅταν ἴδῃ μαρδοχαῖον τὸν ἰουδαῖον ἐν τῇ αὐλῇ.

λ καὶ εἶπε πρὸς αὐτὸν ζωσάρα ἡ γυνὴ αὐτοῦ, καὶ οἱ φίλοι· κοπτέτωσαν ξύλον πηχῶν πεντήκοντα, ὄρθριον δὲ εἶπον τῷ βασιλεῖ, καὶ κρεμασθήτω μαρδοχαῖος ἐπὶ τοῦ ξύλου. σὺ δὲ εἰσελθὲ εἰς τὸν δοχὸν σὺν τῷ βασιλεῖ, καὶ εὐφράνθητι.

λά καὶ ἤρεσε τὸ ῥῆμα τῷ ἁμάν, καὶ ἡτοίμασε τὸ ξύλον.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λϛ΄ ΚΕΦΑΛ. ϛ΄. 6.

Ο δὲ λύει Θ ἀπέστησε τὸν ὕπνον τ Βασιλέως τῇ νύκτα ἐκείνῃ. καὶ εἶπε τῷ διακόνῳ αὐτοῦ, εἰσφέρειν γράμματα μνημόσυνα τῶν ἡμερῶν, ἀναγινώσκειν αὐτῷ. εὗρε δὲ γράμματα τὰ γραφέντα περὶ μαρδοχαίου, ὡς ἀπήγγειλε τοῦ Βασιλεῖ πρὶ τ δύο εὐνούχων τοῦ Βασιλέως, τῶν τοῦ φυλάσσειν αὐτόν, καὶ ζητῆσαι βαλεῖν τὰς χεῖρας ἀρταξέρξῃ. εἶπε δὲ ὁ Βασιλεὺς τίνα δόξαν, ἢ χάριν ἐποιήσαμεν τοῦ μαρδοχαίῳ; καὶ εἶπαν οἱ διάκονοι τ Βασιλέως οὐκ ἐποίησας αὐτῷ οὐδέν;

λζ΄ Εν δὲ τοῦ παραβαίνειν τὸν Βασιλέα πρὸς τ σύνοιας μαρδοχαίου, ἰδοὺ Αμαν τῶν τῇ αὐλῇ. εἶπε δὲ ὁ Βασιλεύς τίς τῶν τῇ αὐλῇ; ὁ δὲ Αμαν εἰσῆλθεν εἰπεῖν τῷ Βασιλεῖ, κρεμάσαι τὸν μαρδοχαῖον τῷ ξύλῳ ᾧ ἡτοίμασε. καὶ εἶπον οἱ διάκονοι τοῦ Βασιλέως ἰδοὺ Αμαν ἕστηκε τῇ αὐλῇ. καὶ εἶπεν ὁ Βασιλεύς καλέσατε αὐτόν.

λη΄ Εἶπε δὲ ὁ Βασιλεὺς τοῦ Αμαν τί ποιήσω τοῦ ἀνθρώπῳ ὃν ἐγὼ θέλω δοξάσαι; εἶπε δὲ Αμαν τίνα θέλει ὁ Βασιλεὺς δοξάσαι, εἰ ἐμέ; εἶπε δὲ πρὸς τὸν Βασιλέα ἄνθρωπον ὃν ὁ Βασιλεὺς θέλει δοξάσαι, φορεσάτωσαν οἱ παῖδες τ Βασιλέως στολὴν βυσσίνην, ἣν ὁ Βασιλεὺς περιβάλλεται. καὶ ἵππον, ἐφ' ὃν ὁ Βασιλεὺς ἐπιβαίνει. Θ δότω ἑνὶ τ φίλων τοῦ Βασιλέως τῶν ἐνδόξων, καὶ στολισάτω τὸν ἄνθρωπον ὃν ὁ Βασιλεὺς ἀγαπᾷ, καὶ ἀναβιβασάτω αὐτὸν ἐπὶ τ ἵππον, καὶ κηρυσσέτω ἐπὶ τῆς πλατείας τῆς πόλεως λέγων· οὕτως ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ Βασιλεὺς δοξάσει.

λθ΄ Εἶπε δὲ ὁ Βασιλεὺς τοῦ Αμαν· καλῶς ἐλάλησας. οὕτως ποίησον τοῦ μαρδοχαίῳ τοῦ Ιουδαίῳ, τοῦ θραπεύοντι τῇ αὐλῇ. καὶ μὴ παραπεσάτω σου λόγος, ὃν ἐλάλησας.

μ΄ Ελαβε δὲ Αμαν τ στολὴν, καὶ τὸν ἵππον, καὶ ἐστόλισε τὸν μαρδοχαῖον, καὶ ἀνεβίβασαν αὐτὸν ἐπὶ τὸν ἵππον, καὶ διῆλθε διὰ τ πλατείας τῆς πόλεως, καὶ ἐκήρυσσε λέγων· οὕτως ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ Βασιλεὺς θέλει δοξάσαι. ἀπέστρεψε δὲ μαρδοχαῖος εἰς τὴν αὐλήν. Αμαν δὲ ἐπέστρεψεν εἰς τὰ ἴδια, λυπούμενος καὶ κεφαλῆς.

μ΄ Καὶ διηγήσατο Αμαν τὰ συμβεβηκότα αὐτῷ Ζωσαρὰ τῇ γυναικὶ αὐτοῦ, καὶ τοῖς φίλοις. Θ εἶπον πρὸς αὐτὸν οἱ φίλοι, Θ ἡ γυνὴ εἰ ἐκ γένους Ιουδαίων μαρδοχαῖος, καὶ ἤρξω ταπεινοῦσθαι ἔμπροσθεν αὐτοῦ, πεσὼν πεσῇ. οὐ μὴ δύνῃ αὐτ Αμὼν σθαι, ὅτι θεὸς ζῶν μετ' αὐτ.

μα΄ Επ αὐτῶν λαλούντων, παραγίνονται οἱ εὐνοῦχοι, σπουδάζοντες τ Αμαν ἐπὶ τὸν πότον ὃν ἡτοίμασεν Εσθήρ.

ΚΕΦΑΛ. ζ΄. 7.

Εἰσῆλθεν δὲ ὁ Βασιλεὺς, καὶ Αμαν, συμπιεῖν τῇ Βασιλίσσῃ.

μβ΄ Εἶπε δὲ ὁ Βασιλεὺς τῇ Εσθὴρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ πότῳ· τί δέῃ Εσθὴρ Βασίλισσα, καὶ τί τὸ αἴτημά σου, καὶ τί τὸ ἀξίωμά σου; καὶ ἔσται σοι, ἕως ἡμίσους τ Βασιλείας μου.

μγ΄ Καὶ ἀπεκρίθη εἶπεν· εἰ εὗρον χάριν ἐνώπιόν σου Βασιλεῦ, δοθήτω ἡ ψυχή μοι τοῦ αἰτήματί μου, καὶ ὁ λαός μου τοῦ ἀξιώματί μου. ἐπράθημεν γὰρ ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώλειαν, καὶ διαρπαγήν, καὶ δουλείαν, ἡμεῖς τε καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ παρῴκας· οὐ γὰρ ἄξιος ὁ διάβολος τῇ αὐλῇ τοῦ Βασιλέως.

μδ΄ Εἶπε δὲ ὁ Βασιλεὺς τίς οὗτος, ὃς ἐτόλμησε ποιῆσαι τὸ πρᾶγμα τοῦτο;

με΄ Εἶπε δὲ Εσθὴρ ἄνθρωπος ὁ ἐχθρὸς Αμαν, ὁ πονηρὸς οὗτος. Αμαν δὲ ἐταράχθη ἀπὸ τ Βασιλέως, καὶ τ Βασιλίσσης.

μϛ΄ Ο δὲ Βασιλεὺς ἀναστὰς ἐκ τοῦ συμποσίου εἰς τὸν κῆπον. ὁ δὲ Αμαν παρεκάλει καὶ ἠτεῖτο τὴν Βασίλισσαν. ἑώρα γὰρ αὐτὸν τὰ κακοῖς ὄντα.

μζ΄ Επέστρεψεν δὲ ὁ Βασιλεὺς ἐκ τοῦ κήπου. Αμαν δὲ ἐπεπτώκει ἐπὶ τὴν κλίνην, ἀξιῶν τὴν Βασίλισσαν· εἶπε δὲ ὁ Βασιλεὺς· ὥστε καὶ τὴν γυναῖκα βιάζει ἐν τῇ οἰκίᾳ μου; Αμαν δὲ ἀκούσας, μετεστράφη τοῦ προσώπου.

με΄ Εἶπε δὲ ὁ Βαγαθὰν εἷς τῶν εὐνούχων· οὗτος δὲ ἐγνώσκει τὸν ξύλον, ὃ ἡτοίμασε τῷ σωτῆρι ἐν τῇ οἰκίᾳ τοῦ Αμαν, ὅτε ἐκάλει αὐτὸν ὑπὲρ τὸν διάπνου τῶν Βασιλέων. καὶ πρὸς τοῦτο συνόμων, ἔγνω παρ' ἑνὸς τῶν παίδων τὸ κατασκευαζόμενον. καὶ εἶπε πρὸς τὸν Βασιλέα· ἰδοὺ καὶ ξύλον ἡτοίμασεν Αμαν μαρδοχαίῳ, τοῦ λαλήσαντι πρὸς τοῦ Βασιλέως, καὶ ὀρθωταὶ ἐν τοῖς Αμαν πηχῶν πεντήκοντα.

μς΄ Εἶπε δὲ ὁ Βασιλεὺς· σαρωθήτω ἐπ' αὐτό. καὶ ἐκρεμάσθη Αμαν ὑπὲρ τοῦ ξύλου, ὃ ἡτοίμασε μαρδοχαίῳ. καὶ τότε ὁ Βασιλεὺς ἐπόπασε ἀπὸ τοῦ θυμοῦ.

ΚΕΦΑΛ. η΄. 8.

Καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ Βασιλεὺς ἀρταξέρξης ἐδωρήσατο τῇ Εσθὴρ, ὅσα ἐπεφέρετο Αμαν τοῦ διαβόλου, Θ μαρδοχαῖος προσεκλήθη παρὰ τοῦ Βασιλέως. ἐδήλωσε γὰρ Εσθὴρ, ὅτι γνοιεῖται αὐτῇ. ἔλαβε δὲ ὁ Βασιλεὺς τὸν δακτύλιον ὃν ἀφείλατο Αμαν, καὶ ἔδωκε μαρδοχαίῳ. καὶ κατέστησεν Εσθὴρ μαρδοχαῖον ὑπὲρ πάντων τῶν Αμαν, Θ προσθεῖσα ἐλάλησε πρὸς τὸν Βασιλέα, καὶ πεσοῦσα ἐν τοῖς ποσὶν αὐτοῦ, καὶ ἠξίου ἀφελεῖν τ Αμαν κακίαν, καὶ ὅσα ἐποίησε τοῖς Ιουδαίοις. καὶ ἐξέτεινε ὁ Βασιλεὺς Εσθὴρ τὸν ῥάβδον τὸν χρυσοῦν. ἐξανέστη δὲ Εσθὴρ πρὸ τοῦ Βασιλέως, καὶ εἶπεν Εσθὴρ· εἰ δοκεῖ σοι, καὶ εὗρον χάριν, γεγραφθήτω ἀνασταφιλῶσαι τὰ γράμματα, τὰ ἀπεσταλμένα ἀπὸ Αμαν, τὰ γραφέντα

φώντε ἀφλεάδη τὸν ἰουδαίους, οἳ εἰσὶν γὲ τῇ βασιλείᾳ σου. πῶς γὰρ δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου, καὶ πῶς δυνήσομαι σωθῆναι γὲ τῇ ἀπωλείᾳ τῆ πατρίδος μου;

μζ Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἐσθήρ· εἰ πάντα ὑπάρχοντα ἀμὰν ἔδωκα, καὶ ἐχαρισάμην σοι, ἢ αὐτὴν ἐκρέμασα ἐπὶ ξύλου, ὅτι τὰς χεῖρας ἐπέμεγλε τοῖς ἰουδαίοις, τί ἐπιζητεῖς; γράψατε καὶ ὑμεῖς ἐκ τοῦ ὀνόματός μου ὡς δοκεῖ ὑμῖν, καὶ σφραγίσατε τῷ δακτυλίῳ μου. ὅσα γὰρ γραφῆτε τῷ βασιλέως ἐπιτάξαντος, καὶ σφραγισθῇ τῷ δακτυλίῳ μου, οὐκ ἔστιν αὐτοῖς αὐτὰ φεῦγειν.

μή Ἐκλήθησαν ἢ οἱ γραμματεῖς γὲ τῷ πρώτῳ μηνί, ὅς ὄνομα νισάν, τῇ τρίτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ ἔτους, καὶ ἐγράφη πρὸς ἰουδαίους, ὅσα γὲ ἐτάλαιπε τοῖς οἰκονόμοις, καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν, ἀπὸ τῆς ἰνδικῆς ἕως τῆς αἰθιοπίας, ἑκατὸν εἰκοσιεπτὰ σατραπείας ἐπὶ χώραν καὶ χώραν, κατὰ τὸν αὐτῶν λεῖμ. ἐγράφη ἢ δὲ τοῦ βασιλέως, καὶ ὃν φραγίσθη τῷ δακτυλίῳ αὐτοῦ. καὶ ἐξαπέστειλαν τὰ γράμματα διὰ βιβλιοφόρων, ὡς ἐπέταξεν αὐτοῖς χρῆσθαι τοῖς νόμοις αὐτῶν γὲ πάσῃ πόλει, βοηθῆσαί τε αὐτοῖς, καὶ χρῆσθαι τοῖς αὐτόθι ἐχθροῖς αὐτῶν καὶ τοῖς αὐτοπειμένοις αὐτῶν, ὡς βούλονται, γὲ ἡμέρᾳ μιᾷ γὲ πάσῃ τῇ βασιλείᾳ ἀρταξέρξῃ, τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ὃς ὄνομα ἄδαρ. ὧν ὄνομα αὐτίγραφον ἦν τόδε τὸ γεγραμμένον.

ΒΑΣΙΛΕΥΣ ΜΕΓΑΣ
ἀρταξέρξης.

μθ Τοῖς ἀπὸ τῆς ἰνδικῆς ἕως αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ σατράπαις χωρῶν ἀρχοῦσι, καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι, χαίρειν. πολλοὶ τῇ πλείστῃ τῶν δωρεῶν τὸν τρόπον χρυσοῦν πυκνότερον τιμώμενοι, μᾶζον ἐφρόνησαν, καὶ οὐ μόνον τοὺς ὑποτεταγμένους ἡμῖν ζημιοῦσι κακοποιεῖν, τόν τε λόγον οὐ δυνάμενοι φορεῖν, καὶ τοῖς ἑαυτῶν δυνάσταις ὑπερεῖδον μηχανᾶσθαι. καὶ τὴν δυχαρισίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων αὐτανασειρωῦτον, ἀλλὰ καὶ τοῖς τῶν ἀπραγμόνων λιμέσι ἐπιβλήτους, τὰ πάντα καθοπλίζοντος ἀεὶ θεὸν μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφοβεῖσθαι δίκην. πολλάκις ἤ, καὶ πολλοὺς τῶν ἐπ' ἀξίας τεταγμένων τῶν πιστοτάτων χειρίζειν φίλων τὰ πράγματα, παραμυθίαν μετόχους αἰμάτων ἀθώων λαμβάνοντας πολιτεύεσθαι συμφοραῖς ἀνηκέστοις, τοῦ τῆς κακοηθείας ψόφου τῷ παραλογισμῷ παραλογιζομένου τὴν τῶν ἀπραγμόνων ἀπειρίαν δυγνωμοσυνίαν. σκοπεῖν δὲ ἔξεστιν, οὐ τοσοῦτον ἐκ τῶν παλαιοτέρων ὡς παρεδώκαμεν ἱστορίαν, ὅσα δὲ πρὸς πόδας ὑμᾶς ἐκζητοῦντας ἀνοσίως σωστελεσμένα τῇ τῶν ἀξίᾳ δυνάστου λιμότητι, καὶ προσέχθη εἰς τὰ μετὰ ταῦτα, ὥστε τὴν βασιλείαν ἀπάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ' εἰρήνης προεξόμεθα χρόνου τε μεταβολαῖς, τὰ δὲ κατὰ τὴν ὄψιν ὀρχόμενα διακρίνοντος ἀεὶ μετ' ὠδικεστέρας ἀπαντήσεως. ὡς γὰρ ἀμὼ ἀμαθὲς μακεδόνων τοῖς ἀληθείαις ἀλλότριον τοῦ τῶν προσώπων αἵματος, καὶ πολὺ διεστηκὸς τῆς ἡμετέρας χρηστότητος ὑπεξῃρημένοις ἡμῖν, ἐτυχήσ ἔχομεν πρὸς παῦ ἔθνος φιλανθρωπίας ὑπὸ τοσοῦτον, ὥστε αὐαγορδύεσθαι ἡμῶν πατέρα, καὶ προσκυνούμενον κατὰ πάντων, τὸ δοῦλον τοῦ βασιλικοῦ θράνου πρόσωπον διατελεῖν. οὐκ ἐγένετο δὲ τὴν ὑποφαυσίαν, ἐπεπόδισε τῆς ἀρχῆς ὁρῆσαι ἡμᾶς, καὶ τὸ ὀνόματος. τόν τε ἡμέτερον σωτῆρα, καὶ διὰ παντὸς δυσεργέτιν μαρδοχαῖον, καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν ἐσθὴρ σὺν παντὶ τοῦ τούτων ἔθνει, πολυπλόκοις μεθόδοις παλογισμοῖς αἰτησάμενοι εἰς ἀπώλειαν. διὰ γὰρ τῶν τρόπων τούτων ὠθηλαζὸν ἡμᾶς ὁρμὴν, τὴν τῶν προσώπων ὠπρᾶτησιν εἰς τοὺς μακεδόνας μεταξὺ ὑμεῖς δὲ κατὰ τὸ τρίζαλιτηρίς παλειδωμένης εἰς ἀφανισμὸν ἰουδαίοις, εὑρίσκομεν δικαίους ὄντας, δικαιοτάτοις δὲ πολιτευομένους νόμοις, ὄντας ἢ υἱὸς τοῦ ὑψίστου μεγίστου ζῶντος θεοῦ, τοῦ κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν γὲ τῇ καλλίστῃ διαθέσει. καλῶς ὃν ποιεῖτε, μὴ προσχρησάμενοι τοῖς κατὰ ἀμὰν ἀμαθὲς ἀρκαλείσι γράμμασι, διὰ δὲ αὐτῶν τούτων ἐξεργασάμενον πᾶς τοῖς σάσῃ φυλαῖς εὐρωδίαν σὺν τῇ πανοικίᾳ, τὴν καταξίαν τοῦ τὰ πάντα ὁρῶντος θεοῦ διὰ τάχος ἀποδόντος αὐτῷ δίκαιον. ὃ ἢ αὐτίγραφον τῆς ὠπιστολῆς ταύτης ἐκθήσθω γὲ πάντι τόπῳ μετὰ παῤῥησίας, ἐᾶν τοῖς ἰουδαίοις χρῆσθαι τοῖς ἑαυτῶν νόμοις, καὶ συνεπισχύειν αὐτοῖς. ὅπως τοῦ γὲ καιροῦ θλίψεως ὑπαθεμένους αὐτοῖς, ἀμυνῶντι τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἄδαρ τῇ αὐτῇ ἡμέρᾳ. ταύτην τὰ ἅπαντα διωκισθύσαν θεὸς αὐτ' ὀλεθρίας τῦ ἐκλεκτοῦ γένους, ἐποίησεν αὐτοῖς δυφροσύνην. καὶ ὑμεῖς δὲ γὲ ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς, ἐπίσημον ἡμέραν μετὰ πάσης δυωχίας ἄγετε, ὅπως καὶ νῦν καὶ μετὰ τοῦτα σωτηρία ἦ ἡμῖν, καὶ τοῖς δύνουσι φόβους, τοῖς δὲ ἡμῖν ὠθελοδύσι μνημόσυνον τῆς ἀπωλείας. πᾶσα δὲ πόλις, ἢ χώρα ὃ σιώλεθρον, ἥτις γὲ ταῦτα μὴ ποιήσῃ, δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ' ὀργῆς. οὐ μόνον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ θηρίοις καὶ πετεινοῖς εἰς τὸν ἅπαντα χρόνον ἔχθιστος καταπαθήσεται. τὰ δὲ αὐτίγραφα ἐκλελέδωστο ὀφθαλμοφανῶς γὲ πάσῃ τῇ βασιλείᾳ, ἑτοίμους τε εἶναι πάντας τοὺς ἰουδαίους εἰς ταύτην τὴν ἡμέραν, πολεμῆσαι αὐτῶν τοὺς ὑποφαντίους.

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. θ'. 9.

Οἱ μὲν οὖν ἐπιτηδεῖς ἐξῆλθον ποιῆσαι τὰ ῥήματα τοῦ Βασιλέως λεγόμενα ἐν τέλει. ἐξετέθη δὲ τὸ πρόσταγμα, καὶ ἐν Σούσοις. ὁ δὲ μαρδοχαῖος ἐξῆλθεν ἐσταλισμένος τὴν Βασιλικὴν στολὴν, καὶ στέφανον ἔχων χρυσοῦν, καὶ διάδημα βύσσινον πορφυροῦν. ἐθαύμασαν δὲ οἱ ἐν Σούσοις, ἐχάρησαν. τοῖς δὲ Ἰουδαίοις ἐγένετο φῶς, καὶ εὐφροσύνη καὶ τέρψις καὶ χώραν, οὗ ἂν ἐξετέθη τὸ ἔνθεμα. χαρὰ καὶ εὐφροσύνη τοῖς Ἰουδαίοις, ἑώθασι καὶ εὐφροσύνη. καὶ πολλοὶ τῶν ἐθνῶν περιετέμνοντο, καὶ Ἰουδαΐζον, διὰ τὸν φόβον τῶν Ἰουδαίων. ἐν γὰρ τῷ δωδεκάτῳ μηνὶ τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς ὃς ὄνομα Ἄδαρ, πλησίον τὰ γράμματα τὰ γραφέντα παρὰ Βασιλέως. καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ αὐτοκείμενοι τοῖς Ἰουδαίοις. οὐδεὶς γὰρ αὐτέστη, φοβούμενοι αὐτούς. οἱ γὰρ ἄρχοντες τῶν σατραπῶν, καὶ οἱ τύραννοι, καὶ οἱ Βασιλικοὶ γραμματεῖς, ἐτίμων τοὺς Ἰουδαίους. ὁ γὰρ φόβος μαρδοχαίου ἐπέκειτο αὐτοῖς. πῶς ἔπεσε γὰρ τὸ πρόσταγμα τοῦ Βασιλέως ὀνομασθῆναι ἐν πάσῃ τῇ Βασιλείᾳ, καὶ ἐν Σούσοις τῇ πόλει ἀπέκτειναν οἱ Ἰουδαῖοι ἄνδρας πεντακοσίους· καὶ τὸν πατέρα, νεκρόν, καὶ ἀδελφὸν, καὶ φασγὰ, καὶ φαρδαθὰ, καὶ Βαρέα, καὶ σαρβακὰ, καὶ μαρμασὶμ, καὶ ἀρφαῖον, καὶ ἀρσαῖον, καὶ ζαβουλαθὰν, τοὺς δέκα υἱοὺς Ἀμὰν Ἀμαδαθοῦ Βουγαίου, τοῦ ἐχθροῦ τῶν Ἰουδαίων, καὶ διήρπαζον ἐν αὐτῇ τῇ ἡμέρᾳ. ἐπεδόθη δὲ ἀριθμὸς τοῦ Βασιλεῖ τῶν ἀπολωλότων ἐν Σούσοις. εἶπε δὲ ὁ Βασιλεὺς πῶς ἐθάη, ἀπώλεσαν Ἰουδαῖοι ἐν Σούσοις ἄνδρας πεντακοσίους ἐν τῇ πόλει, ἐν δὲ τῇ περιχώρῳ πῶς οἶει ἐχρήσαντο; τί οὖν ἀξιοῖς ἔτι, καὶ ἔσται σοι.

ν΄ Καὶ εἶπεν ἐθάη τοῦ Βασιλεῖ, δοθήτω τοῖς Ἰουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον, ὥστε τοὺς δέκα υἱοὺς Ἀμὰν ἀνασκολοπίσαι. καὶ ἐπέτρεψεν οὕτως γενέσθαι, καὶ ἐξέθηκε τοῖς Ἰουδαίοις ἐπὶ πόλεως τὰ σώματα τῶν υἱῶν Ἀμὰν ἀνασκολοπίσαι. καὶ συνήχθησαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ Ἄδαρ, καὶ ἀπέκτειναν ἀνδρῶν τριακοσίους, καὶ οὐδὲν διήρπαζον. οἱ δὲ λοιποὶ τῶν Ἰουδαίων τῶν ἐν τῇ Βασιλείᾳ συνήχθησαν, καὶ ἑαυτοῖς ἐβοήθησαν, καὶ ἀνεπαύσαντο ἀπὸ τῶν πολεμίων. ἀπώλεσαν γὰρ αὐτῶν μυρίους πεντακισχιλίους τῇ τρισκαιδεκάτῃ τοῦ Ἄδαρ, καὶ οὐδὲν διήρπαζον. καὶ ἀνεπαύσαντο τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς, καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως μετὰ χαρᾶς καὶ εὐφροσύνης. οἱ δὲ Ἰουδαῖοι οἱ ἐν Σούσοις τῇ πόλει συνήχθησαν, καὶ τῇ τεσσαρεσκαιδεκάτῃ ἀνεπαύσαντο. ἦγον δὲ καὶ τὴν πεντεκαιδεκάτην μετὰ χαρᾶς, καὶ εὐφροσύνης. διὰ τοῦτο οὖν οἱ Ἰουδαῖοι οἱ διασπαρμένοι ἐν πάσῃ χώρᾳ τῇ ἔξω, ἄγουσι τὴν τεσσαρεσκαιδεκάτην τοῦ Ἄδαρ ἡμέραν ἀγαθὴν μετ' εὐφροσύνης, ἀποστέλλοντες μερίδας ἑκάστῳ τοῦ πλησίον. οἱ δὲ κατοικοῦντες ἐν ταῖς μητροπόλεσι, τὴν τῶν πεντεκαιδεκάτην τοῦ Ἄδαρ ἡμέραν μετ' εὐφροσύνης ἄγουσιν, ἀποστέλλοντες μερίδας τοῖς πλησίον.

νβ΄ Ἔγραψε δὲ μαρδοχαῖος οὓς λόγους τούτους εἰς βιβλίον, καὶ ἐξαπέστειλε τοῖς Ἰουδαίοις, ὅσοι ἦσαν ἐν τῇ ἀρταξέρξου Βασιλείᾳ τοῖς ἐγγὺς, καὶ τοῖς μακρὰν, στῆσαι τὰς ἡμέρας ταύτας ἀγαθὰς, ἄγειν τε τὴν τεσσαρεσκαιδεκάτην, καὶ τὴν πεντεκαιδεκάτην τοῦ Ἄδαρ. ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσαντο οἱ Ἰουδαῖοι ἀπὸ τῶν ἐχθρῶν αὐτῶν. καὶ τὸν μῆνα ἐν ᾧ ἐστράφη αὐτοῖς, ὃς ἦν Ἄδαρ, ἀπὸ πένθους εἰς χαρὰν, καὶ ἀπὸ ὀδυνῶν εἰς ἀγαθὴν ἡμέραν ἄγειν ὅλην εἰς ἀγαθὰς ἡμέρας γαμῶν, καὶ εὐφροσύνης, ἀποστέλλοντες μερίδας τοῖς φίλοις, καὶ τοῖς πτωχοῖς. καὶ προσεδέξαντο οἱ Ἰουδαῖοι, καθὼς ἔγραψεν αὐτοῖς ὁ μαρδοχαῖος, ὡς ἀμὰν ἀμαδαθὸ ὁ μακεδὼν ἐπολέμει αὐτοῖς, καθὼς ἐβούλευσε κλῆρον ἀφανίσαι αὐτούς, καὶ ὡς εἰσῆλθε πῶς τὸν Βασιλέα λέγων κρεμάσαι τὸν μαρδοχαῖον. ὅσα δὲ ἐπεχείρησεν ἐπάξαι ἐπὶ τοὺς Ἰουδαίους κακὰ, ἐπ' αὐτὸν ἐγένοντο. καὶ ἐκρεμάθη αὐτὸς, καὶ τὰ τέκνα αὐτοῦ. διὰ τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται φρουραὶ διὰ τοὺς κλήρους, ὅτι τῇ διαλέκτῳ αὐτῶν κλαῦσται φρουραὶ, διὰ τοὺς λόγους τῆς ἐπιστολῆς ταύτης, καὶ ὅσα πεπόνθασι διὰ ταῦτα, καὶ ὅσα αὐτοῖς ἐγένετο, καὶ ἔστησαν. καὶ προσεδέχοντο οἱ Ἰουδαῖοι ἐφ' ἑαυτοῖς, καὶ ἐπὶ τὸ σπέρμα αὐτῶν, καὶ ἐπὶ τοῖς προσκειμένοις ἐπ' αὐτῶν, οὐδὲ μὴν ἄλλως χρήσονται. αἱ ἡμέραι αὗται μνημόσυνον ἐπιτελούμενον ἐν γενεαῖς καὶ γενεαῖς, ἐν πόλει, καὶ πατριᾷ, καὶ χώρᾳ. αἱ ἡμέραι αὗται τῶν φρουρῶν, ἀχθήσονται εἰς τὸν ἅπαντα χρόνον, καὶ τὸ μνημόσυνον αὐτῶν οὐ μὴ ἐκλίπῃ ἕως γενεῶν.

νγ΄ Καὶ ἔγραψεν ἐσθὴρ ἡ Βασίλισσα θυγάτηρ Ἀμιναδὰβ, καὶ μαρδοχαῖος ὁ Ἰουδαῖος, ὅσα ἐποίησαν τότε, στερέωμα τῆς ἐπιστολῆς τῶν φρουρῶν. καὶ μαρδοχαῖος, καὶ ἐσθὴρ ἡ Βασίλισσα ἔστησαν ἑαυτοῖς καθ' ἑαυτῶν, καὶ τότε στήσαντο ὑπὲρ τῆς ὑγείας αὐτῶν καὶ τὴν βαλὴν αὐτῶν. καὶ ἐσθὴρ λόγῳ ἔστησεν εἰς τὸν αἰῶνα, καὶ ἐγράφη εἰς μνημόσυνον.

ΚΕΦΑΛ. ί. 10.

Ἔγραψε δὲ ὁ Βασιλεὺς ὠδὴ τὴν Βασιλείαν ἐπὶ τε γῆς, καὶ ἐπὶ θαλάσσης, καὶ τὴν ἰσχὺν αὐτοῦ, καὶ τὴν αὐθεντείαν, τὸν τόμον τε, καὶ λόξαν τῆς Βασιλείας αὐτοῦ. ἰδοὺ γέγραπται ἐν τῇ Βίβλῳ πέρσαν καὶ μήδων, εἰς μνημόσυνον, ὅτε μαρδοχαῖος διελέχθη τὸν Βασιλέα αὐτάξερξεν, καὶ μέγας ἦν ἐν τῇ Βασιλείᾳ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἀπὸ ξασμὸν ἀπὸ τῶν ἐχθρῶν. καὶ Μωϋσῆς, ἐπήγαγε τῷ ἀγωγεῖ, καὶ τῷ ἔθνει αὐτῶν. καὶ εἶπε μακρὰν ὁδὸν πορεύεσθε τὸ σάββατον τοῦτο. ἐμνήσθη γὰρ πρὸς τὸ σύντριμμα οὗ ἐποίησε τῶν λόγων τούτων. ἀπὸ γὰρ τῆς ἐξόδου ἐξ Αἰγύπτου ἦν μικρὰ ὕδατα καὶ ἔρημος, καὶ ἐπείνασεν ὁ λαὸς καὶ ἐγόγγυζον πρὸς Μωϋσῆν καὶ Ἀαρών. καὶ εἶπον οἱ υἱοὶ Ἰσραήλ. τίς δώσει ἡμῖν κρέα φαγεῖν; ἐμνήσθημεν γὰρ τῶν ἰχθύων ὧν ἐν Αἰγύπτῳ ἐσθίομεν δωρεάν, καὶ τῶν σικύων καὶ τῶν πεπόνων καὶ τῶν πράσων καὶ τῶν κρομμύων καὶ τῶν σκορόδων. νῦν δὲ ἡ ψυχὴ ἡμῶν ξηρά, οὐδὲν ἔστιν ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν πλὴν τοῦ μάννα τούτου. καὶ ἐγένετο τὸ μάννα ὡσεὶ κονία ὡς ὁ κόκκος τοῦ κορίου τὸ χρῶμα αὐτοῦ ὡσεὶ χρῶμα κρυστάλλου. καὶ περιῆλθεν ὁ λαὸς καὶ συνέλεγον καὶ ἔκοπτον ἐν μύλαις καὶ ἔψουν ἐν λέβησιν καὶ ἐποίουν ἐγκρυφίας καὶ ἦν ἡ γεῦσις αὐτοῦ ὡσεὶ γεῦσις ἐγκρυφίας ἐλαίου. καὶ ἐν τῷ καταβῆναι τὴν δρόσον ἐπὶ τὴν παρεμβολὴν νυκτὸς ἐπ' αὐτὴν κατέβαινε τὸ μάννα. καὶ ἤκουσε Μωϋσῆς τοῦ λαοῦ κλαιόντων κατὰ συγγένειαν ἕκαστος ἐπὶ θύραις τῆς σκηνῆς αὐτοῦ, καὶ ὠργίσθη ὀργὴν σφόδρα ἐναντίον κυρίου, καὶ ἐν ὀφθαλμοῖς Μωϋσέως ἐπονηρεύσατο τοῦ ποιῆσαι τὸν λαὸν τοῦτον. καὶ εἶπε Μωϋσῆς πρὸς κύριον. τί ἐκάκωσας τὸν δοῦλόν σου, καὶ τί οὐκ εὗρον χάριν ἐναντίον σου τοῦ ἐπιθεῖναι τὸν ὄγκον τοῦ λαοῦ τούτου ἐπ' ἐμέ; μὴ ἐγὼ ἐκύησα πάντα τὸν λαὸν τοῦτον, ἢ ἐγὼ ἐγέννησα αὐτούς, ὅτι σὺ λέγεις πρός με. ἆρον αὐτοὺς ἐν τοῖς κόλποις σου, καθὼς ἀναφέρει ἡ τιτθὸς τὸ θηλάζον, ἐπὶ τὴν γῆν ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν. πόθεν ἐμοὶ κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ; ὅτι κλαίουσιν ἐπ' ἐμοὶ λέγοντες. δὸς ἡμῖν κρέα φαγεῖν. οὐ δυνήσομαι ἐγὼ μόνος βαστάσαι πάντα τὸν λαὸν τοῦτον, ὅτι βαρύς μοί ἐστιν ὑπὲρ ἰσχύν μου. εἰ δὲ οὕτως ποιεῖς μοι, ἀπόκτεινόν με ἀπόκτεινον δή με, εἰ εὕρηκα χάριν ἐναντίον σου, καὶ μὴ ἴδοιμι τὴν κάκωσίν μου τὴν πονηράν. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν. συνάγαγε πρός με ἑβδομήκοντα ἄνδρας ἐκ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ τῶν γραμματέων αὐτοῦ, καὶ λήμψῃ αὐτοὺς μετὰ σεαυτοῦ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ στήσεται ἐκεῖ μετὰ σοῦ. καὶ καταβήσομαι καὶ λαλήσω σοι ἐκεῖ, καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ καὶ ἐπιθήσω ἐπ' αὐτούς, καὶ συναρεῖ μετὰ σοῦ τὸν ὄγκον τοῦ λαοῦ τούτου, καὶ οὐ βαστάσεις σὺ μόνος. καὶ τῷ λαῷ ἐρεῖς. ἁγιάσθητε εἰς αὔριον, καὶ φάγεσθε κρέα. ὅτι ἐκλάυσατε ἐν τοῖς ὠσὶν κυρίου λέγοντες. τίς δώσει ἡμῖν κρέα φαγεῖν; ἦν γὰρ καλῶς ἡμῖν ἐν Αἰγύπτῳ. καὶ δώσει κύριος ὑμῖν κρέα, καὶ φάγεσθε. οὐ μίαν ἡμέραν φάγεσθε οὐδὲ δύο οὐδὲ πέντε ἡμέρας οὐδὲ δέκα ἡμέρας οὐδὲ εἴκοσι ἡμέρας, ἀλλὰ μῆνα ἡμερῶν, ἕως ἂν ἐξέλθῃ ἐκ τῶν ῥινῶν ὑμῶν καὶ γένηται ὑμῖν εἰς βδέλυγμα, ἀνθ' ὧν ἐξουδενώσατε τὸν κύριον τὸν ἐν μέσῳ ὑμῶν, καὶ ἐκλάυσατε ἔμπροσθεν αὐτοῦ λέγοντες. ἵνα τί τοῦτο ἐξήλθομεν ἐξ Αἰγύπτου; καὶ εἶπε Μωϋσῆς. ἑξακόσιαι χιλιάδες πεζοὶ ὁ λαὸς οὗ ἐγὼ εἰμὶ ἐν μέσῳ αὐτῶν, καὶ σὺ εἶπας. δώσω αὐτοῖς κρέα φαγεῖν μῆνα ἡμερῶν; μὴ πρόβατα καὶ βόες σφαγήσονται αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς; ἢ πάντα τὰ ἰχθύες τῆς θαλάσσης συναχθήσονται αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς; καὶ εἶπε κύριος πρὸς Μωϋσῆν. μὴ ἡ χεὶρ κυρίου ἀσθενήσει; νῦν ὄψῃ εἰ συμβήσεταί σοι τὸ ῥῆμά μου ἢ οὔ. ἐξῆλθε δὲ Μωϋσῆς καὶ διηγήσατο τῷ λαῷ τὰ ῥήματα κυρίου, καὶ συνήγαγε τοὺς ἑβδομήκοντα ἄνδρας ἐκ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ ἔστησε κύκλῳ τῆς σκηνῆς. καὶ κατέβη κύριος ἐν νεφέλῃ καὶ ἐλάλησε πρὸς αὐτόν, καὶ ἀφεῖλε ἀπὸ τοῦ πνεύματος τοῦ ἐπ' αὐτῷ καὶ ἐπέθηκε τοῖς ἑβδομήκοντα ἀνδράσι τοῖς πρεσβυτέροις. καὶ ἐγένετο ὡς ἐπανεπαύσατο τὸ πνεῦμα ἐπ' αὐτοῖς, καὶ προεφήτευσαν καὶ οὐ προσέθεντο. καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ Ἐλδὰδ καὶ ὄνομα τῷ δευτέρῳ Μωδάδ. καὶ ἐπανεπαύσατο ἐπ' αὐτοῖς τὸ πνεῦμα, καὶ αὐτοὶ ἦσαν ἐν τοῖς γεγραμμένοις, καὶ οὐκ ἐξῆλθον πρὸς τὴν σκηνήν, καὶ προεφήτευσαν ἐν τῇ παρεμβολῇ. καὶ προσδραμὼν παιδάριον ἀπήγγειλε Μωϋσῆ καὶ εἶπε. Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ. καὶ ἀποκριθεὶς Ἰησοῦς ὁ τοῦ Ναυὴ ὁ παρεστηκὼς Μωϋσῆ ἐκ νεότητος αὐτοῦ εἶπε. κύριέ μου Μωϋσῆ, κώλυσον αὐτούς. καὶ εἶπε Μωϋσῆς πρὸς αὐτόν. μὴ ζηλοῖς σὺ ἕνεκεν ἐμοῦ; τίς δώσει πάντα τὸν λαὸν προφητεύειν, ὅτι δώσει κύριος τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτούς; καὶ ἀπῆλθε Μωϋσῆς καὶ πάντες οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν παρεμβολήν. καὶ ἐξαίρων ἐξῆρε πνεῦμα παρὰ κυρίου καὶ ἐπῆλθεν ὀρτυγομήτραν ἀπὸ τῆς θαλάσσης καὶ ἐπέθηκεν ἐπὶ τὴν παρεμβολήν, ὡσεὶ ἡμερήσιον ὁδὸν ἐνθένδε καὶ ὡσεὶ ἡμερήσιον ὁδὸν ἐντεῦθεν κύκλῳ τῆς παρεμβολῆς, καὶ ὡσεὶ δύο πήχεις ἐπάνω τῆς γῆς. καὶ ἀνέστη ὁ λαὸς πᾶσαν τὴν ἡμέραν ἐκείνην καὶ πᾶσαν τὴν νύκτα καὶ πᾶσαν τὴν ἡμέραν τὴν ἐπαύριον καὶ συνήγαγον τὰς ὀρτυγομήτρας, ὁ ὀλιγοστεύσας συνήγαγε δέκα κόρους, καὶ ἐξέτειναν ἑαυτοῖς ἐξέτασιν κύκλῳ τῆς παρεμβολῆς. τὰ δὲ κρέα ἔτι ἦν ἀνὰ μέσον τῶν ὀδόντων αὐτῶν καὶ οὐκ ἐμασῶντο, καὶ ὀργὴ κυρίου ἐξεκαύθη ἐν τῷ λαῷ, καὶ ἐπάταξε κύριος τὸν λαὸν πληγὴν μεγάλην σφόδρα. καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Μνήματα τῆς ἐπιθυμίας, ὅτι ἐκεῖ ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμήσαντα. καὶ ἀπὸ τῶν Μνημάτων τῆς ἐπιθυμίας ἀπῆραν ὁ λαὸς εἰς Ἀσηρώθ, καὶ ἐγένοντο ἐν Ἀσηρώθ. καὶ ἐλάλησε Μαριὰμ καὶ Ἀαρὼν πρὸς Μωϋσῆν διὰ τὴν γυναῖκα τὴν Αἰθιοπίδα ἣν ἔλαβε Μωϋσῆς, ὅτι γυνὴ Αἰθιοπὶς ἔλαβε. καὶ εἶπαν. μὴ μόνον ἐν Μωϋσῇ ἐλάλησε κύριος; οὐχὶ καὶ ἐν ἡμῖν ἐλάλησε; καὶ ἤκουσε κύριος. καὶ ὁ ἄνθρωπος Μωϋσῆς πραΰτατος ἦν σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ἐπὶ τῆς γῆς. καὶ ἐξαίφνης εἶπε κύριος πρὸς Μωϋσῆν καὶ πρὸς Ἀαρὼν καὶ πρὸς Μαριάμ. ἐξέλθατε ὑμεῖς οἱ τρεῖς πρὸς τὴν σκηνὴν τοῦ μαρτυρίου. καὶ ἐξῆλθον οἱ τρεῖς. καὶ κατέβη κύριος ἐν στύλῳ νεφέλης καὶ ἔστη ἐπὶ τῆς θύρας τῆς σκηνῆς, καὶ ἐκάλεσε Ἀαρὼν καὶ Μαριάμ, καὶ ἐξῆλθον ἀμφότεροι. καὶ εἶπε πρὸς αὐτούς. ἀκούσατε τῶν ῥημάτων μου. ἐὰν γένηται προφήτης κυρίου ἐν ὑμῖν, ἐν ὁράματι ἐν ὕπνῳ λαλήσω αὐτῷ. οὐχ οὕτως ὁ θεράπων μου Μωϋσῆς, ὅτι πιστός ἐστιν ἐν ὅλῳ τῷ οἴκῳ μου. στόμα κατὰ στόμα λαλήσω αὐτῷ, καὶ ὄψις καὶ οὐκ αἰνίγματα, καὶ τὴν δόξαν κυρίου ὄψεται. καὶ διὰ τί οὐκ ἐφοβήθητε λαλῆσαι κατὰ τοῦ θεράποντός μου Μωϋσῆ; καὶ ὠργίσθη ὀργὴν κύριος ἐπ' αὐτοῖς καὶ ἀπῆλθε. καὶ ἡ νεφέλη ἀπέστη ἀπὸ τῆς σκηνῆς, καὶ ἰδοὺ Μαριὰμ λελεπρωμένη ὡσεὶ χιών. καὶ ἐπέβλεψεν Ἀαρὼν πρὸς Μαριὰμ καὶ ἰδοὺ λελέπρωται. καὶ εἶπεν Ἀαρὼν πρὸς Μωϋσῆν. δέομαί σου, κύριέ μου, μὴ θῇς ἐφ' ἡμᾶς ἁμαρτίαν ἣν ἐβουλεύσατο ἄφρων ὢν καὶ ἐποίησε. μὴ γένοιτο ἵνα γένηται ὡσεὶ νεκρὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ἐξελθὼν τὸ ἥμισυ τῆς σαρκὸς αὐτοῦ κατεσθίεται. καὶ ἐβόησε Μωϋσῆς πρὸς κύριον λέγων. ἰάσαι δή, ὁ θεός, αὐτήν. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν. εἰ πατὴρ ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐχὶ ἑπτὰ ἡμέρας αἰσχυνθήσεται; ἀποκλεισθήτω ἑπτὰ ἡμέρας ἔξω τῆς παρεμβολῆς, καὶ μετὰ ταῦτα εἰσδεχθήσεται. καὶ ἀπεκλείσθη Μαριὰμ ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας, καὶ ὁ λαὸς οὐκ ἀπῆρεν ἕως εἰσήχθη Μαριάμ. καὶ μετὰ ταῦτα ἀπῆραν ὁ λαὸς ἀπὸ Ἀσηρὼθ καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ Φαράν. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν λέγων. ἀπόστειλον σεαυτῷ ἄνδρας καὶ κατασκοπευσάτωσαν τὴν γῆν Χανάαν ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραήλ. ἕνα ἄνδρα ἕνα ἄνδρα κατὰ φυλὴν πατριᾶς αὐτοῦ ἀποστελεῖτε πάντα ἄρχοντα ἐν αὐτοῖς. καὶ ἀπέστειλε Μωϋσῆς ἐκ τῆς ἐρήμου Φαρὰν κατὰ τὸ ῥῆμα κυρίου πάντας ἄνδρας ἀρχηγοὺς υἱῶν Ἰσραήλ. καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν. ἐκ φυλῆς Ῥουβὴν Σαμουὴ υἱὸς Ζακχούρ. ἐκ φυλῆς Συμεὼν Σαφὰτ υἱὸς Ὠρί. ἐκ φυλῆς Ἰούδα Χαλέβ υἱὸς Ἰεφοννή. ἐκ φυλῆς Ἰσσαχὰρ Ἰγάλ υἱὸς Ἰωσήφ. ἐκ φυλῆς Ἐφραὶμ Ὡσηὲ υἱὸς Ναυή. ἐκ φυλῆς Βενιαμὶν Φαλτὶ υἱὸς Ῥαφού. ἐκ φυλῆς Ζαβουλὼν Γοδιὴλ υἱὸς Σωδί. ἐκ φυλῆς Ἰωσὴφ ἐκ φυλῆς Μανασσῆ Γοδιὴλ υἱὸς Σουσί. ἐκ φυλῆς Δὰν Ἀμιὴλ υἱὸς Γαμαλιήλ. ἐκ φυλῆς Ἀσὴρ Σαθοὺρ υἱὸς Μιχαήλ. ἐκ φυλῆς Νεφθαλὶ Ναβὶ υἱὸς Ὀφσί. ἐκ φυλῆς Γὰδ Γουὴλ υἱὸς Μαχί. οὗτοι τὰ ὀνόματα τῶν ἀνδρῶν οὓς ἀπέστειλε Μωϋσῆς κατασκοπεῦσαι τὴν γῆν. καὶ ἐκάλεσε Μωϋσῆς τὸν Ὡσηὲ υἱὸν Ναυὴ Ἰησοῦν. καὶ ἀπέστειλε Μωϋσῆς κατασκοπεῦσαι τὴν γῆν Χανάαν καὶ εἶπε πρὸς αὐτούς. ἀναβαίνετε ἐνθάδε εἰς τὸ ὄρος τὸ πρὸς λίβα καὶ ἀναβήσεσθε εἰς τὴν ὀρεινήν. καὶ ὄψεσθε τὴν γῆν τίς ἐστιν, καὶ τὸν λαὸν τὸν κατοικοῦντα ἐπ' αὐτῆς, εἰ ἰσχυρός ἐστιν ἢ ἀσθενής, εἰ ὀλιγοστός ἐστιν ἢ πολύς. καὶ τὴν γῆν τίς ἐστιν ἐφ' ἧς αὐτὸς κατοικεῖ ἐν αὐτῇ, εἰ ἀγαθή ἐστιν ἢ πονηρά. καὶ τίνες αἱ πόλεις εἰς ἃς αὐτὸς κατοικεῖ ἐν αὐταῖς, εἰ ἐν παρεμβολαῖς εἰσιν ἢ ἐν ὀχυρώμασιν. καὶ τὴν γῆν τίς ἐστιν, εἰ πίων ἐστὶν ἢ λεπτή, εἰ ὑλοφόρος ἐστὶν ἢ οὔ. καὶ θαρσήσατε καὶ λήμψεσθε ἀπὸ τῶν καρπῶν τῆς γῆς. καὶ αἱ ἡμέραι ἦσαν ἡμέραι πρωτοβολούντων σταφυλῶν. καὶ ἀνέβησαν καὶ κατεσκόπευσαν τὴν γῆν ἀπὸ τῆς ἐρήμου Σὶν ἕως Ῥοὼβ ἐπὶ τὴν εἴσοδον Ἐμάθ. καὶ ἀνέβησαν διὰ τοῦ νότου καὶ ἦλθον ἕως Χεβρὼν καὶ ἐκεῖ Ἀχιμὰν καὶ Σεσὶ καὶ Θολμὶ υἱοὶ Ἐνάκ. καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ προσώπου Τάνεως Αἰγύπτου. καὶ ἦλθον ἕως χειμάρρου Βότρυος καὶ ἔκοψαν ἐκεῖθεν κλῆμα καὶ βότρυν ἕνα καὶ ἐβάστασαν αὐτὸν ἐν ξύλῳ δύο ἀνδρες, καὶ ἀπὸ τῶν ῥοιῶν καὶ ἀπὸ τῶν συκῶν. ἐπὶ τόπου ἐκείνου ἐξεκόπησαν οἱ υἱοὶ Ἰσραὴλ τὸν βότρυν ὃν ἐξέκοψαν ἐκεῖθεν οἱ κατάσκοποι. καὶ ἐπεστράφησαν ἀπὸ τῆς κατασκοπῆς τῆς γῆς μετὰ τεσσαράκοντα ἡμέρας. καὶ ἐπορεύθησαν καὶ ἦλθον πρὸς Μωϋσῆν καὶ πρὸς Ἀαρὼν καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Φαρὰν εἰς Κάδης καὶ ἀπέδωκαν λόγον αὐτοῖς καὶ πάσῃ τῇ συναγωγῇ καὶ ἔδειξαν τὸν καρπὸν τῆς γῆς. καὶ διηγήσαντο αὐτῷ καὶ εἶπαν. ἐλθόντες εἰς τὴν γῆν ἣν ἀπέστειλας ἡμᾶς, καὶ ὄντως ῥέει γάλα καὶ μέλι, καὶ ταῦτα τὰ γενήματα αὐτῆς. πλὴν ὅτι ἰσχυρὸς ὁ λαὸς ὁ κατοικῶν ἐν τῇ γῇ, καὶ αἱ πόλεις ὀχυραὶ καὶ μεγάλαι σφόδρα, καὶ ἐκεῖ γίγαντες ἑωράκαμεν. Ἀμαλὴκ κατοικεῖ ἐν τῇ γῇ τῇ πρὸς νότον, καὶ Χετταῖος καὶ Ἰεβουσαῖος καὶ Ἀμορραῖος καὶ Φερεζαῖος καὶ Ἐβραῖος καὶ Ἀμορραῖος κατοικοῦσιν ἐν τῷ ὄρει τῷ ὀρεινῷ, καὶ Χαναναῖος κατοικεῖ ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τοῦ Ἰορδάνου. καὶ κατέπαυσε Χάλεβ τὸν λαὸν πρὸς Μωϋσῆν καὶ εἶπε. ἀναβαίνοντες ἀναβησόμεθα καὶ κατακληρονομήσομεν τὴν γῆν, ὅτι δυνατοὶ δυνησόμεθα αὐτήν. οἱ δὲ ἄνδρες οἱ ἀναβάντες μετ' αὐτοῦ εἶπαν. οὐ δυνησόμεθα ἀναβῆναι πρὸς τὸν λαὸν τὸν ἐκεῖ, ὅτι ἰσχυρότερος ἡμῶν ἐστιν. καὶ ἐξέκλιναν τὴν γῆν ἣν κατεσκόπευσαν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ λέγοντες. ἡ γῆ ἣν διήλθομεν κατασκοπεῦσαι αὐτήν, γῆ ἀπολλύουσα τοὺς κατοικοῦντας αὐτήν ἐστιν. καὶ πᾶς ὁ λαὸς ὃν εἴδομεν ἐν μέσῳ αὐτῆς ἄνδρες ὑψηλοὶ τῷ μεγέθει. καὶ ἐκεῖ τοὺς γίγαντας ἑωράκαμεν υἱοὺς Ἐνάκ ἐκ τῶν γιγάντων. καὶ ἦμεν ἐν ὀφθαλμοῖς ἡμῶν ὡσεὶ ἀκρίδες, καὶ οὕτως ἦμεν ἐν ὀφθαλμοῖς αὐτῶν. καὶ ἐπῆρε πᾶσα ἡ συναγωγὴ καὶ ἔδωκαν τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυσεν ὁ λαὸς τὴν νύκτα ἐκείνην. καὶ ἐγόγγυσαν πάντες οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ Μωϋσῆν καὶ ἐπὶ Ἀαρών, καὶ εἶπεν αὐτοῖς πᾶσα ἡ συναγωγή. εἰ ἀπεθάνομεν ἐν γῇ Αἰγύπτῳ ἢ ἐν τῇ ἐρήμῳ ταύτῃ ὤφελον. καὶ ἵνα τί κύριος εἰσάγει ἡμᾶς εἰς τὴν γῆν ἐκείνην πεσεῖν ἐν μαχαίρᾳ; αἱ γυναῖκες ἡμῶν καὶ τὰ τέκνα ἡμῶν ἐν διαρπαγῇ ἔσονται. οὐκοῦν βέλτιον ἡμῖν ἀποστραφῆναι εἰς Αἴγυπτον. καὶ εἶπαν ἄνθρωπος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. δῶμεν ἀρχηγὸν καὶ ἀποστρεψώμεθα εἰς Αἴγυπτον. καὶ ἔπεσε Μωϋσῆς καὶ Ἀαρὼν ἐπὶ πρόσωπον αὐτῶν ἐναντίον πάσης συναγωγῆς υἱῶν Ἰσραήλ. καὶ Ἰησοῦς ὁ τοῦ Ναυὴ καὶ Χάλεβ ὁ τοῦ Ἰεφοννὴ ἀπὸ τῶν κατασκόπων τῆς γῆς διέρρηξαν τὰ ἱμάτια αὐτῶν. καὶ εἶπαν πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγοντες. ἡ γῆ ἣν διήλθομεν κατασκοπεῦσαι αὐτήν, γῆ ἀγαθὴ σφόδρα. ἐὰν εὐδοκήσῃ ἐν ἡμῖν κύριος, καὶ εἰσάξει ἡμᾶς εἰς τὴν γῆν ταύτην καὶ δώσει ἡμῖν αὐτήν, γῆ ἣ ῥεῖ γάλα καὶ μέλι. πλὴν ἐν τῇ ἀποστασίᾳ μὴ ἀποστατεῖτε ἀπὸ κυρίου, καὶ ὑμεῖς μὴ φοβεῖσθε τὸν λαὸν τῆς γῆς, ὅτι ἄρτος ἡμῶν ἐστιν αὐτούς. ἀπέστη ἡ σκέπη ἀπ' αὐτῶν, καὶ ὁ θεὸς μεθ' ἡμῶν. μὴ φοβεῖσθε αὐτούς. καὶ εἶπεν πᾶσα ἡ συναγωγὴ λιθοβολῆσαι αὐτοὺς λίθοις. καὶ δόξα κυρίου ὤφθη ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου πρὸς πάντας τοὺς υἱοὺς Ἰσραήλ. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν. ἕως τίνος παροργιεῖ με ὁ λαὸς οὗτος; καὶ ἕως τίνος οὐ πιστεύσουσιν ἐν ἐμοὶ ἐν πᾶσι τοῖς σημείοις οἷς ἐποίησα ἐν μέσῳ αὐτῶν; ἐξολεθρεύσω αὐτοὺς θανάτῳ καὶ ἀπορίᾳ, καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ πολὺ καὶ ἰσχυρὸν ὑπὲρ τοῦτο. καὶ εἶπε Μωϋσῆς πρὸς κύριον. καὶ ἀκούσονται Αἰγύπτιοι ὅτι ἀνήγαγες ἐν τῇ ἰσχύι σου τὸν λαὸν τοῦτον ἐξ αὐτῶν, καὶ ἐροῦσι πρὸς τοὺς κατοικοῦντας ταύτην τὴν γῆν. ἀκηκόασιν ὅτι σὺ κύριος ἐν μέσῳ τοῦ λαοῦ τούτου, ὅτι ὀφθαλμοῖς πρὸς ὀφθαλμοὺς ὀπτάνεσθε σύ, κύριε, καὶ ἡ νεφέλη σου ἐφέστηκεν ἐπ' αὐτούς, καὶ ἐν στύλῳ νεφέλης σὺ προπορεύῃ ἡμέρας καὶ ἐν στύλῳ πυρὸς νυκτός. καὶ ἀπέκτεινας τὸν λαὸν τοῦτον ὡσεὶ ἄνδρα ἕνα, καὶ ἐροῦσιν τὰ ἔθνη ἃ ἀκηκόασι τὸ ὄνομά σου λέγοντες. ἀπὸ τοῦ μὴ δύνασθαι κύριον εἰσαγαγεῖν τὸν λαὸν τοῦτον εἰς τὴν γῆν ἣν ὤμοσεν αὐτοῖς, ἀπέκτεινεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. καὶ νῦν μεγαλυνθήτω ἡ ἰσχύς σου, κύριε, καθὼς ἐλάλησας λέγων. κύριος μακροθυμῶν καὶ πολυέλεος, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρίζων οὐ καθαριεῖ, ἀποδιδοὺς ἀνομίας πατέρων ἐπὶ τέκνα εἰς τρίτην καὶ τετάρτην γενεάν. ἄφες δὴ τὰς ἀνομίας τοῦ λαοῦ τούτου κατὰ τὸ μέγεθος τοῦ ἐλέους σου, καθὼς ἐλάλησας ἐπὶ τοῦτον τὸν λαὸν ἀπὸ Αἰγύπτου ἕως τοῦ νῦν. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν. ἀφέωμαι κατὰ τὸ ῥῆμά σου. πλὴν ζῶ ἐγὼ καὶ ἐμπλησθήσεται πᾶσα ἡ γῆ δόξης κυρίου. ὅτι πάντες οἱ ἄνδρες οἱ ὁρῶντες τὴν δόξαν μου καὶ τὰ σημεῖά μου ἃ ἐποίησα ἐν Αἰγύπτῳ καὶ ἐν τῇ ἐρήμῳ καὶ ἐκπειράσαντές με ἤδη δέκα ἀκούσονται τῆς φωνῆς μου, εἰ ὄψονται τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, καὶ πάντες οἱ παροξύναντες με οὐκ ὄψονται αὐτήν. τὸν δὲ δοῦλόν μου Χάλεβ ὁ τοῦ Ἰεφοννὴ ἀνθ' ὧν ἐπλήρωσε τὸ πνεῦμα τὸ ἐμὸν ὀπίσω μου καὶ ἐπορεύθη ὀπίσω μου, καὶ εἰσάξω αὐτὸν εἰς τὴν γῆν ἣν ἐπορεύθη ἐπ' αὐτήν, καὶ τὸ σπέρμα αὐτοῦ κατακληρονομήσει αὐτήν. καὶ Ἀμαλὴκ καὶ Χαναναῖος κατοικοῦσιν ἐν τοῖς πεδίοις. αὔριον ἀποστραφέντες ἀπάρατε εἰς τὴν ἔρημον ὁδὸν τὴν ἐρυθρὰν θάλασσαν. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν καὶ πρὸς Ἀαρὼν λέγων. ἕως τίνος συναγωγὴ πονηρὰ αὕτη γογγύζει ἐπ' ἐμοί; ἐγὼ γὰρ ἀκήκοα τὰ γογγύσματα τῶν υἱῶν Ἰσραὴλ ἃ γογγύζουσιν ἐπ' ἐμοί. εἰπὸν αὐτοῖς. ζῶ ἐγὼ λέγει κύριος, εἰ μὴ καθὼς ἐλαλήσατε ἐν τοῖς ὠσὶν μου, οὕτως ποιήσω ὑμῖν. ἐν τῇ ἐρήμῳ ταύτῃ πεσοῦνται τὰ κῶλα ὑμῶν, καὶ πᾶσα ἡ ἐπισκοπὴ ὑμῶν κατὰ πάντα τὸν ἀριθμὸν ὑμῶν ἀπὸ ἐτῶν εἰκοσαετοῦς καὶ ἐπάνω ὅσοι ἐγόγγυσαν ἐπ' ἐμοί. εἰ ὑμεῖς εἰσελεύσεσθε εἰς τὴν γῆν ἐφ' ἣν ἐξέτεινα τὴν χεῖρά μου κατασκηνῶσαι ἐν αὐτῇ, πλὴν Χάλεβ ὁ τοῦ Ἰεφοννὴ καὶ Ἰησοῦς ὁ τοῦ Ναυή. τὰ δὲ παιδία ὑμῶν ἃ εἴπατε ἐν διαρπαγῇ ἔσεσθαι, καὶ εἰσάξω αὐτοὺς καὶ γνώσονται τὴν γῆν ἣν ἐξουδενώσατε ὑμεῖς. τὰ δὲ κῶλα ὑμῶν πεσεῖται ἐν τῇ ἐρήμῳ ταύτῃ. οἱ δὲ υἱοὶ ὑμῶν ἔσονται ποιμαίνοντες ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, καὶ ἀντιλήμψονται τῶν πορνειῶν ὑμῶν ἕως ἂν ἐκλείπωσιν τὰ κῶλα ὑμῶν ἐν τῇ ἐρήμῳ. κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν ὧν κατεσκοπεύσατε τὴν γῆν τεσσαράκοντα ἡμέρας, ἡμέραν ἀντὶ ἐνιαυτοῦ ἡμέραν ἀντὶ ἐνιαυτοῦ λήμψεσθε τὰς ἁμαρτίας ὑμῶν τεσσαράκοντα ἔτη, καὶ γνώσεσθε τὸν θυμόν μου. ἐγὼ κύριος ὁ θεὸς εἶπα. εἰ μὴ ταῦτα ποιήσω πάσῃ τῇ συναγωγῇ τῇ πονηρᾷ ταύτῃ τῇ συνεστηκυίᾳ ἐπ' ἐμοί, ἐν τῇ ἐρήμῳ ταύτῃ ἐκλείψουσιν καὶ ἐκεῖ ἀποθανοῦνται. καὶ οἱ ἄνδρες οἱ ἀποσταλέντες ὑπὸ Μωϋσῆ κατασκοπεῦσαι τὴν γῆν καὶ ἀποστραφέντες καὶ διαγογγύσαντες ἐπ' αὐτὸν πάντα τὸν λαὸν ἐπὶ τὴν γῆν, καὶ ἐξουδενώσαντες τὴν γῆν κακῶς, καὶ ἀποθανόντες οἱ ἄνδρες οἱ κατασκοπεύσαντες τὴν γῆν κακῶς ἐν πληγῇ ἐναντίον κυρίου. καὶ Ἰησοῦς ὁ τοῦ Ναυὴ καὶ Χάλεβ ὁ τοῦ Ἰεφοννὴ ἐζήτησαν ἐκ τῶν ἀνδρῶν ἐκείνων τῶν πορευθέντων κατασκοπεῦσαι τὴν γῆν. καὶ ἐλάλησε Μωϋσῆς τὰ ῥήματα ταῦτα πρὸς πάντας τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐπένθησεν ὁ λαὸς σφόδρα. καὶ ὀρθρίσαντες τὸ πρωῒ ἀνέβησαν εἰς τὴν ὀρεινὴν λέγοντες. ἰδοὺ ἡμεῖς ἀναβησόμεθα εἰς τὸν τόπον ὃν εἶπε κύριος, ὅτι ἡμάρτομεν. καὶ εἶπε Μωϋσῆς. ἵνα τί τοῦτο ὑμεῖς παραβαίνετε τὸ ῥῆμα κυρίου; καὶ οὐκ ἐπιτυχὴς ἔσται. μὴ ἀναβαίνετε, οὐ γὰρ ἔστιν κύριος μεθ' ὑμῶν, καὶ οὐ μὴ πεσεῖσθε ἔμπροσθεν τῶν ἐχθρῶν ὑμῶν. ὁ γὰρ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος ἐκεῖ ἔμπροσθεν ὑμῶν, καὶ πεσεῖσθε ἐν μαχαίρᾳ, ὅτι ἀπεστράφητε ἀπὸ κυρίου, καὶ οὐκ ἔσται κύριος μεθ' ὑμῶν. καὶ ἐτόλμησαν ἀναβῆναι εἰς τὴν ὀρεινήν. καὶ κιβωτὸς διαθήκης κυρίου καὶ Μωϋσῆς οὐκ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς. καὶ κατέβη ὁ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος ὁ κατοικῶν ἐν τῷ ὄρει ἐκείνῳ, καὶ ἐπάταξαν αὐτοὺς καὶ κατέκοψαν ἕως Ὁρμᾶ. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων. λάλησον πρὸς τοὺς υἱοὺς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς. ὅταν εἰσπορεύησθε εἰς τὴν γῆν τὴν κατοικίαν ὑμῶν ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ποιήσητε θυσίαν κυρίῳ ὁλοκ

ζδύγη τῶν Βοῶν προτροπὰς, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν, καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ἠχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν στόματι μαχαίρας. σωθεὶς δὲ ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰώβ· πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ὧδε τῶν ὑῶν, καὶ κατέφαγε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέκαυσεν ὁμοίως, καὶ σωθεὶς ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰώβ, καὶ λέγει αὐτῷ· οἱ ἵππεις ἐποίησαν ἡμῖν ἀρχὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ἠχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίρᾳ· σωθεὶς δὲ ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται πρὸς Ἰώβ λέγων· τὰ ὑμῶν σου, καὶ τὰ θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρωτοτόκῳ, ἰδοὺ πνεῦμα μέγα ἦλθεν ἀπὸ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν. καὶ ἐσώθην ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. οὕτως ἀκούσας Ἰώβ, ἀνέστη καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, καὶ κατέπεσεν χαμαὶ ἐπὶ τῆς γῆς, καὶ προσεκύνησε τῷ κυρίῳ, καὶ εἶπεν· αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο. ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο, εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐχ ἥμαρτεν Ἰώβ, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ, καὶ οὐκ ἔδωκεν ἀφροσύνῃ τῷ θεῷ.

ΚΕΦΑΛ. ϛ'. 2.

Ἀγαπήσω σε λύριε ἡ ἰσχύς μου. λύριος σε ῥιώμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου. Ὁ θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὑπεραστισής μου, καὶ λόφας σωτηρίας μου, καὶ αὐτιλήπτωρ μου. Αἰνῶν ὕμνων καλέσομαι τὸν λύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με. Ὠδῖνες ᾅδου πύριε κύκλωσάν με, προέφθασάν με παγίδες θανάτου. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν λύριον, καὶ πρὸς τὸν θεόν μου ἐκέκραξα. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ ἱκεσία μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. Καὶ ἐσαλεύθη καὶ ἐτρόμος ἐγένετο ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατάφλεγέσεται, ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐτοῦ. Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. Καὶ ἐπέβη ἐπὶ χερουβὶμ, καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων πνεύματος. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, λύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ λύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ. Ἐξαπέστειλε βέλη καὶ διεκόρπισεν αὐτούς, καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀπεκαλύφθησαν τὰ θεμέλια τῆς οἰκουμένης, ἀπὸ τῆς ἐπιτιμήσεώς σου λύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου. Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν. Ῥύσεταί με ἐξ ἐχθρῶν μου ἰσχυρῶν, καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. Προέφθασάν με ἐν ἡμέρᾳ ἀκωστίας μου, καὶ ἐγένετο λύριος ἀντιλήπτωρ μου. Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν. ῥύσεταί με, ὅτι ἠθέλησέ με. Καὶ ἀνταποδώσει μοι λύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. Ὅτι ἐφύλαξα τὰς ὁδοὺς λυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου. Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ. Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. Καὶ ἀνταποδώσει μοι λύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ. Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. Ὅτι σὺ φωτιεῖς λύχνον μου λύριε, ὁ θεός μου φωτιεῖ τὸ σκότος μου. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος.

Ὁ θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια λυρίου πεπυρωμένα. ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. Ὅτι τίς θεὸς πάρεξ τοῦ λυρίου; ἢ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν; Ὁ θεὸς ὁ περιζωννύων με δυνάμει, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου. Καταρτίζων τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλά μου ἱστῶν με. Διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ τεθεικὼς τόξον χαλκοῦν τοὺς βραχίονάς μου. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας, καὶ ἡ δεξιά σου ἀντελάβετό μου. Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἀσθένησαν τὰ ἴχνη μου. Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτούς, καὶ οὐκ ἀποστραφήσομαι ἕως οὗ ἐκλείπωσιν. Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι. πεσοῦνται ὑπὸ τοὺς πόδας μου. Καὶ περιέζωσάς με δυνάμει εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου. Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας. Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων. πρὸς λύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν. Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χοῦν πρὸ προσώπου ἀνέμου, ὡς πηλὸν πλατειῶν λειανῶ αὐτούς. Ῥύσῃ με ἐξ ἀντιλογίας λαοῦ, κατάστασίς με εἰς κεφαλὴν ἐθνῶν. Λαός ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τριβῶν αὐτῶν. Ζῇ λύριος, καὶ εὐλογητὸς ὁ θεός. καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτηρίας μου.

Ὁ θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί, καὶ ὑποτάξας λαοὺς ὑπὸ ἐμέ, ὁ ῥύστης μου ἀπὸ τῶν ἐχθρῶν μου ὀργίλων. Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με, ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσαι με. Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι λύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ, Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ, τῷ Δαβὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τοῦ Δαβίδ. ιθ'.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ποίημα δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ἡμέρᾳ τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. Οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐ-

τῶν. Εἰς πᾶσαν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ. Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ. Καὶ ὁ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμης αὐτοῦ. Ὁ νόμος κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς. ἡ μαρτυρία κυρίου πιστή, σοφίζουσα νήπια. Τὰ δικαιώματα κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν. ἡ ἐντολὴ κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς. Ὁ φόβος κυρίου ἁγνός, στήκων εἰς αἰῶνα αἰῶνος. τὰ κρίματα κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολύ. καὶ γλυκύτερα ὑπὲρ μέλι, καὶ κηρίον.

Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά, ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. Παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φείσαι τοῦ δούλου σου. Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός. Κύριε βοήθεί μου, καὶ λυτρωτά μου.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ιθ'.

Ἐπακούσαί σου κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαί σου τὸ ὄνομα τοῦ θεοῦ Ἰακώβ. Ἐξαποστείλαί σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλαβοιτό σου. Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκάρπωμά σου πιανάτω.

Δώη σοι κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρῶσαι. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Πλήρωσαι κύριος πάντα τὰ αἰτήματά σου, νῦν ἔγνων ὅτι ἔσωσε κύριος τὸν χριστὸν αὐτοῦ. Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, ἐν δυνασταίαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν ὠλιγαλεσόμεθα.

Αὐτοὶ συνεποδίσθησαν, καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνορθώθημεν. Κύριε σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ὠλιγαλεσώμεθά σε.

Ψαλμὸς τῷ Δαβίδ. κ'.

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν, εἰς αἰῶνα αἰῶνος. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν. Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε. Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς ἐν καιρῷ τοῦ προσώπου σου, κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. Ὅτι ἐξέκλιναν ἐπὶ σὲ κακά, ἐβουλεύσαντο βουλὰς αἷς οὐ μὴ στώσωσιν πάσας. Ὅτι θήσεις αὐτοὺς νῶτον ἐν τοῖς περιλοίποις σου, ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. Ὑψώθητι κύριε ἐν τῇ δυνάμει σου, ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυνάμεις σου. Δόξα.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ Δαβίδ. λά.

Ὁ θεός ὁ θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. Ὁ θεός μου βοήσομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ. καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐρρύσω αὐτούς. Πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν. ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν. Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος. ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν. Ὅτι σὺ εἶ ὁ ἐκτάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἐκ μαστῶν τῆς μητρός μου. ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, Ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ. μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι. Περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες ἐπεσχόν με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενον ἐν μέσῳ τῆς κοιλίας μου. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τοῦ λάρυγγός μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με. Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. αὐτοὶ δὲ κατενόησαν, καὶ ἐπεῖδόν με. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Σὺ δὲ κύριε μὴ μακρύνῃς τὴν βοήθειάν

βοηθειαν σε ἀπ' ἐμοῦ, εἰς τὴν αὐτάρκειάν μου πρόχειρον. Ρῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δόξασατε αὐτόν. Φοβηθήτω ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραὴλ, ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ. Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραυγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου. Παρὰ σοῦ ὁ ἔπαινός μου, ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι. τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν. Φάγονται πτωχοὶ καὶ ἐμπλησθήσονται. Καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτόν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. Ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ. Ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος.

Ψαλμὸς τῷ Δαβίδ. μβ'.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, ἐν τόπῳ χλόης ἐκεῖ με κατεσκήνωσεν. Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξεθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν. Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐτά με παρεκάλεσαν. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξηναντίας τῶν θλιβόντων με. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡσεὶ κράτιστον. Καὶ τὸ ἔλεός σου καταδιώξει με, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Καὶ τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρίου, εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ Δαβίδ, τῆς μιᾶς σαββάτων. μγ'.

Τοῦ κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς· ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου, ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; Ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ. Οὗτος λήψεται εὐλογίαν παρὰ κυρίου, καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ. Αὕτη ἡ γενεὰ ζητούντων τὸν κύριον, ζητούντων τὸ πρόσωπον τοῦ θεοῦ Ἰακώβ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; κύριος κραταιὸς καὶ δυνατὸς, κύριος δυνατὸς ἐν πολέμῳ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

Δόξα. κάθισμα γ'.

Ψαλμὸς τῷ Δαβίδ. μδ'.

Πρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου, ὁ θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου, καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν. Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆ. Τὰς ὁδούς σου κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. Μνήσθητι τῶν οἰκτιρμῶν σου κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου, μὴ μνησθῇς. Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου κύριε. Χρηστὸς καὶ δίκαιος ὁ κύριος, διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. Πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ. Ἕνεκεν τοῦ ὀνόματός σου κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι. Τίς ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον, νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ἣν ἐξελέξατο; Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. Κραταίωμα κυρίου τοῖς φοβουμένοις αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς. Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν κύριον, ὅτι αὐτὸς ἐκβαλεῖ ἐκ παγίδος τοὺς πόδας μου. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀνάγκων μου ἐξάγαγέ με. Ἴδε τὴν ταπείνωσίν μου, καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε οἱ ἐχθρός μου ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπί σε. Ἀκάκοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε κύριε. Λύτρωσαι ὁ θεὸς τὸν Ἰσραὴλ, ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ψαλμὸς τοῦ Δαβίδ. λε.

Κρῖνόν μοι κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην. καὶ ἐπὶ τῷ κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενώσω. Δοκίμασόν με κύριε, καὶ πείρασόν με. πύρωσον τοὺς νεφρούς μου, καὶ τὴν καρδίαν μου. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστι, καὶ ἠρεσα ἐν τῇ ἀληθείᾳ σου. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε. Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην, λύτρωσαί με κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, ἐν ἐκκλησίαις εὐλογήσω σε κύριε.

Ψαλμὸς τοῦ Δαβίδ, πρὸ τοῦ χρισθῆναι. λς'.

Κύριος φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. ἀπὸ τίνος δειλιάσω; Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον. Ἐὰν στρατεύσηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου. Ἐὰν ἐπανασταθῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. Μίαν ἠτησάμην παρὰ κυρίου, ταύτην ζητήσω, τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Τοῦ θεωρεῖν με τὴν τερπνότητα κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ, ἐν ἡμέρᾳ κακῶν μου ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ. Ἐπὶ πέτρᾳ ὕψωσέ με, καὶ νῦν ἐὐθὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθροὺς μου. Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμόν, ᾄσω καὶ ψαλῶ τῷ κυρίῳ. Εἰσάκουσον κύριε τῆς φωνῆς μου, ἧς ἐκέκραξα. ἐλέησόν με, καὶ εἰσάκουσόν μου. Σοὶ εἶπεν ἡ καρδία μου, Κύριον ζητήσω, ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, τὸ πρόσωπόν σου κύριε ζητήσω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός μου γενοῦ, μὴ ἀπορρίψῃς με, μηδὲ ἐγκαταλίπῃς με ὁ θεὸς ὁ σωτήρ μου. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ κύριος προσελάβετό με. Νομοθέτησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου, ἐν γῇ ζώντων. Ὑπόμεινον τὸν κύριον, ἀνδρίζου καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν κύριον. Δόξα.

Ψαλμὸς τοῦ Δαβίδ. κζ'.

Πρός σε κύριε κεκραξόμαι, ὁ θεός μου μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Εἰσάκουσον κύριε τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δεήσθαί με πρός σε, ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου. Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, καὶ μετὰ ἐργαζομένων τὴν ἀδικίαν μὴ συναπολέσῃς με. Τῶν λαλούντων εἰρήνην μετὰ τοῦ πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν. Δὸς αὐτοῖς κύριε κατὰ τὰ ἔργα αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν. Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν, δὸς αὐτοῖς. ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν, αὐτοῖς. Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου, καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ. καθελεῖς αὐτούς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς. Εὐλογητὸς κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου. Κύριος βοηθός μου, καὶ ὑπερασπιστής μου. ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην. Καὶ ἀνέθαλεν ἡ σὰρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστι. Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτούς, καὶ ἐπάρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Ψαλμὸς τοῦ Δαβίδ, ἐξόδιον σκηνῆς. λη'.

Ἐνέγκατε τῷ κυρίῳ υἱοὶ θεοῦ, ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν. Ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν, ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων. ὁ θεὸς τῆς δόξης ἐβρόντησε, κύριος ἐπὶ ὑδάτων πολλῶν. Φωνὴ κυρίου ἐν ἰσχύι, φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ. Φωνὴ κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει κύριος τὰς κέδρους τοῦ λιβάνου. Καὶ λεπτυνεῖ αὐτὰς ὡς μόσχον τοῦ λιβάνου, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων. Φωνὴ κυρίου διακόπτοντος φλόγα πυρός, φωνὴ κυρίου σείοντος ἔρημον, καὶ σείσει κύριος τὴν ἔρημον Κάδης. Φωνὴ κυρίου κατευθηδούσης ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς, καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν. Κύριος τὸν κατακλυσμὸν κατοικεῖ, καὶ καθιεῖται κύριος βασιλεὺς εἰς τὸν αἰῶνα. κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

Ψαλμὸς

Ψαλμὸς ᾠδῆς τῷ ἐγκαινισμῷ τοῦ οἴκου Δαβίδ. κθ'.

ΥΨώσω σε κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ ἠὐφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ. Κύριε ὁ θεός μου, ἐκέκραξα πρὸς σε, καὶ ἰάσω με. Κύριε ἀνήγαγες ἐξ ἅδου τὴν ψυχήν μου, ἔσωσας με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. Ψάλατε τῷ κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τοῦ ἁγιωσύνης αὐτοῦ. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ. Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις.

Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθυμίᾳ μου· οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Κύριε ἐν τῷ θελήματί σου, παρέσχες τῷ κάλλει μου δύναμιν. Ἀπέστρεψας δὲ τὸ πρόσωπόν μου, καὶ ἐγενήθην ταραχωμένος. Πρὸς σὲ κύριε κεκράξομαι, καὶ πρὸς τὸν θεόν μου δεηθήσομαι. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; Μὴ ἐξομολογήσεταί σοι χοῦς; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; Ἤκουσε κύριος, καὶ ἐλέησέ με. κύριος ἐγενήθη βοηθός μου. Ἐστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην· ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ. κύριε ὁ θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοί. Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ.

ἐκστάσεως. λ'.

ΕΠί σοι κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαί με. Γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ σὺ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με. Ἐξάξεις με ἐκ παγίδος ταύτης ἣν ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὑπερασπιστής μου κύριε. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, ἐλυτρώσω με κύριε ὁ θεὸς τῆς ἀληθείας. Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῶς, ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπισα. Ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου, ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου. ἔσωσας ἐκ τῶν ἀνάγκων τὴν ψυχήν μου. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθροῦ, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Ἐλέησόν με κύριε, ὅτι θλίβομαι. Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς. Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. Οἱ θεωροῦντες με ἔξω ἔφυγον ἀπ' ἐμοῦ, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας. Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός, ὅτι ἤκουσα ψόγον πολλῶν περιοικούντων· συνελόθην. Ἐν τῷ συστῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

Ἐγὼ δὲ ἐπί σοι ἤλπισα κύριε. εἶπα· σὺ εἶ ὁ θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου. κύριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε. Αἰσχυνθείησαν ἀσεβεῖς, καὶ κατηχθείησαν εἰς ᾅδου. Ἀλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου κύριε, ἣν ἔκρυψας τοῖς φοβουμένοις σε. Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων. Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν. εὐλογητὸς κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, ἀπερρίμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ. Ἀγαπήσατε τὸν κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀλήθειαν ἐκζητεῖ κύριος, καὶ ἀνταποδίδωσι περισσῶς ποιοῦσιν ὑπερηφανίαν. Ἀνδρίζεσθε καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ κύριον.

Ψαλμὸς τῷ Δαβὶδ συνέσεως. λα'.

ΜΑκάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κραυγάζειν με ὅλην τὴν ἡμέραν. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθα. Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Ὑπὲρ τούτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθετῷ. Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με, τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. Συνιῶ σε, καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις. Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄρξαι, τοῦ μὴ ἐγγίζειν πρὸς σέ. πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τοὺς δὲ ἐλπίζοντας ἐπὶ κύριον ἔλεος κυκλώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σει. Εὐφραίνθητε ἐπὶ κυρίῳ καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα. κάθισμα δ'.

Ψαλμὸς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' ἑβραίοις. λβ'.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. Ἄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ. Ὅτι εὐθὴς ὁ λόγος τοῦ κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος, τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ. Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. Φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. Μακάριον τὸ ἔθνος οὗ ἐστὶν ὁ κύριος ὁ θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ, ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τὸν κύριον, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ὅστιν. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τοῦ ἁγίου αὐτοῦ ἠλπίσαμεν. Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθαπὲρ ἠλπίσαμέν σε.

Ψαλμὸς τῷ Δαβίδ, ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν. λγ'.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου, ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. Παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ κύριος, μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν. Φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἐπήκουσαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος. Φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμεληθήσονται. Λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμεληθήσονται πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν. Δόξα.

Ψαλμὸς τῷ Δαβίδ. λδ'.

Δίκασον κύριε τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με. Εἰπὸν τῇ ψυχῇ μου· σωτηρία σού εἰμι ἐγώ. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος κυρίου ἐμβλίβων αὐτούς. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος κυρίου κατὰ διώκων αὐτούς. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, ματαίως ὠνείδισαν τὴν ψυχήν μου. Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψε συμβήτω αὐτῷ, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ, προφθήσε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κδρφθήσεται ὑπὸ τῷ σωτηρίῳ αὐτοῦ. Πάντα τὰ ὀστᾶ μου ἐρῶσι, κύριε κύριε τίς ὅμοιός σοι;

Ρυόμενον πτωχὸν ἐκ χειρὸς κρεισσόνων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με. Ἀνταπεδίδουσί μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. Ἐγὼ δὲ ἐν τῷ αὐτούς παρῳκλεῖμοι ἐνεδυόμην σάκκον. καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται. Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ, οὕτως ἠρεσκόμην· ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην. καὶ κατ' ἐμοῦ ἐφράσθησαν, καὶ συνήχθησαν. συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων.

Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Κύριε πότε ἐπόψῃ; ἀπόκατάστησον τὴν ψυχήν μου ἀπὸ τῶν πονηρειῶν αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου. Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεάν, καὶ διανεύοντες ὀφθαλμοῖς. Ὅτι μὴ μοὶ εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο. καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν. εἶπον· εὖγε εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. Εἶδον κύριε, μὴ παρασιωπήσῃς, κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Ἐξεγέρθητι κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ θεός μου, καὶ ὁ κύριός μου εἰς τὴν δίκην μου. Κρῖνόν με κύριε κατὰ τὴν δικαιοσύνην σου, κύριε ὁ θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν. μὴ εἴποισιν ἐν καταπόμεθα αὐτόν. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα, οἱ ἐπιχαίροντές μοι τοῖς κακοῖς μου. Ἐνδυσαθείησαν αἰσχύνην καὶ ἐντροπήν, οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ. Ἀγαλλιασθείησαν καὶ εὐφρανθήτωσαν, οἱ θέλοντες τὴν δικαιοσύνην μου. καὶ εἰπάτωσαν διαπαντὸς μεγαλυνθήτω ὁ κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ. καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Εἰς τὸ τέλος τοῦ παιδὸς κυρίου τοῦ Δαβίδ. λέ.

Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος, οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθεῦσαι. Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, κακίαν δὲ οὐ προσώκθισε. Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν. Ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ, τὰ κρίματά σου ἄβυσσος πολλή. Ἀνθρώπους καὶ κτήνη σώσεις κύριε, ὡς ἐπληθύνθη τὸ ἔλεός σου ὁ θεός. Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ. Μὴ ἐλθέτω μοι ποῦς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαί με. Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι.

Δόξα.

Ψαλμὸς τῷ Δαβίδ. λς.

Μὴ παραζήλου ἐν πονηρευομένοις, μὴ ζήλωσῃς τοὺς ποιοῦντας τὴν ἀνομίαν· ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Ἔλπισον ἐπὶ κύριον, καὶ ποίει χρηστότητα· καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. Κατατρύφησον τοῦ κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.

Ἀποκάλυψον πρὸς κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει. καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν. Ὑποτάγηθι τῷ κυρίῳ, καὶ ἱκέτευσον αὐτόν. Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας. Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν, μὴ παραζήλου ὡς τοῦ κακουργεῖσθαι· ὅτι οἱ κακουργοῦντες ἐξολοθρευθήσονται. οἱ δὲ ὑπομένοντες τὸν κύριον, αὐτοὶ κληρονομήσουσι γῆν. καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ καταπολυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ. Ὁ δὲ κύριος ἐκγελάσεται αὐτόν· ὅτι προβλέπει, ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τὸ τόξον αὐτῶν, τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, στηρίζει δὲ τοὺς δικαίους ὁ κύριος. Γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται, ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται. Οἱ δὲ ἐχθροὶ τοῦ κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες

ὡσεὶ

σει. Εὐφράνθητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα. Κάθισμα ιδ'.

Ψαλμὸς τῷ Δαβίδ, ὠδὴ πρὸς ἑβραίους. λβ'.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. Ἄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ. Ὅτι εὐθὴς ὁ λόγος τοῦ κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος, τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ. Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. Φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. Μακάριον τὸ ἔθνος οὗ ἐστὶν κύριος ὁ θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ, ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τὸν κύριον, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τοῦ ἁγίου αὐτοῦ ἠλπίσαμεν. Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Ψαλμὸς τῷ Δαβίδ, ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν. λγ'.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου, ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. Παρεμβαλεῖ ἄγγελος κυρίου κυκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ κύριος, μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν. Φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἐκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτὸν ὁ κύριος. Φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. Λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσωσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν. Δόξα.

Ψαλμὸς τοῦ Δαβίδ. λδ'.

Δίκασον κύριε τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με. Εἰπὸν τῇ ψυχῇ μου· σωτηρία σού εἰμι ἐγώ. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος κυρίου ἐκθλίβων αὐτούς. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος κυρίου κατὰ διώκων αὐτούς. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδι αὐτῶν, ματαίως ὠνείδισαν τὴν ψυχήν μου. Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψε συλλαβέτω αὐτὸν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ, εὐφρανθήσε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καρφθήσεται ὑπὸ τῷ σωτηρίῳ αὐτοῦ. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε τίς ὅμοιός σοι;

Ῥυόμενον πτωχὸν ἐκ χειρὸς κρεισσόνων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ διαρπαζόντων αὐτόν. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον. καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται. Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ, οὕτως ἠρεσκόμην. ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην. καὶ κατ' ἐμοῦ ἐφράνθησαν, καὶ συνήχθησαν. συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων. Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Κύριε πότε ἐπόψῃ; ἀπὸ κακουργιῶν αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου. Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεάν, καὶ διανεύοντες ὀφθαλμοῖς. Ὅτι μὴ εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο. καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν. εἶπον· εὖγε εὖγε, εἶδον οἱ ὀφθαλμοί ἡμῶν. Εἶδες Κύριε, μὴ παρασιωπήσῃς, Κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Ἐξεγέρθητι Κύριε, καὶ πρόσχες τῇ κρίσει μου. ὁ θεός μου, καὶ ὁ κύριός μου εἰς τὴν δίκην μου. Κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν. μηδ' εἴποιεν· κατεπόμεθα αὐτόν. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα, οἱ ἐπιχαίροντές μοι τοῖς κακοῖς μου. Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπήν, οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν, οἱ θέλοντες τὴν δικαιοσύνην μου. καὶ εἰπάτωσαν διαπαντὸς μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ. καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Εἰς τὸ τέλος τοῦ παιδὸς Κυρίου τοῦ Δαβίδ. λε.

Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος, οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθεῦσαι. Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, κακίαν δὲ οὐ προσώχθισε. Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν. Ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ, τὰ κρίματά σου ἄβυσσος πολλή. Ἀνθρώπους καὶ κτήνη σώσεις Κύριε, ὡς ἐπληθύνθη τὸ ἔλεός σου ὁ θεός. Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ. Μὴ ἐλθέτω μοι ποῦς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαί με. Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι.

Δόξα.

Ψαλμὸς τῷ Δαβίδ. λς.

Μὴ παραζήλου ἐν πονηρευομένοις, μὴ ζήλωσῃς τοὺς ποιοῦντας τὴν ἀνομίαν· ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα, καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει. καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν. Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν. Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν. Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν, μὴ παραζήλου ὡς τὸ κακουργεῖσθαι· ὅτι οἱ κακοῦργοι ἐξολεθρευθήσονται. οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν. Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ καταντρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ. Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν· ὅτι προβλέπει, ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τὸ ξίφος αὐτῶν, τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος. Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται, ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται. Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες

ὡσεὶ

ὡσεὶ λαμπὸς ἐξέλιπον. Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει. ὁ δὲ δίκαιος οἰκτείρει καὶ δίδωσιν. Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ κατηραμένοι αὐτὸν ἐξολοθρευθήσονται. Παρὰ κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα. Ὅταν πέσῃ οὐ καταραχθήσεται, ὅτι κύριος ἀντιλαμβάνεται χεῖρα αὐτοῦ. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος· ὅτι κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται. Ἄνομοι δὲ ἐκλιπωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται. Δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. Ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐ σκανδαλισθήσεται τὰ διαβήματα αὐτοῦ. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν. Ὁ δὲ κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, οὐδ' οὐ μὴ κατακρίνεται αὐτὸν ὅταν κρίνηται αὐτός. Ὑπόμεινον τὸν κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν, ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Φύλαξαι ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ. Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ὁμοῦ πάντες, τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται. Σωτηρία δὲ τῶν δικαίων παρὰ κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἔστιν ἐν καιρῷ θλίψεως. καὶ βοηθήσει αὐτοῖς κύριος, καὶ ῥύσεται αὐτούς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. Δόξα. καὶ νῦν. ε.

Ψαλμὸς τῷ Δαβὶδ εἰς ἀνάμνησιν περὶ τοῦ Σαββάτου. λζ'

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπιστώθωσάν ἐπ' ἐμὲ τὴν χεῖρά σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Ἐταλαιπώρησα καὶ ἐκαμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐνεπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε ἔναντί σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου, ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν. Καὶ οἱ ἐγγύς μου ἀπὸ μακρόθεν ἔστησαν, καὶ ἐβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου. Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δόλους ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι σοὶ κύριε ἤλπισα, σὺ εἰσακούσῃ κύριε ὁ θεός μου. Ὅτι εἶπον, μήποτε χαρῶσί μοι οἱ ἐχθροί μου. καὶ ἐν τῷ σαλευθῆναί πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διὰ παντός. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κραταιοῦνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιεβάλλόν με, ἐπεὶ κατεδιώκουν ἀγαθωσύνην. Μὴ ἐγκαταλίπῃς με κύριε ὁ θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, κύριε τῆς σωτηρίας μου.

Εἰς τὸ τέλος τῷ Ἰδιθοὺμ ᾠδὴ τῷ Δαβίδ. λή.

Εἶπα· φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου. Ἔθεμην τῷ στόματί μου φυλακήν, ἐν τῷ συνελθεῖν τὸν ἁμαρτωλόν ἐναντίον μου. Ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ ἡ ἀλγηδών μου ἀνεκαινίσθη. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. Ἐλάλησα ἐν γλώσσῃ μου, γνώρισόν μοι κύριε τὸ πέρας μου. καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ. Ἰδοὺ παλαιὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου. Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. πλὴν γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται. Θησαυρίζει, καὶ οὐκ οἶδε τίνι συνάξει αὐτά. καὶ νῦν τίς ὑπομονή μου; οὐχὶ ὁ κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν. Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, ὀνειδισμὸν ἄφρονι ἔθου με. Ἐκωφώθην, καὶ οὐκ ἀνοίξω τὸ στόμα μου, ὅτι σὺ ἐποίησας, ἀπόστησον

ἀπ'

ἐπ᾽ ἐμὲ τὰς μαχαίρας σου. Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου, ἐγὼ ἀπέλιπον. γνῶ ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον. καὶ ἀπέτηξας ὡς ἀράχνιον τὴν ψυχὴν αὐτοῦ, πλὴν μάτην πᾶς ἄνθρωπος. Εἰσάκουσον τῆς προσευχῆς μου Κύριε, καὶ τῆς δεήσεώς μου. γνώπισαι τῷ πλάσματί μου, μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοί, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. Ἄνες μοι ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. λθ᾽.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἐκ πηλοῦ ἰλύος. καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾠδὴν καινήν, ὕμνον τῷ Θεῷ ἡμῶν. Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον. Μακάριος ἀνήρ, οὗ ἐστὶ τὸ ὄνομα Κύριος ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας, καὶ μανίας ψευδεῖς. Πολλὰ ἐποίησας σὺ Κύριε ὁ Θεός μου τὰ θαυμάσιά σου, καὶ ταῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι. Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. τότε εἶπον, ἰδοὺ ἥκω. Ἐν κεφαλίδι βιβλίου γέγραπταί περί ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ Θεός μου ἠβουλήθην, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω. Κύριε σὺ ἔγνως. Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα. Οὐκ ἔκρυψα τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ᾽ ἐμοῦ, τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντιλαβοιντό μου. Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθμός, κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με. Εὐδόκησον Κύριε τοῦ ῥύσασθαί με, Κύριε εἰς τὸ βοηθῆσαί μοι πρόσχες.

Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου, τοῦ ἐξᾶραι αὐτήν. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν, οἱ θέλοντές μοι κακά. Κομισάσθωσαν παρὰ χρῆμα αἰσχύνην αὐτῶν, οἱ λέγοντές μοι, εὖγε εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε Κύριε. καὶ εἰπάτωσαν διὰ παντὸς μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντές τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, Κύριος φροντίζει μου. Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ ὁ Θεός μου, μὴ χρονίσῃς. Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. μ.

Μακάριος ὁ συνιὼν ἐπὶ πτωχόν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. Κύριος διαφυλάξαι αὐτὸν, καὶ ζῆσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῷῃ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. Κύριος βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, ὅλην τὴν κοίτην αὐτοῦ ἐστρωσας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ. Ἐγὼ εἶπα Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Οἱ ἐχθροί μου ἐῖπον κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάταια ἐλάλει ἡ καρδία αὐτοῦ. συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. Κατ᾽ ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ᾽ ἐμοῦ ἐλογίζοντο κακά μοι. Λόγον παράνομον κατέθεντο κατ᾽ ἐμοῦ, μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσῃ τοῦ ἀναστῆναι; καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου ἐφ᾽ ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτέρνισμόν. Σὺ Κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. Ἐν τούτῳ ἔγνων ὅτι θέλημά μου, ὅτι οὐ μὴ ἀρεῖται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ. Ἐμὲ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. γένοιτο γένοιτο.

Εἰς τὸ τέλος εἰς συνέσιν τοῖς υἱοῖς Κορέ. μα.

Ὃν τρόπον ἐπιποθεῖ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεόν, τὸν ἰσχυρόν, τὸν ζῶντα. Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός, ἐν τῷ λέγεσθαί μοι καθ᾽ ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ᾽ ἐμὲ τὴν ψυχήν μου. ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ. Ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος. Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου. Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, εἰς φωνὴν τῶν καταρρακτῶν σου. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου, ἐπ᾽ ἐμὲ διῆλθον. Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ αὐτῷ πρὸς ἐμοί. Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου, ἐρῶ τῷ Θεῷ, ἀντιλήπτωρ μου εἶ. Διὰ τί με ἐπελάθου, καὶ ἵνα τί συσκοτασμὸν πορεύομαι ἐν τῷ ἐνθλίβειν τὸν ἐχθρόν; Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδισάν με οἱ ἐχθροί μου. Ἐν τῷ λέγειν αὐτούς μοι καθ᾽ ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου,

μου,

με, καὶ ἵνα τί σιωπήσεις με; Ἐλπίσον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ. σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

Ψαλμὸς τῷ Δαβὶδ. ἀνεπιγράφως παρ' Ἑβραίοις. μβ.

Κρῖνόν μοι ὁ Θεός, καὶ διάκρισον τὴν διάκλησίν μου, ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με. Ὅτι σὺ εἶ ὁ Θεός μου καταφύγιόν μου, ἵνα τί ἀπώσω με, καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν; Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου. αὐτά με ὡδήγησαν, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου. καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου. Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ ὁ Θεός, ὁ Θεός μου. ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; Ἐλπίσον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαί αὐτῷ. σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου. Δόξα.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν. μγ.

Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς. Ἐκάκωσας λαούς, καὶ ἐξέβαλες αὐτούς. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς. Ἀλλ' ἡ δεξιά σε, καὶ ὁ βραχίων σε, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σε, ὅτι ηὐδόκησας ἐν αὐτοῖς. Σὺ εἶ αὐτός ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερματοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. Οὐ γὰρ τῷ τόξῳ μου ἐλπῶ, καὶ ἡ ῥομφαία μου σώσει με. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῃσχυνας. Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. Νυνὶ δὲ ἀπώσω καὶ κατῃσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω πρὸς τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. Ἀπέδου τὸν λαόν σου ἀνωφελήτως, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλαγμασιν αὐτῶν. Ἔθου ἡμᾶς ὀνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστι, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με. Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ κατακαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδικοῦντος. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἐψευσάμεθα ἐν τῇ διαθήκῃ σου. καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου. Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον. Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρυπτὰ τῆς καρδίας. Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε; ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος. ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν. Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. Ἀνάστα βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ, ὑπὲρ τοῦ ἀγαπητοῦ. μδ.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ Βασιλεῖ. Ἡ γλῶσσά μου, κάλαμος γραμματέως ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ υἱοὺς τῶν ἀνθρώπων, ἐξεχύθη χάρις ἐν χείλεσί σου, διὰ τοῦτο ηὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ, τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου, καὶ ἔντεινον, καὶ κατευοδοῦ, καὶ βασίλευε. Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμασίως ἡ δεξιά σου. Τὰ βέλη σου ἠκονημένα δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ Βασιλέως. Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων ἐξ ὧν εὐφράναν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου. Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένῃ. Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τὸν λαόν σου, καὶ τὸν οἶκον τοῦ πατρός σου. καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ. Καὶ θυγάτηρ Τύρου ἐν δώροις, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς πεπριεβλημένη πεποικιλμένη. Ἀπενεχθήσονται τῷ Βασιλεῖ πρόβατα ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι, Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει ἀχθή-

ἀχθήσονται εἰς ναὸν Βασιλέως. Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Διὰ τοῦτο λαοί σε ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ὑῶν κορὲ, ὑπὲρ τῶν λοιπῶν Ψαλμός. μέ.

Ο Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Ἠχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ ἰσχύι αὐτοῦ. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ, ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται, βοηθήσει αὐτῇ ὁ Θεὸς τοπρωΐ πρωΐ. Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τρόπαια ἐπὶ τῆς γῆς, αὐτὰ καταργῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός, ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Δόξα. διάψαλμα. ε'.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ὑῶν κορὲ Ψαλμός μς'.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι κύριος ὕψιστος, φοβερὸς βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε. Ψάλατε τῷ Βασιλεῖ ἡμῶν, ψάλατε. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, ὁ Θεὸς ἐκάθητο ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Ἀρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοί, σφόδρα ἐπήρθησαν.

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς κορὲ δευτέρα σαββάτου. μζ'.

Μέγας κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. Εὐφραίνει ἀγαλλιάματι πάσης τῆς γῆς, ὄρη Σιὼν τὰ πλευρὰ τοῦ Βορρᾶ. ἡ πόλις τοῦ Βασιλέως τοῦ μεγάλου. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνῆχθησαν ἦλθοσαν, αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης, ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα θαρσεῖς. Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν. ἐν πόλει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα· ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σου, ἐν μέσῳ τοῦ λαοῦ σου. Κατὰ τὸ ὄνομά σου ὁ Θεός, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς, δικαιοσύνης πλήρης ἡ δεξιά σου. Εὐφραινέσθω ὄρος Σιὼν, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου. Κυκλώσατε Σιὼν, καὶ περιλάβετε αὐτὴν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ διαστείλασθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. Ὅτι οὗτος ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

Εἰς τὸ τέλος τοῖς υἱοῖς κορὲ Ψαλμός. μή.

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Οἵ τε γηγενεῖς, καὶ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιοι καὶ πένητες. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. Ἵνατί φοβοῦμαι ἐν ἡμέραις πονηραῖς; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με. Οἱ πεποιθότες ἐπὶ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος, ἢ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ. καὶ τίμιον τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ, καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος. Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας. ὁμοῦ ἄφρων καὶ ἄνους ἀπολοῦνται. καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν, καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκοῦσιν. Ὡς πρόβατα ἐν ᾅδῃ ἐτέθησαν, θάνατος ποιμανεῖ αὐτούς. καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ, ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν. Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅτι λαμβάνῃ με. Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. Ὅτι οὐκ ἐν τῷ

ἀρθυήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ὁ δόξα αὐτοῦ. Οὐ ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται, ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ.

Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς. καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Δόξα.

Ψαλμὸς τῷ ἀσαφ. μδ'.

Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. Ἐκ σιὼν ἡ εὐπρέπεια τοῦ ὡραιότητος αὐτοῦ. Ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. Συνάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διαθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίας. καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ θεὸς κριτής ἐστιν. Ἀκουσον λαός μου καὶ λαλήσω σοι Ἰσραήλ, καὶ διαμαρτύρωμαί σοι· ὁ θεὸς ὁ θεός σου εἰμὶ ἐγώ. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ παντός.

Οὐ λήψομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. Ὅτι ἐμοί ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι, καὶ βόες. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς.

Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; Θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· ἵνατί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Εἰ ἐθεώρεις κλέπτην συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὸν μερίδα σου ἐτίθεις. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου συνέπλεκε δολιότητας. Κατήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ, μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδός ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ, ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ὅτε εἰσῆλθε πρὸς Βηρσαβεὲ τὴν γυναῖκα αὐτοῦ. ν'.

Ἐλέησόν με ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου. καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλυνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι. πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ θεός, ὁ θεὸς ἡ σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώμασι οὐκ εὐδοκήσεις. Θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Δόξα.

Εἰς τὸ τέλος συνέσεως τῷ Δαβίδ, ἐν τῷ ἐλθεῖν Δωὴκ ὁ Ἰδουμαῖος, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ, καὶ εἰπεῖν αὐτῷ· ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. νβ'.

Τί ἐγκαυχᾶσαι ἐν κακίᾳ ὁ δυνατός, ἀνομίαν ὅλην τὴν ἡμέραν; Δικαίαν ἐλογίσατο ἡ γλῶσσά σου, ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθοσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. Ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. Διὰ τοῦτο ὁ θεὸς καθέλοι σε εἰς τέλος, ἐκπλήξει σε καὶ

μετάνα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ ταπεινῶσαί σε ἀπὸ σκληρώματός σου, καὶ ἐκ βίου ζωμαί σου ἐκ γῆς ζώντων. Ὀψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται, καὶ ἐροῦσιν· Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν αὐτοῦ. Ἀλλ' ἐπῆλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ. Ἐγὼ δὲ ὡσεὶ ἐλαία εὐκάρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ. Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας. καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Εἰς τὸ τέλος ὑπὲρ μαιηλὲθ συνέσεως τῷ Δαβίδ. νβ'.

Εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν. Ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν. οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός. Οὐ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου; Τὸν κύριον οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος. Ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατῃσχύνθησαν, ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς.

Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἀποστρέψαι τὸν θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, Ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως, τῷ Δαβὶδ. ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους, καὶ εἰπεῖν τῷ Σαοὺλ· οὐκοῦν Δαβὶδ κέκρυπται παρ' ἡμῖν; νγ.

Ὁ θεός ἐν τῷ ὀνόματί σε σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με. Ὁ θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προεθέντο τὸν θεὸν ἐνώπιον αὐτῶν. Ἰδοὺ γὰρ ὁ θεὸς βοηθεῖ μοι, καὶ ὁ κύριος αὐτιλήπτωρ τῆς ψυχῆς μου. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου κύριε, ὅτι ἀγαθόν. Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Ἀσάφ. νδ'.

Ἐναύτισαι ὁ θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑποδῴσῃς τὴν δέησίν μου. πρόσχες μοι, καὶ εἰσάκουσόν μου. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνέκοτουν μοι. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. καὶ εἶπα· τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; καὶ πετασθήσομαι, καὶ καταπαύσω. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Προσεδεχόμην τὸν θεὸν τὸν σώζοντά με, ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος.

Καταπόντισον κύριε, καὶ καταδίειλε τὰς γλώσσας αὐτῶν· ὅτι εἶδον ἀνομίαν, καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ πόνος ἐν μέσῳ αὐτῆς, καὶ ἀδικία. καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. Ὅτι εἰ ὁ ἐχθρός ὠνείδισέ με, ὑπεμείνεγκα ἄν. καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρυβέμην ἂν ἀπ' αὐτοῦ. Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μοι. Ὃς ἅμα τὰ γλυκάναλός μοι ἐδείσματα, ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες· ὅτι πονηρίαι ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν. Ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριός εἰσήκουσέ μου. Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας δηλήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεταί μου φωνῆς μου. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί. Εἰσακούσεται ὁ θεὸς, καὶ ταπεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

Οὐ γὰρ ἔστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν θεόν. ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ, διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν ἐν καρδίαις αὐτῶν. Ἦσαν λιώθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. Ἐπίρριψον ὑπὸ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. Σὺ δὲ ὁ θεὸς καταξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. Ἀνδρες αἱματων καὶ δολιότητος, οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν, ἐγὼ δὲ ἐλπιῶ ὑπὸ σέ. Δόξα. Κάθισμα ζ'.

Εἰς τὸ τέλος ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῆς ἀλλογενείας μεμακρυμμένου, τῷ Δαβὶδ εἰς στήλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. νε.

Ἐλέησόν με ὁ θεὸς, ὅτι καταπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με. Κατεπάτησαν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὑψους. Ἡμέρας φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ. Ἐν τῷ θεῷ ἐπαινέσω τὸν λόγους μου, ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σὰρξ. Ὅλην τὴν ἡμέραν

σὺ λόγῳ μου ἐβδελύξοντο, κατ' ἐμοῦ πάντων οἱ διαλογισμοὶ αὐτῶν εἰς πονηρίαν. Παροικήσουσι καὶ κατακρύψουσιν αὐτοί, τὴν πτέρναν μου φυλάξουσι. Καθάπερ ἐπῆμεναν τὴν ψυχήν μου, ἀνταπόδος αὐτοῖς κύριε, κατὰ τὰ ἔργα αὐτῶν, καὶ κατὰ τὰ πονηρεύματα τῶν ἐπιτηδευμάτων αὐτῶν, κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν ἀνταπόδος αὐτοῖς, ἀπόδος ἀνταπόδοσιν αὐτοῖς. Σκληρύνον καρδίας αὐτῶν, κατάραν σου ἔστω ἐπ' αὐτούς. Ὀργιεῖς ἐν θυμῷ καὶ καταδιώξεις αὐτοὺς, καὶ ἀπολεῖς αὐτοὺς ὑπὸ τὸν οὐρανὸν τοῦ κυρίου.

Κρῖνόν με κύριε κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου τὴν ἐπ' ἐμοί. Συντελεσθήτω δὴ πονηρία τῶν ἁμαρτωλῶν, καὶ κατεύθυνον τὸν δίκαιον, ὁ ἐτάζων καρδίας καὶ νεφρούς, ὁ θεός. Δικαία ἡ ἀντιλαβή μου παρὰ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὁ θεὸς κρίτης δίκαιος, καὶ ἰσχυρὸς καὶ μακρόθυμος, μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ ἐλεύσεται καθαρίσει. Τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου, τὰ βέλη αὐτοῦ πυρίκαυστα ἐγένετο. Ἰδοὺ ἐπωδίνησε δικαιοσύνην, ἐκύησε πόνον καὶ ἔτεκε ἀνομίαν. Λάκκον ὤρυξε καὶ ἐβάθυνεν αὐτόν, καὶ ἔπεσεν εἰς βόθρον ὃν ἐποίησε. Ἐστράφη ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ τὸν βρέγμα αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ἐξομολογήσομαι τῷ κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Ψαλμὸς τῷ Δαβὶδ, ὃν ᾖσεν τῷ κυρίῳ περὶ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεί.

Κύριε ὁ θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με, μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτροῦντος μηδὲ σώζοντος. Κύριε ὁ θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν ταῖς χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι δὴ ἀπὸ τῶν ἐχθρῶν μου κενός. Καταδιώξάτω ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλαβέτω, καὶ καταπατησάτω εἰς τὴν γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσει. Διάψαλμα. Ἀνάστηθι κύριε ἐν τῇ ὀργῇ σου, ὑψώθητι ἐν τοῖς ὁρίοις τῶν ἐχθρῶν μου, ἐξεγέρθητι κύριε ὁ θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε, καὶ ἕνεκεν ταύτης εἰς ὕψος ἐπιστρέψον. Ὁ κύριος κρινεῖ λαούς. Κρῖνόν με κύριε κατὰ τὴν δικαιοσύνην μου

Ἐγὼ δὲ ἄσομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τοπρωΐ τὸ ἔλεός σου. Ὅτι ἐγένηθης ἀντιλήπτωρ μου, καὶ καταφυγή μου, ἐν ἡμέρᾳ θλίψεώς μου. Βοηθός μου εἶ, σοὶ ψαλῶ· ὅτι σὺ ὁ θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ θεός μου ὁ ἔλεός μου.

Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις εἰς συλλογραφίαν τῷ Δαβίδ, εἰς διδαχήν, ὁπότε ἐνέπρησε τὴν μεσοποταμίαν συρίας, καὶ τὴν συρίαν σοβάκ, καὶ ἐπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε τὴν ἐδὼμ ἐν τῇ φάραγγι τῶν ἁλῶν, δώδεκα χιλιάδας. νθ'.

Ὁ θεὸς ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς. ὠργίσθης, καὶ ὠκτείρησας ἡμᾶς. Συνέσεισας τὴν γῆν, καὶ συνετάραξας αὐτήν. ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη. Ἐδείξας τῷ λαῷ σου σκληρά, ἐπότισας ἡμᾶς οἶνον κατανύξεως. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. ΔΙΑΨΑΛΜΑ. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ἀγαλλιάσομαι, καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑποτάγησαν. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς ἰδουμαίας; Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Εἰς τὸ τέλος ἐν ὕμνοις τῷ Δαβὶδ ψαλμός ξ'.

Εἰσάκουσον ὁ θεὸς τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου. Ἀπὸ τῶν περάτων τῆς γῆς, πρὸς σὲ ἐκέκραξα. ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με. Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν τῷ σκέπῃ τῶν πτερύγων σου· ὅτι σὺ ὁ θεὸς εἰσήκουσας τῶν εὐχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου. Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προθήσεις, τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς. Διαμενεῖ ἐνώπιον τοῦ θεοῦ, ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει. Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας, τοῦ ἀποδοῦναι με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας. Δόξα.

Εἰς τὸ τέλος ὑπὲρ ἰδιθοὺμ ψαλμὸς τῷ Δαβίδ. ξά.

Οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου. καὶ γὰρ αὐτὸς θεός μου, καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, ὃ μὴ σαλευθῶ ἔτι πλεῖον. Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ, καὶ φραγμῷ ὠσμένῳ. Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἐδραμον ἐν ψεύδει. Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. Πλὴν τῷ θεῷ ὑποτάγηθι ἡ ψυχή μου, ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου. Ὅτι αὐτὸς θεός μου, καὶ σωτήρ μου. ἀντιλήπτωρ μου, οὐ μὴ μετανασθῶ. Ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου, καὶ ἡ δόξα μου. Ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τὸν θεόν. ἐλπίζετε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαῶν. Ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ θεὸς βοηθὸς ἡμῶν. Πλὴν ματαιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς, τοῦ ἀδικῆσαι αὐτοὶ ἐκ μαματαιότητος ὑπεράνω. Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἁρπάγματα μὴ ἐπιθέλετε. πλοῦτος ἐὰν ῥέῃ, μὴ προσέθεσθε καρδίαν.

Ἅπαξ ἐλάλησεν ὁ θεός, δύο ταῦτα ἤκουσα· ὅτι τὸ κράτος τοῦ θεοῦ, καὶ σοῦ κύριε τὸ ἔλεος. Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ψαλμὸς τῷ Δαβὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς ἰδουμαίας. ξβ'.

Ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω. ἐδίψησέ σε ἡ ψυχή μου, πόσα πλῶς σοι ἡ σάρξ μου. Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου, καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί σε. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. Ὡς ἐκ στέατος καὶ πίστεως ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Ὅτι ἐγένηθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς. Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ· ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ξγ'.

Εἰσάκουσον ὁ θεὸς φωνῆς μου, ἐν τῇ δεήσει μου πρὸς σέ. ἀπὸ φόβου ἐχθροῦ ἐξείλου τὴν ψυχήν μου. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζο-

μώνων ἀδικίαν. Οἱ τινὲς ἐκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρόν. Τὸ καταποθῆσαι ἐν ἀκρυφοις ἄμωμον. ἐξαπίνας ἐκαταποθήσονται ὑπ' αὐτῶν, καὶ ὁ φοβηθήσονται. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν, διηγήσαντο τοῦ κρύψαι παγίδα. Εἶπον τίς ὄψεται αὐτούς; ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες ἐξερεύνησεις. Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ θεός.

Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξηθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς, καὶ ἐφοβήθη πᾶς ἄνθρωπος. καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ θεοῦ, καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν. Εὐφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν. καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Δόξα. ἀάθισμα ἡ.

Εἰς τὸ τέλος ψαλμὸς ᾠδῆς τοῦ Δαβίδ, ᾠδὴ ἱερεμίου καὶ ἰεζεκιὴλ τοῦ λαοῦ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι. ξδ'.

Σοὶ πρέπει ὕμνος ὁ θεὸς ἐν σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν ἱερουσαλήμ. Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει. Λόγοι ἀνομιῶν ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ. Μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου, κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. Ἐπάκουσον ἡμῶν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν πεπερατωμένων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακρᾶν. Ἑδραιῶν ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυνάμει. Ὁ συνταράσσων τὴν ἀβύσσον τῆς θαλάσσης, ἦχος κυμάτων αὐτῆς τὸν ταραχὴν τῶν ἐθνῶν. Καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου. Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις, ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν.

Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν, ὁ ποταμὸς τοῦ θεοῦ ἐπλήρωθη ὑδάτων. Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία. τοὺς αὐλακας αὐτῆς μέθυσον. Πλήθυνον τὰ γενήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται τὰ φυτὰ αὐτῆς. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος. Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον. Ἀσπρίξουσι, καὶ γὰρ ὑμνήσουσιν.

Εἰς τὸ τέλος ᾠδὴ ψαλμὸς ἀναστάσεως ξε.

Ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν αἰνέσει αὐτοῦ. εἴπατε τῷ θεῷ ὡς φοβεραὰ ἔργα σου; Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σοι οἱ ἐχθροί σου. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου ὕψιστε. ΔΙΑΨΑΛΜΑ. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, ὡς φοβερὸς ἐν βουλαῖς ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυνάσεία αὐτοῦ τοῦ αἰῶνος. Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. ΔΙΑΨΑΛΜΑ. Εὐλογεῖτε τὰ ἔθνη τὸν θεὸν ἡμῶν, καὶ ἀκουστὴν ποιήσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. Τὸν θέμενον τὴν ψυχήν μου εἰς ζωὴν, καὶ μὴ δόντα εἰς σάλον τοὺς πόδας μου· ὅτι ἐδοκίμασας ἡμᾶς ὁ θεός. Ἐπύρωσας ἡμᾶς ὡς πυρώσει τὸ ἀργύριον, εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα.

Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν, ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν. ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. Ὁλοκαυτώματα πεπιανημένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ἀνοίσω σοι βόας μετὰ τράγων. ΔΙΑΨΑΛΜΑ. Δεῦτε ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου.

Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὑπὸ τὴν γλῶσσάν μου. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακούσεταί μου κύριος. Διὰ τοῦτο εἰσήκουσέ μου ὁ θεός, προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου. Εὐλογητὸς ὁ θεός, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς ᾠδῆς τοῦ Δαβίδ ξς'.

Ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσι τοῖς ἔθνεσι τὸ σωτήριόν σου. Ἐξομολογησάσθωσάν σοι λαοί ὁ θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν καὶ ἀγαλλιασάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομολογησάσθωσάν σοι λαοί ὁ θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐλογήσαι ἡμᾶς ὁ θεός, ὁ θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ θεός. καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. Δόξα.

Εἰς τὸ τέλος ᾠδῆς ψαλμὸς τῷ Δαβίδ ξζ'.

Ἀνασήτω ὁ θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν. ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπολοῦν-

ἐκλείποντες οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ. Ἄσατε τῷ θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμαῖς. Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν. ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ. Ὁ θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων τοὺς πεπεδημένους ἐν ἀνδρείᾳ. Ὁμοίως τοὺς παροξύνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις. Ὁ θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ. Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν, ἀπὸ προσώπου τοῦ θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ θεοῦ Ἰσραήλ. Βροχὴν ἑκούσιον ἀφορίσεις ὁ θεὸς τῇ κληρονομίᾳ σου, καὶ ἀδύνατος, σὺ δὲ κατηρτίσω αὐτήν. Τὰ ζῶά σου κατῴκησαν ἐν αὐτῇ, ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ θεός. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελεῖν σκῦλα. Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς μετὰ χρυσίου χλωρότητι χρυσίου. Ἐν τῷ διασκορπίζειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν σελμών. Ὄρος θεοῦ ὄρος πίων, ὄρος τετυρωμένον, ὄρος πίον. Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα; τὸ ὄρος ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ. Καὶ γὰρ κύριος κατασκηνώσει εἰς τέλος, τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθυμούντων. Κύριος ἐν αὐτοῖς ἐν σινᾳὶμ ἐν τῷ ἁγίῳ. ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν. Ἔλαβες δόματα ἐν ἀνθρώποις. καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι. Κύριος ὁ θεὸς εὐλογητός, εὐλογητὸς κύριος ἡμέραν καθ' ἡμέραν. Κατευοδῶσαι ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν, καὶ τοῦ κυρίου κυρίου αἱ ἔξοδοι τοῦ θανάτου. Πλὴν ὁ θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. Εἶπε κύριος, ἐκ Βασὰν ἐπιστρέψω ἐπιστρέψω, ἐν βυθοῖς θαλάσσης. Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτόν. Εἶδεσαν αἱ πορεῖαί σου ὁ θεός, αἱ πορεῖαι τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. Προέφθασαν ἄρχοντες ἑπόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεόν, κύριον ἐκ πηγῶν Ἰσραήλ. Ἐκεῖ βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν. ἄρχοντες Ζαβουλών, ἄρχοντες Νεφθαλείμ. Ἐντέλλαι ὁ θεός σου τῇ δυνάμει σου, δυνάμωσον ὁ θεός, τοῦτο ὃ κατειργάσω ἐν ἡμῖν, ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἰερουσαλήμ. Σοὶ οἴσουσι βασιλεῖς δῶρα, ἐθεραπεύσαντο τοὺς θεούς σου Ἰερουσαλήμ. Ἡσσωμένη γενηθήτω ταύρων ἐν ταῖς μοσχίδεσι τῶν λαῶν, τοῦ ἐκλείδωσαι αὐτοὺς δεδοκιμασμένους ἀργυρίου. Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα, ἥξουσι πρέσβεις ἐξ αἰγύπτου, αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ. Αἱ βασιλεῖαι τῆς γῆς ἄσατε τῷ θεῷ, ψάλατε τῷ κυρίῳ. ΔΙΑΨΑΛΜΑ. Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, πρὸ αὐτολάς. Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως, δότε δόξαν τῷ θεῷ. Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δυναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ θεὸς Ἰσραήλ, Αὐτὸς δώσει δυναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. εὐλογητὸς ὁ θεός.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων,

Ψαλμὸς τῷ Δαβίδ. ξή.

Σῶσόν με ὁ θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. Ἐκοπίασα κράζων, ἐβραχίκασαν οἱ λάρυγξ μου. Ἐξέλιπον οἱ ὀφθαλμοί μου, ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν θεόν μου. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, οἱ μισοῦντές με δωρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως. Ἃ οὐχ ἥρπαζον, τότε ἀπεδίδουν. Ὁ θεός σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε κύριε, κύριε τῶν δυνάμεων, μὴ δὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ θεὸς τοῦ Ἰσραήλ. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἡ ἐντροπὴ τὸ πρόσωπόν μου. Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμούς ἐμοί. Καὶ ἐθέμην τὸ ἱμάτιόν μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Κατ' ἐμοῦ ἀδολεσχοῦν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρός σε, κύριε καιρὸς εὐδοκίας. Ὁ θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου, σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μὴ με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μὴ ᾖ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. Εἰσάκουσόν μου κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου, πρόσχες τῇ

ψυχῆ μου, καὶ λύτρωσαι αὐτήν. Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με. σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου πάντες οἱ θλίβοντές με, ὠνείδισμόν προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐκ ὑπῆρξε. καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν γώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ γὰρ τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν γὰρ δικαιοσύνῃ σου. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. Πτωχὸς καὶ πενιχρὸς εἰμὶ ἐγώ, καὶ τὸ σωτήριόν σου ὁ θεός ἀντιλάβοιτό μου. Αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν γὰρ αἰνέσει. καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς. Ἴδέτωσαν πτωχοί, καὶ εὐφραν θήτωσαν. ἐκζητήσατε τὸν θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν. Ὅτι εἰσήκουσε τῶν πτωχῶν ὁ κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἑρπετὰ γὰρ αὐτῇ. Ὅτι ὁ θεὸς σώσει τὴν σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις Ἰουδαίας. Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτὴν καὶ τὸ σπέρμα τῶν δούλων σου κατασχήσουσιν αὐτήν. Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου, κατασκηνώσουσιν γὰρ αὐτῇ.

Εἰς τὸ τέλος τοῦ Δαβὶδ, εἰς ἀνάμνησιν,
εἰς τὸ σῶσαί με κύριον. ξθ'

Ὁ θεὸς τὴν βοήθειάν μου πρόσχες, κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι εὖγε εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφραν θήτωσαν ἐπὶ σοί, πάντες οἱ ζητοῦντές σε ὁ θεός. Καὶ λεγέτωσαν διαπαντὸς μεγαλυνθήτω ὁ κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχὸς εἰμὶ καὶ πένης, ὁ θεὸς βοήθησόν μοι· βοηθός μου καὶ ῥύστης μου εἶ σύ, κύριε μὴ χρονίσῃς.

Δόξα. Ἀλληλούια.

Τῷ Δαβὶδ ψαλμὸς τῶν υἱῶν Ἰωναδὰβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. αὐτὸς γραφεὺς παρ' Ἑβραίοις. ο.

Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου, καὶ σῶσόν με. Γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με. Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Ὁ θεός μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος, καὶ ἀδικοῦντος. Ὅτι σὺ εἶ ὑπομονή μου κύριε, κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής. Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντὸς, ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός μου κραταιός. Πλησθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με. Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό, λέγοντες· ὁ θεὸς ἐγκατέλιπεν αὐτόν. καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

Ὁ θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ, ὁ θεός μου εἰς τὴν βοήθειάν μου πρόσχες. Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντές τὴν ψυχήν μου, περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντές τὰ κακά μοι.

Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σέ, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου. Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου. Ὅτι οὐκ ἔγνων γραμματείας, εἰσελεύσομαι ἐν δυνασείαις κυρίου. κύριε μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου. Ὁ θεός μου ἐδίδαξάς με ἀπὸ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀναγγελῶ τὰ θαυμάσιά σου, καὶ ἕως γήρως καὶ πρεσβείου. Ὁ θεός μου μὴ ἐγκαταλίπῃς με, ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ὀργομένῃ. Τὴν δυνασείαν σου, καὶ τὴν δικαιοσύνην σου, ὁ θεὸς ἕως ὑψίστων. ἃ ἐποίησάς μοι μεγαλεῖα, ὁ θεὸς τίς ὅμοιός σοι; Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακὰς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με. καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε, καὶ ἐν ἔθνεσι ψαλμὸν τῇ ἀληθείᾳ σου ὁ θεός. Ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ. Ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου, ὅλην τὴν ἡμέραν μελέτησει τὴν δικαιοσύνην σου. Ὅταν αἰσχυν-

σαχωθῶσι καὶ ἐντραπῶσιν, οἱ ζητοῦντές μου τὰ κακά μοι.

Εἰς σολομὼν Ψαλμὸς τοῦ Δαβίδ. οά.

Ο Θεός, τὸ ἱλαστήριόν σου τῷ Βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τοῦ υἱῷ τοῦ Βασιλέως. Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν ἐλέει. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων. Καὶ ταπεινώσει συκοφάντην, καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, Καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν στάζουσα ἐπὶ τὴν γῆν. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης. Ἐνώπιον αὐτοῦ πεσοῦνται αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι, Βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσι. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ Βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πτωχὸν ᾧ οὐκ ἦν βοηθός. Φείσεται πτωχοῦ καὶ πενήτος, καὶ ψυχὰς πενήτων σώσει. Ἐκ τόκου καὶ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ τίμιον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός. Ὅλην τὴν ἡμέραν δοξολογήσουσιν αὐτόν, ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων. Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς. Ἔσαι τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ. Καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ ποιῶν θαυμάσια μόνος. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ πλησθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο γένοιτο. Δόξα.

Ἐξέλιπον οἱ ὕμνοι Δαβὶδ τοῦ ἱεροσαλ.

Ψαλμὸς τοῦ Ἀσάφ. οβ.

Ω Σ ἀγαθὸς ὁ Θεὸς τοῦ Ἰσραὴλ, τοῖς εὐθέσι τῇ καρδίᾳ. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. Ὅτι οὐκ ἔστιν ἀνάλυσις τῷ Θανάτῳ αὐτῶν, καὶ σθερεόμα ἐν τῇ μάστιγι αὐτῶν. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσί, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται, διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία αὐτῶν εἰς τέλος. Ἐπεποίθησαν καὶ ἀδικίαν καὶ ἀσέβειαν ἐαυτῶν, ἐξελύσετο ὡς ἐκ στόματος ἡ ἀδικία αὐτῶν. Διήλθοσαν εἰς διάθεσιν καρδίας. Διεγοήθησαν, καὶ ἐλάλησαν ἐν πονηρίᾳ. ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν. Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς. Καὶ εἶπαν, πῶς ἔγνω ὁ Θεός; καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ. Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα, κατέσχον πλοῦτον. Καὶ εἶπα· ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου. καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας. Εἰ ἔλεγον, διηγήσομαι οὕτως· ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυθέτησας. καὶ ἐσταλάγην τοῦ γνῶναι. Τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν. Πλὴν διὰ τὰς δολιότητας αὐτῶν, ἔθου αὐτοῖς δόλους. κατέβαλες αὐτοὺς ἐν τοῖς ἐπαρθῆναι. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα, ἐξέλιπον, ἀπώλοντο, διὰ τὴν ἀνομίαν αὐτῶν. Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, Κύριε ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν. Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων. Κτῆνος ἐγενήθην πρὸς σέ, κἀγὼ διαπαντὸς μετὰ σοῦ. Ἐκράτησας τῆς χειρός μου τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; Ἐξέλιπεν ἡ καρδία μου, καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου, ὁ Θεός μου εἰς τὸν αἰῶνα. Ὅτι ἰδοὺ οἱ μακρύνοντές σου ἀπολοῦνται, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, πεποιθέναι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου. Τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρός σιών.

Σωτῆρος τοῦ Ἀσάφ. ογ.

Ι Νατί ὁ Θεὸς ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἐλυτρώσω ῥάβδον κληρονομίας σου.

Ὄρος Σιὼν τοῦτο ὃ κατῴκησας ἐν αὐτῷ, ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος. Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.

Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν, ὡς ἐπὶ τῆς ἐξόδου ὑπεράνω. Ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἐξέκοψαν τὰς θύ-

ρας αὐτῆς ὠλόρθωσε, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέβραξαν αὐτό. Ενεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου. εἰς τὸ γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σε. Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ὁμοῦ· λύσωμεν καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ θεοῦ ἀπὸ τῆς γῆς. Τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν, οὐκ ἔστι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι. Εως πότε ὁ θεὸς ὀνειδιεῖ ὁ ἐχθρός, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος; Ινα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος; Ο δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς αἰθίοψι. Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους, σὺ ἐξήρανας ποταμοὺς ἠθάμ. Σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον. Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς, θέρος καὶ ἔαρ· σὺ ἔπλασας αὐτά, μνήσθητι ταύτης. Εχθρὸς ὠνείδισε τὸν κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος. Επίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπλήρωθησαν οἱ δυναστευόμενοι τῆς γῆς οἰκητήρια ἀνομιῶν. Μὴ ἀποστραφήτω τεταπεινωμένος, πτωχὸς καὶ πένης, αἰνέσουσι τὸ ὄνομά σου. Ανάστα ὁ θεὸς δίκασον τὴν δίκην σου· μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου, ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντός. Δόξα.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς, ψαλμὸς τῷ ἀσάφ. οδ'.

ΕΞομολογησόμεθά σοι ὁ θεός, ἐξομολογησόμεθά σοι, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου. Διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ὅταν λάβω καιρόν, ἐγὼ δικαιώματα λαλήσω. Ετάκη ἡ γῆ, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. ΔΙΑΨΑΛΜΑ. Εγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. Εἶπα τοῖς παρανομοῦσι, μὴ παρανομεῖτε· καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, καὶ μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν. Οτι οὔτε ἀπ' ἀνατολῶν, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ὀρέων ἔρημων ὀρέων· ὅτι ὁ θεὸς κριτής ἐστι. Τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ· ὅτι ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος. Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη. Πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς, ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ θεῷ Ιακώβ. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω, καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.

Εἰς τὸ τέλος ἐν ὕμνοις, ψαλμὸς τῷ ἀσάφ. ὠδὴ πρὸς τὸν ἀσσύριον. οε.

ΓΝωστὸς ἐν τῇ Ιουδαίᾳ ὁ θεός, ἐν τῷ Ισραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων, ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. Υπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν, πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν. Απὸ τῆς ἐπιτιμήσεώς σου ὁ θεὸς Ιακώβ, ἐνυστάξαν οἱ ἐπιβεβηκότες ἐπὶ τοῖς ἵπποις. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σου. Εκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν. Γῆ ἐφοβήθη καὶ ἡσύχασεν, ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν θεόν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. ΔΙΑΨΑΛΜΑ. Οτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμήσεως ἑορτάσει σοι. Εὔξασθε καὶ ἀπόδοτε κυρίῳ τῷ θεῷ ἡμῶν, πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα. Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸ τέλος ὑπὲρ ἰδιθοὺμ ψαλμὸς τῷ ἀσάφ. ος'.

ΦΩνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν θεόν, καὶ πρόσχες μοι. Εν ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξεζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. Απηνήνατο παρακληθῆναι ἡ ψυχή μου, ἐμνήσθην τοῦ θεοῦ, καὶ εὐφράνθην. Ηδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. ΔΙΑΨΑΛΜΑ. Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου. Εταράχθην, καὶ οὐκ ἐλάλησα. Διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην, καὶ ἐμελέτησα. Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου. Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀπονόψει; Σιωπήσει ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάς; Μὴ ὠλιγώσεται τοῦ οἰκτειρῆσαι ὁ θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ. ΔΙΑΨΑΛΜΑ. Καὶ εἶπα, νῦν ἤρξάμην. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, ἐμνήσθην τῶν ἔργων κυρίου· Οτι μνησθήσομαι ἀπ' ἀρχῆς τὸν θαυμασίων σου, καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου. Καὶ ἐν ταῖς ἐπιτηδεύμασί σε ἀδολεσχήσω, ὁ θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. Τίς

θεὸς

θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν; σὺ εἶ ὁ θεὸς, ὁ ποιῶν θαυμάσια. Ἐγνώρισας γὼ τοῖς λαοῖς τὴν δύναμίν σου. ἐλυτρώσω γὼ τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς ὑιοὺς ἰακὼβ, καὶ ἰωσήφ. Εἶδόσαν σε ὕδατα ὁ θεὸς, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν. Ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὑδάτων. φωνὴν ἔδωκαν αἱ νεφέλαι. Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται, φωνὴ τοῦ βροντῆς σου γὼ τῷ τροχῷ. Ἐφάναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη, καὶ γῶ ἐτρόμος ἐγρύπθη ἡ γῆ. Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου γὼ ὕδατα πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, γὼ χειρὶ μωϋσῆ καὶ ἀαρών. Δόξα. ᾠδὴ ι.

ΣΤΙΧΟΙ ΕΙΣ ΤΟΝ Θεὸν Δαβίδ.

Σίγησον ὀρφνῦ, ῥίψον ἑρμῆ τὴν λύραν.
Τρίπους ὁ δελφοῖς, δεῦρο εἰς λήθην ἔπη.
Δαβὶδ γὼ ἡμῖν πνεύματος ἱρᾶσα λύραν,
Τρανεῖ τὰ ἱερυπτὰ τῷ θεῷ μυστηρίων,
Γλυκασμὸν παλαιῶν ἱσορεῖ τορασείων.
Κινεῖ πρὸς ὕμνον τὸ ἱκέσαντος τὴν ἱκέσιν.
Ἅπαντας σώζων, μυσταγωγεῖ καὶ γράφει.
Ἁμαρτάνοντας εἰς ὠδὴν φοβῆ φόβῳ.
Πολλοῖς στὼ ἄλλοις, καὶ λειπτῦ δηλῶν ἱερέσιν.
Σημήνειν δικάσκει, ψυχικὰς ἁμαρτάδας.

Τῷ θεῷ δόξα.

ΑΡΜΟΝΙΗΣ ΙΕΡΗΣ ΜΕΛΙΗΔΕΑ ΑΣΜΑΤΑ ΔΑΒΙΔ, ΣΥΝΕΣΕΩΣ

Τοῦ ἀσάφ. οϛ'.

Προσέχετε λαός μου τοῦ νόμου μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. Ἀνοίξω γὼ παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς. Ὅσα ἠκούσαμεν, καὶ ἔγνωμεν αὐτὰ, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ. Καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε, καὶ ἀνέστησε μαρτύριον γὼ ἰακὼβ, καὶ νόμον ἔθετο γὼ ἰσραήλ. Ὅσα γὼ ἐτείλατο τοῖς πατράσιν ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς ὑοῖς αὐτῶν. Ὅπως ἂν γνῶ γενεὰ ἑτέρα ὑοὶ τεχθησόμενοι, καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσι αὐτὰ τοῖς ὑοῖς αὐτῶν. Ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ. Καὶ τὰς γὼ τολὰς αὐτοῦ ἐκζητήσωσιν, ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα. Γενεὰ ἣ οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς. Υἱοὶ ἐφραὶμ γὼ τεινόντων καὶ βάλλοντες τόξοις, ἐστράφησαν γὼ ἡμέρᾳ πολέμου. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ θεοῦ, καὶ γὼ τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύεσθαι. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ, καὶ τῶν θαυμασίων αὐτοῦ ὧν ἔδειξεν αὐτοῖς. Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια, γῶ γῆ αἰγύπτῳ γῶ πεδίῳ τάνεως. Διέῤῥηξε θάλασσαν, καὶ διήγαγεν αὐτοὺς, πῆξεν ὕδατα ὡσεὶ ἀσκόν. Καὶ ὡδήγησεν αὐτοὺς γὼ νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα γὼ φωτισμῷ πυρός. Διέῤῥηξε πέτραν γὼ ὀρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς γὼ ἀβύσσου πολλῆ. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ.

Παρεπίκραναν γὰρ ὕψιστον γὼ ἀὐδήρῳ, καὶ ἐξεπείρασαν τὸν θεὸν γὼ ταῖς καρδίαις αὐτῶν. Τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν, καὶ κατελάλησαν τοῦ θεοῦ, καὶ εἶπον· Μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν γὼ ὀρήμῳ; ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμα�ῤῥοι κατεκλύσθησαν. Μὴ καὶ ἄρτον δύναται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ; Διὰ τοῦτο ἤκουσε κύριος, καὶ ὠὐθάλη, καὶ πῦρ ἀνήφθη γὼ ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν ἰσραήλ. Ὅτι οὐκ ἐπίστευσαν γῶ τῷ θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Καὶ γὼ ἐτείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, σιτοσιπσμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν. Ἀπῆρεν νότον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν γὼ τῇ δυνάμει αὐτοῦ λίβα. καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας. καὶ ὡσεὶ ἄμμον θαλάσσης πετεινὰ πτερωτά. καὶ ἔπεσεν γὼ μέσῳ τῆς παρεμβολῆς αὐτοῦ, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. καὶ ἔφαγον, καὶ ἐνεπλήσθησαν σφόδρα. καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὴν ὠθυμίαν αὐτῶν ἐνέγκῃ αὐτοῖς, οὐκ ἐσῴθησαν ἀπὸ τῆς ὠθυμίας αὐτῶν. Επὶ τῇ βρώσει ὅσης γὰρ τοῦ σώματι αὐτῶν, καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ' αὐτούς. Καὶ ἀπέκτεινεν γὰρ τοὺς πλείοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ ἰσραὴλ σωνεπόδισεν. Εν πάσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν τοῖς θαυμασίοις αὐτοῦ. Καὶ ἐξέλιπεν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ ταραχῆς. Οταν ἀπέκτεινεν αὐτοὺς τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον καὶ ὄρθριζον πρὸς τὸν θεόν. Καὶ ἐμνήσθησαν, ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι. Καὶ ἠγάπησαν αὐτὸν γὰρ τοῦ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. Η δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. Αὐτὸς δὲ ἐστὶν οἰκτίρμων, καὶ ἱλάσκεται περὶ τὰς ἁμαρτίας αὐτῶν, καὶ οὐ διαφθερεῖ, καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ. καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσί, πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον. Ποσάκις παρεπίκραναν αὐτὸν γὰρ τῇ ὀρήμῳ, παρώργισαν αὐτὸν γὰρ γῇ ἀνύδρῳ; Καὶ ἐπέστρεφον καὶ ἐπείρασαν τὸν θεόν, καὶ τὸν ἅγιον τοῦ ἰσραὴλ παρώξυναν. Καὶ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. Ως ἔθετο γὰρ ἀγγέλῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ γῇ τανέως. καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὑμβρήματα αὐτῶν ὅπως μὴ πίωσιν. Εξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς· καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς. Καὶ ἔδωκε τὴν ἐρυσίβην τοῖς καρποῖς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. Απέκτεινεν γὰρ χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν γὰρ τῇ πάχνῃ. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαξιν αὐτῶν τοῦ πυρί. Εξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποστολὴν διʼ ἀγγέλων πονηρῶν. Ωδηγήσατο τρίβον τῇ ὀργῇ αὐτοῦ, καὶ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. Καὶ ἐπάταξε πᾶν πρωτότοκον γῇ αἰγύπτῳ ἀπʼ ἀρχῆς πάντος πόνου αὐτῶν, γὰρ σκηνώμασι χάμ. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ὡδήγησεν αὐτοὺς ὡσεὶ ποίμνιον γὰρ ὀρήμῳ. Καὶ ὡδήγησεν αὐτοὺς ἐπʼ ἐλπίδι, καὶ οὐκ ἐφοβήθησαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς γὰρ σχοινίῳ κληροδοσίας, καὶ κατεσκήνωσεν γὰρ τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ ἰσραήλ. Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο. Καὶ ἐπέστρεψαν καὶ ἠθέτησαν καθὼς, καὶ οἱ πατέρες αὐτῶν μετεστράφησαν εἰς τόξον στρεβλόν. καὶ παρώργισαν αὐτὸν γὰρ ταῖς βουνοῖς αὐτῶν, καὶ γὰρ τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν. Ηκουσεν ὁ θεὸς καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν ἰσραήλ. καὶ ἀπώσατο τὴν σκηνὴν σηλὼμ, σκηνώματα ὃ κατεσκήνωσεν γὰρ ἀνθρώποις. καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν. Καὶ συνέκλεισεν γὰρ ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε. Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπηνθέθησαν. Οἱ ἱερεῖς αὐτῶν γὰρ ῥομφαίᾳ ἔπεσον, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται. καὶ ἐξηγέρθη ὡς ὁ ὕπνος κύριος, ὡς δυνατὸς κραταιπαλαίων ἐξ οἴνου. καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, ὀνειδισμὸν αἰώνιον ἔδωκεν αὐτοῖς. καὶ ἀπώσατο τὸ σκήνωμα ἰωσὴφ, καὶ τὴν φυλὴν ἐφραὶμ οὐκ ἐξελέξατο. καὶ ἐξελέξατο τὴν φυλὴν ἰούδα, τὸ ὄρος τὸ σιὼν ὃ ἠγάπησε. καὶ ᾠκοδόμησεν ὡς μονόκερωτος τὸ ἁγίασμα αὐτοῦ, γὰρ τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. καὶ ἐξελέξατο δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων. Εξόπισθεν τῶν τεκτώντων ἔλαβεν αὐτὸν, ποιμαίνειν ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ. καὶ ἐποίμανεν αὐτοὺς γὰρ τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ γὰρ ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. Δόξα.

Ψαλμὸς τῷ ἀσάφ. οη.

Ο θεὸς ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίανναν τὸν ναὸν τὸν ἅγιόν σου. Εθεντο ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. Εξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων. Εγενήθημεν ὀνειδισμὸς τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ γλεῦασμὸς τοῖς κύκλῳ ἡμῶν. Εως πότε κύριε ὀργισθήσῃ εἰς τέλος; ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου. Εκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο. Οτι κατέφαγον τὸν ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν. Μὴ μνησθῇς ἡμῖν ἀνομιῶν ἀρχαίων, ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου κύριε· Οτι ἐπτωχεύσαμεν σφόδρα, βοήθησον ἡμῖν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, γενέσθω ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου κύριε ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, γενέσθω τοῦ ὀνόματός σου. Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἔστιν ὁ θεὸς αὐτῶν; καὶ γνωσθήτω γὰρ τοῖς ἔθνεσιν ἐνώπιον τῶν

ὀφθαλμῶν

ὀφθαλμῶν ἡμῶν, ἡ ἔκλειψις τοῦ ἄμματος τῶν
χειλέων σε τοῦ ἐκκεχυμένου. Εἰσελθέτω γὼ-
πιόν σε ὁ στεναγμὸς τῶν πεπεδημένων. Κατὰ
τὴν μεγαλωσύνην τοῦ βραχίονός σε, σῶσον τοὺς
υἱοὺς τῶν τεθανατωμένων. Ἀπόδος τοῖς
γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον
αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε
κύριε. Ἡμεῖς ὁ λαός σου, καὶ πρόβατα νομῆς σε,
ἀνθομολογησόμεθά σοι ὁ θεὸς εἰς τὸν αἰῶνα, εἰς
γενεὰν καὶ γενεὰν ἀπαγγελοῦμεν τὴν αἴνεσίν σε.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων
μαρτύριον τοῦ ἀσάφ, ψαλμός
ὑπὲρ τοῦ Ἀσσυρίου. οβ'.

Ποιμαίνων τὸν ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν
ὡσεὶ πρόβατον τὸν ἰωσήφ. Ὁ καθήμενος
ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, ἔναντίον ἐφραὶμ καὶ
βενιαμὶν καὶ μανασσῆ. Ἔξεγειρον τὴν δυνα-
στείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Ὁ θεὸς
ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν
σου, καὶ σωθησόμεθα. Κύριε ὁ θεὸς τῶν δυνά-
μεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ
δούλου σου; Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ
πότιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ. Ἔθου ἡμᾶς
εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχ-
θροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. Κύριε ὁ θεὸς τῶν
δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ
πρόσωπόν σου, καὶ σωθησόμεθα. Ἀμπελὸν ἐξ
αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύ-
τευσας αὐτήν. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς,
καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλή-
ρωσε τὴν γῆν. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ
αἱ ἀνατολαὶ τῆς κέδρους τὸν θεόν. Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης,
καὶ ἕως ποταμοῦ τοὺς βλαστοὺς αὐτῆς. Ἵνα
τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶ-
σιν αὐτὴν πάντες οἱ παροδεύοντες τὴν
ὁδόν; Ἐξελυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μο-
νιὸς ἄγριος κατενεμήσατο αὐτήν. Ὁ θεὸς τῶν
δυνάμεων ἐπίστρεψον δή, καὶ ἐπίβλεψον ἐξ
οὐρανοῦ, καὶ ἴδε. Καὶ ἐπίσκεψαι τὴν ἄμπελον
ταύτην, καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευ-
σεν ἡ δεξιά σε. Καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκρα-
ταίωσας σεαυτῷ. Ἐμπεπυρισμένη πυρὶ καὶ
ὠρυγμένη, ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου
σου ἀπολοῦνται. Γενηθήτω ἡ χείρ σε ἐπ' ἄνδρα
δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίω-
σας σεαυτῷ. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ. ζωώ-
σεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα. Κύ-
ριε ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ
ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν ψαλμὸς
ᾠδῆς τοῦ ἀσάφ. π'.

Ἀγαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν,
ἀλαλάξατε τῷ θεῷ ἰακώβ. Λάβετε
ψαλμόν, καὶ δότε τύμπανον, ψαλτήριον
τερπνὸν μετὰ κιθάρας. Σαλπίσατε ἐν νεο-
μηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑ-
μῶν. Ὅτι πρόσταγμα τῷ ἰσραὴλ ἐστὶ, καὶ κρί-
μα τῷ θεῷ ἰακώβ. Μαρτύριον ἐν τῷ ἰωσὴφ
ἔθετο αὐτὸν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς αἰ-
γύπτου. Γλῶσσαν οὐκ ἔγνω ἤκουσεν, ἐπέστη-
σεν ἀπὸ ἀρσεως τὸν ὦμον αὐτοῦ. Αἱ χεῖρες αὐ-
τοῦ ἐν τῷ κοφίνῳ ἐδουλεύσαμεν, ἐν θλίψει ἐ-
πεκαλέσω με καὶ ἐρρύσαμέν σε. Ἐπήκουσά
σου ἐν ἀποκρύφῳ καταιγίδος. ΔΙΑΨΑΛΜΑ.
Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας. Ἄκου-
σον λαός μου, καὶ διαμαρτύρομαί σοι. Ἰσραὴλ
ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφα-
τος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ. Ἐγὼ γάρ
εἰμι κύριος ὁ θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς
αἰγύπτου. Πλάτυνον τὸ στόμα σου, καὶ πλη-
ρώσω αὐτό. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς
μου, καὶ ἰσραὴλ οὐ προσέσχε μοι. Καὶ ἐξαπέστει-
λα αὐτοὺς κατὰ τὰ ἐπιθυμήματα τῆς καρδίας
αὐτῶν, πορεύονται ἐν ταῖς ἐπιθυμίαις
αὐτῶν. Εἰ ὁ λαός μου ἤκουσέ μου, ἰσραὴλ τοὺς ὁ-
δοὺς μου εἰ ἐπορεύθη, ἐν τάχει μικρὸν αὐ τοὺς ἐχ-
θροὺς αὐτῶν ἐταπείνωσα. Καὶ ἐπὶ τοὺς θλίβον-
τας αὐτοὺς ἐπέβαλον αὐ τὴν χεῖρά μου. Οἱ ἐχ-
θροὶ κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς
αὐτῶν εἰς τὸν αἰῶνα. καὶ ἐψώμισεν αὐτοὺς ἐκ
στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχορτά-
σθησαν αὐτούς. Δόξα.

Ψαλμὸς τοῦ ἀσάφ. ϖα'.

Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ
δὲ θεοὺς διακρινεῖ. Ἕως πότε κρίνετε
ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβά-
νετε; Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν
καὶ πένητα δικαιώσατε. Ἐξέλεσθε πένητα
καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐ-
τόν. Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει
διαπορεύονται. Σαλευθήτωσαν πάντα τὰ θε-
μέλια τῆς γῆς. Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψί-
στου πάντες. ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκε-
τε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ἀνάστα
ὁ θεὸς κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονο-
μήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

Ὠιδὴ ψαλμὸς τοῦ ἀσάφ. πβ'.

Ὁ θεὸς τίς ὁμοιωθήσεται σοι; μὴ σιγήσῃς,
μηδὲ κατάπαυσον ὁ θεός. Ὅτι ἰδοὺ οἱ
ἐχθροί σου ἠχήσαν, καὶ οἱ μισοῦντές σε ἦραν κε-
φαλήν. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαν-
το γνώμῃ, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.
Εἶπαν· δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ
ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα ἰσραὴλ ἔτι. Ὅτι
ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ πολὺ, κατὰ σοῦ
διεθέντο διαθήκην διέθροντο. Τὰ σκηνώματα τῶν ἰδου-
μαίων καὶ οἱ ἰσμαηλῖται, Μωὰβ καὶ οἱ ἀγαρηνοί, Γεβὰλ καὶ ἀμμὼν καὶ ἀμαλήκ. Ἀλλόφυ-
λοι μετὰ τῶν κατοικούντων τύρον. Καὶ γὰρ
καὶ ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, ἐγε-
νήθησαν εἰς ἀντίλημψιν τοῖς υἱοῖς λώτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΙΑΨΑΛΜΑ. Ρύσαι αὐτοὺς ὡς πρόβατα, καὶ ἐν διασπορᾷ σου σκόρπισον αὐτούς, καὶ κατάβαλε αὐτοὺς ὑπερασπιστά σου. Ὅτι παρώξυναν παροργισμὸν ἐνώπιόν σου, καὶ προσέθεντο τοῦ λαλῆσαι κατὰ σοῦ πονηρά. Ἐνώπιον τοῦ θυμοῦ σου ἐκλείψουσιν, καὶ ἐν τῇ καρδίᾳ τῶν ἐχθρῶν σου ἐμπεσοῦνται βέλη σου, καὶ τὰ τόξα σου συντριβήσεται. Ὑψώθητι ὁ θεὸς ὑπεράνω τοῦ οὐρανοῦ, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου. Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ἀγαλλιάσομαι καὶ διελῶ Σικίμων, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσομαι. Ἐμὸς ἐστὶ Γαλαάδ, καὶ ἐμὸς ἐστὶ Μανασσῆ, καὶ Ἐφραὶμ ἀντιλαβὴ τῆς κεφαλῆς μου, Ἰούδας βασιλεύς μου. Μωὰβ λουτρὸν τῆς ἐλπίδος μου, ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλοφύλων ὑποτάγητι. Τίς ἄξει με εἰς πόλιν περιτειχισμένην; τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοηθὸν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιήσωμεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς ἁγίοις διαθήκη Ψαλμὸς πγ'.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε τῶν δυνάμεων, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Τὰ θυσιαστήριά σου κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ θεός μου. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. ΔΙΑΨΑΛΜΑ. Μακάριος ἀνὴρ οὗ ἐστὶν αὐτίλημψις αὐτοῦ παρὰ σοῦ, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο. καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθέτων, πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν σιών. Κύριος ὁ θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ θεὸς ἰακώβ.

ΔΙΑΨΑΛΜΑ. Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ θεός, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου· ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ κύριος, ὁ θεὸς χάριν καὶ δόξαν δώσει. Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε ὁ θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ Ψαλμὸς πδ'.

Εὐλόγησας κύριε τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. Ἄφηκας τὰς ἀνομίας τοῦ λαοῦ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὴν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς τὸν αἰῶνας ὀργισθῆς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί. Δεῖξον ἡμῖν κύριε τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δὸς ἡμῖν. Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεός, ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. Καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ. Δόξα. Καθισματικόν.

Προσευχὴ τοῦ Δαβίδ. πε'.

Κλίνον κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου· ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι. σῶσον τὸν δοῦλόν σου ὁ θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με κύριε, ὅτι πρός σε κεκράξομαι ὅλην τὴν ἡμέραν. Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρός σε κύριε τὴν ψυχήν μου. Ὅτι σὺ κύριε χρηστὸς καὶ ἐπιεικής, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρός σε, ὅτι ἐπάκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου κύριε. Καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ θεὸς μόνος.

Ὁδήγησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ προβοῦμαι ἐν τῇ ἀληθείᾳ σου. Εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι κύριε ὁ θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα· Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐῤῥύσω τὴν ψυχήν μου ἐξ ἅδου κατωτάτου. Ὁ θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγαὶ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.

Καὶ σὺ κύριε ὁ θεός μου οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με. δὸς τὸ κράτος σου τῷ παιδί σε, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν· ὅτι σὺ κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

Τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς πέ.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ θεοῦ. Μνησθήσομαι Ῥαὰβ, καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ. Μήτηρ Σιὼν ἐρεῖ, ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων, τῶν γεγενημένων ἐν αὐτῇ. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Ὠδὴ ψαλμῷ τοῖς υἱοῖς Κορὲ, εἰς τὸ τέλος ὑπὲρ μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως αἰθὰμ τοῦ Ἰσραηλίτου πζ.

Κύριε ὁ θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ὁ βίος μου τοῦ ᾅδου ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον. Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἄβοηθος, ἐν νεκροῖς ἐλεύθερος. Ὡσεὶ τραυματίαι κατακοιμηθέντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου. Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. ΔΙΑΨΑΛΜΑ. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην, οἱ ὀφθαλμοί μου ἠδυνήσαντο ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς σὲ Κύριε ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρός σε Κύριε ἐκέκραξα, καὶ τὸ πρωὶ ἡ προσευχή μου προφθάσει σε. Ἱνατί Κύριε ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Πτωχὸς εἰμὶ ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου. Ὑψωθεὶς δὲ ἐταπεινώθην, καὶ ἐξηπορήθην. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με, ἐκύκλωσάν με ὡσεὶ ὕδωρ. Ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Δόξα.

Συνέσεως αἰθὰμ τοῦ Ἰσραηλίτου πή.

Τὰ ἐλέη σου Κύριε εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου. Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἐλεηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα Δαβὶδ τῷ δούλῳ μου· ἕως τοῦ αἰῶνος. Ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου Κύριε, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς θεοῦ; Ὁ θεὸς ὁ δοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. Κύριε ὁ θεὸς τῶν δυνάμεων, τίς ὁμοίος σοι; δυνατὸς εἶ Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.

Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὴν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ κατευνάζεις. Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου. Σοί εἰσιν οἱ οὐρανοὶ, καὶ σὴ ἐστὶν ἡ γῆ· τὸν οἰκουμένην, καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας, θάλασσαν καὶ βορρᾶν σὺ ἔκτισας. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται, σὸς ὁ βραχίων μετὰ δυνατείας. Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. Δικαιοσύνη καὶ κρῖμα, ἑτοιμασία τοῦ θρόνου σου. Ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται. Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.

Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας· ἐθέμην βοήθειαν ἐπὶ δυνάστην, ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. Οὐκ ἀφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Αὐτὸς κληθήσεταί μοι· πατήρ μου εἶ σύ, θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ. Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εαὶ ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορεύθωσιν. Εαὶ τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν. Επισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἁμαρτίας αὐτῶν. Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν, οὐδ' οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. Οὐδ' ὁ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. Απαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου. Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. ΔΙΑΨΑΛΜΑ. Σὺ δὲ ἀπώσω καὶ ἐβδελύξω, ἀνεβάλου τὸν χριστόν σου. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. Καθεῖλον πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν. Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ. Υψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτῶν, εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ. Απέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ. Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτοῦ, τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥαξας. Εσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ, κατέχεας αὐτὸν αἰσχύνῃ. Εως ποτε κύριε ἀποστρέψῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου; Μνήσθητί μου ἡ ὑποστασις, μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων; Τίς ὄστις ἀνθρωπος ζήσεται καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; ΔΙΑΨΑΛΜΑ. Πῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου; Μνήσθητι κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ἐπεσχον ἐν τοῖς κόλπῳ μου πολλῶν ἐθνῶν. Οὗ ὠνείδισαν οἱ ἐχθροί σου κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ χριστοῦ σου; Εὐλογητὸς κύριος εἰς τὸν αἰῶνα· γένοιτο γένοιτο. Δόξα.

Προσευχὴ μωϋσῆ ἀνθρώπου θεοῦ. πθ'.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σύ εἶ. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας· ἐπιστρέψατε υἱοὶ ἀνθρώπων· Οτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. Τὰ ἐξοδεύματα αὐτῶν ἔτη ἔσονται, τὸ πρωὶ ὡσεὶ χλόη παρέλθοι, τὸ πρωὶ ἀνθῆσαι καὶ παρέλθοι. Τὸ ἑσπέρας ἀποπέσοι, σκληρευθείη καὶ ξηρανθείη· Οτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταραχθημεν. Εθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου, τὸν αἰῶνα ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Οτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελετῶμεν, αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη. καὶ τὸ πλεῖον αὐτῶν, κόπος καὶ πόνος. Οτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου; καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι. Τὴν δεξιάν σου οὕτως γνώρισον μοι, καὶ τοὺς πεπεδημένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Επίστρεψον κύριε ἕως πότε, καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

Ενεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ἐυφράνθημεν. Εν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφράνθημεν, ἀνθ' ὧν ἡμέρων ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Αἶνος ᾠδῆς τῷ Δαβὶδ ἀπὸ γραφῆς παρ' ἑβραίοις.

Ο κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ερεῖ τῷ κυρίῳ· ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.

Οτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου παραχώδους. ἐν τοῖς μεταφρενίοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Οπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ. Από βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Οτι σὺ κύριε ἡ ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεταί πρὸς σε κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Οτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαί σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Επὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Οτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμὶ ἐν θλίψει. Εξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα. καθισμα ιϛ'.

Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ σαββάτου ιά.

Αγαθὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε. Τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. Ἐν δεκαχόρδῳ ψαλτηρίῳ, μετ' ᾠδῆς ἐν κιθάρᾳ. Ὅτι εὔφρανάς με κύριε ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου. Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα. Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν: Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα κύριε.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται. Καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται ἡ οὖς μου. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται. Πεφυτευμένοι ἐν τῷ οἴκῳ κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐξανθήσουσιν. Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι. Ὅτι εὐθὴς κύριος ὁ θεός ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκισται ἡ γῆ, αἴνου ᾠδὴ τῷ Δαβὶδ ρβ'.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο. καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἑτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σύ εἶ. Ἐπῆραν οἱ ποταμοί κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. Ἀροῦσιν οἱ ποταμοὶ τὰς τρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ κύριος. Τὰ μαρτύριά σου ἀπίστωθη σφόδρα. Τοῦ οἴκου σου πρέπει ἁγίασμα κύριε, εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ Δαβὶδ τετράδι Σαββάτου ιγ'.

Θεὸς ἐκδικήσεων κύριος, θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο. Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. Εως πότε ἁμαρτωλοί κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; Φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Τὸν λαόν σου κύριε ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν. Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν. Καὶ εἶπαν· οὐκ ὄψεται κύριος, οὐδὲ συνήσει ὁ θεὸς τοῦ Ἰακώβ. Συνίετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί, ποτὲ φρονήσατε. Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφθαλμόν, οὐχὶ βλέπει; Ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει; ὁ διδάσκων ἄνθρωπον γνῶσιν; κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ ματαιοι. Μακάριος ἄνθρωπος ὃν ἂν παιδεύσῃς κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.

Τοῦ πραῦναι αὐτὸν ἀπ' ἡμερῶν πονηρῶν, ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος. Ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει. Ἕως οὗ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν, καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. ΔΙΑΨΑΛΜΑ. Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις, ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοῖς ἐργαζομένοις τὴν ἀνομίαν; Εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι, παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. Εἰ ἔλεγον· ἐσαλεύθη ὁ πούς μου, τὸ ἔλεός σου κύριε ἐβοήθει μοι, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου ἐὐφραναν τὴν ψυχήν μου. Μὴ συμπροσέσται σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ προστάγματι. Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα ἀθῷον καταδικάσουσι. Καὶ ἐγένετό μοι κύριος εἰς καταφυγήν, καὶ ὁ θεός μου εἰς βοηθὸν ἐλπίδος μου. Καὶ ἀπέδωσεν αὐτοῖς κύριος τὴν ἀνομίαν αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς κύριος ὁ θεός. Δόξα.

Αἶνος ᾠδῆς τοῦ Δαβὶδ, ἀνεπίγραφος παρ' Ἑβραίοις φλ'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ θεῷ τῷ σωτῆρι ἡμῶν. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. Ὅτι θεὸς μέγας κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐνώπιον κυρίου τοῦ ποιήσαντος ἡμᾶς. Ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν. Ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου. τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, Καὶ εἶπα, ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Αἶνος ᾠδῆς τῷ Δαβὶδ, ὅτε ὁ οἶκος ᾠκοδομεῖτο μετὰ τὴν αἰχμαλωσίαν. ἀνεπίγραφος παρ' Ἑβραίοις φμ'.

Ασατε τῷ κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. Ασατε τῷ κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, τὸ σωτήριον αὐτοῦ.

Αναγγείλατε γὰρ τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ. Οτι μέγας κύριος, καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς. Οτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν. Εξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. Ενέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν. Ενέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. Προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ, σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευσε. καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, κρινεῖ λαοὺς ἐν εὐθύτητι. Εὐφρανθήτωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς· τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ. Από προσώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν ἀληθείᾳ αὐτοῦ.

Ψαλμὸς τῷ Δαβὶδ, ὅτε ἡ γῆ αὐτοῦ ἐκαθίσατο· αὐτὸς γὰρ ἐψαλμῳδήθη τῇ ἑβδόμῃ ῥε'.

Ο κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρῖμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ. Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Εφάναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.

Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου κυρίου, ἀπὸ προσώπου κυρίου πάσης τῆς γῆς.

Ανήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτοῦ. Ηκουσε καὶ εὐφράνθη Σιών, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ιουδαίας, ἕνεκεν τῶν κριμάτων σου κύριε. Οτι σὺ κύριος ὕψιστος ἐπὶ πάσαν τὴν γῆν, σφόδρα ἐδοξάσθης ὑπὲρ πάντας τοὺς θεούς.

Οἱ ἀγαπῶντες τὸν κύριον μισεῖτε πονηρόν, φυλάσσει κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς. Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Εὐφράνθητε δίκαιοι ἐν τῷ κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ ῥξ'.

Ασατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος. Εσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. Εγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ, ἐνώπιον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Εμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ιακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ Ισραήλ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν. Αλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε. Ψάλατε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, ἐν σάλπιγξιν ἐλατναῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης. Αλαλάξατε ἐνώπιον τοῦ βασιλέως κυρίου, Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Ποταμοὶ κροτήσουσι χειρὶ ὠρηταὶ τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι.

Ψαλμὸς τῷ Δαβὶδ ῥη'.

Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, σαλευθήτω ἡ γῆ. Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς. Εξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερόν καὶ ἅγιόν ἐστιν, καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. Σὺ ἡτοίμασας εὐθύτητας, κρίσιν καὶ δικαιοσύνην ἐν Ιακὼβ σὺ ἐποίησας.

Υψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. Μωϋσῆς καὶ Ααρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. Επεκαλοῦντο τὸν κύριον, καὶ αὐτὸς εἰσήκουεν αὐτῶν. ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς. Οτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα αὐτοῦ ἃ ἔδωκεν αὐτοῖς. Κύριος ὁ θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν· ὁ θεός, σὺ εὐίλαος ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πᾶσι τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Υψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος κύριος ὁ θεὸς ἡμῶν.

Ψαλμὸς τῷ Δαβὶδ εἰς ἐξομολόγησιν ρθ'.

Αλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, δουλεύσατε τῷ κυρίῳ ἐν εὐφροσύνῃ.

Εἰσέλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει, γνῶτε ὅτι κύριος αὐτός ἐστιν ὁ θεὸς ἡμῶν. Αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. ἡμεῖς δὲ λαὸς αὐτοῦ, καὶ πρόβατα νομῆς αὐτοῦ. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις. Εξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ· ὅτι χρηστὸς κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ. Ψαλμὸς τῷ Δαβὶδ ρ'.

Ελεον καὶ κρίσιν ᾄσομαί σοι κύριε, ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. πότε ἥξεις πρός μέ;

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πρός με; Διεπορευόμην γὰρ ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. Οὐ προεβλεψάμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. Τὸν καταλαλοῦντα λάθρᾳ τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδιάκωπον. Ὑπερυφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου, ποιῶν ὑπερηφανίαν. Λαλῶν ἄδικα, οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς. Τοῦ ἐξολεθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Δόξα. Κάθισμα ιγ'.

Προσευχὴ τοῦ Μωϋσῆ, ὅταν ἀκηδιάσῃ, καὶ ἐναντίον κυρίου ἐκχέῃ τὴν ἱκεσίαν αὐτοῦ. ρά.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου, ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ. Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέῤῥαξάς με. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σὺ δὲ κύριε εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.

Ὅτι ἠδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα κυρίου, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. Ὅτι οἰκοδομήσει κύριος τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κύριον. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε, Τοῦ ἀκοῦσαι τὸν στεναγμὸν τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἰερουσαλήμ. Ἐν τῷ συναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ κυρίῳ. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ, τίνα ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Κατ' ἀρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Οἱ υἱοί τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

Ψαλμὸς τοῦ Δαβὶδ ρβ'.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῆ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακροθύμος καὶ πολυέλεος. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μνησικακήσει. Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε κύριος τοὺς φοβουμένους αὐτόν. Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διέλθῃ ἐν αὐτῷ, καὶ οὐκ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν κύριον πάντες ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύι ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκούσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γάτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Δόξα.

Ψαλμὸς τοῦ Δαβὶδ ὑστέρα τοῦ λόσμου συσάσεως ργ΄.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ διφθέραν. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ. Ὁ περιπατῶν ἐπὶ πτερύγων πνευμάτων, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ τῆς ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτοῖς. Ὅριον ἔθου ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτίσουσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία γνοσσεύσουσι τοῦ ὀρωσιεῖ, ἡ καστικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Ἐπληρώθη ἡ γῆ τῆς κτήσεώς σου, αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος. Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν ἐν καιρῷ. δόντος σου αὐτοῖς, συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δὲ σου τὸ πρόσωπον σου, ταραχθήσονται. Ἀποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἡτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Ἀσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Δόξα.

Ἀλληλουϊα. ρσή΄.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ, ἀσατε αὐτῷ καὶ ψάλατε αὐτῷ. Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ, ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τοῦ ἁγίου αὐτοῦ. Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. Ζητήσατε τὸν Κύριον, καὶ κραταιώθητε. Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντὸς, μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε. Τὰ τέρατα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ. Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς. Οὗ διέθετο τοῦ Ἀβραὰμ, καὶ τὸν ὅρκου αὐτοῦ τῷ Ἰσαάκ.

Καὶ ἔστησεν αὐτὸν τοῦ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τοῦ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον. Λέγων· σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ὑμῶν. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ. Καὶ διῆλθον ἀπὸ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν.

Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ἰωσήφ. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρος διῆλθεν τὴν ψυχὴν αὐτοῦ. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν. Ἀπέστειλεν Βασιλεὺς καὶ ἔλυσεν αὐτόν, ἄρχων λαῶν καὶ ἀφῆκεν αὐτόν. Κατέστησεν αὐτὸν Κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ.

Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι. Καὶ εἰσῆλθεν

εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ. Καὶ ἤυξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ. Μετέστρεψε τὴν καρδίαν αὐτοῦ, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ. Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν ὃν ἐξελέξατο ἑαυτῷ.

Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ. Ἐξαπέστειλε σκότος καὶ ἐσκότωσεν, ὅτι παρεπίκραναν τοὺς λόγους αὐτοῦ. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.

Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους, ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν. Εἶπε καὶ ἦλθε κυνόμυια, καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν, καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίων αὐτῶν. Εἶπε καὶ ἦλθεν ἀκρὶς, καὶ βρῦχος, οὗ οὐκ ἦν ἀριθμός.

Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, ἀπαρχὴν πάντων πόνων αὐτῶν. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς. Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα. Ἠτήσαν καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς. Διέρρηξε πέτραν, καὶ ἐρρύησαν ὕδατα, ἐπορεύθησαν ἐν αὐχμῷ ποταμοί. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν κατεκληρονόμησαν.

Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν.

Δόξα. κάθισμα ιδ΄.

Ἀλληλούϊα. ρε΄.

ΕΞομολογεῖσθε τῷ Κυρίῳ ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τίς λαλήσει τὰς δυνατείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Μνήσθητί μου Κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου. Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου. Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, οὐκ ἐμνήσθησαν τοῦ πλήθους τῶν ἐλέους σου.

Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐπὶ τὴν θάλασσαν τὴν ἐρυθρὰν θάλασσαν, καὶ ἔσωσεν αὐτοὺς διὰ τὸ ὄνομα αὐτοῦ. Τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ, καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη. Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ, καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος. Καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ.

Καὶ ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη. Καὶ ἐπίστευσαν τοῖς λόγοις αὐτοῦ, καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. Καὶ παρώργισαν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου. Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθάν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν ἁμαρτωλούς. Καὶ ἐποίησαν μόσχον ἐν Χωρὴβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ, ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον. Καὶ ἐπελάθοντο τοῦ θεοῦ τοῦ σώζοντος αὐτούς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ, θαυμάσια ἐν γῇ Χάμ, φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς, εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητὴν, οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ. Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ, καὶ ἔφαγον θυσίας νεκρῶν. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις. Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. Καὶ παρώργισαν αὐτὸν ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέκρινεν ἐν τοῖς χείλεσιν αὐτοῦ. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη ἃ εἶπε Κύριος αὐτοῖς, καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. Καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν. Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν. Καὶ ἐπόρνευσαν ἐν τοῖς

αὐτῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὠδὴ τῆς δόξης αὐτοῦ. Καὶ ὠργίσθη θυμῷ κύριος τῷ λαῷ αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσεν αὐτῶν οἱ μισοῦντες αὐτούς. Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. Πλεονάκις ἐῤῥύσατο αὐτούς, αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν. Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. Καὶ εἶδε κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμούς, ἐναντίον παντὸς τοῦ αἰχμαλωτεύσαντος αὐτούς. Σῶσον ἡμᾶς κύριε ὁ θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Εὐλογητὸς κύριος ὁ θεὸς ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, καὶ ῥηθήσεται πᾶς ὁ λαὸς γένοιτο γένοιτο. Δόξα.

Ἀλληλούϊα. ρς'.

ΕΞομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ, καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς. Ἀπὸ ἀνατολῆς, καὶ δυσμῶν, καὶ βορρᾶ, καὶ θαλάσσης, ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀύδρῳ. Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον. πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν. Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀνάγκων αὐτῶν ἐῤῥύσατο αὐτούς. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ θεοῦ, καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν.

Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν. ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀνάγκων αὐτῶν ἔσωσεν αὐτούς. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέῤῥηξεν. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν, διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν. Παῦν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισεν ἕως τῶν πυλῶν τοῦ θανάτου. καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀνάγκων αὐτῶν ἔσωσεν αὐτούς. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς. καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς. Αὐτοὶ εἶδον τὰ ἔργα κυρίου, καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ. Εἶπε καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων. Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο. ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀνάγκων αὐτῶν ἐξήγαγεν αὐτούς. Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.

Ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς διψος. γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας. Καὶ ἔσπειραν ἀγροὺς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γενήματος. Καὶ εὐλόγησεν αὐτοὺς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε. Καὶ ὠλιγώθησαν, καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης. Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, καὶ οὐκ ὁδῷ. Καὶ ἐβοήθησε πενίᾳ ἐκ πτωχείας, καὶ ἔθετο ὡς πρόβατα πατριάς. Ὄψονται δίκαιοι καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. Τίς σοφὸς καὶ φυλάξει ταῦτα, καὶ συνήσει τὰ ἐλέη τοῦ κυρίου; Δόξα.

Ὠδὴ ψαλμὸς τοῦ Δαβίδ. ρζ'.

ΕΤοίμη ἡ καρδία μου ὁ θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγρέσθητι ἡ δόξα μου, ἐξεγρέσθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου.

Ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Ὅπως ἂν ῥυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δῶσιν οἱ ἀγαπητοί σου, σοὶ δόξαν τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμὸς ἐστὶ Γαλαάδ, καὶ ἐμὸς ἐστὶ Μανασσῆς, καὶ ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν ἰδουμαίαν ἐκβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑποτάγητε. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς, ἢ τίς ὁδηγήσει με ἕως τῆς ἰδουμαίας; Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιήσωμεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ ρή.

Ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιεβάλλόν με, ἐγὼ δὲ προσηυχόμην. Καὶ ἔθηντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξελθοι κατάδικος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα. Σαλευόμενοι μετανασθήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἐνώπιον κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. Γενηθήτωσαν ἐναντίον κυρίου διαπαντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον πτωχὸν καὶ πένητα, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι. Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ· καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη διὰ παντὸς περιζώννυται. Τοῦτο τὸ ἔργον τῶν διαβαλλόντων με παρὰ κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου. Καὶ σὺ κύριε κύριε ποίησον μετ' ἐμοῦ, ὅτι χρηστὸν τὸ ἔλεός σου. Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλίνειν αὐτὴν ἀπενεχθήτω, ἐξετινάχθην ὡσεὶ ἀκρίδες. Τὰ γόνατά μου ἠδυνήθησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς. Εἰσῆλθόν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Βοήθησόν μοι κύριε ὁ θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ κύριε ἐποίησας αὐτήν. Καταρασθήσονται αὐτοί, καὶ σὺ εὐλογήσεις. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Δόξα, καθισμα ιέ.

Ψαλμὸς τῷ Δαβὶδ ρβ'.

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ Σιὼν, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Μετά σου ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Ὤμοσε κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. Κύριος ἐκ δεξιῶν σου, συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ἀλληλούια. ρί.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. Μεγάλα τὰ ἔργα κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ. Ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, ἰσχὺν ἔργων αὐτοῦ ἀπήγγειλε τῷ λαῷ αὐτοῦ. Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν, ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. Πιστὰ πάντα τὰ δικαιώματα αὐτοῦ, ἐστηριγμένα εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημένα ἐν ἀληθείᾳ καὶ εὐθύτητι. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ. Ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. Ἀρχὴ σοφίας, φόβος κυρίου, σύνεσις ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν.

Ἡ αἴνεσις

Η ἄνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Αλληλούϊα. ριά.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Δυνατὸν ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον, ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ τοὺς ἐχθροὺς αὐτοῦ; Ἐσκόρπισεν, ἔδωκε τοῖς πτωχοῖς, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται. Ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται. Δόξα.

Αλληλούϊα. ριβ.

Αἰνεῖτε παῖδες κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου. Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα κυρίου. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. Τίς ὡς κύριος ὁ θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν; Ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ὑψῶν πτωχόν. Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. Αλληλούϊα. ριγ.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. Τί σοι ὅτι θάλασσα ὅτι ἔφυγες, καὶ σὺ Ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; Ἀπὸ προσώπου κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ θεοῦ Ἰακώβ. Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. Μὴ ἡμῖν κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, μήποτε εἴπωσι τὰ ἔθνη· ποῦ δή ἐστιν ὁ θεὸς αὐτῶν; Ὁ δὲ θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν. ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται, ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται. Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι. πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν. οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντα αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἱ φοβούμενοι τὸν κύριον ἤλπισαν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς, εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών. Εὐλόγησε τοὺς φοβουμένους τὸν κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Προσθείη κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. Εὐλογημένοι ὑμεῖς τοῦ κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τοῦ κυρίου, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογοῦμεν τὸν κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Αλληλούϊα. ριδ.

Ἠγάπησα, ὅτι εἰσακούσεται κύριος τῆς φωνῆς τῆς δεήσεώς μου. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. Περιέσχόν με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσαν με. Θλῖψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα κυρίου ἐπεκαλεσάμην· ὦ κύριε ῥῦσαι τὴν ψυχήν μου. Ἐλεήμων ὁ κύριος καὶ δίκαιος, καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ. φυλάσσων τὰ νήπια ὁ κύριος, ἐταπεινώθην καὶ ἔσωσέ με. Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐηργέτησέ σε. Ὅτι ἐξεῖλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. Εὐαρεστήσω ἐνώπιον κυρίου ἐν χώρᾳ ζώντων. Δόξα.

Αλληλούϊα. ριε.

Ἐπίστευσα, διὸ ἐλάλησα. ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης. Τί ἀνταποδώσω τῷ κυρίῳ, πάντων ὧν ἀνταπέδωκέ μοι; Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον κυρίου, ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ὦ κύριε ἐγὼ δοῦλός σος, ἐγὼ δοῦλός σος, καὶ υἱὸς τῆς παιδίσκης σου. Διέρρηξας τοὺς δεσμούς μου. Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Ἐν αὐλαῖς οἴκου κυρίου, ἐν μέσῳ σου Ἱερουσαλήμ.

Αλληλούϊα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αλληλούϊα. ριε΄.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα.

Αλληλούϊα. ριϛ΄.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν δὴ οἱ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.

Ἀγαθὸν πεποιθέναι τῷ κυρίῳ, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐπὶ κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχοντας. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. Κυκλώσαντές με ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. Ὠθούμενος ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ κύριος ἀντελάβετό μου.

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. Δεξιὰ κυρίου ἐποίησε δύναμιν, δεξιὰ κυρίου ὕψωσέ με.

Δεξιὰ κυρίου ἐποίησε δύναμιν, οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα κυρίου. Παιδεύων ἐπαίδευσέ με ὁ κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ. Αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Ὦ κύριε σῶσον δή, ὦ κύριε εὐόδωσον δή. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κυρίου. Θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν. Συστάδες ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι. θεός μου εἶ σύ, καὶ ὑψώσω σε. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Δόξα. κάθισμα ις΄.

Αλληλούϊα. ριή.

Μακάριοι ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα. Ὀφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ με μεμαθηκέναι τὰ κρίματα τῆς δικαιοσύνης σου. Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα. Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως οὐ μὴ ἁμάρτω σοι. Εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου εὐφράνθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου. Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. Ἀνταπόδος τῷ δούλῳ σου. ζήσόν με, καὶ φυλάξω τοὺς λόγους σου. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. Ἐπεπόθησεν ἡ ψυχή μου, τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπετίμησας ὑπερηφάνοις, οἱ κατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουθένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ ἐλάλουν. ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζήσόν με κατὰ τὸν λόγον σου. Τὰς ὁδούς μου ἐξηγγειλα, καὶ ἐπήκουσάς μου. δίδαξόν με τὰ δικαιώματά σου. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. Ὁδὸν ἀληθείας ἐξελεξάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην. Ἐκολλήθην τοῖς μαρτυρίοις σου κύριε, μή με καταισχύνῃς. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. Νομοθέτησόν με κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ωὸν γὰρ γὴ ὅλη καρδία μου. Οδήγησόν με γὴ τῇ προίξω τῶν γνωλῶν σου, ὅτι αὐτῆς ἠθέλησα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀπόστρεψον σὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα, γὴ τῇ ὁδῷ σου ζῆσόν με. Στῆσον τῷ δούλῳ σε τὸ λόγιόν σου, εἰς τὸν φόβον σου. Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σε χρηστά. Ἰδοὺ ἐπεθύμησα τὰς γνωλάς σε, γὴ τῇ δικαιοσύνῃ σου ζῆσόν με. Καὶ ἐλθοί ἐπ' ἐμὲ τὸ ἔλεός σε, κύριε, τὸ σωτήριόν σε γὴ τὸν λόγον σου. Καὶ ἀπκριθήσομαι τοῖς ὀνειδίζεσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σε. Καὶ μὴ περιέλῃς ἐκ τοῦ σόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σε ἐπήλπισα. Καὶ φυλάξω τὸν νόμον σε διαπαντὸς, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ ἐπορευόμην γὰ πλατυσμῷ, ὅτι τὰς γνωλάς σε ἐξεζήτησα. Καὶ ἐλάλουν γὰ τοῖς μαρτυρίοις σε γὰ ἐναντίον βασιλέων, καὶ ὐκ ἠσχυνόμην. Καὶ ἐμελέτων γὰ ταῖς γνωλαῖς σε, αἷς ἠγάπησα σφόδρα. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς γνωλάς σε ἃς ἠγάπησα, καὶ ἠδολέσχουν γὰ τοῖς δικαιώμασί σου. Μνήσθητι τοῦ λόγου σε τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με. Αὕτη με παρεκάλεσε γὰ γὴ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. Ὑπερήφανοι παρενόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σε ὐκ ἐξέκλινα. Ἐμνήσθην τῶν κριμάτων σε ἀπ' αἰῶνος κύριε, καὶ παρεκλήθην. Ἀθυμία κατέσχε με, ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σε. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου, γὰ τόπῳ παροικίας μου. Ἐμνήσθην γὰ νυκτὶ τοῦ ὀνόματός σε κύριε, καὶ ἐφύλαξα τὸν νόμον σε. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σε ἐξεζήτησα. Μερίς μου εἶ κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σε. Ἐδεήθην τοῦ προσώπου σε γὰ ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Διελογισάμην τὰς ὁδούς σε, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. Ἡτοιμάσθην, καὶ ὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς γνωλάς σε. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σε ὐκ ἐπελαθόμην. Μεσονύκιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι, ὑπὲρ τὰ κρίματα τῆς δικαιοσύνης σε. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς γνωλάς σε. Τὸ ἔλεος σε κύριε πλήρης ἡ γῆ, τὰ δικαιώματά σε δίδαξόν με. Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σε κύριε, κατὰ τὸν λόγον σε. Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς γνωλαῖς σε ἐπίστευσα. Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σε ἐφύλαξα. Χρηστὸς εἶ σὺ κύριε, καὶ γὰ τῇ χρηστότητί σε δίδαξόν με τὰ δικαιώματά σε. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ γὰ ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς γνωλάς σε. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σε ἐμελέτησα. Ἀγαθὸν μοί ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σε. Ἀγαθός μοι ὁ νόμος τοῦ σόματός σε, ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Δόξα. Στάσις ά.

Αἱ χεῖρές σε ἐποίησάν με, καὶ ἔπλασάν με. σύνισόν με, καὶ μαθήσομαι τὰς γνωλάς σε. Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἔγνων κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σε, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σε τῷ δούλῳ σου. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σε μελέτη μου ἐστίν. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω γὰ ταῖς γνωλαῖς σου. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. Γενηθήτω ἡ καρδία μου ἄμωμος γὰ τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες πότε παρακαλέσεις με. Ὅτι ἐγενήθην ὡς ἀσκὸς γὰ πάχνῃ, τὰ δικαιώματά σε ὐκ ἐπελαθόμην.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου, πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' ὐχ ὡς ὁ νόμος σου κύριε. Πᾶσαι αἱ γνωλαί σου ἀλήθεια. Ἀδίκως καταδίωξάν με, βοήθησόν μοι. Μικρὰ βραχὺ συνετέλεσάν με γὰ τῇ γῇ, ἐγὼ δὲ ὐκ ἐγκατέλιπον τὰς γνωλάς σου. Κατὰ τὸ ἔλεός σε ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ σόματός σε. Εἰς τὸν αἰῶνα κύριε ὁ λόγος σε διαμένει γὰ τῷ οὐρανῷ, εἰς γενεὰν καὶ γενεάν ἡ ἀλήθειά σου. Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει τῇ διατάξει σε. διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλά σά. Εἰ μὴ ὅτι ὁ νόμος σε μελέτη μου ἐστίν, τότε ἂν ἀπολόμην γὰ τῇ ταπεινώσει μου. Εἰς τὸν αἰῶνα ὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σε, ὅτι γὰ αὐτοῖς ἔζησάς με.

Στάσις β'.

Σὸς εἰμὶ ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σε ἐξεζήτησα. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοί, τοῦ ἀπολέσαι με. τὰ μαρτύριά σε συνῆκα. Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ γνωλή σε σφόδρα. Ὡς ἠγάπησα τὸν νόμον σε κύριε; ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν. Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τῇ γνωλῇ σε, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σε μελέτη μου ἐστίν. Ὑπὲρ πρεσβύτέρους συνῆκα, ὅτι τὰς γνωλάς σε ἐξεζήτησα.

Ἐπ

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ νομοθέτησάς μοι. Ὡς γλυκέα τοῖς λάρυγξί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς τοῖς τρίβοις μου. Ὤμοσα, καὶ ἔστησα, τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐταπεινώθην ἕως σφόδρα κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τὸν νόμον σου οὐκ ἐπελαθόμην. Ἔθεντο ἁμαρτωλοί παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσίν. Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα διὰ παντός.

Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. Βοηθός μου, καὶ ἀντιλήπτωρ μού εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με. καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. Ἐποίησα κρῖμα καὶ δικαιοσύνην, μὴ παρέδῳς με τοῖς ἀδικοῦσί με. Ἐκκλῖναι τὴν διάνοιάν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸν λόγιον τῆς δικαιοσύνης σου. ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με. Δοῦλός σου εἰμί ἐγώ, σύνιεπόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου. Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου, ὑπὲρ χρυσίον καὶ τοπάζιον. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἀδίκου ἐμίσησα. Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξερεύνησεν αὐτὰ ἡ ψυχή μου. Ἡ δήλωσις τῶν λόγων σου φωτεῖ, καὶ συνιεῖ νηπίους. Τὸ στόμα μου ἀνέῳξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. Δόξα.

Στάσις. γ.

Ἔπιβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Τὸ πρόσωπόν σου ἐπίφανον τῷ δούλῳ σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξαν τὸν νόμον σου. Δίκαιος εἶ κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέτη μου. Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. Προέφθασα ἐν ὠρθρίᾳ, καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾶν τὰ λόγιά σου. Τῆς φωνῆς μου ἄκουσον κύριε κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Προσήγγισαν οἱ κατὰ διώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. Ἐγγὺς εἶ κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια. Κατέρχας ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. Ἴδε τὴν ταπείνωσίν μου, καὶ ῥῦσαί με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. Οἱ οἰκτιρμοί σου πολλοί κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Πολλοὶ οἱ διώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. Εἶδον ἀσυνθετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τοὺς λόγιά σου οὐκ ἐφυλάξαντο. Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, κύριε ἐν τῷ ἐλέει σου ζῆσόν με. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐφοβήθη ἡ καρδία μου. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τοῖς λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. Ἑπτάκις τῆς ἡμέρας ἤνεσά σε, ἐπὶ τοῖς κρίματα τῆς δικαιοσύνης σου. Εἰρήνην πολλὴν τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. Προσδόκων τὸ σωτήριόν σου κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα. ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν. Ἐφύλαξα τὰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὼ τολάς σε, καὶ τὰ μαρτύριά σε, ὅτι πᾶσαι αἱ ὁδοί με γὼαντίον σου εἰσίν. Εγγισάτω ἡ δέησίς με γὼπιόν σε κύριε, κῆ̄ κατὰ τὸ λόγιόν σε σωσέπιόν με. Εἰσέλθοι τὸ αἴτημά μου γὼπιόν σε κύριε, κῆ̄ κατὰ τὸ λόγιόν σε ῥῦσαί με. Εξερεύξαιντο τὰ χείλη με ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σε. Φθέγξαιτο ἡ γλῶσσά με τὰ λόγιά σε, ὅτι πᾶσαι αἱ γὼτολαί σε δικαιοσύνη. Γενέσθω ἡ χείρ σε τοῦ σῶσαί με, ὅτι τὰς γὼτολάς σε ἠρετισάμην. Επεπόθησα τὸ σωτήριόν σε κύριε, καὶ ὁ νόμος σε μελέτη μου ἐστί. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σε βοηθήσει μοι. Επλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλόν σε, ὅτι τὰς γὼτολάς σε οὐκ ἐπελαθόμην. Δόξα. κάθισμα ιζ'. Ωδὴ τῆς αὐαβαθμῶν ριθ'.

ΠΡὸς κύριον γὼ τοῖς θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ, πολλὰ παρῴκησεν ἡ ψυχή μου. Μετὰ τῶν μισούντων τὴν εἰρήνην, ἤμην εἰρηνικός. Οταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ωδὴ τῆς αὐαβαθμῶν ρκ'.

ΗΡα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Η βοήθειά μου παρὰ κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξει ὁ φυλάσσων σε. Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει, ὁ φυλάσσων τὸν Ισραήλ. Κύριος φυλάξει σε, κύριος σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου. Ημέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ κύριος. Κύριος φυλάξει τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ωδὴ τῆς αὐαβαθμῶν ρκά.

ΕΥφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον κυρίου πορευσώμεθα. Εστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ κυρίου μαρτύριον τῷ Ισραήλ, τὸ ἐξομολογήσασθαι τῷ ὀνόματι κυρίου· Οτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἴκου Δαβίδ. Ερωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ενεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. Ενεκα τοῦ οἴκου κυρίου τοῦ θεοῦ ἡμῶν, ἐζήτησα ἀγαθά σοι.

Ωδὴ τῆς αὐαβαθμῶν ρκβ'.

ΠΡὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τοῖς οὐρανοῖς. Ἰδοὺ ὡς οἱ ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. Ελέησον ἡμᾶς κύριε, ἐλέησον ἡμᾶς, ὅτι ὑπὲρ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. Επὶ πλέον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ωδὴ τῆς αὐαβαθμῶν ρκγ'.

ΕΙμὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ισραήλ· Εἰμὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς. Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς. Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς, χειμάῤῥους διῆλθεν ἡ ψυχὴ ἡμῶν. Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ ἀνυπόστατον. Εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Η ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ παγίδος τῶν θηρευόντων, Η παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν. Η βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Δόξα.

Ωδὴ τῆς αὐαβαθμῶν ρκδ'.

ΟΙ πεποιθότες ἐπὶ κύριον, ὡς ὄρος Σιὼν, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. Ορη κύκλῳ αὐτῆς, καὶ ὁ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Οτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν, ἐπὶ τὸν κλῆρον τῶν δικαίων. Οπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι, ἐν αὐταῖς χερσὶν αὐτῶν. Αγάθυνον κύριε τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν, Εἰρήνη ἐπὶ τὸν Ισραήλ.

Ωδὴ τῆς αὐαβαθμῶν ρκε'.

ΕΝ τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσι· ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν. ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι. Επίστρεψον κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θερίσουσι. Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν. Ερχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

Ωδὴ τῆς αὐαβαθμῶν ρκς'.

ΕΑν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Εὰν μὴ

μὴ λύσει⊙ φυλάξη πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν. Εγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῶ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. Ιδοὺ ἡ κληρονομία κυρίου υἱοί, ὁ μισθὸς τ̃ καρπ̃ τ̃ γαστρός. Ωσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τ̃ ἐκτιναγμένων. Μακάριος ὃς πληρώσει τ̃ ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτ̃ν. Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτοῦ ἐν πύλαις.

Ὠδὴ τ̃ν ἀναβαθμῶν ρκζ'.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. Τοὺς πόνους τ̃ν καρπῶν σου φάγεσαι, μακάριος εἶ, καὶ καλῶς σοι ἔσται. ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν ταῖς πλευραῖς τ̃ς οἰκίας σου. Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τ̃ τραπέζης σου. Ιδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν κύριον. Εὐλογήσαί σε κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τ̃ ζωῆς σου. Καὶ ἴδοις υἱοὺς τ̃ν υἱ̃ν σου, εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ὠδὴ τ̃ν ἀναβαθμῶν ρκή.

Πολεμοῦσί με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ. Πολεμοῦσί με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἐπὶ τὸν νῶτόν μου ἔτεκτηναν οἱ ἁμαρτωλοί, ἐμάκρυναν τ̃ν ἀνομίαν αὐτῶν. Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Αἰσχυνθήτωσαν καὶ ἀναστραφήτωσαν εἰς τὰ ὀπίσω, πάντες οἱ μισοῦντες Σιών. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τ̃ ἐκσπασθῆναι ἐξηράνθη.

Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. Καὶ οὐκ εἶπαν οἱ παράγοντες, εὐλογία κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι κυρίου. Δόξα.

Ὠδὴ τ̃ν ἀναβαθμῶν. ρκθ'.

Ἐκ βαθέων ἐκέκραξά σοι κύριε, κύριε εἰσάκουσον τ̃ς φωνῆς μου. Γενηθήτω τὰ ὦτά σου πρόσεχοντα εἰς τὴν φωνὴν τ̃ς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ἱλασμός ἐστιν. Ενεκεν τ̃ ὀνόματός σου ὑπέμεινά σε κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον. Ἀπὸ φυλακ̃ς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακ̃ς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον. Ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τ̃ν ἀνομιῶν αὐτοῦ.

Ὠδὴ τ̃ν ἀναβαθμῶν ρλ'.

Κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ μετεωρίσθησαν οἱ ὀφθαλμοί μου. Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλ' ὕψωσα τὴν ψυχήν μου. Ως τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταπόδοσις ἐπὶ τὴν ψυχήν μου. Ελπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠδὴ τ̃ν ἀναβαθμῶν ρλά.

Μνήσθητι κύριε τοῦ Δαβὶδ, καὶ πάσης τ̃ς πραότητος αὐτοῦ. Ως ὤμοσε τῷ κυρίῳ, εὔξατο τῷ θεῷ Ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμν̃ς μου. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμόν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου. Ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τ̃ς ἁγιάσματός σου. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ενεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν· Ἐκ καρπ̃ τ̃ κοιλίας σου, θήσομαι ἐπὶ τὸν θρόνον σου. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω αὐτούς. Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος, καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Οτι ἐξελέξατο κύριος Σιών, προεῖδε αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι προεῖδον αὐτήν. Τὴν θήραν αὐτ̃ς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτ̃ς χορτάσω ἄρτων. Τοὺς ἱερεῖς αὐτ̃ς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτ̃ς ἀγαλλιάσει ἀγαλλιάσονται. Εκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτ̃ν ἐξανθήσει τὸ ἁγίασμά μου.

Ὠδὴ τ̃ν ἀναβαθμῶν ρλβ'.

Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ως μῦρον ἐπὶ τὴν κεφαλὴν τὸ καταβαῖνον ἐπὶ τὸν πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών. Τὸ καταβαῖνον ἐπὶ τὴν ὥαν τοῦ ἱματίου αὐτοῦ. Ως δρόσος Ἑρμών, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Οτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Ὠδὴ τ̃ν ἀναβαθμῶν ρλγ'.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυρίου, Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον. Εὐλογήσαι σε κύριος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.
Δόξα. Ἀλληλουϊα ιθ'.

Αλληλούϊα ρλδ'.

Αἰνεῖτε τὸ ὄνομα κυρίου, αἰνεῖτε παῖδες κύριον. Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. Αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸς κύριος. Ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν. Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ κύριος. καὶ ὁ κύριος ἡμῶν ὑπὲρ πάντας τοὺς θεούς. Πάντα ὅσα ἠθέλησεν ὁ κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. Ἐν τοῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Ἀναγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν. Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ, ὃς ἐπάταξε τὰ πρωτότοκα αἰγύπτου ἀπ' ἀνθρώπου ἕως κτήνους. Ἐξαπέστειλε σημεῖα, καὶ τέρατα ἐν μέσῳ σου αἴγυπτε, ἐν φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. Ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ ἀπέκτεινε βασιλεῖς ἰσχυρούς. Τὸν σιὼν βασιλέα τῶν ἀμορραίων, καὶ τὸν ὼγ βασιλέα τῆς βασαν, καὶ πάσας τὰς βασιλείας χαναάν. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ. Κύριε τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται, οὐδὲ γὰρ ὀσμὴ ἔστιν ἐν τῷ στόματι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντα αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν κύριον. Οἶκος Ἀαρὼν εὐλογήσατε τὸν κύριον, οἶκος λευὶ εὐλογήσατε τὸν κύριον. Οἱ φοβούμενοι τὸν κύριον εὐλογήσατε τὸν κύριον.

Εὐλογητὸς κύριος ἐκ σιὼν, ὁ κατοικῶν ἐν ἱερουσαλήμ.

Αλληλούϊα ρλε.

Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ στερεώσαντι τὴν γῆν ὑπὲρ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ παταξαντι αἰγυπτίους σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ διαταμόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐκτινάξαντι φαραὼ καὶ τὴν δυνάμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθρὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἀπέκτειναν βασιλεῖς ἰσχυρούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν σιὼν βασιλέα τῶν ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τὸν ὼγ βασιλέα τῆς βασαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τῷ Δαβὶδ ἀλληλούϊα ρλς'.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς σιών. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς, ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς, οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγους ᾠδῆς· καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον. Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν σιών. πῶς ἄσωμεν τὴν ᾠδὴν κυρίου, ἐπὶ γῆς ἀλλοτρίας; Ἐὰν ἐπιλάθωμαί σου ἱερουσαλήμ, ἐπιλαθείη ἡ δεξιά μου. Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ. Ἐὰν μὴ προὠμαι τὴν ἱερουσαλήμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Μνήσθητι κύριε τῶν υἱῶν ἐδὼμ, τὴν ἡμέραν ἱερουσαλήμ. Τῶν λεγόντων, ἐκκενώσατε ἐκκενώσατε, ἕως τῶν θεμελίων αὐτῆς. Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, Μακάριος ὃς ἀνταποδώσει σοι τὸν ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν. Μακάριος ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ, ἀγγαίου καὶ ζαχαρίου. ρλζ'.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, ἐνώπιον ἀγγέλων ψαλῶ σοι. Ὅτι

ἤκουζας ταῦτα τὰ ῥήματα τοῦ σώματός μου.

Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σε, ἐπὶ τοῖς ἐλέει σε καὶ τῇ ἀληθείᾳ σε. Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σε, ὃν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου. Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σε. Ἐξομολογισάσθω σοι λύριε πάντες οἱ Βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου, καὶ ᾄσάτωσαν ἐν ταῖς ὁδοῖς λυρίου, ὅτι μεγάλη ἡ δόξα λυρίου. Ὅτι ὑψηλὸς λύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. Ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖρας σε, καὶ ἔσωσέ με ἡ δεξιά σε. Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. Κύριε τὸ ἔλεός σε εἰς τὸν αἰῶνα, τὰ ἔργα χειρῶν σε μὴ παρίδῃς.

Εἰς τὸ τέλος τοῦ Δαβίδ, Ψαλμός ᾠδῆς χαρείας ἐν τῇ ἀναστάσει. ρλή.

Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με. Σὺ ἔγνως τὴν καθέδραν, καὶ τὴν ἔγερσίν μου. Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν, τὴν τρίβον μου καὶ τὴν σχοινίσμα μου σὺ ἐξιχνίασας. καὶ πάσας τὰς ὁδούς μου προῖδες· ὅτι οὐκ ἔστι λόγος ἐν γλώσσῃ μου. Ἰδοὺ κύριε σὺ ἔγνως πάντα τὰ ἔσχατα, καὶ τὰ ἀρχαῖα. Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ. ἐὰν καταβῶ εἰς τὸν ἅδην, πάρει. Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης.

καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ κατέξει με ἡ δεξιά σε. καὶ εἶπα ἄρα σκότος κατακατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου. Ὅτι σκότος οὐ σκοτιάσει ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου. Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης. Θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς. Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται. Ἡμέρας πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. Ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. Ἐξηγέρθην καὶ ἔτι εἰμὶ μετὰ σοῦ, ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ θεός. Ἀνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ, ὅτι ἐρεῖτε εἰς διαλογισμόν. Λήψονται εἰς ματαιότητα τὰς πόλεις σε. Οὐχὶ τοὺς μισοῦντάς σε κύριε ἐμίσησα, καὶ ἐπὶ σοὶ ἐξετηκόμην; Τέλειον μῖσος ἐμίσησα αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. Δοκίμασόν με ὁ θεός, καὶ γνῶθι τὴν καρδίαν μου. Ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου. καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαβίδ. ρλθ'.

Ἔξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. ΔΙΑΨΑΛΜΑ. Φύλαξόν με κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Οἵτινες διελογίσαντο τὰ διασκελίσαι τὰ διαβήματά μου, ἔκρυψαν ὑπερήφανοι παγίδα μοι. ΔΙΑΨΑΛΜΑ. καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμην τρίβου σκάνδαλα ἔθηκάν μοι. Εἶπα τῷ κυρίῳ· θεός μου εἶ σύ, ἐνώτισαι κύριε τὴν φωνὴν τῆς δεήσεώς μου.

Κύριε κύριε δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Μὴ παραδῷς με κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. Διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν. ΔΙΑΨΑΛΜΑ. Ἡ κεφαλὴ τῶν κυκλούντων αὐτούς, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.

Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες, ἐν πυρὶ καὶ ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν. Ἀνὴρ γλωσσώδης, οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Ἄνδρα ἄδικον, κακὰ θηρεύσει εἰς διαφθοράν. Ἔγνων ὅτι ποιήσει κύριος κρίσιν τοῦ πτωχοῦ, καὶ κρίσιν πενήτων. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σε, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σε. Δόξα.

Ψαλμὸς τῷ Δαβίδ. ρμ'.

Κύριε ἐκέκραξα πρὸς σε, εἰσάκουσόν μου. πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σε. Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Θὲς κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. Σὺν ἀνδράσι τοῖς ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνῶ τοῖς ἐκλεκτοῖς αὐτῶν. Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλὸς μὴ λιπανάτω τὴν κεφαλήν μου. Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεποθησαν ἐχόμενα πέτρας οἱ κριτοὶ αὐτῶν,

Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδυνήθησαν, ὡσεὶ πάχος γῆς ἐρήγνυται ἐπὶ τῆς διασκορπισθῆ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ ὀσᾶ αὐτ πᾶσά τ ἀσθένειαν. Οὐ πῶς σὲ λύσει λύσει οἱ ὀφθαλμοί μου, ὡδὶ σοὶ ἤλπισα, μὴ αἰσχυνέλης τὴν ψυχήν μου. Φύλαξόν με ἀπὸ παγίδ ης σπουδεπόησαν τό μοι, καὶ ἀπὸ σκανδάλων τ ἐργαζομένων τὴν ἀνομίαν. Πεσοῦν ται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, καὶ ἐγὼ μόνος εἰμὶ ἕως ἂν παρέλθω.

Σωτέσεως τ Δαβὶδ, ἐν τῷ εἶν αὐτὸν ἐν τ σπηλαίῳ πῶς δυχόμενον. ρμα.

Φωνῇ μου πῶς λύσιον ἐκέκραξα, φωνῇ μου πῶς λύσιον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτ τὴν δέησίν μου, τὴν θλῖψιν μου ἐνώπιον αὐτ ἀπαγγελῶ. Ἐν τ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλ ετο φυγὴ ἀπ ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. Ἐκέκραξα πῶς σὲ λύσει. εἶπα σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων. Πρόσχες πῶς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τ ἐξομολογήσασθαί τῷ ὀνόματί σου. Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Ψαλμὸς τ Δαβὶδ, ὁπότε κατεδίωκεν αὐτὸν ἀβεσσαλὼμ ὁ υἱὸς αὐτοῦ. ρμβ.

Κύριε εἰσάκουσον τ πῶς δυχῆς μου, ἐνώπισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Ὅτι δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τ ψυχήν μου, ἐτα πείνωσεν εἰς γῆν τ ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ ἐμὲ τὸ πνεῦμά μου. Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου, ἐμνήσθην ἡμέρων ἀρχαίων. Ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πῶς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πῶς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου κύριε, πῶς σὲ κατέφυγον, δίδαξόν με τ ποιεῖν τὸ θέλημά σου. Ὅτι σὺ εἶ ὁ θεός μου, τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου κύριε ζήσεῖς με, Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί. Δόξα. Κάθισμα ιδ'.

Ψαλμὸς τ Δαβὶδ πῶς τὸν γολιάθ ρμγ'.

Εὐλογητὸς κύριος ὁ θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον. Ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου, ὑπερασπιστής μου, καὶ ἐπ αὐτ ἤλπισα. Ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ ἐμέ. Κύριε τί ἄνθρωπος ὅτι ἐγνώσθης αὐτ, ἢ υἱὸς ἀνθρώπου ὅτι λογίζῃ αὐτ; Ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτ ὡσεὶ σκιὰ παρέρχονται. Κύριε, κλῖνον τὸν οὐρανούς, καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται.

Ἀστραπὸν ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς, βαλὲ πόρευσον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς. Ἐξαπόστειλον τὴν χεῖρά σου ἄνωθεν, ῥῦσαί με καὶ ἐξελοῦ με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

Ὁ θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι. Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι, τῷ λυτρουμένῳ τὸν δαβὶδ τ δοῦλον αὐτ ἐκ ῥομφαίας πονηρᾶς. Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα, ἐστερεωμένα ἐν τῇ νεότητι αὐτῶν. Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, πεπηκτισμέναι ὡς ὁμοίωμα ναοῦ. Τὰ ταμεῖα αὐτ πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. Τὰ πρόβατα αὐτ πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτ. Οἱ βόες αὐτ παχεῖς, οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐ κραυγὴ ἐν ταῖς πλατείαις αὐτ. Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι, μακάριος ὁ λαὸς οὗ κύριος ὁ θεὸς αὐτ.

Αἰνέσεως τῷ Δαβὶδ ρμδ'.

Ὑψώσω σε ὁ θεός μου, ὁ βασιλεύς μου. καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τ αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καθ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τ αἰώνων.

Μέγας κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Γενεὰ γενεᾷ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δυναμίν σου ἀπαγγελοῦσι. Τὴν μεγαλοπρέπειαν τῆς δόξης τ ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. καὶ τ δυναμιν τ φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος, καὶ πολυέλεος. Χρηστὸς κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ ὑπὲρ πάντα τὰ ἔργα αὐτοῦ. Ἐξομολογησάσθωσάν σοι κύριε πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σε εὐλογησάτωσάν σε. Δόξαν βασιλείας σου ῥήσουσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ ἐξουσία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ὑποστηρίζει κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατῃραγμένους. Οἱ ὀφθαλμοὶ πάντων εἰς σε ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν καιρείᾳ. Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶν εὐδοκίας. Δίκαιος κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τὴν δέησιν αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. Φυλάσσει κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τῶν αἰώνων. Δόξα.

Ἀλληλούϊα ἀγγαίου καὶ ζαχαρίου ρμέ.

Αἶνει ἡ ψυχή μου τὸν κύριον, αἰνέσω κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω. Μὴ πεποίθατε ἐπ' ἄρχοντας τοὺς υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν. Μακάριος οὗ ὁ θεὸς ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον τὸν θεὸν αὐτοῦ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους, κύριος σοφοῖ τυφλούς, κύριος ἀνορθοῖ κατῃραγμένους, κύριος ἀγαπᾷ δικαίους, κύριος φυλάσσει τοὺς προσηλύτους. Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ θεός σου σιών, εἰς γενεὰν καὶ γενεάν.

Ἀλληλούϊα ρμς'.

Αἰνεῖτε τὸν κύριον ὅτι ἀγαθόν, ψαλμὸς τῷ θεῷ ἡμῶν, ἡδὺ πρέπει αἶνος. Οἰκοδομῶν ἰερουσαλὴμ ὁ κύριος, τοὺς διασπορὰς τοῦ ἰσραὴλ συνάξει. Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. Ὁ ἀριθμῶν πλῆθος ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.

Μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. Ἀναλαμβάνων πραεῖς ὁ κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς. Ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει, ψάλατε τῷ θεῷ ἡμῶν ἐν κιθάρᾳ. Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν. Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. Οὐκ ἐν τῇ δυνάμει τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκήσει. Εὐδοκεῖ κύριος ἐν τοῖς φοβουμένοις αὐτόν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Ἀλληλούϊα, ἀγγαίου καὶ ζαχαρίου ρμζ'.

Αἰνεῖ ἰερουσαλὴμ τὸν κύριον, αἴνει τὸν θεόν σου σιών. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. Ὁ θεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. Ὁ ἀποστέλλων τὸν λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσοντος. Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς, κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;

Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά. πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. Ὁ ἀπαγγέλλων τὸν λόγιον αὐτοῦ τῷ ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ ἰσραήλ. Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Δόξα.

Ἀλληλούϊα, ἀγγαίου καὶ ζαχαρίου ρμή.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, αἰνεσάτωσαν τὸ ὄνομα κυρίου. Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. Αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι. Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι. Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά. Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς. Νεανίσκοι, καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ τῆς γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει

κὴ ὑψώσῃ κύριός λαοῦ αὐτοῦ. Ὑμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ισραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Αλληλούϊα. εμβ'.

Ασατε τῷ κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. Εὐφρανθήτω Ισραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. Οτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς εἰς σωτηρίαν. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τοῖς κοίτοις αὐτῶν. Αἱ ὑψώσεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν, Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Αλληλούϊα ρν'.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυναμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυνασείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. Δόξα. καθισμα κ'.

Οὗτος ὁ ψαλμὸς ἱστόγραφος τοῦ Δαβὶδ ὅτι, καὶ ἔξωθεν τοῦ ἀριθμοῦ τῶν ἑκατὸν πεντήκοντα ψαλμῶν, ὅτε ἐμονομάχησε πρὸς τὸν γολιάθ.

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου, ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου. Αἱ χεῖρές μου ἐποίησαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. καὶ τίς ἀναγγελεῖ τῷ κυρίῳ μου; αὐτὸς κύριος, αὐτὸς εἰσακούσῃ.

Αὐτὸς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἔλαβέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου. καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τοῦ χρίσεως αὐτοῦ. Οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ ἐδόκησεν ἐν αὐτοῖς ὁ κύριος. Ἐξῆλθον εἰς συναντησιν τοῦ ἀλλοφύλου, καὶ ὠμοκατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ. Ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτόν, καὶ ἦρα ὄνειδος ἀφ' ὑμῶν Ισραήλ.

Ἀρθὴν βυθίζας φαρὰω μωσῆς λέγει. Ὠιδὴ μωϋσέως ἐν τῇ ἐξόδῳ. ᾠδ. ά.

Ασωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου θεός, καὶ δοξάσω αὐτόν. θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν. Κύριος συντρίβων πολέμους, κύριος ὄνομα αὐτῷ. ἅρματα φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν. Ἐπιλέκτους ἀναβάτας τρισσάτας, κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ. Γόντῳ ἐκάλυψεν αὐτούς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. Ἡ δεξιά σου κύριε δεδόξασται ἐν ἰσχύϊ, ἡ δεξιά σου χεὶρ κύριε ἔθραυσεν ἐχθρούς. καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. Ἀπέστειλας τὴν ὀργήν σου. κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην, καὶ ἐν πνεύματι τοῦ θυμοῦ σου διέσχη τὸ ὕδωρ. Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὑδατα, ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης. Εἶπεν ὁ ἐχθρός, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τὴν μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου. Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα. ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ. Τίς ὅμοιός σοι ἐν θεοῖς κύριε, τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις θαυμαστός, ἐνδόξως ποιῶν τέρατα.

Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ. ὡδήγησας τῇ δικαιοσύνῃ σου, τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω. Παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἁγίου σου. ἤκουσαν ἔθνη καὶ ὠργίσθησαν, ὠδῖνες ἔλαβον κατοικοῦντας Φιλισιείμ. Τότε ἐπτοήθησαν ἡγεμόνες Ἐδώμ, καὶ ἄρχοντες Μωαβιτῶν. ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες χαναάν. Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, μεγέθει βραχίονός σου ἀκινητωθήτωσαν. Εως ἂν παρέλθοι ὁ λαός σου κύριε, ἕως ἂν παρέλθοι ὁ λαός σου, οὗτος ὃν ἐκτήσω. Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἑτοιμον κατοικητήριόν σου, ὃ κατειργάσω κύριε, ἁγίασμα ὃ ἡτοίμασαν αἱ χεῖρές σου. Κύριος βασιλεύων τοῦ αἰῶνος, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι. ὅτε εἰσῆλθεν ἵππος φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν, καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς κύριος τὸ ὕδωρ τῆς θαλάσσης. οἱ δὲ υἱοὶ Ισραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης. Δόξα.

Νόμα γραφὴ τοῦ αὐθις ᾠδὴ μωϋσέως.

Ὠιδὴ μωϋσέως ἐν τῇ δευτερονομίῳ. Ὠιδὴ β'.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀκουέτω ἡ γῆ ῥήματα ἐκ στόματός μου. Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καταβήτω ὡς δρόσος τὰ ῥήματά μου. ὡσεὶ ὄμβρος ἐπὶ ἄγρωσιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον ὅτι ὄνομα

ἔνομα λυρίᾳ ἐκάλεσε, ὅτι μεγαλωσυνίᾳ τοῦ θεοῦ ἡμῶν. Θεὸς ἀληθινὰ τὰ ὄργανα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις. Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. Δίκαιος ἦν ὅσιος ὁ λύριος. Ἡμάρτοσαν οἱ αὐτῷ τέκνα μωμητὰ, γενεὰ σκολιὰ καὶ διεστραμμένη. ταῦτα λυρίᾳ αὐτὰποδίδοτε; Οὗτος λαὸς μωρὸς, καὶ οὐχὶ σοφός. οὐκ αὐτὸς ὅτός σε ἐπλάτησεν καὶ ἐποίησέ σε, καὶ ἐπλάσέ σε; Μνήσθητε ἡμέρας αἰῶνος, σύνετε δὴ ἔτη γενεᾶς γενεῶν. Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σε, καὶ ἐροῦσί σοι· Ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς ἀδάμ. Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, καὶ ἐγενήθη μερὶς λυρίᾳ λαὸς αὐτοῦ ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ ἰσραήλ. Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν διψει λαύματος ἐν αὐύδρῳ. Ἐκύκλωσεν αὐτὸν, καὶ ἐπαίδευσεν αὐτὸν, καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ. Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ, ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν. Διεῖς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτὸν, καὶ ἀνέλαβεν αὐτὸν ἐπὶ τὰ μεταφρένα αὐτοῦ. Κύριος μόνος ἦγεν αὐτούς, καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος.

Ἀνεβίβασεν αὐτὸν ἐπὶ τὰ ἰσχυρὰ τῆς γῆς, ἐψώμισεν αὐτὸν γενήματα ἀγρῶν. Ἐθήλασε μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας.

Βούτυρον βοῶν, καὶ γάλα προβάτων, μετὰ στέατος ἀρνῶν καὶ ἀρνῶν, υἱῶν ταύρων καὶ τραγῶν, μετὰ στέατος νεφρῶν πυροῦ. καὶ αἷμα σταφυλῆς ἔπινον οἶνον. καὶ ἔφαγεν ἰακὼβ, καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ. Παρώξυναν με ἐπ' ἀλλοτρίοις, καὶ ἐν βδελύγμασιν αὐτῶν ἐξεπίρασάν με. Ἔθυσαν δαιμονίοις, καὶ οὐ θεῷ· θεοῖς οἷς οὐκ ᾔδεισαν. δαίμονοι, καὶ πρόσφατοι ἦκασιν, οἷς οὐκ ἐφόβησαν οἱ πατέρες αὐτῶν. Θεὸν τὸν γενήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε; καὶ εἶδε κύριος, καὶ ἐζήλωσε, καὶ παρωξύνθη διὰ ὀργὴν υἱῶν αὐτῶν, καὶ θυγατέρων.

καὶ εἶπεν, ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω τί ἔσαι αὐτοῖς ἐπ' ἐσχάτων. Ὅτι γενεὰ διεστραμμένη ἐστὶν, υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν. Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτω. Καταφλέγεται γῆ καὶ τὰ γενήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων.

Συνάξω εἰς αὐτοὺς κακά, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς. Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ ὀπαδόντων αἰάτων. Ὀδόντας θηρίων ἐξαποστελῶ εἰς αὐτούς, μετὰ θυμοῦ συρόντων ὀφεων γῆς. Ἐξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐν τοῖς ταμιείοις φόβος. Νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ πρεσβύτου πρωθύπου. Εἶπον διασκορπιῶ αὐτούς, παύσω δὴ ἀπ' ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν. Εἰ μὴ δὴ ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσι, ἵνα μὴ συνεπιθῶνται οἱ ἀντικείμενοι.

Μὴ εἶπεισαν· ἡ χεὶρ ἡμῶν ὑψηλὴ, καὶ οὐχὶ κύριος ἐποίησε ταῦτα πάντα; Ὅτι ἔθνος ἀβουλευτικός ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς σύνεσις. Οὐκ ἐφρόνησαν συνιέναι, ταῦτα πάντα κατανοήσουσιν εἰς τὸν ὕστερον χρόνον. Πῶς διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας. Εἰμὴ ὁ θεὸς ἐπέδοτο αὐτοὺς, καὶ ὁ κύριος παρέδωκεν αὐτούς. Οὐ γὰρ εἰσὶν οἱ θεοὶ αὐτῶν ὡς ὁ θεὸς ἡμῶν, οἱ δὲ ἐχθροὶ ἡμῶν αὐόητοι. Ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κλῆμαξ αὐτῶν ἐκ γομόρρας. Ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν. Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων αἰάτων.

Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκτή μοι, καὶ ἐσφράγισαι ἐν τοῖς θησαυροῖς μου; Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ ὅταν σφαλῇ ὁ πούς αὐτῶν. Ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, καὶ πάρεσιν ἕτοιμα ὑμῖν. Ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. Εἶδε γὰρ αὐτοὺς παραλελυμένους, καὶ ἐκλελοιπότας ἐν ἀπαγωγῇ, καὶ παῦλ μένος. καὶ εἶπε κύριος, ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς; Ὧν τὰ στέαρ τῶν θυσιῶν αὐτῶν ἠδίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν; Ἀνασταθήτωσαν, καὶ βοηθησάτωσαν ὑμῖν, καὶ γενηθήτωσαν ὑμῶν σκεπασταί. Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ. Ἐγὼ ἀποκτενῶ, καὶ ζήσω ποιήσω. πατάξω, καὶ ἐγὼ ἰάσομαι. καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου. Ὅτι αἴρω εἰς τὸν οὐρανὸν τὰς χεῖράς μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου. καὶ ἐρῶ, ζῶ ἐγὼ εἰς τὸν αἰῶνα. Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀντέξεται κρίματός μου ἡ χείρ μου. καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω. Μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα. Ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν. Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἰσχυσάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ. Ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικᾶται, καὶ ἐκδικᾷ καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει. καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ. Δόξα.

Θεὸς

Θεὸν γεραίρει σεῖρα τίκτουσα ξένους. Προσευχὴ ἄννης μητρὸς Σαμουὴλ τοῦ προφήτου. Ωιδὴ γ'.

Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ. ὑψώθη κέρας μου ἐν θεῷ μου. ἐπλατύνθη στόμα μου ἐπὶ ἐχθρούς μου, ἠυφράνθην ἐν σωτηρίᾳ σου. ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ θεός ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλὴν σοῦ. Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ ἐκ τοῦ στόματος ὑμῶν. ὅτι θεὸς γνώσεων κύριος, καὶ θεὸς ἑτοιμάζων αὐτῷ τὰ διανοήματα αὐτοῦ. Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες τοῦ παρῆκαν γῆν. ὅτι στεῖρα ἔτεκνωσεν ἑπτά, ἡ δὲ πολλὰ τέκνοις ἠσθένησε. Κύριος θανατοῖ καὶ ζωογονεῖ, καταγεῖ εἰς ᾅδου καὶ ἀνάγει. Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ. ἀνίστησιν ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν, τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ, καὶ θρόνον δόξης κατακληρονομεῖν αὐτούς. Διότι κύριον τοῦ κύριόν ἐστι, καὶ ἐπ' αὐτοῖς ἔστησε τὴν οἰκουμένην. Τοὺς ὁσίους τῶν ποδῶν αὐτοῦ φυλάσσει, καὶ οἱ ἄσεβεις ἐν σκότει σιωπήσονται, ὅτι οὐκ ἐν ἰσχύϊ ἀνδρωθήσεται ἄνθρωπος. Κύριον φοβηθήσονται οἱ ἀντικείμενοι αὐτῷ, ἐπ' αὐτοὺς ἐν οὐρανῷ ἐπιβρονταῖ. Κύριος κρινεῖ πέρατα γῆς, καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ. Τοῦ δὲ λόγου κυρίου ἀβλακτεῖ φρόνημα. προσευχὴ ἀβλακτοῦντος τοῦ προφήτου. Ωιδὴ δ'.

Κύριε εἰσακήκοα τῆς ἀκοῆς σου, καὶ ἐφοβήθην. κύριε κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη γνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος. Ἐκάλυψεν οὐρανὸς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, κέρατα ἐν χερσὶν αὐτοῦ. καὶ ἔθετο ἀγάπησιν κράτους αὐτοῦ ἰσχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν τῆς πόλεως αὐτοῦ. Ἔστη καὶ ἐσαλεύθη ἡ γῆ, ἐπέβλεψε καὶ ἐτάκη ἔθνη. Διεστρίβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰωνίου. πορείας αἰωνίους αὐτῷ αὐτὴ κόπους εἶδον. Σκηνώματα ἀντὶ ἀνόμων πονηθήσονται, καὶ σκηναὶ γῆς Μαδιάμ. Μὴ ἐν ποταμοῖς ὀργισθῆς κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὁρμημά σου. Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ αἱ ἱππασίαι σου σωτηρία. Ἐντείνων ἐντενεῖς τὸ τόξον σου, ἐπὶ σκῆπτρα λόγου κύριε. Ποταμοῖς ῥαγήσονται γῆ, ὄψονταί σε καὶ ὠδινήσουσι λαοί. Σκορπίζων ὕδατα πορείας, ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὑψος φαντασίας αὐτῆς. Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς. Εἰς φῶς βολίσθων σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου. Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη. Ἐξῆλθον εἰς σωτηρίαν λαόν σου, τοῦ σῶσαι τοὺς χριστούς σου. Ἔβαλον εἰς κεφαλὰς αὐτῶν θανάτους, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος. Διέκοψας ἐν ἐπαύσει κεφαλὰς δυναστῶν, σειθήσονται ἐν αὐτοῖς, φαινοίξουσι χαλινὸς αὐτῶν ὡς ὁ ἐσθίων πτωχὸς λάθρα. καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά. Ἐφυλαξάμην καὶ ἐπτοήθη ἡ καρδία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου. καὶ εἰσῆλθε βρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου.

Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως μου, τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου. Διότι συκῆ οὐ καρποφορήσῃ, καὶ οὐκ ἔσται γενήματα ἐν ταῖς ἀμπέλοις. Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσῃ βρῶσιν. Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐκ ἔσονται βόες ἐν φάτναις. Ἐγὼ δὲ ἐν κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Κύριος ὁ θεός μου, δυνάμις μου, καὶ τελεῖ τοὺς πόδας μου εἰς σωτέλειαν. καὶ ἐπὶ τὰ ὑψηλά μου βιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

Ησαΐου προφητεία, σύνοψις τοῦ πλείονος. Προσευχὴ Ησαΐου τοῦ προφήτου. Ωιδὴ ε'.

Ἐκ νυκτὸς ὀρθίζει τὸ πνεῦμά μου πρὸς σέ ὁ θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Δικαιοσύνην μαθέτω οἰκουμένη ἐπὶ γῆς. πέπαυται γὰρ ὁ ἀσεβής, ὃ μὴ μάθῃ δικαιοσύνην, ἐπὶ γῆς ἀλήθειαν ὃ μὴ ποιήσει. Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. κύριε ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ἤδεισαν. γνόντες δὲ αἰσχυνθήτωσαν. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Κύριε ὁ θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε ὁ θεὸς ἡμῶν, κύριος σῶσαι ἡμᾶς. κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσιν.

Διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας, καὶ ἔπαυσας πᾶν ἀνάμνησιν αὐτῶν. Πρόσθες τοῖς ἔθνεσι κακά κύριε, πρόσθες κακὰ τοῖς δόξασι τὴν γῆν.

Κύριε ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ

μικρᾶς ἡ παιδείας σε ἡμῖν. καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τ τεκεῖν, ⸫ ὧδι τῇ ὠδίνῃ αὐτ ἐπείρα γμι, ὅτως ἐγγυήθημεν τῷ ἀγαπητῷ σε. Διὰ τ φόβου σε λύσει γ̀ γαστρὶ ἐλαδομεν, ⸫ ὠδίνησαμεν καὶ ἐτέκομεν, πνεῦμα σωτηρίας σε ὃ ἐποιήσαμεν ὧδι ℔ γῆς. Οὐ πεσόμεθα, ἀλλὰ στασθῆναι οἱ γ̀οικοῦντες ὧδι ℔ γῆς. Ανασήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ γ̀ τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ γ̀ τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ γ̀ τῇ γῇ. Η γὰρ δρόσος ἡ παρὰ σε, ἴαμα αὐτοῖς ἔσω. ἡ ἡ γῆ τ ἀσεβῶν πεσεῖται. Βαδίζε λαός μι, εἴσελθε εἰς τ ταμεῖόν σε, ἀπόκλεισον τ θύραν σε. ἀκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παέλθοι ἡ ὀργὴ λυρίε.

Εκ θηρὸς ἐκραύγασεν ἰωνᾶς λέγων.

Ωδὴ ε.

Εβόησα γ̀ θλίψει μι πρὸς λύσιον τ θεόν μι, καὶ εἰσήκουσέ μι. Εκ κοιλίας ᾅδε λιμαυχῆς μι, ἤκουσας φωνῆς μι. ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, ἡ ποταμοί ἐκύκλωσάν με. Παντες οἱ μετεωρισμοί σε, καὶ τὰ κύματά σε ἐπ ἐμὲ διῆλθον. Κἀγὼ εἶ πον ἀπῶσμαι ἀῤ ὀφθαλμῶν σε, ἆρα προσθήσω τ ἰδεῖν με πρὸς ναὸν τ ἁγίόν σου.

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μι, ἄβυσσος ἐκύκλωσέ με ἐχάτη. Εδυν ἡ κεφαλή μι εἰς χισμὰς ὀρέων, κατέβην εἰς γῆν ἧς οἱ μοχλοί αὐτ λαοχοι αἰώνιοι. καὶ ἀνάβητω ἐκ φθορᾶς ἡ ζωή μι, πρὸς σὲ λύσει ὁ θεός μι. Εν ℔ ἐκλείπειν ἀῤ ἐμοῦ τῶν ψυχῶν μι, τ κυρίε ἐμνήσθην. καὶ ἦλθοι πρὸς σὲ ἡ προσυχή μι, πρὸς ναὸν τ ἁγίόν σε. Φυλασσόμενοι ματαια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον. Εγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἀῤομολογήσεως θύσω σοι. ὅσα ηὐξάμην ἀποδώσω σοι, εἰς σωτηρίαν μι ℔ λυρίω.

Αἶνῶ φλόγα σβέννυσι τ ῥιδν παίδων.

Προσυχὴ τ̄ῦ ἁγίων τριῶν παίδων.

Ωδὴ ζ'.

Εὐλογητὸς εἶ λύσει ὁ θεὸς τ̄ῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σε εἰς τοὺς αἰῶνας. Οτι δίκαιῶ εἶ ὧδι πᾶσιν οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σε ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σε. καὶ πᾶσαι αἱ κρίσεις σε ἀληθεῖς, καὶ κρίματα ἀληθείας ἐποίησας. Οτι γ̀ ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες τοῦτα πάντα ἐφ ἡμᾶς, διὰ τὰς ἁμαρτίας ἡμῶν. Οτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀπὸ σοῦ, καὶ ἐν πᾶσι, καὶ τ̄ῶν ἐντολῶν σε οὐκ ἠκούσαμεν. Οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς γέγραπται ἡμῖν, ἵνα εὖ ἡμῖν γένητ. καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα ὅσα ἐπήγαγες γ̀ ἡμῖν, ἀληθινῇ κρίσει ἐποίησας. καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πάσαν τὴν γῆν. καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, αἰσχύνη καὶ ὄνειδος ἐγένηθημεν τοῖς σοῖς σε, καὶ τοῖς σεβομένοις σε. Μὴ δή παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σε, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σε, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σε ἀφ ἡμῶν. Διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σε, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σε, καὶ Ἰσραὴλ τ ἅγιόν σε. Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τ̄ῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος ℔ θαλάσσης. Οὐ διὰ τοῦτο ὀλιγοστοὶ γεγόμεθα παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ γ̀ πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν. καὶ ὅτι ἔστι γ̀ ℔ καιροῦ τούτου ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι γ̀ ὠπίον σε, καὶ εὑρεῖν ἔλεος. Αλλ γ̀ ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς γ̀ ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς γ̀ μυριάσιν ἀρνῶν πόνων. Οὕτως γενέσθω ἡ θυσία ἡμῶν γ̀ ὠπίον σε σήμερον, καὶ ἐκλελείσθω ὄπισθέν σε, ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί. καὶ νῦν ἐξακολουθοῦμεν γ̀ ὅλῃ καρδίᾳ, καὶ φοβούμεθα σε. ⸫ ζητοῦμεν τὸ πρόσωπόν σε, μὴ καταισχύνῃς ἡμᾶς. Αλλὰ ποίησον μεθ ἡμῶν κ̄τ̄ τὴν χρηστότητά σε, καὶ κ̄τ̄ τὸ πλῆθος τ ἐλέους σε. ἐξελοῦ ἡμᾶς κ̄τ̄ θαυμασιά σε, καὶ δὸς δόξαν τ̄ῷ ὀνόματί σε λαῷ σε. ⸫ γ̀ ἠσχαρίστησαν πάντες οἱ γ̀ δουλεύοντες τοῖς δόλοις σε λαπά. καὶ καταισχυνθείησαν ἀπὸ πάσης δωρεᾶς, καὶ ἡ ἰσχὺς αὐτ συντριβείη. καὶ γνώτωσαν ὅτι σὺ εἶ θεὸς, καὶ γ̀ δόξῃ ἐφ ὅλῳ τῷ οἰκουμένῳ. καὶ ὁ δουλεύειν οἱ ἐμβάλλοντες αὐτοῖς ὑπηρέται τ̄ῷ βασιλεῖ, καίοντος τὸν καμινον νάφθᾳ ⸫ πίσσῃ, καὶ συππίῳ καὶ καλαματτίδι. καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τ καμίνε, ὧδι πήχεις πεντεκαίδεκα γνία. καὶ διώδευσε καὶ γ̀ ἐπύρισεν οὓς εὗρε πρὸ τοῦ καμινου τ χαλδαίων. Οἳ δὲ ἄγγελος κυρίε συγκατέβη ἅμα τοῖς πρὸ τ ἀζαρείαν, εἰς τ καμινον, καὶ ἐξετίναξε τὸν φλόγα τ πυρὸς ἐκ τ καμίνε. καὶ ἐποίησε τὸ μέσον ℔ καμίνε ὡς πνοὴν δρόσου διασυρίζον. Καὶ οὐχ ἥψατο αὐτ τὸ καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνόχλησεν αὐτούς. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν, ⸫ δόξαζον, καὶ ἐσπόξαζον τὸν θεὸν γ̀ τῇ καμίνῳ λέγοντες·

Η τ̄ῶν τριῶν ὕμνησις, ὦ παῖδες νέοι.

Εὐλογητὸς εἶ λύσει ὁ θεὸς τ̄ῶν πατέρων ἡμῶν, καὶ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. καὶ εὐλογημένον τὸ ὄνομα ℔ δόξης σε τὸ ἅγιον, τὸ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ γ̀ τ̄ῷ ναῷ ℔ ἁγίας δόξης σε, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ὧδι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ χορδαβίμ, ὁ ὑποδούμενος καὶ ὑποδυόμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὑπὲρ θρόνα δόξης σῆς βασιλείας σα, ὁ ὑποδούμενος καὶ ὑποδυόμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ὑποδούμενος καὶ ὑποδυόμενος εἰς τοὺς αἰῶνας.

Ὑμνος τῷ ἁγίῳ προφήτῃ παύλῳ.

Ὠδὴ ιά.

Εὐλογεῖτε πάντα τὰ ἔργα κύριον τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἄγγελοι κυρίου, οὐρανοὶ κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπεράνω τοῦ οὐρανοῦ, πᾶσαι αἱ δυνάμεις κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἥλιος καὶ σελήνη ἄστρα τοῦ οὐρανοῦ τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα τοῦ κυρίου, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πῦρ καὶ καῦμα, ψύχος καὶ καύσων τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε δρόσοι καὶ νιφετοί, πάγοι καὶ ψύχος τοῦ κυρίου, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε φῶς καὶ σκότος, νύκτες καὶ ἡμέραι τοῦ κυρίου, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἡ γῆ, ὄρη, καὶ βουνοί, πάντα τὰ φυόμενα ἐν αὐτῇ τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πηγαί, θάλασσαι, καὶ ποταμοί, λίμνη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία, καὶ πάντα τὰ κτήνη τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω ἰσραὴλ τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἱερεῖς κυρίου, δοῦλοι κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἀνανία, ἀζαρία, μισαὴλ, τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἀπὸ σολοι, προφῆται, καὶ μάρτυρες κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογοῦμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τοῦ κυρίου, ὑμνοῦμεν καὶ ὑποδυόμενοι εἰς πάντας τοὺς αἰῶνας. Αἰνοῦμεν εὐλογοῦμεν προσκυνοῦμεν τὸν κύριον, ὑμνοῦντες καὶ ὑποδυόμενοι αὐτὸν εἰς τοὺς αἰῶνας.

Αἶνος ἀγγέλων μέγας προφήτα κύριε. Ὠδὴ θ'.

Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ, ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς καὶ γενεάς, τοῖς φοβουμένοις αὐτόν. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. Ἀντελάβετο ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Προσευχὴ τῆς προφήτιδος ζαχαρίου.

Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ δαβὶδ τοῦ παιδὸς αὐτοῦ. Καθὼς ἐλάλησε διὰ στόματος ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν. Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων μισούντων ἡμᾶς. Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. Ὅρκον ὃν ὤμοσε πρὸς ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν. ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

ΤΕΛΟΣ.

Δαβὶδ μελῳδὲ μουσικὴ ἀρχηγέτα,
Σὺ μοὶ δὸς αὐτῷ καὶ θανὼν ζῆν τὸν λόγον.
Ἡμῖν δὲ τῶν σῶν ἐμμελῆ δίδοιο λήθην,
Ἧς ὄφελον εὑρεῖν ἐμμελῆ τὰ πρακτέα.
Καὶ γὰρ δι' αὐτὴν μυστικῶς ἐνεσμὸς
Διώκεται μὲν ἐμπαθὴς πᾶσα φθίσις.
Ἐλαύνεται δὲ δυσχερὴς ἅπας πόνος,
Συσσέλπεται δὲ συμφορῶν ἁπλησία,
Κοιμίζεται δὲ γνωσικῆς ἅλμης ἐλυδλωψ,
Στηρίζεται δὲ τῶν παθῶν ἡ σεβάστης.
Καὶ τρέπεται μὲν τῆς ψυχῆς ἡ σεμνότης,
Ἐλέγχεται δὲ τοῦ σατανᾶ ἡ φαυλότης,
Ἐκ τῆς νοητῆς τῶν μελῶν εὐρυθμίας.
Ὡς πᾶς τοσαύτην ἐν σοὶ ἀνθρώπων χαρεῖν,
Εἰ μὴ σὺ τοῦτο πρέπουσαν ἀνθρώποις χαρεῖν.

Τῷ θεῷ δόξα.

ΓΑΡΟΙ

ΠΑΡΟΙΜΙΑΙ ΣΟΛΟΜΩΝΤΟΣ.

ΚΕΦΑΛ. ά. ι.

Παροιμίαι σολομῶντος υἱοῦ δαβὶδ, ὃς ἐβασίλευσεν ἐν ἰσραήλ, γνῶναι σοφίαν καὶ παιδείαν, νοῆσαί τε λόγους φρονήσεως, διέξοδόν τε τροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ κρίμα κατευθύνειν, ἵνα δῶ ἀκάκοις παντὸς ἀγαθοῦ, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ γνῶσιν. σοφὸς δὲ γὰρ ἀκούσας σοφὸς, σοφώτερος ἔσται. ὁ δὲ νοήμων, κυβέρνησιν κτήσεται. νοήσετε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα. ἀρχὴ σοφίας φόβος κυρίου, συνέσεις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτά. δύσεβεια εἰς θεὸν, ἀρχὴ ἀσθενείας, σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσασιν. ἄκουε υἱὲ νόμους πατρός σου, καὶ μὴ ἀπώσῃ βουλὰς μητρός σου, στέφανον γὰρ χαρίτων δέξῃ κεφαλῇ σου, καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ. υἱὲ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ βουληθῇς ἐὰν παρακαλέσωσί σε, λέγοντες· ἐλθὲ μετ' ἡμῶν, κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, καταπίωμεν δὲ αὐτὸν, ὥσπερ ᾅδης ζῶντα, καὶ ὅλον αὐτὸν τὴν μνήμην ἐκ γῆς, τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα, πλήσομεν δὲ οἴκους ἡμετέρους σκύλων, λάχος δὲ σὸν βάλε ἐν ἡμῖν. κοινὸν δὲ βαλλάντιον κτησόμεθα πάντες, καὶ μαρσύππιον ἓν γενήσεται ἡμῖν. μὴ πορεύθῃς ὁδοὺς μετ' αὐτῶν, ἔκκλινον γὰρ πόδας σε ἐκ τῶν τρίβων αὐτῶν. οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι, καὶ ταχυνοί εἰσι τοῦ ἐκχέαι αἷμα. ἐν γὰρ ἀδίκως ἐκτείνοντι δίκτυα πτεροῖς. αὐτοὶ γὰρ οἱ φόνοι μετέχοντες, θησαυρίζουσιν ἑαυτοῖς κακά. ἡ δὲ κατασροφὴ ἀνδρῶν παρανόμων καπὴ, αὗται αἱ ὁδοὶ εἰσι πάντων τῶν συντελούντων τὸ ὄνομα. τῇ γὰρ ἀσεβείᾳ, τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται. σοφίαν ἐν ὁδοῖς ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει, ἐπ' ἄκρων δὲ τειχέων κηρύσσεται, ὠδὴ δὲ πύλαις δικασταῖς πρεσβεύει, ὠδὴ δὲ πύλαις πόλεως θαῤῥοῦσα λέγει· ὅσον ἂν χρόνον ἄκακοι ἔχοντα τὴν δικαιοσύνην, ἀκαχωθήσονται. οἱ δὲ ἄφρονες, τὴν ὕβρεως ὄντες ὠθυμοῦσιν ἀσεβεῖς γενόμενοι, ἐμίσησαν ἄνδρα σοφὸν, καὶ ἐλεγχόμενοι ἐλέγχοις. ἰδοὺ προήσομαι ὑμῖν ἐμὴν πνοὴν ῥῆσιν, διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον. ἐπειδὴ ἐκάλεσα καὶ οὐκ ἐπακούσατε, καὶ ἐξέτεινον λόγους καὶ οὐ προσέχετε, ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλὰς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις οὐ προσέχετε. τοιγαροῦν καγὼ τῇ ἐμετρίᾳ ἀπωλείᾳ ὑμῶν γελάσομαι. ὑμῶν χαρήσομαι δὲ ἥνικα ἂν ἐπέρχηται ὑμῖν ἄλεθρος, καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος. ἡ δὲ καταστροφὴ, ὁμοίως κατευγίσει παρῇ, ἢ ὅταν ἔρχηται ὑμῖν θλῖψις καὶ πολιορκία. ἔσται γὰρ ὅταν ὑμῶν καλέσωσί με, ἐγὼ δὲ οὐκ εἰσακούσομαι ὑμῶν. ζητήσουσί με κακοί, καὶ οὐχ εὑρήσουσιν. ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ φόβον κυρίου οὐ προείλοντο, οὐδὲ ἠθέλησεν ἐμοὶς προσέχειν βουλαῖς. ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους. τοιγαροῦν ἔδονται τὰ ἑαυτῶν ὁδοὶ τῶν ἀσεβῶν, καὶ τὰ ἑαυτῶν ἀσεβείας πλανήσουσιν αὐτούς. ὧν γὰρ ἡδίκησαν νήπιοι φονευθήσονται, καὶ ἐξετασμὸς ἀσεβοῦς ὀλεῖ. ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι, καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ.

ΚΕΦΑΛ. β'.

Υἱὲ, ἐὰν δεξάμενος ῥῆσιν ἐμὴν φυλάξῃς, κρύψας παρὰ σεαυτῷ, ἐπακούσεται σοφία σου ὄς σε, καὶ προβαλεῖς καρδίαν σὴν εἰς σύνεσιν, προβαλεῖς δὲ αὐτῇ ὠδὴ νοήσεις τῷ ὠῷ σου. ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ, καὶ τῇ συνέσει δῶς φωνὴν σοῦ, τὴν ἀΐδιον ζητήσῃς, μεγάλῃ τῇ φωνῇ. καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον, καὶ ὡς θησαυροὺς ἐξερευνήσῃς αὐτὴν, τότε συνήσεις φόβον κυρίου, καὶ ἐπίγνωσιν θεοῦ εὑρήσεις. ὅτι κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ, γνῶσις καὶ σύνεσις, καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν. ὑποδραμεῖται δὲ τὴν πορείαν αὐτοῦ, τοῦ φυλάξαι ὁδοὺς δικαιωμάτων, καὶ ὁδὸν ὁσίων φυλαξθήσονται αὐτοῦ διαφυλάξει. τότε συνήσεις δικαιοσύνην καὶ κρίμα, καὶ κατορθώσεις πάντας ἄξονας ἀγαθούς. ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς σὴν διάνοιαν, ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ κακὴ ἔσται ὁδός, βουλὴ κακὴ φυλάξει σε, γνῶσις δὲ ὁσίας τηρήσει σε, ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς, καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν. ὧν οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας, τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους. ὧν οἱ εὐφραινόμενοι ἐπὶ κακῇ, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ, ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν, τοῦ μακρύναί σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας, καὶ ἀλλότριον τῆς δικαίας γνώμης. ὑιὲ, μή σε καταλάβῃ κακὴ βουλὴ ἡ ἀπολείπουσα δίκαιον παλαιὸν νεότητος, διαθήκην θείαν ἐπιλελησμένην. ἔθος γὰρ πρὸς τὸν θάνατον τὸν οἶκον αὐτῆς, καὶ πρὸς νεκροὺς ἡ ὁδὸς μετὰ τῶν γηγενῶν τοὺς ἄξονας αὐτῆς. πάντες οἱ προπορευόμενοι ἐν αὐτῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ὀπ ἀναστρέψασιν, ὁ δὲ μὴ κατάλαβωσι βίβλος σύθείας. ὁ γὰρ κατάλαμβάνοντ? ὑπὸ φθιαυτ? ζωῆς. εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθὰς, εὕροσαν ἂν τρίβους δικαιοσύνης λείας. χρησοὶ ἔσονται οἱ κληρονομ γῆς, ἄκακοι ἢ ὑπολειφθήσονται? ἐν αὐτῇ. ὅλοι δὲ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται, οἱ δὲ πραεῖς ἐγκαθιδρυθήσονται ἀπ' αὐτῆς.

ΚΕΦΑΛ. γ'. 3.

Υἱὲ ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία. μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς, καὶ εἰρήνη προσθήσουσί σοι. ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε. ἄφαψαι δὲ αὐτὰς ὡσεὶ τραχήλου, γράψον αὐτὰς ὡσὶ πλακὸς καρδίας σου, καὶ εὑρήσεις χάριν, καὶ σύνεσιν καλὴν ἐνώπιον κυρίου καὶ ἀνθρώπων. ἴσθι σεαυτοῦ πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ὡσὶ θεῷ, ὡσὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου. ἐν πάσαις ὁδοῖς σου γνώριζε αὐτήν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου. μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, φόβου δὲ τὸν θεὸν, καὶ ἐκκλίνε ἀπὸ παντὸς κακοῦ. τότε ἴασις ἔσται τῷ σώματί σου, καὶ ὠφέλεια τοῖς ὀστέοις σου. τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης, ἵνα πιμπλῶνται τὰ ταμεῖά σου πλησμονῆς σίτου, οἶνος δὲ ἀλλοιώσει σου ἐκβλύζουσιν. υἱὲ μὴ ὀλιγώρει παιδείας κυρίου, μὴ δὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει, μασιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἰσδέχεται φρόνησιν. κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρός. τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, ἐν αὐτῇ πάσῃ οὐδὲν πονηρόν, εὐγνωσὸς ὅστις πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ. πᾶν δὲ τίμιον ἐν ἀξίῳ αὐτῇ ὁμοῖ. μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ὑπὸ γλώσσης φορεῖ. αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαὶ, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ. ξύλον ζωῆς ὅστις πᾶσι τοῖς αὐτὴν χομένοις αὐτῆς, καὶ τοῖς ἐπορεσλομένοις ἐπ' αὐτῷ, ὡς ὑπὸ κύριον, ἀσφαλῶς. ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἑτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. ἐν ᾗ δόσει αὐτοῦ ἄβυσσοι ἐρράγησαν, νέφη δὲ ἐρρύη δρόσους. υἱὲ μὴ παραρρυῇς, τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζήσῃ ἡ ψυχή σου, καὶ χαρὶς ἢ περὶ σοῦ τραχήλου. ἔσται ἴασις τῇ σαρκί σου, καὶ ὠφέλεια τοῖς ὀστέοις σου, ἵνα πορεύῃ πεποιθὼς ἐν ὁδῷ σου ἀσφαλῶς, καὶ ὁ πούς σου οὐ προσκόψει. ἐὰν γὰρ καθεύδῃς, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις. καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας. ὁ γὰρ κύριός ἔσται σου πασῶν ὁδῶν σου, καὶ ῥύσεται σὸν πόδα ἵνα μὴ σαλευθῇς. μὴ ἀπόσχῃς εὖ ποιεῖν φίλους, ἡνίκα ἂν ἔχῃ ἡ χεὶρ σου βοηθεῖν. μὴ εἴπῃς ἐπανελθὼν ἐπάναγε, καὶ αὔριον δώσω, δυνατόν σοι ὄντος σου ποιεῖν. οὐ γὰρ οἶδας τί τέξεται ἡ ὥρα σου. μὴ τέκταινε ὡσὶ σοῦ φίλου κακά, πεποιθότα καὶ πεποιθότος ὡσὶ σοί. μὴ φιλονείκησης πρὸς ἄνθρωπον μάτην, ἵνα μή τίς σε ὀργίσῃ κακῶν. μὴ ζήλου ἀνδρῶν ἀνομίαν, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν. ἀκάθαρτος γὰρ φανεῖται κύριος πᾶσι τοῖς πλανωμένοις. ἐν δὲ δικαίοις ἡ συνοδία αὐτοῦ ἔσται, ἐν οἴκοις ἀσεβῶν, ἐπαύλεις ἢ δικαίων θυλογοῦνται. κύριος ὑποφήταις αὐτὸς ἔσται, τοῖς δὲ πραέσι χάριν. δόξαν σοφοὶ κληρονομήσουσιν, οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

ΚΕΦΑΛ. δ'. 4.

Ἀκούσατε παῖδες παιδείαν πατρὸς, καὶ προσέχετε γνῶναι ἔννοιαν. δίδωμι γὰρ ἀγαθὸν δίδωμι ὑμῖν, τὸν ἐμὸν λόγον μὴ ἐγκαταλίπητε. υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος, καὶ ἀγαπώμενος ἐνώπιον μητρός. οἱ ἐδίδασκόν με, καὶ ἔλεγον, ἐρεισθήτω ὁ νοῦς σου λόγους ἐμοὺς φύλασσε ἐντολὰς, καὶ ζήσῃ. κτῆσαι σοφίαν, κτῆσαι σύνεσιν. μὴ ἐπιλάθῃ μηδὲ παρείσῃ ῥήσεις ἐμὰς σώματος, μηδὲ ἐκκλίνῃς ἀπὸ ῥημάτων σώματός μου. μὴ ἐγκαταλίπῃς αὐτὴν καὶ αὐθέξουσί σε, ἐράσθητι αὐτῆς καὶ τηρήσει σε. ἀρχὴ σοφίας κτῆσαι σοφίαν, καὶ ἐν πάσῃ κτήσει σου κτῆσαι σύνεσιν. πύκασον αὐτὴν καὶ ὑψώσει σε, τίμησον αὐτὴν, ἵνα σε περιλάβῃ, ἵνα δῶῃ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, στέφανον δὲ τρυφῆς ὑπεραστίσῃ σε. ἄκουε υἱὲ καὶ δέξαι ἐμοὺς λόγους, καὶ πληθυνθήσεταί σοι ἔτη ζωῆς σου, ἵνα σοι χρώωνται πολλοὶ ὁδοὶ βίου. ὁδοὺς γὰρ σοφίας ὑπέδειξά σε, ἐνεβίβασά σε τρίβους ὀρθάς. ἐὰν γὰρ πορεύῃ σου συγκλεισθήσεταί σου τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς οὐ κοπιάσεις. ὄπισθεν ἐμῆς παιδείας, μὴ ἄφῃς, ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου. ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς πραέων. φεῦγε ὦ οὐ τόπον πραοπερισθύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον ἀπ' αὐτῆς, καὶ πράξαις παρ. οὐ γὰρ μὴ ὑπνώσωσιν ἐὰν μὴ κακοποιήσωσι, ἀφήρηται ὁ ὕπνος ἀπ' αὐτῶν καὶ οὐ κοιμῶνται. οἶσιν γὰρ σιτία ἐστὶν ἀσεβείας, οἶνος δὲ πραέων μεθύσκουσι. αἱ δὲ ὁδοὶ τῶν δικαίων, ὁμοίως φωτὶ λαμπρῷ, πορεύονται καὶ φωτίζουσιν ἕως οὗ καταρθώσει ἡ ἡμέρα. αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, οὐκ οἴδασι πῶς προσκόπτουσιν. υἱὲ, ἐμῆς ῥήσεις πρόσεχε, τοῖς ἐμοῖς λόγοις παράβαλλε σὸν οὖς, ὅπως μὴ ἐκλίπωσί σε αἱ πηγαί σου, φύλασσε αὐτὰς ἐν σῇ καρδίᾳ. ζωὴ γάρ ἐστι πᾶσι τοῖς εὑρίσκουσιν αὐτὰς, καὶ πάσῃ τῇ σαρκὶ αὐτῶν ἴασις. πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς. πορίλε σεαυτῷ σκολιὸν στόμα, καὶ ἄδικα χείλη μακρὰν ἄπωσαι. αἱ ὀφ-

θαλμοί

βαλμοί σε ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σε νευέτω εὐθέα. ὀρθὰς τροχιὰς ποίει σοῖς ποσί, καὶ τὰς ὁδούς σου κατεύθυνε. μὴ ἐκκλίνῃς εἰς τὰ δεξιά, μηδὲ εἰς τὰ ἀριστερά, ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ πονηρᾶς. ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ θεός, διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν. αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τροχιάς σου, τὰς δὲ πορείας σου ἐν εἰρήνῃ πορεύσει.

ΚΕΦΑΛ. ε'. 5.

Υἱέ, ἐμῇ σοφίᾳ πρόσεχε, ἐμοῖς δὲ λόγοις παράβαλλε σὸν οὖς, ἵνα φυλάξῃς ἔννοιαν ἀγαθήν, ἀΐδιον δὲ ἐμῶν χειλέων γνῶτέλομαί σοι. μὴ πρόσεχε φαύλῃ γυναικί, μέλι γὰρ ἀπορρέει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέν τοι πικρότερον χολῆς εὑρήσεις, καὶ δηχμηρότερον μαχαίρας διστόμου. αἱ γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θανάτου εἰς ᾅδην, τὰ δὲ ἴχνη αὐτῆς οὐκ εὐρήσεταί του. ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπορεύετο, σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς, καὶ οὐκ ἔγνωσαν. νῦν οὖν υἱέ μου, καὶ μὴ ἀκύρους ποιήσεις ἐμοὺς λόγους. μακρὰν ποίησον ἀπ' αὐτῆς σὸν ὁδόν, μὴ ἐγγίσῃς πύλαις θύρας οἴκων αὐτῆς, ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σου, καὶ σὸν βίον ἀνελεήμοσιν. ἵνα μὴ πλησθῶσιν ἀλλότριοι σῆς ἰσχύος, οἱ δὲ σοὶ πόνοι εἰς οἴκους ἀλλοτρίους εἰσέλθωσι, καὶ μεταμεληθῇς ἐπ' ἐσχάτων σου, ἡνίκα ἂν κατατριβῶσι σαρκὸς σώματός σου. καὶ ὀρεῖς, πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχος δι' ἐπλάνησέ με καρδία μου; οὐκ ἤκουον φωνῆς παιδεύοντός με, καὶ διδάσκοντός με, δὲ παρέβαλλον τὸ οὖς μου. παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, ἐν μέσῳ ἐκκλησίας καὶ συναγωγῆς. Υἱὲ πῖνε ὕδατα ἀπὸ σῆς ἀγγείου, καὶ ἀπὸ σῶν ῥεόντων πηγῆς, ἵνα διαχεηχέῃ σοι τὰ ὕδατα ἐκ σῆς πηγῆς, εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα, ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μεταχέτω σοι. ἡ πηγή σε τοῦ ὕδατος ἔστω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς σῆς ἐκ νεότητός σε. ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, ἡ δὲ ἰδία ἡγείσθω σε, καὶ σωίετω σοι ἐν παντὶ καιρῷ. ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος, πολλὸς ἔσῃ. μὴ πολὺς ἴδοι πῶς ἀλλοτρίαν, μηδὲ συνέχου ἀγκάλαις ταῖς ἰδίαις. ἐνώπιον γὰρ εἰσὶ τῶν τοῦ θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει. πλανώμεναι ἄνδρα ἀγρεύσει, σειραῖς ἑῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων, ἐκ δὲ πλήθους τῆς ἑαυτοῦ βιότητος ἠλαττώθη, καὶ ἀπώλετο διαφροσύνῃ.

ΚΕΦΑΛ. ϛ'. 6.

Υἱέ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, παραδώσεις σῶν χεῖρα ἐχθρῷ. παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος. ποίει ἥδε ἃ ἐγώ σοι γνώτελομαι, καὶ σώζου. ἥκεις γὰρ εἰς χεῖρας ἰσχυρὰς διὰ σὸν φίλον, ἴδι μὴ ἐκλυόμενος, παρόξυνε δὲ καὶ τὸν φίλον σε σὸν ἐγγύησαι. μὴ δῶς ὕπνον σοῖς ὄμμασι, μὴ δὲ νυσταξέτω σοῖς βλεφάροις, ἵνα σώζῃ ὡσεὶ δορκὰς ἐκ βρόχων, καὶ ὡσεὶ ὄρνεον ἐκ παγίδος. ἴδι πῶς τὴν μύρμηκα ὦ ὀκνηρέ, καὶ ζήλωσον ἰδίως τὰς ὁδοὺς αὐτοῦ, καὶ γνοῦ ἐκείνου σοφώτερος. ἐκείνῃ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὴν αὐταγκάζουσα ἔχῃ, μηδὲ ὑπὸ δεσπότου ὢν, ἑτοιμάζεται θέρους τὴν τροφήν, πολλήν τε ἐν ὥρᾳ ἀμητοῦ ποιεῖται τὴν παράθεσιν. ἢ προβύθητι πῶς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτης ἔσι, τὴν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται· ἧς οἱ πόνοι βασιλεῖς τε, καὶ ἰδιῶται πῶς ὑγίειαν προσφέρονται, ποθεινὴ δ' ἐστὶ πᾶσι, καὶ ἐπίδοξος. καίπερ οὖσα τῇ ῥώμῃ ἀδρανής, τὴν σοφίαν τιμήσασα. πρὸ ὁκνηρὲ, ἕως τίνος ὀκνηρὲ κατάκεισαι; πότε δὲ ἐκ ὕπνου ἐγερθήσῃ; ὀλίγον μὲν νανοῖς, ὀλίγον δὲ καθεύδεσαι, μικρὸν δὲ νυσταζεις, ὀλίγον δὲ χαυνοκαλίζῃ χροϊ, εἶτ' ἐμπαραγίνεταί σοι ὡσεὶ κακὸς ὁδοιπόρος ἡ πενία, καὶ ἡ δὲ ἔνδεια ὡσεὶ ἀγαθὸς δρομεὺς. ἐὰν δὲ ἄοκνος ἦς, ἥξει ὡσεὶ πηγὴ ὁ ἀμητός σου, ἥδε ἔνδεια, ὡσεὶ κακὸς δρομεὺς ἀπαντήσει. Ανὴρ ἄφρων καὶ παράνομος, πορεύσεται ὁδοὺς οὐκ ἀγαθάς. ὁδὶ αὐτὸς γνύει ὀφθαλμῷ, σημαίνει δὲ ποδί, διδάσκει δὲ νεύμασι δακτύλῳ. διεστραμμένη δὲ καρδία πεπαίνεται κακὰ, ἐν παντὶ καιρῷ ὁ τοιοῦτος παράσχεις σωίσκοις πόλει. διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, διακοπὴ καὶ σωτηρίου αὐτοῦ. ὅτι χαίρει πᾶσιν οἷς μισεῖ ὁ κύριος, σωτρίβεται δὲ διὰ καθαρσίαν ψυχῆς. ὀφθαλμοὺς ὑβρισὰ, γλῶσσα ἄδικος, χεῖρας ἐκχέουσαι αἷμα δίκαιον, καὶ καρδίαν πεπαινομένην λογισμοὺς κακούς, καὶ πόδας ὠκεῖς δυσβουλεῖν, ἐξολοθρεύθησονται. ἐκκαίει ψευδῆ μάρτυς ἄδικος, καὶ ὠκέμπεμψε κρίσεις αὐτὰ ἀνίσους ἀδελφῷ. Υἱέ, φύλαττε νόμους πατρός σε, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σε. ἄφαπτε δὲ αὐτοὺς ἀεὶ σῇ ψυχῇ διαπαντὸς, καὶ ἐγκλείσασι πρὸ σῷ λαιμῷ. ἡνίκα ἂν πορεύσηται, ἐπάξει αὐτῇ, καὶ μετὰ σὲ ἔσται. ὡς δ' ἂν καθεύδῃς, φυλάσσοιτό σε, ἵνα ἐγειρομένῳ συλλαλῇ σοι. ὅτι λύχνος ἐντολὴ νόμος, καὶ φῶς, καὶ ὁδὸς ζωῆς, καὶ ἔλεγχος, καὶ παιδείας, τοῦ διαφυλάσσειν σε ἀπὸ γυναικὸς πονηρᾶς, καὶ ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας. μὴ ἐπιθυμήσῃς κάλλους ὠραιότητι, μηδὲ ἁρπαγῆς σοῖς ὀφθαλμοῖς, μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων. τιμὴ γὰρ

πόρνης, ὅση ἡ ἐνὸς ἄρτου. γυνὴ δὲ ἀνδρὸς τιμίας ψυχὰς ἀγρεύει. ἀποδύσει τις πῦρ κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, καὶ οὐ κατακαύσει; οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὑπανδρον, οὐκ ἀθωωθήσεται, οὐδὲ πᾶς ὁ ἅπτόμενος αὐτῆς. ὁ θαυμασόν, ἐὰν ἁλῶ τις λιλείπων, λιλείπει γὰρ ἵνα ἐμπλήσῃ ψυχὴν πεινῶσαν· ἐὰν δὲ ἁλῶ, ἀρτίσει ἐπταπλάσια, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ δῶς, ῥύσεται ἑαυτόν. ὁ δὲ μοιχὸς, δι' ἐνδειαν φρενῶν ἀπώλειαν τῆς ψυχῆς αὐτοῦ ποιεῖται, ὀδυνᾶς τε ἡ ἁπαμίας ὑποφέρει. τότε ἀνεῖται αὐτοῦ, οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα. μισὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆ, οὐ φείσεται ἐν ἡμέρᾳ ἐκδίκου. οὐ παραδέξεται ὀδυνᾶς λύτρου τινὸς ἐχθρᾶν, οὐδὲ μὴ πληθυνθῇ πολλῶν δώρων.

ΚΕΦΑΛ. ζ'. 7.

Υἱὲ φύλαξαι ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ. υἱὲ τίμα τὸν κύριον, καὶ ἰσχύσεις, πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον. φύλαξον ἐμὰς ἐντολὰς, καὶ βιώσεις· τοὺς δὲ ἐμοὺς λόγους, ὡσεὶ κόρας ὀφθαλμῶν· περίδου αὐτοὺς σοῖς δακτύλοις, ἐπίγραψον δὲ ἐπὶ τὸ πλατὺ τῆς καρδίας σου. εἶπον τῇ σοφίᾳ τῇ ἀδελφῇ εἶναι, τὴν δὲ φρόνησιν γνώριμον, προσποιήσαι σεαυτῷ, ἵνα τηρήσῃ σε ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς, ἐὰν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάλλητε. ἀπὸ γὰρ θυρίδος ἐκ τοῦ οἴκου αὐτῆς εἰς τὰς πλατείας παρακύπτουσα, ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων, νεανίαν ἐνδεᾶ φρενῶν, παραπορευόμενον ἐν γωνίᾳ, ἐν δισσοῖς οἴκῳ αὐτῆς, καὶ λαλοῦντα ἐν σκότει ἑσπερινῷ, νύκτα αὐτῇ ἡσυχίαν νυκτεινὴ ἡ καὶ γνοφώδης. ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ εἶδος ἔχουσα πορνικὸν, ἢ ποιεῖ νέων ἐξίπασθαι καρδίας. ἀνεπόρωμὸν δέ ἐστι καὶ ἄσωτον, ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς. χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις πρὸ πάσης γωνίας ἐνεδρεύει. εἶτα περιλαβομένη ἐφίλησέν αὐτὸν, ἀναισθῆ δὲ προσώπῳ προσεῖπεν αὐτῷ. θυσίας εἰρηνικὴ μοί ἐστι, σήμερον ἀπέδωκα τὰς εὐχάς μου. ἕνεκα τούτου ἐξῆλθον εἰς συναντησίν σου, ποθοῦσα τὸν σὸν πρόσωπον εὗρόν σε, καὶ περίστρωσα τὴν κλίνην μου, ἀμφιτάπητι ποικίλῃ ἐστρωσα τοῖς ἀπ' αἰγύπτου, ἐπέρρανκα τὴν κοίτην μου κρόκῳ, σὺν δὲ οἴνῳ μου κεκραμένῳ. ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου, δίδυμα καὶ ἐγκυλιδώμεθα ἔρωτι. οὐ γὰρ παρέσιν ὁ ἀνήρ μου ἐν οἴκῳ, πεπόρευται ὁδὸν μακράν, ἐνδεσμον ἀργυρίου λαβὼν ἐν χρόσιν αὐτοῦ, δι' ἡμέρων πολλῶν ἐπανήξει εἰς τὸν οἶκον αὐτοῦ. ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ, βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν. ὁ δὲ ἐπακολούθησεν αὐτῇ ἀπερισκέπτως, ὡσεὶ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται, ἢ ὡσεὶ ἔλαφος ἐν βρόχοις ἐμπλακῇ· ἕως οὗ διατρήσει βέλος ἧπαρ αὐτοῦ. ὡσεὶ δὲ ὄρνεον εἰς παγίδα, οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς πρόκειται. νῦν οὖν υἱὲ, ἄκουέ μου, καὶ πρόσεχε ῥήμασι στόματός μου. μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου, καὶ μὴ πλανηθῇς ἐν τρίβοις αὐτῆς. πολλοὺς γὰρ τρώσασα, κατέβαλεν, καὶ ἀναρίθμητοί εἰσιν οὓς πεφόνευκεν, ὁδοὶ ᾅδου ὁ οἶκος αὐτῆς, καταβαίνουσαι εἰς ταμεῖα τοῦ θανάτου.

ΚΕΦΑΛ. η'. 8.

Διὸ σὺ τῇ σοφίᾳ λάρυγξον, ἵνα φρόνησίς σοι ὑπακούσῃ. ὁδὸς γὰρ τῶν ὑψηλῶν ἄκρων ὄδυνη, ἀνὰ μέσον δὲ τῶν τρίβων ἔπηξε. παρὰ γὰρ πύλαις πλατυσμὸν παρεισδύει, ἐν δὲ εἰσόδοις ὑμνεῖται. ὑμᾶς ὦ ἄνδρωποι παρακαλῶ, καὶ προΐεμαι ἐμὴν φωνὴν ὑοῖς ἀνθρώπων. νοήσατε ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἐνθεδε καρδίαν. εἰ ἀκούσατέ μου, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά. ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψεύδη. μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλῶδες. πάντα ἐνώπιον τῶν συνιόντων, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. λάβετε παιδείαν καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον. αὐτὰρεῖται δὲ ἀνθήσεις χρυσίου καθαροῦ. κρεῖσσον γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῇ ὄντι. ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν, καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. φόβος κυρίου μισεῖ ἀδικίαν, ὕβριν τε καὶ ὑπερηφανίαν, καὶ ὁδοὺς πονηρὰς, μεμίσηκα ἐγὼ διεστραμμένας ὁδοὺς καὶ χείλη. ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην. δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς. ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλὴ, καὶ δικαιοσύνη. βέλτιόν ἐστι καρπίζεσθαι ὑπὲρ χρυσίου καὶ λίθου τίμιον, τὰ δὲ ἐμὰ γενήματα κρεῖσσον ἀργυρίου ἐκλεκτοῦ. ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ, καὶ ἀνὰ μέσον τρίβων ἀληθείας ἀναστρέφομαι. ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν. ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πᾶσι τοῖς τὰς ἀδύσσους ποιῆσαι, πᾶσι τοῖς πᾶσιν ἐλθεῖν τὰς πηγὰς τῷ ὑδάτῳ, πᾶσι δ' ὄρη ἑδρασθῆναι, πᾶσι δὲ πάντων τῶν βουνῶν γῆν μεμυκέναι χώρας καὶ οἰκήτας, καὶ ἄκρα οἰκουμένα ἅμα ὑπὸ τὸν οὐρανόν. ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν συμπαρήμην αὐτῷ, ὅτε ἀφώριζε τὸν ἴσον τοῖς θρόνον ἐπ' αὐτῶν, ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπὸ οὐρανόν. ἐν τῷ πηγάσαι τὴν θάλασσαν ἀκριβασμὸν αὐτοῖς, καὶ ὕδατα ὡς παρελθύσεται νόμους τοὺς αὐτοῖς, καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἥμην παρ' αὐτῷ. ἁρμόζουσα ἐγὼ ἤμην ᾗ προσέχαιρεν, καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ. ὅτε ἐνευφραίνετο τὸν οἰκουμένην σωτηρίσας, καὶ ἐνευφραίνετο ἐν υἱοῖς ἀνθρώπων. Νῦν οὖν υἱέ μου, καὶ μακάριοι οἱ ὁδούς μου φυλάξουσιν. ἀκούσατε σοφίαν, καὶ σοφίσθητε, καὶ μὴ ἀφορᾶτε. μακάριος ἀνὴρ ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς τηρήσει, ἀγρυπνῶν ἐπὶ ταῖς θύραις μου καθ' ἡμέραν, τηρῶν παθυμῶν ἐμῶν εἰσόδους. ὁ γὰρ ἐξοδεύσας με ἐξοδεύσει ζωήν, καὶ ἑτοιμάζεται θέλησιν παρὰ κυρίου. οἱ δὲ ἁμαρτάνοντές με, ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς, καὶ οἱ μισοῦντές με ἀγαπῶσι θάνατον.

ΚΕΦΑΛ. ϛ'. 9.

Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασε ἐν εἰρατῆρι τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ὧδε εἰρατῆρα λέγουσα· ὃς ὅστις ὑμῶν ἄφρων ἐκκλινάτω πρός με. καὶ τοῖς φρονίμοις φησὶν· ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν ἐκέρασα ὑμῖν. ἀπολείπετε ἀφροσύνην καὶ ζήσεσθε, εἰς τὸν αἰῶνα βασιλεύσητε, καὶ ζητήσατε φρόνησιν ἵνα βιώσητε. καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει. ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν, ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν. οἱ δὲ ἔλεγχοι τοῦ ἀσεβοῦς, μώλωπες αὐτῷ. μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε. ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε. δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ λαβεῖν. ἀρχὴ σοφίας, φόβος κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις. τὸ δὲ γνῶναι νόμον, διανοίας ὄντως ἀγαθῆς. οὕτω γὰρ τοῦ τρόπου πολλῶν ζήσεις χρόνων, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς σου. Υἱὲ ἐὰν σοφὸς γένῃ, αὐτῷ σοφὸς ἔσῃ καὶ τοῖς πλησίον σου. ἐὰν δὲ κακὸς ἄρχῃς, μόνος αὐτλήσεις τὰ κακά. ὑὸς ἀπαιδεύτου μόνος σοφὸς ἔσαι, τοῦ δὲ ἄφρονι διακόνῳ χρήσεται. ὃς ὁρᾶσθαι ὧδε ψεύδεσθαι, ἕτοιμα ἀνέμους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα. ἀπέλιπε γὰρ ὁδὸς τὴν ἑαυτοῦ ἀμπελῶνα, τὸν δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηκε. διαπορεύεται δὲ δι' αὐύδρου ἐρήμου, καὶ γῆν διατεταγμένην εἰς διψώσεσι. σωφρονεῖ δὲ χορσὶν ἀκαρπίαν. γυνὴ ἄφρων καὶ θρασεῖα, γνῶσιν οὐκ ἔχουσα γίνεται, ἡ δὲ ἐπίσταται καθίζουσα ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ διφρου ἐμφανῶς ἐν πλατείαις, πρὸς καλουμένη τοὺς παριόντας ὁδόν, τοὺς κατευθυνόντας τὰς ὁδοὺς αὐτῶν. ὃς ὅστις ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρός με, καὶ τοῖς φρονίμοις φησὶν· ὕδατος κλεπτοῦ λέγουσα· ἄρτου λιχνείου ἡδέως ἅψασθε, καὶ ὕδατος λιμπῆς γλυκεροῦ πίετε. ὁ δὲ οὐκ οἶδεν, ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται, καὶ ὧδε πέταυρον ἅδου σωσαντᾶ. ἀλλὰ ἀκριβάσωμεν μὴ χρονίσῃς ἐν τόπῳ αὐτῆς, μηδὲ ὠθήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν. ὅτως γὰρ διαβήσῃ ὡς ὕδωρ ἀλλότριον, καὶ ὑπορβήσῃ ποταμὸν ἀλλότριον. ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολλῶν ζήσῃς χρόνων, προσθήσεταί σοι ἔτη ζωῆς.

ΚΕΦΑΛ. ί. 10.

σωπον γὰρ λελύσει οὐ κἀλόν. ὁ εἰπὼν τὸν ἀσεβῆ δίκαιος ὄσιν, ὠθὴ κατάρατος λαοῖς ἔσαι, καὶ μισητὸς εἰς ἔθνη, οἱ δὲ ἐλέγχοντὸν βελτίους φανοῦνται, ἐπ' αὐτὸν δὲ ἥξει σύλογία ἀγαθή, χείλη δὲ φιλήσουσιν ἀποκεινόμενα λόγους ἀγαθούς. ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκεύαζε εἰς τὸν ἀγρόν, καὶ πορεύου κατόπισθέν μου, καὶ οἰκοδομήσεις τὸν οἶκόν μου. μὴ ἴδοι ψυδρὸς μαρτυς ὠδὴ σὸν πολίτην, μηδὲ πλατεῖα σοῖς χείλεσι. μὴ εἴπῃς ὃν τρόπον ἐχρήσατό μοι, χρήσομαι αὐτῷ, τίσομαι δὲ αὐτὸν, ἃ μεμνήσκομαι. ὥσπερ γεώργιον αὐτὸν ἄφρων, καὶ ὥσπερ ἄμπελῶν ἄνθρωπος γνώτης φρονῶν, ἐὰν ἀφῇς αὐτὸ χόρτοις θησεται ὅλος, καὶ γίνεται ἐκλελειμμένον, οἱ δὲ φραγμοὶ τῶν λίθων αὐτοῦ κατασκυλεύονται. ὕστερον ἐγὼ μετενόησα, ἐπέβλεψα τοῦ ἐκλέξασθαι παιδείαν. ὀλίγον νυστάζω, ὀλίγον δὲ μανθάνομαι, ὀλίγου δὲ φάγκαλίσομαι χρόνου σύθη. ἐὰν δὲ ᾖς ποιῆς, ἥξει σοι πορευομένῳ ἡ ὠφέλειά σου. καὶ ἡ γνῶσις ὥσπερ ἀγαθὸς δρομεύς. τῇ βίᾳ τρεῖς θυγατέρας ἔσαν ἀγαπήσει ἀγαπῶμεναι, καὶ αἱ τρεῖς αὗται ἐκ φιλοπίμπλασαν αὐτόν, καὶ ἡ τετάρτη ἐκ ἠρκέσθη εἰπεῖν ἱκανόν· ἄδης, καὶ ὄρνις γυναικός, καὶ γῆ οὐκ ὑμπλαμβάνει ὕδατος. καὶ ὕδωρ καὶ πῦρ, οὐ μὴν εἴπασιν ἀρκεῖ. ὀφθαλμὸν καταγελῶντα πατρός, καὶ ἀτιμάζοντα γήρας μητρός, ἐκκόψουσιν αὐτὸν κόρακες ἐκ τῶν φαραγγίων, καὶ καταφάγονται αὐτὸν νεοσοὶ ἀετῶν. τρία δέ ἐστιν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον ἐκ ὐκγινώσκω· ἴχνη ἀετοῦ πετομένου, καὶ ὁδὸν ὄφεως ἐπὶ πέτρας, καὶ τρίβους νηὸς πόντου πορέσης, καὶ ὁδὸν ἀνδρὸς ἐν νεότητι. τοιαύτη ὁδὸς γυναικὸς μοιχαλίδος, ἣ ὅτ' ἂν πράξῃ ἀπονίψαμένη, οὐδὲν φησὶ πεπραχέναι ἄτοπον. δι' τρισὶν σείεται ἡ γῆ, τὸ δὲ τέταρτον ὑ δύναται φορέσαι. ἐὰν οἰκέτης βασιλεύσῃ, καὶ ἄφρων πλησθῇ σίτου, καὶ οἰκέτης ἐὰν ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν, καὶ μισητὴ γυνὴ ἐὰν τύχῃ ἀνδρὸς ἀγαθοῦ. τέσσαρα δέ ὄστι ἐλάχιστα ὠδὶ τῆς γῆς, ταῦτα δέ ὄστι σοφώτερα τῶν σοφῶν· οἱ μύρμηκες οἷς μὴ ἔστιν ἰσχύς, καὶ ἑτοιμάζονται θέρους τὴν τροφήν· καὶ οἱ χειρογρύλλιοι ἔθνος οὐκ ἰσχυρόν, οἳ ἐποίησαν τὸν πέτρας οἶκον ἑαυτῶν οἴκους· ἀβασίλευτόν ἐστιν ἀκρίς, καὶ ἐκστρατεύει ἀφ' ἑνὸς κελεύσματος σὺν τάκτως· καὶ καλαβώτης χερσὶν ὁρεισβήσῃ, καὶ οὐάλωτος ὤν, καταικεῖ γὰρ ἰσχυρώμασι βασιλέων. τρία δέ ἐστιν ἃ οὐσίως πορεύεται, καὶ τὸ τέταρτον ὑ καλῶς διαβαίνει· σκύμνος λέοντος ἰσχυρότερος τετρώων, ὃς οὐκ ἀποτρέπεται, οὐδὲ καταπήσει τετρώ. καὶ ἀλέκτωρ ἐμπορπατῶν γὰρ θηλείας σύνυχος, καὶ τράγος ἡγέμων ἀσπόλιτος, καὶ βασιλεὺς δημηγορῶν γὰρ ἔθνει. ἐὰν πρόσεσαν τὸν εἰς σύφροσυνίαν, καὶ ἐκτείνης τὴν χεῖρα σου μετὰ μανίας ἀπομαθήσῃ. ἄμελγε γάλα, καὶ ἔσαι βούτυρον. ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας, ἐξελούσεται αἷμα. ἐὰν δὲ ἐξέλκῃς λόγους, ἐξελούσονται μερίσεις καὶ μάχαι.

ΚΕΦΑΛ. λά. 31.

Οἱ ἐμοὶ λόγοι ἐρρίωνται ὑπὸ θεοῦ βασιλέως χρηματισμός, ὃν ἐπαίδευσεν ἡ μήτηρ αὐτοῦ. τί τέκνον τηρήσεις; ῥήσεις θεοῦ. πρωτογένεις οἱ λέγω, ὦ ἐ, τί τέκνον ἐμῆς κοιλίας; τί τέκνον ἐμῶν εὐχῶν; μὴ δῶς γυναιξὶ σὸν πλοῦτον, ἢ τὸν σὸν νοῦν, καὶ βίον, καὶ εἰς ὕστερον βουλίαν. μετὰ βασιλῆς πάντα πρέπει, μετὰ βουλῆς οἰνοποτεῖν. οἱ δυνάσται θυμώδεις εἰσίν, οἶνον μὴ πίνετωσαν, ἵνα μὴ πίωσιν καὶ λάθωνται τῆς συνέσεως, καὶ ὀρθὰ κρίνῃ, ὃ μὴν δύνωνται ἀδικεῖν. δότε μέθην τοῖς ὠλύπαις, καὶ οἶνον πίνειν τοῖς ὠδυνῶσιν, ἵνα ὠλάθωνται ἧς πενίας, καὶ τῶν πόνων μὴ μνησθῶσιν ἔτι. υἱέ, ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ, καὶ κρίνε πάντα ὑγιῶς. ἄνοιγε σὸν στόμα, καὶ κρίνε δικαίως, δίκαιον δὲ πένητα καὶ ἀδυνῆ. γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. θαῤῥεῖ ἐπ' αὐτὴν ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σύλλογον οὐκ ἀχρήσει. γνόργει γὰρ τοῦ ἀνδρὸς εἰς ἀγαθὰ πάντα τὸν βίον. μερνομένη ἔρια καὶ λίνον, ἐποίησεν εὐχρηστον ταῖς χερσὶν αὐτῆς. ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν. συνάγει δὲ αὐτὴν τὸν βίον, καὶ ἀνέστη ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τοῖς οἴκοις, καὶ ὄργα ταῖς θεραπαίναις. θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κῆπον. ἀνέζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ὄργον. ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ὀργάζεσθαι, καὶ ἐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. τοὺς πήχεις αὐτῆς ἐκτείνει ὠδὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς βρέθηκεν εἰς ἄτρακτον. χεῖρας δὲ αὐτῆς διήνοιξε πτωχῷ, καρπὸν δὲ ἔξέτεινε πτωχῷ. ὁ φρονεῖ τῷ οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ, παντοῦ γὰρ οἱ παρ' αὐτῇ γινόσκουσιν. δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας τὰ αὐτῆς γνήσια. περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς τὰς πύλας, νίκα ἂν καθίσῃ τὰ συνέδρια μετὰ τῶν γερόντων τῆς καρποῦ αὐτῆς γῆς. σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς φοίνιξι, καὶ πορίζωμα τοῖς χαναναίοις. σύμα αὐτῆ δόξαν πᾶσι χόντως καὶ γνώμοις, καὶ τάξιν ἐνετείλατο τῇ γλώσσῃ αὐτῆς. ἰσχὺν καὶ δύναμιν ἐνεδύσατο, καὶ ἐνφράνθη τὰ ἡμέρας ἐσχάτας. σωαὶ δὲ τριβαὶ οἴκου αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. σύμα δὲ αὐοίγει σοφῶς, καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς. ἀνέστησαν τέκνα αὐτῆς, καὶ ἐπλούτησαν, καὶ ὁ ἀνὴρ αὐτῆς ἐδόξασεν αὐτὴν. πολλαὶ θυγατέρες ἐποίησαν

σαν

σαν δυνάμιν, πολλὰ ἐποίησαν δυνατά, σὺ δὲ ὑπερῆρκεσας ὑπὲρ πάσας. ψυδεῖς αἱρέσκεται, καὶ μάταιον κάλλος γυναικὸς ἐκ ἔστιν ἡ σοί. γυνὴ γὰρ σωφρονῆ δύλογέσθω, φόβον δὲ κυρίου αὐτὴ αἰνείτω. διότι αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

ΕΝ ΤΑΙΣ ΠΑΡΟΙΜΙΑΙΣ ΩΣΠΕΡ ΠΑΙΔΕΥ-
μασὶ παραδειγμάτων καὶ συμβούλων προσφέ-
ρει τὰς παραινέσεις.

ΤΕΛΟΣ ΤΩΝ ΠΑΡΟΙΜΙΩΝ ΤΟΥ
ΣΟΛΟΜΩΝΤΟΣ.

ΡΗΜΑΤΑ ΕΚΚΛΗΣΙΑΣΤΟΥ,
ΥΙΟΥ ΔΑΒΙΔ ΒΑΣΙΛΕΩΣ ΙΣΡΑΗΛ ἐν ἱερουσαλήμ.

ΚΕΦΑΛ. ἀ. 1.

ΜΑταιότης ματαιοτήτων εἶπεν ὁ ἐκκλησιαστής, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. τίς περισσεία τῷ ἀνθρώπῳ, ἐκ πάντων μόχθων αὐτοῦ ὧν μοχθεῖ ὑπὸ τὸν ἥλιον; γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκε. καὶ ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει αὐτὸς ἀνατέλλων ἐκπορεύεται πρὸς νότον, καὶ κυκλοῖ πρὸς βορρᾶν. κυκλοῖ κυκλῶν πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. πάντες οἱ χείμαρροι πορεύονται εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπίπλασμένη. εἰς τὸν τόπον οὗ οἱ χείμαρροι πορεύονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορεύεσθαι. πάντες οἱ λόγοι ἐγκοποι, οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν, καὶ οὐκ ἐμπλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν, καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως. τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον, καὶ τί τὸ πεποιημένον αὐτός; τὸ ποιηθησόμενον, καὶ οὐκ ἔστι πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον. ὃς λαλήσει καὶ ἐρεῖ, ἴδε τοῦτο καινόν ἐστιν, ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῖς γενομένοις ἀπ' ἐμοῦ ἔμπροσθεν ἡμῶν. οὐκ ἔστι μνήμη τοῖς πρώτοις, ἀλλὰ γε τοῖς ἐσχάτοις γενησομένοις οὐκ ἔσται αὐτοῖς μνήμη μετὰ τῶν γενησομένων εἰς τὰ ἔσχατα. Ἐγὼ ἐκκλησιαστὴς ἐγενόμην βασιλεὺς ἐπὶ ἰσραὴλ ἐν ἱερουσαλήμ, καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι, καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων τῶν γενομένων ὑπὸ τὸν οὐρανόν, ὅτι πρόσπασμον πονηρὸν ἔδωκεν ὁ θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, τοῦ περισπᾶσθαι ἐν αὐτῷ. εἶδον σύμπαντα τὰ ποιήματα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον, καὶ ἰδοὺ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος. διεστραμμένον οὐ δυνήσεται κατορθωθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι. ἐλάλησα ἐγὼ ἐν καρδίᾳ μου τοῦ λέγειν, ἰδοὺ ἐγὼ ἐμεγαλύνθην, καὶ προσέθηκα σοφίαν ὑπὲρ πάσας οἱ ἐγένοντο ἔμπροσθέν μου ἐν ἱερουσαλήμ, καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν. καὶ καρδία μου εἶδεν πολλὰ, σοφίαν καὶ γνῶσιν, παραβολὰς καὶ κατόρθωμα. ἔγνων ἐγὼ ὅτι καὶ γε τοῦτο προαίρεσις πνεύματος, ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως, καὶ ὁ προσθεὶς γνῶσιν προσθήσει ἄλγημα.

ΚΕΦΑΛ. β'. 2.

Εἶπον ἐγὼ ἐν καρδίᾳ μου, δεῦρο δὴ πειράσω σε ἐν εὐφροσύνῃ καὶ ἴδε ἐν ἀγαθῷ, καὶ ἰδοὺ γέγονε τοῦτο ματαιότης. τοῦ γέλωτος εἶπα πλανήσεται, καὶ τῇ εὐφροσύνῃ τί τοῦτο ποιεῖς; καὶ κατεσκεψάμην ἐν ἡ καρδία μου ἐκλύσει ὡς οἶνον τὴν σάρκα μου, καὶ καρδία μου ὡδηγήσει μετ' ἐμοῦ ἐν σοφίᾳ, καὶ τοῦ κρατῆσαι ἐπ' εὐφροσύνῃ, ἕως οὗ ἴδω ποῖον τὸ ἀγαθὸν τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὃ ποιοῦσιν ὑπὸ τὸν ἥλιον, ἀριθμὸν ἡμερῶν ζωῆς αὐτῶν. ἐμεγάλυνα ποιήματά μου, ᾠκοδόμησα μοι οἴκους, ἐφύτευσα μοι ἀμπελῶνας, ἐποίησα μοι κήπους καὶ παραδείσους, καὶ ἐφύτευσα ἐν αὐτοῖς ξύλον παντὸς καρποῦ. ἐποίησά μοι κολυμβήθρας ὑδάτων τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν βλαστῶν τὰ ξύλα. ἐκτησάμην δούλους, καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό μοι, καὶ γε κτῆσις βοῶν καὶ προβάτων πολλὴ ἐγένετό μοι, ὑπὲρ πάντας οὓς ἐγενήθησαν ἔμπροσθέν μου ἐν ἱερουσαλήμ, συνήγαγόν μοι καὶ γε ἀργύριον καὶ γε χρυσίον, καὶ περιουσμοὺς βασιλέων καὶ τῶν χωρῶν, ἐποίησα μοι ᾄδοντας καὶ ᾄδουσας, καὶ συντρυφήματα υἱῶν τοῦ ἀνθρώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

που. οἰνοχοῦν καὶ οἰνοχόας, καὶ ἐμεγαλυνθην καὶ προσεθηκα σοφίαν παρὰ πάντας τοὺς γε
μώνας ἐμπροσθέν μου ἐν Ἰερουσαλήμ, καὶ γε σοφία μου ἐστάθη μοι, καὶ πᾶν ὃ ἤτησαν οἱ ὀφθαλ
μοί μου οὐκ ἀπεῖχον ἀπ' αὐτῶν. οὐκ ἀπεκώλυσα τὴν καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης, ὅ
ἡ καρδία μου εὐφράνθη ἐν πάντι μόχθῳ μου, καὶ τοῦτο ἐγένετο μερισμὸς ἀπὸ παντὸς μόχθου μου
καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσι ποιήμασί μου, οἷς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν μόχθῳ ὃ ἐμόχθη
τοῦ ποιεῖν, καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις ἀνεμίου, καὶ οὐκ ἔστι περισσεία
ὑπὸ τὸν ἥλιον. καὶ ἀπέβλεψα ἐγὼ τοῦ ἰδεῖν σοφίαν, καὶ παραφορὰν καὶ ἀφροσύνην, ὅτι τί
ἄνθρωπος ὃς ἐπελεύσεται ὀπίσω τοῦ βασιλέως, πάντα ὅσα ἐποίησεν ἐν αὐτῷ. καὶ εἶδον ἐγὼ ὅτι
ὅτι περισσεία τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύνην, ὡς περισσεία τοῦ φωτὸς ὑπὲρ τὸ σκότος. τοῦ σο
φοῦ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐν κεφαλῇ αὐτοῦ, καὶ ὁ ἄφρων ἐν σκότει πορεύεται. Καὶ ἔγνων καὶ γε
ἐγώ, ὅτι συναντήσεται ἓν συναντήσεται πᾶσιν αὐτοῖς. καὶ εἶπον ἐγὼ ἐν καρδίᾳ μου, ὡς συ
ναντήσεται τοῦ ἄφρονος καὶ γε ἐμοὶ συναντήσεται, καὶ ἵνατί ἐσοφισάμην ἐγώ, τὸ περισσὸν τοῦ
λαλῆσαι ἐν καρδίᾳ μου; διότι ἄφρων ἐκ περισσεύματος λαλεῖ, ὅτι καὶ γε τοῦτο ματαιότης.
ὅτι οὐκ ἔστι μνήμη τοῦ σοφοῦ μετὰ τοῦ ἄφρονος εἰς τὸν αἰῶνα, καθότι ἤδη αἱ ἡμέραι ταῖς ὀρχομέ
ναις, τὰ πάντα ἐπελήσθη. καὶ πῶς ἀποθανεῖται σοφὸς μετὰ τοῦ ἄφρονος; καὶ ἐμίσησα τὴν ζω
ὴν, ὅτι πονηρὸν ἐπ' ἐμὲ τὸ ποίημα τὸ γεγοιημένον ὑπὸ τὸν ἥλιον, ὅτι πάντα ματαιότης, καὶ
προαίρεσις ἀνεμίου. καὶ ἐμίσησα ἐγὼ σύμπαντα τὸν κόσμον, ᾧ τὸν μόχθον μου ὃν ἐγὼ ἐμό
χθουν ὑπὸ τὸν ἥλιον, ὅτι ἀφίω αὐτὸν τῷ ἀνθρώπῳ τῷ γενομένῳ μετ' ἐμέ. καὶ τίς οἶδεν εἰ σο
φὸς ἔσται, ἢ ἄφρων; καὶ ἐξουσιάζει ἐν παντὶ μόχθῳ μου ᾧ ἐμόχθησα, καὶ ἐσοφισάμην ὑπὸ τὸν
ἥλιον; καὶ γε τοῦτο ματαιότης. καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀπατᾶσθαι τὴν καρδίαν μου, ἐν παντὶ μό
χθῳ ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον, ὅτι ἔστιν ἄνθρωπος, ὅτι μόχθος αὐτοῦ ἐν σοφίᾳ καὶ ἐν γνώσει
καὶ ἐν εὐθυμίᾳ. καὶ ἄνθρωπος ᾧ οὐκ ἐμόχθησεν, δώσει αὐτῷ μερίδα αὐτοῦ. καὶ γε τοῦτο ματαιό
της, καὶ πονηρία μεγάλη, ὅτι γίνεται ἐν τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, καὶ ἐν προαι
ρέσει καρδίας αὐτοῦ, ὡς αὐτὸς μοχθεῖ ὑπὸ τὸν ἥλιον. ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἀλγημάτων
καὶ θυμὸς περισπασμὸς αὐτῷ. καὶ γε ἐν νυκτὶ ὁ κοιμᾶται ἡ καρδία αὐτοῦ, καὶ γε τοῦτο ματαιό
της ἐστίν. οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ, εἰ μὴ ὁ φάγεται καὶ ὁ πίεται, καὶ δείξει τῇ ψυχῇ αὐτοῦ
ἀγαθὸν ἐν μόχθῳ αὐτοῦ. καὶ γε τοῦτο εἶδον ἐγὼ, ὅτι ἀπὸ χειρὸς τοῦ θεοῦ ἐστι. ὅτι τίς φάγεται καὶ
τίς πίεται πάρεξ αὐτοῦ; ὅτι τῷ ἀνθρώπῳ τῷ ἀγαθῷ πρὸ προσώπου αὐτοῦ ἔδωκεν σοφίαν
καὶ γνῶσιν, καὶ εὐφροσύνην, καὶ τῷ ἁμαρτάνοντι ἔδωκεν περισπασμὸν τοῦ προσθεῖναι
καὶ τοῦ συναγαγεῖν, τοῦ δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ θεοῦ. ὅτι καὶ γε τοῦτο ματαιό
της, καὶ προαίρεσις ἀνεμίου.

ΚΕΦΑΛ. γ'. 3.

Τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν ἥλιον. καιρὸς τοῦ τεκεῖν
καὶ καιρὸς τοῦ ἀποθανεῖν. καιρὸς τοῦ φυτεῦσαι, καιρὸς τοῦ ἐκτίλαι τὸ πεφυτευμένον
καιρὸς τοῦ ἀποκτεῖναι, καὶ καιρὸς τοῦ ἰᾶσθαι. καιρὸς τοῦ καθελεῖν, καὶ καιρὸς τοῦ οἰκοδο
μεῖν. καιρὸς τοῦ κλαῦσαι, καὶ καιρὸς τοῦ γελάσαι. καιρὸς τοῦ πῶψαι, καὶ καιρὸς τοῦ ἀρχή
σασθαι. καιρὸς τοῦ βαλεῖν λίθους, καὶ καιρὸς τοῦ συναγαγεῖν λίθους. καιρὸς τοῦ περιλαβεῖν, καὶ καιρὸς
τοῦ μακρυνθῆναι ἀπὸ περιλήμματος. καιρὸς τοῦ ζητῆσαι, καὶ καιρὸς τοῦ ἀπολέσαι. καιρὸς τοῦ
φυλάξαι, καὶ καιρὸς τοῦ ἐκβαλεῖν. καιρὸς τοῦ ῥῆξαι, καὶ καιρὸς τοῦ ῥάψαι. καιρὸς τοῦ σιγᾶν, καὶ
καιρὸς τοῦ λαλεῖν. καιρὸς τοῦ φιλῆσαι, καὶ καιρὸς τοῦ μισῆσαι. καιρὸς πολέμου, καὶ καιρὸς εἰρήνης.
τίς περισσεία τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ; εἶδον σὺν πάντα τὸν περισπασμόν, ὃν ἔδωκεν
ὁ θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, τοῦ περισπᾶσθαι ἐν αὐτῷ. τὰ σύμπαντα ἃ ἐποίησε, καλὰ ἐν και
ρῷ αὐτοῦ. καὶ γε σύμπαντα τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐτῶν, ὅπως μὴ εὕρῃ ὁ ἄνθρωπος
τὸ ποίημα ὃ ἐποίησεν ὁ θεὸς ἀπαρχῆς καὶ μέχρι τέλους. ἔγνων ὅτι οὐκ ἔστι ἀγαθὸν ἐν αὐτοῖς,
εἰμὴ τοῦ εὐφραίνεσθαι, καὶ τοῦ ποιεῖν ἀγαθὸν ἐν ζωῇ αὐτοῦ. καὶ γε πᾶς ὁ ἄνθρωπος ὃς φά
γεται καὶ πίεται, καὶ ἴδῃ ἀγαθὸν ἐν παντὶ μόχθῳ αὐτοῦ, τοῦτο δόμα θεοῦ ἐστιν. ἔγνων ὅτι
πάντα ὅσα ἐποίησεν ὁ θεός, ταῦτα ἔσται εἰς τὸν αἰῶνα, ἐπ' αὐτῷ οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ'
αὐτῶν οὐκ ἔστι ἀφελεῖν. καὶ ὁ θεὸς ἐποίησεν, ἵνα φοβηθῶσιν ἀπὸ προσώπου αὐτοῦ. τὸ γεγόμε
νον ἤδη ὄν, καὶ ὅσα τοῦ γενέσθαι, ἤδη γέγονε, καὶ ὁ θεὸς ζητήσει τὸν διωκόμενον. καὶ ἔτι εἶ
δον ὑπὸ τὸν ἥλιον τόπον τῆς κρίσεως, ἐκεῖ ὁ ἀσεβής. καὶ τόπον τοῦ δικαίου, ἐκεῖ ὁ ἀσεβής.
καὶ εἶπα ἐγὼ ἐν τῇ καρδίᾳ μου, σὺν τὸν δίκαιον καὶ σὺν τὸν ἀσεβῆ κρινεῖ ὁ θεὸς, ὅτι καιρὸς
τοῦ παντὶ πράγματι, καὶ ὑπὲρ παντὶ ποιήματι ἐκεῖ. εἶπα ἐγὼ ἐν καρδίᾳ μου, περὶ λα
λιᾶς υἱῶν τοῦ ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ θεὸς, καὶ τοῦ δεῖξαι ὅτι αὐτοὶ κτήνη εἰσί. καὶ
γε αὐτοῖς ὡς συναντήσεται ἐν υἱῷ τοῦ ἀνθρώπου, καὶ συναντήσεται τοῦ κτήνους, συναντήσεται ἓν
αὐτοῖς. ὡς ὁ θανατῶν τοῦτο, οὕτως κἀκεῖνος θανατῶν τοῦτο, κἀν πνεῦμα ἓν τοῖς πᾶσιν. καὶ τί περισσεύ
σει ὁ ἄνθρωπος ἐν τῷ κτήνει; οὐδέν, ὅτι πάντα ματαιότης. τὰ πάντα εἰς τόπον ἕνα, τὰ πάντα

ἐγένε-

ἐγγίζω ἐκ τοῦ χρόος, καὶ τὰ πάντα ὠλιγρέψει εἰς χοῦν. καὶ τίς εἶδεν πνοῦμα ἐῶν ἀνθρώπου, εἰ ἀναβαίνει εἰς ἄνω; καὶ τὸ πνοῦμα τοῦ κτήνους, εἰ καταβαίνει αὐτὸ κάτω εἰς γῆν; καὶ εἶδον ὅτι ἔκεσι ἀγαθόν, εἰ μὴ ὁ ὑφραινθήσεται ἄνθρωπος ἐν ποιήμασιν αὐτοῦ, ὅτι αὐτὸ μερὶς αὐτοῦ. ὃς τίς ἄξει αὐτόν, τοῦ ἰδεῖν ἐν γνώσει ἐὰν γένηται μετ' αὐτόν;

ΚΕΦΑΛ. λ'. 4.

Καὶ ἐπέστρεψα ἐγώ, καὶ εἶδον σύμπασας τὰς συκοφαντίας τὰς γροσμένας ὑπὸ τὸν ἥλιον. καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων, καὶ οὐκ ἔσιν αὐτοῖς ὁ παρακαλῶν, καὶ ἀπὸ χειρὸς συκοφαντούντων αὐτοῖς ἰσχύς. καὶ ἐπῄνεσα ἐγὼ σύμπαντας οὓς τεθνηκότας, οὓς ἤδη ἀποθανόντας ὑπὲρ οὓς ζῶντας, ὅσοι αὐτοὶ ζῶσιν ἕως τοῦ νῦν. καὶ ἀγαθὸς ὑπὲρ οὐδὲ δύο τούτους, ὃς τις οὔπω ἐγένετο, ὃς οὐκ εἶδε σύμπαν τὸ ποίημα τὸ πονηρὸν τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. καὶ εἶδον ἐγὼ σύμπαντας τὸν μόχθον, καὶ σοὶ τοῦτο πᾶσαν ἀνδρείαν τοῦ ποιήματος, ὅτι τὸ ζῆλος ἀνδρὸς ἀπὸ τοῦ ἑτέρου αὐτοῦ. καὶ γε τοῦτο ματαιότης, καὶ προαίρεσις πνοῦματος. ὁ ἄφρων περιέλαβε τὰς χεῖρας αὐτοῦ, καὶ ἔφαγεν τὰς σαρκὰς αὐτοῦ, ἀγαθὸν ὅτι πλήρωμα δρακὸς ἀναπαύσεως, ὑπὲρ πλήρωματα δύο δρακῶν μόχθου καὶ προαιρέσεως πνεύματος. καὶ ἐπέστρεψα ἐγὼ, καὶ εἶδον ματαιότητα ὑπὸ τὸν ἥλιον. ἔσιν εἷς, καὶ οὐκ ἔσιν δεύτερος, καί γε υἱὸς καὶ γε ἀδελφὸς οὐκ ἔσιν αὐτῷ, καὶ οὐκ ἔστι πέρασμος τοῦ παντὶ μόχθῳ αὐτοῦ. καί γε ὀφθαλμὸς αὐτοῦ οὐκ ἐμπίπλατο πλούτου, καὶ τίνι ἐγὼ μοχθῶ, καὶ κεῖσκω τὴν ψυχήν μου ἀπὸ ἀγαθωσύνης. καί γε τοῦτο ματαιότης καὶ πονηρὸς πόνος ἐστί. ἀγαθοί δύο ὑπὲρ τὸν ἕνα, οἷς ἔσιν αὐτοῖς μισθὸς ἀγαθὸς ἐν μόχθῳ αὐτῶν, ὅτι ἐὰν πέσῃ ὁ εἷς, ὁ ἕτερος ἐγείρει τὸν μέτοχον αὐτοῦ. καὶ οὐαὶ αὐτῷ τοῦ ἑνὸς, ὅταν πέσῃ, καὶ μὴ ἦ δεύτερος τοῦ ἐγεῖραι αὐτόν. καί γε ἐὰν κοιμηθῶσι δύο, καὶ θέρμη αὐτοῖς, καὶ ὁ εἷς πῶς θερμανθῇ; καὶ ἐὰν ἰσχύσῃ ὁ εἷς, καὶ οἱ δύο στήσονται κατὰ πρόσωπον αὐτοῦ, καὶ τὸ σπαρτίον τὸ ἐντετορον οὐ ταχέως ἀποῤῥαγήσεται. ἀγαθὸς πάῖς πτωχὸς καὶ σοφὸς, ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα, ὃς οὐκ ἔγνω τοῦ προσέχειν ἔτι, ὅτι ἐξ οἴκου τῶν δεσμῶν ἐξελεύσεται τοῦ βασιλεῦσαι, ὅτι καί γε ἐν βασιλείᾳ αὐτοῦ ἐγεννήθη πτωχός. εἶδον σύμπαντας τοὺς ζῶντας τοὺς περιπατοῦντας ὑπὸ τὸν ἥλιον, μετὰ τοῦ νεανίσκου τοῦ δεύτερου, ὃς στήσεται αὐτ' αὐτοῦ. οὐκ ἔστι πέρασμος τοῦ παντὶ λαῷ τοῖς πᾶσιν, ὅσοι ἐγένοντο ἔμπροσθεν αὐτοῦ. καί γε οἱ ἔσχατοι οὐκ ὑφραινθήσονται ἐν αὐτῷ τοῦ, ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. φύλαξον τὸν πόδα σε ἐν τῷ σε εἰς οἶκον τοῦ θεοῦ, καὶ ἐγγὺς τοῦ ἀκοῦσαι ὑπὲρ θύμα τῶν ἀφρόνων θυσία σε, ὅτι οὐκ εἰσὶν εἰδότες τοῦ ποιῆσαι κακόν.

ΚΕΦΑΛ. ε'. 5.

Μὴ σπεύσῃς τῷ στόματί σου, καὶ καρδία σου μὴ ταχυνέτω, τοῦ ἐξενέγκαι λόγον κατὰ πρόσωπον τοῦ θεοῦ. ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κάτω, διὰ τοῦτο ἔστωσαν οἱ λόγοι σου ὀλίγοι. ὅτι παραγίνεται ἐνύπνιον ἐν πλήθει περισπασμοῦ, καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων. καθὼς ἂν εὔξῃ εὐχὴν τῷ θεῷ, μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν, οὐκ ἔσιν ἐν ἀφροσύνῃ θέλημα. σὺ δὲ ἐὰν εὔξῃ ἀπόδου, ἀγαθὸν τὸ μὴ εὔξασθαί σε, ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι. μὴ δίδου τὸ στόμα σου τοῦ ἁμαρτεῖν τὴν σάρκα σου, καὶ μὴ εἴπῃς πρὸ προσώπου θεοῦ, ὅτι ἄγνοια ἐστίν, ἵνα μὴ ὀργισθῇ ὁ θεὸς διὰ φωνήν σε, καὶ διαφθείρῃ τὰ ποιήματα τῶν χειρῶν σε. ὅτι ἐν πλήθει ἐνύπνια, καὶ ματαιότητες, καὶ λόγοι πολλοί, σὺ τὸν θεὸν φοβοῦ. ἐὰν συκοφαντίαν πτωχοῦ, καὶ ἁρπαγὴν κρίματος καὶ δικαιοσύνης ἴδῃς ἐν χώρᾳ, μὴ θαυμάσῃς διὰ τοῦ πράγματος, ὅτι ὑψηλὸς ἐπάνω ὑψηλοῦ φυλάξεται, καὶ ὑψηλοὶ ἐπ' αὐτοῖς, καὶ περισσεία γῆς, διὰ παντὸς βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου. ἀγαπῶν ἀργύριον, οὐ πλησθήσεται ἀργυρίου. καὶ τίς ἠγάπησεν ἐν πλήθει αὐτῶν γρήματα, καί γε τοῦτο ματαιότης. ἐν πλήθει ἀγαθωσύνης ἐπληθύνθησαν οἱ ἔδοντες αὐτόν. καὶ τί αὐτοῖς τοῦ πλὴν αὐτῶν; ὅτι ἀρχὴ τοῦ ὁρᾶν ὀφθαλμοῖς αὐτοῦ. γλυκὺς ὕπνος τοῦ δούλου, εἰ ὀλίγον καὶ πολὺ φάγεται, καὶ τοῦ ἐμπλησθῆναι τοῦ πλουσίου, ὃς οὐκ ἔσιν ἀφίησιν αὐτῷ τὸ κορεσθῆναι. ἔσιν ἀῤῥωστία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, πλοῦτον φυλασσόμενον τοῦ παρ' αὐτοῦ εἰς κακίαν αὐτοῦ. καὶ ἀπόλεται ὁ πλοῦτος ἐκεῖνος ἐν πονηρίᾳ πονηρᾷ, καὶ ἐγέννησεν υἱόν, καὶ οὐκ ἔσται ἐν χειρὶ αὐτοῦ οὐδέν. καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός, ὡς ἐπέστρεψε τοῦ πορεύθῆναι ὡς ἦκεν. καὶ οὐδὲν οὐ λήψεται ἐν μόχθῳ αὐτοῦ, ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ. καί γε τοῦτο πονηρὰ ἀῤῥωστία. ὡσαύτως γὰρ παρεγένετο, οὕτως καὶ ἀπελεύσεται. καὶ τίς ἡ περισσεία αὐτοῦ ᾧ μοχθεῖ εἰς ἄνεμον; καί γε πάσας τὰς ἡμέρας αὐτοῦ ἐν σκότει, καὶ ἐν πτώσει, καὶ θυμῷ πολλῷ, καὶ ἀῤῥωσίᾳ, καὶ χόλῳ. ἰδοὺ εἶδον ἐγὼ ἀγαθὸν ὃ ὅτι καλόν, τοῦ φαγεῖν καὶ τοῦ πιεῖν, καὶ τοῦ ἰδεῖν ἀγαθωσύνην ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ ἐὰν μοχθήσῃ ὑπὸ τὸν ἥλιον. ἀριθμὸν ἡμερῶν ζωῆς αὐτοῦ, ᾧ ἔδωκεν αὐτῷ ὁ θεός, ὅτι αὐτὸ μερὶς αὐτοῦ. καί γε πᾶς ἄνθρωπος ᾧ ἔδωκεν αὐτῷ ὁ θεὸς πλοῦτον καὶ ὑπάρχοντα, καὶ ἐξουσίασεν αὐτὸν τοῦ φαγεῖν ἀπ' αὐτῶν, καὶ λαβεῖν τὸ μέρος αὐτοῦ, καὶ τοῦ ὑφραινθῆναι ἐν μόχθῳ αὐτοῦ, τοῦτο δόμα θεοῦ ἐστιν,

ὄση, ὅτι ἐ πολλὰ μνησθήσεται τὰς ἡμέρας τῆ ζωῆς αὐτῦ, ὅτι ὁ θεὸς περιισπᾶ αὐτὸν γὲ διφρεσιώνη καρδίας αὐτῦ.

ΚΕΦΑΛ. ε'. 6.

Ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, καὶ πολλὴ ὄση ὑπὸ τὸν ἄνθρωπον. ἀνὴρ ᾧ δέδωκεν αὐτῆ ὁ θεὸς πλοῦτον, καὶ ὑπάρχοντα, καὶ δόξαν, καὶ οὐκ ἔστι ὑστερῶν τῆ ψυχῆ αὐτοῦ ἀπὸ παντὸς ὧν ἐπιθυμήσει, καὶ οὐκ ἐξουσιάσει αὐτῆ ὁ θεὸς τοῦ φαγεῖν ἀπ' αὐτῶν, ὅτι ἄνθρωπος ξένος καταφαγέται αὐτόν. καὶ γε τοῦτο ματαιότης καὶ ἀῤῥωστία πονηρά ὄση. ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν ἔτη, καὶ πολλὰ ζήσεται, καὶ πλῆθος ὅτι ἔσονται αἱ ἡμέραι ἐτῶν αὐτῦ, καὶ ἡ ψυχὴ αὐτῦ, οὐκ ἐμπλησθήσεται ἀπὸ τῆ ἀγαθοσύνης. καὶ γε ταφὴ οὐκ ἐγνώρισε αὐτῆ. εἶπα, ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα. ὅτι γὲ ματαιότητι ἦλθε, καὶ γὲ σκότει πορεύσεται, καὶ γὲ σκότει ὄνομα αὐτῦ καλυφθήσεται. καὶ γε ἥλιον οὐκ εἶδε, καὶ οὐκ ἔγνω ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον, καὶ εἰ ζήσῃ χιλιέτη καὶ δίς, καὶ ἀγαθοσύνην οὐκ εἶδε. μὴ οὐχὶ εἰς τόπον ἕνα πορεύσεται τὰ πάντα; πᾶς μόχθος τῦ ἀνθρώπου εἰς στόμα αὐτῦ, καὶ γε ἡ ψυχὴ οὐ πληρωθήσεται. ὅτι τί περισσεία τῆ σοφῶ ὑπὲρ τὸν ἄφρονα, πλὴν ὁ πτωχὸς οἶδε πορεύθηναι κατέναντι τῆς ζωῆς. ἀγαθὸν ὅραμα ὀφθαλμῶν ὑπὲρ πορεύομενον ψυχῆ. καὶ γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. ἔτι ἐγνώρισε ἤδη εἰκληθησαν ὄνομα αὐτῦ, καὶ ἐγνώσθη ὁ ὄση ἄνθρωπος, καὶ οὐ δυνήσεται κριθῆναι μετὰ τοῦ ἰσχυροτέρου ὑπὲρ αὐτόν. ὅτι εἰσὶν λόγοι πολλοὶ πληθύνοντες ματαιότητα.

ΚΕΦΑΛ. ζ'. 7.

Τί περισσὸν τῆ ἀνθρώπῳ, ὅτι τίς οἶδεν ἀγαθὸν τῆ ἀνθρώπῳ ἐν τῇ ζωῇ; ἀριθμὸν ζωῆς ἡμερῶν ματαιότητος αὐτοῦ; καὶ ἐποίησεν αὐτὰ ὡς σκιά, ὅτι τίς ἀπαγγελεῖ τῆ ἀνθρώπῳ, τί ἔσαι ὀπίσω αὐτῦ ὑπὸ τὸν ἥλιον; ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν, καὶ ἡμέρα τοῦ θανάτου ὑπὲρ ἡμέραν γενέσεως. ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ ὅτι πορευθῆναι εἰς οἶκον πότου. καθότι τοῦτο τέλος παντὸς ἀνθρώπου, καὶ ὁ ζῶν δώσει ἀγαθὸν εἰς καρδίαν αὐτοῦ. ἀγαθὸς θυμὸς ὑπὲρ γέλωτα, ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία. καρδία σοφῶν ἐν οἴκῳ πένθους, καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης. ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ, ὑπὲρ ἄνδρα ἀκούοντα ᾄσματα ἀφρόνων. ὡς φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως γέλως τῶν ἀφρόνων. καὶ γε τοῦτο ματαιότης. ὅτι ἡ συκοφαντία πορεύεται σοφόν, καὶ ἀπολεῖ τὴν καρδίαν δύναμεως αὐτοῦ. ἀγαθὴ ἐσχάτη λόγου ὑπὲρ ἀρχὴν αὐτοῦ, ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψηλὸν πνεύματι. μὴ σπεύσῃς τῷ πνεύματί σου τοῦ θυμοῦσθαι, ὅτι θυμὸς ἐν κόλπῳ ἀφρόνων ἀναπαύσεται. μὴ ἐρεῖς τί ἐγένετο, ὅτι αἱ ἡμέραι αἱ πρότεραι ἦσαν ἀγαθαὶ ὑπὲρ ταύτας, ὅτι οὐκ ἐν σοφίᾳ ἐπηρώτησας περὶ τούτου. ἀγαθὴ σοφία μετὰ κληρονομίας, καὶ περισσεία τοῖς θεωροῦσιν τὸν ἥλιον. ὅτι ἐν σκιᾷ αὐτῆ ἡ σοφία ὡς σκιὰ ἀργυρίου, καὶ περισσεία γνώσεως ἡ σοφίας ἡ σοφία ζωοποιήσει τὸν παρ' αὐτῆ. ἴδε τὰ ποιήματα τοῦ θεοῦ, ὅτι τίς δυνήσεται τοῦ κοσμῆσαι ὃν αὐτὸ ὁ θεὸς διέστρεψε; ἐν ἡμέρᾳ ἀγαθωσύνης αὐτοῦ ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας. ἴδε καὶ γε σὺ τοῦτο σύμφωνον τούτῳ ὅτι ἐποίησεν ὁ θεὸς πρὸς λαλιᾶς, ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτῆ οὐδέν. σύμπαντα εἶδον ἐν ἡμέραις ματαιότητός μου. ὅτι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτῦ, καὶ ὅσιος ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ. μὴ γίνου δίκαιος σφόδρα, μηδὲ σοφίζου περισσά. μὴ ποτε ἐκπλαγῇς. καὶ μὴ ἀσεβήσῃς σφόδρα, καὶ μὴ γίνου σκληρός, μήποτε ἀποθάνῃς ἐν οὐ καιρῷ σου. ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ, καί γε ἀπὸ τούτου μὴ ἀνῇς τὴν χεῖρά σου. ὅτι φοβούμενος τὸν θεὸν ἐξελεύσεται τὰ πάντα. ἡ σοφία βοηθήσει τῆ σοφῷ ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ὄντας ἐν τῇ πόλει. ὅτι ἄνθρωπος οὐκ ἔστι δίκαιος ἐν τῇ γῇ, ὃς ποιήσει ἀγαθόν, καὶ οὐχ ἁμαρτήσεται. καί γε εἰς πάντας τοὺς λόγους οὓς λαλήσουσι ἀσεβεῖς, μὴ θῇς καρδίαν σου, ὅπως μὴ ἀκούσῃς τὸν δούλου σου καταρωμένου σε. ὅτι πλειστάκις πονηρεύσεταί σε, καὶ καθότι πολλὰς κακώσει καρδίαν σου, ὅπως καί γε σὺ κατηράσω ἑτέρους πολλούς. πάντα ταῦτα ἐπείρασα ἐν τῇ σοφίᾳ. εἶπα, σοφισθήσομαι, καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν, καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτό; ἐκύκλωσα ἐγὼ καὶ ἡ καρδία μου τοῦ γνῶναι, καὶ τοῦ κατασκέψασθαι, καὶ τοῦ ζητῆσαι σοφίαν καὶ ψῆφον, καὶ τοῦ γνῶναι ἀσεβοῦς ἀφροσύνην, καὶ σκληρίαν, καὶ πορίφορον. καὶ εὑρίσκω ἐγὼ αὐτὸ πικρότερον ὑπὲρ θάνατον, σὺ τὴν γυναῖκα ἥτις ὅτι θήραμα, καὶ ἁγνὴ καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς. ἀγαθὸς πρὸ προσώπου υἱοῦ θεοῦ ἐξαρθήσεται ἀπ' αὐτῆς, καὶ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῆ. ἴδε τοῦτο εὗρον, εἶπεν ὁ ἐκκλησιαστής. μία τῆ μιᾷ τοῦ εὑρεῖν λογισμὸν ὃν ἐπεζήτησεν ἡ ψυχή μου, καὶ οὐχ εὗρον. καὶ ἄνθρωπον ἕνα ἐκ χιλίων εὗρον, καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐκ εὗρον. πλὴν ἴδε τοῦτο εὗρον ὃ ἐποίησεν ὁ θεός, σὺν τὸν ἄνθρωπον ὀρθόν, καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς, τίς οἶδεν σοφίαν, καὶ τίς οἶδεν λύσιν ῥήματος;

Κεφάλ.

ΚΕΦΑΛ. η'. 8.

Σοφία ἀνθρώπου φωτεῖ πρόσωπον αὐτοῦ, καὶ ἀναλλὶς προσώπῳ αὐτοῦ μισηθήσεται. σὰρξ βασιλέως φύλαξον, καὶ περὶ λόγους ὅρκου θεοῦ μὴ ταραχθῇς, ἀπὸ προσώπου αὐτοῦ πορεύου. μὴ σῇς ἐν λόγῳ πονηρῷ, ὅτι ὃ ἐὰν θελήσῃ ποιήσει, καθὼς βασιλέως ἐξουσιάζων, καὶ τίς ὀρεῖ αὐτῷ· τί ποιήσεις, ὁ φυλάσσων ἐντολὴν οὐ γνώσεται ῥῆμα πονηρόν, καὶ καιρὸν κρίσεως γινώσκει καρδία σοφοῦ· ὅτι ἐν παντὶ πράγματι ἔστι καιρὸς κρίσεως, ὅτι γνῶσις τοῦ ἀνθρώπου ἐπὶ πολλὰ ἐπ' αὐτόν. ὅτι οὐκ ἔστιν γινώσκων τί τὸ ἐσόμενον, ὅτι καθὼς ἔσται τίς ἀναγγελεῖ αὐτό; οὐκ ἔστιν ἄνθρωπος ἐξουσιάζων ἐν πνεύματι, τοῦ κωλῦσαι σὺν τὸ πνεῦμα. καὶ οὐκ ἔστιν ἐξουσιάζων ἐν ἡμέρᾳ θανάτου. καὶ οὐκ ἔστιν ἀποστολὴ ἐν ἡμέρᾳ πολέμου. καὶ οὐ σῴσει ἀσέβεια τὸν παρ' αὐτῇ. καὶ σύμπαντα τοῦτο εἶδον, καὶ ἔδωκα τὴν καρδίαν μου εἰς πᾶν τὸ ποίημα, ὃ πεποίηται ὑπὸ τὸν ἥλιον, πάντα ὅσα ἐξουσιάσατο ὁ ἄνθρωπος ἐν ἀνθρώπῳ τοῦ κακῶσαι αὐτόν. καὶ τότε εἶδον ἀσεβεῖς εἰς τάφους εἰσπορευόμενοι, καὶ ἐκ τοῦ ἁγίου. καὶ ἐπορεύθησαν, καὶ ἐπῃνέθησαν ἐν τῇ πόλει, ὅτι οὕτως ἐποίησαν. καὶ γὰρ τοῦτο ματαιότης· ὅτι οὐκ ἔστιν γινομένη ἀντίῤῥησις, ἀπὸ τῶν ποιούντων τὸ πονηρὸν τάχυ. διὰ τοῦτο ἐπληροφορήθη καρδία υἱῶν τοῦ ἀνθρώπου, ἐν αὐτοῖς τοῦ ποιῆσαι τὸ πονηρόν. ὃς ἥμαρτεν ἐποίησεν τὸ πονηρόν, ἀπὸ τότε καὶ ἀπὸ μακρότητος αὐτῶν. ὅτι καὶ γινώσκων ἐγὼ ὅτι ἔστιν ἀγαθὸν τοῖς φοβουμένοις τὸν θεόν, ὅπως φοβῶνται ἀπὸ προσώπου αὐτοῦ. καὶ ἀγαθὸν οὐκ ἔσται τῷ ἀσεβεῖ, καὶ οὐ μακρυνεῖ ἡμέρας ἐν σκιᾷ, ὃς οὐκ ἔστι φοβούμενος ἀπὸ προσώπου τοῦ θεοῦ. ἔστι ματαιότης ἣ πεποίηται ὑπὸ τὴν γῆς, ὅτι εἰσὶ δίκαιοι, ὅτι φθάνει ἐπ' αὐτοὺς ὡς ποίημα τῶν ἀσεβῶν. καὶ εἰσὶν ἀσεβεῖς ὅτι φθάνει ἐπ' αὐτοὺς, ὡς ποίημα τῶν δικαίων. εἶπα, ὅτι καὶ γε τοῦτο ματαιότης. καὶ ἐπῄνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην, ὅτι οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ ὑπὸ τὸν ἥλιον, ὅτι εἰ μὴ τοῦ φαγεῖν καὶ τοῦ πιεῖν, καὶ τοῦ εὐφρανθῆναι, καὶ αὐτὸ συμπορεύεται αὐτῷ ἐν μόχθῳ αὐτοῦ. ἡμέρας ζωῆς αὐτοῦ, ἃς ἔδωκεν αὐτῷ ὁ θεὸς ὑπὸ τὸν ἥλιον, ἐν οἷς ἔδωκα τὴν καρδίαν μου τοῦ γνῶναι τὴν σοφίαν, καὶ τοῦ ἰδεῖν τὸν περισπασμὸν πεποιημένον ἐπὶ τῆς γῆς, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὕπνον ὀφθαλμοῖς αὐτοῦ οὐκ ἔστιν βλέπων. καὶ εἶδον σύμπαντα τὰ ποιήματα τοῦ θεοῦ, ὅτι οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν σὺν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ εὑρεῖν, καὶ οὐχ εὑρήσει. καὶ γε ὅσα ἂν εἴπῃ σοφὸς τοῦ γνῶναι, οὐ δυνήσεται τοῦ εὑρεῖν, ὅτι σύμπαν τοῦτο ἔδωκα εἰς καρδίαν μου, καὶ καρδία μου σύμπαν εἶδε τοῦτο.

ΚΕΦΑΛ. θ'. 9.

Ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ, καὶ αἱ ὀργασίαι αὐτῶν ἐν χειρὶ τοῦ θεοῦ. καὶ γε ἀγάπη καὶ γε μῖσος, οὐκ ἔστιν ὁ ἄνθρωπος εἰδώς, τὰ πάντα πρὸ προσώπου αὐτῶν. ματαιότης ἐν τοῖς πᾶσιν. συναπάντημα ἓν τῷ δικαίῳ, καὶ τῷ ἀσεβεῖ, τοῖς ἀγαθοῖς καὶ τοῖς καθαροῖς καὶ τοῖς ἀκαθάρτοις, καὶ τοῖς θυσιάζουσι καὶ τοῖς μὴ θυσιάζουσι. καὶ ὡς ὁ ἀγαθὸς, ὡς ὁ ἁμαρτάνων, ὡς ὁ ὀμνύων, καθὼς ὁ τὸν ὅρκον φοβούμενος. τοῦτο πονηρὸν ἐν πᾶσι πεποιημένον ὑπὸ τὸν ἥλιον, ὅτι συναπάντημα ἓν τοῖς πᾶσιν, καὶ γε καρδίαν υἱῶν τοῦ ἀνθρώπου ἐπληρώθη πονηροῦ, καὶ πορεία ἐν καρδίᾳ αὐτῶν, καὶ ἐν ζωῇ αὐτῶν, καὶ ὀπίσω αὐτῶν πρὸς τοὺς νεκρούς. ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τοὺς ζῶντας; ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν λέοντα τὸν νεκρόν· ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται, καὶ οἱ νεκροὶ οὐκ οἴδασι γινώσκοντες οὐδέν. καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μισθός, ὅτι ἐπελήσθη ἡ μνήμη αὐτῶν, καὶ γε ἀγάπη αὐτῶν, καὶ γε μῖσος αὐτῶν, καὶ γε ζῆλος αὐτῶν ἤδη ἀπόλωλε. καὶ γε μερὶς οὐκ ἔστιν αὐτοῖς ἔτι εἰς τὸν αἰῶνα ἐν πάντι τοῦ πεποιημένῳ ὑπὸ τὸν ἥλιον. πορεύου φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτόν σου, καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἶνόν σου, ὅτι ἤδη εὐδόκησεν ὁ θεὸς τὰ ποιήματά σου. ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λευκά, καὶ ἔλαιον ἐπὶ κεφαλῆς σου μὴ σπανισάτω. καὶ ἴδε ζωὴν μετὰ γυναικὸς ἣν ἠγάπησας πάσας τὰς ἡμέρας ζωῆς ματαιότητός σου, τὰς ματαιώσεώς σοι ὑπὸ τὸν ἥλιον, πάσας τὰς ἡμέρας ματαιότητός σου. ὅτι αὐτὸ μερίς σου ἐν τῇ ζωῇ σου, καὶ ἐν τῷ μόχθῳ σου, ᾧ σὺ μοχθεῖς ὑπὸ τὸν ἥλιον, πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὡς ἡ δυνάμις σου ποίησον. ὅτι οὐκ ἔστιν ποίημα, καὶ λογισμὸς, καὶ γνῶσις, καὶ σοφία ἐν ᾅδῃ, ὅπου συμπορεύῃ ἐκεῖ. ἐπέστρεψα καὶ εἶδον ὑπὸ τὸν ἥλιον, ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος, καὶ οὐ τοῖς δυνατοῖς πόλεμος, καὶ γε οὐ τοῖς σοφοῖς ἄρτος, καὶ γε οὐ τοῖς συνετοῖς ὁ πλοῦτος, καὶ γε οὐ τοῖς γινώσκουσιν ἡ χάρις· ὅτι καιρὸς, καὶ ἀπάντημα συναντήσεται τοῖς συμπάσιν αὐτοῖς. ὅτι καὶ γε καὶ οὐκ ἔγνω ὁ ἄνθρωπος τὸν καιρὸν αὐτοῦ, ὡς οἱ ἰχθῦς οἱ συνδυόμενοι ἐν ἀμφιβλήστρῳ κακῷ, καὶ ὡς ὄρνεα τὰ συνδυόμενα ἐν παγίδι, ὡς αὐτὰ παγιδεύονται οἱ υἱοὶ τοῦ ἀνθρώπου εἰς καιρὸν πονηρὸν, ὅταν ἐπιπέσῃ ἐπ' αὐτοὺς ἄφνω. καὶ γε τοῦτο εἶδον σοφίαν ὑπὸ τὸν ἥλιον, καὶ μεγάλη ἐστὶ πρός με πόλις μικρὰ, καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι, καὶ ἦλθεν ἐπ' αὐτὴν βασιλεὺς μέγας, καὶ κυκλώσει

λυκλώσει αὐτ̃, καὶ οἰκοδομήσει ἐπ' αὐτὸν χαράκας μεγάλας, καὶ εὗρεν ἐν αὐτῇ ἄνδρα πένητα σοφόν, καὶ διασώσῃ αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτ̃. καὶ ἄνθρωπος οὐκ ἐμνήσθη σωτ̃ ἀνδρὸς τοῦ πενήτος ἐκείνου, καὶ εἶπα ἐγὼ ἀγαθὴ σοφία ὑπὲρ δύναμιν, καὶ σοφία τοῦ πενήτος ἐξουδενωμένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουσμένοι. λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται, ὑπὲρ βοὴν ἐν ἐξουσιάζοντος ἐν ἀφροσύνῃ. ἀγαθὴ σοφία ὑπὲρ σκεύη πολέμου, καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλήν.

ΚΕΦΑΛ. ί. 10.

Μύια θανατοῦσαι, σαπριοῦσι σκευασίαν ἐλαίου ἡδύσματος. τίμιον ὀλίγον σοφίας ὑπὲρ δόξαν ἀφροσύνης μεγάλης, καρδία σοφοῦ εἰς δεξιὸν αὐτοῦ, καὶ καρδία ἄφρονος εἰς ἀριστερὸν αὐτοῦ. καί γε ἐν ὁδῷ ὅτ' ἂν ἄφρων πορεύηται, καρδία αὐτοῦ ὑστερήσει, καὶ εἶπε λογιεῖται πάντα ἀφροσύνη ὄντι. ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σε, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, ὡς ἀπὸ προσώπου ἐξουσιάζοντος. ἐδόθη ὁ ἄφρων ἐν ὑψεσι μεγάλοις, καὶ πλούσιοι ἐν ταπεινῷ καθίσονται. ἔδωκα δούλους ἐφ' ἵππους, καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς. ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται. καὶ καθαιρῶν φραγμόν, δήξεται αὐτὸν ὄφις. ἐξαίρων λίθους δλαπονηθήσεται ἐν αὐτοῖς, σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς. ἐὰν ἐκπέσῃ τὸ σιδήριον, καὶ αὐτὸς πρόσωπον ἐτάραξεν. καὶ δυνάμεις δυναμώσει, καὶ πολυοσία τοῦ ἀνδρὸς σοφία. ἐὰν δάκνῃ ὄφις ἐν ὀψιθυρισμῷ, καὶ οὐκ ἔστι πολυοσία τοῦ ἐπᾴδοντος. λόγοι στόματος σοφοῦ χάρις, καὶ χείλη ἄφρονος καταπονήσουσιν αὐτόν. ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη, καὶ ἔσχατη στόματος αὐτοῦ πονηρὰ διαφθορά. ὁ ἄφρων πληθύνει λόγους. οὐκ ἔγνω ὁ ἄνθρωπος τί τὸ γενησόμενον, καὶ τί τὸ ἐσόμενον, τί ὀπίσω αὐτοῦ, καὶ τίς ἀναγγελεῖ αὐτῷ; μόχθος τῶν ἀφρόνων κοπώσει αὐτὸν, ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν. ταί σοι πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος, καὶ οἱ ἄρχοντές σου πρωΐας ἐσθίουσιν. μακαρία γῆ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρων, καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει, καὶ οὐκ ἀσχημονήσουσι. ἐν ὀκνηρίαις πεπονθήσεται ἡ δόκωσις, καὶ ἐν ἀργίᾳ χειρῶν σαγήσεται ἡ οἰκία. εἰς γέλωτα ποιοῦσιν ἄρτον, καὶ οἶνον καὶ ἔλαιον, τοῦ εὐφρανθῆναι ζῶντας, καὶ ἐν ἀργυρίῳ ὑπακούσεται τὰ πάντα. καί γε ἐν συνειδήσει σου μὴ καταράσῃ πλούσιον, μηδὲ βασιλέα, καὶ ἐν ταμείοις κοιτώνων σου μὴ καταράσῃ πλούσιον, ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει τὴν φωνήν σου, καὶ ὁ ἔχων τὰς πτέρυγας ἀπαγγελεῖ λόγον σου.

ΚΕΦΑΛ. ια'. 11.

Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν. δὸς μερίδα τοῖς ἑπτά, καί γε τοῖς ὀκτώ, ὅτι οὐ γινώσκεις τί ἔσται πονηρὸν ἐπὶ γῆς. ἐὰν πληρωθῶσι τὰ νέφη ὑετοῦ, ἐπὶ τὴν γῆν ἐκχέουσιν. καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ, καὶ ἐὰν ἐν τῷ βορρᾷ τόπῳ, οὗ πέσῃται τὸ ξύλον ἐκεῖ ἔσται. τηρῶν ἄνεμον, οὐ σπερεῖ, καὶ βλέπων ἐν ταῖς νεφέλαις οὐ θερίσει, ἐν οἷς οὐκ ἔστι γινώσκων τὴν ὁδὸν τοῦ πνεύματος, ὡς ὀστᾶ ἐν γαστρὶ ἐν κυοφορούσης, οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ θεοῦ, ὅσα ποιήσει τὰ σύμπαντα. ἐν τῷ πρωΐ σπεῖρον τὸ σπέρμα σου, καὶ ἐν ἑσπέρᾳ μὴ ἀνιέτω ἡ χείρ σου, ὅτι οὐ γινώσκεις ποῖον ἑτοιμήσει τοῦτο ἢ τοῦτο. καὶ ἐὰν τὰ δύο ὁμοίως τὰ ἀγαθὰ καὶ γλυκὺ τὸ φῶς, καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς τοῦ βλέπειν σὲ τὸν ἥλιον. ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ ἄνθρωπος, ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται, καὶ μνησθήσονται τὰς ἡμέρας τοῦ σκότους, ὅτι πολλαὶ ἔσονται. πᾶν τὸ ἐρχόμενον ματαιότης. εὐφραίνου νεανίσκε ἐν νεότητί σου, καὶ ἀγαθυνέτω σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου, καὶ πορεύου ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καὶ μὴ ἐν ὁράσει ὀφθαλμῶν σου, καὶ γνῶσι ὅτι ὑπὲρ πάσι τούτοις ἄξει σε ὁ θεὸς εἰς κρίσιν. καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου, ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης.

ΚΕΦΑΛ. ιβ'. 12.

Καὶ μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός σου, ἕως ὅτου μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας σου, καὶ φθάσωσιν ἔτη ἐν οἷς ὀρεῖς, οὐκ ἔστι μοι ἐν αὐτοῖς θέλημα. ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς, καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, καὶ ἐπιστρέψουσι τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ ἐν ἡμέρᾳ, ᾗ ἐὰν σαλευθῶσι φύλακες τῆς οἰκίας, καὶ διαστραφῶσι ἄνδρες τῆς δυνάμεως, καὶ ἔργησαν αἱ ἀλήθουσαι ὅτι ὀλιγώθησαν. καὶ σκοτάσουσι αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς, καὶ κλείσουσι θύρας ἐν ἀγορᾷ ἐν ἀδυνάτῳ φωνῆς τῆς ἀλησούσης, καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου, καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος. καί γε ἀπὸ ὑψους ὄψονται, καὶ θάμβος ἐν τῇ ὁδῷ, καὶ ἀνθήσει ἡ ἀμύγδαλον, καὶ παχυνθῇ ἡ ἀκρίς. καὶ διασκεδασθῇ ἡ ἐπιπαρείς, ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ, καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι, ἕως ὅτου μὴ ἀπατραπῇ ὁ χαλινὸς τοῦ ἀργυρίου, καὶ σωτρισθῇ ὁ ἀνθέμιον

τοῦ

τῦ χρυσίν. σωὴ προιβῆ ἡ ὑμφίη ὠδῆ τῶν πωγῶν, καὶ σωπροχωσει ὁ προχὸς ὠδῆ τὸν λάκκον, καὶ ὠπερίψηται ὁ χᾶς ὠδῆ τῶν γῶν ὡς ὧν, καὶ τὸ ὠνόμα ὠπερίψει πᾶς τὸν θεὸν ὃς ἐλωκεν αὐτό. ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστής, τὰ πάντα ματαιότης καὶ πόνος ὁ ὅτι ἐγένετο ἐκκλησιαστὴς σοφὸς, καὶ ὅτι ἐδίδαξε γνῶσιν* σωὴ τὸν ἄνθρωπον, καὶ οὖς ἐζήτησε καὶ ἐσόμισεν παραβολῶν. πολλὰ ἐζήτησεν ἐκκλησιαστὴς, τῦ εὑρεῖν λόγους θελήματος, καὶ γεγραμμένον σύνθυτον λόγους ἀληθείας. λόγοι σοφῶν, ὡς τὰ βούκεντρα, καὶ ὡς ἧλοι πεπερωμένοι, οἱ παρὰ τῶν σωθημάτων ἐδόθησαν, ἐκ ποιμένος ἑνός, καὶ πόνος ὁ ἐζ αὐτῶν. ὧν μου φυλάσσε βιβλίε ποιῆσαι πολλὰ, οὐκέτι πόρασμος, καὶ μελέτη πολλὴ κόπωσις σαρκός. τέλος λόγε· τὸ πᾶν ἄκυε. τὸν θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτῦ φύλασσε, ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος, ὅτι σύμπαν τὸ ποίημα ὁ θεὸς ἄξει ἐν κρίσει, ἐν παντὶ παρεωραμένῳ, εἰ τε ἀγαθὸν καὶ εἰ τε πονηρόν.

Τέλος τῦ ἐκκλησιαστοῦ.

Ἐν τῷ ἐκκλησιαστῇ τελείαν, ὡς ἂν μεγάλοις καὶ τελείοις,
παρατίθησι τὴν ὀδὲ ασκαλίαν.

ΤΑ ΠΡΟΣΩΠΑ ΤΟΥ ΒΙΒΛΙΟΥ

ΤΟΥ ΑΣΜΑΤΟΣ, ΝΗΜΦΙΟΣ Ο ΚΥΡΙΟΣ ΗΜΩΝ,

νύμφη ἡ ἐκκλησία, φίλοι τῦ νυμφίε ἄγγελοι καὶ ἅγιοι, νεανίσθε αἱ τῆς ἐκκλησίας ἀκόλουθοι.

ΑΣΜΑ ΑΣΜΑΤΩΝ, Ο ΕΣΤΙ ΣΑΛΟΜΩΝ.

ΚΕΦΑΛ. α'. 1.

Φιλησάτω με ἀπὸ φιλημάτων σόματος αὐτῦ, ὅτι ἀγαθοί μασοί σου ὑπὲρ οἶνον, καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. μύρον ἐκκενωθὲν ὄνομά σου, διὰ τῦτο νεανίσθε ἠγάπησάν σε, εἵλκυσάν σε. ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν. εἰσήνεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτῦ, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί. ἀγαπήσωμεν μασούς σου ὑπὲρ οἶνον. εὐθύτης ἠγάπησέ σε. μέλαινα εἰμὶ ἐγὼ, καὶ καλὴ, θυγατέρες ἰερουσαλήμ, ὡς σκηνώματα κηδὰρ, ὡς δέρρεις σαλωμῶν. μὴ βλέψητέ με, ὅτι ἐγώ εἰμι μελανομένη, ὅτι παρέβλεψέν με ὁ ἥλιος. υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί, ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν, ἀμπελῶνα τὸν ἐμὸν ἐφύλαξα. ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή μου, ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ; μήποτε γένωμαι ὡσεὶ περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου. ἐὰν μὴ γνῶς σαυτὴν ὦ καλὴ ἐν γυναιξὶν, ἔξελθε σὺ ἐν πέρναις τῶν ποιμνίων, καὶ ποίμαινε τὰς ὄρφνος σου ὑπὲρ σκηνώμασι τῶν ποιμένων. τῇ ἵππῳ μου ἐν ἅρμασι φαραὼ, ὡμοίωσά σε ἡ πλησίον μου. τί; ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος, τράχηλός σου ὡς ὁρμίσκοι. ὁμοιώματα χρυσία ποιήσομέν σοι, μετὰ σιγμάτων τῦ ἀργυρίου. ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτῦ. νάρδος μου ἔδωκεν ὀσμὴν αὐτῦ, ἀπόδεσμός μυρρας ὁ ἀδελφιδός μου. ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται. βότρυς ὁ κύπρος ἀδελφιδός μου ἐμοὶ ἐν ἀμπελῶνι ἐν γαδδί. ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ εἶ καλὴ. ὀφθαλμοί σου περιστεραί. ἰδοὺ εἶ καλὸς ἀδελφιδός μου, καὶ γε ὡραῖος· κλίνη ἡμῶν σύσκιος, δοκοὶ ἡμῶν κέδροι, φατνώματα ἡμῶν κυπαρίσσινοι.

ΚΕΦΑΛ. β'. 2.

Ἐγὼ ἄνθος τῦ πεδίου, κρίνον τῶν κοιλάδων. ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων. ὡς μῆλον ἐν τοῖς ξύλοις τῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν. ἐν τῇ σκιᾷ αὐτῦ ἐπεθύμησα, καὶ ἐκάθισα, καὶ καρπὸς αὐτῦ γλυκὺς ἐν λάρυγγί μου. εἰσαγάγετέ με εἰς οἶκον τῦ οἴνου, τάξατε ἐπ' ἐμὲ ἀγάπην, στρίζατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ. θυώνυμος αὐτῦ ὑπὸ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λευκαλιὰ μου, καὶ ἡ ἀλεκτὼρ αὐτοῦ πολιήτεταί με. ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως οὗ θελήσῃ. φωνὴ τοῦ ἀδελφιδοῦ μου, ἰδοὺ οὗτος ἥκει πηδῶν ὑπὲρ τὰ ὄρη, διαλλόμενος ὑπὲρ τοὺς βουνούς. ὁμοιός ἐστιν ἀδελφιδὸς μου τῇ δορκάδι, ἢ νεβρῷ ἐλάφων ὑπὲρ τὰ ὄρη βαιθήλ. ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν, παρακύπτων διὰ τῶν θυρίδων, ἐκκύπτων διὰ τῶν δικτύων. ἀποκρίνεται ὁ ἀδελφιδός μου, καὶ λέγει μοι· ἀνάστα, ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιστερά μου, ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ, τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς τομῆς ἔφθακεν, φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν. ἡ συκῆ ἐξέβαλεν ὀλισθρους αὐτῆς, αἱ ἄμπελοι κυπρίζουσιν ἔδωκαν ὀσμήν. ἀνάστα, ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιστερά μου. δεῦρο καὶ ἐλθὲ σὺ περιστερά μου, ἐν σκέπῃ τῆς πέτρας ἐχόμενα τοῦ προτειχίσματος. δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τῆς φωνῆς σου· ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία. πιάσατε ἡμῖν ἀλώπεκας μικρὰς, ἀφανίζοντας ἀμπελῶνας, καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν. ἀδελφιδός μου ἐμοί, κἀγὼ αὐτῷ, ὁ ποιμαίνων ἐν τοῖς κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί. ἀπόστρεψον, ὁμοιώθητι σὺ ἀδελφιδέ μου τῇ δορκάδι, ἢ νεβρῷ ἐλάφων ἐπὶ ὄρη κυκλωμάτων.

ΚΕΦΑΛ. γ'. 3.

Ἐπὶ κοίτῃ μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου, ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτὸν, ἐπεκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέν μου. ἀναστήσομαι δή, καὶ κυκλώσω ἐν τῇ πόλει, ἐν ταῖς ἀγοραῖς, καὶ ἐν ταῖς πλατείαις, καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτὸν, ἐπεκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέν μου. εὑρόν με οἱ τηροῦντες οἱ κυκλοῦντες ἐν τῇ πόλει. μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου εἴδετε; ὡς μικρόν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐκράτησα αὐτὸν, καὶ οὐκ ἀφῆκα αὐτὸν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου, καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με. ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ. Τίς αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου, ὡς στελέχη καπνοῦ τεθυμιαμένη σμύρναν, καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ; ἰδοὺ ἡ κλίνη τοῦ Σολομῶν, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἰσραήλ, πάντες κατέχοντες ῥομφαίαν, διδιδαγμένοι πόλεμον. ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐπὶ μηρὸν αὐτοῦ, ἀπὸ φόβους ἐν νυξίν. φορεῖον ἐποίησεν ἑαυτῷ ὁ Βασιλεὺς Σολομὼν ἀπὸ ξύλων τοῦ λιβάνου. σύλους αὐτοῦ ἐποίησεν ἀργύρεον, καὶ ἀνάκλιτον αὐτοῦ χρύσιον, ἐπίβασις αὐτοῦ πορφυρᾶ, ἐν μέσῳ αὐτοῦ λιθόστρωτον, ἀγαπῶν ἀπὸ θυγατέρων Ἱερουσαλήμ. θυγατέρες σιὼν ἐξέλθετε καὶ ἴδετε ἐν τῷ Βασιλεῖ Σολομῶν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.

ΚΕΦΑΛ. δ'. 4.

Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ εἶ καλή. ὀφθαλμοί σου περιστεραί, ἐκτὸς τῆς σιωπήσεώς σου. τρίχωμά σου, ὡς ἀγέλαι τῶν αἰγῶν, αἱ ἀπεκαλύφθησαν ἀπὸ τοῦ γαλαάδ, οἱ ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, αἱ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἄτεκνος οὐκ ἔστιν ἐν αὐταῖς. ὡς κλωστὸς τὸ κόκκινον χεῖλη σου, καὶ ἡ λαλιά σου ὡραία, ὡς λέπυρον τῆς ῥόας, μέλου σου ἐκτὸς τῆς σιωπήσεώς σου. ὡς πύργος Δαβὶδ τράχηλός σου, ὁ ᾠκοδομημένος εἰς θαλπιώθ. χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτὸν, πᾶσαι βολίδες τῶν δυνατῶν. δύο μαστοί σου, ὡς δύο νεβροὶ διδυμοι δορκάδος οἱ νεμόμενοι ἐν κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί. πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης, καὶ πρὸς βουνὸν τοῦ λιβάνου. ὅλη καλὴ ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. δεῦρο ἀπὸ λιβάνου νύμφη, δεῦρο ἀπὸ λιβάνου. ἐλεύσῃ καὶ διελεύσῃ ἀπ' ἀρχῆς πίστεως, ἀπὸ λευκαλῆς Σανιὴρ καὶ Ἀερμὼν, ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδαλέων. ἐκαρδίωσας ἡμᾶς ἀδελφὴ ἡμῶν νύμφη, ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου ἐν μιᾷ ἐνθέματι τραχήλου σου. τί ἐκαλλιώθησαν μαστοί σου ἀδελφή μου νύμφη; τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου, καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα ἀρώματα; κηρίον ἀποσταζουσι χείλη σου νύμφη, μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου, καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου. κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη. ἀρτολάί σου, παράδεισοι ῥοῶν μετὰ καρποῦ ἀκροδρύων, κύπροι μετὰ νάρδων, νάρδος καὶ κρόκος, κάλαμος καὶ κινάμωμον ἀπὸ πάντων ξύλων τοῦ λιβάνου, σμύρνα, ἄλωη, μετὰ πάντων πρώτων μύρων. πηγὴ κήπου, καὶ φρέαρ ὕδατος ζῶντος, καὶ ῥοιζοῦντες ἀπὸ τοῦ λιβάνου. ἐξεγέρθητι βορρᾶ, καὶ δεῦρο νότε, καὶ διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά σου.

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. ε'. 5.

Κατεβήτω ἀδελφιδίός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. εἰσῆλθον εἰς κῆπον μου ἀδελφή μου νύμφη. ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου, ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου, ἔπιον οἶνον μου μετὰ γάλακτός μου. φάγετε οἱ πλησίοι καὶ πίετε, καὶ μεθύσθητε ἀδελφοί, ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ. φωνὴ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν. ἄνοιξόν μοι ἡ πλησίον μου ἀδελφή μου, πόδισόν μου, τελεία μου· ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου, καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός. ἐξεδυσάμην τὸν χιτῶνα μου, πῶς ἐνδύσωμαι αὐτόν; ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς; ἀδελφιδίός μου ἀπέστειλεν χεῖρα αὐτοῦ διὰ τῆς ὀπῆς, καὶ ἡ κοιλία μου ἐθορύβη ἐπ' αὐτόν. ἀνέῳξα ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου, χεῖρές μου ἔσταξαν σμύρναν, δάκτυλοί μου σμύρναν πλήρη ἐπὶ χεῖρας τοῦ κλείθρου. ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου, ἀδελφιδίός μου παρῆλθεν. ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ. ἐζήτησα αὐτόν, καὶ οὐχ εὗρον αὐτόν, ἐκάλεσα αὐτόν, καὶ οὐχ ὑπήκουσέ μου. εὗρόσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει, ἐπάταξάν με καὶ ἐτραυμάτισάν με, ἦραν τὸ θέριστρόν μου ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων. ὥρκισα ὑμᾶς θυγατέρες Ἰερουσαλὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, ἀπαγγείλατε αὐτῷ, ὅτι τετρωμένη ἀγάπης ἐγώ εἰμί. τί ἀδελφιδός σου ἐκ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξί; τί ἀδελφιδός σου ἐκ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς; ὁ ἀδελφιδός μου λευκὸς, καὶ πυῤῥός, ἐκλελεγισμένος ἐκ μυριάδων. κεφαλὴ αὐτοῦ χρυσίον κεφαλή, βόστρυχοι αὐτοῦ ἑλατοὶ μέλανες ὡς κόραξ. ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων, λελουμέναι ἐν γάλακτι, καθήμεναι ἐπὶ πληρώματα ὑδάτων. σιαγόνες αὐτοῦ ὡς θύραι τοῦ ἀρώματος, φύουσαι μυρεψικά. χείλη αὐτοῦ, κρίνα σάζοντα σμύρναν πλήρη. χεῖρες αὐτοῦ τορευταὶ, χρυσαῖ πεπληρωμέναι θαρσεῖς. κοιλία αὐτοῦ πύξινον ἐλεφαντίνην ἐπὶ λίθα σαπφείρου. κνῆμαι αὐτοῦ, σύλοι μαρμαρίνοι τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς. εἶδος αὐτοῦ ὡς λίβανος ἐκλεκτὸς, ὡς κέδροι. φάρυγξ αὐτοῦ γλυκασμός, καὶ ὅλος ἐπιθυμία. οὗτος ἀδελφιδός μου, καὶ οὗτος πλησίον μου θυγατέρες Ἰερουσαλήμ· ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου ἡ καλὴ ἐν γυναιξίν; ποῦ ἀπέκλεψεν ὁ ἀδελφιδός σου, καὶ ζητήσομεν αὐτὸν μετά σου.

ΚΕΦΑΛ. ς'. 6.

Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ, εἰς σχολὰς τοῦ ἀρώματος, ποιμαίνειν ἐν κήποις, καὶ συλλέγειν κρίνα. ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἀδελφιδός μου ἐμοί, ὁ ποιμαίνων ἐν τοῖς κρίνοις. καλὴ ἡ πλησίον μου ὡς σύδονία, ὡραῖα ὡς Ἰερουσαλήμ, θάμβος ὡς τετάγμεναι. ἀπόστρεψον ὀφθαλμούς σου ἀπέναντίον μου, ὅτι αὐτοί με ἐξεπόρωσάν με. τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνέβησαν ἀπὸ τοῦ γαλαάδ. ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἳ πᾶσαι δίδυμα τίκτουσαι, καὶ ἄτεκνος οὐκ ἔστιν ἐν αὐταῖς. ὡς κόκκινον χείλη σου. καὶ ἡ λαλιά σου ὡραία· ὡς λέπυρον ῥοᾶς μῆλόν σου, ἐκτὸς θρίξ σου. ἑξήκοντα εἰσὶ βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαὶ, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. μία δέ ἐστι περιστερά μου, τελεία μου. μία δέ ἐστι τῇ μητρὶ αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν. ἴδοσαν αὐτὴν θυγατέρες, καὶ ἐμακάρισαν αὐτήν. βασίλισσαι καὶ γε παλλακαὶ καὶ ἤνεσούσι αὐτήν. τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος, θάμβος ὡς τεταγμένη; εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γλυφίδι τοῦ χειμάῤῥου, ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος. ἐγλυκάνθην ἀ ῥοαὶ, ἐκεῖ δώσω τοὺς μαστούς μου σοί. οὐκ ἔγνων ἡ ψυχή μου. ἔθετό με ἅρματα ἀμιναδάβ. ἐπίστρεφε ἐπίστρεφε ἡ σουλαμίτις. ἐπίστρεφε, καὶ ὀψόμεθά ἐν σοί.

ΚΕΦΑΛ. ζ'. 7.

Τί ὄψεσθε ἐν τῇ σουλαμίτιδι ἡ ὀρχουμένη ὡς χοροὶ τῶν παρεμβολῶν; τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασίν σου, θύγατερ ναδὰβ ἡγεμόνος μυρών σου ὅμοιοι ὁρμίσκοις ὄργανα χειρῶν τεχνίτου. ὀμφαλός σου κρατὴρ τορευτὸς, μὴ ὑστερούμενος κεράσματος. κοιλία σου θυμωνία σίτου, περιφραγμένη ἐν κρίνοις. δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι δορκάδος. ὁ τράχηλός σου, ὡς πύργος ἐλεφαντίνου. οἱ ὀφθαλμοί σου, ὡς λίμναι ἐν ἐσεβών, ἐν πύλαις θυγατρὸς πολλῶν. μυκτήρ σου, ὡς πύργος τοῦ λιβάνου, σκοπεύων πρόσωπον δαμασκοῦ. κεφαλή σου ἐπί σὲ ὡς ἀκρεμών, καὶ τρίχωμα κεφαλῆς σου ὡς πορφύρα, βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς. τί ὡραιώθης, καὶ τί ἡδύνθης ἀγάπη; ἐν τρυφαῖς σου ἔστη μεγέθος σου. ὡμοιώθης τῷ φοίνικι, καὶ οἱ μαστοί σου τοῖς βότρυσιν. εἶπα, ἀναβήσομαι ἐπὶ τὸν φοίνικα, κρατήσω τῶν ὑψέων αὐτοῦ. καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου, καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα, καὶ ὁ λάρυγξ σου ὡς οἶνος ὁ ἀγαθός. πορεύομενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητας, ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦσιν. ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἐπ' ἐμὲ ἡ ἀποστροφὴ αὐτοῦ. ἐλθὲ ἀδελφιδέ μου, ἐξέλθωμεν εἰς ἀγρόν, αὐλισθῶμεν ἐν κώμαις, ὀρθρίσωμεν εἰς ἀμπελῶνας, ἴδωμεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ ἤνθησεν ἡ ἄμπελος. ἤνθησεν ὁ λυπρισμός, ἤνθησεν αἱ ῥοιαί, ἐκεῖ δώσω τοὺς μαστούς μου σοί. οἱ μανδραγόραι ἔδωκαν ὀσμὴν, καὶ ἐπὶ θύραις ἡμῶν πάντα ἀπρόβλητα. νέα πᾶς παλαιὰ ἀδελφιδέ μου ἐτήρησα σοι.

ΚΕΦΑΛ. η'. ϛ.

Τίς δώη σε ἀδελφιδέ μοι θηλάζοντα μαστὸς μητρός μου; εὑρὼν σε ἔξω, φιλήσω σε, καί γε οὐκ ἐξουδενώσουσί με. παιδεύσω σε, εἰσάξω σε εἰς οἶκον μητρός μου, καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με. διδάξεις με, πολῶ σε ἐκ οἴνου τοῦ μυρεψικοῦ, ἐκ νάματος ῥοῆς μου. δεξιὰ αὐτοῦ ὑπὸ τὴν ἀριστερά μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με. ὥρκισα ὑμᾶς θυγατέρες Ἰερουσαλήμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. τί ἐγείρετε καὶ τί διεγείρετε τὴν ἀγάπην ἕως οὗ θελήσῃ; τίς αὕτη ἡ ἀναβαίνουσα λελευκασμένη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς, ὑπὸ μῆλον ἐξήγειρά σε. ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου, ἐκεῖ ὠδίνησεν ἡ τεκοῦσά σε. θές με ὡς σφραγῖδα ἐπὶ τὴν καρδίαν σου, ὡς σφραγῖδα ἐπὶ τὸν βραχίονά σου. ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη, σκληρὸς ὡς ᾅδης ζῆλος. πύρινοι πύρινοι αὐτῆς πύρινοι πυρός, ἄνθρακες πυρὸς φλόγος αὐτοῦ. ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην, καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν. ἐὰν δῶ ἄνθρωπος πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν. ἀδελφὴ ἡμῶν μικρὰ, καὶ μαστοὺς οὐκ ἔχει. τί ποιήσομεν τῇ ἀδελφῇ ἡμῶν ἐν ἡμέρᾳ, ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ; εἰ τεῖχος ἐστὶ, οἰκοδομήσωμεν ἐπ' αὐτὴν ἐπάλξεις ἀργυρᾶς. καὶ εἰ θύρα ἐστὶ, διαγράψωμεν ἐπ' αὐτὴν σανίδα κεδρίνην. ἐγὼ τεῖχος, καὶ οἱ μαστοί μου ὡς πύργος. ἐγὼ ἐν ἐμοὶ ἐν ὀφθαλμοῖς αὐτοῦ εὑρίσκουσα εἰρήνην. ἀμπελὼν ἐγενήθη τῷ Σολομῶντι ἐν Βεελαμών. ἐδωκεν τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν. ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου. ἀμπελών μου ἐμοὶ ἐνώπιόν μου οἱ χίλιοι τῷ Σολομῶντι, καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ. ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχουσι τῇ φωνῇ σου ἀκούσόν με. φύγε ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι, ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ τὰ ὄρη ἀρωμάτων.

Τέλος τοῦ ᾄσματος τῶν ᾀσμάτων.

ΗΣΑΙΑΣ

ΚΕΦΑΛ. α'. ι.

Ὅρασις λόγου ἣν εἶδεν ἡσαΐας υἱὸς ἀμώς, λόγον ἣν εἶδε κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ Ἰερουσαλήμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰουδαίας καὶ Ἰωαθαμ, Ἄχαζ καὶ Ἐζεκίου, οἱ ἐβασίλευσαν τῆς Ἰουδαίας. Ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν. οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι ἐγκατελίπετε τὸν κύριον, καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραὴλ, ἀπῃλλοτριώθησαν εἰς τὰ ὀπίσω. τί ἔτι πληγῆτε προσθήκην ἀνομίαν; πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην, ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα, οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε κατάδεσμος. ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν, ἀλλότριοι κατεσθίουσιν αὐτήν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. ἐγκαταλειφθήσεται ἡ θυγάτηρ σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ, ὡς πόλις πολιορκουμένη. καὶ εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Ἀκούσατε λόγου κυρίου ἄρχοντες Σολόμων, προσέχετε νόμον θεοῦ ὁ λαὸς Γομόρρας. τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει κύριος; πλήρης εἰμὶ ὁλοκαυτωμάτων καὶ κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ὄρχησθε ὀφθῆναί μοι. τίς γὰρ ἐξεζήτησε ταῦτα

ἐκ

ἐκ τῶν χειρῶν ὑμῶν ; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι. τὰς νουμηνίας ὑμῶν, καὶ τὰ σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι. νηστείαν καὶ ἀργίαν, καὶ τὰς νουμηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. ἐγενήθητέ μοι εἰς πλησμονήν, οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. ὅταν ἐκτείνητε τὰς χεῖρας, ἀπορρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου. παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον. κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει κύριος. καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοῖνικοῦν, ὡς χιόνα λευκανῶ. ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φαγεῖσθε. ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται, τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. πῶς ἐγένετο πόρνη πόλις πιστὴ σιών, πλήρης κρίσεως ; ᾧ ἡ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νυνὶ δὲ φονεῦσι. ὁ ἀργύριόν σου ἀδόκιμον, οἱ καπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα. ὀρφανοῖς οὐ κρίνουσι, καὶ κρίσιν χηρῶν οὐ προσέχουσι. διὰ τοῦτο τάδε λέγει ὁ δεσπότης κύριος Σαβαὼθ ὁ ἰσχύων Ισραήλ. οὐ παύσει γέ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ πυρώσω εἰς καθαρόν, σὺ δὲ ἀπειθοῦντας ἀφελεῖσι, καὶ ἀφελῶ πάντας τοὺς ἀνόμους ἀπὸ σοῦ, καὶ πάντας ὑπερηφάνους. καὶ ἀποκαταστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπ' ἀρχῆς. καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις πιστὴ σιών. μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημοσύνης, καὶ σωτηριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν κύριον σωτελεσθήσονται. διότι αἰσχυνθήσονται ἀπὸ τῶν εἰδώλων αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπαισχυνθήσεσθε ἐπὶ τοῖς κήποις ἃ ἐπεθύμησαν. ἔσονται γὰρ ὥσπερ τερέβινθος, ἡ ἀρβελήκεια τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη συπείου, καὶ αἱ ὀργασίαι αὐτῶν ἅμα ὡς σπινθῆρες, καὶ κατακαυθήσονται οἱ ἄνομοι, καὶ οὐκ ἔσται ὁ σβέσων.

ΚΕΦΑΛ. ϛ'. 2.

Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς περὶ Ἰουδαίας, καὶ περὶ Ἰερουσαλήμ. ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη, καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι· δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. ἐκ γὰρ σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἰερουσαλήμ. καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ ἐξελέγξει λαοὺς πολλούς. καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύας αὐτῶν εἰς δρέπανα. καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. καὶ νῦν οἶκος Ἰακώβ, δεῦτε καὶ πορευθῶμεν ἐν τῷ φωτὶ κυρίου, ἀπῴκησε γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ Ἰακώβ. ὅτι ἐπλήσθη ὡς τὸ ἀπαρχῆς ἡ χώρα αὐτῶν ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγένηθη αὐτοῖς. ἐπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. καὶ ἐπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν. καὶ ἐπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ὀργάνων τῶν χειρῶν αὐτῶν, ἃ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ, καὶ οὐ μὴ ἀνῶ αὐτούς. καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀνάστῃ θραῦσαι τὴν γῆν. οἱ γὰρ ὀφθαλμοὶ κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός. καὶ ταπεινωθήσεται ὁ ὑψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἡμέρα γὰρ κυρίου σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται· καὶ ἐπὶ πᾶσαν κέδρον τὴν λιβάνου τὴν ὑψηλὴν καὶ μετέωρον, καὶ ἐπὶ πᾶν δρυμὸν Βασάν, καὶ ἐπὶ ὄρος ὑψηλὸν, καὶ ἐπὶ πάντα βουνὸν ὑψηλόν, καὶ ἐπὶ πάντα πύργον ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν, καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων καλῶν. καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος, καὶ πεσεῖται ὑψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν, εἰσπορεύσονται εἰς τὰ σπήλαια καὶ εἰς τὰς ὀπὰς τῶν πετρῶν, καὶ εἰς τὰς πρώγλας τῆς γῆς, ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀνάστῃ θραῦσαι τὴν γῆν. τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν προσκυνεῖν τοῖς ματαίοις, καὶ ταῖς νυκτερίσι τ εἰσελθεῖν εἰς τὰς πρώγλας τὰς σφριὰς πέ-

πρας, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν. ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. παύσασθε ὑμῖν ἀπὸ τοῦ ἀνθρώπου, οὗ πνεῦμα ἐν μυκτῆρι αὐτοῦ, ὅτι ἐν τίνι ἐλογίσθη.

ΚΕΦΑΛ. γ'. 3.

ΙΔοὺ δὴ ὁ δεσπότης Κύριος σαβαὼθ ἀφελεῖ ἀπὸ Ἰσραὴλ, καὶ ἀπὸ τῆς Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, γίγαντα καὶ ἰσχύοντα, ἄνθρωπον πολεμιστὴν, καὶ δικαστὴν καὶ προφήτην, καὶ σοφιστὴν καὶ πρεσβύτην, καὶ θαυματοποιὸν, καὶ συμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ σωτῆρα ἀκροατήν. καὶ παιδίσκους νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαίκται κυριεύσουσιν αὐτῶν. καὶ συμπεσεῖται ὁ λαὸς, ἄνθρωπος ἄνθρωπον, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ. προσκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, ὁ ἄτιμος πρὸς τὸν ἔντιμον, ὅτι ἀδελφὸς ἀνθρώπου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ λέγων· ἱμάτιον ἔχεις, ἀρχηγὸς γενοῦ ἡμῶν, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔσω. καὶ ὑποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὀρεῖ· οὐκ εἰμί σου ἀρχηγὸς, οὐδὲ γὰρ ἐν τοῖς οἴκοις μου ὄψις, οὐδὲ ἱμάτιον. οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου, ὅτι ἀνέστη Ἱερουσαλὴμ, καὶ Ἰουδαία συμπέπτωκε, καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς Κύριον ἀπειθοῦντα. διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, καὶ ἡ ἀσχημία αὐτῶν τοῦ προσώπου αὐτῶν ἔστη αὐτοῖς. τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐφανέρωσαν. οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν, καθ' ἑαυτῶν εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ὅτι. τοίνυν τὰ γενήματα τῶν ἔργων αὐτῶν φαγονται. οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβέβηται αὐτῷ. λαός μου, οἱ πράκτορές σου ἐκλαμβάνονται σου, καὶ οἱ ἀπαιτοῦντές σου κυριεύουσιν σου. λαός μου, οἱ μακαρίζοντές σου, πλανῶσιν σου, καὶ τὴν τρίβον τῶν ποδῶν σου διαφθείρουσιν· ἀλλὰ νῦν διατακήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ. αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ, ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν πτωχῶν διατρίβετε; φησὶ Κύριος, Κύριος σαβαώθ. τὰς δὲ θυγατέρας Σιὼν ὑψώθησαν αἱ θυγατέρες Σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρεσθαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζεσθαι. καὶ ταπεινώσει ὁ θεὸς ἀρχὰς θυγατέρας Σιών. καὶ Κύριος ἀποκαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τοὺς λοσύμβους, καὶ τοὺς μηνίσκους, καὶ τὸ κάθεμα, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν, καὶ τὴν συνύφεσιν τοῦ κόσμου τῆς δόξης, καὶ τοὺς χλιδῶνας, καὶ τὰ ψέλλια, καὶ τοὺς στακτυλίους, καὶ τὰ περιδέξια, καὶ τὰ ἐμπλόκια χρώτια, καὶ τὰ πορφύρια, καὶ τὰ μεσοπόρφυρα, καὶ τὰ ὠτελεύματα τὰ καὶ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ λακωνικὰ, καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ κόκκινα, καὶ τὴν βύσσον, σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένῳ, καὶ θέριστρα κατάκλειστα. καὶ ἔσται ἀντὶ ὀσμῆς ἰδέας κονιορτὸς, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσει, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου, φαλάκρωμα ἕξεις σὺ τὰ ὀργά σου. καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου, περιζώσει σάκκον. καὶ ὁ υἱός σου ὁ ἀγαπητός σου μαχαίρᾳ πεσεῖται. καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται, καὶ ταπεινωθήσονται. καὶ θρηνήσουσιν αἱ θύραι τοῦ κόσμου ὑμῶν. καὶ κατακλεισθείσῃ μόνῃ, καὶ εἰς τὴν γῆν ἐκλιθήσῃ.

ΚΕΦΑΛ. δ'. 4.

ΚΑὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς λέγουσαι· τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλλώμεθα, πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναλάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης τὸν βλαστὸν τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ κατάλειμμα τοῦ Ἰσραήλ. καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν Σιὼν, καὶ τὸ κατάλειμμα ἐν Ἰερουσαλήμ. ἅγιοι κληθήσονται πάντες οἱ γεγραμμένοι εἰς ζωὴν ἐν Ἰερουσαλήμ. ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα Ἰερουσαλὴμ ἐκκαθαριεῖ ἐκ μέσου αὐτῆς, ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ πάντα τὰ περὶ κύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς λαμπὰς καὶ φωτὸς πυρὸς καιομένου νυκτὸς, πάσῃ τῇ δόξῃ σκεπασθήσεται. καὶ ἔσαι εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ, καὶ ἐν ἀπορρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ.

ΚΕΦΑΛ. ε'. 5.

Ἄσω δὴ τῷ ἠγαπημένῳ ἄσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι. καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον σωρήχ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, καὶ ἐποίησεν ἀκάνθας. καὶ νῦν οἱ ἐνοικοῦντες ἐν Ἰερουσαλὴμ, καὶ ἄνθρωπος τοῦ Ἰούδα, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου

τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τί ποιήσω ἐπὶ τοῦ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ, διότι ἐμεινα τ ποιήσαι ἐφύλλιν, ἐποίησε δὲ ἀκάνθας. νῦν οὖν ἀναγγελῶ ὑμῖν τί ἐγὼ ποιήσω τοῦ ἀμπελῶνί μου · ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσαι εἰς διαρπαγήν, καὶ διαβελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσαι εἰς κατατάτημα. καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ. καὶ ἀναβήσετ ἐπ' αὐτὸν, ὡς εἰς χόρτον ἄκανθα. καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. ὁ γὰρ ἀμπελὼν κυρίου σαβαὼθ οἶκος τοῦ ἰσραὴλ ἐστὶ, καὶ ὁ ἄνθρωπος τοῦ ἰούδα νεόφυτον ἠγαπημένον. ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου σαβαὼθ ταῦτα. ἐὰν γὰρ γένωνται οἰκίαι πολλαὶ, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαὶ, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. οὐ γὰρ ἔργονται δίκην βοῶν, ποιήσει δὲ δραγμιον ἕν. καὶ ὁ σπείρων ἀρτάβας ἓξ, ποιήσει μέτρα τρία. οὐαὶ οἱ ἐγειρόμενοι πρωΐ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸν ὄψε, ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει αὐτούς, μετὰ γὰρ κιθάρας, καὶ ψαλτηρίου, καὶ τυμπάνων, καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. τούτου ἀχμάλωτος ὁ λαός μου ἐγένηθη, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον. καὶ πλῆθος ἐγένηθη νεκρῶν, διὰ λιμὸν καὶ δίψος ὕδατος. καὶ ἐπλάτυνεν ὁ ἅδης τὴν ψυχὴν αὐτοῦ, καὶ διήνοιξε τὸ στόμα αὐτοῦ τ μὴ διαλιπεῖν. καὶ καταβήσονται οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι, καὶ οἱ ὑψιμοὶ αὐτῆς, καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ, καὶ ταπεινωθήσετ ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ, καὶ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται, καὶ ὑψωθήσεται κύριος σαβαὼθ ἐν κρίματι, καὶ ὁ θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ, καὶ βοσκηθήσονται οἱ διεφθαρμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἐπειλημμένων ἀρνῶν φάγονται. οὐαὶ οἱ ἑλκύοντες τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγὸν ἁμάξης ἁμάλεως τὰς ἀνομίας αὐτῶν. οἱ λέγοντες· τὸ τάχος ἐγγισάτω καὶ ποιήσει, ἵνα ἴδωμεν. καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου ἰσραὴλ ἵνα γνῶμεν. οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν, οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος, οἱ τιθέντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. ἀὰὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ πίνοντες τὸν οἶνον, καὶ οἱ δυνάσται, καὶ οἱ κραυγιῶντες τὸ σίκερα, οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου ἀφαιροῦντες. διὰ τοῦτο ὃν τρόπον καυθήσετ καλάμη ὑπὸ ἄνθρακος πυρός, καὶ συγκαυθήσετ ὑπὸ φλογὸς αὐτομάτης, ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσαι, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσετ. οὐ γὰρ ἠθέλησαν τὸν νόμον κυρίου σαβαὼθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου ἰσραὴλ παρώξυναν. καὶ ἐθυμώθη κύριος σαβαὼθ ὡσὶν τῷ λαῷ αὐτοῦ, ἐπέβαλε τὴν χεῖρα ἐπ' αὐτοὺς, καὶ ἐπάταξεν αὐτούς. καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγένηθη τὰ θνησιμαῖα αὐτῶν ὡς λύματα ἐν μέσῳ ὁδοῦ. καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλὰ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. τριγαρσὺ κρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακρόθεν, καὶ συρεῖ ἀπ' ἄκρου τῆς γῆς. καὶ ἰδοὺ ταχὺ λαὸς ἔρχονται, οὐ πεινάσουσιν, οὐδὲ λοιμάσουσιν, οὐδὲ νυστάσουσιν, οὐδὲ κοιμηθήσονται, οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν, ὧν τὰ βέλη ὀξέα ἐστὶ, καὶ τὰ τόξα αὐτῶν ἐντεταλμένα. οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς πέτρα λογισθήσονται. οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς λαταγὶς ὀργισθήσονται ὡς λέοντες, καὶ πτήξουσιν ὡς σκύμνοι λέοντος. καὶ ὠλολύξεται, καὶ βοηθήσει ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσαι ὁ ῥυόμενος αὐτούς. καὶ βοήσει ἐπ' αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης. καὶ ἐμβλέψονται εἰς τὸν οὐρανὸν ἄνω καὶ κάτω, καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ ἀρχῇ αὐτῶν.

ΚΕΦΑΛ. ς. ϛ.

ΚΑΙ ἐγένηθη τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ, καὶ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τοῦ ἑνὶ, καὶ ἓξ πτέρυγες τοῦ ἑνί. καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέτωντο, καὶ ἐκέκραγμεν ἕτερος πρὸς τ ἕτερον, καὶ ἔλεγον, ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον. καὶ οἶκος ἐπλήσθη καπνοῦ, καὶ εἶπον· ὦ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκαθάρτα χείλη ἐχόντος ἐγὼ οἶκα. καὶ τὸν βασιλέα κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. καὶ ἀπεστάλη πρός με ἓν τῶν σεραφὶμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τ θυσιαστηρίου, καὶ ἥψατο τ στόματός μου, καὶ εἶπεν· ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. καὶ ἤκουσα τ φωνῆς κυρίου λέγοντος· τίνα ἀποστελῶ, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα· ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. καὶ εἶπε· πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ· ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς

ὡσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐπάμυσαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ ὠσὶ ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. καὶ εἶπα· ἕως πότε κύριε; καὶ εἶπε· ἕως ἂν ὀρημωθῶσι πόλεις, παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ὀρήμη· καὶ μετάστασιν ποιήσει ὁ θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς γῆς, καὶ ἔτι ἐπ' αὐτῆς ὅσα τὸ ἐπιλείπον τοῦ καίειν, καὶ πάλιν ἔσαι εἰς προνομὴν ὡς τερέβινθος, καὶ ὡς βάλανος ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς σπέρμα ἅγιον τὸ σπέρμα αὐτῆς.

ΚΕΦΑΛ. ζ'. 7.

ΚΑὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ καὶ ἰωαθὰμ τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥασσὰν βασιλεὺς Ἀραὰμ, καὶ Φακὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ εἰς Ἰερουσαλὴμ πολεμῆσαι αὐτῇ, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβίδ, λέγων· συνεφώνησεν Ἀραὰμ πρὸς τὸν Ἐφραὶμ, καὶ ἐσείσθη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἂν δονῶ ξύλον ὑπὸ ἀνέμου σαλευθῆ. καὶ εἶπε Κύριος πρὸς Ἡσαΐαν· ἔξελθε εἰς συναντησιν Ἄχαζ σὺ, καὶ ὁ καταλειφθεὶς ἀσὲβ ὁ υἱός σου πρὸς τὴν κολυμβήθραν τὴν ἄνω ὁδοῦ ἀγροῦ τοῦ γναφέως, καὶ ὄρεις αὐτῷ· φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀδυνάτω ἀπὸ τῶν δύο ξύλων τῶν σαλευομένων τούτων. ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ γένηται, πάλιν ἰάσομαι. καὶ υἱὸς τοῦ Ἀραὰμ, καὶ ὁ υἱὸς τοῦ Ῥομελίου, ὅτι ἐβουλεύσαντο Βαλὶμ πονηρὰ, Ἐφραὶμ καὶ ὁ υἱὸς Ῥομελίου πόρρω λέγοντες· ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ συμμαλήξαντες αὐτοῖς, ἀφέλωμεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσωμεν αὐτῆς τὸν υἱὸν Ταβεήλ. τάδε λέγει Κύριος· σαββαὼθ· οὐ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσαι, ἀλλὰ κεφαλὴ Ἀραὰμ Δαμασκὸς, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥασσείμ. ἀλλ' ἐφ' ἑξήκοντα καὶ ἑκατὸν ἔτεσι, ἐκλείψει ἡ Βασιλεία Ἐφραὶμ ὥστε λαὸς, καὶ ἡ κεφαλὴ Ἐφραὶμ Σομόρων, υἱὸς τοῦ Ῥομελίου. καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ σωθῆτε. καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου θεοῦ σου εἰς Βαθὼ, ἢ εἰς ὕψος. καὶ εἶπεν Ἄχαζ· οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον. καὶ εἶπεν· ἀκούσατε δὴ οἶκος Δαβίδ, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς Κυρίῳ παρέξετε ἀγῶνα; διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται, καὶ πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ καὶ ἐκλέξασθαι τὸ ἀγαθόν. διότι πρὶν γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ ἐκλέξασθαι τὸ ἀγαθόν. καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο Βασιλέων. ἀλλὰ ἐπάξει ὁ θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, οὐπω ἥκασιν ἀφ' ἧς ἡμέρας ἀφεῖλον Ἐφραὶμ ἀπὸ τοῦ οἴκου τοῦ Ἰούδα τὸν Βασιλέα τῶν Ἀσσυρίων. ἔσαι γὰρ τῇ ἡμέρᾳ ἐκείνῃ συρεῖ Κύριος μύιαις, αἳ εἰσὶ μέρος ποταμοῦ αἰγύπτου, καὶ τῇ μελίσσῃ ἥτις γῆ χώρας Ἀσσυρίων, καὶ ἥξουσιν, καὶ αὐαπαύσονται πάντες ταῖς φάραγξι, καὶ χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ κοπήλατα, καὶ εἰς πᾶσαν βαγοῦλα, καὶ ἐν πάσῃ ξύλῳ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει Κύριος ἐν τῷ ξυρῷ τῷ μεμισθωμένῳ πέραν τοῦ ποταμοῦ Βασιλέως Ἀσσυρίων τὴν κεφαλὴν, καὶ τὰς τρίχας τῶν ποδῶν καὶ τὸν πώγωνα ἀφελεῖ. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα, καὶ ἔσαι ἀπὸ τοῦ πλείονος πονεῖν γάλα φαγεται βούτυρον, ὅτι βούτυρον καὶ γάλα φαγεται πᾶς ὁ καταλειφθεὶς ἐν τῇ γῇ. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἔσαι πᾶς τόπος οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἀκανθαν. μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἀκανθα ἔσαι πᾶσα ἡ γῆ. καὶ πᾶν ὄρος ἀροτριώμενον ἀροτριωθήσεται, οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος. ἔσαι γὰρ εἰς χέρσον καὶ ἀκάνθης βόσκημα πρόβατα, καὶ καταπάτημα βοός.

ΚΕΦΑΛ. η'. 8.

ΚΑὶ εἶπε Κύριος πρός με· λαβὲ σεαυτῷ τόμον καινὸν μέγαν, γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομεῦσαι σκύλων. πάρεσι γάρ, καὶ μάρτυρές μοι πιστοὶ τοὺς ἀνθρώπους, τὸν οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. καὶ εἶπε Κύριός μοι· κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα, ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκύλα σαμαρείας ἐνώπιον Βασιλέως Ἀσσυρίων. καὶ προσέθετο Κύριος λαλῆσαί μοι ἔτι λέγων· ἀλλὰ τοῦ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν ῥασσὶν, καὶ τὸν υἱὸν Ῥομελίου Βασιλέα ἐφ' ὑμῶν, διὰ τοῦτο ἰδοὺ Κύριος ἀνάγει ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ, τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν Βασιλέα τῶν Ἀσσυρίων, καὶ τὴν δόξαν αὐτοῦ. καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ πᾶν παπαστήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελῇ ἀπὸ Ἰουδαίας ἄνθρωπον, ὃς διώκησεται κεφαλὴν ἀρᾶς, ἢ διώκησον σωτηρίαν σωθῆναί τι. καὶ ἔσαι ἡ περιβολὴ αὐτοῦ

ὥστε

ὥστε πληρῶσαι τὸ πλοῦτος τῆς χώρας σου. μεθ' ὑμῶν ὁ θεός, γνῶτε ἔθνη καὶ πεῖρα θε, ἐπακού-
σατε ἕως ἐσχάτου τῆς γῆς, ἰσχυρὸν ὑπῆρξε. ἐὰν γὰρ πάλιν ἰσχύσατε, πάλιν ὑπηνθήσεσθε. καὶ
διὰ τοῦτο βουλὴ βουλεύσασθε, διασκεδάσει λύριος. καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμεί-
νῃ· μεθ' ὑμῶν γάρ ὁ θεός. οὕτως λέγει λύριος· τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι τῇ πορείᾳ τῆς
ὁδοῦ τοῦ λαοῦ τούτου, λέγοντες· μήποτε εἴπωσι σκληρόν. πῶς γὰρ ὁ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος,
σκληρὸν ὄξει. τὸν δὲ φόβον αὐτῶν οὐ μὴ φοβηθῆτε, οὐδὲ μὴ παραχθῆτε. τὸν λύριον τῶν δυνάμεων
αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος. καὶ ἐπ' αὐτῷ πεποιθὼς ἦς, ἔσται σοι εἰς ἁγιασμόν,
καὶ οὐχ ὡς λίθου πτώσκομαι σκανδαλήσεσθε, οὐδὲ ὡς πέτρας πῶμα. οἱ δὲ οἶκοι ἰακὼβ γὰρ
παγίδι, καὶ γὰρ λοιλώμασι ἐγκαθήμενοι γὰρ ἱερουσαλήμ. ἆρα οὐκ ἀδυνατήσουσιν γὰρ αὐτοῖς
πολλοί, καὶ πεσοῦνται καὶ συντριβήσονται, καὶ ἐγχιοῦσι, καὶ ἁλώσονται ἄνθρωποι γὰρ ἀσ-
φαλείᾳ ὄντες. τότε φανεροὶ ἔσονται οἱ σφαγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν. καὶ ὀρεῖ μὴν
τὸν θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ'
αὐτῷ. ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ θεός, καὶ ἔσαι σημεῖα καὶ τέρατα γὰρ τοῦ οἴκου
ἰσραὴλ παρὰ λυρίου σαβαὼθ, ὡς λατρεύει γὰρ τοῦ ὄρει σιών. καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς, ζη-
τήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἐπῳδοὺς τοὺς ἰσχνολογουμένους. οἱ ἐν τῇ λοι-
λίᾳ φωνήσουσιν, οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ ἐκζητήσουσιν. τί ἐκζητήσουσι περὶ τῶν ζώντων
τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ
ἔστι σῶρα λουσαι περὶ αὐτοῦ. καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμός, καὶ ἔσαι ὡς ἂν πεινάσητε, λυ-
πηθήσεσθε, καὶ διακῶς ὀρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια, καὶ ἀναβλέψονται εἰς τὸν οὐρανὸν
ἄνω, καὶ εἰς τὴν γῆν διατω ἐμβλέψονται. καὶ ἰδοὺ ἀπορία σχνὴ, καὶ σκότος θλῖψις, καὶ
σχνοχωρία, καὶ σκότος. ὥστε μὴ βλέπειν, καὶ οὐκ ἀχρηθήσεται ὁ γὰρ σχνοχωρίᾳ ὢν ἕως διαυ-
ριοῦ. τοῦτο πρῶτον ταχὺ πίε.

ΚΕΦΑΛ. θ'. 9.

ΤΑχὺ πόσει χώρα ζαβολὼν ἡ γῆ νεφθαλεὶμ, καὶ οἱ λοιποὶ οἱ πρὸς θαλάσσαν, καὶ πόραν τοῦ
ἰορδάνου γαλιλαίας τῶν ἐθνῶν, ὁ λαὸς ὁ πορευόμενος γὰρ σκότει ἴδετε φῶς μέγα. οἱ διατοι-
κοῦντες γὰρ χώρᾳ καὶ σκίᾳ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. τὸ πλῆσον τοῦ λαὸ διατήσεις
γὰρ εὐφροσύνην, καὶ εὐφρανθήσονται γὰρ πρόσωπόν σου, ὡς οἱ εὐφραινόμενοι γὰρ ἀμήτῳ, καὶ ὃν τρό-
πον οἱ διαιρόμενοι σκύλα. διότι ἀφήρηται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν λέπρων, καὶ ἡ ῥαβδὸς ἡ ὠδὴ
τοῦ πραχήλου αὐτῶν. πλὴν γὰρ ῥάβδου τῶν ἀπαυτόντων διεσκέδασεν, ὡς τὴν ἡμόρᾳ τὴν ὠδὴ μα-
διᾶμ, ὅτι πᾶξαν σολλὼ ὠδὴ σωκγρώνιλω πόλω, καὶ ἱμάτιον μετὰ διατταλαγῆς ἀρτίουσιν.
καὶ θελήσουσιν εἰ ἐγνώσθησαν πυρίκαυσοι, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ
ἡ ἀρχὴ ἐγενήθη ὠδὴ τοῦ ὦμος αὐτοῦ, καὶ διαλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυ-
μασὸς σύμβουλος, θεὸς ἰσχυρὸς, ἰσχυσιασὸς, ἀρχὼν εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ἄξει
γὰρ εἰρήνην ὠδὴ τοῖς ἄρχοντας καὶ ὑγίειαν αὐτῷ, καὶ μεγαλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐ-
τοῦ οὐκ ἔσιν τέλος. ὠδὴ τὸν θρόνον δαβὶδ, καὶ τὴν βασιλείαν αὐτοῦ, διατορθῶσαι αὐτὴν, τοῦ αὐ-
τὴν παμβαίνειν γὰρ κρίματι καὶ δικαιοσύνῃ, ἀπὸ τοῦνυν καὶ εἰς τὸν αἰῶνα. ὁ ζῆλος κυρίου σαβαὼθ
ποιήσει ταῦτα. θάνατον ἀπέστειλε λύριος ὠδὴ ἰακὼβ, καὶ ἦλθεν ὠδὴ ἰσραὴλ, καὶ γνώσονται
πᾶς ὁ λαὸς τοῦ ἐφραὶμ, καὶ οἱ καθήμενοι γὰρ σαμαρείᾳ ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες·
πλίνθοι πεπτώκασιν, ἀλλὰ λίθους ἁξεύσωμεν λίθους, καὶ κόψωμεν συκαμίνους καὶ κέδρους,
καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργους, καὶ ῥάξει ὁ θεὸς τοὺς ἐπανισταμένους ὠδὴ ὀρος σιὼν ὠδὴ αὐ
τὸν, καὶ τοὺς ἐχθροὺς αὐτοῦ δ' ἀσκεδάσει. συρίαν ἀφ' ἡλίου ἀπολῶν, καὶ τοὺς ἑλληνας ἀφ' ἡλίου
δυσμῶν, τοὺς διατεθέοντας τὸν ἰσραὴλ ὅλῳ τῷ σώματι. ὠδὴ πᾶσιν τούτοις οὐκ ἀπεστράφη ὁ θυ
μὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή, καὶ ὁ λαός μου οὐκ ἐπεστράφη, ἕως ἐπλήγη, καὶ τὸν λύριον τῶν δυνά-
μεων οὐκ ἐζήτησαν. καὶ ἀφεῖλε λύριος ἀπὸ ἰσραὴλ κεφαλὴν καὶ οὐρὰν, μέγαν καὶ μικρὸν ἐν
μιᾷ ἡμέρᾳ, πρεσβύτην, καὶ τοῦ τὰ πρόσωπα θαυμάζοντας, αὕτη ἡ ἀρχή. καὶ προφήτην διδά
σκοντα ἄνομα, οὗτος ἡ οὐρά. καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, οἱ
πλανῶσιν, ὅπως διατραπῶσιν αὐτούς. καὶ διὰ τοῦτο ὠδὴ τοῖς νεανίσκοις αὐτῶν οὐκ εὐφρανθήσε-
ται ὁ λύριος. καὶ τοὺς ὀρφανοὺς αὐτῶν, καὶ τὰς χήρας αὐτῶν οὐκ ἐλεήσει. ὅτι πάντες ἄνομοι καὶ
πονηροί, καὶ πρᾶν σόμα λαλεῖ ἄδικα. διὰ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι
ἡ χεὶρ αὐτοῦ ὑψηλή. καὶ διανθήσει; ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς ἄγρωσις ξηρὰ βρωθήσεται ὑπὸ
πυρός. καὶ διανθήσει; ἐν τοῖς πάσεσι τοῦ δρυμοῦ, καὶ συνδιαφάγεται τὰ λύκλῳ τῶν βυνδῶν
πάντα. ἆρα θυμοῦ ὀργῆς λυρίου συνδέκαυται ἡ γῆ ὅλη, καὶ ἔσαι ὁ λαὸς ὡς διατακεκαυμένος ὑπὸ
πυρός, ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει, ἀλλὰ ἐκκλινεῖ εἰς τὰ δεξιά, ὅτι πεινάσει.
καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἐδωδὴν τὰς σάρκας τοῦ βραχίονος
αὐτοῦ. φάγεται γὰρ μανασσῆς τὸν ἐφραὶμ, καὶ ἐφραὶμ τὸν μανασσῆ, ὅτι ἅμα πολιορκήσουσι τὴν
ἰδάμαν, ὠδὴ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. ί. 10.

Οὐαὶ τοῖς γράφουσι πονηρίαν, γράφοντες γὰρ, πονηρίαν γράφουσιν· ἐκκλίνοντες κρίνουσιν παρὰ δίκην, ἁρπάζοντες κρίμα τῶν πτωχῶν τοῦ λαοῦ μου, ὥστε εἶναι αὐτοῖς χήραν εἰς διαρπαγήν, καὶ ὀρφανὸν εἰς πλουτισμόν. καὶ τί ποιήσουσι ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἢ γὰρ θλῖψις ὑμῖν πόρρωθεν ἥξει, καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθῆναι; καὶ πῶς καταλείψετε τὴν δόξαν ὑμῶν, τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν, καὶ ὑπὸ κάτω ἀνηρημένων πεσοῦνται; καὶ ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ἡ ὀργή, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. οὐαὶ ἀσυνρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ ὀργῆς ὄζιμη ἐν ταῖς χερσὶν αὐτῶν. τὴν ὀργήν μου εἰς ἔθνος ἀπομοχλεύω, καὶ τοῖς ἐμῷ λαῷ σωπατάξω ποιῆσαι σκύλα καὶ πτωνομίαν, καὶ καταπατεῖν τὰς πόλεις, καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν· αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμώθη, καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται, ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ, καὶ τὸ ἔθνη ἐξολεθρεῦσαι οὐκ ὀλίγα. καὶ ἐρεῖ αὐτῷ· σὺ μόνος εἶ ἄρχων. καὶ δρᾷ· οὐκ ἔλαβον τὴν χώραν τῶν ἐπάνω Βαβυλῶνος καὶ Χαλάνης, οὗ ὁ πῦργος ὠκοδομήθη. καὶ ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν, ὃν τρόπον ταῦτας ἔλαβον, πάσας τὰς ἀρχὰς λήψομαι. ὀλολύξατε τὰ γλυπτὰ ἐν Ἱερουσαλήμ, καὶ ἐν Σαμαρείᾳ. ὃν τρόπον ἐποίησα Σαμαρείᾳ, καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω καὶ τῇ Ἱερουσαλήμ, καὶ τοῖς εἰδώλοις αὐτῆς. καὶ ἔσται ὅταν συντελέσῃ Κύριος πάντα ποιῆσαι ἐν τῷ ὄρει Σιὼν καὶ Ἱερουσαλήμ, ἐπάξει ὧν τοῦ νοῦ τοῦ μεγάλου ὧν τοῦ ἄρχοντος τῶν Ἀσσυρίων, καὶ ὧν τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. εἶπε γὰρ ἐν τῇ ἰσχύϊ ποιήσω, καὶ ἐν τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν πτωνομεύσω. καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ. καὶ οὐκ ἔσται ὃς διαφεύξεταί με, ἢ αὐτείπῃ μοι, καὶ αὐοίγω τὸ στόμα, καὶ τρισθίζω. μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ, ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; ὡσαύτως ἐὰν εἰ ἀρὴν ῥάβδον, ἢ ξύλον. καὶ οὐχ οὕτως, ἀλλὰ ἀπελεῖ Κύριος σαββαὼθ εἰς τὴν σὴν πιμελὴν ἀπιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται. καὶ ἔσαι τὸ φῶς τοῦ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ, καὶ φάγεται ὡσεὶ χόρτον τὴν ὕλην. τῇ ἡμέρᾳ ἐκείνῃ ἀπορριφήσονται τὰ ὄρη, καὶ οἱ βουνοί, καὶ οἱ δρυμοί, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. καὶ ἔσαι ὁ φεύγων, ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης. καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἀριθμὸς ἔσονται, καὶ παιδίον μικρὸν γράψει αὐτούς. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐκέτι προσθήσεται τὸ καταλειφθὲν Ἰσραὴλ, καὶ οἱ σωθέντες τοῦ Ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τὸν πατάξαντας αὐτόν, ἀλλὰ ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ. καὶ ἔσαι τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ θεὸν ἰσχύοντα. καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται. λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐν τῇ οἰκουμένῃ ὅλῃ. διὰ τοῦτο τάδε λέγει Κύριος Σαββαὼθ· μὴ φοβοῦ ὁ λαός μου οἱ κατοικοῦντες ἐν Σιὼν ἀπὸ Ἀσσυρίου, ὅτι ἐν ῥάβδῳ πατάξει σε. πλήσω γὰρ ἐπάγει ἐπὶ σε, τοῦ ἰσθῆναι ὅλον ἀγύπτου. ἔτι γὰρ μικρὸν, καὶ παύσεται ἡ ὀργή, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν. καὶ ἐγερεῖ Κύριος ὁ θεὸς τῶν δυνάμεων ἐπ' αὐτοὺς, κατὰ τὴν πληγὴν μαδιὰμ ἐν τόπῳ θλίψεως. καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' αἴγυπτον. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀφαιρεθήσεται ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ φόβος αὐτοῦ ἀπὸ σοῦ, καὶ καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν. ἥξει γὰρ εἰς τὴν πόλιν ἀγγαί, καὶ παρελεύσεται εἰς μαγγεδώ, καὶ ἐν μαχμὰς θήσει τὰ σκεύη αὐτοῦ, καὶ παρελεύσεται φάραγγα, καὶ ἥξει εἰς ἀγγαί, φόβος λήψεται ῥαμά, πόλιν Σαὰλ φεύξεται. χρεμέτισον φωνῇ σου θυγατὴρ γαλλείμ, ἐπακούσεται λαΐσα, ἐπακούσεται ἐν ἀναθώθ. καὶ ἔδραμε μαδμεμηνά, καὶ οἱ κατοικοῦντες γιββείμ. πρόκαλεῖται σήμερον ἐν ὅλῳ τοῦ μεῖναι, πρόκαλεῖται τὴν χεῖρα τὸ ὄρος τῆς θυγατρὸς σιὼν, ὦ οἱ βουνοὶ οἱ ἐν Ἱερουσαλήμ. ἰδοὺ ὁ δεσπότης κύριος σαββαὼθ, συντρίψει τὸν κλάδον μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ οἱ ὑψηλοὶ ταπεινωθήσονται. καὶ ταπεινωθήσονται οἱ ὑψηλοὶ μαχαίρᾳ, ὁ δὲ λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.

ΚΕΦΑΛ. ιά. 11.

Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτοὺς πνεῦμα κυρίου, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας ἐμπλήσει αὐτόν. πνεῦμα φόβου θεοῦ οὐ κρινεῖ τὸν δόξαν κρίσει, οὐδὲ κατὰ τὸν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς, καὶ πατάξει γῆν τοῦ λόγου τοῦ στόματος αὐτοῦ. καὶ ἐν πνεύματι δόξης χειλέων αὐτοῦ ἀνελεῖ ἀσεβῆ. καὶ ἔσαι δικαιοσύνη ἐζωσμένου τὸν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἱλημμένου τὰς πλευρὰς αὐτοῦ. καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς. καὶ βοῦς καὶ ἄρκος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται.

καὶ

καὶ λίωμ ὡς βοῦς φαγεται ἄχυρα, καὶ παιδίον νήπιον ὧδε προσγλῶσ ἀσπίδων. καὶ ὧδε λοιπὸν ἐκγόνων ἀσπίδων τῶ χεῖρα ὦδαλῶ. καὶ οὐ μὴ κακοποιήσουσιν, οὐδὲ μὴ διώκωνται ἀπολέσαι οὐδένα ὧδε ὄρ ὄ ἅγιόμ μ. ὅτι γνωσθήσ ἡ σύμπασα γῆ τ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσης. καὶ ἔσαι γὼ τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ ἰεσσαὶ, ὁ ἀνιστάμεν ἄρχειν ἐθνῶμ. ἐπ' αὐτὸμ ἔθνη ἐλποῦσι, καὶ ἔσαι ἡ ἀνάπαυσις αὐτοῦ τιμή. καὶ ἔσαι τῇ ἡμέρᾳ ἐκείνῃ, προσθήσει ὁ κύριος τοῦ δεῖξαι τῶ χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι τὸ κατάλειμμα τοῦ λαοῦ, ὃ ἐὰν κατάλειφθῇ ἀπὸ τῶ ἀσσυρίων, καὶ ἀπὸ αἰγύπτου, καὶ ἀπὸ βαβυλῶνος, καὶ ἀπὸ αἰθιοπίας, καὶ ἀπὸ ἐλαμιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἀπ' ἀράβιας, καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ σωάξει τοὺς ἀπολομένους ἰσραήλ. καὶ τοὺς διεσπαρμένους ἰούδα σωάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. καὶ ἀφαιρεθήσεται ὁ ζῆλος ἐφραὶμ, καὶ οἱ ἐχθροὶ ἰούδα ἀπολοῦνται. ἐφραὶμ οὐ ζηλώσει ἰούδαν, καὶ ἰούδας οὐ θλίψει ἐφραίμ. καὶ παραδήσονται γὼ τοῖσιν ἀλλοφύλων. θάλασσαν ἅμα πτερομοῦσουσι, καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν, καὶ ἰδομαίαν, καὶ ὧδε μακρὰν πρῶτον τὰς χεῖρας ὦδαλοῦσιν. οἱ δὲ υἱοὶ ἀμμὼν πρῶτοι ὑπακούονται. καὶ ὀρκώσει κύριος τὴν θάλασσαν αἰγύπτου, καὶ ὧδηλεῖ τῶ χεῖρα αὐτοῦ ὧδε ἐν ποταμοῦ πνοῦματι βιαίῳ, καὶ πατάξει ἑπτὰ φάραγγας, ὥστε διαπορεύεσθαι αὐτὸν γὼ ὑποδήμασι. καὶ ἔσαι διοδος τοῖς καταλειφθεῖσι μου λαῷ γὼ αἰγύπτου. καὶ ἔσαι τοῖς ἰσραὴλ, ὡς τῇ ἡμέρᾳ ὅτε ἐξῆλθεν ἐκ γῆς αἰγύπτου.

ΚΕΦΑΛ. ιβ'. 12.

ΚΑΙ ὀρεῖ γὼ τῇ ἡμέρᾳ ἐκείνῃ· ὑμνήσω σε κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸμ θυμόν σου, καὶ ἐλέησάς με. ἰδοὺ ὁ θεός μου σωτήρ μ, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, σωθήσομαι γὼ αὐτῷ, καὶ οὐ φοβηθήσομαι. διότι ἡ δόξα μ, καὶ ἡ αἴνεσίς μ κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. καὶ αὐτλήσατε ὕδωρ μετ' ὀφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. καὶ ὀρεῖς γὼ τῇ ἡμέρᾳ ἐκείνῃ· ὑμνεῖτε κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγέλατε γὼ τοῖς ἔθνεσι τὰ γὼ δόξα αὐτοῦ. μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. ὑμνήσατε τὸ ὄνομα κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν. ἀναγγέλατε ταῦτα γὼ πάσῃ τῇ γῇ. καὶ ἀγαλλιᾶσθε, καὶ ὀφραίνεσθε οἱ κατοικοῦντες σιὼν, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ ἰσραὴλ γὼ μέσῳ αὐτῆς.

ΚΕΦΑΛ. ιγ'. 13.

ΟΡασις ιγ' βαβυλῶνος, ἣν εἶδεν ἡσαΐας υἱὸς ἀμὼς ἐπ' ὄρους πεδινοῦ. ἄρατε σημεῖον, ὑψώσατε τῇ φωνῇ αὐτοῖς, μὴ φοβεῖσθε, πρόσκαλεῖτε τῇ χειρὶ, καὶ οἰσέρχεσθε οἱ ἄρχοντες, ἐγὼ συντάσσομαι, καὶ ἐγὼ ἄγω αὐτούς. γίγαντες ὀργὴν τῇ θυμόν μ, χαίροντες ἅμα καὶ ὑβρίζοντες. φωνὴ ἐθνῶν πολλῶν ὧδε τ ὀρέων, ὁμοία ἐθνῶν πολλῶν, φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων, κύριος σαβαὼθ γὼ τάσσεται ἔθνη ὁπλομαχῶν, ὀρχεῖται ἐκ γῆς πόῤῥωθεν ἀπ' ἄκρων θεμελίου τοῦ οὐρανοῦ, κύριος καὶ οἱ ὅπλομαχοι αὐτοῦ, καταφθεῖραι πᾶσαν τὴν οἰκουμένην. ὀλολύξατε, ἐγγὺς γὰρ ἡμέρα κυρίου, καὶ σωτηρία παρὰ τοῦ θεοῦ ἥξει. διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου διειλιάσει. παραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν ὡς γυναικὸς τίκτούσης. καὶ συμφορηθοῦσιν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἐκπήσονται, καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν. ἰδοὺ γὰρ ἡμέρα κυρίου ὀρχεται αὐίατος, καὶ μετὰ θυμοῦ, καὶ ὀργῆς θεῖναι τὴν οἰκουμένην ὄρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ ὠρίων, καὶ πᾶς ὁ διάσμος τοῦ οὐρανοῦ, τὸ φῶς οὐ δώσουσι. καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακὰ, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν, καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω. καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσαι ἢ ὁ λίθος ὁ ἐκ σαπφείρ. ὁ γὰρ οὐρανὸς θυμωθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς κυρίου σαβαὼθ, ἐν τῇ ἡμέρᾳ ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ. καὶ ἔσονται οἱ καταλελειμμένοι ὡς ἔλαφος διώκομενος φεύγων, καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔσται ὁ σωάζων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι, καὶ ἄνθρωπος εἰς τὴν χώραν ἑαυτοῦ διώξεται. ὃς γὰρ ἂν ἁλῶ ἠπηθήσεται, καὶ οἱ πινόμενοι σωπηθήσονται ἐν τῇ μαχαίρᾳ. καὶ τὰ τέκνα αὐτῶν ῥήξουσιν ἐνώπιον αὐτῶν, καὶ τὰς οἰκίας αὐτῶν πτερομοῦσουσι, καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν. ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς μήδους, οἳ ἀργύριον οὐ λογίζονται, οὐδὲ χρυσίου χρείαν ἔχουσι. τοξεύματα νεανίσκων συμβρίψουσι, καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν, οὐδὲ ὧδε τοῖς τέκνοις σου φείσονται οἱ ὀφθαλμοί αὐτῶν. καὶ ἔσαι βαβυλὼν ἡ καλεῖται ἐνδοξος ἀπὸ βασιλέως χαλδαίων, ὃν πρόσοπον κατέστρεψεν ὁ θεὸς σόδομα καὶ γομόῤῥας, οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ μὴ εἰσέλθωσιν εἰς αὐτὴν ἕως γενεῶν, οὐδὲ μὴ διέλθωσιν αὐτὴν ἄραβοι, οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσονται ἐν αὐτῇ. καὶ ἄρα ποιήσονται ἐκεῖ θηρία, καὶ ἐμπλησθήσονται αἱ οἰκίαι ἤχου. καὶ ἀναπαύσονται

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παύσονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχήσονται, καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσι, καὶ νοσοποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῶν.

ΚΕΦΑΛ. ιδ'. 14.

ΤΑχὺ ὄρχεται καὶ οὐ χρονιεῖ, καὶ ἡμέραι αὐτῶν οὐ μὴ ἐφελκυσθῶσι, καὶ ἐλεήσει κύριος τὸν ἰακὼβ, καὶ ἐκλέξεται ἔτι τὸν ἰσραὴλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γιώρας προσεθήσεται πρὸς αὐτούς, καὶ προσεθήσεται πρὸς τὸν οἶκον ἰακὼβ, καὶ λήψονται αὐτοὺς ἔθνη, καὶ εἰσοδεύσουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατακληρονομήσουσι, καὶ πληθυνθήσονται ἐπὶ τῆς τοῦ θεοῦ εἰς δούλους καὶ δούλας, καὶ ἔσονται αἰχμαλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτοὺς, καὶ κυριεύθήσονται οἱ κυριεύσαντες αὐτῶν. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναπαύσει σε κύριος ἀπὸ τῆς ὀδύνης, καὶ τοῦ θυμοῦ σου, καὶ τῆς δουλείας σου τῆς σκληρᾶς, ἧς ἐδούλευσας αὐτοῖς. καὶ λήψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα βαβυλῶνος, καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ὑπερασπιστής; συνέτριψε κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων. παιτάξας ἔθνος θυμῷ, πληγῇ ἀνιάτῳ, παίων ἔθνος πληγῇ θυμοῦ ᾗ οὐκ ἐφείσατο, ἀνεπαύσατο πεποιθώς. πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης, καὶ τὰ ξύλα τοῦ λιβάνου εὐφράνθησαν ἐπὶ σοί, καὶ ἡ λίσσηος τοῦ λιβάνου ἀφ' οὗ σὺ ἐκοίμησας, οὐκ ἀνέβη ὁ λιτόμων ἡμᾶς. ὁ ἅδης κατωθεν ἐπῆρέν σε συναντήσας σοι, συνεγόρθησάν σοι πάντες οἱ γίγαντες, οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν πάντες βασιλεῖς ἐθνῶν. πάντες ἀποκριθήσονται καὶ ἐροῦσί σοι. καὶ σὺ ἔκλης, ὡς καὶ ἡμεῖς. ἐν ἡμῖν δὲ κατελογίσθης. κατέβη εἰς ἅδην ἡ δόξα σου, ἡ πολὺ εὐφροσύνη σου. ὑπὸ κάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατάλειμμά σε σκώληξ. πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων, συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πᾶσι τοῖς ἔθνεσι. σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἀστέρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ, ὄρη τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. νυνὶ δὲ εἰς ᾅδην κατεβήσῃ, καὶ εἰς τὰ θεμέλια τῆς γῆς. οἱ ἰδόντες σε θαυμάσονται ἐπὶ σοί, καὶ ὁροῦσιν· οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν, ὁ σείων βασιλεῖς, ὁ θεὶς τὴν οἰκουμένην ὅλην ὄρημον, καὶ τὰς πόλεις αὐτοῦ κατέβαλε. τοὺς δὲ ἀπαγωγὴν οὐκ ἔλυσε. πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν δόξῃ, ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ. σὺ δὲ ῥιφήσῃ ἐπὶ τῶν ὀρέων, ὡς νεκρὸς ἐβδελυγμένος μετὰ πολλῶν τεθνηκότων ἐν μεμαχαιρωμένων μαχαίρᾳ, καταβαινόντων εἰς ᾅδην. ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός. διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας. οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν, ἑτοίμασον τὰ τέκνα σου σφαγὴν διὰ τὰς ἁμαρτίας τοῦ πατρὸς αὐτῶν, ἵνα μὴ ἀνασῶσι καὶ κληρονομήσωσι τὴν γῆν, καὶ ἐμπλήσωσι τὴν γῆν πολεμίων. καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει κύριος σαβαὼθ, καὶ ἀρῶ τὸ ὄνομα, καὶ κατάλειμμα, καὶ σπέρμα. πάλιν λέγει κύριος· καὶ θήσω τὴν βαβυλωνίαν ὄρημον, ὥστε κατοικεῖν ἐχίνους, καὶ ἔσαι εἰς ὀδηγόν. καὶ θήσω αὐτὴν πηλὸν βάραθρον εἰς ἀπώλειαν. πάλιν λέγει κύριος σαβαὼθ· ὃν τρόπον εἴρηκα, οὕτως ἔσαι, καὶ ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ, τοῦ ἀπολέσαι τοὺς ἀσυρίους ἐπὶ τῆς γῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων μου, καὶ ἔσονται εἰς κατάπατημα, καὶ ἀφαιρεθήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ λυτὸν αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαιρεθήσεται. αὕτη ἡ βουλὴ ἣν βεβούλευται κύριος ἐπὶ πᾶσι τοῖς ἔθνεσι τοῖς ὅλοις οἰκουμένοις, καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη. ἃ γὰρ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει; τοῦ ἔτους οὗ ἀπέθανεν ὁ βασιλεὺς ἄχαζ, ἐγένηθη τὸ ῥῆμα τοῦτο· μὴ θυφρανθείητε οἱ ἀλλόφυλοι πάντες, συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς. ἐκ γὰρ σπέρματος ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται ὄφεις πετόμενοι, καὶ βοσκηθήσονται πτωχοὶ δὶ αὐτοῦ. πτωχοὶ δὲ ἄνθρωποι ἐπὶ εἰρήνης ἀναπαύσονται. αὐτὸς δὲ γὰρ λιμῷ τὸ σπέρμα σου, καὶ τὸ καταλειμμά σου αὐτὸς ἀποκτενεῖ. ὀλολύξατε πύλαι πόλεως, κεκραγέτωσαν πόλεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες, ὅτι ἀπὸ βορρᾶ καπνὸς ὄρχεται, καὶ οὐκ ἔστι τὸ εἶδος. τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; ὅτι κύριος ἐθεμελίωσε σιών, καὶ δι' αὐτὸν σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.

ΚΕΦΑΛ. ιε'. 15.

ΤΟ ῥῆμα τὸ γενηθὲν περὶ μωαβίτιδος· νυκτὸς ἀπόλλυται ἡ μωαβῖτις, νυκτὸς γὰρ ἀπόλλυται τὸ τεῖχος τῆς μωαβίτιδος. λυπεῖδε ἐφ' ἑαυτοῖς, ἀπόλλυται γὰρ καὶ νεβῶ, οὗ ὁ βωμὸς ὑμῶν, ἐκεῖ ἀναβήσεσθε κλαίειν, ὡς ναβὰ τὸν τῆς μωαβίτιδος. ὀλολύξατε ὡς πᾶσης κεφαλῆς φαλάκρωμα πάντων βραχίονος κατατετμημένοι, ἐν ταῖς πλατείαις αὐτῆς περιζώσασθε σάκκους, καὶ κόπτεσθε ὡς τὸν ἀλωνίτην αὐτῆς, καὶ ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἐν ταῖς ῥύμαις αὐτῶν πάντων ὀλολύζετε μετὰ κλαυθμοῦ. ὅτι κέκραγεν ἐσεβὼν καὶ ἐλεελῆ, ἕως ἰασσὰ ἠκούθη ἡ φωνὴ αὐτῆς. διατοῦτο ἡ ὀσφὺς τῆς μωαβίτιδος βοᾷ, ἡ ψυχὴ αὐτῆς γνώσεται, ἡ καρδία

τῆς

ϑ μωαβίτιδ⊙ βοᾶ ϑν αὐτῇ ἕως σηγῶ. διάμαλις γὰρ ὅτι πρωτὴ, ὡδὶ δὲ ϑ ἀναβάσεως ϑ λεέθ· πῶς σὺ ἐλαύνοντ⊙ ἀναβήσονται τῇ ὁδῷ ἀρωνιείμ. βοᾶ, σώτριμμα κὴ σεισμός, τὸ ὕδωρ ϑ νεμρείμ ὄρημον ἔσαι, καὶ ὁ χόρτ⊙ αὐτῆς ἐκλείψ. χόρτ⊙ γὰρ χλωρὸς οὐκ ἔσαι. μὴ καὶ οὕτως μέλλει σωθῆναι; ἐπάξω γὰρ ὡδὶ τῷ φάραγγα ἀράβας, κὴ λήψονται αὐτὴν τὰ πῶ γὰρ ἡ βοὴ τὸ ὅριον ϑ μωαβίτιδ⊙, ϑ ἀγαλείμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τῦ φρεατ⊙ τῦ ἐλείμ ὀλολύγματ⊙ αὐτῆς. τὸ γὰρ ὕδωρ τὸ διβὼν πλησθήσεται αἵματ⊙. ἐπάξω γὰρ ὡδὶ διβὼν ἀράβας, καὶ ἀρῶ τὸ ἀπόρημα μωάβ, καὶ ἀριὴλ, καὶ τὸ διατάλιπον ἄδαμα.

ΚΕΦΑΛ. ις'. 16.

Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. μὴ πέτρα ὄρημ⊙ ἔσαι; τὸ ὄρος θυγατρὸς σιών; ἔσῃ γὰρ ὡς πετεινοῦ αὐτιπάμψα νεοσὸς ἀφηρημέν⊙ θύγατρ⊙ μωάβ, ἔπειτα δὲ ἀρνῶν πλείονα βουλύσ, πόϊ τι σκέπτη ἀφ' ὑθους αὐτοὶ διαπανῶς. ϑν μεσημβρίνῃ σκοτίᾳ φθύγουσιν, ἀζήσαν. μὴ ἀχθῆς, παροικήσουσί σοι οἱ φυγάδες μωάβ. ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντ⊙, ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλε⊙ ὁ διατραπατῶν ὡδὶ ϑ γῆς, κὴ διορθωθήσεται μετ' ἐλέους θρόν⊙, καὶ διαζεῖται ἐπ' αὐτῷ μετὰ ἀληθείας ϑν σκηνῇ δαβίδ, διρίνων καὶ ἐκζητῶν διρίμα, καὶ ἀποδύσων δικαιοσύνην. ἠκούσαμεν τὴν ὕβριν μωάβ, ὑβρισὰ σφόδρα τὴν ὑπερηφανίαν, καὶ ἡ ὕβρις αὐτ⊙, καὶ ἡ μιῶσις αὐτῦ. οὐχ οὕτως ἡ μαντεία σου, οὐχ οὕτως ὀλολύζει μωάβ, ϑν γὰρ τῇ μωαβίτιδι ϖαὐτὸν ὀλολύξουσι. τοῖς διατοικοῦσι δεσὲθ μελετήσεις, καὶ οὐκ ϑν τραπήσῃ τὰ ϖεδία ἐσεβῶν. ϖεθνήσει ἄμπελ⊙ σεβαμά. διατάπινον τὸν ἔθνη, διατάπατήσατε τὰς ἀμπέλας αὐτῆς, ἕως ἰαζήρ. ὁ μὴ σωάψητε, πλανήθητε τῇ ὄρημον, οἱ ἀπεσταλμένοι ἀπ' αὐτ⊙ ἐγιατελείφθησαν, διέβησαν γὰ τῇ θάλασσαν. διὰ τοῦτο διλαύσομαι, ὡς τὸν διλαυθμὸν ἰαζὴρ ἀμπελῶν σεβαμά. τὰ δάγδρα σου διατέβαλον ἐσεβῶν, καὶ ἐλαλήσαν, ὅτι ὠδὶ τοῦ θεσιμῶν, καὶ ὧν τοῦ πρωτεῖ σου διατάπατήσω, καὶ ϖάντα ϖεδιῶται. καὶ ἀρθήσεται σὺφροσύνη καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμπελώνων, καὶ ϑν τοῖς ἀμπελῶσί σου οὐ μὴ σύφραν θήσεται. καὶ οὐ μὴ πατήσωσιν οἶνον εἰς τὰ ὑπολήνια, ϖέπαυται γὰρ. διὰ τοῦτο ἡ διοιλία μου ὡδὶ μωάβ ὡς διθάρα ἤχησει, καὶ τὰ ϑντός μου ὡς τεῖχ⊙ ϑνεκαίνισας, καὶ ἔσαι εἰς τὸ ϑντραπλῶαί σε, ὅτι ἐκοπίασε μωάβ ὡδὶ τοῖς βωμοῖς, καὶ εἰσελεύσεται εἰς τὰ χεροποίητα αὐτῆς, ὥστε προσεύξασθαι, καὶ οὐ μὴ δύωται ἀζελέσθαι αὐτόν. τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε κύρι⊙ ὡδὶ μωάβ, ὁπότε καὶ ἐλάλησε. καὶ νῦν ἐλάλησε κύρι⊙, λέγων· ϑν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα μωάβ, ϖαντὶ τοῦ πολύτου τοῦ πολλῶ, καὶ διαπαλειφθήσεται ὀλιγοστός, καὶ οὐκ ϑντιμ⊙.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΔΑΜΑΣΚΟΥ.

ΚΕΦΑΛ. ιζ'. 17.

Ἰδοὺ διάμασκὸς ἀρθήσεται ἀπὸ πόλεως, καὶ ἔσαι εἰς πῶσιν διαπαλελειμμένη εἰς τὸν αἰῶνα. εἰς διοίτλω ποιμνίων καὶ ἀναπαυσιν, καὶ οὐκ ἔσαι ὁ διώκων. καὶ οὐκέτι ἔσαι ὀχυρὰ ϑ διαφυγεῖν ἐκεῖ τὸν ἐφραίμ. καὶ οὐκέτι Βασιλέια ϑν διαμασκῷ, καὶ τὸ διατάλειπον τῶν σύρων. οὐ γὰρ σὺ Βελτίων ἢ τῶν ὑῶν ἰσραὴλ, καὶ ϑ δόξης αὐτῶν. τάδε λέγει κύρι⊙ σαβαὼθ· ἔσαι ϑν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλείψις ϑ δόξης ἰακὼβ, καὶ τὰ πλείονα ϑ δόξης αὐτοῦ σειθήσεται. καὶ ἔσαι ὃν τρόπον ἐαύ τις σωαγάγῃ ἀμητὸν ἐκκόψῃ, καὶ ϖέρμα σαχύων ἀμήσῃ, καὶ ἔσαι ὃν τρόπον ἐαύ τις σωαγάγῃ σάχνα ϑν φάραγγι σόρεχ, καὶ διαλειφθῇ ϑν αὐτῇ διαλάμη. ἢ ὡς ῥώγες ἐλαίας δύο, ἢ τρεῖς ἐπ' ἄκρᾳ μετεώρᾳ, ἢ τέσσαρες, ἢ ϖγόντε ὡδὶ τῶν διλαδήλων αὐτῶν διαπαλειφθῶσι. τάδε λέγει κύρι⊙ ὁ θεὸς ἰσραὴλ· τῇ ἡμέρᾳ ἐκείνῃ ϖεποιθὼς ἔσαι ὁ ἄνθρωπ⊙ ὡδὶ τοῦ ποιῆσαι αὐτὸν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον τῦ ἰσραὴλ ἐμβλέψονται, καὶ οὐ μὴ ϖεποιθότες ὦσιν ὡδὶ τοῖς βωμοῖς, οὐδὲ ὧν τοῖς ὄργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δακτυλοι αὐτῶν, καὶ οὐκ ὄψονται τὰ δγάδρα, οὐδὲ τὰ βδελύγματα αὐτῶν. τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται αἱ πόλεις σου ἐγιατελελειμμέναι, ὃν τρόπον διατέλιπον οἱ ἀμορῥαῖοι, καὶ οἱ σύαῖοι ἀπὸ προσώπου τῶν ὑῶν ἰσραὴλ. καὶ ἔσονται ὄρημοι, διότι διατέλιπες τὸν θεὸν τὸν σωτῆρά σου, καὶ κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης. διατοῦτο φυτεύσει φύτευμα ἄμπισον, καὶ ϖέρμα ἄπισον. τῇ δὲ ἡμέρᾳ ᾗ ἂν φυτεύσῃς, πλανηθήσῃ. τὸ δὲ πρωὶ ἐὰν ϖείρῃς, αὐθήσει εἰς ἀμητὸν ἢ ἂν ἡμέρᾳ διληρώσῃ. καὶ ὡς πατὴρ ἀνθρώπου διληρώσει πνεῦς ὑούς σου. οὐαὶ πλῆθ⊙ ἐθνῶν πολλῶν. ὡς θάλασσα κυμαίνουσα, οὕτω ταραχθήσεσθε, καὶ νῶτ⊙ ἐθνῶν πολλῶν ὡς ὕδωρ ἠχήσει, ὡς ὕδωρ πολὺ ἔθνη πολλά, ὡς ὕδατ⊙ πολλοῦ βίᾳ φορυμοῦσι. καὶ ἀποσκορακιεῖ αὐτούς, καὶ ϖόῤῥω αὐτοὺς διώξεται, ὡς χοῦν ἀχύρου λικμιόντων ἀπὸ γάνδι αὐτοῦ, καὶ ὡς διονιστὸν τροχοῦ διαταγὶς φέρουσα. πῶς ἐπέραν ἔσαι ϖγόντ⊙, πρὶν ἢ πρωΐ, καὶ οὐκ ἔσαι, αὕτη ἡ μερὶς τῶν πονομούντων ἡμᾶς, καὶ διληρονομία τοῖς ὑμᾶς διληρονομήσασιν ὑμᾶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. ιή. 18.

Οναὶ γῆς πλοίων πτερύγων, ἐπέκεινα ποταμῶν αἰθιοπίας. ὁ ἀπέλλων ἐν θαλάσσῃ ἐν πλοίοις βιβλίνοις ἐπάνω τοῦ ὕδατος. πορεύεσθε γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μεμετεωρον, καὶ ξένον λαόν, καὶ χαλεπόν. εἰς αὐτὸ ἐπ' ἐκεῖνα ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον. νενῶ οἱ ποταμοὶ τῆς γῆς αὐτοῦ ὡς χώρα κατοικημένη κατοικισθήσεται. ἡ χώρα αὐτῶν ὥσει σημεῖον ἀπὸ ὄρους αἰῶνος, ὡς σάλπιγγος φωνὴ ἀκούσονται. διότι οὕτως εἶπε κύριος μοι ἀσφάλεια ἔσται ἐν τῇ ἐμῇ πόλει, ὡς φῶς καύματος μεσημβρίας, καὶ ὡς νεφέλη δρόσου ἡμέρας θερισμοῦ. ἔσται πρὸ τοῦ θερισμοῦ ὅταν σωτελεσθῇ ἄνθος, καὶ ὄμφαξ βλαστήσῃ ἄνθος ὁμφακίζοντος. καὶ ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις, καὶ τοὺς κλιμακτῆρας ἀφελεῖ, καὶ ἀπορρίψει, καὶ καταλείψει ἅμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ συναχθήσεται τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα τὰ θηρία τῆς γῆς ἐπ' αὐτῷ ἥξει. ἐν τῷ καιρῷ ἐκείνῳ ἐνεχθήσεται δῶρα κυρίῳ σαβαὼθ ἐκλατὸ τετλιμμένου, καὶ τετλιμμένου, καὶ ἀπὸ λαοῦ μεγάλου καὶ λαοῦ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα χρόνον ἔθνος ἐλπίζον, καὶ καταπεπατημένον, οὗ διεῖλε ἐν μέρει ποταμὸς τῆς χώρας αὐτοῦ, εἰς τὸν τόπον οὗ τὸ ὄνομα κυρίου σαβαὼθ εἰς ὄρος ἅγιον.

ΟΡΑΣΙΣ ΑΙΓΥΠΤΟΥ.

ΚΕΦΑΛ. ιθ'. 19.

Ἰδοὺ κύριος καθῆται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ. καὶ ἡ καρδία αὐτῶν ἐν αὐτοῖς, καὶ ἐπιγορβήσονται αἰγύπτιοι ἐπ' αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ. πόλις ἐπὶ πόλιν, καὶ νόμος ἐπὶ νόμον. καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω. καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους. καὶ παραδώσω τὴν αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν. τάδε λέγει κύριος σαβαὼθ. καὶ πίονται οἱ αἰγύπτιοι ὕδωρ ἐκ θαλάσσης, ὁ δὲ ποταμὸς ἐκλείψει, καὶ ξηρανθήσεται. καὶ ἐκλείψουσιν οἱ ποταμοί, καὶ αἱ διώρυγες τοῦ ποταμοῦ. καὶ ξηρανθήσεται πᾶσα σωαγωγὴ ὕδατος, καὶ ἐν πᾶσι τέλει καλάμῳ καὶ παπύρου, καὶ τὸ ἀχὶ τὸ χλωρὸν παρὰ τὸν λίμνην τοῦ ποταμοῦ, καὶ πᾶν σπέρμα τοῦ ποταμοῦ ξηρανθήσεται αὐτόματον. καὶ σγκάξουσιν οἱ ἁλιεῖς, καὶ σγκάξουσιν πάντες οἱ βάλλοντες ἀγκιστρον εἰς τὸν ποταμόν, καὶ οἱ βάλλοντες σαγήνας, καὶ ἀμφιβολεῖς πονηθήσονται. καὶ αἰσχυνθήσονται οἱ ὑφαίνοντες τὸ λινοῦν τὸ ψιλόν, καὶ τοὺς ὀργαζομένους τὴν βύσσον, καὶ ἔσονται οἱ ὀργαζόμενοι αὐτὰ ἐν ὀδύνῃ, καὶ πάντες οἱ ποιοῦντες τὸν ζυθὸν λυπηθήσονται, καὶ τὰς ψυχὰς πονέσουσι. καὶ μωροὶ ἔσονται οἱ ἄρχοντες τάνεως. οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως, ἡ βουλὴ αὐτῶν μωρανθήσεται. πῶς ἐρεῖτε τῷ βασιλεῖ υἱοὶ σωτῆρος ἡμεῖς υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς, ποῦ εἰσὶ νῦν οἱ σοφοί σου, καὶ ἀναγγειλάτωσάν σοι; καὶ ἐπάτωσαν, τί βεβούλευται κύριος σαβαὼθ ἐπ' αἴγυπτον; ἐξέλιπον οἱ ἄρχοντες τάνεως, καὶ ὑψώθησαν οἱ ἄρχοντες μέμφεως, καὶ πλανήσουσιν τὴν αἴγυπτον καὶ τὰς φυλὰς κυρίου γὰρ ἐκράσφ αὐτοῖς πνεῦμα πλανήσεως, καὶ ἐπλάνησαν αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων, καὶ ὁ ἐμῶν ἅμα. καὶ ἔσται τοῖς αἰγυπτίοις ἔργον ὃ ποιήσει κεφαλὴ καὶ οὐρά, καὶ ἄρχων καὶ τέλος. τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ αἰγύπτιοι ὡς γυναῖκες ἐν φόβῳ καὶ τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς κυρίου σαβαὼθ. ἣν αὐτὸς σείει ἐπ' αὐτούς. καὶ ἔσται ἡ χώρα τῷ ἰουδαίῳ τοῖς αἰγυπτίοις εἰς φόβητρον. πᾶς ὃς ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς φοβηθήσονται ἀπὸ τῆς βουλῆς, ἣν βεβούλευται κύριος σαβαὼθ ἐπ' αὐτήν. τῇ ἡμέρᾳ ἐκείνῃ πέντε πόλεις ἐν τῇ αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ χαναανίτιδι, καὶ ὀμνύουσαι τὸ ὄνομα κυρίου σαβαὼθ. πόλις ἀσεδὲκ κληθήσεται ἡ μία πόλις. τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ αἰγυπτίων, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ κυρίῳ. καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα κυρίῳ ἐν χώρᾳ αἰγύπτου. ὅτι κεκράξονται πρὸς κύριον ἀπὸ τῶν θλιβόντας αὐτούς, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει αὐτούς, κρίνων σώσει αὐτούς, καὶ γνωστὸς ἔσται κυρίῳ τοῖς αἰγυπτίοις, καὶ γνώσονται οἱ αἰγύπτιοι τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ποιήσουσι θυσίας, καὶ σπονδάς, καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ, καὶ ἀποδώσουσι. καὶ παταξεῖ κύριος τοὺς αἰγυπτίους πληγῇ, καὶ ἰάσεται αὐτούς, καὶ ἐπιστραφήσονται πρὸς κύριον, καὶ εἰσακούσεται αὐτῶν, καὶ ἰάσεται αὐτοὺς ἰάσει. τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ἡ ὁδὸς αἰγύπτου πρὸς ἀσσυρίους, καὶ εἰσελεύσονται ἀσσύριοι εἰς αἴγυπτον, καὶ αἰγύπτιοι πορεύσονται πρὸς ἀσσυρίους, καὶ δουλεύσουσιν αἰγύπτιοι τοῖς ἀσσυρίοις. τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ἰσραὴλ τρίτος ἐν τοῖς αἰγυπτίοις, καὶ ἐν τοῖς ἀσσυρίοις εὐλογημένος ἐν τῇ γῇ, ἣν εὐλόγησε κύριος σαβαὼθ, λέγων· εὐλογημένος ὁ λαός μου ὁ ἐν αἰγύπτῳ, καὶ ὁ ἐν ἀσσυρίοις, καὶ ἡ κληρονομία μου ἰσραήλ.

ΚΕΦΑΛ

ΚΕΦΑΛ. κά. 20.

Τοῦ ἔτους οὗ εἰσῆλθε νάθαν εἰς ἄζωτον, νίκα ἀπεσάλη ὑπὸ ἀρνὰ Βασιλέως ἀσσυρίων, καὶ ἐπολέμησε τὴν ἄζωτον, καὶ ἐλαπελάβετο αὐτῆς, τότε ἐλάλησε κύριος πρὸς ἡσαΐαν υἱὸν ἀμώς, λέγων· πορεύθη, καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου, καὶ τὰ σανδάλιά σου ὑποδήσαι ἀπὸ τῶν ποδῶν σου. καὶ ποίησον οὕτως πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος. καὶ εἶπε κύριος· ὃν τρόπον πεπόρευται ὁ παῖς μου ἡσαΐας γυμνὸς καὶ ἀνυπόδετος, τρία ἔτη ἔσται εἰς σημεῖα, καὶ τέρατα τοῖς ἀσσυρίοις, καὶ αἰθιόψιν, ὅτι οὕτως ἄξει βασιλεὺς ἀσσυρίων τὴν αἰχμαλωσίαν αἰγύπτου, καὶ αἰθιόπων νεανίσκους, καὶ πρεσβύτας γυμνοὺς, καὶ ἀνυποδέτους ἅμα ἀναλυμμένους τὴν ἀσχήμονα αἰγύπτου. καὶ αἰσχυνθήσονται ἐπὶ ἐλπιζόντων ἐπὶ τοῖς αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποιθότες οἱ αἰγύπτιοι, ἦσαν γὰρ αὐτοῖς δόξα. καὶ ὄψεσθε οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· ἰδοὺ ἡμεῖς ἦμεν πεποιθότες τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν, οὗτοι ἐδυνάσθησαν σωθῆναι ἀπὸ βασιλέως ἀσσυρίων, καὶ πῶς ἡμεῖς σωθησόμεθα.

ΤΟ ΡΗΜΑ ΤΗΣ ΕΡΗΜΟΥ.

ΚΕΦΑΛ. κά. 21.

Ὡς λαπυγὶς ἐν ὁρμῇ διέλθοι ἐξ ἐρήμου ὄρχομένη ἐκ γῆς φοβερᾶς ὅραμα, καὶ σκληρόν ἀνήγγελέ μοι. ὁ ἀθετῶν ἀθετεῖ, ὁ ἀνομῶν ἀνομεῖ. ἐπ' ἐμοὶ οἱ ἐλαμῖται, καὶ οἱ πρέσβεις τῶν πορσῶν ἐπ' ἐμὲ ὄρχονται. ναῦν σφάξω καὶ πῦρ καπίσω ἐμαυτόν. ὡς ἐπὶ σὺν γενεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως, καὶ ὠδῖνοι ἔλαβόν με ὡς τὴν τίκτουσαν. ἐδιάπησα τοῦ μὴ ἀκοῦσαι, ἐσαλεύθη τοῦ μὴ βλέπειν. ἡ καρδία μου πλανᾶται, καὶ ἡ ἀνομία με βαπτίζει. ἡ ψυχή μου ἐφρίκησεν ἐς φόβον. ἑτοιμάσατε τὴν τράπεζαν, φάγετε, πίετε, ἀναστῆτε οἱ ἄρχοντες ἀναπάσατε θυρεούς, ὅτι οὕτως εἶπε πρός με κύριος· βασίλισσα σεαυτῇ σῦκον σκοπόν, καὶ ὁ ἂν ἴδῃς ἀνάγγειλον. καὶ εἶδον ἀναβάτας ἱππεῖς δύο, καὶ ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου. ἀπροάσει ἀπροάσει πολλῷ, καὶ λάλεσον οὐρίαν ἐς τὴν σκοπὰν κυρίου. καὶ εἶπεν ἔστω διαπαντὸς ἡμέρας, καὶ ἐπὶ τῆς φυλακῆς ἐγὼ ἔστω ὅλην τὴν νύκτα, καὶ ἰδοὺ αὐτὸς ὄρχεται ἀναβάτης ξυνωρίδος. καὶ ἀποκριθεὶς εἶπε· πέπτωκε βαβυλὼν, καὶ πάντα τὰ ἀγάλματα αὐτῆς, καὶ τὰ χειροποίητα αὐτῆς συνετρίβησαν εἰς τὴν γῆν. ἀκόσατε οἱ καταλελειμμένοι, καὶ οἱ ὀδυνώμενοι, ἀκόσατε ἃ ἤκουσα παρὰ κυρίου σαβαὼθ, ὁ θεὸς τοῦ ἰσραὴλ ἀνήγγειλεν ἡμῖν.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΙΔΟΥΜΑΙΑΣ.

Πρὸς ἐμὲ κάλει παρὰ τοῦ σιὲρ, φυλάσσετε ἐπάλξεις. φυλάσσω τὸ πρωὶ καὶ τὴν νύκτα. ἐὰν ζητῆς ζήτει, καὶ πάλιν ἐμοὶ οἶκει, γῆν ἀραβίαν διανυκτερεύσατε ἐν τῇ ὁδῷ δαιδαὶμ. εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε οἱ κατοικοῦντες γῆν χώρας θαιμᾶν, ἄρτοις σωσατᾶτε τοῖς φεύγουσιν διὰ τὸ πλῆθος τῶν πεφονευμένων, καὶ διὰ τὸ πλῆθος τῶν πλανωμένων, καὶ διὰ τὸ πλῆθος τῶν μαχαίρας, καὶ διὰ τὸ πλῆθος τῶν τραυμάτων τῶν διατεταμένων, καὶ διὰ τὸ πλῆθος τῶν πεπτωκότων γὰρ ἀπὸ πολέμου. διότι οὕτως εἶπέ μοι κύριος· ἔτι γένοιτο ὡς γένοιτο μισθωτοῦ, ἐκλείψει ἡ δόξα τῶν ὑιῶν κηδὰρ, καὶ τὸ κατάλοιπον τῶν τραυμάτων τῶν ἰσχυρῶν υἱῶν κηδὰρ ἔσαι ὀλίγον, διότι κύριος ἐλάλησε ὁ θεὸς ἰσραήλ.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΦΑΡΑΓΓΟΣ ΣΙΩΝ.

ΚΕΦΑΛ. κβ. 22.

Τί ἐγήλετόσοι, ὅτι νῦν ἀνέβητε πάντοθεν εἰς δώματα μάταια. γενεπλήσθη ἡ πόλις βοώντων, οἱ τραυματίαι σου οὐ τραυματίαι ἐν μαχαίρᾳ, οὐδὲ οἱ νεκροί σου νεκροὶ πολέμου, πάντοθεν οἱ ἄρχοντές σου πεφεύγασι, καὶ οἱ ἁλόντες σκληρῶς δεδεμένοι εἰσὶ, καὶ οἱ ἰσχύοντες ἐν σοὶ πόρρω πεφεύγασι. διατοῦτο εἶπα· ἄφετέ με, πικρῶς κλαύσομαι. μὴ καταισχύσητε παρακαλεῖν με ἐπὶ τὸ συντριμμὰ τῆς θυγατρὸς τοῦ λαοῦ μου, ὅτι ἡμέρα παραχῆς καὶ ἀπωλείας καὶ καταπατήματος, καὶ πλάνησις παρὰ κυρίου σαβαὼθ ἐν φάραγγι σιὼν πλανῶντες, ἀπὸ μικροῦ ἕως μεγάλου πλανῶντες ἐπὶ τὰ ὄρη. οἱ δὲ ἐλαμῖται ἔλαβον φαρέτρας, καὶ ἀναβάται ἄνθρωποι ἐφ' ἵππους, καὶ σωαγωγὴ παρατάξεως. καὶ ἔσονται αἱ ἐκλεκτοὶ φάραγγές σου πλήθουσαι ἁρμάτων, οἱ δὲ ἱππεῖς ἐμφράξασι τὰς πύλας σου, καὶ ἀνακαλύψασι τὰς πύλας ἰούδα. καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους τῆς πόλεως, καὶ ἀνακαλύψουσι τὰ ἱερὰ τῶν οἴκων τῆς ἄκρας λαβίδ, καὶ εἶδοσαν ὅτι πλέονς εἰσί, καὶ ὅτι ἀπέστρεψε τὸ ὕδωρ τῆς ἀρχαίας διολυμβήθρας εἰς τὴν πόλιν. καὶ ὅτι διεθείλωσαν τοὺς οἴκους ἰσραὴλ εἰς ὀχυρώματα τείχους τῆς πόλεως, καὶ ἐποιήσατε αὐτοῖς ὕδωρ ἀνὰ μέσον τῶν δύο τειχέων, ἐσώτερον τῆς διολυμβήθρας τῆς ἀρχαίας, καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπαρχῆς ποιήσαντα αὐτὴν, καὶ τὸν κτίσαντα αὐτὴν οὐκ εἴδετε. καὶ ἐκάλεσε κύριος σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς κλαυθμὸν καὶ κοπετὸν, καὶ ξύρησιν καὶ ζῶσιν σάκκων, αὐτοὶ δὲ ἐποίησαν εὐφροσύνην καὶ ἀγαλλίαμα, σφάζοντες μόσχους, καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέατα, καὶ πιεῖν οἶνον λέγοντες· φαγώμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. καὶ ἀνακεκαλυμμένα ταῦτα ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐγκαινίζεσθε πρός με νῆσοι, οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν. ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγειλάτωσαν. τίς ἐξήγειρεν ἀπ' ἀνατολῶν δικαιοσύνην, ἐκάλεσεν αὐτὸν ἐπὶ πόδας αὐτοῦ, καὶ παρδίνετου. δώσει ἔναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκτήσει. καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα τὰ τόξα αὐτῶν, καὶ διώξεται αὐτούς, διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῷ ποδὶ αὐτοῦ. τίς ἐνήργησε καὶ ἐποίησε ταῦτα; ἐκάλεσεν αὐτὸν ὁ καλῶν αὐτὸν ἀπ' ἀρχῆς. ἐγὼ θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπόρχόμενα ἐγώ εἰμι. εἰδόσαν ἔθνη καὶ ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς ἤγγισαν, καὶ ἦλθον ἅμα κρίνων ἕκαστος τὸν πλησίον, καὶ τῷ ἀδελφῷ βοηθῆσαι, καὶ ἐρεῖ ἰσχυρὸν τέκτων, καὶ χαλκεὺς τύπτων σφῦρα, ἅμα ἐλαύνων. τότε μὲν ἐρεῖ, σύμβλημα καλόν ἐστιν, ἰσχυρώσαν αὐτὰ γόμφοις, θήσουσιν αὐτὰ, καὶ οὐ κινηθήσονται. σὺ δέ Ἰσραὴλ παῖς μου Ἰακώβ, καὶ ὃν ἐξελεξάμην ἀπὸ μακρὰς ἀρχῆς, ὃν ἠγάπησα, ὃς ἀνελαβόμην ἀπ' ἄκρων τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε, καὶ εἶπά σοι· παῖς μου εἶ, ἐξελεξάμην σε, καὶ οὐκ ἐγκατέλιπόν σε, μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι, μὴ πλανῶ. ἐγώ εἰμι ὁ θεός σου ὁ γενισχύσας, καὶ ἐβοήθησά σοι, καὶ ὑπερασπιῶμαί σε τῇ δεξιᾷ τῇ δικαίᾳ μου. ἰδοὺ αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, ἔσονται γὰρ ὡς οὐκ ὑπάρχοντες, καὶ ἀπολοῦνται πάντες οἱ ἀντιδίκοί σου, ζητήσεις αὐτοὺς, καὶ οὐ μὴ εὕρῃς τοὺς ἀνθρώπους οἱ πολεμοῦντές σε. ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ οὐκ ἔσονται οἱ ἀνδρες οἱ πολεμοῦντές σε, ὅτι ἐγὼ ὁ θεός σου, ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι· μὴ φοβοῦ Ἰακὼβ ὀλιγοστὸς Ἰσραὴλ, ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ θεός σου, ὁ λυτρούμενός σε Ἰσραήλ. ἰδοὺ δὲ ἐποίησά σε ὡς τροχὸν ἅμαξης ἀλῶντας καινοὺς πριστροειδεῖς, καὶ ἀλοήσεις ὄρη, καὶ λεπτυνεῖς βουνούς, καὶ ὡς χνοῦν θήσεις καὶ λικμήσεις, καὶ ἄνεμος λήψεται αὐτούς, καὶ καταιγὶς διασπερεῖ αὐτούς. σὺ δὲ εὐφρανθήσῃ ἐν τοῖς ἁγίοις Ἰσραὴλ, καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ, καὶ οἱ ἐνδεεῖς. ζητήσουσι γὰρ ὕδωρ, καὶ οὐκ ἔστι, καὶ γλῶσσα αὐτῶν ἀπὸ τῆς δίψους ἐξηράνθη. ἐγὼ κύριος ὁ θεός, ἐγὼ ἐπακούσομαι ὁ θεὸς Ἰσραὴλ, καὶ οὐκ ἐγκαταλείψω αὐτούς, ἀλλὰ ἀνοίξω ὕδωρ ἐν τοῖς ὄρεσιν ποταμούς, καὶ ἐν μέσῳ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

μέσῳ πεδίου πηγὰς, ποιήσω τὴν ἔρημον εἰς ἕλη ὑδάτων, καὶ τὴν διψῶσαν γῆν ὑδραγωγοῖς. βήσω εἰς τὴν ἄνυδρον γῆν διέξοδον, καὶ πῦξον, καὶ μυρσίνην, καὶ λυπάρεισον, ἐν λόγῳ κύπρου, ἵνα ἴδωσι καὶ γνῶσι, καὶ φρονήσωσι ἐν σωφροσύνῃ ἅμα, ὅτι χεὶρ κυρίου ἐποίησε ταῦτα πάντα καὶ ὁ ἅγιος τοῦ ἰσραὴλ κατέδειξεν. ἐγγίζει ἡ κρίσις ὑμῶν, λέγει κύριος ὁ θεός. ἤγγισαν αἱ βουλαὶ ὑμῶν, λέγει ὁ βασιλεὺς ἰακώβ. ἐγγισάτωσαν καὶ ἀναγγελάτωσαν ὑμῖν ἃ συμβήσεται, ἢ τὰ πρότερον τίνα ἦν. εἴπατε, καὶ ὑπομνήσωμεν ἐν νῷ, καὶ γνωσώμεθα τί τὰ ἔσχατα καὶ τὰ ἐπερχόμενα. εἴπατε ὑμῖν, ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτοις, καὶ γνωσόμεθα ὅτι θεοί ἐστε. ὑποποιήσατε καὶ μακώσατε, καὶ θαυμασόμεθα, καὶ ὀψόμεθα ἅμα ὅτι πόθεν ἐστὲ ὑμεῖς, καὶ πόθεν ἡ ἐργασία ὑμῶν. ἐκ γῆς βδελύγμα ἐξελέξατο ὑμᾶς, ἐγὼ δὲ ἤγειρα τὸν ἀπὸ βορρᾶ, καὶ ἦλθεν ἀφ' ἡλίου ἀνατολῶν πληθυνοῦντα τῷ ὀνόματί μου. ἐρχέσθωσαν ἄρχοντες, καὶ ὡς πηλὸς κεραμέως, καὶ ὡς κεραμεὺς καταπατῶν τὸν πηλόν, οὕτω καταπατηθήσεσθε. τίς γὰρ ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς ἵνα γνῶμεν; καὶ τὰ ἔμπροσθεν, καὶ ἐροῦμεν ὅτι ἀληθῆ ἐστιν. ἐκ τούτου ὁ πρωτεύων, ἐγὼ δὲ ὁ ἀκούων ὑμῶν τοὺς λόγους. ἀρχὴν σιὼν δίδωσι, καὶ ἱερουσαλὴμ παρακαλέσω εἰς ὄδυνον. ἀπὸ γὰρ τῶν ἐθνῶν ἰδοὺ οὐθέν, καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν οὐκ ἦν ὁ ἀναγγέλλων. καὶ ἐὰν ὁρωτήσω αὐτούς, πόθεν ἔσται; οὐ μὴ ἀποκριθῶσί μοι. εἰσὶ γὰρ οἱ ποιοῦντες ὑμᾶς, καὶ μάτην οἱ πλανῶντες ὑμᾶς.

ΚΕΦΑΛ. μβ'. 42.

ΙΑκὼβ ὁ παῖς μου, αὐτιλήψομαι αὐτοῦ· ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει, οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. κάλαμον σεσειασμένον οὐ συντρίψει, καὶ λίνον κεκαπνισμένον οὐ σβέσει· ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν, ἀναλάμψει, καὶ οὐ θραυσθήσεται, ἕως ἂν θήσει ἐπὶ τῆς γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. οὕτω λέγει κύριος ὁ θεός, ὁ ποιήσας τὸν οὐρανὸν, καὶ πήξας αὐτὸν, ὁ στερεώσας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῇ, καὶ πνοὴν τοῖς πατοῦσιν αὐτήν· ἐγὼ κύριος ὁ θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους μου, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς, καὶ καθημένους ἐν σκότει. ἐγὼ κύριος ὁ θεός, τοῦτό μου ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινὰ ἃ ἐγὼ ἀναγγέλλω, καὶ πρὸ τοῦ ἀναγεῖλαι ἐδηλώθη ὑμῖν. ὑμνήσατε τῷ κυρίῳ ὕμνον καινόν. ἡ ἀρχὴ αὐτοῦ, δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς, οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν, καὶ πλέοντες αὐτὴν, καὶ νῆσοι, καὶ οἱ κατοικοῦντες αὐτάς. σὺ φρανθήτω ὄρημος, καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις, καὶ οἱ κατοικοῦντες κηδαρ. σὺφρανθήσονται οἱ κατοικοῦντες πέτραν, ἀπ' ἄκρου τῶν ὀρέων βοήσουσι, δώσουσι τῷ θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀπαγγελοῦσι. κύριος ὁ θεὸς τῶν δυνάμεων ἐξελεύσεται, καὶ σωτρίψει πόλεμον, ἐπεγερεῖ ζῆλον, καὶ βοήσει ὡσεὶ ἀνὴρ ἐχθρὸς αὐτὸς μετὰ ἰσχύος. ἐσιώπησα ἀπ' αἰῶνος, μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; ὡς ἡ τίκτουσα ἐκαρτέρησα, ἐκπνέω καὶ ξηραινῶ ἅμα, ἐρημώσω ὄρη, καὶ βουνούς, καὶ πάντα χόρτον αὐτῶν ξηρανῶ, καὶ θήσω ποταμοὺς εἰς νήσους, καὶ ἕλη ξηρανῶ. καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ἤδεισαν πατῆσαι ποιήσω αὐτούς. ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν. ταῦτα τὰ ῥήματα ποιήσω αὐτοῖς, καὶ οὐκ ἐγκαταλείψω αὐτούς, αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω. Αἰσχύνθητε αἰσχύνῃ οἱ πέποιθότες ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς· ὑμεῖς ἐστε θεοὶ ἡμῶν. οἱ κωφοὶ ἀκούσατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν. καὶ τίς τυφλὸς ἀλλ' ἢ οἱ παῖδές μου, καὶ κωφοὶ ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; τίς τυφλὸς ὡς ὁ ἀπεγκλήτως, καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ; ἴδετε πλεονάκις, καὶ οὐκ ἐφυλάξασθε, ἀνεῳγμένα τὰ ὦτα, καὶ οὐκ ἤκουσατε. κύριος ὁ θεὸς ἠβούλετο ἵνα δικαιωθῇ, καὶ μεγαλυνθῇ αἴνεσιν. καὶ εἶδον, καὶ ἐγένετο ὁλοὸς πτοηνομευμένος καὶ διηρπασμένος. ἡ γὰρ παγὶς ἐν τοῖς ταμείοις πάντα ἦν, καὶ ἐν οἴκοις ἅμα, ὅτε ἔκρυψαν αὐτούς, ἐγένοντο εἰς πτόνομα, καὶ οὐκ ἦν ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ ἦν ὁ λέγων· ἀπόδος. τίς ἐν ὑμῖν γνώσεται τοῦτο; ὃς εἰσακούσεται εἰς τὰ ἐπερχόμενα; τίς ἔδωκεν εἰς διαρπαγὴν ἰακὼβ καὶ ἰσραὴλ τοῖς πτοηνομεύσασιν αὐτούς; οὐχὶ ὁ θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἠβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, οὐδὲ ἀκοῦσαι τὸν νόμον αὐτοῦ; καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν αὐτοὺς πόλεμος, καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ. καὶ οὐκ ἔγνωσαν ἕκαστος αὐτοῦ, οὐδὲ ἔθηκεν ἐπὶ καρδίᾳ.

ΚΕΦΑΛ. μγ'. 43.

ΚΑὶ νῦν οὕτως λέγει κύριος ὁ θεὸς ὁ ποιήσας σε ἰακὼβ, καὶ ὁ πλάσας σε ἰσραὴλ· μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε, ἐκάλεσά σε τὸ ὄνομά σου. ἐμὸς εἶ σύ, καὶ ἐὰν διαβαίνῃς διὰ ὕδατος, μετὰ σοῦ εἰμί, καὶ ποταμοί σου συγκλείσουσί σε. καὶ ἐὰν πορεύῃ διὰ πυρός, οὐ μὴ κατακαυθῇς, φλὸξ οὐ κατακαύσει σε, ὅτι ἐγὼ κύριος ὁ θεός σου, ὁ ἅγιος ἰσραὴλ, ὁ σώζων σε, ἐποίησα ἄλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαγμαί σε ἀγνοοῦσάν με, καὶ ἀθυμοῦσαν, καὶ σὲ ἡμᾶς ὡσεὶ σέ, ἀφ' ὃ ἐντιμος ἐγὼ σὺ ἀντίον ἐμοῦ, ἐδόξασάς με, καὶ ἐγώ σε ἠγάπησα, καὶ δώσω ἀνθρώπους ὡσεὶ σέ, καὶ ἄρχοντας ὡσεὶ τὴν ψυχήν σου, μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμι, ἀπὸ ἀνατολῶν ἄξω τὸ σπέρμα σου, καὶ ἀπὸ δυσμῶν συνάξω σε. ἐρῶ τῷ βορρᾷ· ἄγε, καὶ τῷ λιβὶ· μὴ κώλυε. ἄγε οἱ υἱός μου ἀπὸ γῆς πορρώθεν, καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρου γῆς, πάντας ὅσοι ἐπικέκληνται τὸ ὄνομά μου ἐπ' ἐμοί· εἰς γὰρ τὴν δόξαν μου κατεσκεύασα αὐτόν, καὶ ἔπλασα αὐτόν, καὶ ἐποίησα αὐτόν, καὶ ἤγαγον λαὸν τυφλόν, καὶ ὀφθαλμοὶ εἰσιν ὡσεὶ αὐτῶν τυφλοί, καὶ κωφοὶ καὶ τὰ ὦτα ἔχοντες. πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιοθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γένεσθέ μοι μάρτυρες. καὶ ἐγὼ μάρτυς, λέγει κύριος ὁ θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. ἐγὼ ὁ θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. ἐγὼ ἀπήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριον. ὑμεῖς μοι μάρτυρες, καὶ ἐγὼ κύριος ὁ θεός ἔτι ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενός με. ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτως λέγει κύριος ὁ θεός ὁ λυτρούμενός σε ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ, ἕνεκεν ὑμῶν ἀπεστάλην εἰς Βαβυλῶνα, καὶ ἐπεγερῶ φόβον τοὺς φεύγοντας πάντας, καὶ χαλδαῖοι ἐν πλοίοις δοξασθήσονται. ἐγὼ κύριος ὁ θεός, ὁ ἅγιος ὑμῶν, ὁ βασιλεὺς Ἰσραήλ. Βασιλεὺς ὑμῶν. ὅτι τάδε λέγει κύριος ὁ διδοὺς ἐν θαλάσσῃ ὁδόν, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον, ὁ ἐξαγαγὼν ἅρματα καὶ ἵππον, καὶ ὄχλον ἰσχυρόν. ἅμα κοιμηθήσαν, καὶ οὐκ ἀναστήσονται. ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον, μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε. ἰδοὺ ἐγὼ ποιῶ καινὰ, ἃ νῦν ἀνατελεῖ, καὶ γνώσεσθε αὐτά. καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδόν, καὶ ἐν τῇ ἀύδρῳ ποταμούς. δόξασάτω με τὰ θηρία τὰ ἄγρια, σειρῆνες, καὶ θυγατέρες στρουθῶν, ὅτι ἔδωκα τῇ ἐρήμῳ ὕδωρ, καὶ ποταμοὺς ἐν τῇ ἀύδρῳ, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτόν, λαόν μου ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι. οὐ νῦν ἐκάλεσά σε Ἰακώβ, σὲ δὲ κοπιάσαι σε ἐποίησα Ἰσραήλ, οὐκ ἠνέγκας μοι πρόβατά σε ὁλοκαρπώσεώς σε, σὲ δὲ ἐν ταῖς θυσίαις σε ἐδόξασάς με, σὲ ἐδούλωσας ἐν θυσίαις, σὲ δὲ ἐμοὶ κόπον ἐποίησας ἐν λιβάνῳ, σὲ δὲ ἐκτήσω μοι θυμίαμα ἄνευ ἀργυρίου, σὲ δὲ σταῖρ ἐν θυσίαις σε ἐπεθύμησας, ἀλλὰ ἐν ταῖς ἁμαρτίαις σε πόθεσάς με, καὶ ἐν ταῖς ἀδικίαις σε. ἐγώ εἰμι αὐτὸς ὁ ἐξαλείφων τὰς ἀνομίας σε ἕνεκεν ἐμοῦ, καὶ τὰς ἁμαρτίας σε, καὶ σὺ μνήσθητί μου, καὶ κριθῶμεν ἅμα. λέγε σὺ τὰς ἀνομίας σε πρῶτος, ἵνα δικαιωθῇς. οἱ πατέρες ὑμῶν πρῶτοι ἥμαρτον, καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ. καὶ ἐμίανον οἱ ἄρχοντες τὰ ἅγιά μου, καὶ ἔδωκα ἀπολέσαι Ἰακώβ, καὶ Ἰσραὴλ εἰς ὀνειδισμόν.

ΚΕΦΑΛ. μδ'. 44.

ΝΥΝ δὲ ἄκουσον Ἰακὼβ ὁ παῖς μου, καὶ Ἰσραὴλ ὃν ἐξελεξάμην. οὕτω λέγει κύριος ὁ θεός ὁ ποιήσας σε, καὶ ὁ πλάσας σε ἐκ κοιλίας ἔτι βοηθῶν. μὴ φοβοῦ παῖς μου Ἰακὼβ, καὶ ὁ ἠγαπημένος Ἰσραὴλ ὃν ἐξελεξάμην, ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν αὐύδρῳ. ἐπιθήσω τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου, καὶ ἀνατελοῦσιν ὡς ἀνὰ μέσον ὕδατος χόρτος, καὶ ὡς ἰτέα ἐπὶ παρόδου ὕδατος. οὗτος ἐρεῖ, τοῦ θεοῦ εἰμί, καὶ οὗτος βοήσεται ἐπὶ τῷ ὀνόματι Ἰακώβ, καὶ ἕτερος ἐπιγράψει χειρὶ αὐτοῦ, τοῦ θεοῦ εἰμί, ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ βοήσεται. ὅτως λέγει ὁ θεός ὁ βασιλεὺς Ἰσραὴλ, καὶ ῥυσάμενος αὐτὸν θεὸς σαβαὼθ· ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, πλὴν ἐμοῦ οὐκ ἔστιν ὁ θεός, τίς ὥσπερ ἐγώ; εἰπάτω, καὶ ἀναγγειλάτω, καὶ ἀναγγειλάτω, καὶ ἑτοιμασάτω μοι ἀφ' ὃ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀπαγγειλάτωσαν ὑμῖν. μὴ φοβηθῆτε, μηδὲ πλανᾶσθε. οὐκ ἀπ' ἀρχῆς ἀνωτίσασθε, καὶ ἀπήγγειλα ὑμῖν; μάρτυρες ὑμεῖς ἐστε, εἰ ἔστι θεὸς πλὴν ἐμοῦ. καὶ οὐκ ἦσαν τότε οἱ πλάσοντες, καὶ οἱ γράφοντες, πάντες μάταιοι, ποιοῦντες τὰ καταθύμια αὐτῶν, ἃ οὐκ ὠφελήσει αὐτούς, καὶ μάρτυρες αὐτῶν εἰσιν, οὐκ ὄψονται, καὶ οὐ γνώσονται ἵνα αἰσχυνθῶσιν. τίς πλάσει ἰσχυρὸν, καὶ γλυπτὸν χωνεύσει εἰς ὠφελείαν; ἰδοὶ οἱ κοινωνοῦντες αὐτῷ, ἀλλὰ αἰσχυνθήσονται οἱ πλάσαντες θεόν, καὶ γλύφοντες πάντες ὠφελεῖ, καὶ πάντες ὄθνειοι ἐγένοντο ἐξηράνθησαν. καὶ λυφοὶ ἀπὸ ἀνθρώπων συναχθήτωσαν πάντες, καὶ στήτωσαν ἅμα, καὶ φοβηθήτωσαν ἅμα, ὅτι ὠξυνε τέκτων σίδηρον, στερεὸν ἐργάσατο αὐτόν, ἐν ἄνθρακι καὶ ἐν τορείτῃ ἔτυψεν αὐτό. καὶ ἐργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ, καὶ πεινάσει, καὶ ἀδυνήσει, καὶ ὃ μὴ πίνῃ ὕδωρ. ἐκλεξάμενος τέκτων ξύλον, ἔτυψεν αὐτὸ ἐν μέτρῳ, καὶ ἐμόρφωσεν αὐτὸ ἐν παραγραφίδι, ἐποίησεν αὐτὸ ἐν πράγμασιν, καὶ ἐν κόλλῃ ἐρύθμησεν αὐτό. καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς, καὶ ὡς ὡραιότητα ἀνθρώπου, ἔπηξε αὐτὸ ἐν οἰκίσκῳ ὡς ἕνωψε ἐὰν τοῦ λιθίνους. καὶ ἔλαβε ἀγριοβάλανον, καὶ ἔφυτεν, καὶ ἐπαρτόρωσεν αὐτὸ ξύλον ἐκτὸς ἔφυτεν, ὃ ἐφύτευσεν κύριος πίτυν, καὶ ὑετὸς ἐμέκυνεν, ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν. καὶ λαβὼν ἀπ' αὐτοῦ, ἐθερμάνθη. καὶ καύσαντες ἔπεψαν ἄρτους

τας ἐπ' αὐτῷ, τὸ δὲ λοιπὸν ἐργάσασθε θεοὺς, καὶ προσκυνήσω αὐτοῖς, ἐποίησε αὐτὸ γλυπτὸν, καὶ κάμπτει αὐτοῖς, ὃ τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρί, καὶ ὑπὲρ τοῦ ἡμίσους αὐτοῦ ἐπιφέρων ἐπὶ τοῖς ἄνθραξιν αὐτοῦ, καὶ ἐπ' αὐτοῦ λιτεύει ἔφαγε, ὀπήσας ὤπησεν ὀπτὸν καὶ ἐνεπλήσθη. καὶ θερμανθεὶς εἶπεν· ἡδύ μοι, ὅτι ἐθερμάνθην, καὶ εἶδον πῦρ. τὸ δὲ λοιπὸν ἐποίησεν εἰς θεὸν γλυπτὸν, καὶ κάμπτει αὐτῷ, καὶ προσκυνεῖ, καὶ προσεύχεται αὐτῷ λέγων· ἐξελοῦ με, ὅτι θεός μου εἶ σύ. οὐκ ἔγνωσαν φρονῆσαι, ὅτι ἐπημαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν. καὶ οὐκ ἐλογίσατο τῇ ψυχῇ αὐτοῦ, οὐδὲ ἔγνω τῇ φρονήσει, ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρί, καὶ ἐπέψεν ὕδωρ τῷ ἀθράκων αὐτοῦ ἄρτους, καὶ ὀπήσας λιτεύε ἔφαγε, καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα ἐποίησε, καὶ προσκυνῶσιν αὐτῷ. γνῶθι ὅτι ποιμὴν ἡ καρδία αὐτῶν, καὶ πλανῶνται, καὶ οὐ δύνανται ἐξελέσθαι τὴν ψυχὴν αὐτοῦ. ἴδετε, οὐκ ἐρεῖτε ὅτι ψεῦδός ἐν τῇ δεξιᾷ μου. Μνήσθητι ταῦτα Ἰακὼβ καὶ Ἰσραὴλ, ὅτι παῖς μου εἶ σύ, ἔπλασά σε παῖδά μου, καὶ σὺ Ἰσραὴλ μὴ ὑπολαμβάνε με. ἰδοὺ γὰρ ἀπέλειψα ὡς νεφέλην τὰς ἀνομίας, καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου. ὑπόστρεψόν πρός με, καὶ λυτρώσομαί σε. εὐφράνθητε οὐρανοί, ὅτι ἠλέησεν ὁ θεὸς τὸν Ἰσραὴλ, σαλπίσατε τὰ θεμέλια τῆς γῆς, βοήσατε τὰ ὄρη εὐφροσύνην, οἱ βουνοὶ καὶ πάντα τὰ ξύλα τὰ ἐν αὐτοῖς, ὅτι ἐλυτρώσατο ὁ θεὸς τὸν Ἰακὼβ, καὶ Ἰσραὴλ δοξασθήσεται. οὕτω λέγει κύριος ὁ λυτρούμενός σε, καὶ πλάσας σε ἐκ κοιλίας· ἐγὼ κύριος ὁ ποιῶν πάντα ἐξέτεινα τὸν οὐρανὸν μόνος, καὶ ἐστερέωσα τὴν γῆν. τίς ἕτερος διασκεδάσει σημεῖα ἐγγαστριμύθων, καὶ μαντείας ἀπὸ καρδίας, ἀποστρέφων φρονίμους εἰς τὰ ὀπίσω, καὶ τὴν βουλὴν αὐτῶν μωραίνων, καὶ ἑδρᾶν ῥῆμα παιδὸς αὐτοῦ, καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων; ὁ λέγων τῇ ἱερουσαλὴμ· κατοικισθήσῃ, καὶ ταῖς πόλεσι τῆς Ἰουδαίας· οἰκοδομηθήσεσθε, καὶ τὰ ἔρημα αὐτῆς ἀνασήσω. ὁ λέγων τῇ ἀβύσσῳ· ἐρημωθήσῃ, καὶ οἱ ποταμός σου ξηρανῶ. ὁ λέγων Κύρῳ φρονεῖν, καὶ πάντα τὰ θελήματά μου ποιήσει. ὁ λέγων ἱερουσαλὴμ· οἰκοδομηθήσῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω.

ΚΕΦΑΛ. μέ. 45.

Οὕτω λέγει κύριος ὁ θεὸς τῷ χριστῷ μου Κύρῳ· οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων διαῤῥήξω, ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται. ἐγὼ ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ, θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συνθλάσω, καὶ δώσω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι, ἵνα γνῶς, ὅτι ἐγὼ κύριος ὁ θεὸς σου, ὁ καλῶν τὸ ὄνομά σου ὁ θεὸς Ἰσραήλ. ἕνεκεν τοῦ παιδός μου Ἰακὼβ, καὶ Ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου, ἐγὼ καλέσω σε τῷ ὀνόματί σου, καὶ προσδέξομαί σε. σὺ δὲ οὐκ ἔγνως με, ὅτι ἐγὼ κύριος ὁ θεὸς, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ θεός. γὼ ἴσχυσά σε, καὶ οὐκ ἤδεις με, ἵνα γνῶσιν οἱ ἀπ' ἀνατολῶν ἡλίου, καὶ οἱ ἀπὸ δυσμῶν, ὅτι οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ. ἐγὼ κύριος ὁ θεὸς, καὶ οὐκ ἔστιν ἔτι. ἐγὼ ὁ κατασκευάζων φῶς, καὶ ποιῶν σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. ἐγὼ ὁ θεὸς, ὁ ποιῶν πάντα ταῦτα. Εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην, ἀνατειλάτω ἡ γῆ, καὶ βλαστησάτω ἔλεος, καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα. ἐγώ εἰμι κύριος ὁ κτίσας σε, ποιῶν βέλτιον, καπασκεύασε ὡς πηλὸν κεραμέως. μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅλην τὴν ἡμέραν; μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ· τί ποιεῖς, ὅτι οὐκ ἐργάζῃ, οὐδὲ ἔχεις χεῖρας; μὴ ἀρκεισθήσεται ὁ πλάσμα πρὸς τὸν πλάσαντα αὐτό. ὁ λέγων τῷ πατρί· τί γεννήσεις; καὶ τῇ μητρί, τί ὠδίνεις; ὅτι οὕτω λέγει κύριος ὁ θεὸς ὁ ἅγιος Ἰσραὴλ, ὁ ποιήσας τὰ ἐπερχόμενα. ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου γνωτελάσατέ μοι. ἐγὼ ἐποίησα τὴν γῆν, καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ τῇ χειρί μου ἐστέρεωσα τὸν οὐρανὸν, ἐγὼ πᾶσι τοῖς ἄστροις γνωτελῶ μέλλω. ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πάσας αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου οὐ διαρέψει, οὐ μετὰ λύτρων, οὐ μετὰ δώρων, εἶπε κύριος Σαβαώθ. Οὕτω λέγει κύριος Σαβαώθ· ἐν πάσῃ αἰγύπτῳ, καὶ ἐμπορία αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπί σε διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ διαβήσονται πρὸς σὲ, καὶ προσκυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται. ὅτι ἐν σοὶ ὁ θεός ἐστι, καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ. σὺ γὰρ εἶ θεός, καὶ οὐκ ἤδεμεν, ὁ θεὸς τοῦ Ἰσραὴλ σωτήρ. αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ αὐτοκέλευστοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ. Ἐγκαινίζεσθε πρός με νῆσοι Ἰσραὴλ; σώζεται ὑπὸ κυρίου σωτηρίαν αἰώνιον, οὐκ αἰσχυνθήσονται, καὶ οὐ μὴ ἐντραπήσονται ἕως τοῦ αἰῶνος ἔτι, οὐκ ἔστι γὰρ οὐ μὴ ἐντραπῶσιν, εἰ καὶ διὰ τὴν πλανὴν τῶν εἰδώλων ἐνετράπησαν πρόσθεν· ὅτι οὕτως λέγει κύριος ὁ ποιήσας τὸν οὐρανὸν, οὗτος ὁ θεὸς ὁ καταπλάσας τὴν γῆν, καὶ ποιήσας αὐτὴν, αὐτὸς διώρισεν αὐτὴν, οὐκ εἰς κενὸν ἐποίησεν αὐτὴν, ἀλλὰ κατοικεῖσθαι ἔπλασεν αὐτὴν. ἐγώ εἰμι κύριος ὁ θεὸς, καὶ οὐκ ἔστιν ἔτι. οὐκ ἐν κρυφῇ ἐλάλησα, οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ, οὐκ εἶπα τῷ σπέρματι Ἰακὼβ· μάταιον ζητήσατε. ἐγώ εἰμι κύριος ὁ λαλῶν δικαιοσύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νίω, καὶ ἀναγγέλλων ἀλήθειαν. συναχθήτε καὶ ἥκετε, βουλεύσασθε ἅμα οἱ σῳζόμενοι ἀπὸ τῶν ἐθνῶν. οὐκ ἔγνωσαν οἱ αἴροντες τὸ ξύλον γλύμμα αὐτῶν, καὶ οἱ προσευχόμενοι πρὸς θεοὺς, οἳ οὐ σώζουσιν, οἱ ἀναγγέλλουσιν. ἐγγίσατωσαν, ἵνα γνῶσιν ἅμα τίς ἀκουσὰ ἐποίησε ταῦτα ἀπαρχῆς, τότε ἀναγγελεῖ ἡμῖν· οὐχὶ ἐγὼ κύριος ὁ θεός; καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ, δίκαιος καὶ σωτὴρ, οὐκ ἔστι πάρεξ ἐμοῦ. ἐπιστράφητε ἐπ' ἐμὲ, καὶ σωθήσεσθε, οἱ ἐπ' ἐσχάτου τῆς γῆς. ἐγώ εἰμι ὁ θεὸς, καὶ οὐκ ἔστιν ἄλλος. κατ' ἐμαυτοῦ ὀμνύω, εἰ μὴ ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη, οἱ λόγοι μου οὐκ ἀποστραφήσονται, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν θεὸν, λέγων· δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξει, καὶ αἰσχυνθήσονται πάντες οἱ διορίζοντες αὐτόν, ἀπὸ κυρίου δικαιωθήσονται, καὶ ἐν τῷ θεῷ ἐνδοξασθήσεται πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ.

ΚΕΦΑΛ. μϛ'. 46.

Ἔπεσε Βήλ, συνετρίβη δαγών, ἐγένοντο τὰ γλυπτὰ αὐτῶν εἰς θηρία, καὶ τὰ ἑτοῖμα. αἴρετε αὐτὰ καταδεδεμένα ὡς φορτίον κοπιῶντι ἐκλελυμένῳ, καὶ πεινῶντι, οὐκ ἰσχύον τι ἅμα, οἳ οὐ δυνήσονται σωθῆναι ἀπὸ πολέμου, αὐτοὶ δὲ αἰχμάλωτοι ἤχθησαν. Ἀκούσατέ μου οἶκος τοῦ Ἰακὼβ, καὶ πᾶν τὸ κατάλοιπον τοῦ Ἰσραὴλ, οἱ αἰρόμενοι ἐκ κοιλίας, οἱ παιδευόμενοι ἐκ παιδίου ἕως γήρους. ἐγώ εἰμι, καὶ ἕως αὖ καταγηράσητε, ἐγώ εἰμι, ἐγὼ αὐέχομαι ὑμῶν, ἐγὼ ἐποίησα, καὶ ἐγὼ αὐήσω, ἐγὼ ἀναλήψομαι καὶ σώσω ὑμᾶς. τίνι με ὡμοιώσατε; ἴδετε, τί χαλασάσθε οἱ πλανώμενοι, καὶ οἱ συμβαλλόμενοι χρυσίον ἐκ μαρσυππίου, καὶ ἀργύριον ἐν ζυγῷ, σήσουσιν ἐν σαθμῷ, καὶ μισθωσάμενοι χρυσίον ἐποίησαν χειροποίητα, καὶ εὐψαυτοῦ προσκυνοῦσιν αὐτῷ, αἴρουσιν αὐτὸ ὑπὸ τὸ ὦμον, καὶ πορεύονται. ἐὰν δὲ θῶσιν αὐτὸ ὑπὸ τόπου αὐτοῦ, μένει, οὐ μὴ κινηθῇ. καὶ ὃς ἐὰν βοήσῃ πρὸς αὐτὸν, οὐ μὴ εἰσακούσῃ, ἐκ κακῶν οὐ μὴ σώσῃ αὐτόν. μνήσθητε ταῦτα, καὶ σχάξατε, μετανοήσατε οἱ παραπλανηθέντες, ἐπιστρέψατε τῇ καρδίᾳ, καὶ μνήσθητε τὰ πρότερα ἐκ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι ὁ θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ, ἀναγγέλλων πρότερον τὰ ἐσχατα πρὶν αὐτὰ γενέσθαι, καὶ ἅμα συντελέσθη. καὶ εἶπα· πᾶσα ἡ βουλή μου στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι ποιήσω, καλῶν ἀπὸ ἀνατολῶν πετεινόν, καὶ ἀπὸ γῆς πόρρωθεν πρὶ ὧν βεβούλευμαι ἐλάλησα, καί γε ἤγαγον, ἔκτισα καὶ ἐποίησα, ἤγαγον αὐτὸν, καὶ εὐώδωσε τὴν ὁδὸν αὐτοῦ. ἀκούσατέ μου, οἱ ἀπολωλεκότες τὴν καρδίαν, οἱ μακρὰν ἀπὸ τῆς δικαιοσύνης, ἤγγισα τῇ δικαιοσύνῃ μου, οὐ μὴ μακρυνθῇ, καὶ τὴν σωτηρίαν τῶν παρ' ἐμοῦ οὐ βραδύνω. δίδωμι γὰρ σιὼν σωτηρίαν τῷ Ἰσραὴλ εἰς δόξασμα.

ΚΕΦΑΛ. μζ'. 47.

Κατάβηθι, κάθισον ὑπὸ τὴν γῆν, παρθένου θύγατερ Βαβυλῶνος, κάθισον εἰστήλβε εἰς τὴν γῆν. οὐκ ἔστι θρόνος θύγατερ Χαλδαίων, ὅτι οὐκέτι προσθήσει κληθῆναι ἁπαλὴ καὶ τρυφερά. λάβε μύλον, ἄλεσον ἄλευρον, ἀποκάλυψε τὸ κατάλειμμά σου, ἀνάσυρε τὰς πολιὰς, ἀποκάλυψε τὰς κνήμας, διάβηθι ποταμούς, ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου, φανήσονται οἱ ὀνειδισμοί σου, τὸ δίκαιον ἐκ σοῦ λήψομαι, οὐκέτι μὴ παραδῶ ἀνθρώποις. ὁ ῥυσάμενός σε λύτρωσις Καββαὼθ, ὄνομα αὐτῷ ἅγιος Ἰσραήλ. κάθισον κατανύγμυμνη, εἴστηλβε εἰς τὸ σκότος θύγατερ Χαλδαίων, οὐκέτι μὴ κληθήσῃ ἰσχὺς Βασιλείας. παρωξύνθην ἐπὶ τῷ λαῷ μου, ἐμίανα τὴν κληρονομίαν μου. ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὴν χεῖρά σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος, τὸ πρεσβύτερόν ἐβάρυνας τὸν ζυγόν σφόδρα, καὶ εἶπας εἰς τὸν αἰῶνα ἔσομαι ἄρχουσα. οὐκ ᾠήθης ταῦτα ἐν τῇ καρδίᾳ σου, οὐδὲ ἐμνήσθης τὰ ἔσχατα; νῦν δὲ ἄκουε ταῦτα τρυφερά, ἡ καθημένη, ἡ πεποιθυῖα, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς· ἐγώ εἰμι, καὶ ὄκ ἔστιν ἑτέρα, οὐ καθίσω χήρα, οὐδὲ γνώσομαι ὀρφανίαν. νῦν δὲ ἥξει ὑπὸ σὲ τὰ δύο ταῦτα ἐξαίφνης ἐν ἡμέρᾳ μιᾷ, ἄτεκνία καὶ χηρεία ἥξει ἐξαίφνης ὑπὸ σὲ, ἐν τῇ φαρμακείᾳ σου, ἐν τῇ ἰσχύι τῶν ἐπαοιδῶν σου σφόδρα τῇ ἐλπίδι τῆς πονηρίας σου. καὶ σὺ εἶπας· ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. γνῶθι ὅτι ἡ σώτησις οὕτως ἔσαι, καὶ ἡ πορνεία σου σοὶ αἰσχύνη. καὶ εἶπας τῇ καρδίᾳ σου· ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. καὶ ἥξει ὑπὸ σὲ ἀπώλεια, καὶ οὐ μὴ γνῶς, καὶ ἐμπέσῃ εἰς αὐτόν. καὶ ἥξει ὑπὸ σὲ πάλαι πωρία, οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι. καὶ ἥξει ὑπὸ σὲ ἐξαπίνης ἀπώλεια, καὶ οὐ μὴ γνῶσι. στῆθι νῦν σὺν ταῖς ἐπαοιδαῖς σου, καὶ σὺν τῇ πολλῇ φαρμακείᾳ σε, ἃ ἐμαν θανες ἐκ νεότητός σου, εἰ δυνήσῃ ὠφεληθῆναι, εἰ πῶς δυνήσῃ ἰσχῦσαι, ἐκοπίακας γὰρ ταῖς βουλαῖς σου. στήτωσαν δή, καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγελάτωσάν σοι, τί μέλλει ὑπὸ σὲ ἔρχεσθαι. ἰδοὺ πάντες ὡς φρύγανα ὑπὸ πυρὶ κατακαυθήσονται, καὶ ὁ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός, ὅτι ἔχεις ἄνθρακας πυρός, καυθήσεται ἐπ' αὐτούς, ὅτοι ἔσονταί σοι βοήθεια. ἐκοπίασας γὰρ τῇ μετανοίᾳ ἐκ νεότητος, ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία.

Κεφάλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. μη'. 48.

Ακούσατε ταῦτα οἶκος Ιακώβ, οἱ κεκλημένοι ἐπὶ τῷ ὀνόματι Ισραὴλ, καὶ ἐξ ὕδατος Ιούδα ἐξελθόντος, οἱ ὀμνύοντες τὸ ὄνομα κυρίου θεοῦ Ισραὴλ, μιμνησκόμενοι οὐ μετὰ ἀληθείας, οὐδὲ μετὰ δικαιοσύνης, καὶ αὐτοὶ χρήματι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας. καὶ ἐπὶ τῷ θεῷ Ισραὴλ αὐτισκιζόμενοι, κύριος σαβαὼθ ὄνομα αὐτῷ, τὰ πρότερα ἔτη ἀπ' ἀγγέλλω, καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθε, καὶ ἀκουστὸν ἐγένετο. ἐξαπίνα ἐποίησε, καὶ ἀπῆλθον, γινώσκων ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. καὶ ἀπήγγελά σοι πάλαι, πρὶν ἐλθεῖν εἰς σε. ἀκουστόν σοι ἐποίησα, μήποτε εἴπῃς ὅτι τὰ εἴδωλά μου ἐποίησε, καὶ εἴπῃς ὅτι τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι. ἀκούσατε πάντα, καὶ ὑμεῖς οὐκ ἔγνωτε. ἀλλὰ καὶ νῦν ἀκουστά σοι ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν, ἃ μέλλει γίνεσθαι. καὶ ἐκ εἴπας· νῦν γίνεται, καὶ τὸ πάλαι. καὶ ὑστεραίας ἡμέρας, καὶ οὐκ ἤκουσας αὐτά. μὴ εἴπῃς· ναὶ γινώσκω αὐτά. οὔτε ἔγνως, οὔτε ἤκουσας, ὅτε ἀπ' ἀρχῆς ἠνοίγη σου τὰ ὦτα. ἔγνων γάρ, ὅτι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομον ἐπ' ἐκ κοιλίας κληθήσῃ. ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος μακροθυμήσω σοι τὸν θυμόν μου, καὶ τὰ ἐνδοξά μου ἐπάξω ἐπὶ σε, ἵνα μὴ ἐξολεθρεύσω σε. ἰδοὺ πεπρακά σε, οὐχ ἕνεκεν ἀργυρίου. ἐξελασάμην δέ σε ἐκ καμίνου πτωχείας, ἕνεκεν ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ἐμὸν ὄνομα βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. ἄκουέ μου Ιακώβ, καὶ Ισραὴλ ὃν ἐγὼ καλῶ, ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα, καὶ ἡ χείρ μου ἐθεμελίωσε γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. καλέσω αὐτούς, καὶ στήσονται ἅμα, καὶ σωαχθήσονται πάντες, καὶ ἀκούσονται· τίς αὐτοῖς ἀπήγγειλε ταῦτα; ἀγαπῶν σε ἐποίησα τὸ θέλημά σου ἐπὶ Βαβυλῶνα, τοῦ ἆραι σπέρμα χαλδαίων. ἐγὼ ἐλάλησα, ἐγὼ ἐκάλεσα, ἤγαγον αὐτόν, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ. πρόσαγάγετε πρός με, καὶ ἀκούσατε ταῦτα· ἐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ ἐλάλησα. ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην, καὶ νῦν κύριος κύριος ἀπέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. ὅτω λέγει κύριος, ὁ ῥυσάμενός σε, ὁ ἅγιος Ισραὴλ· ἐγὼ κύριος ὁ θεός σου διδάσκει σε χρήσιμα σοι, τοῦ εὐθῦναί σε τὴν ὁδὸν ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ. καὶ εἴκασας τοῖς ἐντολῶν μου, ἐγένετο ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου, καὶ ἡ δικαιοσύνη σου ὡς κῦμα θαλάσσης. καὶ ἐγένετο ὡσεὶ ἄμμος τὸ σπέρμα σου, καὶ τὰ ἔκγονα τῆς κοιλίας σου ὡς ὁ χοῦς τῆς γῆς. οὐδὲ νῦν ἐξολεθρευθῇς, οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιόν μου. ἔξελθε ἐκ Βαβυλῶνος, φεύγων ἀπὸ τῶν χαλδαίων, φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ ἀκουστὸν γενέσθω τοῦτο, ἀπαγγείλατε ἕως ἐσχάτου τῆς γῆς. λέγετε· ἐρρύσατο κύριος τὸν δοῦλον αὐτοῦ Ιακώβ, καὶ ἐὰν διψήσωσιν, ἐν τῇ ὁρήμῳ ἄξει αὐτούς, ὕδωρ ἐκ πέτρας ἐξάξει αὐτοῖς, χιοδήσεται πέτρα, καὶ ῥυήσεται ὕδωρ, καὶ πίεται ὁ λαός μου. ἐκεῖ γάρ, λέγει κύριος, τοῖς ἀσεβέσιν.

ΚΕΦΑΛ. μθ'. 49.

Ακούσατέ μου νῆσοι, καὶ πρόσεχετε ἔθνη, μακρὰν χρόνον πολλὸν ἔσεσθε, λέγει κύριος. ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου, καὶ ἔθηκε τὸ στόμα σου ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἐκρυψέ με. ἔθηκέ με ὡσεὶ βέλος ἐκλεκτὸν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἐκρυψέ με. καὶ εἶπέ μοι· δοῦλός μου εἶ σὺ Ισραὴλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι. καὶ ἐγὼ εἶπα· εἰκῇ ἐκοπίασα, εἰς μάταιον καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου. διὰ τοῦτο ἡ κρίσις μου παρὰ κυρίῳ, καὶ ὁ πόνος μου ἐναντίον τοῦ θεοῦ μου. καὶ νῦν οὕτω λέγει κύριος, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ, τοῦ συναγαγεῖν τὸν Ιακὼβ πρὸς αὐτὸν, καὶ Ισραὴλ συναχθήσομαι, καὶ δεδοξασθήσομαι ἐναντίον κυρίου, καὶ ὁ θεός μου ἔσται μοι ἰσχύς. καὶ εἶπέ μοι· μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ιακὼβ, καὶ τὴν διασποράν τοῦ Ισραὴλ ἐπιστρέψαι. ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν, ἕως ἐσχάτου τῆς γῆς. οὕτως λέγει κύριος, ὁ ῥυσάμενός σε ὁ θεὸς Ισραὴλ· ἀγιάζατε τὴν φαυλίζουσαν τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τὸν δοῦλον τῶν ἀρχόντων. βασιλεῖς ὄψονται καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσι διὰ τὸν κύριον, ὅτι πιστός ἐστιν ὁ ἅγιος Ισραὴλ, καὶ ἐξελεξάμην σε. ὅτως λέγει κύριος· καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταπεῖσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίας ἐρήμους, λέγοντας τοῖς ἐν δεσμοῖς· ἐξέλθετε, καὶ τοῖς ἐν τοῖς σκότεσι, ἀναπαυφθῆναι. ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν. οὐ πεινάσουσι, οὐδὲ διψήσουσιν, οὐδὲ παταξει αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ ἥλιος, ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς, καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσι, οὗτοι ἀπὸ βορρᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς περσῶν. εὐφράνθητε ἔρημοι, καὶ ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην, καὶ οἱ βουνοὶ δικαιοσύνην, ὅτι ἠλέησεν ὁ θεὸς τὸν λαὸν αὐτοῦ, καὶ οὗς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν. Εἶπε δὲ σιὼν· ἐγκατέλιπέ με κύριος, καὶ ὁ κύριος ἐπελάθετό μου. μὴ ὠδίνησέ τινα γυνὴ τοῦ παιδίου αὐτῆς; ἢ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνή, ἀλλ' ἐγὼ οὐκ
ἐπιλήσομαί σου, εἶπε Κύριος. ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη, καὶ ἐνώπιόν
μου εἰσὶ διαπαντός, καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης, καὶ οἱ ὀρύσσοντές σε ἐξελεύσον
ται ἐκ σοῦ. ἆρον κύκλῳ σοῦ ὀφθαλμούς σου, καὶ ἴδε πάντας, ἰδοὺ συνήχθησαν, καὶ ἦλθόσαν
πρὸς σέ. ζῶ ἐγώ, λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ὡς κόσμον ἐνδύσῃ, καὶ περιθήσει αὐτοὺς ὡς
κόσμον νύμφη, ὅτι τὰ ὄρημά σου καὶ τὰ κατεφθαρμένα, καὶ τὰ κατεπεπωκότα. ὅτι νῦν στενο
χωρήσει ἀπὸ τῶν κατοικούντων, καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ καταπίνοντές σε. ὀρῶσι γὰρ εἰς
τὰ ὦτά σου οἱ υἱοί σου, ὃς ἀφῄλατέκασε σένος μοι ὁ τόπος, ποίησόν μοι τόπον ἵνα κατοικήσω. καὶ
ὀρεῖς ἐν τῇ καρδίᾳ σου· τίς ἐγέννησέ μοι τούτους; ἐγὼ δὲ ἄτεκνος καὶ χήρα, παροικῶσα καὶ ἐγκε
κλεισμένη, τούτους δὲ τίς ἐξεθρέψατό μοι; ἐγὼ δὲ κατελήφθην μόνη, οὗτοι δὲ μοῦ ποῦ ἦσαν; οὕτως
λέγει Κύριος Κύριος· ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου, καὶ εἰς τοὺς λαοὺς ἀρῶ σύσσημόν μου,
καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπ' ὤμων ἀροῦσι, καὶ ἔσονται βασιλεῖς
παιδοί σου, αἱ δὲ ἀρχόντισσαι αὐτῶν τροφοί σου, ὑπὸ πρόσωπον τῆς γῆς προσκυνήσουσί σοι, καὶ τὸν
χοῦν τῶν ποδῶν σου λείξουσι, καὶ γνώσῃ ὅτι ἐγώ Κύριος ὁ Θεός, καὶ οὐκ αἰσχυνθήσονται οἱ ὑ
πομένοντές με. μὴ λήψεται τις παρὰ γίγαντος σκῦλα; καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως
σωθήσονται; ὅτι οὕτω λέγει Κύριος· ὅτι ἐὰν τις αἰχμαλωτίσῃ γίγαντα, λήψεται σκῦλα.
λαμβάνω δὲ παρὰ ἰσχύοντος σωθήσεται. ἐγὼ δὲ τοὺς λοιδοροῦντάς σε κρινῶ, καὶ ἐγὼ τοὺς υἱούς
μου ῥύσομαι, καὶ φαγονται οἱ θλίψαντές σε τὰς σαρκας αὐτῶν, καὶ πίονται ὡς οἶνον νέον
τὸ αἷμα αὐτῶν, καὶ μεθυσθήσεται πᾶσα σὰρξ, ὅτι ἐγὼ Κύριος ὁ ῥυόμενός σε, καὶ ἀντιλαμ
βανόμενός σου ἰσχυρὸς Ἰακώβ.

ΚΕΦΑΛ. ν'. 50.

Οὕτως λέγει Κύριος· ποῖον τοῦτο βιβλίον τῆς ἀφέσεώς τῆς μητρὸς ὑμῶν, ᾧ ἐξαπέστειλα
αὐτὴν; ἢ τίνι ὑποχρέῳ τῶν πραιτόντων με, ᾧ πέπρακα ὑμᾶς αὐτούς; ἰδοὺ ταῖς ἁμαρ
τίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέσταλται ἡ μήτηρ ὑμῶν, ὃν τρόπον ἐλθόν, καὶ
οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων. μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσα
σθαι, ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; ἰδοὺ ἐλεγμῷ μου ἐξερημώσω τὴν θάλασσαν, καὶ θήσω ποτα
μοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ ἰχθῦς αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ, καὶ ἀποθανοῦνται ἐν δίψει.
ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον θήσω τὸ περιβόλαιον αὐτοῦ. Κύριος Κύριος δίδω
σί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι καιρὸν δὲ εἰπεῖν λόγον. Ἐθνικὲ με πρωΐ πρωΐ, προσέθη
κέ μοι ὠτίον τοῦ ἀκούειν, καὶ ἡ παιδεία Κυρίου ἀνοίγει μοι τὰ ὦτα, ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντι
λέγω. τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν
μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ Κύριος Κύριος βοηθός μοι ἐγκαίνιθι. διατοῦτο
οὐκ ἐντραπήσομαι, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς σκληρὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ,
ὅτι ἐγγίζει ὁ δικαιώσας με. τίς ὁ κρινόμενός μοι, ἀντιστήτω μοι ἅμα. καὶ τίς ὁ κρινόμενός μοι, ἐγ
γισάτω μοι. ἰδοὺ Κύριος βοηθήσει μοι, τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιω
θήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς. τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω
τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. οἱ πορευόμενοι ἐν σκότει καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ
τὸν ὄνομα Κυρίου, καὶ αὐτοκρίσασθε ἐπὶ τὸν Θεόν. ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ καπ
γύετε φλόγα. πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ἣν ἐξεκαύσατε. διὰ ἐμὲ ἐγέ
νετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

ΚΕΦΑΛ. λ'. 51.

Ἀκούσατέ μου οἱ διώκοντες τὸ δίκαιον, καὶ ζητοῦντες τὸν Κύριον, ἐμβλέψατε εἰς τὴν
σπορεὰν πέτραν ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λατομου ὃν ὠρύξατε. ἐμ
βλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάρραν τὴν ὠδίνασαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκά
λεσα αὐτὸν, καὶ εὐλόγησα αὐτὸν, καὶ ἠγάπησα αὐτὸν, καὶ ἐπλήθυνα αὐτόν. καὶ σὲ νῦν
παρακαλέσω σιὼν, καὶ παρεκάλεσα πάντα τὰ ὄρημα αὐτῆς, καὶ θήσω τὰ ὄρη αὐτῆς ὡς
παράδεισον, καὶ τὰς πόας αὐτῆς ὡς παράδεισον Κυρίου. εὐφροσύνην καὶ ἀγαλ
λίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολόγησιν καὶ φωνὴν αἰνέσεως. ἀκούσατέ μου, ἀκούσατέ μου
λαός μου, καὶ οἱ Βασιλεῖς πρός με ἐνωτίσασθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρί
σις μου εἰς φῶς ἐθνῶν. ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου,
καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν. ἐμὲ νῆσοι ὑπομενοῦσι, καὶ εἰς τὸν βραχίονά μου
ἐλπιοῦσιν, ἐμὲ νῆσοι ὑπομενοῦσι. Ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἐμβλέ
ψατε εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐσκεδάσθη, ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθή
σεται. οἱ δὲ κατοικοῦντες ὥσπερ ταῦτα ἀποθανοῦνται. τὸ δὲ σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσε
ται, ἡ δὲ δικαιοσύνη μου οὐ μὴ ἐκλείπῃ. ἀκούσατέ μου οἱ εἰδότες κρίσιν, λαὸς οὗ ὁ νόμος
μου ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν

μὴ

μὴ ἡ πληθὺς. ὡς γὰρ ἐμάτιον βρωθήσεται ὑπὸ χρόνου, καὶ ὡς ὄριον βρωθήσεται ὑπὸ σητὸς, ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσαι, τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν. Εγείρε ἐξεγείρου ἰερουσαλήμ, καὶ ἐνδύσαι τὸν ἰσχὺν τοῦ βραχίονός σου, ἐξεγείρε ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ αἰῶνος. σὺ εἶ ἡ λατομήσασα πλάτος, διαῤῥήξασα δράκοντας; οὐ σὺ εἶ ἡ ὀρύξασα θάλασσαν, ὕδωρ ἄβυσσα πλῆθος, ἡ θεῖσα τὰ βάθη τῆ θαλάσσης ὁδὸν διαβάσεως ῥυομένοις καὶ λελυτρωμένοις. ὑπὸ γὰρ λυθέντα ἄφεσιν ἀφήσουσιν, καὶ ἥξουσιν εἰς σιὼν μετ' εὐφροσύνης, καὶ ἀγαλλιάματος αἰωνίου. ἐπὶ κεφαλῆς γὰρ αὐτῶν ἄνεσις καὶ εὐφροσύνη καταλήψονται αὐτούς. ἀπέδρα ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. ἐγώ εἰμι, ἐγώ εἰμι αὐτὸς ὁ παρακαλῶν σε, γνῶθι τίς οὖσα ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ, καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἱ ὡσεὶ χόρτος ἐξηράνθησαν, καὶ ἐπελάθου θεοῦ τοῦ ποιήσαντά σε, τοῦ ποιήσαντος τὸν οὐρανὸν, καὶ θεμελιώσαντα τὴν γῆν. καὶ φοβῇ ἀεὶ πάσας τὰς ἡμέρας, τὸ πρόσωπον τοῦ θυμοῦ τοῦ θλίβοντός σε. ὃν τρόπον γὰρ ἐβουλεύσατο τοῦ ἀραί σε, καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε; ἐν γὰρ τάχει σώζεσθαί σε, ἀ σήσεται, οὐδὲ χρονιεῖ, καὶ θανατώσει εἰς διαφθοράν, καὶ ἀ μὴ ὑστερήσει ἄρτος αὐτοῦ. ὅτι ἐγώ ὁ θεός σου, ὁ ταράσσων τὴν θάλασσαν, καὶ ἠχοῦν τὰ κύματα αὐτῆς, κύριος σαβαὼθ. θήσω δὲ λόγους μου εἰς τὸ στόμα σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ ἔστησα τὸν οὐρανὸν, καὶ ἐθεμελίωσα τὴν γῆν. καὶ ἐρεῖ σιών· κύριος εἶ σύ, ἐξεγείρε, ἐξεγείρου, ἀνάστηθι ἰερουσαλήμ, ἡ πιοῦσα ἐκ χειρὸς κυρίου τὸ ποτήριον τοῦ θυμοῦ αὐτοῦ. τὸ ποτήριον γὰρ τῆς πτώσεως, τὸν κόνδυ τοῦ θυμοῦ ἐξέπιες καὶ ἐξεκένωσας, καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἐκ πασῶν τῶν τέκνων σου, ὧν ἔτεκες, καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου, ἀπὸ τῶν τέκνων σου ὧν ὕψωσας. διὰ ταῦτα ἀντικείμενά σοι, τίς λυπηθήσεταί σοι, πῆμα καὶ συντριμμα, λιμὸς καὶ μάχαιρα; τίς παρακαλέσει σε; οἱ υἱοί σου οἱ ἐκρεόμενοι, οἱ καθεύδοντες ἐπ' ἄκρου πάσης ἐξόδου, ὡς σύρτιλιον ἠμίεφθον, οἱ πλήρεις θυμοῦ κυρίου ἐκλελυμένοι διὰ θυμοῦ κυρίου τοῦ θεοῦ. διὰ τοῦτο ἄκουε ταπεινωμένη, καὶ μεθύουσα οὐκ ἀπὸ οἴνου. οὕτω λέγει κύριος ὁ θεός, ὁ κρίνων τὸν λαὸν αὐτοῦ, ἰδοὺ εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸν κόνδυ τοῦ θυμοῦ μου, καὶ οὐ προσθήσει ἔτι πιεῖν αὐτό, καὶ δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων σε, καὶ τῶν ταπεινωσάντων σε. οἱ εἶπαν τῇ ψυχῇ σου, κύψον, ἵνα παρέλθωμεν. καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μέσα σου ἔξω τοῖς παραπορευομένοις.

ΚΕΦΑΛ. νϚ'. 52.

Ἐξεγείρε ἐξεγείρε σιών, ἔνδυσαι τὴν ἰσχύν σου σιών, καὶ σὺ ἔνδυσαι τὴν δόξαν σε ἰερουσαλήμ, πόλις ἁγία, οὐκέτι προσθήσεται διελθεῖν διὰ σὲ ἀπερίτμητος καὶ ἀκάθαρτος. ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι, κάθισον ἰερουσαλήμ, ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου σε ἡ αἰχμάλωτος θυγάτηρ σιών. ὅτι τάδε λέγει κύριος· δωρεὰν ἐπράθητε, καὶ οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε. ὅτι οὕτως λέγει κύριος, κύριος ὁ θεός· εἰς αἴγυπτον κατέβη ὁ λαός μου τὸ πρόσθεν, παροικῆσαι ἐκεῖ, καὶ εἰς ἀσσυρίους βίᾳ ἤχθησαν, καὶ νῦν τί ἔσαι ὧδε; τάδε λέγει κύριος, ὅτι ἐλήφθη ὁ λαός μου δωρεάν, θαυμάζετε καὶ ὀλολύζετε. τάδε λέγει κύριος· διὰ ὑμᾶς διαπαντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι, διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου. διὰ τοῦτο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν, πάρειμι. ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς ὡραῖοι οἱ πόδες τοῦ εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὃς εὐαγγελίζεται ἀγαθά, ὅτι ἀκοὴν ποιήσει τῇ σωτηρίᾳ σε, λέγων· σιὼν βασιλεύσει σε ὁ θεός, ὅτι φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται, ὅτι ὀφθαλμὸς πρὸς ὀφθαλμοὺς ὄψονται, νίκα αὐτὴν κύριος τὴν σιών, ῥήξατε εὐφροσύνην ἅμα τὰ ὄρη ἰερουσαλήμ, ὅτι ἠλέησε κύριος αὐτὴν, καὶ ἐρρύσατο ἰερουσαλήμ. καὶ ἀπεκάλυψε κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς τὸ σωτήριον τὸ παρὰ τοῦ θεοῦ ἡμῶν. ἀπόστητε ἀπόστητε, ἐξέλθετε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅψησθε, ἐξέλθετε ἐκ μέσου αὐτῆς, ἀφορίσθητε οἱ φέροντες τὰ σκεύη κυρίου, ὅτι ὁ μετὰ ταραχῆς ἐξελεύσεσθε, οὐδὲ φυγῇ πορεύεσθε, προπορεύσεται γὰρ πρόσωπον ὑμῶν κύριος, ὁ καὶ ἐπισωρεύων ὑμᾶς θεὸς ἰσραήλ. Ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται, καὶ μετεωρισθήσεται σφόδρα. ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τοῦ ἀνθρώπου τὸ εἶδός σε, καὶ ἡ δεξιά σε ἀπὸ ὑμῶν ἀνθρώπων. οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν, ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι.

ΚΕΦΑΛ. νγ'. 53.

Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ. οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα. καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ πονεῖ

πρὸς ἡμᾶς ὁδὸν ἄτραπον, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι γὰρ πόνος, καὶ γὰρ πληγὴ τοῦ θεοῦ, καὶ γὰρ
πακώσει. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας
ἡμῶν. παιδεία εἰρήνης ἡμῖν ἐπ' αὐτὸν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. πάντες ὡς πρόβατα
ἐπλανήθημεν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις
ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη,
καὶ ὡς ἀμνὸς ἀναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει
ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ
τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἦλθε εἰς θάνατον. καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς
πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος ἐν τῷ στόματι αὐτοῦ. καὶ
κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ πληγῆς, ἐὰν δῶτε περὶ ἁμαρτίας ἡ ψυχὴ ὑμῶν, ὄψεται
σπέρμα μακρόβιον. καὶ βούλεται κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν ἀπὸ τοῦ πόνου τὴν ψυχὴν αὐ-
τοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον, εὖ δουλεύοντα πολλοῖς, καὶ
τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μερι-
σθήσεται. ἀντὶ ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁ-
μαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.

ΚΕΦΑΛ. νδ'. 54.

Εὐφράνθητι σεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς
ὀρφανῆς μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. εἶπε γὰρ κύριος· πλάτυνον τὸν τόπον τῆς σκη-
νῆς σου, καὶ τὰς διφθέρας τῶν αὐλέων σου πῆξον. μὴ φείσῃ, μακρύνατε τὰ σχοινίσματά σου, καὶ οὓς
πασσάλους σου κατίσχυσον, ἔτι εἰς τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἐκπέτασον. καὶ τὸ σπέρμα σου ἐθνη
κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς. μὴ φοβοῦ, ὅτι κατῃσχύνθη, μηδὲ ἐντραπῇς, ὅ-
τι ὠνειδίσθης, ὅτι αἰσχύνην αἰώνιον ἀπολήψῃ, καὶ ὀνειδισμὸς τῆς χηρείας σου τὸ μὴ μνησθῆναι ἔτι, ὅτι
κύριος ὁ ποιῶν σε, κύριος σαββαὼθ ὄνομα αὐτῷ. καὶ ὁ ῥυσάμενός σε αὐτὸς θεὸς ἰσραὴλ, πάσῃ
σου τῇ γῇ κληθήσεται. ὡς γὰρ γυναῖκα κατακαλεσαμένῳ μοι, καὶ ὀλιγόψυχον κέκληκέ σε ὁ κύ-
ριος, καὶ ὡς γυναῖκα ἐκ νεότητος μεμισημένῳ. εἶπεν ὁ θεὸς, ὀλίγον μικροῦ κατέλιπόν σε,
καὶ μετ' ἐλέους μεγάλου ἐλεήσω σε. ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ, καὶ ἐν
ἐλέει αἰωνίῳ ἐλεήσω σε. εἶπεν ὁ ῥυσάμενός σε κύριος, ἀπὸ τοῦ ὕδατος τοῦ Νῶε τοῦτό μοι ἐ-
στὶ καθότι ὤμοσα αὐτῷ ἐν τῷ χρόνῳ ἐκείνῳ τῇ γῇ, μὴ θυμωθήσεσθαί σοι ἔτι, μηδὲ ἐν ἀπει-
λῇ σου τὰ ὄρη μεταστήσεσθαι, οὐδὲ οἱ βουνοί σου μετακινηθήσονται. οὕτως οὐδὲ τὸ παρ' ἐμοῦ σοι ἔ-
λεος ἐκλείψει, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης μου οὐ μετασῇ. εἶπε γάρ, ἐλεῶ σοι κύριε ταπεινὴ καὶ
ἀκατάστατος, οὐ παρεκλήθης. ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου, καὶ τὰ θεμέλιά σου
σάπφειρον, καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς πύλας σου λίθους, λερυσάλλους λίθους, καὶ
πὸν περίβολόν σου λίθους ἐκλεκτούς, καὶ πάντας οὺς υἱούς σου διδακτοὺς θεοῦ, καὶ ἐν πολλῇ εἰρήνῃ
τὰ τέκνα σου, καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ. ἀπέχουσα ἀπὸ ἀδίκου καὶ οὐ φοβηθήσῃ, καὶ πρὸ
μου οὐκ ἐγγιεῖ σοι. ἰδοὺ προσήλυτοι προσελεύσονταί σοι ἐμοῦ, καὶ πρὸς ἐμὲ προσκείσονταί σοι, καὶ ὧν σὲ
καταφεύξονται. ἰδοὺ ἐγὼ ἔκτισά σε, οὐχ ὡς χαλκεὺς φυσῶν ἐν πυρίᾳ ἄνθρακας, καὶ ἐκφέρων
σκεῦος εἰς ὄργανον· ἐγὼ δὲ ἔκτισά σε, οὐκ εἰς ἀπώλειαν φθείρας. πᾶν σκεῦος ὃ ἐὰν σὲ
οὐ διοδεύσῃ, καὶ πᾶσα φωνὴ αὐχήσει σοι εἰς κρίσιν. πάντας οὐδὲν ἡγήσεις, οὗτος
δὲ ὁ χόρτος σου ἔσονται ἐν αὐτῇ, ἔστι κληρονομία τοῖς θεραπεύουσι κύριον, καὶ ὑμεῖς ἔσεσθε μοι
δίκαιοι, λέγει κύριος.

ΚΕΦΑΛ. νε'. 55.

Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσα-
τε, καὶ φάγετε, καὶ πορεύεσθε, καὶ ἀγοράσατε ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ
σίκαρα. ἵνα τί τιμᾶσθε ἀργύριον ἐν οὐκ ἄρτοις, καὶ τὸν μόχθον ὑμῶν οὐκ εἰς πλησμονήν; ἀκούσατέ
μου, καὶ φάγεσθε ἀγαθὰ, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. προσέχετε τοῖς ὠσὶν
ὑμῶν, καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου. εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυ-
χὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον. τὰ ὅσια Δαβὶδ τὰ πιστὰ, ἰδοὺ μαρτύριον
ἐν ἔθνεσιν ἔδωκα αὐτὸν, ἄρχοντα καὶ προστάσοντα ἔθνεσι. ἰδοὺ ἔθνη ἃ οὐκ ᾔδεισάν σε, ὦν κα-
λέσουσί σε, καὶ λαοὶ οἳ οὐκ ἐπίστευσάν σοι, ὑμῖν σὲ καταφεύξονται, ἐν ἐκ τοῦ θεοῦ σου
τοῦ ἁγίου ἰσραὴλ, ὅτι ἐδόξασέ σε. ζητήσατε τὸν κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ὦν καλέσα-
τε. νῦν κα δ' ὡς ἐγγίζει ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βου-
λὰς αὐτοῦ, καὶ ὧν ἐπιστραφήτω ὑμῖν κύριον, καὶ ἐλεηθήσεται, καὶ πρὸς τὸν θεὸν ὑμῶν, ὅτι ὧν πο-
λὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. ὁ γὰρ εἰσὶν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ ὥσπερ
αἱ ὁδοί ὑμῶν, αἱ ὁδοί μου, λέγει κύριος· ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει
ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. ὡς γὰρ ἂν
καταβῇ ὑετὸς, ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ ὁ μὴ ἀποστραφῇ ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκ-

τένῃ,

τέκη, καὶ ἐκβλαστήσῃ, καὶ δῶ ἀφορμὴ τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν. οὕτως ἔσαι ὁ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, ὁ μὴ ἀποστραφῇ πρός με ἐσχόν, ἕως ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα, καὶ εὐοδώσω τὰς ὁδούς σου, καὶ τὰ γόνατά μου. ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διοδεύσεσθε. τὰ γὰρ ὄρη, καὶ οἱ βουνοὶ ἐξαλοῦνται πρόσθεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ὀπιπροτήσει τοῖς κλάδοις, καὶ ἀντὶ τῆς σκιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη. καὶ ἔσαι κύριος εἰς ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

ΚΕΦΑΛ. νϛ'. 56.

Τάδε λέγει κύριος· φυλάσσεσθε κρίσιν, καὶ ποιήσατε δικαιοσύνην, ἤγγικε γὰρ τὸ σωτήριόν μου παραγίνεσθαι, καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι. μακάριος ἀνὴρ ὁ ποιῶν τοῦτο, καὶ ἄνθρωπος ὁ ἀντεχόμενος αὐτῶν, καὶ φυλάσσων τὰ σάββατα μὴ βεβηλῶν, καὶ σώζων τὰς χεῖρας αὐτοῦ μὴ ποιεῖν ἄδικα. Μὴ λεγέτω ὁ ἀλλογενὴς, ὁ προσκείμενος πρὸς κύριον λέγων· ἀφορισμῷ ἀφορεῖ με ἀπὸ κυρίου ἀπὸ τοῦ λαοῦ αὐτοῦ. καὶ μὴ λεγέτω ὁ εὐνοῦχος· ὅτι ξύλον ἐγώ εἰμι ξηρόν. τάδε λέγει κύριος τοῖς εὐνούχοις· ὅτι ἐὰν φυλάξωντα τὰ σάββατά μου, καὶ ἐκλέξωντα ἃ ἐγὼ θέλω, καὶ ἀντέχωντα τῆς διαθήκης μου, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστόν, κρείττω ὑμῶν καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλείψει. καὶ τοῖς ἐκλεκτοῖς ἀλλογενέσι τοῖς προσκειμένοις κυρίῳ δουλεύειν αὐτῷ, καὶ ἀγαπᾶν τὸ ὄνομα κυρίου, τοῦ εἶναι αὐτῷ εἰς δούλους καὶ δούλας, καὶ πάντας τοὺς φυλασσομένους τὰ σάββατά μου, μὴ βεβηλοῦν, καὶ ἀντεχομένους τῆς διαθήκης μου, εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου, καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου. τὰ ὁλοκαυτώματα αὐτῶν, καὶ αἱ θυσίαι αὐτῶν, ἔσονται δεκτὰ ὡς τὸ θυσιαστήριόν μου. ὁ γὰρ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν, εἶπε κύριος ὁ σωτὴρ τοῦ Ἰσραήλ, ὅτι σωτὴρ ἔσομαι ἐπ' αὐτὸν συναγωγήν. πάντα τὰ θηρία τὰ ἄγρια, δεῦτε, φάγετε πάντα τὰ θηρία τοῦ δρυμοῦ. ἴδετε ὅτι ἐκτετύφλωνται πάντες, οὐκ ἔγνωσαν, ἴδετε πάντες, κύνες ἄφωνοι ὀκνηροὶ τοῦ ὑλακτεῖν, ἐνυπνιαζόμενοι, κοῖτον φιλοῦντες νυστάξαι, καὶ οἱ κύνες αἰσχρὰς τῇ ψυχῇ οὐκ εἰδότες πλησμονήν. καὶ εἰσὶ ποιμένες οὐκ εἰδότες σύνεσιν, πάντες τὰς ὁδοὺς αὐτῶν ἐξεκολούθησαν, ἕκαστος ἦρξε τὸ ἑαυτοῦ πλεονέκτημα ἐπ' ἄκρα αὐτοῦ. δεῦτε λάβωμεν οἶνον, καὶ οἰνοφλυγήσωμεν μέθυ, καὶ ἔσαι ταύτῃ ἡμέρᾳ αὔριον μεγάλη πολλή.

ΚΕΦΑΛ. νζ'. 57.

Ὡς σφόδρα ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἀνὴρ ἐκδέχεται τῇ καρδίᾳ. καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος, ἔσαι γὰρ εἰρήνη ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ τοῦ μέσου. Ὑμεῖς δὲ προσαγάγετε ὧδε υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης. ἐν τίνι ἐνετρυφήσατε; καὶ ἐπὶ τίνα ἀνοίξατε τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν; οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας; σπέρμα ἄτιμον; οἱ παρακαλοῦντες ἐπὶ τὰ εἴδωλα ὑπὸ δρῦν δρασέα, σφάζοντες τὰ τέκνα αὐτῶν ἐν ταῖς φάραγξιν, ἀνὰ μέσον τῶν πετρῶν; ἐκείνη σου ἡ μερίς, οὗτος σου ὁ κλῆρος, καὶ ἐκείνοις ἐξέχεας σπονδὰς, καὶ ταύτοις ἀνήνεγκας θυσίας, ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι; λέγει κύριος. ἐπ' ὄρους ὑψηλοῦ καὶ μετεώρου, ἐκεῖ σου ἡ κοίτη, καὶ ἐκεῖ ἀνεβίβασας θυσίας σου, καὶ ὀπίσω τῶν σταθμῶν ἐθυρας σου ἔθηκας μνημόσυνα. ὦ οὐ, ὅτι ἐὰν ἀπ' ἐμοῦ ἀποσῇς ἀπ' ἐμοῦ πλεῖον τί ἔξεις. ἠγάπησας σὺ τὰ ὁμώματά μετὰ σοῦ, καὶ ἐπλήθυνας τὴν πορνείαν σε μετ' αὐτῶν, καὶ πολλοὺς ἐποίησας σὺ μακρὰν ἀπὸ σοῦ, καὶ ἀπέστειλας πρέσβεις πόρρω τὰ ὅρια σε, καὶ ἐπέστρεψας καὶ ἐπαπεινώθης ἕως ᾅδου, ταῖς πολυοδίαις σε ἐκοπίασας. καὶ ὀκεῖπας, παύσομαι γὰρ ἰσχύσας. ὅτι ἔπραξας τοῦτο, διὰ τοῦτο ὁ κατεμέμνης μου, σὺ τίνα δύλαβηθεῖσα ἐφοβήθης. καὶ ἐψεύσω με, καὶ ὀκ ἐμνήσθης μου, οὐδὲ ἔλαβές με εἰς τὴν διανοίαν, οὐδὲ εἰς τὴν καρδίαν σε, καὶ ἐγὼ σε ἐσιώπων παρορῶ, καὶ ἐμὲ οὐκ ἐφοβήθης. καὶ ἐγὼ ἀπαγγελῶ τὴν δικαιοσύνην σου, καὶ τὰ κακά σου, ἃ οὐκ ὠφελήσουσί σε. ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε γὼ τῇ θλίψει σου. πάντας γὰρ πάντας ἄνεμος λήψεται, καὶ ἀφίσει διαπνοή. οἱ δὲ ἀντεχόμενοί μου κτήσονται γῆν, καὶ κληρονομήσουσι τὸ ὄρος τὸ ἅγιόν μου. καὶ ὀρθὸν, καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ ὁδούς, καὶ ἀφέλετε σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου. τάδε λέγει ὁ ὕψιστος, ὁ ὑψηλοῖς κατοικῶν τὸν αἰῶνα, ἅγιος ὁ ἅγιος ὄνομα αὐτῷ, λέγει ὕψιστος ὁ ἁγίοις ἀναπαυόμενος, καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν, καὶ διδοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν. ὀκ εἰς τὸν αἰῶνα ἐκλείποιμι ὑμᾶς, οὐδὲ διαπαντὸς ὀργισθήσομαι ὑμῖν. πνοὴν γὰρ παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. διὰ ἁμαρτίαν βραχὺ ἐλύπησα αὐτὸν, καὶ ἐπάταξα αὐτὸν, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐλυπήθη. καὶ ἐπορεύθη συνὼν τὰς ὁδοὺς αὐτοῦ. τὰς ὁδοὺς αὐτοῦ ἑώρακα, καὶ ἰάσομαι αὐτὸν, καὶ παραμυθήσομαι αὐτὸν, καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινὴν, εἰρήνην ἐπ' εἰρήνῃ τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς ὅσι. καὶ εἶπε κύριος, ἰάσομαι αὐτούς, οἱ δὲ ἄδικοι ὅτως

κλυδ'ω.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλευσ'ωνιδήσονται, καὶ ἀναπαύσεται ὁ ἀμπελών του. ἀκέστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ θεός.

ΚΕΦΑΛ. νη'. 58.

ΑΝαβόησον γὰρ ἰσχύϊ, καὶ μὴ φείσῃ, ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σε, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν, καὶ τῷ οἴκῳ Ιακὼβ τὰς ἀνομίας αὐτῶν. ἐμὲ γὰρ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι, καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην ποιῶν, καὶ κρίσιν θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς. αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν θεῷ ἐπιθυμοῦσι, λέγοντες· ὅτι γέγονεν, καὶ οὐκ εἶδον; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν, καὶ οὐκ ἔγνως; γὰ γὰρ ταῖς ἡμέραις τῆς νηστείας ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε εἰς κρίσεις, καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν. ἵνα τί μοι νηστεύετε, ὡς σήμερον ἀκουσθῆναι γὰ κραυγὴ τῶν φωνῶν ὑμῶν; ὁ τοιοῦτος τὴν νηστείαν ἐγὼ οὐκ ἐξελεξάμην, καὶ ἡμέραν ταπεινοῦ ἄνθρωπον τῷ ψυχῇ αὐτοῦ, οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σε, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃς, οὐδὲ οὕτω καλέσετε νηστείαν δεκτὴν. οὐχὶ θοιαύτην νηστείαν ἐξελεξάμην, λέγει κύριος· ἀλλὰ λύε πᾶσαν συνάθεσμον ἀδικίας, διάλυε σχοινία βιαίων συναλλαγμάτων, ἀπόστελε τεθραυσμένους γὰ ἄφεσιν, καὶ πᾶσαν σε συγγραφὴν ἄδικον διάσπα. διάθρυπτε πεινῶντι τὸν ἄρτον σε, καὶ πτωχὸς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σε. ἐὰν ἴδῃς γυμνόν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων σπερμάτων σε οὐχ ὑπερόψει. τότε ῥαγήσεται πρωϊμον τὸ φῶς σε, καὶ τὰ ἰάματά σε ταχὺ ἀνατελεῖ. καὶ προπορεύσεται ἔμπροσθέν σε ἡ δικαιοσύνη σε, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε. τότε βοήσῃ, καὶ ὁ θεός εἰσακούσεταί σε, ἔτι λαλοῦντος σε ὄρθρου, εἶπε πάρειμι. ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σιὸν ὄνυμον, καὶ χειροτονίαν, καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σε, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ γὰ ὡς σκότος τὸ φῶς σε, καὶ τὸ σκότος σε ὡς μεσημβρία, καὶ ἔσαι ὁ θεός σε μετὰ σοῦ ἀπαντός. καὶ ἐμπλησθήσῃ παθάπερ ἐπιθυμεῖ ἡ ψυχή σε, καὶ τὰ ὀστᾶ σε πιανθήσεται, καὶ ἔσαι ὡς κῆπος μεθύων, καὶ ὡς πηγὴ ὕδατος μὴ ἐκλείπουσα ὕδωρ, καὶ τὰ ὀστᾶ σε ὡς βοτάνη ἀνατελεῖ, καὶ πιανθήσεται καὶ κληρονομήσουσι γῆν ἁγίαν γῆν σου, καὶ οἰκοδομηθήσονταί σου αἱ ὄρημοι αἰώνιοι, καὶ ἔσαι τὰ θεμέλιά σε αἰώνια γενεὰς γενεῶν, καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν, καὶ αὖθις τρίβους σε τοῦ ἀναπαύεσθαι. ἐὰν ἀποστρέψῃς τὸν πόδα σε ἀπὸ τῶν σαββάτων τοῦ μὴ ποιεῖν τὰ θελήματά σε, ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, καὶ καλέσεις τὰ σάββατα τρυφερὰ ἅγια τῷ θεῷ σε, ἀπὸ ἄρξῃ τοῦ πόδα σε ἐπ' ὄργῳ, ὃ δὲ λαλήσεις λόγον γὰ ὀργῇ ἐκ τοῦ στόματός σε, καὶ ἔσῃ πεποιθὼς ὠδῖν κύριον, καὶ ἀναβιβάσει σε ὧν τὰ ἀγαθὰ γῆς, καὶ ψωμιεῖ σε τὴν κληρονομίαν Ιακὼβ τοῦ πατρός σε. τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα.

ΚΕΦΑΛ. νθ'. 59.

ΜΗ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι; ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διῖσῶσιν αὐτὰ μέσον ὑμῶν καὶ αὐτὰ μέσον τοῦ θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον ἀφ' ὑμῶν τοῦ μὴ ἐλεῆσαι. αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν γὰ ἁμαρτίαις, τὰ δὲ χείλη ὑμῶν ἐλάλησαν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ. οὐθεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι κρίσις ἀληθινή. πεποίθασιν ὠδῖ ματαίοις, καὶ λαλοῦσι ψευδῆ, ὅτι λύουσι πόνον, καὶ τίκτουσιν ἀνομίαν. ὠὰ ἀσπίδων ἔῤῥηξαν, καὶ ἰσὸν ἀράχνης ὑφαίνουσιν, καὶ ὁ μέλλων τῶν ὠῶν αὐτῶν φαγεῖν, συντρίψας θέλοι, εὑρεῖν καὶ γὰ αὐτῷ βασιλίσκον. ὁ ἰστὸς αὐτῶν οὐκ ἔσαι ὡς ἱμάτιον, οὐδὲ μὴ περιβάλωνται ἀπὸ τῶν ὀργάνων αὐτῶν. τὰ γὰρ ὀργανα αὐτῶν, ὀργανα ἀνομίας. οἱ δὲ πόδες αὐτῶν ὦν πονηρίαν τρέχουσι, ταχεῖνοι ἐκχέαι αἷμα. καὶ οἱ διαλογισμοὶ αὐτῶν, διαλογισμοὶ ἀχρόνων. συντρίμμα καὶ ταλαιπωρία γὰ ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασι, καὶ οὐκ ἔστι κρίσις γὰ ταῖς ὁδοῖς αὐτῶν. αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι, ἃς διοδεύουσι, καὶ οὐκ οἴδασιν εἰρήνην. διὰ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν, καὶ ὁ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη. ὑπομεναντῶν αὐτὴν φῶς ἐγένετο αὐτοῖς σκότος, μείναντων αὐγὴν γὰ ἀορίᾳ πορεύσονται. ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον, καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι, καὶ πεσοῦνται γὰ μεσημβρίᾳ ὡς γὰ μεσονυκτίῳ, ὡς ἀρβυθήσηονται σκάζουσιν, ὡς ἄρκος καὶ ὡς πόδισρὰ ἅμα πορεύσονται. ἀνεμέναμεν κρίσιν, καὶ οὐκ ἔστι σωτηρία, μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν. πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία γέναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν. αἱ γὰρ ἀνομίαι ἡμῶν γὰ ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἐγνωμεν, πόσεβήσαμεν καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ἀφ' ὄπισθεν τοῦ θεοῦ ἡμῶν, ἐλαλήσαμεν ἄδικα, καὶ ἠπειθήσαμεν. ἐκύομεν, καὶ ἐμελετήσαμεν ἀφ' καρδίας ἡμῶν λόγους ἀδίκους, καὶ ἀπεστήσαμεν ὀπίσω τῆς κρίσεως, καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκεν. ὅτι ἐπτωκλώθη γὰ ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια, καὶ διὰ σύθειας ἀκεδυνατοῦσι διελθεῖν, καὶ ἡ ἀλήθεια ἤρται. καὶ μετέστησαν τὴν διαθήκην αὐτῶν τοῦ σωτηρίου. καὶ εἶδε κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρίσις. καὶ εἶδε, καὶ οὐκ ἦν ἀνήρ, καὶ κατενόησε, καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος, καὶ ἐμώλυνε τὸν αὐτὸν γῷ βραχίονι αὐτοῦ, καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίσατο. καὶ ἐνεδύσατο δικαιοσύνην

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στώλω ὡς θώρακα, καὶ περιθῶ περικεφαλαίαν σωτηρίαν ἐπὶ τῆς κεφαλῆς, καὶ περιβάλῶ ἱμάτιον ἐκδικήσεως, καὶ περιβόλαιον αὐτοῦ ὡς ἀνταποδώσω ἀνταποδώσιν ὀργῆς τοῖς ὑπεναντίοις. καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου, καὶ οἱ ἀπ' ἀνατολῶν ἥλιος τὸ ὄνομα τὸ ἔνδοξον, ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ κυρίου, ἥξει μετὰ θυμοῦ, καὶ ἥξει γένεσιν ὁ ῥυόμενος, καὶ ἀπορρίψει ἀσεβείας ἀπὸ Ιακώβ, καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη εἶπε κύριος, τὸ πνεῦμα τὸ ἐμόν, ὃ ἔστιν ἐπὶ σοί, καὶ τὰ ῥήματα ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλείπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ σπέρματος τοῦ σπέρματός σου. εἶπε γὰρ κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.

ΚΕΦΑΛ. ξ'. 60.

Φωτίζου φωτίζου Ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφος ἐπ' ἔθνη. ἐπὶ δὲ σὲ φανήσεται κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται. καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου, ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται, τότε ὄψῃ καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλῆθος θαλάσσης, καὶ ἔθνη καὶ λαῶν. καὶ ἥξουσί σοι ἀγέλαι καμήλων, καὶ καλύψουσί σοι κάμηλοι μαδιὰμ καὶ γοφάρ. πάντες ἐκ σαβὰ ἥξουσι φέροντες χρυσίον, καὶ λίβανον οἴσουσι, καὶ λίθον τίμιον, καὶ τὸ σωτήριον κυρίου εὐαγγελιοῦνται. καὶ πάντα τὰ πρόβατα κηδὰρ συναχθήσονταί σοι, καὶ κριοὶ ναβαιὼθ ἥξουσί σοι, καὶ ἀναχθήσονται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται. τίνες δέ εἰσιν, ὡς νεφέλαι πέτανται, καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς ἐμοὶ αἱ νῆσοι ὑπέμειναν, καὶ πλοῖα θαρσεῖς ἐν πρώτοις, ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν, καὶ τὸν ἀργύριον καὶ τὸν χρυσὸν αὐτῶν μετ' αὐτῶν. καὶ διὰ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου καὶ τὸν ἅγιον, καὶ διὰ τὸν ἅγιον τοῦ ἰσραὴλ ἐνδόξου ὄντος. καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παρασταθήσονταί σοι. διὰ γὰρ ὀργήν μου ἐπάταξά σε, καὶ διὰ ἔλεον ἠγάπησά σε, καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διὰ παντὸς ἡμέρας καὶ νυκτός, ἀγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ βασιλεῖς αὐτῶν ἀγομένους. τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς, οἳ ἂν δουλεύσουσί σοι, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται, καὶ ἡ δόξα τοῦ λιβάνου πρὸς σὲ ἥξει. ἐν εὐπρεπείσῳ καὶ πεύκῃ, καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου. καὶ πορεύσονται πρὸς σὲ ταπεινοὶ τῶν ὑιέων ταπεινωσάντων σε, καὶ παροξυνάντων σε. καὶ κληθήσῃ πόλις σιὼν ἁγίων ἰσραήλ, διὰ τὸ γεγραμμένα σε ἐγκαταλελειμμένην, καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν. καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον δυφροσύνης γενεᾶς γενεῶν. καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φοβηθήσῃ, καὶ γνώσῃ ὅτι ἐγώ κύριος ὁ σώζων σε, καὶ ὁ ἐξαιρούμενός σε θεὸς ἰσραήλ. καὶ ἀντὶ χαλκοῦ οἴσω σοι χρυσίον, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύριον, ἀντὶ δὲ ξύλων οἴσω σοι χαλκόν, ἀντὶ δὲ λίθων σίδηρον. καὶ στήσω τοὺς ἀρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ, καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου, οὐδὲ συντριμμὸς, οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου, ἀλλὰ κληθήσεται σωτήριον τὰ χείλη σου, καὶ αἱ πύλαι σου γλύμμα. καὶ οὐκ ἔσαι σοι ἔτι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ αὐγὴ σελήνης φωτιεῖ σοι τὴν νύκτα. ἀλλ' ἔσαι σοι κύριος φῶς αἰώνιον, καὶ ὁ θεός δόξα σου. οὐ γὰρ δύσεταί σου ὁ ἥλιος, καὶ ἡ σελήνη σου οὐκ ἐκλείψει. ἔσαι γάρ σοι κύριος φῶς αἰώνιον, καὶ ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους σου, καὶ ὁ λαός σου πᾶς δίκαιος, καὶ εἰς αἰῶνα κληρονομήσουσι τὴν γῆν. φυλάσσων φύτευμα ὄργανα χειρῶν αὐτοῦ εἰς δόξαν, ὁ ὀλιγοστὸς ἔσαι εἰς χιλιάδας, καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα, ἐγὼ κύριος πάντα καιρὸν σώσω αὐτούς.

ΚΕΦΑΛ. ξά. 61.

Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς, ἀπέστειλέ με ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι γένεσιν κυρίου δεκτὴν, καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν αὐτοῖς δόξαν ἀντὶ πένθους, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, κατασολὴ δόξης ἀντὶ πνεύματος ἀκηδίας. καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα κυρίου εἰς δόξαν. καὶ οἰκοδομήσουσιν ὀρήμους αἰωνίας, ἐξηρημωμένας πρότερον ἐξαναστήσουσι, καὶ καινιοῦσι πόλεις ἐρήμους, ἐξηρημωμένας εἰς γενεάς, καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντές σου τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρές σου, καὶ ἀμπελουργοί. ὑμεῖς δὲ ἱερεῖς κυρίου κληθήσεσθε, λειτουργοὶ θεοῦ ἡμῶν ῥηθήσεται ὑμῖν, ἰσχὺν ἐθνῶν καταδεδε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. ὅτως ἐκ διπλασίας κληρονομήσουσι τὴν γῆν, καὶ δόξα συνέχουσα αἰώνιος ἔσαι αὐτοῖς. ἐγὼ γάρ εἰμι κύριος ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπαγμα ἐξ ἀδικίας, καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σω τῶν λαῶν. πᾶς ὁ ὁρῶν ἐαυτοὺς ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ θεοῦ, καὶ εὐφροσύνη εὐφρανθήσονται ἐπὶ κύριον. Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ. ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφιον κατεκόσμησέ με κόσμῳ, καὶ ὡς γῇ ἄξασαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς λίπτρα τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ κύριος κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν.

ΚΕΦΑΛ. ξϐ'. 62.

Διὰ σιὼν οὐ σιωπήσομαι, καὶ διὰ ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου, ὡς λαμπὰς καυθήσεται, καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου. καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινόν, ὃ ὁ κύριος ὀνομάσει αὐτό. καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ θεοῦ σου, καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔτι ὀρνιμένη. σοὶ γὰρ κληθήσεται θέλημα ἐμόν, καὶ ἡ γῆ σου οἰκουμένη, ὅτι εὐδοκήσει κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικισθήσεται. καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου μετὰ σοῦ. καὶ ἔσαι ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται κύριος ἐπὶ σοί. καὶ ἐπὶ τῶν τειχέων σου ἱερουσαλὴμ κατέστησα φύλακας ὅλην τὴν ἡμέραν, καὶ ὅλην τὴν νύκτα, οἱ διὰ τέλους οὐ σιωπήσονται μιμνησκόμενοι κυρίου. οὐκ ἔστι γὰρ ὑμῖν ὅμοιος, ἐὰν διαρθώσῃ ἱερουσαλήμ, καὶ ποιήσῃ γαυρίαμα ἐπὶ τῆς γῆς. ὤμοσε κύριος κατὰ τῆς δεξιᾶς αὐτοῦ, καὶ κατὰ τοῦ βραχίονος αὐτοῦ, καὶ εἰ ἔτι δώσω τὸν σῖτόν σου, καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς σου, καὶ εἰ ἔτι πίονται υἱοὶ ἀλλότριοι τὸν οἶνόν σου, ἐφ' ᾧ ἐμόχθησας· ἀλλ' ἢ οἱ συναγαγόντες φαγονται αὐτὰ, καὶ αἰνέσουσι τὸν κύριον, καὶ οἱ συναγαγόντες πίονται αὐτὰ ἐν ταῖς ἐπαύλεσι ταῖς ἁγίαις μου. πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους τοὺς ἐκ τῆς ὁδοῦ διαῤῥίψατε, ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη. ἰδοὺ γὰρ κύριος ἐποίησεν ἀκουστὸν, ἕως ἐσχάτου τῆς γῆς. εἴπατε τῇ θυγατρὶ σιών· ἰδοὺ ὁ σωτήρ σοι παραγίνεται, ἔχων ἐν ἑαυτῷ μισθόν, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ, καὶ καλέσει αὐτὸν λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ κυρίου, σὺ δὲ κληθήσῃ πολις ἐπιζητουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη.

ΚΕΦΑΛ. ξγ'. 63.

Τίς οὗτος ὁ παραγινόμενος ἐξ ἐδώμ; ἐρυθήματα ἱματίων ἐκ Βοσόρ; οὗτος ὡραῖος ἐν στολῇ βίᾳ μετὰ ἰσχύος; ἐγώ εἰμι λαλῶν δικαιοσύνην καὶ κρίσιν σωτηρίου. διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια; καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρους καταπεπατημένης, καὶ τῶν ἐθνῶν, οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ; καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου, καὶ κατέθλασα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον αὐτοὺς τὸ αἷμα αὐτῶν εἰς γῆν. ἡμέρα γὰρ ἀνταποδόσεως ἐπῆλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστι, καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν βοηθός, καὶ προσέσχον, καὶ οὐθεὶς ἀντελαμβάνετο, καὶ ἐῤῥύσατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου ἤντλησε, καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν, τὸν ἔλεον κυρίου ἐμνήσθην, τὰς ἀρετὰς κυρίου ἐν πᾶσιν οἷς ἡμῖν ἀνταπέδωκε. κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ ἰσραὴλ, ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. καὶ εἶπεν· οὐχ ὁ λαός μου, τέκνα οὐ μὴ ἀθετήσωσι; καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν, ἐκ πάσης θλίψεως αὐτῶν οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν αὐτούς, διὰ τὸ ἀγαπᾶν αὐτοὺς, καὶ φείδεσθαι αὐτῶν. αὐτὸς ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος. αὐτοὶ δὲ ἠπείθησαν, καὶ παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ. καὶ ἐστράφη αὐτοῖς κύριος εἰς ἔχθραν, καὶ αὐτὸς ἐπολέμησεν αὐτούς, καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων, ὁ ἀναβιβάζας ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων. τοῦ θέντος ὁ θεὸς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, ὁ ἀγαγὼν τῇ δεξιᾷ μωϋσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ; ὃς ἤγαγε τὸν λαόν σε. διατέμνων ὕδωρ ἀπὸ προσώπου αὐτοῦ, ποιῆσαι αὐτῷ ὄνομα αἰώνιον. ἤγαγεν αὐτοὺς διὰ τῆς ἀβύσσου, ὡς ἵππον ἐν ἐρήμῳ, καὶ οὐκ ἐκοπίασαν. καὶ ὡς κτῆνος διὰ πεδίου, διατέθη πνεῦμα παρὰ κυρίου, καὶ ὡδήγησεν αὐτούς· οὕτως ἤγαγες τὸν λαόν σε, τοῦ ποιῆσαι σεαυτῷ ὄνομα δόξης. ἐπέβλεψον ἐκ τοῦ οὐρανοῦ, καὶ ἴδε ἐκ τοῦ ἁγίου σου, καὶ δόξης σου, ποῦ ἐστιν ὁ ζῆλός σου, καὶ ἡ ἰσχύς σου; ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ οἱ οἰκτιρμοί σου, ὅτι ἐνέσχου ἡμῶν; σὺ γὰρ εἶ πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ ἰσραὴλ οὐκ ἔγνω ἡμᾶς· ἀλλὰ σὺ κύριε πατὴρ ἡμῶν ῥῦσαι ἡμᾶς, ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι. τί ἐπλάνησας ἡμᾶς κύριε ἀπὸ τῆς ὁδοῦ σου; ὠδυνήρωσας τὰς καρδίας ἡμῶν, τοῦ μὴ φοβεῖσθαί σε; ἐπίστρεψον διὰ σοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. οἱ ἐχθροὶ ναοῦ ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου, ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς.

Κεφαλ.

ΚΕΦΑΛ. ξδ'. 64.

Ἐαν ἀνοίξῃς τὸν οὐρανὸν, πρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται ὡς κηρὸς ἀπὸ πυρὸς προσώπου πυρὸς τήκεται, καὶ διαπαύσει πῦρ σὸν ὑπεναντίους, καὶ φανερὸν ἔσαι τὸ ὄνομα διηρίς σὺ τοῖς ὑπεναντίοις. ἀπὸ προσώπου σε ἔθνη ταραχθήσονται, ὅταν ποιῇς τὰ ἐνδοξα. πρόμος λήψεται ἀπὸ σοῦ ὄρη. ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον θεόν, πλὴν σε καὶ τὰ ἔργα σε, ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον. συναντήσεται γὰρ τοῖς ποιοῦσι, τοῖς ὑπομένουσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σε μνησθήσονται. ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν. διὰ ταῦτα ἐπλανήθημεν, καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι πάντες ἡμεῖς. ὡς ῥάκος ἀκαθημοῦσης πᾶσα ἡ δικαιοσύνη ἡμῶν, καὶ ἐξερρύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν. οὕτως ἄνεμος οἴσει ἡμᾶς, καὶ οὐκ ἔστιν ὁ ὠνομασμένος τὸ ὄνομά σε, καὶ ὁ μνησθεὶς αὐτὸ πλανᾶται διὰ σε. ὅτι ἀπέστρεψας τὸ πρόσωπόν σε ἀφ' ἡμῶν, καὶ παρέδωκας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν. καὶ νῦν κύριος πατὴρ ἡμῶν σὺ, ἡμεῖς δὲ πηλός, ἔργα τῶν χειρῶν σε πάντες. μὴ ὀργίζῃ ἡμῖν σφόδρα, καὶ μὴ εἰς τέλος μνησθῇς ἁμαρτιῶν ἡμῶν. νῦν νῦν ἐπίβλεψον κύριε, ὅτι λαός σε πάντες ἡμεῖς. πόλις τοῦ ἁγίου σε ἐγενήθη ἔρημος, σιὼν ὡς ἔρημος ἐγενήθη, ἰερουσαλὴμ εἰς κατάραν. ὁ οἶκος τὸ ἅγιον ἡμῶν, οὗ ἠνέσησαν οἱ πατέρες ἡμῶν ἐγενήθη πυρίκαυστος, καὶ πάντα τὰ ἐνδοξα ἡμῶν συνέπεσεν. καὶ ἐπὶ πᾶσιν τούτοις οὐ συνέσχου κύριε, καὶ ἐσιώπησας, καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα.

ΚΕΦΑΛ. ξε. 65.

Ἐμφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. εἶπα· ἰδοὺ ἐγώ εἰμι ἰδοὺ ἐγώ εἰμι, οἳ οὐκ ἐκάλεσάν με τὸ ὄνομα, ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα, καὶ αὐτὸς λέγοντα, οἳ οὐκ ἐπορεύθησαν ὁδῷ ἀγαθῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν, ὁ λαὸς οὗτος ὁ παροξύνων με ἐναντίον ἐμοῦ διαπαντός. αὐτοὶ θυσιάζουσιν ἐν τοῖς κήποις, καὶ θυμιῶσιν ἐπὶ τὰς πλίνθους τοῖς δαιμονίοις, ἃ οὐκ ἔστιν. καὶ ἐν τοῖς μνήμασι, καὶ ἐν τοῖς ἀποκαλύμμασι διανυκτεροῦσιν διὰ ἐνύπνια, οἳ ἐσθίουσιν κρέατα ὕεια, καὶ ζωμὸν θυσιῶν, μεμολυσμένα πάντα τὰ σκεύη αὐτῶν. οἳ λέγουσιν· πόρρω ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι ὅτι καθαρός εἰμι. οὗτος καπνὸς τοῦ θυμοῦ μου, πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας. ἰδοὺ γέγραπται ἐνώπιόν μου ἃ σιωπήσω, ἕως ἂν ἀποδώσω εἰς τὸν κόλπον αὐτῶν τὰς ἁμαρτίας αὐτῶν, καὶ τῶν πατέρων αὐτῶν, λέγει κύριος. οἳ ἐθυμίασαν ἐπὶ τῶν ὀρέων, καὶ ἐπὶ τῶν βουνῶν ὠνείδισάν με, ἀποδώσω τὰ ἔργα αὐτῶν εἰς τὸν κόλπον αὐτῶν, ὅτως λέγει κύριος. οὗ τρόπον εὑρέθησαν ὁ ῥαξ ἐν Βότρυϊ, καὶ εἶπαν· μὴ λυμήνῃ αὐτὸν, ὅτι εὐλογία ἐστὶν ἐν αὐτῷ, ὅτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι, τοῦτον ἕνεκεν ἃ μὴ ἀπολέσω πάντας, καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου. καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοί μου, καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ, καὶ ἔσονται ἐν τοῖς δρυμῶ ἐπαύλεις προβατίων, καὶ φάραγξ ἀχὼρ εἰς αὐλὰς βουκολίων τῷ λαῷ μου, οἳ ἐζήτησάν με. ὑμεῖς δὲ οἱ ἐγκαταλιπόντες με, καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν, καὶ πληροῦντες τῇ τύχῃ κέρασμα· ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν, πάντες γὰρ σφαγῆσεσθε, ὅτι ἐκάλεσα ὑμᾶς καὶ οὐκ ὑπηκούσατε, ἐλάλησα καὶ παρῃκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐνώπιόν μου, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε. διὰ τοῦτο τάδε λέγει κύριος· ἰδοὺ οἱ δοῦλοί μου φάγονται, ὑμεῖς δὲ πεινάσετε. ἰδοὺ οἱ διψοῦντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε. ἰδοὺ οἱ δοῦλοί μου εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε. ἰδοὺ οἱ δοῦλοί μου ἀγαλλιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ κεκράξεσθε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ συντριβῆς πνεύματος ὑμῶν ὀλολύξετε. καταλείψει γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου, ὑμᾶς δὲ ἀνελεῖ κύριος, τοῖς δὲ δούλοις μου ἀλλοιωθήσεται ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς. εὐλογήσουσι γὰρ θεὸν τὸν ἀληθινόν, καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς, ὀμοῦνται τὸν θεὸν τὸν ἀληθινόν. ἐπιλήσονται γὰρ τῆς θλίψεως αὐτῶν τῆς πρώτης, καὶ ἀπ' αὐτῆς ἔσονται αὐτῶν ἐπὶ τῆς καρδίας. ἔσαι γὰρ ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ, καὶ ἃ μὴ μνησθῶσι τῶν προτέρων, οὐδ' ἃ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τῆς καρδίας, ἀλλ' εὐφροσύνη καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ. ὅτι ἰδοὺ ἐγὼ ποιῶ ἀγαλλίαμα ἰερουσαλὴμ, καὶ τὸν λαόν μου εὐφροσύνη, καὶ ἀγαλλιάσομαι ἐπὶ ἰερουσαλὴμ, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου, καὶ οὐκέτι μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ, οὐδὲ φωνὴ κραυγῆς, οὐδὲ μὴ γένηται ἔτι ἐκεῖ ἄωρος, καὶ πρεσβύτης ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ. ἔσαι γὰρ ὁ νεώτερος ἑκατὸν ἐτῶν, ὁ δὲ ἀσθενήσων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσαι. καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ αὐτοὶ ἐνοικήσουσι. καὶ διαφυτεύσουσιν ἀμπελῶνας, καὶ αὐτοὶ φάγονται τὰ γενήματα αὐτῶν, καὶ τὸν οἶνον πίονται. καὶ οὐ μὴ οἰκοδομήσουσι, καὶ ἄλλοι ἐνοικήσουσι. καὶ ὃ μὴ φυτεύσουσι, καὶ ἄλλοι φάγονται. κατὰ γὰρ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι λαοῦ μου. τὰ γὰρ ὄργα τῶν πόνων αὐτῶν παλαιώσουσιν, οἱ δὲ ἐκλεκτοί μου ὃ ποιήσουσιν εἰς μηνὸν, οὐδὲ τεκνοποιήσουσιν εἰς ματαίαν, ὅτι

σωρίμα συλλογημένον ὑπὸ θεοῦ ὄντι, καὶ τὰ ἐγγονα αὐτῶν μετ' αὐτῶν ἔσονται. καὶ ἔσαι πρὶν
διακρᾶξαι αὐτοὺς, ἐγὼ ὑπακούσομαι αὐτῶν, ἔτι λαλούντων αὐτῶν ὄψῶ· τίς ἐστι; τότε λύκοι κ
ἀρνοῦ συμβοσκηθήσονται ἅμα, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, ὄφις δὲ γῆν ὡς ἄρτον. οὐκ ἀ
δικήσουσι, οὐδὲ μὴ λυμανοῦνται ὅλῳ ὄρει ἁγίῳ μου, λέγει κύριος.

ΚΕΦΑΛ. ξς'. 66.

Οὕτως λέγει κύριος· ὁ οὐρανός μοι θρόνος, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῖον οἶκ
κον οἰκοδομήσετέ μοι; καὶ ποῖος τόπος ἡ κατάπαυσίς μου; πάντα γὰρ ταῦτα ἐ
ποίησεν ἡ χείρ μου, καὶ ἔστιν ἐμοὶ πάντα ταῦτα, λέγει κύριος. καὶ ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ
ἐπὶ τὸν ταπεινόν, καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου. ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον,
τύπτων ἄνδρα, καὶ ὁ θυσιάζων ἐκ προιμίου ὡς ὁ ἀρκτείνων ἰκτῖνα. ὁ δὲ ἀναφορὰν σεμίδαλιν
ὡς αἷμα ὕειον, ὁ διδοὺς λίβανον εἰς μνημόσυνον, ὡς βλάσφημος. καὶ αὐτοὶ ἐξελέξαντο τὰς ὁ
δοὺς αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε, καὶ ἐγὼ ἐκλέξομαι τὰ ἐμ
παίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτοῖς ἀποδώσω αὐτοῖς. ὅτι ἐκάλεσα αὐτούς, καὶ οὐχ
ὑπήκουσάν μου, ἐλάλησα καὶ οὐκ ἤκουσαν, καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον μου, καὶ ἃ οὐκ
ἐβουλόμην ἐξελέξαντο. ἀκούσατε ῥήματα κυρίου οἱ τρέμοντες τὸν λόγον αὐτοῦ, εἶπαν ἀδελ
φοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις, ἵνα τὸ ὄνομα κυρίου δοξασθῇ, καὶ ὀφθῇ ἐν τῇ
εὐφροσύνῃ αὐτῶν, καὶ ἐκεῖνοι αἰσχυνθήσονται φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ
κυρίου ἀποδίδοντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις, πρὶν τὴν ὠδῖνα τεκεῖν, πρὶν
ἐλθεῖν τὸν πόνον τῆς ὠδῖνος, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν. τίς ἤκουσε τοιοῦτον; καὶ τίς ἑώρακεν οὕ
τως; εἰ ὠδῖνες γῆ ἐν ἡμέρᾳ μιᾷ, ἢ καὶ ἐτέθη ἔθνος εἰσάπαξ. ὅτι ὠδῖνε καὶ ἔτεκε σιὼν τὰ παι-
δία αὐτῆς; ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην, καὶ οὐκ ἐμνήσθη μου, εἶπε κύριος. καὶ ἴδου
ἐγὼ γόνιμον καὶ εἶραν ἐποίησα. εἶπεν ἐμοί μου ὁ θεός σου, εὐφραίνθητι ἱερουσαλήμ, καὶ πανηγυ-
ρίσατε ἐν αὐτῇ πάντες οἱ ἀγαπῶντες αὐτὴν, καὶ οἱ καταπενθοῦντες αὐτήν. χάρητε ἅμα αὐ
τῇ χαρᾷ πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῇ, ἵνα θηλάσητε καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλή-
σεως αὐτῆς, ἵνα ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς. ὅτι τάδε λέγει κύριος·
ἰδοὺ ἐγὼ κλινῶ εἰς αὐτὴν ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάρρους ὑπερκλύζων δόξαν ἐθνῶν, τὰ
παιδία αὐτῶν ἐπ' ὤμων αἰρθήσονται, καὶ ἐπὶ γονάτων παρακληθήσονται. ὡς εἴ τινα μήτηρ πα
ρακαλέσει, οὕτω κἀγὼ παρακαλέσω ὑμᾶς, καὶ ἐν ἱερουσαλὴμ παρακληθήσεσθε, καὶ ὄψεσθε, καὶ
χαρήσεται ἡ καρδία ὑμῶν, καὶ τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ, καὶ γνωσθήσεται ἡ χεὶρ κυ-
ρίου τοῖς φοβουμένοις αὐτόν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν. ἰδοὺ γὰρ κύριος ὡς πῦρ ἥξει, καὶ ὡς
λαῖλαψ τὰ ἅρματα αὐτοῦ, ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν, καὶ ἀπειλὴσει ἐν φλογὶ πυρός. ἐν γὰρ πυρὶ κυρίου κριθήσεται πᾶσα ἡ γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ πᾶσα σάρξ.
πολλοὶ τραυματίαι ἔσονται ὑπὸ κυρίου, ἁγνιζόμενοι καὶ καθαιρόμενοι εἰς οὺς λήπους, καὶ ἐν
τοῖς πυθύροις ἐσθίοντες χοιρείας ὕειον, καὶ τὰ βδελύγματα, καὶ τὸν μιῦν ὁμοῦ ἀναλωθή-
σονται, εἶπε κύριος. ἐγὼ τὰ ἔργα αὐτῶν, καὶ τὸν λογισμὸν αὐτῶν ἔπεσταμαι, καὶ ἐγὼ ὄρχο-
μαι συναγαγεῖν πάντα τὰ ἔθνη, καὶ τὰς γλώσσας, καὶ ἥξουσι, καὶ ὄψονται τὴν δόξαν μου, καὶ
καταλείψω ἐπ' αὐτοῖς σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη εἰς θαρσεῖς
καὶ φοδήλ, καὶ λουδὶ καὶ μοσὸχ, καὶ εἰς θοβὲλ, καὶ εἰς τὴν ἑλλάδα, καὶ εἰς τὰς νήσους τὰς πόρ-
ρω, οἱ οὐκ ἀκηκόασί μου τὸ ὄνομα, οὔτε ἑωράκασί μου τὴν δόξαν. καὶ ἀναγγελοῦσι τὴν δόξαν μου
ἐν τοῖς ἔθνεσι, καὶ ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ παντὸς τῶν ἐθνῶν δῶρον κυρίῳ μετ' ἵππων
καὶ ἁρμάτων καὶ λαμπήναις ἡμιόνων μετὰ σκιαδίων εἰς τὴν ἁγίαν πόλιν ἱερουσαλήμ. καὶ εἶ-
πε κύριος· ὡς ἂν εὐσεβήσωσιν οἱ υἱοὶ ἰσραὴλ τὰς θυσίας αὐτῶν ἐμοὶ μετὰ εὐφροσύνης μετὰ
ψαλμῶν εἰς τὸν οἶκον κυρίου, καὶ ἀπ' αὐτῶν λήψομαι ἱερεῖς καὶ λευίτας, εἶπε κύριος. οὕτω γὰρ
τρόπον γὰρ ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ ἃ ἐγὼ ποιῶ, μένει ἐνώπιόν μου, λέγει κύριος· οὕτω στή
σεται τὸ σπέρμα ὑμῶν, καὶ τὸ ὄνομα ὑμῶν, καὶ ἔσαι μὴν ἐκ μηνός, καὶ σάββατον ἐκ σαββάτου,
ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιόν μου ἐν ἱερουσαλήμ, εἶπε κύριος. καὶ ἐξελεύσονται
καὶ ὄψονται τὰ λῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί. ὁ γὰρ σκώληξ αὐτῶν
οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται
εἰς ὅρασιν πάσῃ σαρκί.

ΤΕΛΟΣ ΤΗΣ ΤΟΥ ΗΣΑΙΟΥ
προφήτου βίβλου.

ΙΕΡΕΜΙΑΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΕΡΕΜΙΑΣ.

ΚΕΦΑΛ. α'. 1.

Ο ῥῆμα τοῦ θεοῦ ὃ ἐγένετο ὡδὶ πρὸς Ἱερεμίαν τὸν τοῦ Χελκίου, ἐκ τῶν ἱερέων, οὓς κατῴκει ἐν Ἀναθὼθ ἐν γῇ Βενιαμείν, ὡς ἐγένετο λόγος τοῦ θεοῦ πρὸς αὐτὸν, ἐν ταῖς ἡμέραις Ἰωσίου υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα, ἔτους τρισκαιδεκάτου ἐν τῇ βασιλείᾳ αὐτοῦ. καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἰωακεὶμ υἱοῦ Ἰωσίου, βασιλέως Ἰούδα, ἕως ἐνδεκάτου ἔτους τοῦ Σεδεκίου υἱοῦ Ἰωσίου, βασιλέως Ἰούδα, ἕως τῆς αἰχμαλωσίας Ἰερουσαλὴμ ἐν τῷ πέμπτῳ μηνί. καὶ ἐγένετο λόγος κυρίου πρός με· πρὶν τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὶν σὲ ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε, προφήτην εἰς ἔθνη τέθεικά σε. καὶ εἶπα· ὦ δέσποτα κύριε· ἰδοὺ οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι νεώτερός ἐγώ εἰμι. καὶ εἶπε κύριος πρός με· μὴ λέγε ὅτι νεώτερός ἐγώ εἰμι, ὅτι πρὸς πάντας οὓς ἐὰν ἐξαποστελῶ σε πορεύσῃ, καὶ κατὰ πάντα ὅσα μὴν ἐντελοῦμαί σοι λαλήσεις. μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, ὅτι μετά σοῦ ἐγώ εἰμι τοῦ ἐξαιρεῖσθαί σε, λέγει κύριος. καὶ ἐξέτεινε κύριος τὴν χεῖρα αὐτοῦ πρός με, καὶ ἥψατο τοῦ στόματός μου. καὶ εἶπε κύριος πρός με· ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου, ἰδοὺ καθέστηκά σε σήμερον ἐπὶ ἔθνη, καὶ ἐπὶ βασιλείας, ἐκριζοῦν καὶ καταστρέφειν, καὶ ἀπολύειν, καὶ οἰκοδομεῖν, καὶ καταφυτεύειν. καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων· τί σὺ ὁρᾷς Ἱερεμία; καὶ εἶπα· βακτηρίαν καρυΐνην. καὶ εἶπε κύριος πρός με· καλῶς ἑώρακας, διότι ἐγρηγόρηκα ἐγὼ ἐπὶ τοὺς λόγους μου τοῦ ποιῆσαι αὐτούς. καὶ ἐγένετο λόγος κυρίου ἐκ δευτέρου πρός με λέγων· τί σὺ ὁρᾷς; καὶ εἶπα· λέβητα ζέοντα ἐγὼ ὁρῶ, καὶ τὸ πρόσωπον αὐτοῦ ἀπὸ προσώπου βορρᾶ. καὶ εἶπε κύριος πρός με· διότι ἐκκαυθήσεται τὰ κακὰ ἀπὸ προσώπου βορρᾶ. ἐπὶ εἶπε πρός με· ἀπὸ προσώπου βορρᾶ ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν, διότι ἰδοὺ συγκαλῶ πάσας βασιλείας βορρᾶ ἀπὸ βορρᾶ, λέγει κύριος. καὶ ἥξουσι καὶ θήσουσιν ἕκαστος τὸν θρόνον αὐτοῦ ἐπὶ τὰ πρόθυρα τῶν πυλῶν Ἰερουσαλὴμ, καὶ ἐπὶ πάντα τὰ τείχη τὰ κύκλῳ αὐτῆς, καὶ ἐπὶ πάσας τὰς πόλεις Ἰούδα. καὶ λαλήσω πρὸς αὐτοὺς μετὰ κρίσεως, ἐπὶ πάσῃ τῇ κακίᾳ αὐτῶν, ὡς ἐγκατέλιπόν με, καὶ ἔθυσαν θεοῖς ἀλλοτρίοις, καὶ προσεκύνησαν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. καὶ σὺ περίζωσαι τὴν ὀσφύν σου, καὶ ἀνάστηθι, καὶ εἰπὸν πρὸς αὐτοὺς πάντα ὅσα ἂν ἐντέλωμαί σοι. μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, ὁ μετά σοῦ ἐγώ εἰμι. μηδὲ πρόσθου τοῦ γνῶναι τὸ πρόσωπον αὐτῶν, ὅτι μετά σοῦ εἰμι, τοῦ ἐξαιρεῖσθαί σε, λέγει κύριος. ἰδοὺ τέθεικά σε ἐν τῇ σήμερον ἡμέρᾳ, ὡς πόλιν ὀχυρὰν, καὶ ὡς τεῖχος χαλκοῦν, ὀχυρὸν ἅπασι τοῖς βασιλεῦσιν Ἰούδα, καὶ τοῖς ἄρχουσιν αὐτοῦ, καὶ τοῦ λαοῦ τῆς γῆς, καὶ πολεμήσουσί σε, καὶ οὐ μὴ δυνήσονται πρὸς σέ, διότι μετά σοῦ ἐγώ εἰμι τοῦ ἐξαιρεῖσθαί σε, εἶπε κύριος.

ΚΕΦΑΛ. β'. 2.

Καὶ εἶπε, πάλιν λέγει κύριος· ἐμνήσθην ἐλέους νεότητός σου, καὶ ἀγάπης τελειώσεώς σου, τοῦ ἐξακολουθῆσαί σε τῷ ἁγίῳ Ἰσραὴλ, λέγει κύριος, ὁ ἅγιος Ἰσραὴλ τῷ κυρίῳ ἀρχὴ γεννημάτων αὐτοῦ· πάντες οἱ ἐσθίοντες αὐτὸν πλημμελήσουσι, κακὰ ἥξει ἐπ' αὐτούς, φησὶ κύριος. Ἀκούσατε λόγον κυρίου οἶκος Ἰακὼβ, καὶ πᾶσαι πατριαὶ οἴκου Ἰσραὴλ, πάλιν λέγει κύριος κύριος· τί εὗρόν σου οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα; ὅτι ἀπέστησαν μακρὰν ἀπ' ἐμοῦ, καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων, καὶ ἐματαιώθησαν. καὶ οὐκ εἶπαν, ποῦ ἐστὶ κύριος, ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ διαβιβάσας ἡμᾶς ἐν τῇ ὁρμῇ ἐν τῇ ἀπείρῳ καὶ ἀβάτῳ, ἐν γῇ ἀνύδρῳ καὶ ἀκάρπῳ, ἐν γῇ ἐν ᾗ οὐ διώδευσεν ἐν αὐτῇ ἀνὴρ οὐδὲ γυνή, καὶ ὁ κατῴκησεν ἄνθρωπος ἐκεῖ; καὶ εἰσήγαγον ὑμᾶς εἰς γῆν καρμήλου τοῦ, φαγεῖν ὑμᾶς τοὺς καρποὺς αὐτοῦ, καὶ τὰ ἀγαθὰ αὐτοῦ, καὶ εἰσήλθετε, καὶ ἐμιάνατε τὴν γῆν μου, καὶ τὴν κληρονομίαν μου ἔθεσθε εἰς βδέλυγμα. οἱ ἱερεῖς οὐκ εἶπαν, ποῦ ἐστι κύριος. καὶ οἱ αὐτεχόμενοι τοῦ νόμου οὐκ ἐπίσαντό με, καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμέ, καὶ οἱ προφῆται ἐπροφήτευον τῇ Βάαλ, καὶ ὀπίσω ἀνωφελῶν ἐπορεύθησαν. διαδίκως ἔτι κρίνεσθαι μέλλω πρὸς ὑμᾶς, λέγει κύριος. καὶ πρὸς τοὺς υἱοὺς τῶν υἱῶν ὑμῶν κρίνεσθαι ἔτι. διέλθετε εἰς νήσους Χεττιείμ, καὶ ἴδετε, καὶ εἰς Κηδὰρ ἀποστείλατε, καὶ κοπάσατε σφόδρα, καὶ ἴδετε εἰ γέγονε τοιαῦτα, εἰ ἀλλάξονται ἔθνη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεοὺς αὐτῶν, καὶ οὗτοι οὐκ εἰσὶ θεοί. ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἀξ ἧς οὐκ ὠφεληθήσονται. ἀξέσθη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἐφρίξατε σφόδρα, λέγει κύριος· ὅτι δύο κακὰ ἐποίησεν ὁ λαός μου, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζωῆς, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. Μὴ δοῦλος ἔσται Ισραὴλ, ἢ οἰκογενὴς ὅτι; διατί εἰς πλανομὴν ἐγένετο; ἐπ' αὐτὸν ὠρύοντο λέοντες, καὶ ἔδωκαν τὴν φωνὴν αὐτῶν οἱ ἔπεξαν τὴν γῆν αὐτῶν εἰς ἀφανισμούς. καὶ αἱ πόλεις αὐτοῦ κατεδυνάφησαν, παρὰ τὸ μὴ κατοικεῖσθαι. καὶ γὰρ μέμφεως καὶ τάφνας ἔγνωσάν σε, καὶ κατέπαιζόν σου. οὐχὶ ταῦτα ἐποίησέ σοι τὸ καταλιπεῖν σε ἐμέ; λέγει κύριος ὁ θεός σου. καὶ νῦν τί σοι, καὶ τῇ ὁδῷ αἰγύπτου τοῦ πιεῖν ὕδωρ γιών; καὶ τί σοι καὶ τῇ ὁδῷ ἀσσυρίων τοῦ πιεῖν ὕδωρ ποταμῶν; παιδεύσει σε ἡ ἀποστασία σου, καὶ ἡ ἐπανία σου ἐλέγξει σε. καὶ γνῶθι, καὶ ἴδε, ὅτι πικρόν σοι τὸ καταλιπεῖν σε ἐμέ, λέγει κύριος ὁ θεός σου. ὅτι ἀπ' αἰῶνος συνέτριψας τὸν ζυγόν σου, καὶ διέῤῥηξας τοὺς δεσμούς σου, καὶ εἶπας· οὐ δουλεύσω σοι, ἀλλὰ πορεύσομαι ἐπὶ πάντα βουνὸν ὑψηλὸν, καὶ ὑπὸ κάτω παντὸς ξύλου καταπαύων ἐκεῖ διαχυθήσομαι ὡς πόρνη. ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινὴν, πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία; καὶ ἐὰν ἀρπλύνῃ γὰρ νίτρῳ, καὶ πληθύνῃς σεαυτῇ πόαν, μεμυλίσθωσαι γὰρ ταῖς ἀδικίαις σου ἐνώπιόν μου, λέγει κύριος· πῶς ῥῆσις, οὐκ ἐμιάνθην, καὶ ὀπίσω τῆς Βααλ οὐκ ἐπορεύθην; ἴδε τὰς ὁδούς σου ἐν τῷ πολυανδρίῳ, καὶ γνῶθι τί ἐποίησας. ὀψὲ φωνὴ αὐτῆς ὠλόλυξε, τὰς ὁδοὺς αὐτῆς ἐπλάτυνεν ἐφ' ὕδατι ῥέματι. ἐν ὠθυμίαις ψυχῆς αὐτῆς ἐπνευματοφορεῖτο. τίς ὠθισρέψει αὐτὴν; πάντες οἱ ζητοῦντες αὐτὴν οὐ κοπιάσουσιν, ἐν τῇ ταπεινώσει αὐτῆς εὑρήσουσιν αὐτήν. ἀπόστρεψον τὴν πόδα σου ἀπὸ ὁδοῦ τραχείας, καὶ τὴν φάρυγγά σου ἀπὸ δίψης. ἡ δὲ εἶπεν, ὅτι ἀπώλεσμαι, ὅτι ἠγάπηκα ἀλλοτρίους, καὶ ὀπίσω αὐτῶν ἐπορεύθην. ὡς αἰσχύνη ἐλεύσεται ὅταν ἁλῶ, ὅτως αἰσχυνθήσονται οἱ υἱοὶ Ισραὴλ, αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ οἱ ἄρχοντες αὐτῶν, καὶ οἱ ἱερεῖς αὐτῶν, καὶ οἱ προφῆται αὐτῶν τῷ ξύλῳ εἰπαν· ὁ πατήρ μου εἶ σύ. καὶ τῷ λίθῳ, σὺ ἐγέννησάς με. καὶ ἔστρεψαν ἐπ' ἐμὲ νῶτα, καὶ οὐ πρόσωπα αὐτῶν. καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν· ἀνάστα καὶ σῶσον ἡμᾶς. καὶ ποῦ εἰσὶν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ; εἰ ἀναστήσονται καὶ σώσουσίν σε ἐν καιρῷ τῆς κακώσεώς σου, ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου Ιούδα, καὶ κατ' ἀριθμὸν ὁδοῦ Ιερουσαλὴμ ἔθυον τῇ Βάαλ. ἵνα τί λαλεῖτε πρός με· πάντες ὑμεῖς ἠσεβήσατε, καὶ πάντες ὑμεῖς ἠνομήσατε εἰς ἐμέ, λέγει κύριος· μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε, μάχαιρα κατέφαγε τοὺς προφήτας ὑμῶν, ὡς λέων ὀλοθρεύων, καὶ οὐκ ἐφοβήθητε. Ακούσατε λόγον κυρίου, οἱ δὲ λέγετε κύριος· μὴ ὄρυμος ἐγενήθη τῷ Ισραήλ; ἢ γῆ λειχρωμένη; διατί εἶπεν ὁ λαός μου, ἐξελευσόμεθα, καὶ οὐκ ἥξομεν πρὸς σὲ ἔτι; μὴ ἐπιλήσεται νύμφη τὸν κόσμον αὐτῆς, καὶ παρθένος τὴν στολὴν μίλα αὐτῆς; ὁ δὲ λαός μου ἐπελάθετό μου ἡμέρας, ὧν οὐκ ἔστιν ἀριθμός. τί ἔτι καλὸν ποιήσεις ἐν τῇ ὁδῷ σου, τοῦ ζητῆσαι ἀγάπησιν; οὐχ ὅτως, ἀλλὰ καὶ σὺ ἐπονηρεύσω τοὺς μιαίνειν τὰς ὁδούς σου, καὶ ἐν ταῖς χερσί σου εὑρέθη αἵματα ψυχῶν ἀθώων. οὐκ ἐν διορύγμασιν εὗρον αὐτούς, ἀλλ' ἐπὶ πάσῃ δρυΐ. καὶ εἶπας· ἀθῶος εἰμί, ἀλλὰ ἀπεστραφήτω ὁ θυμὸς αὐτοῦ ἀπ' ἐμοῦ· ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σε, ἐν τῷ λέγειν σε οὐχ ἥμαρτον· ὅτι κατεφρόνησας σφόδρα τοῦ ὁδεύσαι τὰς ὁδούς σου. καὶ ἀπ' αἰγύπτου καταισχυνθήσῃ, καθὼς κατῃσχύνθης ἀπὸ ἀσσυρίων, ὅτι καὶ ἐντεῦθεν ἐξελεύσῃ, καὶ αἱ χεῖρές σου ἐπὶ τῆς κεφαλῆς σου, ὅτι ἀπώσατο κύριος τὴν ἐλπίδα σου, καὶ οὐ διοδωθήσῃ ἐν αὐτῇ.

ΚΕΦΑΛ. γ'. 3.

ΕΑΝ ἐξαποστείλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀπέλθῃ ἀπ' αὐτοῦ, καὶ γένηται ἀνδρὶ ἑτέρῳ, μὴ ἀναλημπτὶ ἀναλήμψει πρὸς αὐτὸν ἔτι; οὐ μιαινομένη μιανθήσεται ἡ γυνὴ ἐκείνη; καὶ σὺ ἐξεπορνεύσω ἐν ποιμέσι πολλοῖς, καὶ ἀνέκαμψον πρός με, λέγει κύριος. ἆρον τοὺς ὀφθαλμούς σου εἰς δύθειαν, καὶ ἴδε ποῦ οὐχὶ ἐξεφύρθης. ὡς τὰς ὁδοὺς ἐκάθισας αὐτοῖς ὡσεὶ κορώνη ἠρημωμένη, καὶ ἐμίανας τὴν γῆν ἐν ταῖς πορνείαις σου, καὶ ἐν ταῖς κακίαις σου, καὶ ἔσχον στιμωνὰς πολλοὺς εἰς πρόσκομμα σεαυτῇ. ὄψις πόρνης ἐγένετό σου, ἀπησχυντήκασας πρὸς πάντας. οὐχ ὡς οἰκόν μοι ἐκάλεσας, καὶ πατέρα καὶ ἀρχηγόν τῆς παρθενίας σου; μὴ ὀργισθεὶς εἰς τὸν αἰῶνα; ἢ φυλαχθήσεται εἰς νεῖκος; ἰδοὺ ἐλάλησας καὶ ἐποίησας τὰ πονηρὰ ταῦτα, καὶ ἠδυνήθης. Καὶ εἶπε κύριος πρός με· ἐν ταῖς ἡμέραις ἰωσίου τοῦ βασιλέως, εἶδόν σε ἃ ἐποίησέ μοι ἡ ἀποστασία τοῦ Ισραήλ; ἐπορεύθη ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ὑπὸ καὶ πάντα ξύλον ἀλσώδους, καὶ ἐπόρνευσεν ἐκεῖ. καὶ εἶπα· μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα, πρός με ἀπέστρεψον. καὶ οὐκ ἀπέστρεψε. καὶ εἶδε τοῦτο ἀσυνθεσία αὐτῆς ἡ ἀσυνθέτος Ιούδα, καὶ εἶδον ὅτι πρὸ πάντων ὧν ἐμοίχατο ἡ ἀποστασία Ισραήλ. καὶ ἐξαπέστειλα αὐτὴν, καὶ ἔδωκα βιβλίον ἀποστασίου εἰς τὰς χεῖρας αὐτῆς. καὶ οὐκ ἐφοβήθη ἡ ἀσυνθέτος Ιούδα, καὶ ἐπορεύθη καὶ ἐπόρνευσε καὶ αὐτή, καὶ ἐγένετο εἰς οὐθὲν ἡ πορνεία αὐτῆς, καὶ ἐμοίχευ-

σε τὴν

σε τὸ ξύλον, καὶ τὸν λίθον. καὶ γὼ τᾶσι τούτοις οὐκ ἀπεσράφη πρός με ἡ ἀσωνθετος Ἰούδα, ἐξ ὅλης τᾶς καρδίας αὐτᾶ, ἀλλ' ὢδι ψεύδει. καὶ εἶπε Κύριος πρός με· ἐδικαίωσε τὰν ψυχὰν αὐτᾶ Ἰσραὴλ, ἀπὸ τᾶς ἀσωνθέτου Ἰούδα. πορεύου καὶ ἀνάγνωθι τοὺς λόγους τούτους πρὸς βορρᾶν, καὶ ἐρεῖς, ἀπόσραφθι πρός με ἡ ἀποικία τᾶ Ἰσραὴλ, λέγει Κύριος, καὶ οὐ μὴ σκρίσω πρόσωπόν μου ἐφ' ὑμᾶς, ὅτι ἐλεήμων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐ μνησικακήσω ὑμῖν εἰς τὸν αἰῶνα. πλὰν γνῶθι τὰν ἀδικίαν σου, ὅτι εἰς Κύριον τὸν θεόν σου ἠσέβησας, καὶ διέχεας τὰς ὁδούς σου εἰς ἀλλοτρίους ὑπὸ κάτω παντὸς ξύλου ἀλσώδους, καὶ τᾶς φωνᾶς μου οὐχ ὑπήκουσας, λέγει Κύριος. ἐπιστράφητε υἱοὶ ἀφεστηκότες, λέγει Κύριος. διότι ἐγὼ κατακυριεύσω ὑμῶν, καὶ λήψομαι ὑμᾶς ἕνα ἐκ πόλεως, καὶ δύο ἐκ πατριᾶς, καὶ εἰσάξω ὑμᾶς εἰς Σιών, καὶ δώσω ὑμῖν ποιμένας κατὰ τὰν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς ποιμαίνοντες μετ' ἐπιστήμης. καὶ ἔσται ἐὰν πληθυνθῆτε, καὶ αὐξηθῆτε ἐπὶ τᾶς γᾶς, λέγει Κύριος. γὼ ταῖς ἡμέραις ἐκείναις οὐκ ὀρεῦσιν ἔτι διαθήκης διαθήκην ἁγίαν Ἰσραὴλ, οὐκ ἀναβήσεται ἐπὶ καρδίαν, οὐκ ὀνομασθήσεται, οὐδὲ ἐπισκεφθήσεται, καὶ οὐ ποιηθήσεται ἔτι. γὼ ταῖς ἡμέραις ἐκείναις, καὶ γὼ καιρῷ ἐκείνῳ, καλέσουσι τὰν Ἰερουσαλὴμ θρόνον Κυρίου, καὶ συναχθήσονται πάντα τὰ ἔθνη εἰς αὐτάν, καὶ οὐ πορεύσονται ἔτι ὀπίσω τᾶς γνώμης μεμαλαγμένου τᾶ καρδίας αὐτᾶς τᾶς πονηρᾶς. γὼ ταῖς ἡμέραις ἐκείναις συναλεύσονται ὁ οἶκος τᾶ Ἰσραὴλ ἐπὶ τὸν οἶκον Ἰούδα, καὶ ἥξουσιν ἐπὶ τὸ αὐτὸ ἀπὸ γᾶς Βορρᾶ καὶ ἀπὸ πάσων τᾶς χωρᾶς ἐπὶ τᾶν γᾶν, ἃν κατεκληρονόμησα τοῖς πατράσιν αὐτᾶν. καὶ ἐγὼ εἶπα· γένοιο κύριε, ἐπιτάξω σε εἰς τέκνα, καὶ δώσω σοι γᾶν ἐκλεκτάν, κλῆρον εὐπρεπᾶ δόξης παντὸς κράτους ἐθνῶν. καὶ εἶπα· πατέρα καλέσαι με, καὶ ἀπ' ἐμοῦ οὐκ ἀποστραφήσεσθε. πλὰν ὡς ἀθετεῖ γυνὰ ἐς τὸν σύνευνον αὐτᾶς, οὕτως ἠθέτησάν εἰς ἐμὲ ὁ οἶκος Ἰσραὴλ, λέγει Κύριος. φωνὰ ἐν χείλεσιν ἀκάθαρτα κλαύθμου καὶ δεήσεως υἱῶν Ἰσραὴλ, ὅτι ἠδίκησαν τὰς ὁδοὺς αὐτῶν, ἐπελάθοντο θεοῦ ἁγίου αὐτῶν. υἱοὶ ἀποστράφητε ἀποστρέφοντες, καὶ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. ἰδοὺ δοῦλοι ἡμεῖς ἐσόμεθα σοι, ὅτι σὺ Κύριος ὁ θεὸς ἡμῶν εἶ. ὄντως εἰς ψεῦδος ἦλθον οἱ βουνοί, καὶ ἡ δύναμις τῶν ὀρέων. πλὰν δι' Κυρίου τοῦ θεοῦ ἡμῶν ἡ σωτηρία τοῦ Ἰσραὴλ, ἡ δὲ αἰσχύνη κατέλωλωσε τοὺς μόχθους τῶν πατέρων ἡμῶν, ἀπὸ νεότητος αὐτῶν, τὰ πρόβατα αὐτῶν καὶ τοὺς μόχθους αὐτῶν, καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν. ἐκοιμήθημεν γὰρ τᾷ αἰσχύνᾳ ἡμῶν, καὶ κατεκάλυψεν ἡμᾶς ἡ ἀτιμία ἡμῶν, διότι ἁμάρτομεν τοῦ θεοῦ ἡμῶν ἡμαρτήκαμεν ἡμεῖς, καὶ οἱ πατέρες ἡμῶν ἀπὸ νεότητος ἡμῶν ἕως τᾶς ἡμέρας ταύτης, καὶ οὐχ ὑπηκούσαμεν τᾶς φωνᾶς Κυρίου τοῦ θεοῦ ἡμῶν.

ΚΕΦΑΛ. δ'. 4.

ΕΑν ἐπιστραφῇ Ἰσραὴλ, λέγει Κύριος, πρός με, καὶ ἐπιστραφήσεται. καὶ ἐὰν περιέλωμαι τὰ βδελύγματα αὐτοῦ ἐκ στόματος αὐτοῦ, καὶ ἀπὸ τοῦ προσώπου μου σκληνθῇ, καὶ ὀμόσει, ζῇ Κύριος μετὰ ἀληθείας γὰρ κρίσει, καὶ γὰρ δικαιοσύνῃ, καὶ εὐλογήσουσιν γὰρ αὐτῷ ἔθνη, καὶ γὰρ αὐτῷ αἰνέσουσι τοῦ θεῷ γὰρ Ἰερουσαλήμ, ὅτι τάδε λέγει Κύριος τοῖς ἀνδράσιν Ἰούδα, καὶ τοῖς κατοικοῦσιν Ἰερουσαλήμ· νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρητε ἐπ' ἀκάνθαις. περιτμήθητε τῷ θεῷ ὑμῶν, καὶ περιτέμνεσθε τὰν σκληροκαρδίαν ὑμῶν ἄνδρες Ἰούδα, καὶ οἱ κατοικοῦντες Ἰερουσαλήμ, μὴ ἐξέλθῃ ὡς πῦρ ὁ θυμός μου, καὶ ἐκκαυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέννυων ἀπὸ πονηρίας ἐπιτηδευμάτων ὑμῶν. ἀναγγείλατε γὰρ τοῖς Ἰούδα, καὶ ἀκουσθήτω γὰρ Ἰερουσαλήμ. εἴπατε· σημάνατε σάλπιγγι ἐπὶ τᾶς γᾶς, κεκράξατε μέγα. εἴπατε· συνάχθητε, καὶ εἰσέλθωμεν εἰς τὰς πόλεις τὰς τειχήρεις, ἀναλαβόντες φεύγετε εἰς Σιών. στήσατε, μὴ σῆτε, ὅτι κακὰ ἐγὼ ἐπάγω ἀπὸ βορρᾶ, καὶ συντριβὴν μεγάλην. ἀνέβη λέων ἐκ τᾶς μάνδρας αὐτοῦ, καὶ ἐξεπορεύθη ἔθνη ἐξῆρε. καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου αὐτοῦ, τοῦ θεῖναι τὰν γᾶν εἰς ἐρήμωσιν. καὶ πόλεις κατασκαφήσονται, παρὰ τὸ μὴ κατοικεῖσθαι αὐτάς. ἐπὶ τούτοις περιζώσεσθε σάκκους, καὶ κόπτεσθε, καὶ ὀλολύξατε. διότι οὐκ ἀπεστράφη ὁ θυμὸς ὀργᾶς Κυρίου ἀφ' ὑμῶν. καὶ ἔσται γὰρ ἐκείνῃ τᾷ ἡμέρᾳ, λέγει Κύριος, ἀπολεῖται καρδία τοῦ βασιλέως, καὶ καρδία τῶν ἀρχόντων, καὶ οἱ ἱερεῖς ἐκστήσονται, καὶ οἱ προφῆται θαυμασθήσονται. Καὶ εἶπα· ὦ δέσποτα Κύριε, ἄρα γε ἀπατῶν ἠπάτησας τὸν λαὸν τοῦτον καὶ τὰν Ἰερουσαλήμ, λέγων, εἰρήνη ἔσται ὑμῖν, καὶ ἅψεται ἡ μάχαιρα ἕως τᾶς ψυχᾶς αὐτῶν; γὰρ τοῦ καιρῷ ἐκείνῳ ἐρεῖται τᾷ Ἰερουσαλήμ καὶ τῷ λαῷ τούτῳ· πνεῦμα πλανήσεως γὰρ τᾷ ἐρήμῳ ὁδὸς θυγατρὸς τοῦ λαοῦ μου, οὐκ εἰς καθαρόν, οὐδὲ εἰς ἅγιον. πνεῦμα πληρώσεως ἥξει μοι. νῦν δὲ ἐγὼ λαλήσω κρίματα μετ' αὐτῶν· ἰδοὺ ὡς νεφέλη ἀναβήσονται, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτῶν, ἰσχυρότεροι ἀετῶν οἱ ἵπποι αὐτῶν. καὶ ἡμῖν, ὅτι ταλαιπωρούμεθα. Ἀπόπλυνε ἀπὸ κακίας τὰν καρδίαν σου Ἰερουσαλήμ, ἵνα σωθῇς. ἕως πότε ἐναυλισθήσεται γὰρ σοὶ διαλογισμοὶ πόνων συνέσει διότι φωνὴ ἀναβαίνοντος ἐκ δάν ἥξει μοι, καὶ ἀκουστὸν ἔσται τὸν ὄρος ἐφραίμ. ἀναμνήσατε ἔθνη, ἰδοὺ ἤκασιν. ἀναγγείλατε γὰρ Ἰερουσαλήμ· συνεφαὶ ἔρχονται ἐκ γᾶς μακρόθεν, ἐδώκαν ὢδι τὰς πόλεις Ἰούδα φωνὴν αὐτῶν, ὡς φυλάσσοντες ἀγρόν, ἐγένοντο ἐπ' αὐτᾷ κύκλῳ, ὅτι ἐμὲ ἠμέλησεν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγει κύριος. αἱ ὁδοί σε καὶ τὰ ὡς τηλύματά σου ἐποίησαν τοῦτα σοί. αὕτη ἡ κακία σου, ὅτι πικρά, ὅτι ἥψατο ἕως τῆς καρδίας σου. τὴν κοιλίαν μου ἀλγῶ, καὶ τὰ ἀώδιντά μου τῆς καρδίας μου μεμόρυσται ἡ ψυχή μου. οὐ σιωπήσομαι ὅτι φωνὴν σάλπιγγος ἤκουσεν ἡ ψυχή μου, κραυγὴν πολέμου καὶ ταλαιπωρίας συντριμμὸν ὠδὴν καλοῦσιν, ὅλη τε ταλαιπώρηται πᾶσα ἡ γῆ, ἄφνω τε ταλαιπώρηκεν ἡ σκηνή, διεπαιδάγησαν αἱ διέξοδός μου. ἕως πότε ὄψομαι φεύγοντας, ἀκούσω φωνὴν σάλπιγγος; διότι οἱ ἀγοήμονες τοῦ λαοῦ μου ἐμέ οὐκ ἐγνώκασιν. υἱοὶ ἄφρονες εἰσὶ καὶ οὐ σωετοί, σοφοὶ εἰσὶ τοῦ κακοποιῆσαι, τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἐπέγνωσαν. ἐπέβλεψα ὠδὴν τὴν γῆν, καὶ ἰδοὺ ἀφγή. καὶ εἰς τὸν οὐρανόν, καὶ οὐκ ἦν τὰ φῶτα αὐτοῦ. εἶδον τὰ ὄρη, καὶ ἦν τρέμοντα, καὶ πάντες οἱ βουνοὶ παρασαλεύοντο. ἐπέβλεψα καὶ ἰδοὺ οὐκ ἦν ἄνθρωπος, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐπτόηντο. εἶδον καὶ ἰδοὺ ὁ Καρμηλος ἔρημος, καὶ πᾶσαι αἱ πόλεις ἐμπεπτώκασιν ἀπὸ προσώπου κυρίου, καὶ ἀπὸ προσώπου ὀργῆς θυμοῦ αὐτοῦ ἠφανίσθησαν. τάδε λέγει κύριος· ἔρημος ἔσται πᾶσα ἡ γῆ, συντέλειαν δὲ οὐ μὴ ποιήσω. ὠδὴ τόρις δὲ πενθήσει ἡ γῆ, καὶ συσκοτασθήσεται ὁ οὐρανὸς ἄνωθεν, διότι ἐλάλησα καὶ οὐ μετανοήσω, οὐδὲ μὴ καὶ ἀπίστρεψα ἀπ' αὐτῆς. ἀπὸ φωνῆς ἱππέως, καὶ τοξότου τάξεως, καὶ ἐχώρησε πᾶσα ἡ χώρα. εἰσῆλυσαν εἰς τὰ ἄπλατα, καὶ εἰς τὰ ἄλση ἐκρύβησαν, καὶ ὠδὴ τὰς πέτρας ἀνέβησαν. πᾶσα πόλις ἐγκατελείφθη, οὐ κατοικεῖ ἐν αὐταῖς ἄνθρωπος. καὶ σὺ τί ποιήσεις ἐὰν πορφυρίδα ἐνδύσῃ κόκκινον; καὶ κοσμήσῃ κόσμῳ χρυσῷ; ἐὰν ἐγχρίσῃ στίβι τοὺς ὀφθαλμούς σου, εἰς μάτην ὡραΐσθης σου. ἀπώσαντό σε οἱ ἐρασταί σου, τὴν ψυχήν σου ζητοῦσιν· ὅτι φωνὴν ὡς ὠδίνουσης ἤκουσα, τὴν συνοχὴν ὡς πρωτοτόκου θυγατρὸς σιὼν ἐκλυθήσετε, καὶ πτήσει τὰς χεῖρας αὐτῆς, οἴμοι ἐγώ, ὅτι ἐκλέλοιπεν ἡ ψυχή μου ὠδὴ τοῖς ἀπηρημένοις.

ΚΕΦΑΛ. ε'. 5.

Περιδράμετε γὰρ τὰς ὁδοὺς Ἱερουσαλήμ, καὶ ἴδετε, καὶ γνῶτε, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, ἐὰν εὕρητε ἄνδρα, εἴ ἐστι ποιῶν κρίμα, καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτοῖς, λέγει κύριος. ζῇ κύριος, λέγουσι. διαπαντὸς οὐκ ἐν ψεύδεσιν ὀμνύουσι. Κύριε οἱ ὀφθαλμοί σου εἰς πίστιν, ἐμάστιγωσας αὐτούς, καὶ οὐκ ἐπόνεσαν. συνετέλεσας αὐτούς, καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν. ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν, καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι. καὶ ἐγὼ εἶπα· ἴσως πτωχοί εἰσι. διότι ἀπεδυνήθησαν, ὅτι οὐκ ἔγνωσαν ὁδὸν κυρίου, καὶ κρίσιν θεοῦ. πορεύσομαι πρὸς τοὺς ἄρχοντας, καὶ λαλήσω αὐτοῖς, ὅτι αὐτοὶ ἐπέγνωσαν ὁδὸν κυρίου καὶ κρίσιν θεοῦ. καὶ ἰδοὺ ὁμοθυμαδὸν συνέτριψαν ζυγόν, διέρρηξαν δεσμούς. διαπαντὸς ἔπαισεν αὐτοὺς λέων ἐκ τοῦ δρυμοῦ, καὶ λύκος ἔως τῶν οἰκιῶν ὠλόθρευσεν αὐτούς, καὶ πάρδαλις ἐγρηγόρησεν ὠδὴ τὰς πόλεις αὐτῶν. πᾶς τὸν οἱ ἐκπορευόμενοι ἀπ' αὐτῶν συρεύσονται, ὅτι ἐπληθύνθησαν ἀσεβείας αὐτῶν. ἴσχυσαν γὰρ ταῖς ἀποστροφαῖς αὐτῶν, ποίαν τοιαύτην ἴλεως ἔσομαί σοι. οἱ υἱοί σου ἐγκατέλιπόν με, καὶ ὤμνυον γὰρ τοῖς οὐκ οὖσι θεοῖς, καὶ ἐχόρτασα αὐτούς, καὶ ἐμοιχῶντο, καὶ γὰρ οἴκοις πορνῶν κατέλυσαν. ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ὠδὴ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον. μὴ ὠδὴ τούτοις οὐκ ὠδυνήσομαι, λέγει κύριος; ἢ γὰρ ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ἀναβαίνετε ὠδὴ τοὺς θρόμαχῶνας αὐτῆς, καὶ καταστρέψατε, σωτέλειαν δὲ μὴ ποιήσητε. ἀφέλεσθε τὰ ἀποσπείγματα αὐτῆς, ὅτι τοῦ κυρίου εἰσίν. ὅτι ἀθετοῦντες ἠθέτησάν με εἰς ἐμέ, λέγει κύριος, οἶκος Ισραὴλ, καὶ οἶκος Ιούδα ἐψεύσαντο τοῦ κυρίου αὐτῶν, καὶ εἶπαν· οὐκ ἔστι τοῦτο. οὐχ ἥξει ἐφ' ἡμᾶς κακά, καὶ μάχαιραν καὶ λιμὸν οὐκ ὀψόμεθα. οἱ προφῆται ἡμῶν ἔσαν εἰς ἄνεμον, καὶ λόγος κυρίου οὐκ ἐστὶν ἐν αὐτοῖς. οὕτως ἔσαι αὐτοῖς. διαπαντὸς τάδε λέγει κύριος· ἀνθ' ὧν ἐλαλήσατε τὸ ῥῆμα τοῦτο, ἰδοὺ ἐγὼ δίδωμι τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον ξύλα, καὶ κατοφάγεται αὐτούς. καὶ ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ἔθνος πόρρωθεν οἶκος Ισραὴλ, λέγει κύριος. ἔθνος ὃ οὐκ ἀκούσει φωνῆς οὐδὲ γλώσσης αὐτοῦ, αὐτοὶ ἰσχυροί, καὶ κατέδονται τὸν βερισμόν ὑμῶν, καὶ τοὺς ἄρτους ὑμῶν. καὶ κατέδονται τοὺς υἱούς ὑμῶν, καὶ τὰς θυγατέρας ὑμῶν, καὶ κατέδονται πρόβατα ὑμῶν καὶ τοὺς μόσχους ὑμῶν, καὶ κατέδονται τοὺς ἀμπελῶνας ὑμῶν, καὶ τοὺς συκῶνας ὑμῶν, καὶ τοὺς ἐλαιῶνας ὑμῶν, καὶ ἀλήσουσι πόλεις τὰς ὀχυρὰς ὑμῶν, ἐφ' αἷς ὑμεῖς πεποίθατε ἐπ' αὐταῖς, ἐν ῥομφαίᾳ. καὶ ἔσαι ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει κύριος ὁ θεός σε, οὐ μὴ ποιήσω ὑμᾶς εἰς συντέλειαν, καὶ ἔσαι ὅταν εἴπητε· τίνος ἕνεκεν ἐποίησε κύριος ὁ θεὸς ἡμῶν ἡμῖν πάντα ταῦτα; καὶ ἐρεῖς αὐτοῖς· ὡς ὑμεῖς ἐγκατελίπετέ με καὶ ἐν τῇ γῇ ὑμῶν, οὕτως δουλεύσετε ἀλλοτρίοις ἐν γῇ οὐχ ὑμῶν. ἀπαγγείλατε ταῦτα εἰς τὸν οἶκον Ιακώβ, καὶ ἀκουσθήτω ἐν Ιούδᾳ. ἀκούσατε δὴ ταῦτα λαὸς μωρὸς καὶ ἀκάρδιος, ὀφθαλμοὶ αὐτοῖς καὶ βλέπουσιν, ὥστε αὐτοὺς καὶ ἐκ ἀκούσαι. μὴ ἐμὲ φοβηθήσεσθε, λέγει κύριος; ἢ ἀπὸ προσώπου μου ἐκ δυνηθήσεσθε, τὸν θέσαντα ἄμμον ὅριον τῇ θαλάσσῃ πρόσαγμα αἰώνιον, καὶ ἐκ ὑπερβήσεται αὐτό, ἐὰν ταραχθήσεται, καὶ ἀδυνήσεται. καὶ ἠχήσουσι τὰ κύματα αὐτῆς, καὶ ἐκ ὑπερβήσεται αὐτό. ἐπὶ δὲ λαῷ τούτῳ ἐγενήθη καρδία ἀπειθὴς καὶ

καὶ

καὶ ἐξέκλιναν καὶ ἀπήλθοσαν, καὶ οὐκ εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν· φοβηθῶμεν δὴ κύριον τὸν θεὸν ἡμῶν, τὸν διδόντα ἡμῖν ὑετὸν πρώϊμον, καὶ ὄψιμον κατὰ καιρὸν πλησμονὴν πυρῶν ἐνιαυσιαίαν ἐκτίσεως, καὶ ἐφύλαξεν ἡμῖν. Αἱ ἀνομίαι ὑμῶν ἐξέκλιναν ταῦτα, καὶ αἱ ἁμαρτίαι ὑμῶν ἀπέστησαν τὰ ἀγαθὰ ἀφ' ὑμῶν, ὅτι εὑρέθησαν ἐν τῷ λαῷ μου ἀσεβεῖς. καὶ παγίδας ἔστησαν τοῦ διαφθεῖραι ἄνδρας, καὶ συνελαμβάνοσαν ὡς παγὶς ἐφεσαμένη πλήρης στενωπόν· οὕτως οἱ οἶκοι αὐτῶν πλήρεις δόλου. διὰ τοῦτο ἐμεγαλύνθησαν καὶ ἐπλούτησαν καὶ παρέβησαν λρίσιν· δίκην ἐκείνων λρίσιν ὀρφανῶν, καὶ λρίσιν χήρας οὐκ ἐκείνοσαν. μὴ ὑπὲρ τούτοις δίκην οὐκ ἐκδικήσω αὐτούς, λέγει κύριος; ἢ ἐν ἔθνει τῷ τοιούτῳ δίκην ἐκδικήσει ἡ ψυχή μου; ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐν τῇ γῇ. οἱ προφῆται προφητεύουσιν ἄδικα, καὶ οἱ ἱερεῖς ἐπεκρότησαν ταῖς χερσὶν αὐτῶν, καὶ ὁ λαός μου ἠγάπησαν οὕτως, καὶ τί ποιήσετε εἰς τὰ μετὰ ταῦτα;

ΚΕΦΑΛ. ε'. 6.

ΕΝισχύσατε υἱοὶ Βενιαμεὶν ἐκ μέσου Ἰερουσαλὴμ, καὶ ἐν Θεκωὲ σημάνατε σάλπιγγι, καὶ ὑπὲρ Βηθὰχ χερμὰ ἄρατε σημεῖον, ὅτι λαμπὰς ἐκκέκυφεν ἀπὸ Βορρᾶ, καὶ συντριβὴ μεγάλη γίνεται, καὶ ἀφαιρεθήσεται ὁ ὕψος σου θύγατερ σιών. εἰς αὐτὴν ἥξουσι ποιμένες, καὶ τὰ ποίμνια αὐτῶν, καὶ πήξουσιν ἐπ' αὐτὴν σκηνὰς κύκλῳ, καὶ ποιμανοῦσιν ἕκαστος τῇ χειρὶ αὐτοῦ. ἁγιάσατε ἐπ' αὐτὴν εἰς πόλεμον, ἀναβῶμεν καὶ ἀναβῶμεν ἐπ' αὐτὴν μεσημβρίας. οὐαὶ ἡμῖν, ὅτι κέκλινεν ἡ ἡμέρα, ὅτι ἐκλείπουσιν αἱ σκιαὶ τῆς ἑσπέρας, ἀναβῶμεν καὶ ἀναβῶμεν ἐπ' αὐτὴν νυκτὶ, καὶ διαφθείρωμεν τὰ θεμέλια αὐτῆς. ὅτι τάδε λέγει κύριος τῶν δυνάμεων· ἐκκόψατε τὰ ξύλα αὐτῆς, ἔκχεον ὀδὸν Ἰερουσαλὴμ δυνάμιν. ὦ πόλις ψευδὴς ὅλη κατάδωλος ἐν αὐτῇ· ὡς ψύχει λάκκος ὕδωρ αὐτοῦ, οὕτω ψύχει κακίας αὐτῆς. ἀσέβεια καὶ παλαιπωρία ἀκουσθήσεται ἐν αὐτῇ ὀδὸν πρόσωπόν μου. διάπαυτός. πόνων καὶ μάστιγι παιδευθήσῃ Ἰερουσαλὴμ, μὴ ἀρθῇ ἡ ψυχή μου ἀπὸ σοῦ, μὴ ποιήσωσί σε ἔρημον γῆν, ἥτις οὐ κατοικηθήσεται. ὅτι τάδε λέγει κύριος τῶν δυνάμεων· καλαμᾶσθε καλαμᾶσθε, ὡς ἄμπελον τὰ κατάλοιπα τοῦ Ἰσραὴλ, ὡσεὶ τρύγα ὡδὸν τὸν κάρπαλον αὐτοῦ. πῶς τίνα λαλήσω, καὶ διαμαρτύρωμαι καὶ εἰσακουσθήσεται; ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν. ἰδοὺ τὸ ῥῆμα κυρίου ἐγένετο αὐτοῖς εἰς ὀνειδισμόν, οὐ μὴ βουληθῶσιν αὐτὸ ἀκοῦσαι, καὶ τὸν θυμόν μου ἔπλησα, καὶ ἐπέσχον καὶ συνετέλεσα αὐτούς. ἐκχεῶ ὀδὸν νήπια ἔξωθεν, καὶ ὀδὸν συναγωγὴν νεανίσκων ἅμα, ὅτι ἀνὴρ καὶ γυνὴ συλληφθήσονται, πρόβυτερος μετὰ πλήρους ἡμερῶν, καὶ μετασταφήσονται αἱ οἰκίαι αὐτῶν εἰς ἑτέρους, ἀγροὶ καὶ αἱ γυναῖκες αὐτῶν ὁμοῦ· ὅτι ἐκτενῶ τὴν χεῖρά μου ὀδὸν τοὺς κατοικοῦντας τὴν γῆν τοῦτον, λέγει κύριος. ὅτι ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου πάντες συνετέλεσαν τὰ ἄνομα, ἀπὸ ἱερέως καὶ ἕως ψευδοῦς προφήτου πάντες ἐποίησαν ψευδῆ, καὶ ἴασντο τὸ σύντριμμα τοῦ λαοῦ μου, ἐξουθενοῦντες καὶ λέγοντες· εἰρήνη. μὴ ἔστιν εἰρήνη; κατῃσχύνθησαν ὅτι ἐξελείποσαν, καὶ ὅλως ὡς λάταξ ἐσχυόμενοι λατῃσχύνθησαν, καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν. διὰ τοῦτο πεσοῦνται ἐν τοῖς πίπτουσιν, ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται, εἶπε κύριος. τάδε λέγει κύριος· στῆτε ὀδοὺς καὶ ἴδετε, καὶ ἐρωτήσατε τρίβους κυρίου αἰωνίους, καὶ ἴδετε ποία ὁδὸς ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. καὶ εἶπαν· οὐ πορευσόμεθα. καθέσκαπται ἐφ' ὑμᾶς σκοπὸς. ἀκούσατε φωνῆς σαλπιγγος. καὶ εἶπαν· οὐκ ἀκουσόμεθα. διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη, καὶ οἱ ποιμαίνοντες τὰ ποίμνια αὐτῶν. ἤκουσε γῆ, ἰδοὺ ἐγὼ ἐπάγω ὀδὸν τὸν λαὸν τοῦτον κακὰ, τὸν καρπὸν ἀκροστοφῆς αὐτῶν, ὅτι ἐν λόγῳ μου οὐ προσέσχον, καὶ τὸν νόμον μου ἀπώσαντο. ἵνατί μοι λίβανον ἐκ Σαβὰ φέρετε, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; καὶ ὁλοκαυτώματα ὑμῶν οὐκ εἰσὶ δεκτὰ, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἡδυνάθη μοι. διὰ τοῦτο τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ δίδωμι ὀδὸν τὸν λαὸν τοῦτον ἀδυνησίαν, καὶ ἀδυνήσουσιν ἐν αὐτῇ πατέρες, καὶ οἱ υἱοὶ ἅμα, γείτων καὶ ὁ πλησίον αὐτοῦ, ἀπολοῦνται. τάδε λέγει κύριος· ἰδοὺ λαὸς ἔρχεται ἀπὸ Βορρᾶ, καὶ ἔθνη ἐξεγερθήσεται ἀπ' ἐσχάτου τῆς γῆς, τόξον καὶ ζιβύνην κρατήσουσιν, ἀπαμός ἐστι, καὶ οὐκ ἐλεήσει φωνὴ αὐτῶν, ὡς θάλασσα κυμαίνεται, ἐφ' ἵπποις καὶ ἅρμασι παρατέτακται, ὡς ἀνὴρ εἰς πόλεμον πρός σε θύγατερ σιών. ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν, παρελύθησαν αἱ χεῖρες ὑμῶν, θλῖψις κατέσχεν ὑμᾶς, ὠδῖνες ὡς τικτούσης. μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν, καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυκλόθεν. θύγατερ λαοῦ μου περίζωσαι σάκκον, κατάπασαι σποδὸν. ἀγάπητὸν ποίησαι σεαυτῇ κοπετὸν οἰκτρὸν, ὅτι ἐξαίφνης ἥξει παλαιπωρία ἐφ' ὑμᾶς. δόκιμος δέδωκά σε ἐν λαοῖς δόκιμον μάσσημα, καὶ γνώσῃ ἐν τοῖς δόκιμα σε τὴν ὁδὸν αὐτῶν, καὶ πάντες αὐτοὶ πορευόμενοι σκολιῶς. χαλκὸς καὶ σίδηρος πάντες διεφθαρμένοι εἰσίν. ἐξέλιπε φυσητὴρ ἀπὸ πυρός, ἐξέλιπε μόλιβδος. εἰς λόγον ἀργυροκόπος ἀργυροκοπεῖ, πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν, ἀργύριον ἀπόδεδοκιμασμένον καλέσατε αὐτούς, ὅτι ἀπέδοκίμασεν αὐτοὺς κύριος.

Κεφάλ.

ΚΕΦΑΛ. ζ. 7.

Ακούσατε λόγον κυρίου πᾶσα Ἰουδαία, τάδε λέγει κύριος τῶν δυνάμεων ὁ θεὸς Ἰσραὴλ· ἐὰν διορθώσητε τὰς ὁδοὺς ὑμῶν, καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ τούτῳ. μὴ πεποίθατε ἐφ' ἑαυτοῖς ὑδὲ λόγοις ψευδέσιν, ὅτι τὸ παράπαν οὐκ ὠφελήσουσιν ὑμᾶς λέγοντες· ναὸς κυρίου ναὸς κυρίου ἐστίν. ὅτι ἐὰν διορθοῦτε τὰς διορθώσητε τὰς ὁδοὺς ὑμῶν, καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ ποιοῦντες ποιήσητε κρίσιν ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ, καὶ προσήλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ κατα-δυναστεύσητε, καὶ αἷμα ἀθῷον οὐ μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ, καὶ ὀπίσω θεῶν ἑτέρων μὴ πορεύησθε εἰς κακὸν ὑμῖν, καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ ὑμῶν ἐν τῇ γῇ ἣν ἔδωκα τοῖς πατράσιν ὑμῶν ἀπ' αἰῶνος καὶ ἕως αἰῶνος. εἰ δὲ ὑμεῖς πεποίθατε ὑδὲ λόγοις ψευδέσιν, οὐθὲν σὺν ὠφελη-θήσεσθε, καὶ φονεύετε, καὶ μοιχᾶσθε, καὶ κλέπτετε, καὶ ὀμνύετε ἐπ' ἀδίκῳ, καὶ θυμιᾶτε τῇ Βααλ, καὶ πορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων ὧν οὐκ οἴδατε τοῦ κακῶσαι ὑμῖν, καὶ ἥκετε καὶ στήσεσθε ἐνώπιόν μου ἐν τῷ οἴκῳ, ὃ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ, καὶ εἴπατε, ἀπειλήμμεθα· μὴ ποιεῖν πάντα τὰ βδελύγματα ταῦτα. μὴ σπήλαιον λῃστῶν ὁ οἶκός μου, ὃ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ, ἐνεὶ ἐνώπιον ὑμῶν; καὶ ἰδοὺ ἐγὼ ἑώρακα, λέγει κύριος, ὅτι πορεύθητε εἰς τὸν τόπον μου τὸν ἐν Σηλώμ, ὃ ἐκατεσκήνωσα τὸ ὄνομά μου ἐπ' αὐτῷ ἐκεῖ ἔμπροσθεν, καὶ ἴδετε ἃ ἐποίησα αὐτῷ ἀπὸ προσώπου κακίας λαοῦ μου Ἰσραήλ. καὶ νῦν ἀνθ' ὧν ἐποιήσατε πάντα τὰ ἔργα ταῦτα, καὶ ἐλάλησα πρὸς ὑμᾶς, καὶ ὀρθρίσας ἐλάλησα ὑμῖν, καὶ οὐκ ἠκούσατέ μου, καὶ ἐκάλεσα ὑμᾶς, καὶ οὐκ ἀπεκρίθητε. τοίνυν διὰ τοῦτο ποιήσω τῷ οἴκῳ τούτῳ, ὃ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ, ἐφ' ᾧ ὑμεῖς πεποίθατε ἐπ' αὐτῷ, καὶ τῷ τόπῳ ὃν ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν, καθὼς ἐποίησα τῇ Σηλώμ. καὶ ἀπορρίψω ὑμᾶς ἀπὸ προσώπου μου, καθὼς ἀπέρριψα τοὺς ἀδελφοὺς ὑμῶν, πᾶν τὸ σπέρμα Ἐφραίμ. καὶ σὺ μὴ προσεύξῃ περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀντιβῇς τοῦ ἐλεημοσύνας αὐτοῖς, καὶ μὴ δύξῃ, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου. ἢ οὐχ ὁρᾶς τί αὐτοὶ ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν ταῖς ὁδοῖς Ἰερουσαλήμ; οἱ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν πλάσσουσι ζύμας, τοῦ ποιῆσαι χαμωνὰς τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με. μὴ ἐμὲ αὐτοὶ παροργίζουσι, λέγει κύριος; οὐχὶ ἑαυτούς, ὅπως ἐντραπήσωνται τὰ πρόσωπα αὐτῶν; διὰ τοῦτο τάδε λέγει κύριος· ἰδοὺ ὀργὴ καὶ θυμός μου κέχυται ὑδὲ ἐν τόπῳ τούτῳ, καὶ ὑδὲ οὐ ἀνθρώπους, καὶ ὑδὲ κτήνη, καὶ ὑδὲ πᾶν ξύλον τοῦ ἀγροῦ αὐτῶν, καὶ ὑδὲ τὰ γενήματα τῆς γῆς, καὶ ἐκαυθήσεται καὶ οὐ σβεσθήσεται. Τάδε λέγει κύριος· τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν, καὶ φάγεται κρέα, ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου περὶ ὁλοκαυτωμάτων καὶ θυσίας. ἀλλ' ἢ τὸ ῥῆμα τοῦτο ἐνετειλάμην αὐτοῖς, λέγων· ἀκούσατε τῆς φωνῆς μου, καὶ ἔσομαι ὑμῖν εἰς θεόν, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς λαόν, καὶ πορεύεσθε ἐν πάσαις ταῖς ὁδοῖς μου, αἷς ἂν ἐντείλωμαι ὑμῖν, ὅπως ἂν εὖ ᾖ ὑμῖν. καὶ οὐκ ἤκουσαν μου, οὐδὲ προσέσχον τὸ οὖς αὐτῶν. ἀλλ' ἐπορεύθησαν ἐν ταῖς ἐνθυμήσεσι τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς, καὶ ἐγενήθησαν εἰς τὰ ὀπίσω, καὶ οὐκ εἰς τὰ ἔμπροσθεν, ἀφ' ἧς ἡμέρας ἐξῆλθοσαν οἱ πατέρες αὐτῶν ἐκ γῆς Αἰγύπτου, καὶ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐξαπέστειλα πρὸς αὐτοὺς πάντας τοὺς δούλους μου τοὺς προφήτας, ἡμέρας καὶ ὀρθρου, καὶ ἀπέστειλα, καὶ οὐκ εἰσήκουσά μου, καὶ οὐ προσέσχον τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν. καὶ ῥεῖς αὐτοῖς πάντα τὸν λόγον τοῦτον, καὶ τὸ ἔθνος ὃ οὐκ ἤκουσε τῆς φωνῆς κυρίου αὐτῶν, οὐδὲ ἐδέξαντο παιδείαν, ἐξέλιπεν ἡ πίστις ἐκ στόματος αὐτῶν. κείρετε τὴν κεφαλήν σου, καὶ ἀπόῤῥιπτε, καὶ ἀνάλαβε ἐπὶ χειλέων θρῆνον, ὅτι ἀπειθοῦσί μοι κύριος, καὶ ἀπώσατο τὴν γενεὰν τὴν πονηρὰν τὴν ποιοῦσαν ταῦτα. ὅτι ἐποίησαν οἱ υἱοὶ Ἰούδα τὸ πονηρὸν ἐνώπιόν μου, λέγει κύριος· ἔταξαν τὰ βδελύγματα αὐτῶν ἐν τῷ οἴκῳ, οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ, τοῦ μιᾶναι αὐτόν. καὶ ᾠκοδόμησαν τὸν βωμὸν τῶν ταφὲθ τὸν ἐν τῇ φάραγγι υἱοῦ Ἐννόμ, τοῦ κατακαίειν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρί, ἃ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐ διενοήθην ἐν τῇ καρδίᾳ μου. διὰ τοῦτο ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ οὐκ ὀρθρίσει ἔτι τὸ βωμὸς τοῦ ταφὲθ καὶ φάραγξ υἱοῦ Ἐννόμ, ἀλλὰ φάραγξ τοῦ ἀνηρημένου. καὶ θάψουσιν ἐν τῷ ταφὲθ, πρὸς τὸ μὴ ὑπάρχειν τόπον. καὶ ἔσονται οἱ νεκροὶ τοῦ λαοῦ τούτου εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ οὐκ ἔσται ὁ ἀποσοβῶν. καὶ καταλύσω ἐκ πόλεως Ἰούδα καὶ ἐκ πλατειῶν Ἰερουσαλὴμ φωνὴν εὐφραινομένων, καὶ φωνὴν χαιρόντων, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, ὅτι εἰς ἐρήμωσιν ἔσται πᾶσα ἡ γῆ.

ΚΕΦΑΛ. η. 8.

Ἐν τῷ καιρῷ ἐκείνῳ λέγει κύριος, ἀνοίξουσι τὰ ὀστᾶ τῶν βασιλέων Ἰούδα, καὶ τὰ ὀστᾶ τῶν ἀρχόντων αὐτῶν, καὶ τὰ ὀστᾶ τῶν ἱερέων, καὶ τὰ ὀστᾶ τῶν προφητῶν αὐτῶν, καὶ τὰ ὀστᾶ τῶν κατοικούντων ἐν Ἰερουσαλὴμ ἐκ τῶν τάφων αὐτῶν, καὶ ψήξουσιν αὐτὰ πρὸς τὸν

τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ πᾶς ταῦτας τὸν ἀστέρας, καὶ πᾶς πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, ἃς ἠγάπησαν, καὶ οἷς ἐδούλευσαν, καὶ ὧν ἐπορεύθησαν ὀπίσω αὐτῶν, καὶ ὧν ἀνεζήτησαν, καὶ οἷς προσεκύνησαν αὐτοῖς. οὐ κοπήσονται, καὶ οὐ ταφήσονται, καὶ ἔσονται εἰς παράδειγμα ἐπὶ προσώπου πάσης τῆς γῆς, ὅτι εἵλοντο τὸν θάνατον ἢ τὴν ζωὴν, καὶ πᾶσιν τοῖς καταλοίποις τοῖς καταλειφθεῖσιν ἀπὸ τῆς γενεᾶς ἐκείνης, τῶν πάντων τόπων οὗ ἐὰν διῶσω αὐτοὺς ἐκεῖ. Οτι τάδε λέγει Κύριος· μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἀποστρέφει; διατί ἀπέστρεψεν ὁ λαὸς οὗτος ἀποστροφὴν ἀναισχῆ, καὶ κατεκρατήσαντο τῆς προαιρέσεως αὐτῶν, καὶ ἐκπεπόρευνται τοῦ ἐπιστρέψαι; ἐνωτίζασθε καὶ ἀκούσατε, οὐχ οὕτως λαλήσουσιν· οὐκ ἔστιν ἄνθρωπος ὁ μετανοῶν ἀπὸ τῆς κακίας αὐτοῦ, λέγων· τί ἐποίησα; ἀπέλιπεν ὁ δρόμος αὐτοῦ ὡς ἵππος, καθιέμενος ἐν πολέμῳ αὐτοῦ, καὶ ὁ ἀσίδης ἐν οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτοῦ. πρωΐ καὶ χελιδὼν ἀγρὸν φυλάξαι καιροὺς εἰσόδων ἑαυτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνωσαν τὰ κρίματα Κυρίου. πῶς ἐρεῖτε, ὅτι σοφοί ἐσμεν ἡμεῖς, καὶ νόμος Κυρίου μεθ' ἡμῶν ἐστι; εἰς ματαίαν ἐγράψατο γραμματεῖς ψευδεῖς γραμματεῖς, ἠσχύνθησαν σοφοί, ἐπτοήθησαν καὶ ἐλήφθησαν· ἰδοὺ τὸν λόγον Κυρίου ἀπεδοκίμασαν. σοφία τίς ἐστιν ἐν αὐτοῖς; διὰ τοῦτο δώσω τὰς γυναῖκας αὐτῶν ἑτέροις, καὶ τοὺς ἀγροὺς αὐτῶν τοῖς κληρονόμοις. καὶ σωθήσονται τὰ γενήματα αὐτῶν, λέγει Κύριος. ὅτι ἔστι φυλὴ ἐν ταῖς ἁμπέλοις, καὶ οὐκ ἔστι σῦκα ἐν ταῖς συκαῖς, καὶ τὰ φύλλα κατερρύηκεν. καὶ ὅτι τί ἡμεῖς καθήμεθα; σωθῆτε καὶ εἰσέλθωμεν εἰς τὰς πόλεις τὰς ὀχυρὰς, καὶ ἀπερριφθῶμεν ἐκεῖ, ὅτι ὁ θεὸς ἀπέρριψεν ἡμᾶς, καὶ ἐπότισεν ἡμᾶς ὕδωρ χολῆς, ὅτι ἡμάρτομεν ἐναντίον αὐτοῦ. σωὴ ἐλπὶς εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγαθά. εἰς καιρὸν ἰάσεως, καὶ οὐκ ἦν σύγχυσις. ἐκ Δαν ἀκουσόμεθα φωνὴν ὀξύτητος ἵππων αὐτοῦ, ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐτοῦ ἐσείσθη πᾶσα ἡ γῆ, καὶ ἦξει καὶ κατφάγεται τὴν γῆν, καὶ τὸ πλήρωμα αὐτῆς, πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ. διότι ἰδοὺ ἐγὼ ἀποστέλλω εἰς ὑμᾶς ὄφεις θανατοῦντας, οἷς οὐκ ἔστιν ἐπᾴσαι, καὶ δήξονται ὑμᾶς ἰώματα μετὰ ὀδύνης καρδίας ὑμῶν ἀρρωστίας. ἰδοὺ κραυγὴ, φωνὴ κραυγῆς θυγατρὸς λαοῦ μου ἀπὸ γῆς μακρόθεν. μὴ Κύριος οὐκ ἔστιν ἐν Σιὼν; ἢ Βασιλεὺς ἐκ ἔστιν ἐκεῖ; διὰ τί παρώργισάν με ἐν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐν ματαίοις ἀλλοτρίοις. διῆλθε θέρος, παρῆλθεν ἀμητὸς, καὶ ἡμεῖς οὐ διεσώθημεν. ὑπὲρ συντρίμματι θυγατρὸς λαοῦ μου ἐσκοτώθην ἐν ἀρρωστίᾳ, κατίσχυσάν με ὠδῖνες ὡς τικτούσης. καὶ μὴ ῥητίνη ἐκ ἔστιν ἐν Γαλαάδ, ἢ ἰατρὸς ἐκ ἔστιν ἐκεῖ; διατί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου;

ΚΕΦΑΛ. θ'. 9.

Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ ταῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων; καὶ κλαύσομαι τὸν λαόν μου τοὺς ἡμέρας καὶ νυκτὸς, τοὺς τετραυματισμένους θυγατρὸς λαοῦ μου. τίς δώσει μοι ἐν τῇ ἐρήμῳ καταλύματα ὁδοιπορίας, καὶ καταλείψω τὸν λαόν μου, καὶ ἀπελεύσομαι ἀπ' αὐτῶν; ὅτι πάντες μοιχεύονται, συναγωγὴ ἀθετούντων, καὶ ἐνέτειναν τὴν γλῶσσαν αὐτῶν ὡς τόξον ψεύδες, καὶ οὐ πίστις ἐνίσχυσεν ἐπὶ τῆς γῆς, ὅτι ἐκ κακῶν εἰς κακὰ ἐξῆλθοσαν, καὶ ἐμὲ οὐκ ἔγνωσαν, φησὶ Κύριος. ἕκαστος ἀπὸ τοῦ πλησίον αὐτοῦ φυλάξασθε, καὶ ἐπ' ἀδελφοῖς αὐτῶν μὴ πεποίθατε, ὅτι πᾶς ἀδελφὸς πτέρνῃ πτέρνιεῖ, καὶ πᾶς φίλος διολίσει πορεύσεται. ἕκαστος ἐπὶ τοῦ φίλου αὐτοῦ καταπαίξεται, ἀλήθειαν οὐ μὴ λαλήσωσι, μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψεῦδος, ἐξέλιπον τοῦ ἐπιστρέψαι. τόκος ἐπὶ τόκῳ, δόλος ἐπὶ δόλῳ. οὐκ ἠθέλησαν ἐπιγνῶναί με, φησὶ Κύριος. διατοῦτο τάδε λέγει Κύριος τῶν δυνάμεων· ἰδοὺ ἐγὼ πυρώσω αὐτοὺς, καὶ δοκιμῶ αὐτοὺς, ὅτι ποιήσω ἀπὸ προσώπου πονηρίας θυγατρὸς λαοῦ μου, βολὶς πτερώσασα ἡ γλῶσσα αὐτῶν, δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν. τοῦ πλησίον αὐτοῦ λαλεῖ εἰρηνικὰ, καὶ ἐν ἑαυτῷ τοῦ ἔχει τὴν ἐχθράν. μὴ ἐπὶ τούτοις οὐκ ἐκδικήσω, λέγει Κύριος; ἢ ἐν λαῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ἐπὶ τὰ ὄρη λάβετε κοπετὸν, καὶ ἐπὶ τοὺς πρίονας τῆς ἐρήμου θρῆνον, ὅτι ἐξέλιπον παρὰ τὸ μὴ εἶναι διαπορεύεσθαι ἀνθρώπους, οὐκ ἤκουσαν φωνὴν κτήνους ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ, καὶ ἕως κτηνῶν ἐξέστησαν, ᾤχοντο. καὶ δώσω τὴν Ιερουσαλὴμ εἰς μετοικίαν, εἰς καταφυγὴν δρακόντων, καὶ τὰς πόλεις Ιούδα δώσω εἰς ἀφανισμὸν θήσομαι, παρὰ τὸ μὴ κατοικεῖσθαι. τίς ἄνθρωπος ὁ σοφὸς, καὶ συνήσει τοῦτο; καὶ ᾧ λόγος στόματος Κυρίου πρὸς αὐτὸν, ἀναγγειλάτω ὑμῖν; ἕνεκεν τίνος ἀπώλετο ἡ γῆ; ἀνήφθη, ὡς ἔρημος παρὰ τὸ μὴ διοδεύεσθαι αὐτήν. Καὶ εἶπε Κύριος πρός με· διὰ τὸ ἐγκαταλιπεῖν αὐτοὺς τὸν νόμον μου, ὃν ἔδωκα πρὸ προσώπου αὐτῶν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς μου, ἀλλ' ἐπορεύθησαν ὀπίσω αὐτῶν ἀρεστῶν τῆς καρδίας αὐτῶν καὶ ὀπίσω τῶν ἐδίδαξαν αὐτοὺς οἱ πατέρες αὐτῶν. διατοῦτο τάδε λέγει Κύριος παντοκράτωρ ὁ θεὸς Ισραήλ· ἰδοὺ ἐγὼ ψωμίζω αὐτοὺς ἄνανκας, καὶ ποτιῶ αὐτοὺς ὕδωρ χολῆς, καὶ διασκορπιῶ αὐτοὺς ἐν τοῖς ἔθνεσιν εἰς οὓς οὐκ ἐπεγίνωσκον αὐτοί, καὶ οἱ πατέρες αὐτῶν, καὶ ἀποστελῶ εἰς αὐτοὺς τὴν μάχαιραν, ἕως τοῦ ἐξανιλῶσαι αὐτοὺς ἐν αὐτῇ. τάδε λέγει Κύριος· καλέσατε τὰς θρηνούσας, καὶ ἐλθέτωσαν, καὶ πέμψατε πρὸς τὰς σοφὰς ἀρσενίκατε, καὶ

φθεγξάσθω

φθησεξολοθωσαν, καὶ λαβέτωσαν ἐφ' ὑμᾶς θρῆνον, καὶ καταγαγέτωσαν οἱ ὀφθαλμοὶ ὑμῶν σταγόνα, καὶ τὰ βλέφαρα ὑμῶν ῥεέτω ὕδωρ, ὅτι φωνὴ οἴκτου οἰκτρὸ οἴκτα ἐν σιὼν· πῶς ἐταλαιπωρήθημεν, κατησχύνθημεν σφόδρα; ὅτι ἐγκατελίπομεν τὴν γῆν, καὶ ἀπερρίψαμεν τὰ σκηνώματα ἡμῶν. ἀκούσατε δὴ γυναῖκες λόγον θεοῦ, καὶ λεξάτω τὰ ὦτα ὑμῶν λόγους στόματος αὐτοῦ, καὶ διδάξατε τὰς θυγατέρας ὑμῶν οἶκτον, καὶ γυνὴ τὴν πλησίον αὐτῆς θρῆνον, ὅτι ἀνέβη θάνατος διὰ τῶν θυρίδων ὑμῶν, εἰσῆλθεν εἰς τὴν γῆν ὑμῶν, τοῦ ἐκκόψαι νήπια ἔξωθεν, καὶ νεανίσκους ἀπὸ τῶν πλατειῶν, καὶ ἔσονται οἱ νεκροὶ τῶν ἀνθρώπων ὡς παράλειγμα ὑπὸ πρόσωπον τοῦ ἀποδίου ἐπὶ γῆς ὑμῶν, καὶ ὡς χόρτος ὀπίσω θερίζοντος, καὶ οὐκ ἔστιν ὁ συνάγων. τάδε λέγει κύριος· μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύι αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ' ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν, ὅτι ἐγώ εἰμι κύριος ὁ ποιῶν ἔλεος καὶ κρίμα καὶ δικαιοσύνην ἐπὶ γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει κύριος. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐπισκέψομαι ἐπὶ πάντας τοὺς περιτετμημένους ἀκροβυσίας αὐτῶν ἐπ' Αἴγυπτον, καὶ ἐπὶ τὴν Ἰδουμαίαν, καὶ ἐπὶ υἱοὺς Ἀμμών, καὶ ἐπὶ οὖς υἱοὺς Μωάβ, καὶ ἐπὶ πάντα τοὺς περικειμένους τὰ κρύφια πρόσωπον αὐτοῦ, τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ, ὅτι πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκί, καὶ πᾶς οἶκος Ἰσραὴλ ἀπερίτμητοι καρδίας αὐτῶν.

ΚΕΦΑΛ. ί. 10.

ΑΚούσατε λόγον κυρίου, οὗ ἐλάλησεν ἐφ' ὑμᾶς οἶκος Ἰσραήλ, τάδε λέγει κύριος. κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ μάθητε, καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε, ὅτι φοβοῦνται αὐτὰ οἱ πρόσωποι αὐτῶν, ὅτι τὰ νόμιμα τῶν ἐθνῶν μάταια. ξύλον ὅτι ἐκκέκοπται ἐκ τοῦ δρυμοῦ ἔκκεκωμμένον, ἔργον τέκτονος, καὶ χώνευμα ἀργυρίου καὶ χρυσίου ἐκαλλωπισμένα ἐστὶν ὅτι ἐν σφύραις, καὶ ἥλοις ἐσόρθωσαν αὐτά. θήσουσιν αὐτά, καὶ οὐ κινηθήσονται. ἀργύριον πορδυτόν ἐστιν, οὐ πορδύσονται, ἀργύριον πρόσκλυτόν ἐστι. ἀπὸ βαρσεῖς ἦρεν χρυσίον μωφαζ, καὶ χεῖρες χρυσοχόων, ἔργα τεχνιτῶν πάντα, ὑακίνθου καὶ πορφύρας ἐνδύσουσιν αὐτά. αἰρόμενα αἴρονται, ὅτι οὐκ ὠκονήσονται. μὴ φοβηθῆτε αὐτά, ὅτι οὐ μὴ κακοποιήσωσι, καὶ ἀγαθὸν ἐστὶν ἐν αὐτοῖς. οὕτως ἐρεῖτε αὐτοῖς· θεοὶ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐκ τῆς γῆς, καὶ ὑποκάτω τοῦ οὐρανοῦ τούτου. θεὸς ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύι αὐτοῦ, ὁ κατορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανόν, καὶ πλῆθος ὕδατος ἐν οὐρανῷ, καὶ ἀνήγαγε νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησε, καὶ ἐξήγαγε ἀνέμους φῶς ἐκ θησαυρῶν αὐτῶν, ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως, κατησχύνθη πᾶς χρυσοχόος ἀπὸ τοῦ γλυπτοῦ αὐτοῦ, ὅτι ψευδῆ ἐχώνευσαν, οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς. μάταιά ἐστι ἔργα ἐμπαιγμοῦ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται. οὐκ ἔστι τοιαύτη μερὶς τῷ Ἰακώβ, ὅτι ὁ πλάσας τὰ πάντα, αὐτὸς κληρονομία αὐτοῦ, κύριος ὄνομα αὐτῷ. σωτηρίαν ἔξωθεν τὴν ὑπόστασίν σου, κατοικοῦσαν ἐν ἐκλεκτοῖς, ὅτι τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ σκελίζω τοὺς κατοικοῦντας τὴν γῆν ταύτην ἐν θλίψει, καὶ ἐκθλίψω αὐτοὺς ὅπως εὑρεθῇ πληγή σου. ἀλλ' ὀδύνη σωτηρίαμμά σου, ἀλγηρὰ ἡ πληγή σου. λέγω εἰπὰ· ὄντως τοῦτο τὸ τραῦμά σου, καὶ κατέλαβέ σε ἡ σκηνή σου, ἐταλαιπώρησε, ὅλος. μὴ πᾶσαι αἱ ἐρρέαι μου διεφθάρησαν. οἱ υἱοί μου καὶ τὰ πρόβατά μου οὐκ εἰσίν, οὐκ ἔστιν ἔτι τόπος τῆς σκηνῆς μου, τόπος τῶν ἐρρεῶν μου, ὅτι οἱ ποιμένες ἠνοήτησαν, καὶ τὸν κύριον οὐκ ἐζήτησαν. διὰ τοῦτο οὐ συνῆκαν πᾶσαι αἱ νομαί, καὶ διεσκορπίσθησαν. φωνὴ ἀκοῆς, ἰδοὺ ἔρχεται καὶ σεισμὸς μέγας ἐκ γῆς βορρᾶ, τοῦ θέσαι τὰς πόλεις ἰούδα εἰς ἀφανισμόν, καὶ κοίτην δρακόντων. οἶδα κύριε, ὅτι οὐκ ἐν τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἀνὴρ προβήσεται καὶ κατορθώσει πορείαν αὐτοῦ. παίδευσον ἡμᾶς κύριε, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς ποιήσῃς. ἔκχεον τὸν θυμόν σου ἐπὶ ἔθνη τὰ μὴ εἰδότα σε, καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο, ὅτι κατέφαγον τὸν Ἰακώβ, καὶ ἐξηφάνισαν αὐτὸν καὶ ἠρήμωσαν τὸν κλῆρον αὐτοῦ.

ΚΕΦΑΛ. ια. 11.

ΟΛόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς Ἱερμίαν λέγων· Ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ λαλήσεις πρὸς ἄνδρας ἰούδα, καὶ πρὸς τοὺς κατοικοῦντας ἐν Ἰερουσαλήμ, καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ· ἐπικατάρατος ὁ ἄνθρωπος ὃς οὐκ ἀκούσεται τῶν λόγων τῆς διαθήκης ταύτης, ἧς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐν ἡμέρᾳ, ᾗ ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου ἐκ καμίνου τῆς σιδηρᾶς, λέγων· ἀκούσατε τῆς φωνῆς μου, καὶ ποιήσατε πάντα ὅσα ἂν ἐντέλωμαι ὑμῖν, καὶ ἔσεσθέ μοι εἰς λαόν, κἀγὼ ἔσομαι ὑμῖν εἰς θεόν, ὅπως στήσω τὸν ὅρκον μου, ὃν ὤμοσα τοῖς πατράσιν ὑμῶν, τοῦ δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα καὶ μέλι, καθὼς ἡ ἡμέρα αὕτη. καὶ ἀπεκρίθην καὶ εἶπα, γένοιτο κύριε. καὶ εἶπε κύριος πρός με· ἀνάγνωθι τοὺς λόγους τούτους ἐν πόλεσιν ἰούδα, καὶ ἔξωθεν Ἱερουσαλὴμ λέγων· ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ ποιήσατε αὐτούς. καὶ οὐκ ἐποίησαν.

καὶ

καὶ ἔτι λύει ὁ πρός με· εὑρέθη συσίσμὸς ἐν ἀνδράσιν Ἰούδα, καὶ ἐν τοῖς κατοικοῦσιν ἐν Ἱερουσαλήμ, ἐπεστράφησαν ἀπὸ τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν τῶν πρώτων, οἳ οὐκ ἠθέλησαν ἐπακοῦσαι τῶν λόγων μου. καὶ ἰδοὺ αὐτοὶ πορεύονται ὀπίσω θεῶν ἀλλοτρίων, τοῦ δουλεύειν αὐτοῖς. καὶ διεσκέδασέν οἶκος Ἰσραὴλ καὶ οἶκος Ἰούδα τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς τοὺς πατέρας αὐτῶν. διατοῦτο τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακά, ἀφ' ὧν οὐ δυνήσονται ἐξελθεῖν ἀπ' αὐτῶν. καὶ βοήσονται πρός με, καὶ οὐκ εἰσακούσομαι αὐτῶν. καὶ πορεύσονται πόλεις Ἰούδα, καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ, καὶ βοήσονται πρὸς τοὺς θεοὺς αὐτῶν, οἷς αὐτοὶ θυμιῶσιν αὐτοῖς, οἳ μὴ σώσουσιν αὐτοὺς ἐν καιρῷ τῆς κακώσεως αὐτῶν. ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου Ἰούδα, καὶ κατ' ἀριθμὸν ὁδῶν Ἱερουσαλήμ, ἔταξαν βωμοὺς θυμιᾶν τῇ Βααλ. καὶ σὺ μὴ προσεύξῃ περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀνῇς περὶ αὐτῶν ἐν αἰνέσει, καὶ προσεύξῃ, ὅτι οὐκ εἰσακούσομαι ἐν καιρῷ ἐν ᾧ κεκραγώσιν πρός με, ἐν καιρῷ κακώσεως αὐτῶν. τί ἡ ἀγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; μὴ σὰρξ καὶ ἱερεῖα ἅγια ἀφελοῦσιν ἀπὸ σοῦ τὰς κακίας σου; σὺ τοῦτον διαφθύξῃ; ἐλαίαν ὡραίαν εὔκαρπον τῷ εἴδει, ἐκάλεσε κύριος τὸ ὄνομά σου, εἰς φωνὴν πολυρρήμονος αὐτῇ ἐφύτευσεν, ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς. καὶ κύριος τῶν δυνάμεων ὁ καταφυτεύσας σε, ἐλάλησεν ὑπὲρ σὲ κακά, αὐτὴ ἕνεκα κακίας οἴκου Ἰσραὴλ, καὶ οἴκου Ἰούδα· ὅτι ἐποίησαν ἑαυτοῖς τοῦ παροργίσαι με τῷ τῷ θυμιᾶν αὐτοὺς τῇ Βααλ. Κύριε γνώρισόν μοι, καὶ γνώσομαι. τότε ἔδειξάς μοι τὰ ἐπιτηδεύματα αὐτῶν. ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων. ἐπ' ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν λέγοντες· δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι. κύριε κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἀπ' αὐτῶν, ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ δίκαιόν μου. διατοῦτο τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ ἐκδικῶ ἐπὶ τοὺς ἀνθρώπους τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας· οὐ μὴ προφητεύσῃς ἐπὶ τῷ ὀνόματι κυρίου, εἰ δὲ μή ἀποθάνῃ ἐν ταῖς χερσὶν ἡμῶν. ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ' αὐτούς. οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ, καὶ ἐγκαταλείμμα οὐκ ἔσται αὐτῶν, ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν ἀναθὼθ, ἐν ἐνιαυτῷ τῆς ἐπισκέψεως αὐτῶν.

ΚΕΦΑΛ. ιβ'. 12.

Δίκαιος εἶ κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ. πλὴν κρίματά λαλήσω πρὸς σέ, τί ὅτι δόδὸς ἀσεβῶν εὐοδοῦται, εὐθυμοῦσαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα. ἐφύτευσας αὐτοὺς καὶ ἐρριζώθησαν, ἐτεκνοποιήσαν καὶ ἐποίησαν καρπόν. ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν. καὶ σὺ κύριε γινώσκεις με, δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου. ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν, ἁθροίσον αὐτοὺς ὡσπερ πρόβατα εἰς σφαγήν. ἕως πότε πενθήσει ἡ γῆ, καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; ἠφανίσθησαν κτήνη καὶ πετεινά, ὅτι εἶπαν· οὐκ ὄψεται ὁ θεὸς ὁδοὺς ἡμῶν. σὺ οἱ πόδες τρέχουσι, καὶ ἐκλύουσί σε. πῶς παρασκευάσῃ ἐφ' ἵπποις, καὶ ἐν γῇ εἰρήνης σου πεποιθώς; πῶς ποιήσεις ἐν φρυάγματι τοῦ Ἰορδάνου, ὅτι καὶ οἱ ἀδελφοί σε καὶ οἱ οἶκοι τοῦ πατρός σε, καὶ οὗτοι ἠθέτησαν σέ, καὶ αὐτοὶ ἐβόησαν ἐκ τῶν ὀπίσω σου. μὴ πιστεύσῃς ἐν αὐτοῖς, ὅταν λαλήσωσι πρὸς σὲ εἰρηνικά. ἐγκατέλειπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἀγαπημένην μου ψυχήν μου, εἰς χεῖρας ἐχθρῶν αὐτῆς. ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διατοῦτο ἐμίσησα αὐτήν. μὴ ἀσήλαιον ὑαίνης ἡ κληρονομία μου ἐμοί; ἢ ἀσήλαιον κύκλῳ αὐτῆς; βασίλισσα, συνάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν τὴν μερίδα τὴν ὡραίαν μου εἰς ἔρημον ἄβατον. ἐγενήθησαν εἰς ἀφανισμὸν ἀπωλείας, δι' ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ γῆ, ὅτι οὐκ ἔστιν ἀνὴρ πεποιθὼς ἐν καρδίᾳ ἐπὶ πᾶσαν διεκβολήν. ἐν τῇ ἐρήμῳ ἦλθοσαν ταλαιπωρούντες, ὅτι μαχαίρα τοῦ κυρίου κατεσθίει ἀπ' ἄκρου τῆς γῆς, καὶ ἕως ἄκρου τῆς γῆς οὐκ ἔστιν εἰρήνη πάσῃ σαρκί. ἐσπείρετε πυροὺς, καὶ ἀκάνθας ἐθερίσατε. οἱ κλῆροι αὐτῶν οὐκ ὠφελήσουσιν αὐτούς. αἰσχύνθητε ἀπὸ καυχήσεως ὑμῶν, ἀπὸ ἀναδισμοῦ προσώπου κυρίου· ὅτι πάλιν λέγει κύριος πρὸς πάντας τοὺς γειτόνους τοὺς πονηροὺς, τοὺς ἁπτομένους τῆς κληρονομίας μου, ἧς ἐμέρισα τῷ λαῷ μου Ἰσραήλ· ἰδοὺ ἐγὼ ἀφανῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ τὸν οἶκον Ἰούδα ἐκβαλῶ ἐκ μέσου αὐτῶν. καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτούς, ἀναστρέψω καὶ ἐλεήσω αὐτούς, καὶ καταοικιῶ αὐτούς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ. καὶ ἔσται ἐὰν μαθόντες μάθωσι τὴν ὁδὸν τοῦ λαοῦ μου, τοῦ ὀμνύειν τῷ ὀνόματί μου, ζῇ κύριος, καθὼς ἐδίδαξαν τὸν λαόν μου ὀμνύειν τῇ Βααλ, καὶ οἰκοδομηθήσεται ἐν μέσῳ τοῦ λαοῦ μου· ἐὰν δὲ μὴ ἀκούσωσι, καὶ ἐξαρῶ τὸ ἔθνος ἐκεῖνο ἐξάρσει καὶ ἀπωλείᾳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

ΚΕΦΑΛ. ιγ'. 13.

Τάδε λέγει κύριος· Βαδίσον καὶ κτήσαι σεαυτῷ περίζωμα λινοῦν, καὶ περίθου περὶ τὴν ὀσφύν σου, καὶ εἰς ὕδατι οὐ μὴ λουσθήσεται. καὶ ἐκτησάμην τὸ περίζωμα κατὰ τὸν λόγον κυρίου, καὶ περιέθηκα περὶ ὀσφύν μου. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· λαβὲ τὸ περίζωμα τὸ περὶ τὴν ὀσφύν σου, καὶ ἀνάστηθι, καὶ βάδισον ὑδὸν τὴν δυφράτην, καὶ κατάκρυψον αὐτὸ ἐκεῖ ἐν πέτρᾳ θηλαίᾳ. καὶ ἐπορεύθην καὶ ἐκρυψα αὐτὸ ἐν τῷ δυφράτῃ, καθὼς ἐνετείλατό μοι κύριος. καὶ ἐγένετο μετὰ ἡμέρας πολλὰς, καὶ εἶπε κύριος πρός με· ἀνάστηθι, καὶ βάδισον ὑδὸν τὴν δυφράτην, καὶ λαβὲ ἐκεῖθεν τὸ περίζωμα ὃ ἐνετειλάμην σοι τοῦ κατακρύψαι ἐκεῖ. καὶ ἐπορεύθην ὑδὸν τὴν δυφράτην ποταμόν, καὶ ὤρυξα, καὶ ἔλαβον τὸ περίζωμα ἐκ τοῦ τόπου οὗ κατώρυξα αὐτὸ ἐκεῖ, καὶ ἰδοὺ διεφθαρμένον ἦν, οὐδὲ μὴ χρησθῇ εἰς οὐθέν. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· τάδε λέγει κύριος, οὕτω φθερῶ τὴν ὕβριν ἰούδα καὶ τὴν ὕβριν ἱερουσαλήμ, τὴν πολλὴν ταύτην ὕβριν, οὗ μὴ βουλομένους ὑπακούειν τῶν λόγων μου, καὶ πορευθέντας ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δουλεύειν αὐτοῖς, καὶ τοῦ προσκυνεῖν αὐτοῖς. καὶ ἔσονται ὡσεὶ τὸ περίζωμα τοῦτο, ὃ οὐ χρησθήσεται εἰς οὐθέν, ὅτι καθὼς κολλᾶται τὸ περίζωμα περὶ τὴν ὀσφῦν τοῦ ἀνθρώπου, οὕτως ἐκόλλησε πρός ἐμαυτὸν τὸν οἶκον τοῦ Ἰσραὴλ, καὶ πάντα τὸν οἶκον Ἰούδα, τοῦ γενέσθαι μοι εἰς λαὸν ὀνομαστὸν, καὶ εἰς καύχημα καὶ εἰς δόξαν. καὶ οὐκ ἐπήκουσάν μου. καὶ ἐρεῖς πρὸς τὸν λαὸν τοῦτον· τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ πληρῶ οὐ κατοικοῦντας τὴν γῆν ταύτην, καὶ τοὺς βασιλεῖς αὐτῶν τοὺς καθημένους ἐπὶ τοῦ Δαβὶδ ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ τοὺς ἱερεῖς, καὶ τοὺς προφήτας, καὶ τὸν Ἰούδαν, καὶ πάντας τοὺς κατοικοῦντας ἐν Ἰερουσαλὴμ μεθύσματι, καὶ διασκορπιῶ αὐτοὺς ἄνδρα καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ τοὺς πατέρας αὐτῶν, καὶ τοὺς υἱοὺς αὐτῶν ἐν τῷ λαῷ αὐτῷ. καὶ οὐ μὴ ἐπιποθήσω, λέγει κύριος, οὐδὲ φείσομαι, καὶ οὐκ οἰκτειρήσω τοῦ διαφθεραῖς αὐτούς. ἀκούσατε καὶ ἐνωτίσασθε, καὶ μὴ ὑπεραίρεσθε, ὅτι κύριος ἐλάλησε. δότε τῷ κυρίῳ θεῷ ὑμῶν δόξαν πρὸ τοῦ σκοτάσαι, καὶ πρὸ τοῦ προσκόψαι πόδας ὑμῶν ἐπ' ὄρεσι σκοτεινοῖς. καὶ ἀναμενεῖτε εἰς φῶς, καὶ θήσει ἐκεῖ σκιὰν θανάτου, καὶ τεθήσονται εἰς σκότος. ἐὰν δὲ μὴ ἀκούσητε μετὰ κρυμμοῦ, ὁλοφύρεται ἡ ψυχή μου ἀπὸ προσώπου ὕβρεως, καὶ καταβλέψουσιν οἱ ὀφθαλμοί ὑμῶν δάκρυα, ὅτι συνετρίβη τὸ ποίμνιον κυρίου. εἶπατε τῷ βασιλεῖ καὶ τοῖς δυνάσταις· ταπεινώθητε καὶ καθίσατε, ὅτι καθῄρεθη ἀπὸ κεφαλῆς ὑμῶν στέφανος δόξης ὑμῶν. πόλεις αἱ πρὸς νότον συνεκλείσθησαν καὶ οὐκ ἦν ὁ ἀνοίγων. ἀπῴκισθη Ἰούδας, συνετέλεσαν ἀποικίαν τελείαν. ἀνάβαλε ὀφθαλμούς σου ἰδοὺ Ἰερουσαλὴμ, καὶ ἴδε τοὺς ἐρχομένους ἀπὸ βορρᾶ. ποῦ ὅτι τὸ ποίμνιον ὃ ἐδόθη σοι, πρόβατα δόξης σου; τί ἐρεῖς ὅταν ἐπισκέπτονταί σε; καὶ σὺ ἐδίδαξας αὐτοὺς ὑπὲρ σὲ μαθήματα εἰς ἀρχὴν ὠδίνων καθεξουσί σε καθὼς γυναῖκα τίκτουσαν. καὶ ἐὰν εἴπῃς ἐν τῇ καρδίᾳ σου· διατί ἀπαντῶσί μοι ταῦτα, διὰ τὸ πλῆθος τῆς ἀδικίας σου, ἀνακαλύφθη τὰ ὀπίσθιά σου, παρασείσμασι πολλοῖσαι τὰς πτέρνας σου. εἰ ἀλλάξεται αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε συνποιῆσαι μεμαθηκότες κακά. καὶ διασπερῶ αὐτοὺς, ὡς φρύγανα φερόμενα ὑπὸ ἀνέμου εἰς ἔρημον. οὗτος ὁ κλῆρός σου, καὶ μερὶς τοῦ ἀπειθεῖν ὑμᾶς ἐμοί, λέγει κύριος. ὡς ἐπελάθου μου, καὶ ἤλπισας ἐπὶ ψεύδεσι, διὰ τοῦτο ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ ὀφθήσεται ἡ ἀτιμία σου, καὶ αἱ μοιχεῖαι σου, ὁ χρεμετισμός σου, καὶ ἡ ἀπαλλοτρίωσις τῆς πορνείας σου ἐπὶ τῶν βουνῶν, καὶ ἐν τοῖς ἀγροῖς ἑώρακα τὰ βδελύγματά σου. οὐαί σοι Ἰερουσαλήμ, ὅτι οὐ καθαρίσθης ὀπίσω μου, ἕως τίνος ἔσῃ;

ΛΟΓΟΣ ΚΥΡΙΟΥ ΟΣ ΕΓΕΝΗΘΗ ΠΡΟΣ ΙΕΡΕμίαν περὶ τῆς ἀβροχίας.

ΚΕΦΑΛ. ιδ'. 14.

Ἐπτώθησαν Ἰούδαία, καὶ αἱ πύλαι αὐτῆς ἐκλυώθησαν, καὶ ἐσκοτώθησαν ἐπὶ τῆς γῆς, καὶ ἡ κραυγὴ Ἰερουσαλὴμ ἀνέβη, καὶ οἱ μεγιστᾶνες αὐτῆς ἀπέστειλαν τοὺς νεωτέρους αὐτῶν ἐφ' ὕδωρ. ἦλθοσαν ἐπὶ τὰ φρέατα, καὶ οὐχ εὗρόσαν ὕδωρ, καὶ ἀπέστρεψαν τὰ ἀγγεῖα αὐτῶν κενά. καὶ τὰ ἔργα τῆς γῆς ἐξέλιπον, ὅτι οὐκ ἦν ὑετός. ἠσχύνθησαν οἱ γεωργοί, ἐπεκάλυψαν τὰς κεφαλὰς αὐτῶν. καὶ ἔλαφοι ἐν ἀγρῷ ἔτεκον, καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη. ὄναγροι ἔστησαν ἐπὶ νάπας, καὶ εἵλκυσαν ἄνεμον. ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι οὐκ ἦν χόρτος. ἀπὸ λαοῦ ἀδικίας αἱ ἁμαρτίαι ἡμῶν, αὐτέσησαν ἡμῖν. κύριε ποίησον ἡμῖν ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι πολλαὶ αἱ ἁμαρτίαι ἡμῶν ἐναντίον σου. ὅτι σοὶ ἡμάρτομεν, ὑπομονὴ Ἰσραὴλ κύριε, καὶ σώζεις ἐν καιρῷ κακῶν. ἵνατί ἐγένηθης ὡσεὶ πάροικος ἐπὶ τῆς γῆς, καὶ ὡς αὐτόχθων ἐκκλίνων εἰς κατάλυμα; μὴ ἔσῃ ὡσεὶ ἄνθρωπος ἐπαναστάς; ἢ ὡς ἀνὴρ μὴ δυναμένων σώζειν; καὶ σὺ ἐν ἡμῖν εἶ κύριε, καὶ τὸ ὄνομά σου ἐπικέκληται ἐφ' ἡμᾶς. μὴ ἐπιλάθῃ ἡμῶν. οὕτως λέγει κύριος τῷ λαῷ τούτῳ· ἠγάπησαν κινεῖν πόδας αὐτῶν, καὶ οὐκ ἐφείσαντο, καὶ

καὶ ὁ θεὸς ὀκ ἀυδλόκησεν γὰ αὐτοῖς, νεῦ μνησθήσεται τῆς ἀδικίας αὐτῶν, καὶ ἐπε κύριος πρὸς με· μὴ προσεύχῃ ὑπὲ τοῦ λαοῦ τούτου εἰς ἀγαθά, ὅτι ἐὰν νηστεύσωσιν, οὐκ εἰσακούσομαι τῆς δεήσεως αὐτῶν, καὶ ἐὰν προσφέγκωσι ὁλοκαυτώματα, καὶ θυσίας, ὀκ ἀυδοκήσω γὰ αὐτοῖς, ὅτι γὰ μαχαίρᾳ καὶ γὰ λιμῷ καὶ γὰ θανάτῳ ἐγὼ συντελέσω αὐτούς. καὶ εἶπα· ὦ ὦ κύριε, ἰδοὺ οἱ προφῆται αὐτῶν προφητεύουσι, καὶ λέγουσιν· ὀκ ὄψεσθε μάχαιραν, οὐδὲ λιμὸς ἔσαι γὰ ὑμῖν, ὅτι ἀλήθειαν καὶ εἰρήνην δώσω ὑμῖ ἐπὶ γῆς, καὶ γὰ τῷ τόπῳ τούτῳ. καὶ εἶπε κύριος πρός με· ψευδῆ οἱ προφῆται προφητεύουσιν ὑπὲ τοῦ ὀνόματί μου, ὀκ ἀπέσταλα αὐτούς, καὶ ὀκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐκ ἐλάλησα πρὸς αὐτούς· ὅτι ὁράσεις ψευδεῖς, καὶ μαντείας καὶ οἰωνισμάτα, καὶ πλάσεις καρδίας αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν. διὰ τοῦτο τάδε λέγει κύριος περὶ τῶν προφητῶν τῶν προφητευόντων ὑπὲ τοῦ ὀνόματί μου ψευδῆ, καὶ ἐγὼ οὐκ ἀπέσταλα αὐτούς, οἱ λέγουσι· μάχαιρα καὶ λιμὸς οὐκ ἔσαι ὑπὲ τῆς γῆς ταύτης· γὰ θανάτῳ τελευτήσουσι οἱ προφῆται, καὶ ὁ λαὸς οἷς αὐτοὶ προφητεύουσιν αὐτοῖς. καὶ ἔσονται ἐρριμμένοι γὰ ταῖς πλατείαις Ἰερουσαλήμ, ἀπὸ προσώπου τῆς μαχαίρας καὶ τοῦ λιμοῦ, καὶ οὐκ ἔσαι ὁ θάπτων αὐτούς, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ θυγατέρες αὐτῶν, καὶ ἐκχεῶ ἐπ' αὐτοὺς τὰ κακὰ αὐτῶν, καὶ ἐρεῖς πρὸς αὐτοὺς τὸν λόγον τοῦτον· καταγάγετε ἐπ' ὀφθαλμοὺς ὑμῶν δάκρυα ἡμέρας καὶ νυκτὸς, καὶ μὴ διαλιπέτωσαν, ὅτι συντρίμματι συντρίβη θυγατὴρ λαοῦ μου, καὶ πληγῇ ὀδυνηρᾷ σφόδρα, ἐὰν ἐξέλθω εἰς τὸ πεδίον, καὶ ἰδοὺ τραύμαται ῥομφαίας· καὶ ἐὰν εἰσέλθω εἰς τὴν πόλιν, καὶ ἰδοὺ πόνος λιμοῦ, ὅτι ἱερεὺς καὶ προφήτης ἐπερρύθησαν εἰς γῆν, ἣν οὐκ ἤδεισαν. Μὴ ἀποσκοπιμάζων ἀπέστηκας τὸν Ἰούδαν; καὶ ἀπὸ σιὼν ἀπέστη ἡ ψυχή σε; ἵνατί ἔπαισας ἡμᾶς, καὶ οὐκ ἔστιν ἡμῖν ἴασις; ὑπεμείναμεν εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγαθά· εἰς καιρὸν ἰάσεως, καὶ ἰδοὺ ταραχή. ἐγνώμεν κύριε ἁμαρτήματα ἡμῶν, ἀδικίας πατέρων ἡμῶν, ὅτι ἡμάρτομέν σοι. κατάσυρον διὰ τὸ ὄνομά σε, μὴ ἀπελίσῃς θρόνον δόξης σε. μνήσθητι μὴ διασκεδάσῃς τὴν διαθήκην σου τὴν μεθ' ἡμῶν. μὴ ἔστιν ἐν εἰδώλοις τῶν ἐθνῶν ὑετίζων; καὶ εἰ ὁ οὐρανὸς δώσει πλησμονὴν αὐτῷ, ἐχὶ σὺ αὐτός; καὶ ὑπομενοῦμέν σε κύριε, ὅτι σὺ ἐποίησας πάντα ταῦτα.

ΚΕΦΑΛ. ιε'. ις'.

ΚΑὶ εἶπε κύριος πρός με· ἐὰν στῇ Μωϋσῆς, καὶ Σαμουὴλ πρὸ προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς. ἐξαπόστειλον τὸν λαὸν τοῦτον, καὶ ἐξελθέτωσαν. καὶ ἔσαι ἐὰν εἴπωσι πρὸς σε· ποῦ ἐξελευσόμεθα; καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει κύριος ὁ θεός· ὅσοι εἰς θάνατον, εἰς θάνατον. καὶ ὅσοι εἰς μάχαιραν, εἰς μάχαιραν. καὶ ὅσοι εἰς λιμόν, εἰς λιμόν. καὶ ὅσοι εἰς αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν. καὶ ἐπιστήσω ἐπ' αὐτοὺς τέσσαρα εἴδη, λέγει κύριος. τὴν μάχαιραν εἰς σφαγὴν καὶ τοὺς κύνας εἰς διαπασμόν, καὶ τὰ θηρία τῆς γῆς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ εἰς βρῶσιν καὶ εἰς διαφθοράν. καὶ παραδώσω αὐτοὺς εἰς ἀναλγησίαν πάσαις ταῖς βασιλείαις τῆς γῆς διὰ μανασσῆ υἱὸν ἐζεκίου, βασιλέα Ἰούδα, πρὸ πάντων ὧν ἐποίησεν ἐν Ἰερουσαλήμ. τίς φείσεται ὑπὲ σοί Ἰερουσαλήμ; ἢ τίς διαπαύσει ὑπὲ σοί; ἢ τίς ἀναπαύσῃ εἰς εἰρήνην σοι; σὺ ἀπέστραφάς με λέγει κύριος. ὀπίσω πορεύσῃ, καὶ ἐκτενῶ τὴν χεῖρά μου, καὶ διαφθερῶ σε, καὶ οὐκέτι καμοῦμαι αὐτούς. καὶ διασπερῶ αὐτοὺς ἐν διασπορᾷ ἐν πύλαις λαοῦ μου. ἠτεκνόθησαν, ἀπώλεσαν τὸν λαόν μου διὰ τὰς κακίας αὐτῶν, ἐπληθύνθησαν αἱ χῆραι αὐτῆς, καὶ ὑπὲρ τὴν ἄμμον τῆς θαλάσσης. ἐπήγαγον ὑπὲ τὴν μητέρα νεανίσκου ταλαιπωρίαν ἐν μεσημβρίᾳ, ἀπέῤῥιψαν ἐπ' αὐτὴν ἐξαίφνης πόνον καὶ ἀπουσίαν. ἐκλυώθη ἡ τίκτουσα ἑπτά, ἀπεκάκησεν ἡ ψυχὴ αὐτῆς, ἐπέδυ ὁ ἥλιος ἐπ' αὐτὴν, ὅτι μεθύσης ἡ ἡμέρας κατῃσχύνθη, καὶ ὠνειδίσθη. καὶ τοὺς καταλοίπους αὐτῶν εἰς μάχαιραν δώσω ἐναντίον τῶν ἐχθρῶν αὐτῶν, φησὶ κύριος. οἴμοι ἐγὼ ὡς τίνα μήτηρ με ἔτεκον ἄνδρα διακρίνομενον, καὶ διακεινόμενον πάσῃ τῇ γῇ. οὔτε ὠφέλησα, οὔτε ὠφέλησέν με οὐδείς. ἡ ἰσχύς μου ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με. γένοιτο διάσωσόν με κατὰ θελημάτων αὐτῶν. εἰ μὴ παρέσῃ σοι, ἐν καιρῷ τῶν κακῶν αὐτῶν, καὶ ἐν καιρῷ θλίψεως αὐτῶν εἰς ἀγαθὰ πρὸς τὸν ἐχθρόν. εἰ γνωσθήσεται σίδηρος, καὶ πόλεμος χαλκοῦν ἢ ἰσχύς σου, καὶ σὺ θησαυρούς σου εἰς πρόνομα δώσω ἀπάλλαγμα διὰ πάσας τὰς ἁμαρτίας σου, οὔτε ὠφέλησέ με δόλιος. καὶ ἐν πᾶσι τοῖς ὁρίοις σου καταδουλώσω σε ἐν κλήρῳ τοῖς ἐχθροῖς σου, ἐν τῇ γῇ ἣν οὐκ ἤδεις, ὅτι πῦρ ἐξεκαύθη ἐκ τοῦ θυμοῦ μου, ἐφ' ὑμᾶς καυθήσεται. κύριε μνήσθητί μου, καὶ ἐπίσκεψαί με, καὶ ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, μὴ εἰς μακροθυμίαν. γνῶθι ὡς ἔλαβον πρὸ σοῦ ὀνειδισμὸν ὑπὲρ τῶν ἀθετούντων τοὺς λόγους σου, σωτέλεσον αὐτούς. καὶ ἔσαι ὁ λόγος σε ἐμοὶ εἰς εὐφροσύνην καὶ χαρὰν καρδίας μου, ὅτι ἐπικέκληκά τὸ ὄνομά σε ἐπ' ἐμοί, κύριε παντοκράτωρ, ὀκ ἐκάθισα γὰ συνεδρίου αὐτῶν παιζόντων, ἀλλὰ ἢ συλλαβοῦμαι ἀπὸ προσώπου χειρός σε. καταμόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην. ἵνατί οὐ λυπουμένη με καταισχύουσί μου; ἡ πληγή μου σκληρά, πόθεν ἰαθήσομαι; γινομένη ἐγενήθη μοι ὡς ὕδωρ ψευδές, ὀκ ἔχον πίστιν, διὰ τοῦτο τάδε λέγει κύριος· ἐὰν

ὦ ἐπιστρέψης καὶ ἀφ' ἁπλῶς πάσῃ σε, καὶ πρὸ προσώπου μου σήσῃ. καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀφ'
ἀναξίου, ὡς τὸ στόμα μου ἔσῃ, ἐκεῖ ἀναστρέψουσιν αὐτοὶ πρὸς σέ, καὶ σὺ οὐκ ἀναστρέψεις πρὸς αὐτούς.
καὶ δώσω σε τῷ λαῷ τούτῳ, ὡς τεῖχος ὀχυρόν, χαλκοῦν ὀχυρόν, καὶ πολεμήσουσί σε πρὸς σέ, καὶ
οὐ μὴ δύωνται πρός σε, διότι μετὰ σοῦ ἐγώ εἰμι τοῦ σώζειν σε, καὶ τοῦ ἐξαιρεῖσθαί σε ἐκ χειρὸς πονη-
ρῶν, καὶ λυτρώσομαί σε ἐκ χειρὸς λοιμῶν.

ΚΕΦΑΛ. ιε'. 16.

ΚΑΙ σὺ μὴ λάβῃς γυναῖκα, λέγει κύριος ὁ θεὸς Ἰσραήλ, καὶ οὐ γενηθήσεταί σοι υἱὸς,
οὐδὲ θυγάτηρ ἐν τῷ τόπῳ τούτῳ, ὅτι τάδε λέγει κύριος ὁ θεὸς, περὶ τῶν υἱῶν καὶ
τῶν θυγατέρων τῶν γενομένων ἐν τῷ τόπῳ τούτῳ, καὶ περὶ τῶν μητέρων αὐτῶν τῶν τε-
κουσῶν αὐτοὺς, καὶ περὶ τῶν πατέρων αὐτῶν τῶν γεγεννηκότων αὐτοὺς ἐν τῇ γῇ ταύτῃ, ἐν θανά-
τῳ νοσερῷ ἀποθανοῦνται, οὐ κοπήσονται, καὶ οὐ ταφήσονται εἰς παράδειγμα ὑπὲρ προσώπου
τῆς γῆς ἔσονται τοῖς θηρείοις τῆς γῆς, καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. ἐν μαχαίρᾳ πεσοῦνται,
καὶ ἐν λιμῷ συντελεσθήσονται. τάδε λέγει κύριος· μὴ εἰσέλθῃς εἰς θίασον αὐτῶν, καὶ μὴ πο-
ρευθῇς τοῦ κόψασθαι, καὶ μὴ συγκλαύσῃς αὐτούς, ὅτι ἀφῄρηκα τὸ ἔλεός μου ἀπὸ τοῦ λαοῦ τού-
του, φησὶ κύριος· οὐ μὴ κόψονται αὐτούς, καὶ οὐδὲ ἐν τομίσεσιν οὐ μὴ ποιήσωσι, καὶ μὴ ξυρή-
σωνται, καὶ οὐ μὴ κλασθῇ ἄρτος ἐν συγκλάσει αὐτοῖς εἰς παράκλησιν ὑπὲρ τεθνηκότος, οὐ ποτιοῦσι
αὐτοὺς ποτήριον εἰς παράκλησιν ὑπὲρ πατρὸς καὶ ὑπὲρ μητρὸς αὐτοῦ. εἰς οἰκίαν πότου οὐκ εἰσελεύ-
σῃ σὺ, τοῦ συμπαθίσαι μετ' αὐτῶν, τοῦ φαγεῖν καὶ πιεῖν, διότι τάδε λέγει κύριος ὁ θεὸς Ἰσρα-
ὴλ· ἰδοὺ ἐγὼ καταλύσω ἐκ τοῦ τόπου τούτου ἐνώπιον ὑμῶν, καὶ ἐν ταῖς ἡμέ-
ραις ὑμῶν, φωνὴν χαρᾶς, καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου, καὶ φωνὴν νύμφης. καὶ ἔσται
ὅταν ἀναγγείλῃς τῷ λαῷ τούτῳ ἅπαντα τὰ ῥήματα τοῦτα, καὶ εἴπωσι πρὸς σέ· διατί ἐλά-
λησε κύριος ἐφ' ἡμᾶς πάντα τὰ κακὰ τοῦτα; τίς ἡ ἀδικία ἡμῶν; καὶ τίς ἁμαρτία ἡμῶν, ἣν
ἡμάρτομεν ἐνώπιον κυρίου τοῦ θεοῦ ἡμῶν; καὶ ῥεῖς πρὸς αὐτούς· διότι ἐγκατέλιπόν με οἱ πα-
τέρες ὑμῶν, λέγει κύριος, καὶ ὄπισθεν θεῶν ἀλλοτρίων, καὶ ἐδούλευσαν αὐτοῖς, καὶ
προσεκύνησαν αὐτοῖς, καὶ ἐμὲ ἐγκατέλιπον, καὶ τὸν νόμον μου οὐκ ἐφυλάξαντο, ἣν ὑμεῖς ἐπο-
νηρεύσασθε ὑπὲρ τοὺς πατέρας ὑμῶν. καὶ ἰδοὺ ὑμεῖς πορεύεσθε ἕκαστος ὀπίσω τῆς ἀρεσκείας
τῆς καρδίας ὑμῶν τῆς πονηρᾶς, τοῦ μὴ ὑπακούειν μου. καὶ ἀπορρίψω ὑμᾶς ἀπὸ τῆς γῆς ταύτης,
εἰς τὴν γῆν ἣν οὐκ ᾔδειτε ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν, καὶ δουλεύσετε ἐκεῖ θεοῖς ἑτέροις, οἵ-
τινες οὐ δώσουσιν ὑμῖν ἔλεος. διατοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, οὐκ ἐροῦσιν ἔτι· ζῇ κύ-
ριος ὁ ἀναγαγὼν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, ἀλλὰ ζῇ κύριος ὃς ἀνήγαγε τὸ σπέρμα Ἰσ-
ραὴλ ἀπὸ γῆς βορρᾶ, καὶ ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξώδευσαν ἐκεῖ, καὶ ἀποκατασήσω αὐτοὺς
εἰς τὴν γῆν αὐτῶν, ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν. ἰδοὺ ἐγὼ ἀποστέλλω τοὺς πολλοὺς ἁλιεῖς,
λέγει κύριος, καὶ ἁλιεύσουσιν αὐτούς. καὶ μετὰ ταῦτα ἀποστέλλω τοὺς πολλοὺς θηρευτάς, καὶ
θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους, καὶ ἐπάνω παντὸς βουνοῦ, καὶ ἐκ τῶν τρυμαλιῶν
τῶν πετρῶν, ὅτι οἱ ὀφθαλμοί μου ἐπὶ πάσας τὰς ὁδοὺς αὐτῶν, καὶ οὐκ ἐκρύβη τὰ ἀδικήμα-
τα αὐτῶν ἀπὸ προσώπου τῶν ὀφθαλμῶν μου, καὶ ἀνταποδώσω διπλᾶς τὰς ἀνομίας αὐτῶν, καὶ τὰς
ἁμαρτίας αὐτῶν, ἐφ' αἷς ἐβεβήλωσαν τὴν γῆν μου, ἐν τοῖς θνησιμαίοις τῶν βδελυγμάτων αὐ-
τῶν, καὶ ἐν ταῖς ἀνομίαις αὐτῶν, ἐφ' αἷς ἐπλημμέλησαν τὴν κληρονομίαν μου. Κύριε σὺ ἰσχύς
μου, καὶ βοήθειά μου, καὶ καταφυγή μου ἐν ἡμέραις κακῶν, πρός σε ἔθνη ἥξουσιν ἀπ' ἐσχά-
του τῆς γῆς, καὶ ἐροῦσιν· ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν αὐ-
τοῖς ὠφέλημα, εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεούς, καὶ οὗτοι οὐκ εἰσὶ θεοί; διατοῦτο ἰδοὺ ἐγὼ γνω-
ρίσω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ τὴν χεῖρά μου, καὶ τὴν δυναμίν μου, καὶ γνώ-
σονται ὅτι ὄνομά σοι κύριος.

ΚΕΦΑΛ. ιζ'. 17.

ΕΠΙΚΑΤΑΡΑΤΟΣ ὁ ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ σπείσει σάρκα βρα-
χίονος αὐτοῦ ἐπ' αὐτόν, καὶ ἀπὸ κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ. καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη
ἡ ἐν τῇ ἐρήμῳ, οὐκ ὄψεται, ὅταν ἔλθῃ τὰ ἀγαθά, καὶ κατασκηνώσει ἐν ἁλίμοις, καὶ ἐν ἐρήμῳ
ἐν γῇ ἁλμυρᾷ, ἥτις οὐ κατοικισθήσεται. καὶ εὐλογημένος ὁ ἄνθρωπος ὃς πεποιθὼς ἔσται τῷ κυ-
ρίῳ, καὶ ἔσται κύριος ἐλπὶς αὐτοῦ, καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν πρὸς ὕδατα, καὶ ἐπὶ ἰκμάδα βα-
λεῖ τὰς ῥίζας αὐτοῦ, καὶ οὐ φοβηθήσεται ὅταν ἔλθῃ καῦμα, καὶ ἔσται ἐπ' αὐτοῦ σκελὴς ἀλσώ-
δη, ἐν ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται, καὶ οὐ διαλείψει ποιῶν καρπόν. βαθεῖα ἡ καρδία πα-
ρὰ πάντα, καὶ ἄνθρωπος ἐστι, καὶ τίς γνώσεται αὐτόν; ἐγὼ κύριος ἐτάζων καρδίας, καὶ δοκιμά-
ζων νεφρούς, τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τοὺς καρποὺς τῶν ἐπιτηδευμά-
των αὐτοῦ. ἐφώνησε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκε, ποιῶν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως, ἐν ἡ-
μίσει ἡμερῶν αὐτοῦ ἐγκαταλείψουσιν αὐτόν, καὶ ἐπ' ἐσχάτου αὐτοῦ ἔσται ἄφρων. θρόνος δόξης
ὑψωμένος ἁγίασμα ἡμῶν ὑπομονὴ Ἰσραήλ, κύριε, πάντες οἱ καταλιπόντες σε καται-

αχυνθήτω

χμωθήτωσαν, ἀφεικηότδν ὠδὴ ἡ γῆς γραφήτωσαν, ὅτι ἐγκατέλιπον πηγὴν ζωῆς τὸν κύριον. ἴασαί με κύριε καὶ ἰαθήσομαι, σῶσόν με καὶ σωθήσωμαι, ὅτι καύχημά μου σὺ εἶ. ἰδοὺ αὐτοί λέγουσι πρός με· ποῦ ἐστὶν ὁ λόγος κυρίου; ἐλθέτω. ἐγὼ δὲ οὐκ ἐνοπίασα κατακολουθῶν ὀπίσω σου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα. σὺ ἐπίστασαι τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου, κατὰ πρόσωπόν σου ἐστί. μὴ γένηθῇς μοι εἰς ἀποτρίωσιν, φεισάμενός μου ἐν ἡμέρᾳ πονηρᾷ. ἐντραπήτωσαν οἱ διώκοντές με, καὶ μὴ καταισχυνθείην ἐγώ. πτοηθείησαν αὐτοί, καὶ μὴ πτοηθείην ἐγὼ. ἐπάγαγε ἐπ' αὐτοὺς ἡμέραν πονηράν, διπλῆν σύντριμμα σύντριψον αὐτούς. Τάδε λέγει κύριος· βαδίσατε καὶ στῆτε ἐν ταῖς πύλαις υἱῶν λαοῦ σου, ἐν αἷς εἰσπορεύονται ἐν αὐταῖς βασιλεῖς Ἰούδα, καὶ ἐν αἷς ἐκπορεύονται ἐν αὐταῖς, καὶ ἐν πάσαις ταῖς πύλαις Ἰερουσαλήμ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἀκούσατε τὸν λόγον κυρίου βασιλεῖς Ἰούδα, καὶ πᾶσα Ἰουδαία, καὶ πᾶς Ἰερουσαλήμ, οἱ εἰσπορευόμενοι ἐν ταῖς πύλαις ταύταις. τάδε λέγει κύριος· φυλάσσεσθε τὰς ψυχὰς ὑμῶν, καὶ μὴ αἴρετε βάσγματα ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ πᾶν ἔργον οὐ ποιήσετε. ἁγιάσατε τὴν ἡμέραν τῶν σαββάτων, καθὼς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν, καὶ οὐκ ἤκουσαν, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν τοῦ μὴ ἀκοῦσαί μου, καὶ τοῦ μὴ λαβεῖν παιδείαν. καὶ ἔσται, ἐὰν εἰσακούσητέ μου, λέγει κύριος, τοῦ μὴ εἰσφέρειν βάσγματα διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἁγιάζειν τὴν ἡμέραν τῶν σαββάτων, τοῦ μὴ ποιεῖν πᾶν ἔργον, καὶ εἰσελεύσονται διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης βασιλεῖς καὶ ἄρχοντες, καθήμενοι ἐπὶ θρόνου Δαβίδ, καὶ ἐπιβεβηκότες ἐφ' ἅρμασι καὶ ἵπποις αὐτῶν, αὐτοὶ καὶ οἱ ἄρχοντες αὐτῶν, ἄνδρες Ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν Ἰερουσαλήμ. καὶ κατοικισθήσεται ἡ πόλις αὕτη εἰς τὸν αἰῶνα, καὶ ἥξουσιν ἐκ τῶν πόλεων Ἰούδα, καὶ κυκλόθεν Ἰερουσαλήμ, καὶ ἐκ γῆς Βενιαμείν, καὶ ἐκ τῆς πεδινῆς, καὶ ἐκ τοῦ ὄρους ἐκ τοῦ πρὸς νότον φέροντες ὁλοκαυτώματα καὶ θυσίας, καὶ θυμιάματα, καὶ μάννα καὶ λίβανον, φέροντες αἴνεσιν εἰς οἶκον κυρίου. καὶ ἔσται ἐὰν μὴ ἀκούσητέ μου τοῦ ἁγιάζειν τὴν ἡμέραν τῶν σαββάτων, τοῦ μὴ αἴρειν βάσγματα, καὶ μὴ εἰσπορεύεσθαι διὰ τῶν πυλῶν Ἰερουσαλὴμ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἀναψῶ πῦρ ἐν ταῖς πύλαις αὐτῆς, καὶ καταφάγεται ἄμφοδα Ἰερουσαλήμ, καὶ οὐ σβεσθήσεται.

ΚΕΦΑΛ. ιή. 18.

Ὁ λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς Ἱερεμίαν, λέγων· ἀνάστηθι καὶ κατάβηθι εἰς οἶκον τοῦ κεραμέως, καὶ ἐκεῖ ἀκούσῃ τοὺς λόγους μου. καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως, καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, καὶ ἔπεσε τὸ ἀγγεῖον, ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ πάλιν αὐτὸς ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ ποιῆσαι. καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων· εἰ καθὼς ὁ κεραμεὺς οὗτος, οὐ δυνήσομαι τοῦ ποιῆσαι ὑμᾶς οἶκον Ἰσραήλ; ἰδοὺ ὡς ὁ πηλὸς τοῦ κεραμέως, ὑμεῖς ἐστε ἐν χερσί μου. πρᾶξαι λαλήσω ἐπὶ ἔθνος, ἢ ἐπὶ βασιλείαν, τοῦ ἐξᾶραι αὐτὸν, καὶ τοῦ ἀπολύειν. καὶ ἐπιστρέψει τὸ ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω περὶ τῶν κακῶν, ὧν ἐλογισάμην, τοῦ ποιῆσαι αὐτοῖς. καὶ πρᾶξαι λαλήσω ἐπὶ ἔθνος, καὶ βασιλείας, τοῦ οἰκοδομεῖσθαι, καὶ τοῦ καταφυτεύεσθαι, καὶ ποιήσωσι τὰ πονηρὰ ἐνώπιόν μου, τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς μου. καὶ μετανοήσω περὶ τῶν ἀγαθῶν ὧν ἐλάλησα, τοῦ ποιῆσαι αὐτοῖς. καὶ νῦν εἰπὸν πρὸς ἄνδρας Ἰούδα, καὶ πρὸς τοὺς κατοικοῦντας Ἰερουσαλήμ· ἰδοὺ ἐγὼ πλάσσω ἐφ' ὑμᾶς κακά, καὶ λογίζομαι ἐφ' ὑμᾶς λογισμόν. ἀπόστραφήτω δὴ ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ καλλίονα ποιήσατε τὰ ἴχνη τῶν ἐπιτηδευμάτων ὑμῶν. καὶ εἶπαν· αὐθαιρέτως, ὅτι ὀπίσω τῶν ἀποστρόφων ἡμῶν πορευσόμεθα, καὶ ἕκαστος τὰ ἀρεστὰ τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς ποιήσομεν. διὰ τοῦτο τάδε λέγει κύριος· ἐρωτήσατε δὴ ἐν ἔθνεσι, τίς ἤκουσε τοιαῦτα φρικτὰ ἃ ἐποίησε σφόδρα παρθένος Ἰσραήλ; μὴ ἐκλείψωσιν ἀπὸ πέτρας μασοὶ, ἢ χιὼν ἀπὸ τοῦ λιβάνου; μὴ ἐκκλίνει ὕδωρ βιαίως ἄνω φερόμενον; ὅτι ἐπελάθοντό μου λαός μου, εἰς ματαιότητα ἐθυμίασαν, καὶ ἀδυνήσουσιν ἐν ταῖς ὁδοῖς αὐτῶν τρίβους αἰωνίας, τοῦ ἐπιβῆναι τρίβους οὐκ ἐχούσας ὁδὸν εἰς πορείαν, τοῦ θεῖναι τὴν γῆν αὐτῶν εἰς ἀφανισμόν, καὶ συρισμὸν αἰώνιον. πάντες οἱ διαπορευόμενοι δι' αὐτῆς ἐκπήσονται, καὶ κινήσουσι τὴν κεφαλὴν αὐτῶν, ὡς ἄνεμος καύσωνα διασπορᾷ αὐτοὺς κατὰ πρόσωπον ἐχθρῶν αὐτῶν, δείξω αὐτοῖς ἡμέραν ἀπωλείας αὐτῶν. καὶ εἶπαν· δεῦτε λογισώμεθα ἐπὶ Ἱερεμίαν λογισμόν, ὅτι οὐκ ἀπολεῖται νόμος ἀπὸ ἱερέως, καὶ βουλὴ ἀπὸ σοφοῦ, καὶ λόγος ἀπὸ προφήτου. δεῦτε καὶ πατάξωμεν αὐτὸν ἐν γλώσσῃ, καὶ οὐκ ἀκουσόμεθα πάντων τῶν λόγων αὐτοῦ. εἰσάκουσόν μου κύριε, καὶ εἰσάκουσον τῆς φωνῆς τοῦ δικαιώματός μου, εἰ ἀνταποδίδοται ἀντὶ ἀγαθῶν κακά, ὅτι συνελάλησαν ῥήματα κατὰ τῆς ψυχῆς μου, καὶ τὴν κόλασιν αὐτῶν ἐκρυψάμην μοι. μνήσθητι κύριε ἑστηκότος μου κατὰ πρόσωπόν σου, τοῦ λαλῆσαι ὑπὲρ αὐτῶν ἀγαθὰ, τοῦ ἀποστρέψαι τὸν θυμόν σου ἀπ' αὐτῶν. διὰ τοῦτο δὸς τοὺς υἱοὺς αὐτῶν εἰς λιμόν, καὶ ἄθροισον αὐτοὺς εἰς χεῖρας μαχαίρας. γενέσθω δὲ αἱ γυναῖκες αὐτῶν ἄτεκνοι καὶ χῆραι, καὶ οἱ ἄνδρες αὐτῶν ἐσταλμένοι θανάτῳ, καὶ οἱ

νεανίσκοι αὐτῶν πεπωκότων μαχαίρας ἐν πολέμῳ. γενηθήτω ἱερωσύνη ἐν ταῖς οἰκίαις αὐτῶν, ἐπάγαγε ἐπ' αὐτοὺς λησὰς ἄφνω, ὅτι ἐξεχείρισαν λόγον εἰς σύνεψίν μου, καὶ παγίδας ἔκρυψαν ἐπ' ἐμέ, καὶ σὺ κύριε ἔγνως ἅπασαν τὴν βουλὴν αὐτῶν ἐπ' ἐμὲ εἰς θάνατον. μὴ ἀθωώσῃς τὰς ἀνομίας αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀπὸ προσώπου σου μὴ ἐξαλείψῃς. γενέσθω ἡ ἀσθένεια αὐτῶν ἐναντίον σου, ἐν καιρῷ θυμοῦ σου ποίησον ἐν αὐτοῖς.

ΚΕΦΑΛ. ιθ'. 19.

Τότε εἶπε κύριος πρός με· βάδισον, καὶ κτῆσαι βίκον πεπλασμένον ὀστράκινον, καὶ ἄξεις ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, ἀπὸ πρεσβυτέρων τῶν ἱερέων, καὶ ἐξελεύσῃ εἰς τὸ πολυάνδριον υἱῶν τοῦ τεκνωμ αὐτῶν, ὃ ὄψιν ἐπὶ τῶν πυλῶν θυρῶν τῆς πόλεως θαρσὶς, καὶ ἀναγνωθι ἐκεῖ πάντας τοὺς λόγους τούτους, οὓς ἂν λαλήσω πρὸς σε, καὶ ῥεῖς αὐτοῖς· ἀκούσατε τὸν λόγον κυρίου βασιλεῖς ἰούδα, καὶ ἄνδρες ἰούδα, καὶ οἱ κατοικοῦντες εἰς ἱερουσαλήμ, καὶ οἱ εἰσπορευόμενοι ἐν ταῖς πύλαις ταύταις. τάδε λέγει κύριος ὁ θεὸς ἰσραήλ· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακά, ὥστε πάντας ἀκούοντος αὐτὰ ἠχῆσαι τὰ ὦτα αὐτοῦ, ἀνθ' ὧν ἐγκατέλιπόν με, καὶ ἀπηλλοτρίωσαν τὸν τόπον τοῦτον, καὶ ἐθυμίασαν ἐν αὐτῷ θεοῖς ἀλλοτρίοις, οἷς οὐκ ᾔδεισαν αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν. καὶ οἱ βασιλεῖς ἰούδα ἔπλησαν τὸν τόπον τοῦτον αἵματος ἀθώων, καὶ ᾠκοδόμησαν ὑψηλὰ τῇ βααλ, τοῦ κατακαίειν τοὺς υἱοὺς αὐτῶν ἐν πυρί, ἃ οὐκ ἐνετειλάμην, ὃ δὲ διενοήθην ἐν τῇ καρδίᾳ μου. διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ οὐ κληθήσεται ἔτι τόπῳ τούτῳ· ὅτι διάπτωσις, καὶ πολυάνδριον υἱοῦ ἐνόμ, ἀλλ' ἢ πολυάνδριον σφαγῆς. καὶ σφαγὴν τοῦ βαλὼ ἰούδα, καὶ τοὺς ἱερουσαλὴμ ἐν τῷ τόπῳ τούτῳ, καὶ καταβαλῶ αὐτοὺς ἐν μαχαίρᾳ ἐναντίον τῶν ἐχθρῶν αὐτῶν, καὶ ἐν χερσὶ τῶν ζητούντων τὰς ψυχὰς αὐτῶν. καὶ δώσω τοὺς νεκροὺς αὐτῶν εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ κατάξω τὴν πόλιν ταύτην εἰς ἀφανισμὸν καὶ εἰς συριγμόν. πᾶς ὁ παραπορευόμενος ἐπ' αὐτῇ, σκυθρωπάσει, καὶ συριεῖ ἐπὶ πάσῃ τῇ πληγῇ ταύτῃ, καὶ ἔδονται τὰς σάρκας τῶν υἱῶν αὐτῶν, καὶ τὰς σάρκας τῶν θυγατέρων αὐτῶν. καὶ ἕκαστος τὰς σάρκας τοῦ πλησίου αὐτοῦ ἔδονται ἐν τῇ πολιορκίᾳ καὶ ἐν τῇ πολιορκήσει σε αὐτοὺς οἱ ἐχθροί αὐτῶν. καὶ συντρίψεις τὸν βίκον κατ' ὀφθαλμοὺς τῶν ἀνδρῶν τῶν ἐπορευομένων μετὰ σοῦ, καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει κύριος· οὕτως συντρίψω τὸν λαὸν τοῦτον, καὶ τὴν πόλιν ταύτην, καθὼς συντρίβεται ἄγγος ὀστράκινον, ὃ οὐ δυνήσεται ἰαθῆναι ἔτι. ὅτως ποιήσω, λέγει κύριος, τῷ τόπῳ τούτῳ, καὶ τοῖς κατοικοῦσιν ἐν αὐτῷ, τοῦ ἀλθῖναι τὴν πόλιν ταύτην, ὡς γὴν σμαπίπτουσαν. καὶ οἶκοι ἱερουσαλὴμ, καὶ οἶκοι βασιλέων ἰούδα ἔσονται, καθὼς ὁ τόπος ὁ διαπίπτων ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν ἐν πάσαις ταῖς οἰκίαις, ἐν αἷς ἐθυμίασαν ἐπὶ τῶν δωμάτων αὐτῶν πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἐσπείσαν σπονδὰς θεοῖς ἀλλοτρίοις. καὶ ἦλθον ἱερεμίας ἀπὸ τῆς διαπτώσεως τοῦ τόπου ταφεθ, οὗ ἀπέστειλεν αὐτὸν κύριος ἐκεῖ τοῦ προφητεῦσαι. καὶ ἔστη ἐν τῇ αὐλῇ οἴκου κυρίου, καὶ εἶπε πρὸς πάντα τὸν λαόν· τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὴν πόλιν ταύτην, καὶ ἐπὶ πάσας τὰς πόλεις αὐτῆς, καὶ ἐπὶ τὰς κώμας αὐτῆς, ἅπαντα τὰ κακὰ ἃ ἐλάλησα ἐπ' αὐτὴν, καὶ ἐπὶ τὰς πόλεις αὐτῆς, ὅτι ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν, τοῦ μὴ εἰσακοῦσαι τῶν λόγων μου.

ΚΕΦΑΛ. κ'. 20.

Καὶ ἤκουσε πασχὼρ υἱὸς ὁ σεμμὴρ ὁ ἱερεὺς, καὶ οὗτος ἦν καθισμένος ἡγούμενος οἴκου κυρίου, τοῦ ἱερεμίου προφητεύοντος τοὺς λόγους τούτους, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἔβαλεν αὐτὸν εἰς τὸν καταῤῥάκτην, ὃς ἦν ἐν πύλῃ οἴκου ἀποτεταγμένον τοῦ πατρῴου, ὃς ἦν ἐν οἴκῳ κυρίου. καὶ ἐξήγαγε πασχὼρ τὸν ἱερεμίαν ἐκ τοῦ καταῤῥάκτου. καὶ εἶπεν αὐτῷ ἱερεμίας· οὐχὶ πασχὼρ ἐκάλεσε τὸ ὄνομά σου, ἀλλ' ἢ μετοικίαν. διότι τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ δίδωμί σε εἰς μετοικίαν σὺ καὶ πάντας τοὺς φίλους σου, καὶ πεσοῦνται μαχαίρᾳ ἐχθρῶν αὐτῶν, καὶ οἱ ὀφθαλμοί σου ὄψονται, καὶ σὲ καὶ πάντα ἰούδα δώσω εἰς χεῖρας βασιλέως βαβυλῶνος, καὶ μετοικιεῖ αὐτοὺς, καὶ κατακόψει αὐτοὺς ἐν μαχαίρᾳ. καὶ δώσω τὴν πᾶσαν ἰσχὺν τῆς πόλεως ταύτης, καὶ πάντας τοὺς πόνους αὐτῆς, καὶ πάντας τοὺς θησαυροὺς τοῦ βασιλέως ἰούδα εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἄξουσιν αὐτοὺς εἰς βαβυλῶνα. καὶ σὺ πασχὼρ καὶ πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, πορεύσεσθε ἐν αἰχμαλωσίᾳ, καὶ ἐν βαβυλῶνι ἀποθανῇ, καὶ ἐκεῖ ταφήσῃ σὺ καὶ πάντες οἱ φίλοι σου, οἷς ἐπροφήτευσας αὐτοῖς ψευδῆ. ἠπάτησάς με κύριε καὶ ἠπατήθην, ἐκράτησας καὶ ἠδυνάσθης. ἐγενόμην εἰς γέλωτα, πᾶσαν ἡμέραν διετέλεσα μυκτηριζόμενος, ὅτι πικρῶς λόγῳ μακροθυμήσω ἐμοί, καὶ εἰς χλευασμὸν πᾶσαν ἡμέραν μου. καὶ εἶπα· οὐ μὴ ὀνομάσω τὸ ὄνομα κυρίου, καὶ οὐ μὴ λαλήσω ἔτι ἐπὶ τῷ ὀνόματι αὐτοῦ. καὶ ἐγένετο ὡς πῦρ καιόμενον φλέγον ἐν τοῖς ὀστοῖς μου, καὶ παρεῖμαι πάντοθεν, καὶ οὐ δύναμαι φέρειν, ὅτι ἤκουσα ψόγον πολλῶν συναθροιζομένων λυκλόθεν. ἐπισυνέπεσε, καὶ κατεσυνέδραμεν ἐπ' αὐτῷ πάντες ἄνδρες φίλοι αὐτοῦ, τηρήσατε τὴν ἐπίνοιαν αὐτοῦ ὡς ἀπατηθήσεται, καὶ

λήμψεσθε

δωμησόμεθα αὐτῷ, καὶ λαψόμεθα τῶν ἐκδίκησιν ἡμῶν ἐξ αὐτοῦ. ὁ δὲ Κύριος μετ' ἐμοῦ παθὼς μαχητὴς ἰσχύων. διὰ τοῦτο ἐδίωξαν, καὶ νοῆσαι οὐ δυνήσονται. ἠσχύνησαν σφόδρα, ὅτι οὐκ ἐνόησαν ἀτιμίαν αὐτῶν, αἱ δὶ αἰῶνος οὐ μὴ ἐπιλησθήσονται. Κύριε δοκιμάζων δίκαια, σωτὴρ νεφρῶν καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐν αὐτοῖς. ὅτι πρὸς σὲ ἀπεκάλυψα τὰ ἀντιλογήματά μου. ἆσατε τῷ Κυρίῳ, αἰνέσατε αὐτόν, ὅτι ἐξείλατο τὴν ψυχὴν πονηρῶν ἐκ χειρὸς κρειττόνων. ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐτέχθην ἐν αὐτῇ, ἡ ἡμέρα ἐν ᾗ ἔτεκέν με ἡ μήτηρ μου, μὴ ἔσω ἐπὶ δύκτη. ἐπικατάρατος ὁ ἄνθρωπος ὁ εὐαγγελισάμενος τῷ πατρί μου, λέγων· ὅτι ἐτέχθη σοι ἄρσεν. εὐφραινόμενος ἔσω ὁ ἄνθρωπος ἐκεῖνος, ὡς αἱ πόλεις ἃς κατέστρεψε Κύριος ἐν θυμῷ, καὶ μετεμελήθη. ἀκουσάτω κραυγὴς τὸ πρωΐ, καὶ ἀλαλαγμὸς μεσημβρίας, ὅτι ὃς ἀπέκτεινέ με ἐν μήτρᾳ μητρός μου, καὶ ἐγένετό μοι ἡ μήτηρ μου τάφος μου, καὶ ἡ μήτρα συλλήψεως αἰωνίας ἵνα τί τοῦτο ἐξῆλθον ἐκ μήτρας, τοῦ βλέπειν κόπους καὶ πόνους; καὶ συνετέλεσαν ἐν αἰσχύνῃ αἱ ἡμέραι μου;

ΚΕΦΑΛ. κά'. 21.

Ο λόγος ὁ γενόμενος πρὸς Κύριον παρὰ Ιερεμίου, ὅτε ἀπέστειλε πρὸς αὐτὸν ὁ Βασιλεὺς Σεδεκίας τὸν Παχὼρ υἱὸν Μελχίου, καὶ Σοφονίαν υἱὸν Βασαίου, τὸν Σοφονίαν υἱὸν Μελχίου τὸν ἱερέα, λέγων· Ἐπερώτησον περὶ ἡμῶν τὸν Κύριον, ὅτι Βασιλεὺς Βαβυλῶνος ἐφέστηκεν ἐφ' ἡμᾶς, εἰ ποιήσει Κύριος μετ' ἡμῶν πάντα τὰ θαυμάσιά αὐτοῦ, καὶ ἀπελεύσεται ἀφ' ἡμῶν. καὶ εἶπε πρὸς αὐτοὺς Ἱερεμίας· ὅτως ἐρεῖτε πρὸς Σεδεκίαν Βασιλέα Ἰούδα· τάδε λέγει Κύριος· ἰδὲ ἐγὼ μεταστρέφω τὰ ὅπλα τὰ πολεμικὰ, ἐν οἷς ὑμεῖς πολεμεῖτε ἐν αὐτοῖς, πρὸς τοὺς χαλδαίους τοὺς συγκεκλεισμένους ὑμᾶς ἔξωθεν τοῦ τείχους, καὶ σώσω αὐτοὺς εἰς τὸ μέσον τῆς πόλεως ταύτης, καὶ πολεμήσω ἐγὼ ὑμᾶς ἐν χειρὶ ἐκτεταμένῃ, καὶ ἐν βραχίονι κραταιῷ μετὰ θυμοῦ καὶ ὀργῆς μεγάλης. καὶ πατάξω πάντας τοὺς κατοικοῦντας ἐν τῇ πόλει ταύτῃ τοὺς ἀνθρώπους καὶ τὰ κτήνη ἐν θανάτῳ μεγάλῳ, καὶ ἀρθήσονται. καὶ μετὰ ταῦτα ὅτως λέγει Κύριος· δώσω τὸν Σεδεκίαν Βασιλέα Ἰούδα, καὶ τοὺς παῖδας αὐτοῦ, καὶ τὸν λαὸν καταλειφθέντα ἐν τῇ πόλει ταύτῃ ἀπὸ τοῦ θανάτου, καὶ ἀπὸ τοῦ λιμοῦ, καὶ ἀπὸ τῆς μαχαίρας εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ εἰς χεῖρας ζητούντων τὰς ψυχὰς αὐτῶν, καὶ καταπονέσουσιν αὐτοὺς ἐν στόματι μαχαίρας, ὃ φείσομαι ἐπ' αὐτοῖς, καὶ ὁ μὴ οἰκτειρήσω αὐτοὺς. καὶ πρὸς τὸν λαὸν τοῦτον ὄψει λέγει Κύριος· ἰδὲ ἐγὼ δίδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς, καὶ τὴν ὁδὸν τοῦ θανάτου. ὁ καθημένος ἐν τῇ πόλει ταύτῃ, ἀποθανεῖται ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ. καὶ ὁ ἐκπορευόμενος προχωρήσας πρὸς τοὺς χαλδαίους, τοὺς συγκεκλεισμένους ὑμᾶς, ζήσεται, καὶ ἔσαι ἡ ψυχή αὐτοῦ εἰς σκῦλα, καὶ ζήσεται. διότι ἐστήρικα τὸ πρόσωπόν μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ, καὶ οὐκ εἰς ἀγαθά. εἰς χεῖρας Βασιλέως Βαβυλῶνος παραδοθήσεται, καὶ κατακαύσει αὐτὴν ἐν πυρί. ὁ οἶκος Βασιλέως Ἰούδα, ἀκούσατε λόγου Κυρίου οἶκος Δαβίδ, τάδε λέγει Κύριος· κρίνατε πρωὶ κρίμα, καὶ κατευθύνατε, καὶ ἐξέλεσθε διηρπασμένον ἐκ χειρὸς ἀδικούντος αὐτὸν, ὅπως μὴ ἀνακαυθῇ ὡς πῦρ ἡ ὀργή μου, καὶ καυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέσων. ἰδὲ ἐγὼ πρὸς σὲ ἐν κατοικοῦντα τὴν κοιλάδα σου, τὴν πεδινὴν, τοὺς λέγοντας· τίς πτήσεται ἡμᾶς; ἢ τίς εἰσελεύσεται πρὸς τὸ κατοικητήριον ἡμῶν; καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς, καὶ ἐδεται πάντα τὰ κύκλῳ αὐτῆς.

ΚΕΦΑΛ. κβ'. 22.

Τάδε λέγει Κύριος· πορεύου καὶ καταβήθι εἰς τὸν οἶκον τοῦ Βασιλέως Ἰούδα, καὶ λαλήσεις ἐκεῖ τὸν λόγον τοῦτον, καὶ ὄψει· ἄκουε λόγου Κυρίου Βασιλεῦ Ἰούδα, ὁ καθήμενος ἐπὶ θρόνου Δαβίδ, σὺ καὶ ὁ οἶκός σου ὁ λαός σου, καὶ οἱ εἰσπορευόμενοι ταῖς πύλαις ταύταις. τάδε λέγει Κύριος· ποιεῖτε κρίσιν καὶ δικαιοσύνην, καὶ ἐξαιρεῖσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτὸν, καὶ πρόσηλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ καταδυναστεύσητε, καὶ μὴ ἀσεβεῖτε, καὶ αἷμα ἀθῷον μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ. διότι ἐὰν ποιοῦντες ποιήσητε τὸν λόγον τοῦτον, καὶ εἰσελεύσονται ἐν ταῖς πύλαις τοῦ οἴκου τούτου Βασιλεῖς καθήμενοι ἐπὶ θρόνου Δαβίδ, καὶ ἐπιβεβηκότες ἐφ' ἁρμάτων καὶ ἵππων, αὐτοὶ καὶ οἱ παῖδες αὐτῶν, καὶ ὁ λαὸς αὐτῶν. ἐὰν δὲ μὴ ποιήσητε τοὺς λόγους τούτους, κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος, ὅτι εἰς ἐρήμωσιν ἔσαι ὁ οἶκος οὗτος. ὅτι τάδε λέγει Κύριος ἐπὶ τοῦ οἴκου Βασιλέως Ἰούδα· γαλαὰδ, σύ μοι ἀρχὴ τοῦ Λιβάνου, ἐὰν μὴ θῶ σε εἰς ἔρημον πόλεις μὴ κατοικηθησομένας, καὶ ἑτοιμάσω ἐπὶ σὲ ὀλοθρεύοντα ἄνδρα, καὶ τὸν πέλεκυν αὐτοῦ, καὶ ἐκκόψουσι τὰς ἐκλεκτὰς λεύδρους σου, καὶ ἐμβαλοῦσιν εἰς τὸ πῦρ. καὶ διελεύσονται ἔθνη πολλὰ διὰ τῆς πόλεως ταύτης, καὶ ἐροῦσιν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· διατί ἐποίησε Κύριος ὅτως τῇ πόλει ταύτῃ τῇ μεγάλῃ; καὶ ἐροῦσιν· ἀνθ' ὧν ἐγκατέλιπον τὴν διαθήκην Κυρίου θεοῦ αὐτῶν, καὶ προσεκύνησαν θεοῖς ἀλλοτρίοις, καὶ ἐδούλευσαν αὐτοῖς. μὴ κλαίετε τὸν τεθνηκότα, μηδὲ θρηνεῖτε αὐτόν. κλαύσατε κλαυθμῶ τὸν ἐκπορευόμενον· ὅτι οὐκ ἀποστρέψει ἔτι, οὐδὲ ὄψεται τὴν γῆν πατρίδος αὐτοῦ. διότι τάδε λέγει Κύριος περὶ Σελλὴμ υἱοῦ Ιωσίου, τοῦ Βασιλεύοντα ἀντὶ Ιωσίου τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πατρὸς αὐτῶν, ὃς ἐξῆλθεν ἐκ τοῦ τόπου τούτου, οὐκ ἀναστρέψει ἐκεῖ ἔτι, ἀλλ' ἢ ἐν τῷ τόπῳ τούτῳ ὃ μετῴκισε αὐτοὺς, ἐκεῖ ἀπεθανοῦνται, καὶ τὴν γῆν ταύτην οὐκ ὄψονται ἔτι. ὡς ὁ οἰκοδομῶν οἰκίαν αὐτοῦ ὁ μετὰ δικαιοσύνης, καὶ τὰ ὑπερῷα αὐτοῦ ἐν μερίσματι, πλὴν τοῦ πλησίον αὐτοῦ ἐργάσεται δωρεάν, καὶ τὸν μισθὸν αὐτοῦ ὁ μὴ ἀποδώσει αὐτῷ. οἰκοδόμησας σεαυτῷ οἶκον συμμέτρου, ὑπερῷα ῥαπισὰ, καὶ διεστειλμένα θυρίσι, καὶ ἐξυλωμένα ἐν ἐλάτῃ, καὶ ἐχρίσμενα ἐν μίλτῳ, μὴ βασιλεύσεις, ὅτι σὺ παρωξύνθης ἐν ἄκανθ τοῦ πατρί σου; ὁ φάγονται καὶ οὐ πίονται, βέλτιόν σε ποιεῖν μερίσματα καὶ δικαιοσύνην καλήν. ἐπέγνωσαν, οὐκ ἐποίησαν μερίσματα πτωχείνου, ἐδὲ μερίσμα πλουσίου. ὁ τοῦτό ἐστιν τὸ μὴ γνῶναί σε ἐμὲ, λέγει κύριος; ἰδοὶ ἐπέστρεψαν οἱ ὀφθαλμοί σου ὀρθοί, ἐδὲ ἡ παρδία σου καλή, ἀλλ' ἐπὶ τὴν πλεονεξίαν σου, καὶ ἐπὶ τὸ αἷμα τὸ ἀθῷον τοῦ ἐκχέαι αὐτὸ, καὶ ἐπὶ ἀδικήματα, καὶ ἐπὶ φόνον, τοῦ ποιεῖν αὐτά. διατοῦτο τάδε λέγει κύριος τῷ ἰωακεὶμ υἱῷ ἰωσίου βασιλεῖ ἰούδα, καὶ ὑπὲρ τοῦ ἀνδρὸς τούτου· ὃ μὴ κόψωνται αὐτῷ, ὦ ἀδελφέ, ἐδὲ μὴ ἐλεήσωνται αὐτόν. οἴμοι κύριε, ταφὴν ὁ ταφήσεται. σὺ μὴ δεῖς ῥιφήσεται ἐπέκεινα ἡ πύλης ἱερουσαλήμ. καὶ ἀνάβηθι εἰς τὸν λίβανον καὶ βόησον, καὶ ἐν τῇ Βασὰν δὸς τὴν φωνήν σου, καὶ βόησον εἰς τὸν πέραν ἡ θαλάσσης· ὅτι συνετρίβησαν πάντες οἱ ἐρασταί σου. ἐλάλησα πρὸς σὲ ἐν τῇ πλησπάτησέ σε, καὶ εἶπας· οὐκ ἀκούσομαι. αὕτη ἡ ὁδός σου ἐκ νεότητός σου, ὅτι οὐκ ἤκουσας τῆς φωνῆς μου. πάντας τοὺς ποιμένας σου ποιμανεῖ ἄνεμος, καὶ οἱ ἐρασταί σου (ἐλάλησα πρὸς σὲ ἐν τῇ πλησπάτησέ σε) ἐν αἰχμαλωσίᾳ ἐξελεύσονται· ὅτι τότε αἰσχυνθήσῃ ἀπὸ πάντων τῶν φιλούντων σε, κατοικοῦσα ἐν τοῖς λιβάνοις, γινώσκουσα ἐν ταῖς λειμῶσι. κατασχάξεις ἐν τοῖς ἐλθεῖν σοι ὠδῖνας ὡς τικτούσης. ζῶ ἐγὼ, λέγει κύριος· ἐὰν γένηται γένηται ἐχονίας υἱὸς ἰωακεὶμ βασιλεὺς ἰούδα, ἀντὶ σφραγῖσμα ὑπὸ τὴν χεῖρός τὴν δεξιᾶς μου, ἐκεῖθεν ἐκαλέσω σε, καὶ παραδώσω σε εἰς χεῖρας τῶν ζητούντων τὴν ψυχήν σου, ὧν σὺ δύλασσῃ ἀπὸ προσώπου αὐτῶν, εἰς χεῖρας τῶν χαλδαίων, καὶ ἀποῤῥίψω σε, καὶ τὴν μητέρα σε τὴν τεκοῦσάν σε εἰς γῆν, ἣν οὐκ ἐτέχθης ἐκεῖ, καὶ ἐκεῖ ἀποθανεῖσθε. εἰς δὲ τὴν γῆν ἣν αὐτοὶ εὔχονται τὰς ψυχὰς αὐτῶν, ὁ μὴ ἀποστρέψωσιν. ἠτιμώθη ἰεχονίας ὡς σκεῦος ὃ οὐκ ἔστι χρεία αὐτοῦ, ὅτι ἐξερρίφη, καὶ ἐξεβλήθη εἰς γῆν ἣν οὐκ ᾔδεισαν. τῇ γῇ ἄκουσον λόγον κυρίου, γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον· ὅτι οὐ μὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος αὐτοῦ, καθήμενον ἐπὶ θρόνου δαβὶδ, ἄρχοντα ἔτι ἐν τῷ ἰούδα.

ΚΕΦΑΛ. κγ'. 23.

Ὦ ποιμένες οἱ διασκορπίζοντες καὶ ἀπολλύοντες τὰ πρόβατα τῆς νομῆς αὐτῶν, διατοῦτο τάδε λέγει κύριος ὦδε οὐ ποιμαίνοντας τὸν λαόν μου· ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξώσατε αὐτὰ, καὶ οὐκ ἐπεσκέψασθε αὐτά· ἰδοὺ ἐγὼ ἐκδικήσω ἐφ' ὑμᾶς κατὰ τὰ πονηρὰ ὧν ἐπράξατε ὑμῶν. καὶ ἐγὼ εἰσδέξομαι ὃν καταλείπουσι τὸ λοιπὸν μου ἐκ πάσης τῆς γῆς, οὗ ἐξώσατε αὐτοὺς ἐκεῖ, καὶ κατασήσω αὐτοὺς εἰς τὴν νομὴν αὐτῶν, καὶ αὐξηθήσονται, καὶ πληθυνθήσονται. καὶ ἀναστήσω αὐτοῖς ποιμένας, οἳ ποιμανοῦσιν αὐτούς, καὶ οὐ φοβηθήσονται ἔτι, οὐδὲ πτοηθήσονται, λέγει κύριος· ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἀναστήσω τῷ δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς δίκαιος, καὶ συνήσει καὶ ποιήσει κρίμα, καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. ἐν ταῖς ἡμέραις αὐτοῦ, σωθήσεται ἰούδας, καὶ ἰσραὴλ κατασκηνώσει πεποιθώς. καὶ οὗτον τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει αὐτὸν κύριος δικαιοσύνη ἡμῶν. ἐν τοῖς προφήταις συνετρίβη ἡ καρδία μου, ἐν ἐμοὶ ἐσαλεύθη πάντα τὰ ὀστᾶ μου, ἐγενήθην ὡς ἀνὴρ συντετριμμένος, καὶ ὡς ἄνθρωπος οἰνωμένος ἀπὸ οἴνου ἀπὸ προσώπου κυρίου. καὶ ἀπὸ προσώπου ὑπερηφανείας δόξης αὐτοῦ ἐφανίσθησαν. ὅτι ἀπὸ προσώπου τούτων ἐπῴκησεν ἡ γῆ, ἐξηράνθησαν αἱ νομαὶ ἡ ἐρήμου, καὶ ἐγένετο ὁ δρυμὸς αὐτῶν πονηρός, καὶ ἡ ἰσχὺς αὐτῶν οὐτως, ὅτι ἱερεὺς καὶ προφήτης ἐμολύνθησαν, καὶ ἐν τοῖς οἴκοις μου εὗρον πονηρίας αὐτῶν. διατοῦτο γένηται ἡ ὁδὸς αὐτῶν αὐτοῖς εἰς ὀλίσθημα ἐν γνόφῳ. καὶ ὠσθήσονται, καὶ πεσοῦνται ἐν αὐτῇ· διότι ἐπάξω ἐπ' αὐτοὺς κακὰ, ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν, φησὶ κύριος. καὶ ἐν τοῖς προφήταις σαμαρείας εἶδον ἀνόμηματα, ἐπροφήτευσαν ἐν ὀνόματι μου βάαλ, καὶ ἐπλάνησαν τὸν λαόν μου ἰσραήλ. καὶ ἐν τοῖς προφήταις ἱερουσαλὴμ, εἶδα φρικτὰ μοιχωμένους, καὶ πορευομένους ἐν ψεύδεσι, καὶ ἀντιλαμβανομένους χειρῶν πονηρῶν, τοῦ μὴ ἀποστραφῆναι ἕκαστον ἀπὸ τῆς ὁδοῦ αὐτοῦ ἡ πονηρᾶς. ἐγενήθησάν μοι πάντες ὡς σόδομα, καὶ οἱ κατοικοῦντες αὐτὴν ὡσπερ γόμορρα. διατοῦτο τάδε λέγει κύριος παντοκράτωρ· μὴ ἀκούετε τοὺς λόγους τῶν προφητῶν, ὅτι ματαιοῦσιν ἑαυτοῖς ὁράσεις, καὶ ἀπὸ καρδίας αὐτῶν λαλοῦσι, καὶ οὐκ ἀπὸ στόματος κυρίου λέγουσι τοῖς ἀποθυμένοις τὸν λόγον κυρίου· εἰρήνη ἔσται ὑμῖν. καὶ πᾶσι τοῖς πορευομένοις τοῖς θελήμασιν αὐτῶν, καὶ πάντι τῷ πορευομένῳ πλάνῃ καρδίας αὐτοῦ· οὐχ ἥξει ὦδε σε κακά, ὅτι

τίς

τὶς ἔσαι γὰ ὑποσήματα λυρίου; καὶ εἶδε τὸν λόγον αὐτοῦ; τὶς ἀνωτίσατο καὶ ἤκουσεν; ἰδοὺ σεισμὸς παρὰ λυρίᾳ, καὶ ὀργὴ ἐκπορεύεται. εἰς συσεισμὸν συστρεφομένη ἥξει, ἐπὶ τοὺς ἀσεβεῖς ἥξει, καὶ ἀπὸ ἐπιστρέψει ὁ θυμὸς λυρίᾳ, ἕως ἂν ποιήσῃ αὐτὸ, καὶ ἕως ἂν στήσῃ αὐτὸ, ἀπὸ ἐγχειρήματος καρδίας αὐτοῦ. ἐπ' ἐσχάτων τῶν ἡμερῶν νοήσετε αὐτά. ἀπ' ἀπέστειλα τοὺς προφήτας, καὶ αὐτοὶ ἔτρεχον. ἀλλ' ἐλάλησα πρὸς αὐτούς, καὶ αὐτοὶ ἐπροφήτευον. καὶ εἰ ἔστησαν γὰ τῇ συναγωγῇ μου, καὶ εἰ ἤκουσαν τῶν λόγων μα, καὶ τὸν λαόν μα ἀνέστρεφον ἀπὸ τῶν πονηρῶν αὐτῶν καὶ τῶν διαλογισμάτων αὐτῶν, θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει λύριος, καὶ οὐχὶ θεὸς πόρρωθεν. εἰ κρυβήσεταί τις γὰ κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει λύριος; ἤκουσα ἃ ἐλάλησαν οἱ προφῆται, ἃ προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, ψευδῆ λέγοντες· ἐνυπνιάσθην ἐνύπνιον. ἕως πότε ἔσαι γὰ καρδία τῶν προφητῶν τῶν προφητευόντων ψευδῆ; γὰ τοῦ προφητεύειν αὐτοὺς τὰ θελήματα τῆς καρδίας αὐτῶν, τῶν λογιζομένων τοῦ ἐπιλαθέσθαι τοῦ νόμα μα γὰ τοῖς ἐνυπνίοις αὐτῶν, ἃ διηγοῦντο ἕκαστος τῷ πλησίον αὐτοῦ, καθάπερ ἐπελάθοντο οἱ πατέρες αὐτῶν τοῦ ὀνόματός μα γὰ τῇ Βάαλ. ὁ προφήτης γὰ ᾧ ἐστὶ γὰ ἐνύπνιον ᾖ, διηγησάσθω τὸ ἐνύπνιον αὐτοῦ, καὶ γὰ ᾧ ὁ λόγος μα πρὸς αὐτόν, διηγησάσθω τὸν λόγον μου ἐπ' ἀληθείας. τί τὸ ἄχυρον πρὸς τὸν σῖτον; ἄτως οἱ λόγοι μα, λέγει λύριος. οὐκ ἰσχὺς οἱ λόγοι μα, ὡς πῦρ φλέγον λέγει λύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν. ἰδοὺ ἐγὼ σήμερον πρὸς τοὺς προφήτας, λέγει λύριος ὁ θεός, τοὺς κλέπτοντας τοὺς λόγους μα ἕκαστον παρὰ τοῦ πλησίον αὐτοῦ. ἰδοὺ ἐγὼ πρὸς τοὺς προφήτας τοὺς ἐκβάλλοντας προφητείας γλώσσης, καὶ νυσταζόντας νυσταγμὸν αὐτῶν. ἰδοὺ ἐγὼ πρὸς τοὺς προφήτας τοὺς προφητεύοντας ἐνύπνια ψευδῆ, καὶ διηγοῦντο αὐτὰ, καὶ ἐπλάνησαν τὸν λαόν μα γὰ τοῖς ψεύδεσιν αὐτῶν, καὶ γὰ τοῖς πλάνοις αὐτῶν, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτούς, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ ὠφέλησαν οὐκ ὠφελήσουσι τὸν λαὸν τοῦτον. καὶ ἐὰν ἐρωτήσωσί σε ὁ λαὸς οὗτος, ἢ ἱερεὺς, ἢ προφήτης, λέγων· τί τὸ λῆμμα λυρίου; ἐρεῖς αὐτοῖς· ὑμεῖς ἐστὲ τὸ λῆμμα, καὶ ῥάξω ὑμᾶς, λέγει λύριος· καὶ ὁ προφήτης, καὶ οἱ ἱερεῖς, καὶ ὁ λαός, οἳ ἂν εἴπωσι· λῆμμα λυρίου, καὶ ἐκδικήσω τὸν ἄνθρωπον ἐκεῖνον καὶ τὸν οἶκον αὐτοῦ. οὕτως ἐρεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· τί ἀπεκρίθη λύριος, καὶ τί ἐλάλησε λύριος; καὶ λῆμμα λυρίου μὴ ὀνομάζητε ἔτι· ὅτι τὸ λῆμμα τοῦ ἀνθρώπου ἔσαι ὁ λόγος αὐτοῦ. καὶ διὰ τοῦτο ἐλάλησε λύριος ὁ θεὸς ἡμῶν, ὃν τρόπον εἴπατε τοὺς λόγους θεοῦ ζῶντος οὕτως ἐρεῖτε πρὸς τὸν προφήτην· διὰ τοῦτο πάλιν λέγει λύριος ὁ θεὸς ἡμῶν· ἀνθ' ὧν εἴπατε τὸν λόγον τοῦτον· λῆμμα λυρίου, καὶ ἀπέστειλα πρὸς ὑμᾶς λέγων· οὐκ ἐρεῖτε· λῆμμα λυρίου. διὰ τοῦτο ἰδοὺ ἐγὼ λαμβάνω καὶ ῥάσω ὑμᾶς, καὶ τὴν πόλιν ἣν ἔδωκα ὑμῖν, καὶ τοῖς πατράσιν ὑμῶν, καὶ δώσω ἐφ' ὑμᾶς ὀνειδισμὸν αἰώνιον, καὶ ἀτιμίαν αἰώνιον, ἣ οὐκ ἐπιλησθήσεται. διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται λέγει λύριος, καὶ οὐκ ἐροῦσιν ἔτι· ζῇ λύριος, ὃς ἀνήγαγε τὸν οἶκον ἰσραὴλ ἐκ γῆς αἰγύπτου, ἀλλὰ ζῇ λύριος, ὃς ἀνήγαγε καὶ ἔφερε τὸ σπέρμα ἰσραὴλ ἀπὸ γῆς βορρᾶ, καὶ ἀπὸ πασῶν τῶν χωρῶν, ἐξῶσεν αὐτοὺς ἐκεῖ, καὶ ἀποκατέστησεν αὐτοὺς εἰς τὴν γῆν αὐτῶν.

ΚΕΦΑΛ. λδ'. 24.

Ἔδειξέ μοι λύριος δύο καλάθους σύκων, κειμένα κατὰ πρόσωπον ναοῦ λυρίου, μετὰ τὸ ἀποικίσαι ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος, τὸν ἰεχονίαν υἱὸν ἰωακεὶμ βασιλέα ἰούδα, καὶ τοὺς ἄρχοντας, καὶ τοὺς τεχνίτας, καὶ τοὺς δυναμώτας, καὶ τοὺς παροίκους ἐξ ἰερουσαλὴμ, καὶ ἤγαγεν αὐτοὺς εἰς βαβυλῶνα. ὁ κάλαθος ὁ εἷς σύκων χρηστῶν σφόδρα, ὡς τὰ σύκα τὰ πρώϊμα. καὶ ὁ κάλαθος ὁ δεύτερος σύκων πονηρῶν σφόδρα, ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν. καὶ εἶπε λύριος πρός με· τί ὁρᾷς ἱερεμία; καὶ εἶπα· σύκα, σύκα τὰ χρηστὰ, χρηστὰ λίαν, καὶ τὰ πονηρὰ, πονηρὰ λίαν, ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν. καὶ ἐγένετο λόγος λυρίου πρός με λέγων· τάδε λέγει λύριος ὁ θεὸς ἰσραήλ· ὡς τὰ σύκα τὰ χρηστὰ ταῦτα, οὕτως γνώσομαι τοὺς ἀποικισθέντας ἰούδα, οὓς ἐξαπέστειλα ἐκ τοῦ τόπου τούτου εἰς γῆν χαλδαίων εἰς ἀγαθά, καὶ στηριῶ τοὺς ὀφθαλμούς μα ἐπ' αὐτοὺς εἰς ἀγαθὰ, καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τὴν γῆν ταύτην εἰς ἀγαθὰ, καὶ οἰκοδομήσω αὐτοὺς, καὶ οὐ μὴ καθελῶ αὐτούς, καὶ καταφυτεύσω αὐτούς, καὶ οὐ μὴ ἐκτιλῶ. καὶ δώσω αὐτοῖς καρδίαν τοῦ εἰδέναι αὐτοὺς ἐμέ· ὅτι ἐγώ εἰμι λύριος, καὶ ἔσονταί μοι εἰς λαόν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν. καὶ ὅτι ἐπιστραφήσονται πρὸς ἐμὲ ἐξ ὅλης τῆς καρδίας αὐτῶν, καὶ ὡς τὰ σύκα τὰ πονηρὰ, ἃ οὐ βρωθήσονται ἀπὸ πονηρίας αὐτῶν, τάδε λέγει λύριος· ὅτως παραδώσω τὸν σεδεκίαν βασιλέα ἰούδα, καὶ τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ τὸ καταλειπτὸν ἰερουσαλὴμ τοὺς ἐπολελειμμένους γὰ τῇ γῇ ταύτῃ, καὶ τοὺς κατοικοῦντας γὰ αἰγύπτῳ, καὶ δώσω αὐτοὺς εἰς διασκορπισμοὺς εἰς πάσας τὰς βασιλείας τῆς γῆς, καὶ ἔσονται εἰς ὀνειδισμὸν, καὶ εἰς παραβολὴν, καὶ εἰς μῖσος, καὶ εἰς κατάραν γὰ παντὶ τόπῳ ὃ ἐξώσω αὐτοὺς ἐκεῖ. καὶ ἀποστελῶ εἰς αὐτοὺς τὸν λιμὸν, καὶ τὸν θάνατον, καὶ τὴν μάχαιραν, ἕως ἂν ἐκλείπωσιν ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς.

Κεφαλ.

ΚΕΦΑΛ. λε'. 25.

μενοι αὐτῶν, καὶ ἡ δόξα θεοῦ Ἰσραὴλ ἐπ' αὐτά· ἑωράκειν αὐτά. καὶ ἀνέβη ἡ δόξα κυ-
ρίου ἐκ μέσης τῆς πόλεως, καὶ ἔστη ἐπὶ τοῦ ὄρους ὃ ἦν ἀπέναντι τῆς πόλεως. καὶ ἀνέ-
λαβέ με πνεῦμα, καὶ ἤγαγέ με εἰς γῆν Χαλδαίων, εἰς τὴν αἰχμαλωσίαν ἐν ὁράσει, ἐν
πνεύματι θεοῦ. καὶ ἀνέβη ἀπ' ἐμοῦ ἡ ὅρασις ἣν εἶδον, καὶ ἐλάλησα πρὸς τὴν αἰχμαλω-
σίαν πάντας τοὺς λόγους κυρίου οὓς ἔδειξέ μοι.

ΚΕΦΑΛ. ιβ'. 12.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, ἐν μέσῳ τοῦ παραπικραίνοντός σε
οἰκου παραπικραίνεις, οἳ ὀφθαλμοὺς τοῦ ὁρᾶν, καὶ οὐ βλέπουσι, καὶ ὦτα ἔχουσι τοῦ ἀκούειν,
καὶ οὐκ ἀκούουσι, διότι οἶκος παραπικραίνων ἐστί. καὶ σὺ υἱὲ ἀνθρώπου ποίησον σεαυτῷ
σκεύη αἰχμαλωσίας, καὶ αἰχμαλωτισθήσῃ ἡμέρας ἐνώπιον αὐτῶν, καὶ αἰχμαλωτισθήσῃ ἐκ τοῦ
τόπου σου εἰς ἕτερον τόπον, ἐνώπιον αὐτῶν, ὅπως ἴδωσιν διότι οἶκος παραπικραίνων ἐστί. καὶ
ἐξοίσεις τὰ σκεύη σου σκεύη αἰχμαλωσίας, ἡμέρας κατ' ὀφθαλμοὺς αὐτῶν, καὶ ἐξελεύσει
ἑσπέρας ἐνώπιον αὐτῶν, ὡς ἐκπορεύεται αἰχμάλωτος. διόρυξον σεαυτῷ εἰς τὸν τοῖχον, καὶ
διεξελεύσῃ διὰ αὐτοῦ ἐνώπιον αὐτῶν. ἐπ' ὤμων αἰρηθήσῃ, καὶ νεκρωμένῳ ἐξελεύσῃ,
τὸ πρόσωπόν σου συγκαλύψεις, καὶ οὐ μὴ ἴδῃς τὴν γῆν, διότι τέρας δέδωκά σε τῷ οἴκῳ
Ἰσραήλ. καὶ ἐποίησα οὕτως καθὰ πάντα ὅσα ἐνετείλατό μοι. καὶ ἐξήνεγκα ὡς σκεύη αἰχμα-
λωσίας ἡμέρας, καὶ ἑσπέρας διώρυξα ἐμαυτῷ τὸν τοῖχον τῇ χειρί, καὶ νεκρωμένῳ ἐξῆλθον,
ἐπ' ὤμων ἐλήφθην ἐνώπιον αὐτῶν. καὶ ἐγένετο λόγος κυρίου πρωΐ πρός με λέγων· υἱὲ ἀνθρώ-
που, οὐκ εἶπαν πρός σε ὁ οἶκος τοῦ Ἰσραὴλ ὁ παραπικραίνων· τί ποιεῖς; εἶπον πρὸς αὐτούς· τάδε
λέγει κύριος κύριος· τοῦ ἄρχοντος, καὶ τοῦ ἀφηγουμένου ἐν Ἰερουσαλὴμ, καὶ πάντι τῷ οἴκῳ
Ἰσραήλ, οἳ εἰσὶν ἐν μέσῳ αὐτῶν εἶπον, ὅτι ἐγὼ τέρας ὑμῶν ἐν μέσῳ αὐτῆς, οὕτω ποιήσω ἐν μέσῳ αὐτῆς, οὕτως ἔσται αὐτῷ ἐν μετοικεσίᾳ καὶ ἐν αἰχμαλωσίᾳ. πορεύσονται, καὶ ὁ ἄρχων αὐτῶν ἐν
μέσῳ αὐτῶν ἐπ' ὤμων ἀρθήσεται, καὶ διορυγήσονται τοῦ τοίχου, διορύξει τοῦ
ἐξελθεῖν αὐτὸν διὰ αὐτοῦ, τὸ πρόσωπον αὐτοῦ συγκαλύψει, ὅπως μὴ ὁραθῇ ὀφθαλμῷ, καὶ αὐ-
τὸς τὴν γῆν οὐκ ὄψεται. καὶ ἐκπετάσω τὸ δίκτυόν μου ἐπ' αὐτὸν, καὶ συλληφθήσεται ἐν τῇ
παγίδι μου, καὶ ἄξω αὐτὸν εἰς Βαβυλῶνα εἰς γῆν Χαλδαίων, καὶ αὐτὴν οὐκ ὄψεται, καὶ ἐκεῖ
τελευτήσει. καὶ πάντας τοὺς περιλαμβανομένους αὐτοῦ διασπερῶ εἰς πάντα ἄνεμον, καὶ ῥομ-
φαίαν ἐκχεῶ ὀπίσω αὐτῶν, καὶ γνώσονται ὅτι ἐγὼ κύριος, ἐν τῷ διασκορπίσαι με αὐτοὺς ἐν
τοῖς ἔθνεσι, καὶ διασπεῖραι αὐτοὺς ἐν ταῖς χώραις. καὶ περιλείψομαι ἐξ αὐτῶν ἀνδρῶν ἀριθμῷ
ἐκ ῥομφαίας, καὶ ἐκ λιμοῦ, καὶ ἐκ θανάτου, ὅπως ἐκδιηγήσωνται πάσας τὰς ἀνομίας αὐτῶν ἐν τοῖς
ἔθνεσιν, οὗ ἂν ἔλθωσιν ἐκεῖ, καὶ γνώσονται ὅτι ἐγὼ κύριος. Καὶ ἐγένετο λόγος κυρίου πρός με λέ-
γων· υἱὲ ἀνθρώπου, τὸν ἄρτον σου μετὰ φόβου φάγεσαι, καὶ τὸ ὕδωρ σου μετὰ βασάνου καὶ θλί-
ψεως πίεσαι, καὶ ῥήσεις πρὸς τὸν λαὸν τῆς γῆς· τάδε λέγει κύριος τοῖς κατοικοῦσιν Ἰερου-
σαλὴμ, ἐπὶ τῆς γῆς τοῦ Ἰσραήλ· οὗτος ἄρτος αὐτῶν μετὰ φόβου φάγονται, καὶ τὸ ὕδωρ αὐτῶν
μετὰ ἀφανισμοῦ πίονται, ὅπως ἀφανισθῇ ἡ γῆ σὺν τῷ πληρώματι αὐτῆς. ἐν ἀσεβείᾳ γὰρ πάν-
των οἱ κατοικοῦντες ἐν αὐτῇ. καὶ αἱ πόλεις αὐτῶν αἱ κατοικούμεναι ἐξερημωθήσονται, καὶ ἡ γῆ αὐ-
τῶν εἰς ἀφανισμὸν ἔσται, καὶ γνώσεσθε διότι ἐγὼ κύριος. καὶ ἐγένετο λόγος κυρίου πρός
με λέγων· υἱὲ ἀνθρώπου· τίς ὑμῖν ἡ παροιμία αὕτη ἐπὶ τῆς γῆς τοῦ Ἰσραήλ, λέγοντες· μακραὶ αἱ
ἡμέραι, ἀπόλωλε πᾶσα ὅρασις; διὰ τοῦτο εἶπον πρὸς αὐτούς· τάδε λέγει κύριος· ἀπο-
στρέψω τὴν παροιμίαν ταύτην, καὶ οὐκέτι μὴ εἴπωσι τὴν παροιμίαν ταύτην οἶκος Ἰσραήλ,
ὅτι λαλήσεις πρὸς αὐτούς· ἤγγικασιν αἱ ἡμέραι, καὶ λόγος πάσης ὁράσεως, ὅτι οὐκ ἔσται πᾶσα
ὅρασις ψευδὴς, καὶ μαντεύσιμοι τὰ πρὸς χάριν ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ. διότι ἐγὼ κύριος
λαλήσω τοὺς λόγους μου, λαλήσω καὶ ποιήσω, καὶ οὐ μὴ μακρύνω ἔτι, ὅτι ἐν ταῖς ἡμέραις ὑμῶν
οἶκος ὁ παραπικραίνων. λαλήσω λόγον, καὶ ποιήσω, λέγει κύριος. καὶ ἐγένετο λό-
γος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, ἰδοὺ ὁ οἶκος Ἰσραὴλ ὁ παραπικραίνων, λέγοντες λέ-
γουσιν· ἡ ὅρασις ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς καὶ εἰς καιροὺς μακρούς, οὗτος προφητεύει,
διὰ τοῦτο εἶπον πρὸς αὐτούς· τάδε λέγει κύριος· οὐ μὴ μακρύνωσιν οὐκέτι πάντες οἱ λόγοι μου,
οὓς ἂν λαλήσω, ὅτι λαλήσω λόγον, καὶ ποιήσω, λέγει κύριος,

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. ιγ'. ιϛ'.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου προφήτευσον ἐπὶ τοὺς προφήτας τοῦ Ἰσραὴλ τοὺς προφητεύοντας τὰ ἰσραὴλ, καὶ ἐρεῖς τοῖς προφήταις τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ προφητεύσεις, καὶ ἐρεῖς πρὸς αὐτούς· ἀκούσατε λόγον κυρίου, τάδε λέγει κύριος ἀδωναΐ· οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ τὰ καθόλου μὴ βλέπουσιν. οἱ προφῆταί σου Ἰσραὴλ ὡς ἀλώπεκες ἐν τοῖς ῥήγμεσιν, οὐκ ἔστησαν ἐν σφραγίδι, καὶ συναγωγὴν πρόβατα ὧν τὸν οἶκον τοῦ Ἰσραὴλ, οὐκ ἀνέστησαν ἐν πολέμῳ οἱ λέγοντες· ἐν ἡμέρᾳ κυρίου, βλέποντες ψευδῆ, μαντευόμενοι ματαία, οἱ λέγοντες· λέγει κύριος, καὶ ἐγὼ οὐκ ἀπέσταλκα αὐτούς, καὶ ἤρξαντο τοῦ ἀνάστησαι λόγον· οὐχὶ �ράσιν ψευδῆ ἑωράκατε; καὶ μαντείας ματαίας ἐωράκατε; καὶ ἐλέγετε· φησὶ κύριος, καὶ ἐγὼ οὐκ ἐλάλησα; διὰ τοῦτο εἶπον τάδε λέγει ἀδωναΐ κύριος· ἀνθ' ὧν οἱ λόγοι ὑμῶν ψευδεῖς, καὶ αἱ μαντεῖαι ὑμῶν ματαῖαι, διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐφ' ὑμᾶς, λέγει ἀδωναΐ κύριος, ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς προφήτας τοὺς ὁρῶντας ψευδῆ, καὶ τοὺς ἀπροθεγγομένους μάταια· ἐν παιδείᾳ τοῦ λαοῦ μου οὐκ ἔσονται, οὐδὲ ἐν γραφῇ οἴκου Ἰσραὴλ οὐ γραφήσονται, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται, καὶ γνώσονται ὅτι ἐγὼ ἀδωναΐ κύριος, ἀνθ' ὧν ἐπλάνησαν τὸν λαόν μου λέγοντες· εἰρήνη εἰρήνη, καὶ οὐκ ἔστιν εἰρήνη. καὶ οὗτος οἰκοδομεῖ τὸν τοῖχον, καὶ αὐτοὶ ἀλείφουσιν αὐτὸν, εἰ πεσεῖται, εἴπατε πρὸς τοὺς ἀλείφοντας αὐτόν· πεσεῖται, καὶ ἔσαι ὑετὸς καταπλύζων, καὶ δώσω λίθους πετροβόλους εἰς σὺν ἐν ὀργῇσί μου αὐτῷ, καὶ πνεύματα, καὶ πνοὴν ἐξαίρουσα ῥαγήσεται. καὶ ἰδοὺ πέπωκεν ὁ τοῖχος, καὶ ὄρσει πρὸς ὑμᾶς· πῶς ὅτι οὐ ἀλήφη ὑμῶν τὴν ἀλείφατε; διατοῦτο τάδε λέγει κύριος· καὶ ῥήξω πνοὴν ἐξαίρουσαν μετὰ θυμοῦ, καὶ ὑετὸς καταπλύζων ἐν ὀργῇ μου ἔσται, καὶ λίθος σὺν πετροβόλους ἐν θυμῷ ἐπάξω εἰς τὴν συντέλειαν, καὶ καταστρέψω τὸν τοῖχον οὗ ἀλείψατε, καὶ πεσεῖται. καὶ θήσω αὐτὸν ἐπὶ τὴν γῆν, καὶ ἀνακαλυφθήσεται τὰ θεμέλια αὐτοῦ, καὶ πεσεῖται, καὶ συντελεσθήσεται μετ' ἐλέγχου, καὶ γνώσεσθε διότι ἐγὼ κύριος· καὶ συντελέσω τὸν θυμόν μου ἐπὶ τὸν τοῖχον, καὶ ἐπὶ σὺν ἀλείφοντας αὐτὸν, καὶ πεσεῖται. καὶ εἴπατε πρὸς ὑμᾶς· οὐκ ἔστιν ὁ τοῖχος, οὐδὲ οἱ ἀλείφοντες αὐτὸν προφῆται τοῦ Ἰσραὴλ, οἱ προφητεύοντες ἐπὶ Ἰερουσαλήμ, καὶ οἱ ὁρῶντες αὐτῇ εἰρήνην, καὶ οὐκ ἔστιν εἰρήνη, λέγει ἀδωναΐ κύριος. καὶ σὺ υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ τὰς θυγατέρας τοῦ λαοῦ σου τὰς προφητευούσας ἀπὸ καρδίας αὐτῶν, καὶ προφήτευσον ἐπ' αὐτάς, καὶ ὄρεις· τάδε λέγει ἀδωναΐ κύριος· οὐαὶ ταῖς συῤῥαπτούσαις προσκεφάλαια ἐπὶ πᾶσαν ἁγκύλωσιν χειρός, καὶ ποιούσαις ὑποβολαῖα ἐπὶ πάσαν κεφαλὴν πάσης ἡλικίας τοῦ διασῴσαι ψυχάς. αἱ ψυχαὶ διεσῴσαν τὸν λαόν μου, καὶ ψυχὰς πρὸς ἑαυτὰς ἐποιοῦντο, καὶ ἐβεβήλωσάν με πρὸς τὸν λαόν μου ἕνεκεν δραχμῆς κριθῶν, καὶ ἕνεκεν κλασμάτων ἄρτου, ἀποκτεῖναι ψυχὰς, ἃς οὐκ ἔδει ἀποθανεῖν. καὶ ἐζωοποιοῦντο ψυχὰς, ἃς οὐκ ἔδει ζῆσαι, ἐν τῷ ἀκροᾶσθαι ὑμᾶς λαῷ εἰδικοῦντι μάταια ἀκροάματα. διατοῦτο τάδε λέγει κύριος κύριος· ἰδοὺ ἐγὼ ἐπὶ τὰ προσκεφάλαια ὑμῶν, ἐφ' οἷς ὑμεῖς ἐκεῖ συῤῥάπτετε ψυχάς. διαῤῥήξω αὐτὰ ἀπὸ τῶν βραχιόνων ὑμῶν, καὶ ἐξαποστελῶ τὰς ψυχὰς ἃς ὑμεῖς ἐξεῤῥάπτετε, τὰς ψυχὰς αὐτῶν εἰς διασκορπισμόν, καὶ διαῤῥήξω τὰ ὑποβολαῖα ὑμῶν, καὶ ῥύσομαι τὸν λαόν μου ἐκ χειρὸς ὑμῶν, καὶ οὐκέτι ἔσονται ἐν χερσὶν ὑμῶν εἰς συῤῥαφήν· καὶ γνώσεσθε, διότι ἐγὼ κύριος. ἀνθ' ὧν διεῤῥάψατε καρδίαν δικαίου ἀδίκως, καὶ ἐγὼ οὐ διεῤῥάφην αὐτόν. καὶ τὸ καταπεσεῖν χεῖρας αὐτοῦ, τὸ καθόλου μὴ ἀφεῖναι αὐτὸν ἀπὸ τῆς ἀνομίας αὐτοῦ, καὶ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆσαι αὐτὸν, διατοῦτο ψευδῆ οὐ μὴ ἰδῆτε, καὶ μαντείαν οὐ μὴ μαντεύσησθε ἔτι. καὶ ῥύσομαι τὸν λαόν μου ἐκ χειρὸς ὑμῶν, καὶ γνώσεσθε διότι ἐγὼ κύριος.

ΚΕΦΑΛ. ιδ'. 14.

Καὶ ἦλθον πρός με ἄνδρες ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ Ἰσραὴλ, καὶ ἐκάθισαν πρὸ προσώπου μου, καὶ ἐγένετο πρός με λόγος κυρίου λέγων· υἱὲ ἀνθρώπου, οἱ ἄνδρες οὗτοι ἔθεντο τὰ διανοήματα αὐτῶν ἐπὶ τὰς καρδίας αὐτῶν, καὶ τὸν λίθασιν τῆς ἀδικίας αὐτῶν ἔθηκαν πρὸ προσώπου αὐτῶν. εἰ ἀποκρινόμενος ἀποκριθῶ αὐτοῖς; διατοῦτο λάλησον αὐτοῖς, καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει ἀδωναΐ κύριος, ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσραὴλ, ὃς ἂν θῇ τὰ διανοήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ, καὶ τὸν λίθασιν τῆς ἀδικίας αὐτοῦ πάξῃ πρὸ προσώπου αὐτοῦ, καὶ ἔλθῃ πρὸς τὸν προφήτην, ἐγὼ κύριος ἀποκριθήσομαι αὐτῷ ἐν αὐτοῖς, ἐν οἷς ἔχεται ἡ διανοια αὐτοῦ, ὅπως ἂν πλαγιάσωσι τὸν οἶκον Ἰσραὴλ κατὰ τὰς καρδίας αὐτῶν, τὰς ἀπαλλοτριωμένας ἀπ' ἐμοῦ ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν. διατοῦτο εἶπον πρὸς τὸν οἶκον Ἰσραὴλ, τάδε λέγει κύριος ὁ θεός· ἐπιστρέψατε καὶ ἀποστράφητε ἀπὸ τῶν διανοημάτων ὑμῶν, καὶ ἀπὸ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ ἐπιστρέψατε τὰ πρόσωπα ὑμῶν πρός με. διότι ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσραὴλ, καὶ ἐκ τῶν προσηλύτων τῶν προσκειμένων ἐν τῷ Ἰσραὴλ. ὃς ἂν ἀπαλλοτριωθῇ ἀπ' ἐμοῦ καὶ θῇ τὰ ἐνθυμήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὴν λύλασιν ϕ̄ λιαρλίας αὐτοῦ τάξει πῶ πωσώπε αὐτοῦ, καὶ ἔλθη πῶς τὴν πωφήτλω τοῦ ἐπρωτῆσαι αὐτὸν ϕ̄ ἐμοί. ἐγὼ λύρι☩ ἀποκριθήσομαι αὐτῷ· ϕ̄ ὧ ἔχετ? ϕ̄ αὐτῷ. καὶ σπεῶ τὸ πρόσωπόν με ὐδὶ τὸν ἄνθρωπον ἐκεῖνον, καὶ θήσομαι αὐτὸν εἰς σημεῖον, καὶ εἰς ἀφανισμόν, καὶ ἐξαρῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ με. ἐγὼ λύρι☩ πεπλάνηκα τὸν πωφήτλω ἐκεῖνον, καὶ ἐκτενῶ τὴν χεῖρά με ἐπ' αὐτὸν, καὶ ἀφανιῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου ἰσραὴλ, καὶ λήψονται τὴν ἀδικίαν αὐτῶν, κατὰ τὸ ἀδίκημα τοῦ ἐπορωτῶντ☩. καὶ κατὰ τὸ ἀδίκημα ὁμοίως ϕ̄ πωφήτης ἔσαι, ὅπως μὴ πλανᾶται ἔτι οἶκ☩ τοῦ ἰσραὴλ ἀπ' ἐμοῦ, καὶ ἵνα μὴ μιαίνωνται ϕ̄ πᾶσι τοῖς παραπτώμασιν αὐτῶν, ☩ ἔσονταί μοι εἰς λαόν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν ἐγὼ, λέγει ἀδωναὶ λύρι☩. καὶ ἐγϕ̄ λόγ☩ λυρίε πρός με, λέγων· ὑὲ ἀνθρώπου, γῆ ἐὰν ἁμάρτηται μοι τ πῆαπεσεῖν παρομπῶμα, καὶ ἐκτενῶ τὴν χεῖρά με ἐπ' αὐτὴν, καὶ συντρίψω αὐτῆς στήριγμα αὐτοῦ, καὶ ἐξαποστελῶ ἐπ' αὐτὴν λιμόν, καὶ ἐξαρῶ ἀπ' αὐτῆς ἄνθρωπον καὶ κτῆνος. καὶ ἐὰν ὦσιν οἱ τρεῖς ἄνδρες οὗτοι ϕ̄ μέσῳ αὐτῆς νῶε καὶ δανιὴλ καὶ ἰὼβ, οὗτοι ϕ̄ τῇ δικαιοσύνῃ αὐτῶν σωθήσονται, λέγει ἀδωναὶ λύρι☩. ἐὰν δὲ θηρία πονηρὰ ἐπάγω ἐπὶ τὴν γῆν, καὶ ἀνομήσομαι αὐτὴν, καὶ ἔσαι εἰς ἀφανισμόν, καὶ οὐκ ἔσαι ὁ διοδεύων ἀπὸ προσώπε τῶν θηρίων, καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ϕ̄ μέσῳ αὐτῆς ὦσι. ζῶ ἐγὼ, λέγει ἀδωναὶ λύρι☩, εἰ υἱοὶ καὶ θυγατέρες σωθήσονται, ἀλλ' ἢ αὐτοὶ μόνοι σωθήσονται, ἡ δὲ γῆ ἔσαι εἰς ὄλεθρον. ἐὰν ἢ μὴ ῥομφαίαν ἐπάγω ἐπὶ τὴν γῆν ἐκείνην, καὶ εἴπω· ῥομφαία, διελθέτω διὰ τῆς γῆς, καὶ ἐξαρῶ ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος, καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ϕ̄ μέσῳ αὐτῆς ὦσι, ζῶ ἐγὼ λέγει λύρι☩, οὐ μὴ ῥύσονται υἱὸς ἢ θυγατέρας, ἀλλ' ἢ αὐτοὶ μόνοι σωθήσονται. ἐὰν δὲ καὶ θάνατον ἐπαποστελῶ ἐπὶ τὴν γῆν ἐκείνην, καὶ ἐκχεῶ τὸν θυμόν με ἐπ' αὐτὴν ϕ̄ αἵματι τοῦ ἐξολοθρεῦσαι ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος, καὶ νῶε καὶ δανιὴλ καὶ ἰὼβ ϕ̄ μέσῳ αὐτῆς ὦσι, ζῶ ἐγὼ λέγει λύρι☩, ἐὰν υἱοὶ ἢ θυγατέρας ῥύσωνται αὐτοὶ ϕ̄ δικαιοσύνῃ αὐτῶν ῥύσονται τὰς ψυχὰς αὐτῶν. τάδε λέγει ἀδωναὶ λύρι☩· ἐὰν δὲ καὶ τὰς τέσσαρας ἐκδικήσεις με τὰς πονηρὰς ῥομφαίαν, καὶ λιμόν, καὶ θηρία πονηρὰ, καὶ θάνατον ἀποστελῶ ἐφ' ἱερουσαλὴμ τοῦ ἐξολοθρεῦσαι ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος. ☩ ἰδὸ καταλελειμμένοι ϕ̄ αὐτῇ, οἱ ἀνασωζόμενοι ἐξ αὐτῆς, οὗτοι ἐξάξουσιν υἱὸς καὶ θυγατέρας, ἰδὸ αὐτοὶ ἐκπορεύονται πῶς ὑμᾶς, καὶ ὄψεσθε τὰς ὁδοὺς αὐτῶν, καὶ μεταμεληθήσεσθε ὐδὶ τοῖς κακοῖς οἷς ἐπήγαγον ὐδὶ ἱερουσαλὴμ, πάντα τὰ κακὰ ἃ ἐπήγαγον ἐπ' αὐτὴν, καὶ παρακαλέσουσιν ὑμᾶς, διότι ὄψεσθε τὰς ὁδοὺς αὐτῶν, καὶ τὰ ἐνθυμήματα αὐτῶν, καὶ ὧν γνώσεσθε διότι οὐ μάτην ἐποίησα πάντα, ὅσα ἐποίησα ϕ̄ αὐτῇ, λέγει λύρι☩.

ΚΕΦΑΛ. ιε. 15.

ΚΑὶ ἐγϕ̄ λόγ☩ λυρίε πρός με λέγων· καὶ σὺ ὑὲ ἀνθρώπε, τί ἂν γένοιτο τὸ ξύλον τῆς ἀμπέλε, ἐκ πάντων τῶν ξύλων τῶν λεγομένων τῶν ὄντων ϕ̄ τοῖς ξύλοις τοῦ δρυμοῦ; εἰ λήψονται ἐξ αὐτοῦ ξύλον τοῦ ποιῆσαι εἰς ὀργασίαν, εἰ λήψονται ἐξ αὐτοῦ πάσαλον τοῦ κρεμᾶσαι ἐπ' αὐτοῦ σκεῦ☩, πάρεξ ὁ πυρὶ διέλοιτο εἰς ἀνάλωσιν τὸν κατ' γίαν· ὁ μὲν θαρσιν αὐτῆς. ἀνάλισκει τὸ πῦρ, καὶ ἐκλείπει εἰς τέλ☩. μὴ χρήσιμον ἔσαι εἰς ὀργαλίαν; οὐδὲ ἔτι αὐτὸ ὄντ☩ ὁλοκληρον οὐκ ἔσαι εἰς ὀργασίαν, μὴ ὅτι καὶ ἐὰν πῦρ αὐτὸ ἀνάλωση εἰς τέλ☩, εἰ ἔτι ἔσαι εἰς ὀργασίαν; διὰ τοῦτο εἶπεν, τάδε λέγει λύρι☩· ὃν τρόπον τὸ ξύλον ϕ̄ ἀμπέλε ϕ̄ τοῖς ξύλοις τοῦ δρυμοῦ, ὃ δέδωκα αὐτὸ ϕ̄ πυρὶ εἰς ἀνάλωσιν, οὕτως δέδωκα τοὺς κατοικοῦντας ἱερουσαλὴμ, καὶ δώσω τὸ πρόσωπόν με ἐπ' αὐτούς. ἐκ τοῦ πυρὸς ἐξελεύσονται, καὶ πῦρ αὐτοὺς καταφάγεται, καὶ γνώσονται ὅτι ἐγὼ λύρι☩ ϕ̄ ϕ̄ σῆρισα τὸ πρόσωπόν με ἐπ' αὐτούς, καὶ δώσω τὴν γῆν εἰς ἀφανισμόν, αὐθ' ὧν πῶς ἐποίησαν πᾶσι, λέγει λύρι☩.

ΚΕΦΑΛ. ις. 16.

ΚΑὶ ἐγϕ̄ λόγ☩ λυρίε πρός με λέγων· ὑὲ ἀνθρώπου, διαμαρτύρε τὴν ἱερουσαλὴμ τὰς ἀνομίας αὐτῆς, καὶ ῥεῖς· τάδε λέγει λύρι☩ τῇ ἱερουσαλὴμ· ἡ ῥίζα σου καὶ ἡ γένεσίς σου ἐκ γῆς χαναάν. ὁ πατὴρ σου ἀμορῥαῖ☩, καὶ ἡ μήτηρ σου χεθταῖα, καὶ ἡ γένεσίς σου ϕ̄ ἡμέρᾳ ἐτέχθης, καὶ οὐκ ἐδέσθησαν τοὺς μαστούς σου, ὁ ὀμφαλός σου οὐ πεθιετμήθη, καὶ ϕ̄ ὕδατι οὐκ ἐλούθης, οὐδὲ ἁλὶ ἠλίθωσας, καὶ ϕ̄ σπαργάνοις οὐκ ἐσπαργανώθης, οὐδὲ ἐφείσατο ὁ ὀφθαλμός σου ὐδὶ σοί, τοῦ ποιῆσαι σοὶ ϕ̄ ἓν τούτων, τοῦ παθεῖν τι ὐδὶ σοί. καὶ ἀπερρίφης ὐδὶ πρόσωπον τοῦ πεδίου, τῇ σκολιότητί σου ϕ̄ ἡμέρᾳ ἐτέχθης. καὶ διῆλθον ὐδὶ σε, καὶ εἶδόν σε πεφυρμένην ϕ̄ αἵματί σου. καὶ εἶπά σοι· ἐν τῷ αἵματός σου ζῶσα, πλεθιώσα. καθὼς ἀπέστειλά σε ἀγρὸν διεδωκά σε, καὶ ἐπληθύνθης, καὶ εἰσῆλθε εἰς τέλειος τέλεσιν. οἱ μαστοί σου ὠρθώθησαν, καὶ ἡ θρὶξ σου ἐβλάστησε· σὺ ἦσθα γυμνὴ καὶ ἀκατάστατος. καὶ διῆλθον ϕ̄ σοὶ, καὶ εἶδόν σε. καὶ ἰδοὺ καιρός σου, καιρὸς καταλυόντων. καὶ διεπέτασα τὰς πτέρυγάς μου ὐδὶ σε, καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου, καὶ ὤμοσά σοι. καὶ εἰσῆλθον ϕ̄ διαθήκῃ μετὰ σοῦ, λέγει ἀδωναὶ λύρι☩. καὶ ἐγνώσθης, καὶ ἔλουσά σε ϕ̄ ὕδατι, καὶ ἔπλυνα τὸ αἷμά σου ἀπὸ σοῦ, καὶ ἤρισά σε ϕ̄ ἐλαίῳ, καὶ ἐνέδυσά σε ποικίλα, καὶ ὑπεδησά σε ὑάκινθον, καὶ ἔζωσά σε βύσσῳ,

καὶ

καὶ περιέβαλόν σε πρίχα πᾶσι, ☩ ἐκόσμησά σε κόσμῳ, καὶ περιέθηκα ψέλλια περὶ τὰς χεῖράς σου, καὶ ἁλυσιν περὶ τὸν τράχηλόν σου, καὶ ἔδωκα γνώμιον περὶ τὴν μυκτῆρά σου, καὶ τροχίσκους περὶ τὰ ὦτά σου, καὶ στέφανον ἀκμῆς ἐπὶ τῆς κεφαλῆς σου, καὶ ἐκοσμήθης κόσμῳ χρυσῷ καὶ ἀργυρῷ. καὶ τὰ περιβόλαιά σου βύσσινα, καὶ πρίχα πᾶσα καὶ ποικίλα, σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἔφαγες, καὶ ἐγένου κάλλει σφόδρα. καὶ ἐξῆλθε σου ὄνομα ἐν τοῖς ἔθνεσιν ἐν τῷ κάλλει σου, ὅτι συντετελεσμένον ἦν ἐν δόξῃ σου ἃ ἔταξα ὑμῖν σε, λέγει κύριος. καὶ ἐπεποίθεις ὑμῖν ἐπὶ τῷ κάλλει σου, καὶ ἐπόρνευσας ὑμῖν ἐπὶ τῷ ὀνόματί σου, ☩ ἐξέχεας τὴν πορνείαν σου ὑμῖν παντὶ παρόδῳ οὗ ἂν ἦσαι, καὶ ἐλάβες ἐκ τῶν ἱματίων σου, καὶ ἐποίησας σεαυτῇ εἰδώλα ῥακπά, ☩ ἐξεπόρνευσας ἐπ' αὐτά, καὶ ὅμοια οὐκ ἐλεύσεται καὶ οὐ μὴ γένηται. καὶ ἔλαβες τὰ σκεύη τῆς κοσμήσεώς σου, καὶ ἐκ τοῦ χρυσίου μου καὶ ἐκ τοῦ ἀργυρίου μου, ἐξ ὧν ἔδωκά σοι, καὶ ἐποίησας σεαυτῇ εἰκόνας ἀρσενικάς, καὶ ἐξεπόρνευσας ἐν αὐταῖς, καὶ ἔλαβες τὰ ἱμάτια τὰ ποικίλα σου, καὶ περιέβαλες αὐτά, καὶ τὸ ἔλαιόν μου, καὶ τὸ θυμίαμά μου ἔθηκας πρὸ προσώπου αὐτῶν, καὶ τοὺς ἄρτους μου οὓς ἔδωκά σοι, σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἐψώμισά σε, καὶ ἔθηκας πρὸ προσώπου αὐτῶν εἰς ὀσμὴν εὐωδίας. ἐγένετο μετατοῦτα, λέγει κύριος. ☩ ἔλαβες τοὺς υἱούς σου, καὶ τὰς θυγατέρας σου ἃς ἐγέννησας, ☩ ἔθυσας αὐτὰ αὐτοῖς, ὡς μικρὰ ἐξεπόρνευσας, καὶ ἐσφαξας τὰ τέκνα σου, καὶ ἔδωκας αὐτὰ ἐν τῷ ἀποτροπιάζεσθαι ἐν αὐτοῖς. τοῦτο πρὸ πάσαις τοῖς πορνείαις σου, καὶ τὰ βδελύγματά σου, ☩ οὐκ ἐμνήσθης τὰς ἡμέρας τῆς νεότητός σου, ὅτε ἦσθα γυμνὴ καὶ ἀκατάστατος, πεφυρμένη ἐν τῷ αἵματί σου ἔζησας. καὶ ἐγένετο μετὰ πάσας τὰς κακίας σου, οὐαὶ οὐαί σοι λέγει κύριος. καὶ ᾠκοδόμησας σεαυτῇ οἴκημα πορνικόν, καὶ ἐποίησας σεαυτῇ ἔνθεμα ἐν πάσῃ πλατείᾳ, καὶ ἐν ἀρχῇ πάσης ὁδοῦ ᾠκοδόμησας τὰ πορνεῖά σου, καὶ ἐλυμαίνω τὸ κάλλος σου. καὶ διήνοιξας τοὺς σκέλη σου παντὶ παρόδῳ, καὶ ἐπλύθυνας τὴν πορνείαν σου, καὶ ἐξεπόρνευσας υἱοῖς αἰγύπτου τοῖς ὁμορροῦσί σοι σαρκὸς μεγαλοσάρκοις, ☩ πολλαχῶς ἐξεπόρνευσας τοῦ παροργίσαι με. ἰδοὺ δὲ ἐκτείνω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ ἐξαρῶ τὰ νόμιμά σου, καὶ παραδώσω σε εἰς ψυχὰς μισούντων σε, θυγατέρας ἀλλοφύλων τὰς ἐκκλινούσας σε ἐκ τῆς ὁδοῦ σου, ἧς ἤσθησας, ☩ ἐξεπόρνευσας ἐπὶ τοὺς θυγατέρας αἰγύπτου, καὶ οὐδ' οὕτως ἐνεπλήσθης, καὶ ἐξεπόρνευσας ☩ οὐκ ἐνεπιμπλῶ, καὶ ἐπλήθυνας τὴν διαθήκην σου πρὸς γῆν χαναάν, ☩ χαλδαίων, καὶ οὐδὲ ἐν τούτοις ἐνεπλήσθης. τί διαθῶ τὰς θυγατέρας σου, λέγει κύριος; ἐν τῷ ποιῆσαι ταῦτα ὄργανα γυναικὸς πόρνης, καὶ ἐξεπόρνευσας τρισσῶς ἐν ταῖς θυγατράσι σου, καὶ τὸ πορνεῖόν σου ᾠκοδόμησας ἐπὶ παντὸς ἀρχῆς ὁδοῦ, ☩ τῷ βάσιν σου ἐποίησας ἐν πάσῃ πλατείᾳ. καὶ ἐγένου ὡς πόρνη σιωπήσασα μισθώματα, ἡ γυνὴ ἡ μοιχωμένη ὁμοία σου, πλὴν τὸν μισθὸν αὐτῆς λαμβάνουσα μισθώματα, καὶ πᾶσι τοῖς ἐκπορνεύσασιν προσελίσθη μισθώματα. ☩ σὺ δὲ ἔδωκας μισθώματα πᾶσι τοῖς ἐρασταῖς σου, καὶ ἐφόρτιζες αὐτοὺς τοῦ ἔρχεσθαι πρὸς σὲ κυκλόθεν ἐπὶ τῇ πορνείᾳ σου, καὶ ἐγένου ἐπὶ σοὶ διεστραμμένον πρὸς τὰς γυναῖκας ἐπὶ τῇ πορνείᾳ σου, καὶ μετὰ σὲ οὐ πεπορνεύσασιν, ἐπὶ τῷ προσελίσθαί σε μισθώματα, καὶ σοὶ μισθώματα οὐκ ἐδόθη, καὶ ἐγένου ἐπὶ σοὶ διεστραμμένον. διὰ τοῦτο πόρνη ἄκουε λόγον κυρίου. τάδε λέγει κύριος· ἀνθ' ὧν ἐξέχεας τὸν χαλκόν σου, καὶ ἀκαλυφθήσεται ἡ αἰσχυμοσύνη σου ἐπὶ τῇ πορνείᾳ σου, πρὸς τοὺς ἐραστάς σου εἰς πάντα τὰ ἐπιθυμήματα τῶν ἀνομιῶν σου, καὶ ἐπὶ τοῖς αἵμασι τῶν τέκνων σου, ὧν ἐδίδους αὐτοῖς. διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀθροίζω πάντας τοὺς ἐραστάς σου, ἐν οἷς ἐπεμίγης ἐπ' αὐτοῖς, καὶ πάντας οὓς ἠγάπησας σὺν πᾶσιν οἷς ἐμίσεις. καὶ συνάξω αὐτοὺς ἐπὶ σὲ κυκλόθεν, καὶ ἀποκαλύψω τὰς κακίας σου πρὸς αὐτούς, καὶ ὄψονται πᾶσαν τὴν αἰσχημοσύνην σου, καὶ ἐκδίκησίν σε ἐκδικήσω μοιχαλίδος, καὶ ἐκχέσεις αἷμα, καὶ θήσομαί σε ἐν θυμῷ αἵματι ἐν αἵματι ζήλου μου καὶ ζήλῳ, καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν, καὶ καταστρέψουσι τὸ πορνεῖόν σου, καὶ καθελοῦσι τὴν βάσιν σου, καὶ ἐκδύσουσί σε τὸν ἱματισμόν σου, καὶ λήψονται σκεύη τῆς κοσμήσεώς σου. καὶ ἀφήσουσί σε γυμνὴν, καὶ αἰσχημονοῦσαν, καὶ ἄξουσιν ἐπὶ σὲ ὄχλους, καὶ λιθοβολήσουσί σε ἐν λίθοις, καὶ κατασφάξουσί σε ἐν τοῖς ξίφεσιν αὐτῶν, καὶ ἐμπρήσουσι τοὺς οἴκους ἐν πυρὶ, καὶ ποιήσουσιν ἐν σοὶ ἐκδικήσεις ἐνώπιον γυναικῶν πολλῶν. καὶ ἀποστρέψω ἐκ τῆς πορνείας σου, καὶ μισθώματα οὐ μὴ δώσω οὐκέτι, καὶ ἐπαφήσω τὸν θυμόν μου ἐπὶ σὲ, καὶ ἀφαιρεθήσεται ὁ ζῆλός μου ἐκ σοῦ. καὶ ἀναπαύσομαι, καὶ οὐ μὴ μεριμνήσω οὐκέτι, ἀνθ' ὧν οὐκ ἐμνήσθης τὰς ἡμέρας τῆς νεότητός σου, καὶ ἐλύπεις με ἐν πᾶσι τούτοις. καὶ ἰδοὺ ἐγὼ τὰς ὁδούς σου εἰς κεφαλήν σου δέδωκα, λέγει κύριος, καὶ οὕτως ἐποίησας τὴν δύσβεσιαν ἐπὶ πάσας τὰς ἀνομίας σου. ταῦτα ὅτι πάντα ὅσα εἶπαν κατὰ σοῦ ἐν παραβολῇ, λέγοντες· κατὰ τὴν μήτηρ, καὶ ἡ θυγάτηρ θυγατέρος τῆς μητρός σου. καὶ σὺ εἶ ἡ ἀποβαλομένη τὸν ἄνδρα αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς, καὶ ἀδελφὰ τῶν ἀδελφῶν σου, καὶ ἀπωσάμενοι τοὺς ἄνδρας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν. ἡ μήτηρ ὑμῶν χετταία, καὶ ὁ πατὴρ ἀμορραῖος, ἡ ἀδελφὴ ὑμῶν ἡ πρεσβυτέρα σαμάρεια αὐτὴ, καὶ αἱ θυγατέρες αὐτῆς, ἡ κατοικοῦσα ἐξ ἀριστερῶν σου. καὶ ἡ ἀδελφή σου ἡ νεωτέρα σου, κατοικοῦσα ἐκ δεξιῶν σου σόδομα, καὶ αἱ θυγατέρες αὐτῆς, καὶ οὐδὲ ὡς ἡ

ταῖς

ταῖς ὁδοῖς αὐτῆς ἐπορεύθης, οὐδὲ κ) τὰς ἀνομίας αὐτῶν ἐποίησας, κ) μικρὸν τοῦτο ἦν ἐνώπιον σου, καὶ πάσας ταῖς ὁδοῖς σου. ζῶ ἐγὼ λέγει ἀδωναὶ κύριος· εἰ ποιήσει Σόδομα ἡ ἀδελφή σου αὐτὴ, καὶ αἱ θυγατέρες αὐτῆς, ὃν τρόπον ἐποίησας σὺ καὶ αἱ θυγατέρες σου. πλὴν τοῦτο ἀνόμημα Σοδόμων τῆς ἀδελφῆς σου, ὕβρις ἐν πλησμονῇ ἄρτων, καὶ ἐν ἀθυμίᾳ οἴνου ἐστὶ τῇ καὶ αἱ θυγατέρες αὐτῆς, ὃς ὑπῆρχεν αὐτῇ, καὶ ταῖς θυγατράσιν αὐτῆς, καὶ χεῖρα πτωχῷ καὶ πονήρῳ οὐκ ἀντελαμβάνοντο. καὶ ἐμεγαλαύχουν, καὶ ἐποίησαν ἀνόμημα ἐνώπιόν μου, καὶ ἐξῆρα αὐτὰς καθὼς εἶδον. καὶ σαμάρεια κ) τὰς ἡμίσεις τῶν ἁμαρτιῶν σου οὐχ ἥμαρτε, ἐπλήθυνας τὰς ἀνομίας σου ὑπὲρ αὐτὰς, καὶ ἐδικαίωσας τὰς ἀδελφάς σου ἐν πάσαις ταῖς ἀνομίαις σου αἷς ἐποίησας. καὶ σὺ λόμισαι βάσχνον, ἐν ᾗ ἐλίφθειρας τὰς ἀδελφάς σου ἐν ταῖς ἁμαρτίαις σου, κ) ἐν πολλαῖς ταῖς ἀνομίαις σου, αἷς ἠνόμησας ὑπὲρ αὐτὰς, καὶ ἐδικαίωσαι αὐτὰς ὑπὸ σεαυτῷ. καὶ σὺ αἰσχύνθηλι, καὶ λάβε τὴν ἀνομίαν σου ἐν τῷ δικαιῶσαί σε τὰς ἀδελφάς σου, καὶ ἀκρόφω τὰς ἀκροφὰς αὐτῶν, τὴν ἀκροφὶν Σοδόμων, καὶ τὴν θυγατέρων αὐτῆς. καὶ ἀκρόφω τὴν ἀκροφὶν Σαμαρείας κ) τῶν θυγατέρων αὐτῆς. καὶ ἀκρόφω τὴν ἀποκροφὶν σου ἐν μέσῳ αὐτῶν, ὅπως κομίσῃ τὴν βάσχνόν σου, καὶ ἀτιμωθήσῃ ἐκ παντὸς ὧν ἐποίησας, ἐν τῷ σε πικράναι με. καὶ ἡ ἀδελφή σου Σόδομα, καὶ αἱ θυγατέρες αὐτῆς ἀποκατασταθήσονται, καθὼς ἦσαν ἀπ' ἀρχῆς. καὶ σαμάρεια, καὶ αἱ θυγατέρες αὐτῆς ἀποκατασταθήσονται, καθὼς ἦσαν ἐξ ἀρχῆς. καὶ σὺ καὶ αἱ θυγατέρες σου ἀποκατασταθήσεσθε, καθὼς ἀπ' ἀρχῆς ἦτε. καὶ εἰ μὴ ἦν Σόδομα ἡ ἀδελφή σου εἰς ἀκοήν, ἐν τῷ στόματί σου, ἐν ταῖς ἡμέραις ὑπερηφανίας σου, πρὸ τοῦ ἀποκαλυφθῆναι τὰς κακίας σου. ὡς τρόπον νῦν ὀνειδισμὸν αἱ θυγατέρες συρίας, καὶ πάντων τῶν κύκλῳ αὐτῆς, θυγατέρων ἀλλοφύλων, τῶν περιχαρῶν σε κύκλῳ. ἐν ταῖς ἀσεβείαις σου, καὶ ἐν ταῖς ἀνομίαις σου, σὺ ἠκόμισαι αὐτὰς, λέγει κύριος. τάδε λέγει ἀδωναὶ κύριος· καὶ ποιήσω ἐν σοὶ καθὼς ἐποίησας, ὃς ἠτίμωσας τὸν ὅρκον, τοῦτο τοῦ πρᾶξαι τὴν διαθήκην μου, καὶ μνησθήσομαι ἐγὼ τῆς διαθήκης μου τῆς μετὰ σοῦ ἐν ἡμέραις νεότητός σου, καὶ ἀναστήσω ἐμαυτῷ διαθήκην αἰώνιον. καὶ μνησθήσῃ τὴν ὁδόν σου, καὶ αἰσχυνθήσῃ ἐν τῷ ἀναλαβεῖν σε τὰς ἀδελφάς σου τὰς νεωτέρας σου, σὺν ταῖς πρεσβυτέραις σου, καὶ δώσω αὐτάς σοι εἰς θυγατέρας, καὶ οὐκ ἐκ διαθήκης σου. καὶ ἀναστήσω ἐγὼ τὴν διαθήκην μου μετὰ σοῦ, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος, ὅπως μνησθῇς καὶ αἰσχυνθῇς, καὶ μὴ ἀνοίξαι σοι τὸ στόμα σου ἔτι πρόσωπα ἐν ἀτιμίᾳ σου, ἐν τῷ ἱλάσκεσθαί με σοὶ κ) πάντα ὅσα ἐποίησας, λέγει ἀδωναὶ κύριος.

ΚΕΦΑΛ. ιζ'. 17.

ΚΑΙ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, αἴνιγμα αἴνιγμα, καὶ εἶπον παραβολὴν πρὸς τὸν οἶκον τοῦ ἰσραήλ, καὶ ὄψει· τάδε λέγει ἀδωναὶ κύριος· ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς τῇ ἐκτάσει, πλήρης ὀνύχων, ὃς ἔχει τὸ πτερὸν εἰσελθεῖν εἰς τὸν λίβανον, καὶ ἔλαβε τὰ ἐπίλεκτα τοῦ κέδρου, τὰ ἄκρα τῆς ἀποτόμης ἀπέκνισε, καὶ ἤνεγκεν αὐτὸ εἰς γῆν χαναάν, εἰς πόλιν τετειχισμένην ἔθετο αὐτό. καὶ ἔλαβεν ἀπὸ τοῦ σπέρματος τῆς γῆς, καὶ ἔδωκεν αὐτὸ εἰς τὸ σπεῖον φυτὸν ἐφ' ὕδατι πολλῷ, καὶ αἱ ῥίζαι αὐτοῦ ἦσαν αὐτοῦ ὧσιν, ὥστε βλεπόμενον ἔταξεν αὐτό. καὶ ἀνέτειλε καὶ ἐγένετο εἰς ἄμπελον ἀδόγυδσαν, καὶ μικρὰν τῷ μεγέθει, τοῦ ὦν φαίνεσθαι τὰ κλήματα αὐτῆς ἐπ' αὐτῷ, καὶ αἱ ῥίζαι αὐτῆς ὑπὸ αὐτῷ ἦσαν. καὶ ἐγένετο εἰς ἄμπελον μεγάλην, καὶ ἐποίησεν ἀκρυγάς, καὶ ἐξέτεινε τὰ ἀναστήματα αὐτῆς, καὶ ἐγένετο ἀετὸς ἕτερος μέγας, μεγαλοπτέρυγος, πολὺς ὄνυξι. καὶ ἰδοὺ ἄμπελος αὕτη πότιστε πλεγμένη πρὸς αὐτὸν, καὶ αἱ ῥίζαι αὐτῆς πρὸς αὐτὸν, καὶ τὰ κλήματα αὐτῆς ὑπὸ κλάδου αὐτῆς ἐξαπέστειλεν αὐτῷ, τοῦ ποτίσαι αὐτὴν σὺν τοῖς βόλοις τῆς φυτείας αὐτῆς. εἰς πεδίον καλὸν ἐφ' ὕδατι πολλῷ αὐτὴ πεφύτευται, τοῦ ποιῆσαι βλαστὸς, καὶ φόρειν καρπόν, τοῦ εἶναι εἰς ἄμπελον μεγάλην. διατοῦτο εἶπον, τάδε λέγει ἀδωναὶ κύριος· εἰ κατευθυνθήσῃ; οὐχὶ αἱ ῥίζαι αὐτῆς ἐξαποτιοῦσιν αὐτῆς, καὶ ὁ καρπὸς αὐτῆς ἀποπεσεῖται; καὶ ξηρανθήσεται πάντα τὰ πρόσωπα τὰ ἀνατέλλοντα αὐτῆς; κ) οὐκ ἐν βραχίονι μεγάλῳ, οὐδὲ ἐν λαῷ πολλῷ τοῦ ἐκκαθᾶραι αὐτὴν ἐκ ῥιζῶν αὐτῆς. κ) ἰδοὺ φυτεύεται, μὴ κατευθυνθήσεται; οὐχὶ ἅμα τῷ ἅψασθαι αὐτῆς ἄνεμον τὸ ἰσχυρὸν ξηρανθήσεται ξηρασίᾳ; σὺν τοῖς βόλοις αὐτῆς ξηρανθήσεται. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, εἶπον δὴ πρὸς τὸν οἶκον ἰσραὴλ τὸν παραπικραίνοντα με· οὐκ ἐπίστασθε, τί ὅδε ταῦτα ἃ εἶπον; ὅταν ἔλθῃ βασιλεὺς βαβυλῶνος εἰς ἰερουσαλὴμ, καὶ λήψεται αὐτὴν καὶ τὸν βασιλέα αὐτῆς, καὶ ἤξαξεν αὐτοὺς πρὸς αὐτὸν εἰς βαβυλῶνα, καὶ λήψεται ἐκ τοῦ σπέρματος τῆς βασιλείας, κ) διαθήσεται πρὸς αὐτὸν διαθήκην, καὶ εἰσάξει αὐτὸν ἐν ἀρᾷ, κ) τοὺς ἡγεμόνας τῆς γῆς λήψεται, τοῦ γενέσθαι εἰς βασιλείαν ἀδυνῆ, τοῦ μὴ ἐπαίρεσθαι τοῦ φυλάσσειν τὴν διαθήκην αὐτοῦ, καὶ ἰσχύειν αὐτὴν, κ) ἀποστήσεται ἀπ' αὐτοῦ, τοῦ ἐξαποστεῖλαι ἀγγέλους εἰς αἴγυπτον, τοῦ δοῦναι αὐτῷ ἵππους καὶ λαὸν πολύν. εἰ κατευθυνθήσεται, εἰ διασωθήσεται ὁ ποιῶν τὰ τοιαῦτα, καὶ πρᾶξαι τὴν διαθήκην καὶ σωθήσεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζῶ ἐγὼ, λέγει Κύριος· ἐὰν μὴ γὼ ὀφθῶ τόπῳ οὗ ὁ Βασιλεὺς τῶν Βαβυλωνίων αὐτὸν, ὃς ἠτίμωσε τὸν ὅρκόν μου, καὶ ὃς ἠθέτησε τὴν διαθήκην μου, μετ' αὐτοῦ γὼ μέσῳ Βαβυλῶνος τελευτήσει, καὶ ἐν γὼ δυνάμει μεγάλῃ, οὐδὲ γὼ ὄχλῳ. ποιήσει πρὸς αὐτὸν φαραὼ πόλεμον γὼ χαρακωμοῖς, καὶ γὼ οἰκοδομῇ βελοστάσεων, τοῦ ἐξᾶραι ψυχάς. καὶ ἠτίμωσον ὅρκωμοσίαν τοῦ παραβῆναι διαθήκην. καὶ ἰδοὺ ἔδωκε τὴν χεῖρα αὐτοῦ, καὶ πάντα ταῦτα ἐποίησεν αὐτῷ. μὴ σωθήσεται. διατοῦτο εἶπον τάδε λέγει Κύριος, ζῶ ἐγὼ· ἐὰν μὴ τὸν διαθήκην μου ἣν ἠθέτησε, καὶ τὸν ὅρκωμοσίαν μου ἣν ἠτίμωσε, καὶ δώσω αὐτὰ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐκπετάσω ἐπ' αὐτὸν τὸ δίκτυόν μου, καὶ ἁλώσεται ἐν τῇ θήρᾳ αὐτοῦ. καὶ ἄξω αὐτὸν εἰς Βαβυλῶνα, καὶ διακριθήσομαι ἐκεῖ μετ' αὐτοῦ τῆς ἀδικίας αὐτοῦ, ἣν ἠδίκησεν ἐπ' ἐμοί, καὶ πάσας φυγαδείας αὐτοῦ ἐν πάσῃ τῇ δυνάμει αὐτοῦ ἐν ῥομφαίᾳ πεσοῦνται, καὶ οἱ καταλοίπους αὐτοῦ εἰς πάντα ἄνεμον διασπερῶ, καὶ γνώσεσθε διότι ἐγὼ Κύριος λελάληκα. διατοῦτο τάδε λέγει ἄδωναϊ Κύριος· καὶ λήψομαι ἐγὼ ἐκ τῶν ὑψηλοτέρων τῆς κέδρου ἐκ κορυφῆς, καὶ δώσω ὧδε κεφαλῆς ἁπαλῆς, καὶ φυτεύσω αὐτὸν, διαδόσεις αὐτῆς ἐρκνιῶ, καὶ καταφυτεύσω ἐγὼ ἐπ' ὄρους ὑψηλοῦ, καὶ ἐρεμάσω αὐτὸν ἐν ὄρει μετεώρῳ τοῦ Ἰσραήλ, καὶ καταφυτεύσω, καὶ βλαστήσει βλαστόν, καὶ ποιήσει καρπὸν, καὶ ἔσαι εἰς κέδρον μεγάλην. καὶ ἀναπαύσεται ὑποκάτω αὐτῆς πᾶν θηρίον, καὶ πᾶν πετεινὸν ὑπὸ τὴν σκιὰν αὐτοῦ ἀναπαύσεται. καὶ τὰ κλήματα αὐτοῦ ἐκ καταισθήσεται, καὶ γνώσεται πάντα τὰ ξύλα τῆς πεδίου, διότι ἐγὼ Κύριος ὁ ταπεινῶν ξύλον ὑψηλὸν, καὶ ὑψῶν ξύλον ταπεινὸν, καὶ ξηραίνων ξύλον χλωρὸν, καὶ ἀναθάλλων ξύλον ξηρόν. ἐγὼ Κύριος λελάληκα καὶ ποιήσω.

ΚΕΦΑΛ. ιή. 18.

ΚΑΙ ἐγένετο λόγος Κυρίου πρός με, λέγων· υἱὲ ἀνθρώπου, τί ὑμῖν ἡ παραβολὴ αὕτη ἐν τοῖς υἱοῖς Ἰσραὴλ λέγοντες· οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ ὀδόντες τῶν τέκνων ἐγομφίασαν; ζῶ ἐγὼ, λέγει Κύριος, ἐὰν γένηται ἔτι λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ Ἰσραὴλ, ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν, ὡς πρόπον ἡ ψυχὴ τοῦ πατρὸς, οὕτως καὶ ἡ ψυχὴ τοῦ υἱοῦ ἐμαί εἰσιν. ἡ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται· ὁ δὲ ἄνθρωπος ὃς ἂν δίκαιος, ὁ ποιῶν κρίμα καὶ δικαιοσύνην, ἐπὶ τῶν ὀρέων οὐ φαγεται, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐ μὴ ἐπάρῃ πρὸς τὰ εἴδωλα οἴκου Ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐ μὴ μιάνῃ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὐ μὴ προσεγγίσῃ, καὶ ἄνθρωπον οὐ μὴ καταδυναστεύσῃ, ἐνέχυρα μὴν ὀφείλοντος ἀποδώσει, καὶ ἅρπαγμα οὐχ ἁρπάσεται. τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι δώσει, καὶ γυμνὸν περιβαλεῖ ἱμάτιον, καὶ τὸ ἀργύριον αὐτοῦ ὧδε τόκῳ οὐ δώσει, καὶ πλεονασμοῦ οὐ λήψεται. ἀπὸ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ, κρίμα δίκαιον ποιήσει ἀνὰ μέσον ἀνδρὸς, καὶ ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ, καὶ τοῖς προστάγμασί μου πορεύσεται, καὶ τὰ δικαιώματά μου φυλάξεται, τοῦ ποιῆσαι αὐτά. δίκαιος οὗτός ἐστι, ζωῇ ζήσεται, λέγει Κύριος. καὶ ἐὰν γεννήσῃ υἱὸν λῃστὴν, ἐκχέοντα αἷμα, καὶ ποιοῦντα ἁμαρτήματα, τῶν ὅλων τῶν πατρὸς αὐτοῦ τῶν δικαίων οὐκ ἐπορεύθη, ἀλλὰ καὶ ὧδε τῶν ὀρέων ἔφαγε, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐμίανε, καὶ πτωχὸν, καὶ πτωχὴν καταδυναστεύσει, καὶ ἅρπαγμα ἥρπαξε, καὶ ἐνέχυρα οὐκ ἀπέδωκε, καὶ εἰς τὰ εἴδωλα ἐθέρ τοὺς ὀφθαλμοὺς αὐτοῦ. ἀνομίαν ἐποίησε, μετὰ τόκου ἔδωκε, καὶ πλεονασμὸν ἔλαβεν, οὗτος ζωῇ οὐ ζήσεται, πάσας τὰς ἀνομίας ταύτας ἐποίησε, θανάτῳ θανατωθήσεται. τὸ αἷμα αὐτοῦ ἐπ' αὐτῷ ἔσαι. ἐὰν δὲ γεννήσῃ υἱὸν, καὶ ἴδῃ πάσας τὰς ἁμαρτίας τοῦ πατρὸς αὐτοῦ ἃς ἐποίησε, καὶ φοβηθῇ, καὶ μὴ ποιήσῃ κατ' αὐτάς, ὧδε τῶν ὀρέων οὐ βέβρωκε, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθεσεν εἰς τὰ ἐπιθυμήματα οἴκου Ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐκ ἐμίανε, καὶ ἄνθρωπον οὐ κατεδυνάστευσε, καὶ ἐνέχυρα οὐκ ἐνέχυρασε, καὶ ἅρπαγμα οὐχ ἥρπαξε. τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι ἔδωκε, καὶ γυμνὸν περιέβαλεν ἱμάτιον, καὶ ἀπὸ ἀδικίας ἀπέστρεψε τὴν χεῖρα αὐτοῦ, τόκον καὶ πλεονασμὸν οὐκ ἔλαβε, δικαιοσύνην ἐποίησε, καὶ ἐν τοῖς προστάγμασί μου ἐπορεύθη, οὗτος οὐ τελευτήσει ἐν ἀδικίᾳ πατρὸς αὐτοῦ, ζωῇ ζήσεται. ὁ δὲ πατὴρ αὐτοῦ ἐὰν θλίψει θλίψῃ, καὶ ἅρπασῃ ἅρπαγμα, φαυλίαν ἐποίησεν ἐν μέσῳ τοῦ λαοῦ μου, καὶ ἀποθανεῖται ἐν ταῖς ἀδικίαις αὐτοῦ, καὶ ὄψεσθε· τί ὅτι οὐκ ἔλαβεν ὁ υἱὸς ἀδικίαν πατρὸς αὐτοῦ; ὅτι ὁ υἱὸς δικαιοσύνην καὶ ἔλεος ἐποίησε. πάντα τὰ νόμιμά μου συνετήρησε, καὶ ἐποίησεν αὐτά. ζωῇ ζήσεται· ἡ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται. ὁ δὲ υἱὸς οὐ λήψεται τὴν ἀδικίαν τοῦ πατρὸς αὐτοῦ, ὁ δὲ πατὴρ λήψεται τὴν ἀδικίαν τοῦ υἱοῦ αὐτοῦ. δικαιοσύνη δικαίου ἐπ' αὐτῷ ἔσαι, καὶ ἀνομία ἀνόμου ἐπ' αὐτῷ ἔσαι. καὶ ὁ ἄνομος ἐὰν ἀποστρέψῃ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησε, καὶ φυλάξῃ πάσας τὰς ἐντολάς μου, καὶ ποιήσῃ δικαιοσύνην, καὶ ἔλεος, ζωῇ ζήσεται, καὶ οὐ μὴ ἀποθάνῃ, πᾶσαι αἱ ἀδικίαι αὐτοῦ ἃς ἐποίησεν, οὐ μὴ μνησθήσονται, ἀλλ' ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ᾗ ἐποίησε, ζήσεται. μὴ θελήσει θελήσω ἐγὼ θάνατον τοῦ ἀνόμου, λέγει Κύριος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῶ αὐτόν. ἐν δὲ τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιῇ ἀδικίαν κατὰ πάσας τὰς ἀδικίας,

ἃς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν· ἐν τῇ παραπτώματι αὐτοῦ, ᾧ παρέπεσε, καὶ ἐν τοῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται. καὶ ἐρεῖτε· οὐ διατορθοῖ ἡ ὁδὸς κυρίου· ἀκούσατε δὴ οἶκος Ἰσραήλ· μὴ ἡ ὁδός μου οὐ διατορθοῖ; οὐχὶ ἡ ὁδὸς ὑμῶν διατορθοῖ; ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιῆσαι παράπτωμα, καὶ ἀποθανεῖται ἐν τῷ παραπτώματι ᾧ ἐποίησεν, ἐν αὐτῷ ἀποθανεῖται. καὶ ἐν τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησε, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξε. καὶ εἶδε καὶ ἀπέστρεψεν ἐκ πασῶν τῶν ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησε, καὶ ζωῇ ζήσεται, καὶ οὐ μὴ ἀποθάνῃ. καὶ λέγουσιν ὁ οἶκος Ἰσραήλ, οὐ διατορθοῖ ἡ ὁδὸς κυρίου. μὴ ἡ ὁδός μου οὐ διατορθοῖ οἶκος Ἰσραήλ; οὐχὶ ἡ ὁδὸς ὑμῶν οὐ διατορθοῖ; ἕκαστον κατὰ τὴν ὁδὸν αὐτοῦ κρινῶ ὑμᾶς οἶκος Ἰσραήλ, λέγει κύριος. ἐπιστρέψατε, καὶ ἀποστράφητε ἀπὸ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ οὐκ ἔσονται ὑμῖν εἰς σκάνδαλα ἀδικίας. ἀπορρίψατε ἀφ' ἑαυτῶν πάσας τὰς ἀσεβείας ὑμῶν, ἃς ἐποιήσατε εἰς ἐμέ, καὶ ποιήσατε ἑαυτοῖς καρδίαν καινήν, καὶ πνεῦμα καινόν, καὶ ποιήσατε πάσας τὰς ἐντολάς μου, καὶ ἵνατί ἀποθνήσκετε οἶκος Ἰσραήλ; λέγει κύριος. διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, λέγει κύριος, καὶ ὑποστρέψατε, καὶ ζήσεσθε.

ΚΕΦΑΛ. ιθ'. 19.

ΚΑΙ σὺ υἱὲ ἀνθρώπου λάβε θρῆνον ἐπὶ τοὺς ἄρχοντας τοῦ Ἰσραήλ, καὶ ἐρεῖς· τί ἡ μήτηρ σου σκύμνος, ἐν μέσῳ λεόντων ἐκοιμήθη, ἐν μέσῳ λεόντων ἐπλήθυνε σκύμνους αὐτῆς; καὶ ἀπεπαίδευσεν ἕνα τῶν σκύμνων αὐτῆς, λέων ἐγένετο, καὶ ἔμαθεν ἁρπάζειν ἁρπάγματα, ἀνθρώπους ἔφαγε. καὶ ἤκουσαν κατ' αὐτοῦ ἔθνη, ἐν τῇ διαφθορᾷ αὐτῶν συνελήφθη, καὶ ἤγαγον αὐτὸν ἐν μύκῃ εἰς γῆν αἰγύπτου, καὶ εἶδεν ὅτι ἀπῶλετο ἀπ' αὐτῆς, καὶ ἀπώλετο ἡ ἐλπὶς αὐτῆς. καὶ ἔλαβεν ἄλλον ἐκ τῶν σκύμνων αὐτῆς, λέοντα ἔταξεν αὐτόν, καὶ ἀνεστράφη ἐν μέσῳ λεόντων. λέων ἐγένετο, καὶ ἔμαθεν ἁρπάζειν ἁρπάγματα. ἀνθρώπους ἔφαγε, καὶ ἐν μέσῳ τῶν θρασέων αὐτοῦ, καὶ τὰς πόλεις αὐτῶν ἐξηρήμωσε, καὶ ἠφάνισε γῆν, καὶ τὸ πλήρωμα αὐτῆς ἀπὸ φωνῆς ὠρυόμενος αὐτοῦ, καὶ ἔδωκαν ἐπ' αὐτὸν ἔθνη ἐκ χωρῶν κυκλόθεν, καὶ ἐξεπέτασαν ἐπ' αὐτὸν, δίκτυον αὐτῶν ἐν διαφθορᾷ αὐτῶν συνελήφθη, καὶ ἔθηκεν αὐτὸν ἐν μύκῃ, καὶ ἤγαγον αὐτὸν πρὸς βασιλέα Βαβυλῶνος, καὶ εἰσήγαγον αὐτὸν εἰς φυλακὴν ὅπως μὴ ἀκουσθῇ ἡ φωνὴ αὐτοῦ ἐπὶ τὰ ὄρη τοῦ Ἰσραήλ· ἡ μήτηρ σου, ὡς ἄμπελος, ὡς ἐν αἵματί σου ἐπὶ ὕδατα πεφυτευμένη, ὁ καρπὸς αὐτῆς καὶ ὁ βλαστὸς αὐτῆς ἐγένετο ἐξ ὕδατος πολλοῦ. καὶ ἐγένετο αὐτῇ ῥάβδος ἰσχύος εἰς φυλὴν ἡγεμόνων, καὶ ὑψώθη τὸ μέγεθος αὐτῆς ἐν μέσῳ σκελέων. καὶ εἶδε τὸ μέγεθος αὐτῆς ἐν πλήθει κλημάτων αὐτῆς, καὶ κατεκλάσθη ἐν θυμῷ. εἰς γῆν ἐρρίφη, καὶ ἄνεμος ὁ καύσων ἐξήρανε τὰ κλήματα αὐτῆς. ἐξεκλίνθη, καὶ ἐξηράνθη ῥάβδος ἰσχύος αὐτῆς. πῦρ ἀνέλωσεν αὐτὴν, καὶ νῦν πεφυτεύκασιν αὐτὴν ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀνύδρῳ. καὶ ἐξῆλθε πῦρ ἐκ ῥάβδου ἐκλεκτῶν αὐτῆς, καὶ κατέφαγεν αὐτὴν, καὶ οὐκ ἔστιν ἐν αὐτῇ ῥάβδος ἰσχύος. φυλὴ εἰς παραβολὴν θρήνου ἔστι, καὶ ἔσται εἰς θρῆνον. Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἑβδόμῳ ἐν τῷ πέμπτῳ μηνὶ, δεκάτῃ τοῦ μηνὸς, ἦλθον ἄνδρες ἐκ τῶν πρεσβυτέρων τοῦ οἴκου Ἰσραήλ, ἐπερωτῆσαι τὸν κύριον. καὶ ἐκάθισαν πρὸ προσώπου μου.

ΚΕΦΑΛ. κ'. 20.

ΚΑΙ ἐγένετο λόγος κυρίου πρός με, λέγων· υἱὲ ἀνθρώπου, λάλησον πρὸς τοὺς πρεσβυτέρους τοῦ οἴκου Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς. τάδε λέγει κύριος· εἰ ἐπερωτῆσαί με ὑμεῖς ἔρχεσθε; ζῶ ἐγὼ, εἰ ἐκριθήσομαι ὑμῖν, λέγει κύριος· εἰ ἐκλικήσω αὐτοὺς ἐκλικήσει υἱὲ ἀνθρώπου, τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν, διαμάρτυραι αὐτοῖς, καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει κύριος· ἀφ' ἧς ἡμέρας ἐξέπεσε τὸν οἶκον Ἰσραήλ, καὶ ἐγνωρίσθη τοῦ ἀπορφανίσαι τὸν οἶκον Ἰακώβ, καὶ ἐγνωρίσθη αὐτοῖς ἐν γῇ αἰγύπτου, καὶ ἀντελαβόμην τῆς χειρός μου αὐτοῖς λέγων, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀντελαβόμην τῆς χειρός αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου, πρὸς γῆν ἣν κατεσκόπασα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι, κηρίον ἐστὶ πρὸς πᾶσαν τὴν γῆν. καὶ εἶπα πρὸς αὐτοὺς· ἕκαστος τὰ βδελύγματα τῶν ὀφθαλμῶν αὐτοῦ ἀποῤῥιψάτω, καὶ ἐν τοῖς εἰδώλοις αἰγύπτου μὴ μιανθῆτε, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. καὶ ἀπεστράφησαν ἀπ' ἐμοῦ, καὶ οὐκ ἠθέλησαν εἰσακοῦσαί μου, ἕκαστος τὰ βδελύγματα τῶν ὀφθαλμῶν αὐτοῦ οὐκ ἀπέῤῥιψαν, καὶ τὰ εἴδωλα αἰγύπτου οὐ κατέλιπον. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς, καὶ τοῦ συντελέσαι τὸν ὀργήν μου ἐν αὐτοῖς, ἐν μέσῳ τῆς αἰγύπτου. καὶ ποιήσω ὅπως τὸ ὄνομά μου τὸ ἅγιον, μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν αὐτοὶ εἰσὶν ἐν μέσῳ αὐτῶν, ἐν οἷς ἐγνώσθη πρὸς αὐτοὺς ἐνώπιον αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου. καὶ ἐξήγαγον αὐτοὺς ἐκ γῆς αἰγύπτου, καὶ ἤγαγον αὐτοὺς εἰς τὸν δρυμόν, καὶ ἔδωκα αὐτοῖς τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου ἐγνώρισα αὐτοῖς, ἅτινα ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται ἐν αὐτοῖς. καὶ τὰ σάββατά μου ἔδωκα αὐτοῖς, τοῦ εἶναι εἰς σημεῖον ἀνὰ μέσον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μέσον ἐμοῦ, καὶ αὐτὰ μέσον αὐτῶν, τοῦ γνῶναι αὐτοὺς, διότι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτοὺς καὶ εἶπε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ γῇ τῇ ὀρείμῳ· γῇ τοῖς προστάγμασί μου πορεύεσθε, καὶ τὰ δικαιώματά μου φυλάσσεσθε, τοῦ ποιεῖν αὐτά, ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται γῇ αὐτοῖς. καὶ παρεπίκρανάν με ὁ οἶκος Ἰσραὴλ γῇ τῇ ὀρείμῳ, γῇ τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου ἀπώσαντο, ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται γῇ αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλωσαν σφόδρα. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς γῇ τῇ ὀρείμῳ, τοῦ ἐξαναλῶσαι αὐτούς. καὶ ἐποίησα, ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν. καὶ ἐγὼ ἐξῆρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς γῇ τῇ ὀρείμῳ τὸ παράπαν, τοῦ μὴ εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι, κηρίον δὴ πᾶσαν τὴν γῆν. ἀνθ' ὧν τὰ δικαιώματά μου ἀπώσαντο, καὶ γῇ τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν γῇ αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλωσαν, καὶ ὀπίσω τῶν γλυπτῶν τῶν πατέρων αὐτῶν ἐπορεύοντο, καὶ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπ' αὐτοὺς, τοῦ ἐξαλεῖψαι αὐτούς, καὶ οὐκ ἐποίησα αὐτοῖς εἰς συντέλειαν γῇ τῇ ὀρείμῳ. καὶ εἶπα πρὸς τὰ τέκνα αὐτῶν γῇ τῇ ὀρείμῳ· γῇ τοῖς νομίμοις τῶν πατέρων ὑμῶν μὴ πορεύεσθε, καὶ τὰ δικαιώματα αὐτῶν μὴ φυλάσσεσθε, καὶ γῇ τοῖς εἰδώλοις αὐτῶν μὴ συναναμίγνυσθε, καὶ μὴ μιαίνεσθε, ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν. καὶ γῇ τοῖς προστάγμασί μου πορεύεσθε, καὶ τὰ δικαιώματά μου φυλάσσετε, καὶ ποιεῖτε αὐτά. καὶ τὰ σάββατά μου ἁγιάζετε, καὶ ἔσω εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, τοῦ γνώσεσθαι διότι ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν. καὶ παρεπίκραναν με, καὶ τὰ τέκνα αὐτῶν γῇ τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου οὐκ ἐφυλάξαντο τοῦ ποιεῖν αὐτά, ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται γῇ αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλωσαν σφόδρα. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς, γῇ τῇ ὀρείμῳ τοῦ συντελέσαι τὸν ὀργιλόν μου ἐπ' αὐτούς. καὶ ἐποίησα, ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν. καὶ ἐγὼ ἐξῆρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς γῇ τῇ ὀρείμῳ, τοῦ διασκορπίσαι αὐτοὺς γῇ τοῖς ἔθνεσι, καὶ διασπεῖραι αὐτοὺς γῇ ταῖς χώραις, ἀνθ' ὧν τὰ δικαιώματά μου οὐκ ἐποίησαν, καὶ τὰ προστάγματά μου ἀπώσαντο, καὶ γῇ τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν γῇ αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλωσαν, καὶ ὀπίσω τῶν γλυπτῶν τῶν πατέρων αὐτῶν ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν. καὶ ἔδωκα αὐτοῖς προστάγματα οὐ καλά, καὶ δικαιώματα γῇ οἷς οὐ ζήσονται γῇ αὐτοῖς. καὶ μιανῶ αὐτοὺς γῇ τοῖς δόγμασιν αὐτῶν, γῇ ᾧ διαπορεύεσθαί με, ἕως διανοίγω μήτραν, ὅπως ἀφανίσω αὐτούς, ἵνα γνῶσιν ὅτι ἐγὼ Κύριος. διὰ τοῦτο λάλησον πρὸς τὸν οἶκον Ἰσραὴλ υἱὲ ἀνθρώπου, καὶ ῥεῖς πρὸς αὐτούς· τάδε λέγει ἀδωναὶ Κύριος· ἕως τούτου παρώργισάν με οἱ πατέρες ὑμῶν γῇ τοῖς παραπτώμασιν αὐτῶν, γῇ οἷς παρεπέσαν εἰς ἐμέ, καὶ εἰσήγαγον αὐτοὺς εἰς τὴν γῆν, εἰς ἣν ἦρα τὴν χεῖρά μου, τοῦ δοῦναι αὐτὴν αὐτοῖς. καὶ εἶδον πᾶν ὄρος ὑψηλὸν, καὶ πᾶν ξύλον κατάσκιον, καὶ ἔθυσαν ἐκεῖ τοῖς θεοῖς αὐτῶν, καὶ ἔταξαν ἐκεῖ ὀσμὴν δώσεως αὐτῶν, καὶ ἐποίησαν ἐκεῖ τὰς παροργὰς αὐτῶν, καὶ εἶπα πρὸς αὐτούς· τί ὄξυμα ἡ ἄβασις, ὅτι ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ; καὶ ἐπεκαλέσαντο τὸ ὄνομα αὐτοῦ ἄβασις, ἕως ἡ σήμερον ἡμέρας. διὰ τοῦτο εἶπον πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ· τάδε λέγει ἀδωναὶ Κύριος ὁ θεός· εἰ γῇ ταῖς ἀνομίαις τῶν πατέρων ὑμῶν ὑμεῖς μιαίνεσθε, καὶ ὀπίσω τῶν βδελυγμάτων αὐτῶν ὑμεῖς ἐκπορεύεσθε, καὶ γῇ ταῖς ἀπαρχαῖς τῶν δομάτων ὑμῶν, γῇ τοῖς ἀφορισμοῖς ἐμῶν ὑμῶν, γῇ πυρί, ὑμεῖς μιαίνεσθε γῇ πᾶσι τοῖς γλυπτοῖς ὑμῶν, ἕως ἡ σήμερον ἡμέρας. καὶ ἐγὼ ἀποκριθῶ ὑμῖν οἴκῳ τοῦ Ἰσραὴλ· ζῶ ἐγὼ, λέγει ἀδωναὶ Κύριος, εἰ ἀποκριθήσομαι ὑμῖν, ἢ εἰ ἀναβήσεται τὸ πνεῦμα ὑμῶν ἐπ' αὐτό, καὶ οὐκ ἔσται ὃν τρόπον ὑμεῖς λέγετε· ἐσόμεθα ὡς τὰ ἔθνη, καὶ ὡς αἱ φυλαὶ ἡ γῆς, λατρεύειν ξύλοις καὶ λίθοις. καὶ διὰ τοῦτο ζῶ ἐγὼ, λέγει ἀδωναὶ Κύριος· εἰ μὴ γῇ χειρὶ κραταιᾷ, καὶ γῇ βραχίονι ὑψηλῷ, καὶ γῇ θυμῷ ἐκχυμένῳ βασιλεύσω ἐφ' ὑμᾶς· καὶ ἐξάξω ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰσλήξομαι ὑμᾶς ἐκ τῶν χωρῶν, οὗ διεσκορπίσθητε γῇ αὐταῖς, γῇ χειρὶ κραταιᾷ, καὶ γῇ βραχίονι ὑψηλῷ, γῇ θυμῷ ἐκχυμένῳ, καὶ ἄξω ὑμᾶς εἰς τὴν ὄρειμον τῶν λαῶν, καὶ διακριθήσομαι πρὸς ὑμᾶς ἐκεῖ, πρόσωπον πρὸς πρόσωπον, ὃν τρόπον διακρίθω πρὸς τοὺς πατέρας ὑμῶν γῇ τῇ ὀρείμῳ, ὅτε ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, οὕτως κρινῶ ὑμᾶς, λέγει Κύριος ὁ θεός. καὶ διελεύσομαι ὑμᾶς ὑπὸ τὴν ῥάβδον μου, καὶ εἰσάξω ὑμᾶς γῇ ἀριθμῷ, καὶ ἐκλέξω ἐξ ὑμῶν τοὺς ἀσεβεῖς, καὶ τοὺς ἀφεστηκότας, διότι ἐκ παροικεσίας αὐτῶν ἐξάξω αὐτούς, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται. καὶ γνώσεσθε, διότι ἐγὼ Κύριος ὁ θεός, καὶ ὑμεῖς οἶκος Ἰσραὴλ· τάδε λέγει Κύριος Κύριος ὁ θεός· ἕκαστος τὰ εἰδώλευμα αὐτοῦ ἐξάρατε, καὶ μετὰ ταῦτα εἰ μὴ ὑμεῖς εἰσακούετε, καὶ τὸ ὄνομά μου τὸ ἅγιον οὐ βεβηλώσετε οὐκέτι γῇ τοῖς δώροις ὑμῶν, καὶ γῇ τοῖς εἰδώλοις ὑμῶν, διότι ἐπὶ τοῦ ὄρους τοῦ ἁγίου μου ἐπ' ὄρους ὑψηλοῦ Ἰσραὴλ, λέγει Κύριος Κύριος ὁ θεός· ἐκεῖ δουλεύσουσί μοι πᾶς οἶκος Ἰσραὴλ εἰς τέλος, ἐκεῖ προσδέξομαι, καὶ ἐπισκέψομαι τὰς ἀπαρχὰς ὑμῶν, καὶ τὰς ἀπαρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χὰς τῶν ἀφορισμῶν ὑμῶν, ἐν πᾶσι τοῖς ἀγιάσμασιν ὑμῶν, ἐν ὁσμῇ δυωδίας προσδέξομαι ὑμᾶς, ἐν τῷ ἐξαγαγεῖν με ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰσδέξεσθαι ὑμᾶς ἐκ τῶν χωρῶν, ἐν αἷς διεσκορπίσθητε ἐν αὐταῖς, καὶ ἁγιασθήσομαι ἐν ὑμῖν κατ' ὀφθαλμοὺς τῶν λαῶν, καὶ ὄψεσθε ὅτι ἐγὼ κύριος, ἐν τῷ εἰσαγαγεῖν με ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραὴλ, ἃς τῷ γῷ εἰς ἣν ἦρα τὴν χεῖρά μου δοῦναι αὐτὴν τοῖς πατράσιν ὑμῶν, καὶ μνησθήσεσθε ἐκεῖ τὰς ὁδοὺς ὑμῶν, ἐν αἷς ἐμιάνθητε ἐν αὐταῖς. καὶ ἔψεσθε τὰ πρόσωπα ὑμῶν ἐν πάσαις ταῖς ἀδικίαις ὑμῶν, καὶ γνώσεσθε, ὅτι ἐγὼ κύριος, ἐν τῷ ποιῆσαί με οὕτως ὑμῖν, ὅπως τὸ ὄνομά μου μὴ βεβηλωθῇ, ἐπὶ τὰς ὁδοὺς ὑμῶν τὰς πονηρὰς, καὶ ἐπὶ τὰ ἀδικήματα ὑμῶν, τὰ διεφθαρμένα, λέγει κύριος. Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ὁδὸν θαιμάν, καὶ ἐπιβλεψον ὁδὸν διαγωγὴν, καὶ προφήτευσον ὁδὸν δρυμὸν ἠγέμονον νεγέβ, καὶ ὀρεῖς τοῦ δρυμοῦ νεγέβ· ἄκουε λόγον κυρίου, τάδε λέγει κύριος κύριος· ὁ θεός· ἰδοὺ ἐγὼ ἀνάπτω ἐν σοὶ πῦρ, καὶ κατοφάγεται ἐν σοὶ πᾶν ξύλον χλωρὸν, οὐ σβεσθήσεται ἡ φλὸξ ἐξαφθεῖσα, καὶ κατακαυθήσεται ἐν αὐτῇ πᾶν πρόσωπον ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ. καὶ ὄψεται πᾶσα σὰρξ, ὅτι ἐγὼ κύριος ἐξεκαυσα αὐτὸ, καὶ οὐ σβεσθήσεται. καὶ εἶπα· μηδαμῶς κύριε κύριε, αὐτοὶ λέγουσι πρός με, οὐχὶ παραβολὴν ὅδε λέγομεν αὗτη;

ΚΕΦΑΛ. κά. 21.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ὁδὸν ἱερουσαλήμ, καὶ ἐπίβλεψον ὁδὸν τὰ ἅγια αὐτῶν, καὶ προφήτευσον ἐπὶ τὴν γῆν τοῦ Ἰσραήλ. τάδε λέγει κύριος ὁ θεός. ἰδοὺ ἐγὼ πρὸς σέ, καὶ ἐκσπάσω τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, καὶ ἐξολεθρεύσω ἐκ σοῦ ἄνομον καὶ ἄδικον. οὕτως ἐξελεύσεται τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, ὥστε πᾶσαν σάρκα, ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ, καὶ γνώσεται πᾶσα σὰρξ, ὅτι ἐγὼ κύριος ἐξέσπασα τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, καὶ οὐκ ἀποστρέψει οὐκέτι. καὶ σὺ υἱὲ ἀνθρώπου κατάστεναξον ἐν συντριβῇ ὀσφύος σου, καὶ ἐν ὀδύναις στεναξεῖς κατ' ὀφθαλμοὺς αὐτῶν, καὶ ἔσται ἐὰν εἴπωσί πρός σε· ἕνεκα τίνος σὺ στενάξεις; καὶ ἐρεῖς ὅτι πρὸς ἀγγελίαν, ὅτι ὀρχεται, καὶ θραυσθήσεται πᾶσα καρδία, καὶ πᾶσαι χεῖρες παραλυθήσονται, καὶ ἐνύξῃ πᾶσα σὰρξ, καὶ πᾶν πνεῦμα, καὶ πάντες μηροὶ μολυνθήσονται ὑγρασίᾳ. ἰδοὺ ὀρχεται καὶ ἔσται, λέγει κύριος κύριος ὁ θεός. Καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων· υἱὲ ἀνθρώπου προφήτευσον καὶ ἐρεῖς. τάδε λέγει ἀδωναὶ κύριος· εἶπον ῥομφαία ῥομφαία ὀξύνου, καὶ θυμώθητι ὅπως σφαγὴν σφάγια, ὀξύνου ὅπως γένῃ εἰς σίλβωσιν, ἑτοίμη εἰς παράλυσιν. σφάζε, ἐξάσθ' ὑπὸ, ἀπόθε πᾶν ξύλον, καὶ ἔδωκεν αὐτὴν ἑτοίμην τοῦ λαβεῖν εἰς χεῖρας αὐτοῦ. ἐξηκονήθη ῥομφαία, ἔστιν ἑτοίμη τοῦ δοθῆναι αὐτὴν εἰς χεῖρας ἀποκτοῦντος. ἀνάκραγε, καὶ ὀλόλυξον υἱὲ ἀνθρώπου, ὅτι αὐτὴ ἐγένετο ἐν τῷ λαῷ μου, αὐτὴ ἐν πᾶσι τοῖς ἀφηγουμένοις τοῦ Ἰσραὴλ παροικήσουσιν, ὥστε ῥομφαίᾳ ἐγένετο τῷ λαῷ μου. διατοῦτο λελότησον ὑπὸ τὸν μηρόν σου, ὅτι διελήλεγκται. καὶ ἔτι καὶ φυλὴ ἀπωθῇ, οὐκ ἔσται λέγει κύριος κύριος. καὶ σὺ υἱὲ ἀνθρώπου προφήτευσον, καὶ λελότησον χεῖρα ὑπὸ χεῖρα, καὶ διπλασίασον ῥομφαίαν. ἡ τρίτη ῥομφαία τραυματίσθω ὅτι ῥομφαία τραυματισθῶ, ἡ μεγάλη. καὶ ἐκπήδησάτω αὐτοὺς ὅπως θραυσθῇ ἡ καρδία, καὶ πληθυσθήσεται οἱ ἀδιφνωσταῦτοι ὑπὸ πᾶσαν πύλην αὐτῶν, πεπασμένοντα εἰς σφαγὴν ῥομφαίας. εὖ γέγονεν εἰς σίλβωσιν, εὖ γέγονεν εἰς σφαγὴν, καὶ διαπορεύσῃ, ὀξέως ἐκ διεξιῶν καὶ ἐξ εὐωνύμων, οὗ ἂν τὸ πρόσωπόν σου ἐξεγέρητε. καὶ ἐγὼ δὲ κρατήσω χεῖρα μου πρὸς χεῖρα μου, καὶ φάσω τὴν θυμόν μου, ἐγὼ κύριος λελάληκα. Καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων· καὶ σὺ υἱὲ ἀνθρώπου διατάξον σεαυτῷ δύο ὁδοὺς, τοῦ εἰσελθεῖν ῥομφαίαν βασιλέως βαβυλῶνος, ἐκ χώρας μιᾶς ἐξελεύσονται ἀρχαὶ δύο, καὶ χεῖρα ἑτοιμάσουσιν ἐν ἀρχῇ ὁδοῦ πόλεως, ἐπ' ἀρχῆς ὁδοῦ διατάξεις. καὶ σὺ ἑτοίμασον καὶ διάταξον ὁδὸν, τοῦ εἰσελθεῖν ῥομφαίαν ὑπὸ ῥαββάθ, ὑπὸ ὑῶν ἀμμών, καὶ ὑπὸ τὴν ἰουδαίαν, καὶ ὥστε ἱερουσαλὴμ ἐν μέσῳ αὐτῆς, διότι στήσεται βασιλεὺς βαβυλῶνος ὑπὸ τὴν ἀρχαίαν ὁδὸν, ἐπ' ἀρχῆς τῶν δύο ὁδῶν, τοῦ μαντεύσασθαι μαντείαν, τοῦ ἀναλεαῦσαι ῥαβδίον, καὶ ἐπερωτῆσαι ἐν τοῖς γλυπτοῖς, καὶ κατασκοπήσασθαι ἐκ διεξιῶν αὐτοῦ. καὶ ἐγένετο μαντεῖον ὑπὸ ἱερουσαλὴμ τοῦ βαλεῖν χαλκᾶνα, καὶ τοῦ διανοῖξαι τὸ στόμα ἐν βοῇ, ὑψῶσαι φωνὴν μετὰ κραυγῆς, τοῦ βαλεῖν χάρακα ὑπὸ τὰς πύλας αὐτῆς, καὶ βαλεῖν χῶμα, καὶ οἰκοδομῆσαι βελοστάσεις, καὶ αὐτὸς αὐτοῖς ὡς μαντευόμενος μαντείαν ἐν ὀνόματι αὐτῶν, καὶ αὐτὸς ἀναμιμνήσκων ἀδικίας αὐτοῦ μνησθῆναι. διατοῦτο τάδε λέγει κύριος κύριος ὁ θεός· ἀνθ' ὧν ἀναμνήσατε τὰς ἀδικίας ὑμῶν, ἐν τῷ ἀποκαλυφθῆναι τὰς ἀσεβείας ὑμῶν, τοῦ ὀφθῆναι ἁμαρτίας ὑμῶν, ἐν πάσαις ταῖς ἀσεβείαις ὑμῶν, ἐν τοῖς γλυπτοῖς ὑμῶν. ἀνθ' ὧν ἀνεμνήσθητε, ἐν τούτοις ἁλώσεσθε. καὶ σὺ βέβηλε, ἄνομε, ἀφηγούμενε τοῦ Ἰσραὴλ, οὗ ἥκει ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας τῶν ἐσχάτων. τάδε λέγει κύριος· ἀφέλου τὴν κίδαριν, καὶ ἀπόθου τὸν στέφανον, αὕτη οὐ τοιαύτη ἔσται· ἐταπείνωσας τὸ ὑψηλόν, καὶ ὕψωσας τὸ ταπεινόν. ἀδικίαν ἀδικίαν θήσομαι αὐτὴν, ἀλλ' αὐτὴ τοιαύτη ἔσται, ἕως

ἕως οὗ ἔλθῃ ᾧ ἀναβήκει, καὶ παραδώσω αὐτῷ. καὶ σὺ υἱὲ ἀνθρώπου προφήτευσον, καὶ ὄρεις· τάδε λέγει κύριος κύριος ὁ θεός, πῶς οὗς ὑμεῖς ἀμμῶν, καὶ πῶς τὸν ὀνειδισμὸν αὐτῶν, καὶ ὄρεις· ρομφαία ρομφαία ἐπάσαμμένη εἰς σφάγια, καὶ ἐπάσαμμένη εἰς σωτέλειαν, ἐγείρε ὅπως εἶλθες ἐν τῇ ὁράσει σου τῇ ματαίᾳ, καὶ ἐν ψεύδεϊ μαντεύεσθαί σε ψεύδεϊ, τοῦ παραδοῶναί σε ἐπὶ τραχήλους τραυματιῶν ἀνόμων, ὧν ἦκει ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας τῶρας. ἀπόστρεφε μὴ εἰς τὸν κολεόν σου, ἐν μὴ κατακλύσει ἐν τῷ τόπῳ τούτῳ, ᾧ γεγένησαι, ἐν τῇ γῇ τῇ ἰδίᾳ σου κρινῶ σε. καὶ ἐκχεῶ ὀδὶ σὲ τῷ ὀργῷ μου, ἐν πυρὶ ὀργῆς μου ἐμφυσῶ ὀδὶ σὲ, καὶ παραδώσω εἰς χεῖρας ἀνδρῶν βαρβάρων τεκταινόντων διαφθοράν. ἐν πυρὶ ἔσῃ καταβρωμα, τὸ αἷμά σου ἔσαι ἐν μέσῳ τῆς γῆς σου, οὐ μὴ γένηταί σου μνεία, διότι ἐγὼ κύριος λελάληκα.

ΚΕΦΑΛ. κϐ'. 22.

ΚΑΙ ἐγένετο λόγος κυρίου πρός με λέγων· καὶ σὺ υἱὲ ἀνθρώπου οὐ κρινεῖς τὴν πόλιν τῶν αἱμάτων; καὶ παράδειξον αὐτῇ πάσας τὰς ἀνομίας αὐτῆς, καὶ ὄρεις· τάδε λέγει κύριος κύριος ὁ θεός· ὦ πόλις ἐκχέουσα αἷματα ἐν μέσῳ αὐτῆς, τοῦ ἐλθεῖν καιρὸν αὐτῆς, καὶ ποιοῦσα ἐνθυμήματα καθ' ἑαυτῆς, τοῦ μιαίνειν αὐτὴν ἐν τοῖς αἵμασι αὐτῶν, οἷς ἐξέχεας παρεπέπωκας, καὶ ἐν τοῖς ἐνθυμήμασί σου οἷς ἐποίεις ἐμιαίνου. καὶ ἤγγισας τὰς ἡμέρας σου, καὶ ἦγαγόν καιρόν ἐπὶ τῶν σου. διὰ τοῦτο δέδωκά σε εἰς ὀνειδισμὸν τοῖς ἔθνεσι, καὶ εἰς ἐμπαιγμὸν πάσαις ταῖς χώραις ταῖς ἐγγιζούσαις πρὸς σὲ, καὶ ταῖς μακρὰν ἀπεχούσαις ἀπ' ἐμοῦ, καὶ ἐμπαίζονταί σε οἱ ἀκάθαρτοι ὀνόματι, καὶ πολλὴ ἐν ταῖς ἀνομίαις. ἰδοὺ οἱ ἀφηγούμενοι οἶκου ἰσραὴλ, ἕκαστος κατὰ τὸ συγγενὲς αὐτῶν σπουδάσουσί σοι, ὅπως ἐκχέωσιν αἷμα. πατρὸς καὶ μητρὸς ἐκαπολόγησαν ἐν σοὶ, καὶ πρὸς τὸν πάροικον ἐπέστρεφον ἐν ἀδικίαις ἐν σοί. ὀρφανὸν καὶ χήραν κατεδυνάσθευσαν ἐν σοὶ, καὶ τὰ ἅγιά μου ἐβδελύξω, καὶ τὰ σάββατά μου ἐβεβήλωσαν ἐν σοί. ἄνδρες λησταὶ ἦσαν ἐν σοί, ὅπως ἐκχέωσιν ἐν σοὶ αἷμα. καὶ ὧδε τὰ ὄρεσιν ἔδιον ἐν σοί, ἀσέβεια ἐποίησαν ἐν σοί. ἀσχημόνησε πατρὸς ἀπεκάλυψαν ἐν σοί, καὶ ἐν ἀκαθαρσίαις ἀκαθαιρόνησε ἐταπείνωσαν ἐν σοί. καὶ ἕκαστος τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐνόμησαν, καὶ ἕκαστος τὴν νύμφην αὐτοῦ ἐμίανον ἐν ἀσεβείᾳ, καὶ ἕκαστος τὴν ἀδελφὴν αὐτοῦ, καὶ θυγατέρα τοῦ πατρὸς αὐτοῦ ἐταπείνωσαν ἐν σοί. δῶρα ἐλάμβανον ἐν σοί, ὅπως ἐκχέωσιν αἷμα. τόκον καὶ πλεονασμὸν ἐλάμβανον ἐν σοί. καὶ σωτελέσω σωτέλειαν ἀκρίας σε, τὴν ἐν καταδυνασείᾳ. ἐμὲ δὲ ἐπελάθου, λέγει κύριος κύριος. ἐὰν δὲ πατάξω χεῖρά μου πρὸς χεῖρά μου, ἐφ' οἷς σωτελέσαι οἷς ἐποίησας, καὶ ὧδε τοῖς αἵμασί σου τοῖς γεγενημένοις ἐν μέσῳ σου, εἰ ὑποστήσεται ἡ καρδία σου, εἰ κρατήσουσιν αἱ χεῖρές σου ἐν ταῖς ἡμέραις αἷς ἐγὼ ποιῶ ἐν σοί. ἐγὼ κύριος λελάληκα καὶ ποιήσω, καὶ διασκορπίσω σε ἐν τοῖς ἔθνεσι, καὶ διασπερῶ σε ἐν ταῖς χώραις, καὶ ἐκλείψει ἡ ἀκαθαρσία σε ἐκ σου, καὶ κατακληρονομήσω ἐν σοὶ κατ' ὀφθαλμοὺς τῶν ἐθνῶν, καὶ γνώσεσθε διότι ἐγὼ κύριος. καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων· υἱὲ ἀνθρώπου, ἰδοὺ γεγόνασί μοι οἶκος ἰσραὴλ, ἀναμεμιγμένοι πάντες χαλκῷ, καὶ σιδήρῳ, καὶ κασσιτέρῳ, καὶ μολίβδῳ, ἐν μέσῳ ἀργυρείου ἀναμεμιγμένον ὀδί. διὰ τοῦτο εἶπον, τάδε λέγει κύριος κύριος· ἀνθ' ὧν ἐγένεσθε πάντες εἰς σύγκρασιν μίαν, διὰ τοῦτο ἰδοὺ ἐγὼ εἰσδέχομαι ὑμᾶς εἰς μέσον ἱερουσαλὴμ, καθὼς εἰσδέχεται ἄργυρος, καὶ χαλκὸς, καὶ σίδηρος, καὶ κασσίτερος, καὶ μόλιβδος εἰς μέσον καμίνου, ἐκφυσῆσαι εἰς αὐτὸ πῦρ τοῦ χωνεῦσαι, οὕτως εἰσδέξομαι ἐν ὀργῇ μου, καὶ σωλῶ καὶ χωνεύσω ὑμᾶς, καὶ ἐμφυσήσω ἐφ' ὑμᾶς ἐν πυρὶ ὀργῆς μου, καὶ χωνευθήσεσθε ἐν μέσῳ αὐτῆς, καὶ γνώσεσθε διότι ἐγὼ κύριος ἐξέχεα τὸν θυμόν μου ἐφ' ὑμᾶς. καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων· υἱὲ ἀνθρώπου, εἶπον αὐτῇ· σὺ εἶ γῆ, ἡ μὴ βρεχομένη, οὐδὲ ὑετὸς καταβήσεται ἐπὶ σε ἐν ἡμέρᾳ ὀργῆς, ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ αὐτῆς ὡς λέοντες ὠρυόμενοι ἁρπάζοντες ἁρπάγματα, ψυχὰς καταδιόντες ἐν δυνασείᾳ, τιμὰς λαμβάνοντες ἐν ἀδικίᾳ. καὶ χήρας σὲ ἐπλεθύνθησαν ἐν μέσῳ σου, καὶ οἱ ἱερεῖς αὐτῆς ἠθέτησαν νόμον μου, καὶ ἐβεβήλωσι τὰ ἅγιά μου. καὶ ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστελλον, καὶ ἀνὰ μέσον ἀκαθάρτου καὶ τοῦ καθαροῦ οὐ διέστελλον, καὶ ἀπὸ τῶν σαββάτων μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ τὰ σάββατά μου ἐβεβήλωσαν ἐν μέσῳ αὐτῶν. οἱ ἄρχοντες αὐτῆς ἐν μέσῳ αὐτῆς ὡς λύκοι ἁρπάζοντες ἁρπάγματα, τοῦ ἐκχέαι αἷμα, ὅπως πλεονεξίαι πλεονεκτῶσι. καὶ οἱ προφῆται αὐτῆς ἀλείφοντες αὐτοὺς ἀφρόσυνα, ὁρῶντες ματαῖα, μαντευόμενοι ψεύδη, λέγοντες, τάδε λέγει ἀδωναὶ κύριος, καὶ κύριος οὐκ ἐλάλησε. λαὸς τῆς γῆς ἐκπιέζουσι ἀδικίαν, καὶ ἁρπάζοντες ἁρπάγματα, πτωχὸν καὶ πένητα καταδυνασεύοντες, καὶ πρὸς τὸν πάροικον οὐκ ἀναστρεφόμενοι μετὰ κρίματος. καὶ ἐζήτουν ἐξ αὐτῶν ἄνδρα ἀναστρεφόμενον ὀρθῶς, καὶ ἐσῶται καταπρόσωπόν μου ὁλοχρῶς, ἐν καιρῷ καιρῷ τῆς ὀργῆς, τοῦ μὴ εἰς τέλος ἐξαλεῖψαι αὐτὴν, καὶ οὐχ εὗρον. καὶ ἐξέχεα ἐπ' αὐτὴν τὸν θυμόν μου, ἐν πυρὶ ὀργῆς μου, τοῦ συντελέσαι τὰς ὁδοὺς αὐτῶν, εἰς κεφαλὰς αὐτῶν δέδωκα, λέγει κύριος κύριος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. κγ'. 23.

Συντετέλεσαι, ἀνήλωται. αὐτὴν ἐμφυσῶν εἰς πρόσωπόν σου, ἐξαιρούμενος ἐκ θλίψεως. σκόπευε ὁδὸν, περίσφιγξον ὀσφῦν, ἄνδρισαι τῇ ἰσχύι σφόδρα. διότι ἀπέστρεψεν κύριος τὴν ὕβριν ἰακὼβ, καθὼς ὕβριν τοῦ ἰσραὴλ, διότι ἐναπολοῦντες ἐξετίναξαν αὐτοὺς, καὶ τὰ κλήματα αὐτῶν διέφθειραν. ὅπλα δυνατείας αὐτοῦ ἐξ ἀνθρώπων, ἄνδρας δυνατοὺς ἐμπαίζοντας ἐν πυρί. αἱ ἵππαι τῶν ἁρμάτων αὐτῶν ἐν ἡμέρᾳ ἑτοιμασίας αὐτῶν, καὶ οἱ ἱππεῖς θορυβηθήσονται ἐν ταῖς ὁδοῖς, συγχυθήσονται τὰ ἅρματα, καὶ συμπλακήσονται ἐν ταῖς πλατείαις. ἡ ὅρασις αὐτῶν ὡς λαμπάδων πυρὸς, καὶ ὡς ἀστραπαὶ διατρέχουσαι, καὶ μνησθήσονται οἱ μεγιστᾶνες αὐτῶν, καὶ φθύξονται ἡμέρας, καὶ ἀθυμήσουσιν ἐν τῇ πορείᾳ αὐτῶν, καὶ καταδύσουσιν ὡς τὰ τείχη, καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐτῶν. πύλαι τοῦ πόλεως διοιχθήσαν, καὶ τὰ βασίλεια διέπεσε, καὶ ἡ ὑποστασις ἀνεκαλύφθη, καὶ ἀνέβαινε. καὶ ἀνέβαλε αὐτὴ ἄγγελος, καθὼς πορεύεται φθεγγόμενα ἐν καρδίαις αὐτῶν. καὶ νινευὶ ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς, καὶ αὐτοὶ φεύγοντες ἀνέστησαν, καὶ οὐκ ἔστιν ὁ ὑπολείπων. διάρπαζον ἀργύριον, διάρπαζον χρυσίον, καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς, βεβάρυνται ἐπὶ πάντα τὰ σκεύη τὰ ὑπολυμπτὰ αὐτῆς. ἐκλυσμὸς καὶ ἀναλυσμὸς, καὶ ἐκβρασμὸς, καὶ καρδίας θραυσμὸς, καὶ ὑπόλυσις γονάτων, καὶ ὠδῖνες ὀδῖνι πᾶσαν ὀσφῦν, καὶ τὸ πρόσωπον πάντων ὡς πρόκαυμα χύτρας. ποῦ ὄντι ὁ καταικητήριον τῶν λεόντων, καὶ ἡ νομὴ τῶν σκύμνων; πᾶ ἐπορεύθη λέων, τοῦ εἰσελθεῖν ἐκεῖ σκύμνος λέοντος, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν. λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ, καὶ ἐπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔπλησε θήρας νοσσιὰν αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς. ἰδοὺ ἐγὼ ἐπί σε, λέγει κύριος παντοκράτωρ, καὶ ἐκκαύσω ἐν καπνῷ πλῆθός σου, καὶ τοὺς λέοντάς σου καταφάγεται ῥομφαία, καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν θήραν σου, καὶ οὐ μὴ ἀκουσθῇ ἔτι τὰ ἔργα σου.

ΚΕΦΑΛ. γ'. 3.

Ὠ πόλις αἱμάτων, ὅλη ψευδὴς, ἁρπαγῆς πλήρης. οὐ ψηλαφηθήσεται θήρα, φωνὴ μαστίγων, καὶ φωνὴ σεισμοῦ προσχών, καὶ ἵππου διώκοντος, καὶ ἅρματος ἀναβαλόντος, ἱππέως ἀναβαίνοντος, καὶ σιλβούσης ῥομφαίας, καὶ ἐξαστράπτοντος ὅπλου, καὶ πλήθους τραυμα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πραωμαλιῶν, καὶ βαρείας πληώσεως, καὶ ὀκ ἰῶτο ὧρας τοῖς ἔθνεσι αὐτῆ. καὶ ἀθυμήσασιν γὰ ζῆς σώμασι αὐτῶν ἀπὸ πλήθους πορνείας πόρνης καλῆ, καὶ ἐπιχάρεις ἡγεμόνι φαρμάκων, ἡ πολεῦ ἔθνη γὰ τῇ πορνείᾳ αὐτῆ, καὶ φυλὰς γὰ τοῖς φαρμάκοις αὐτῆ. ἰδοὺ ἐγὼ ἐπί σε, λέγει κύριος παντοκράτωρ, καὶ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ δείξω ἔθνεσι τὴν αἰσχύνην σε, καὶ βασιλείαις τὴν ἀτιμίαν σε. καὶ ὡς ῥίψω ἐπί σε βδέλυγμα ἡ τὰς ἀκαθαρσίας σε, καὶ θήσομαί σε εἰς παράδειγμα, καὶ ἔσαι πᾶς ὁ ὁρῶν σε κατα βήσεται ἀπὸ σοῦ. καὶ ἐρεῖ δειλαία νινευΐ, τίς συνάξει αὐτὴν; πόθεν ζητήσω παρακλήσεις αὐτῇ; ἑτοίμασε σε μερὶς ἀμμὼν, ἡ καρικοῦσα ποταμοὺς ὕδωρ κύκλῳ αὐτῆ, ἧς ἡ ἀρχὴ θάλασσα, καὶ ὕδωρ τὰ τείχη αὐτῆ, καὶ αἰθιοπία ἰσχὺς αὐτῆ, καὶ αἴγυπτος, καὶ οὐκ ἔση ὧρας ἡ φυγῆς σε. φὺτ καὶ λίβυδες ἐγένοντο βοηθοὶ αὐτῆ, καὶ αὕτη εἰς μετοικεσίαν πορεύσεται αἰχμάλωτος, ⁊ τὰ νήπια αὐτῆ ἐδαφισθήσεται ἀπ' ἀρχῆς πασῶν τῶν ὁδῶν αὐτῆ, καὶ ὠδὶ πάντα τὰ ἔνδοξα αὐτῆ βαλοῦσι κλήρους. καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆ δεθήσονται χειροπέδαις, καὶ σὺ μεθυσθήσῃ, καὶ ἔσῃ παρεωραμένη, καὶ ζητήσεις ἑαυτῇ σωτῆρα ἀπ' ἐχθρῶν σε, πάντα τὰ ὀχυρώματά σε ὡς συκαῖ καρπὸν ἔχουσαι, ἐὰν σαλευθῶσι σεισθῶσι εἰς στόμα ἔδονται. ἰδοὺ ὁ λαός σε ὡς γυναῖκες ἐν σοί, καὶ τοῖς ἐχθροῖς σε ἀνοιγόμενοι ἀνοιχθήσονται πύλαι τῆς γῆς σε, καταφάγεται πῦρ τοὺς μοχλούς σου. ὕδωρ πολιόρκησον σεαυτῇ. κατακράτησον τὰ ὀχυρώματά σε. ἔμβηθι εἰς πηλόν, καὶ συμπάτησον ἐν ἀχύροις. κατακράτησεν ὑπὲρ πλίνθον, ἐκεῖ γὰρ καταφαγεταί σε ὡς ἀκρὶς, καὶ βαρυνθήσῃ ὡς βροῦχος. ἐπλήθυνας τὰς ἐμπορίας σε ὑπὲρ πάντα τὰ ἄστρα τοῦ οὐρανοῦ. βροῦχος ὥρμησε, καὶ ἐξεπετάσθη, ἐξήλατο ὡς ἀκρὶς ἐθελαβος. ὁ συμμικτός σε ὡς ἀκρὶς ἐν ἡμέραις πάγου, ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω τὸν τόπον αὐτῆ. σὰ αὐτῆς, ἐνύσαξαν οἱ ποιμένες σε, βασιλεῦς ἀσσυρίων ἐκοίμησε τοὺς δυνάστας σε, ἀπῆρεν ὁ λαός σε ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος, καὶ οὐκ ἔστιν ἴασις τῇ συντριβῇ σε, ἐφλέγμανεν ἡ πληγή σε. πάντες οἱ ἀκούοντες τὴν ἀπαγγελίαν σε, χροτήσασι χεῖρας ἐπὶ σε, διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία σου διαπαντός;

Τέλος ναούμ.

ΑΒΒΑΚΟΥΜ.

ΚΕΦΑΛ. α. 1.

Ο λῆμμα ὃ εἶδεν ἀββακοὺμ ὁ προφήτης. ἕως τίνος κύριε κεκράξομαι, καὶ οὐκ εἰσακούσεις; ἢ τί ἐβόησά σοι πόνος καὶ κόπος οὐκ ἐβλέπεις, παλαιπωρίαν καὶ ἀσέβειαν; ἕνεκεν ἀνομίας με γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει κρίσιν. διὰ τοῦτο διεσκεδασται ὁ νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα, ὅτι ὁ ἀσεβὴς κατισχύει τοῦ δικαίου, διὰ τοῦτο ἐξελεύσεται κρῖμα διεστραμμένον. ἴδετε οἱ καταφρονηταί, ⁊ ἐμβλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανισθῆτε, διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, ἐὰν τις ἐκδιηγῆται. διότι ἰδοὺ ἐγὼ ἐγείρω τοὺς χαλδαίους, τὸ ἔθνος τὸ πικρὸν καὶ τὸ ταχινὸν, τὸ πορευόμενον ἐπὶ τὰ πλάτη τῆς γῆς, τοῦ κατακληρονομῆσαι σκηνώματα οὐκ αὐτοῦ. φοβερὸς ⁊ ἐπιφανὴς ἐστιν, ἐξ αὐτοῦ τὸ κρῖμα αὐτοῦ ἔσται, καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτῶν ἐξελεύσεται. καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτοῦ, καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς ἀραβίας ἐξιππεύσονται οἱ ἱππεῖς αὐτοῦ, καὶ ὁρμήσουσι μακρόθεν, καὶ πετασθήσονται ὡς ἀετὸς πρόθυμος εἰς τὸ φαγεῖν. σωτέλεια εἰς ἀσεβεῖς ἥξει, αὐθεντικότας πρόσωποις αὐτῶν ἐξεγνωτίας, καὶ συναξει ὡς ἄμμον αἰχμαλωσίαν, καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐμπαίξεται, καὶ τύραννοι παίγνια αὐτοῦ, καὶ αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται, καὶ βαλεῖ χῶμα, καὶ κρατήσει αὐτοῦ. τότε μεταβαλεῖ τὸ πνεῦμα, ⁊ διελεύσεται, καὶ ἐξελεύσεται. αὕτη ἡ ἰσχὺς τοῦ θεῷ μου. οὐχὶ σὺ ἀπ' ἀρχῆς κύριός ὁ θεός ἅγιός μου; καὶ οὐ μὴ ἀποθάνωμεν. κύριε εἰς κρῖμα τέταχας αὐτὸν, καὶ ἔπλασέ με τοῦ ἐλέγχειν παιδείαν αὐτοῦ. καθαρὸς ὀφθαλμὸς τοῦ μὴ ὁρᾶν πονηρὰ, καὶ πρὸς βλέπειν πρὸς πονηροὺς οὐ δυνήσῃ. ἵνα τί πρὸς βλέπεις ἐπὶ καταφρονοῦντας; παρασιωπήσῃ ὅταν καταπίνειν ἀσεβὴς τὸν δίκαιον, καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ὡς τὰ ἑρπετὰ οὐκ

ἔχοντα

ἔχοντα ἡγούμενον. σωτηρίαν γὰρ ἀγκίστρου αὐέσασε, καὶ εἵλκυσεν αὐτὸν γὰρ ἀμφιβλήστρου
καὶ συνήγαγεν αὐτὸν γὰρ ταῖς σαγήναις αὐτοῦ. ἕνεκεν τούτου εὐφρανθήσεται, καὶ χαρήσεται
καρδία αὐτοῦ. ἕνεκεν τούτου θύσει τῇ σαγήνῃ αὐτοῦ, καὶ θυμιάσει τῷ ἀμφιβλήστρῳ αὐτοῦ, ὅτι
γὰρ αὐτοῖς ἐλίπανε μερίδα αὐτοῦ. καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά. σπάσει τὸν ἀμφιβαλεῖ ἀμφι-
βλήστρον αὐτοῦ, καὶ σπαντὸς ἀφειδῶς ἔθνη οὐ φείσεται.

ΚΕΦΑΛ. Β'. 2.

Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ὑπερβήσομαι ὑπὲρ πέτραν, καὶ ἀρκυστάσω τοῦ ἰδεῖν
τοῦ λαλήσει γὰρ ἐμοί. καὶ τί ἀποκριθῶ ὑπὲρ τὸν ἔλεγχόν μου; καὶ ἀπεκρίθη πρός με λέγων
καὶ εἶπε· γράψον ὅρασιν, καὶ σαφῶς ἐπὶ πυξίου, ὅπως διώκῃ ὁ ἀναγινώσκων αὐτά, διότι ἔτι
ὅρασις εἰς καιρόν, καὶ ἀνατελεῖ εἰς πέρας, καὶ οὐκ εἰς κενόν. ἐὰν ὑστερήσῃ ὑπόμεινον αὐτὴν, ὅτι
ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ. ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου γὰρ αὐτοῦ. ὁ δὲ δί-
καιός μου ἐκ πίστεως ζήσεται, ὃς δὲ καταστείλεται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου γὰρ αὐτοῦ. ὁ δὲ δί-
πόρανεῖ, ὃς ἐπλάτυνε καθὼς ἅδης τὴν ψυχὴν αὐτοῦ, καὶ οὗτος ὁ θάνατος οὐκ ἐμπλησθή-
μενος, καὶ συνάξει ἐπ' αὐτὸν πάντα τὰ ἔθνη, καὶ εἰσδέξεται πρὸς αὐτὸν πάντας τοὺς
λαούς. οὐχὶ τοῦτα πάντα κατ' αὐτοῦ παραβολὴν λήψονται; καὶ πρόβλημα εἰς διήγησιν αὐ-
τοῦ; καὶ ἐροῦσιν· ἀὲ ὁ πληθύων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ. ἕως τίνος; ἢ βαρύνων γὰρ ἐνέχει
αὐτοῦ σιβαρῶς, ὅτι ἐξαίφνης ἀναστήσονται δάκνοντές σε, καὶ ἐκνήψουσιν οἱ ἐπιβουλοί σου,
καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς, διότι σὺ ἐσκύλευσας ἔθνη πολλά. σκυλεύσουσί σε πάντα τὰ
οἱ ὑπολελειμμένοι λαοῦ σου αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς, καὶ πόλεως, καὶ πάντων
τῶν κατοικούντων αὐτήν. ὢ ὁ πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ οἴκῳ αὐτοῦ, τοῦ θέσθαι ἐν
ὕψει νοσσιὰν αὐτοῦ, τοῦ σκεπασθῆναι ἐκ χειρὸς δυνάμεως. ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου,
συνεπόρανας πολλοὺς λαούς, καὶ ἥμαρτεν ἡ ψυχή σου. διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ
δοκὸς καθαρὸς ἐκ ξύλου φθέγξεται αὐτά. οὐαὶ ὁ οἰκοδομῶν πόλιν γὰρ αἵματι, καὶ ἑτοιμάζων πό-
λιν γὰρ ἀδικίας. οὐ τοῦτό ὅτι παρὰ κυρίου παντοκράτορος; καὶ ἐξέλιπον λαοὶ ἱκανοὶ γὰρ πυ-
ρὶ, καὶ ἔθνη πολλὰ ὠλιγοψύχησαν, ὅτι πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὴν δόξαν κυρίου, ὡς ὕ-
δωρ πολὺ κατακαλύψαι ὑπὲρ θαλάσσης. ὢ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ αὐστροπλῆ δολε-
ρὰν, καὶ μεθύσκων ὅπως ἐπιβλέψῃ ὑπὲρ τὰ ἀσπλαγχνα αὐτῶν. πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε
καὶ σὺ, καὶ διασαλεύθητι, καὶ σείσθητι. ἐκύκλωσαν ἐπί σε ποτήριον δεξιᾶς κυρίου, καὶ συνή-
χθη ἀτιμία ὑπὲρ τὴν δόξαν σου. διότι ἀσέβεια τοῦ λιβάνου καλύψει σε, καὶ ταλαιπωρία θηρί-
ων πτοήσει σε διὰ αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς, καὶ πόλεως, καὶ πάντων τῶν κατοι-
κούντων ἐν αὐτῇ. τί ὠφελεῖ γλυπτὸν; ὅτι ἔγλυψαν αὐτό, ἔπλασαν αὐτὸ χώνευμα, φαντασί-
αν ψευδῆ· ὅτι πέποιθεν ὁ πλάσας ὑπὲρ τὸ πλάσμα αὐτοῦ, τοῦ ποιῆσαι εἴδωλα λαλοῦντα. διὰ τί λέ-
γων τῷ ξύλῳ, ἔκνηψον, ἐγέρθητι. καὶ τῷ λίθῳ, ὑψώθητι, καὶ αὐτὸ ὅτι φαντασία. ἰδοὺ δέδεται
ἔλασμα χρυσίῳ καὶ ἀργυρίῳ, καὶ πᾶν πνεῦμα οὐκ ἔστιν αὐτῷ. ὁ δὲ κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ,
σιγησάτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

ΠΡΟΣΕΥΧΗ ΑΒΒΑΚΟΥΜ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΜΕΤΩΔΗΣ.

ΚΕΦΑΛ. γ'. 3.

Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Κύριε κατενόησα τὰ ἔργα σου,
καὶ ἐξέστην. Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ὑπ' ἐγνωσθή-
σῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ παραχθῆναι τὴν ψυχήν μου
ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατα-
σκίου δασέος. Ἐκάλυψεν οὐρανὸς ἡ ἀρετὴ αὐτοῦ, καὶ ἡ αἴνεσις αὐτοῦ πλή-
ρης ἡ γῆ, καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγαπητὸν ἰσχὺν κα-
δίας ἰσχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς πε-
δία. κατὰ πόλας αὐτοῦ ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ. ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη, διεθρύβη τὰ
ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι, πορείας αἰωνίους. ἀντὶ κόπων εἶδον σκιώματα ἀθλιό-
πων, πτοηθήσονται καὶ σκιαὶ γῆς μεδιάμα. μὴ ἐν ποταμοῖς ὀργισθῆς κύριε; ἢ ἐν πο-
ταμοῖς ὁ θυμός σου; ἢ ἐν θαλάσσῃ τὸ ὁρμῆμά σου, ὅτι ἐπιβήσῃ ὑπὲρ τοὺς ἵππους σου, καὶ
ἡ ἱππασία σου σωτηρία. Ἐντείνων τείνεις τὸ τόξον σου ὑπὲρ σκήπτρας, λέγει κύριος.
ποταμῷ ῥαγήσεται γῆ, ὄψονταί σε, καὶ ὠδινοῦσι λαοί. σκορπίζων ὕδατα πορείας,
ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὑψώθη φαντασίας αὐτῆς. ἐπῆρθη ὁ ἥλιος, καὶ ἡ σε-

λήνη

λιώνεσι γὼ τῇ τάξει αὐτῶ. Εἰς φῶς βολίσθω σε πορεύσονται, εἰς φῶς ἀστραπῆς ὁπλῶν σου. Ἐμ ἀπειλῇ ὀλιγώσεις γλῶ, καὶ γὼ θυμῷ διατάξεις ἔθνη. Ἐξῆλθον εἰς σωτηρίαν λαοῦ σε, τῶ σῶσαι τοὺς χριστούς σου. Ἐβαλον εἰς κεφαλὰς αὐόμων θάνατον, ἀξ ἡγειρας δεσμὸς ἕως τραχήλε εἰς τέλος. διέκοψας γὼ ἐκράσει κεφαλὰς δυνατῶν, σεισθήσονται γὼ αὐτῇ. σμικύνθησι χαλινοὺς αὐτῶν, ὡς ἀδίων πῶν χόος λαθραῖος. καὶ ἐπεβίβασας εἰς θαλασσαν τοὺς ἵππους σε, ταράσσοντας ὕδατα πολλά. ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία με ἀπὸ φωνῆς προσευχῆς χειλέων με, καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ με, καὶ ὑπὸ διαπορεύχθη ἡ ἕξις με. ἀναπαύσομαι γὼ ἡμέρας θλίψεώς με, τῶ ἀναβῆναί με εἰς ναὸν παροικίας με. διότι συνκαὶ οὐ παραφορήσω, καὶ ὀκέσαι γενήματα γὼ ταῖς ἀμπέλοις. Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία ὁ ποιήσει βρῶσιν. ἀξ ἐλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπαρξεσι βόες ὧδε φάτναις. ἐγὼ δὲ γὼ τῷ κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ὧδε τῷ θεῷ τῷ σωτῆρί μου. κύριε ὁ θεός μου, δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς σωτήρειαν, καὶ ὧδε τὰ ὑψηλά ἐπιβιβᾶ με, τῶ νικῆσαί με γὼ τῇ ᾠδῇ αὐτοῦ.

Τέλος Αββακούμ.

ΣΟΦΟΝΙΑΣ ΠΡΟΦΗΤΟΥ.

ΚΕΦΑΛ. α. 1.

Λογος κυρίε, ὃς ἐγενήθη πρὸς σοφονίαν τὸν τοῦ χουσί, υἱὸν γοδολίε, τοῦ ἀμαρίε, τοῦ ἐζεκίε, γὼ ἡμέραις ἰωσίε υἱοῦ ἀμὼν βασιλέως ἰούδα. ἐκλείψει ἐκλείπετω πάντα ἀπὸ προσώπου τῆς γῆς, λέγει κύριος. ἐκλείπετω ἄνθρωπος καὶ κτήνη, ἐκλείπετω τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης. καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἀξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς, λέγει κύριος. καὶ ἐκτενῶ τὴν χεῖρά μου ὧδε ἰούδα, καὶ ὧδε πάντας τοὺς παροικοῦντας ἰερουσαλήμ, καὶ ἀξαρῶ ἐκ τοῦ τόπου τούτου τὰ ὀνόματα τῆς Βααλ, καὶ τὰ ὀνόματα τῶν ἱερέων μετὰ τῶν ἱερέων, καὶ τοὺς προσκυνοῦντας ὧδε τὰ στόματα τῆς σελήνε τοῦ οὐρανοῦ, καὶ τοὺς προσκυνοῦντας καὶ τοὺς ὀμνύοντας ἐν τῷ κυρίῳ, καὶ τοὺς ὀμνύοντας ἐν τῷ Μελχὸμ βασιλέως αὐτῶν, καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ κυρίου, καὶ τοὺς μὴ ζητοῦντας τὸν κύριον, καὶ τοὺς μὴ αὐτεχομένους τοῦ κυρίε. σύλαβεῖσθε ἀπὸ προσώπου κυρίε τοῦ θεοῦ, διότι ἐγγὺς ἡ ἡμέρα τοῦ κυρίου. ὅτι ἡτοίμασε κύριος τὴν θυσίαν αὐτοῦ, καὶ ἡγίασε τοὺς κλητοὺς αὐτοῦ, καὶ ἔσαι ἐν ἡμέρᾳ θυσίας κυρίου, καὶ ἐκδικήσω ὧδε τοὺς ἄρχοντας, καὶ ὧδε τὸν οἶκον τοῦ βασιλέως, καὶ ὧδε πάντας τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια, καὶ ἐκδικήσω ὧδε πάντας ἐμφανῶς ὧδε τὰ πρόπυλα, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τοὺς πληροῦντας τὸν οἶκον κυρίου ἀσεβείας καὶ δόλου. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, φωνὴ κραυγῆς ἀπὸ πύλης ἀπὸ καινῆς πόλεως, καὶ ὀλολυγμὸς ἀπὸ τῆς δευτέρας, καὶ συντριμμὸς μέγας ἀπὸ τῶν βουνῶν. θρηνεῖτε οἱ κατοικοῦντες τὴν αἰνομιλίαν, ὅτι ὡμοιώθη πᾶς ὁ λαὸς χαναάν, καὶ ἐξολοθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ, καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξερευνήσω τὴν Ἱερουσαλὴμ μετὰ λύχνων, καὶ ἐκδικήσω ὧδε τοὺς ἄνδρας τοὺς καταφρονοῦντας ὧδε τὰ φυλάγματα αὐτῶν, καὶ οἱ λέγοντες ἐν ταῖς καρδίαις αὐτῶν· οὐ μὴ ἀγαθοποιήσῃ κύριος, οὐδὲ μὴ κακώσῃ. καὶ ἔσαι ἡ δύναμις αὐτῶν εἰς διαρπαγήν, καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀφανισμόν. καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ οὐ μὴ κατοικήσουσιν ἐν αὐταῖς. καὶ φυτεύσουσιν ἀμπελῶνας, καὶ οὐ μὴ πίωσιν τὸν οἶνον αὐτῶν, ὅτι ἐγγὺς ἡ ἡμέρα κυρίε ἡ μεγάλη, καὶ ταχεῖα σφόδρα. φωνὴ ἡμέρας κυρίε πικρά, καὶ σκληρὰ τετακται. δύνατὴ ἡ ἡμέρα ὀργῆς, ἡ ἡμέρα ἐκείνη, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα παλαιπωρίας καὶ ἀφανισμοῦ, ἡμέρα γνόφου καὶ σκότους, ἡμέρα νεφέλης καὶ ὁμίχλης, ἡμέρα σάλπιγγος καὶ κραυγῆς ὧδε τὰς πόλεις τὰς ὀχυρὰς, καὶ ὧδε τὰς γωνίας τὰς ὑψηλάς. καὶ ἐκθλίψω τοὺς ἀνθρώπους, καὶ πορεύσονται ὡς τυφλοί, ὅτι τῷ κυρίῳ ἡμάρτοσαν. καὶ ἐκχεεῖ τὸ αἷμα αὐτῶν ἐς χοῦν, καὶ τὰς σαρκας αὐτῶν ὡς βόλβιτα. καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν, οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίε, καὶ ἐν πυρὶ ζήλου αὐτοῦ κατανανωθήσεται πᾶσα ἡ γῆ, διότι συντέλειαν καὶ σπουδὴν ποιήσει ὧδε πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

Κεφάλ.

ΚΕΦΑΛ. β'. 2.

Συναχθητε, καὶ συναχθητε ὁ ἔθνος ὁ ἀπαίδευτος, πρὶν τὸ γενέσθαι ὑμᾶς ὡς ἄνθος παρατρέχον ἡμέρα, πρὶν τὸ ἐλθεῖν ἐφ' ὑμᾶς ὀργὴν κυρίου, πρὶν τὸ ἐπελθεῖν ἐφ' ὑμᾶς ἡμέραν ὀργῆς θυμοῦ κυρίου. ζητήσατε τὸν κύριον πάντες οἱ πραεῖς τῆς γῆς, οἱ ἐργαζόμενοι τὸ κρίμα αὐτοῦ, καὶ δικαιοσύνην ζητήσατε, καὶ ἀρκείνασθε αὐτὰ ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς κυρίου. διότι γάζα διηρπασμένη ἔσαι, καὶ ἄσκαλων εἰς ἀφανισμόν, καὶ ἄζωτος μεσημβρίας ἐκριφήσεται, καὶ ἀκκαρὼν ἐκριζωθήσεται. οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης πάροικοι κρητῶν, λόγος κυρίου ἐφ' ὑμᾶς χανααὰν γῆ ἀλλοφύλων, καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας. καὶ ἔσαι κρήτη νομὴ ποιμνίων καὶ μάνδρα προβάτων, καὶ ἔσαι τὸ σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου ἰούδα, ἐπ' αὐτῶν νομήσονται ἐν τοῖς οἴκοις ἀσκάλωνος, διότι κύριος ὁ θεὸς αὐτῶν καταλήσουσιν ἀπὸ προσώπου υἱῶν ἰούδα. ὅτι ἐπέσκεπται αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν, καὶ ἐπιστρέψει τὴν αἰχμαλωσίαν αὐτῶν. ἤκουσα ὀνειδισμοὺς μωαβ, καὶ κονδυλισμοὺς υἱῶν ἀμμὼν ἐν οἷς ὠνείδιζον τὸν λαόν μου, καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅρια μα. διατοῦτο ζῶ ἐγώ, λέγει κύριος παντοκράτωρ ὁ θεὸς ἰσραήλ, διότι μωὰβ ὡς σόδομα ἔσαι, καὶ υἱοὶ ἀμμὼν ὡς γόμορρα, καὶ διαμασηὸς ἐκλελειμμένη εἰς τὸν αἰῶνα, καὶ οἱ κατάλοιποι λαοῦ μου διαρπάσουσιν αὐτούς, καὶ οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐτούς, αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν καὶ ἐμεγαλύνθησαν ἐπὶ λαὸν τὸν παντοκράτορα. ὡς φανήσεται κύριος ἐπ' αὐτούς, ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν, καὶ ὑμεῖς αἰθίοπες τραυματίαι ῥομφαίας μού ἐστε. καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ βορρᾶν, καὶ ἀπολῶ τὸν ἀσσύριον, καὶ θήσω τὴν νινευὶ εἰς ἀφανισμὸν ἄνυδρον ὡς ἔρημον, καὶ νεμήσονται ἐν μέσῳ αὐτῆς ποίμνια, καὶ πᾶν τὰ θηρία τῆς γῆς, καὶ χαμαιλέοντος, καὶ ἐχῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς κοιτασθήσονται. καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς, καὶ κόρακος ἐν τοῖς πυλῶσιν αὐτῆς, διότι λιθος τὸ αἴσθημα αὐτῆς.

ΚΕΦΑΛ. γ'. 3.

Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα ἐν τῇ καρδίᾳ αὐτῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστι μετ' ἐμοῦ ἔτι. πῶς ἐγνάσθη εἰς ἀφανισμόν νομὴ θηρίων; πᾶς παρερχόμενος διὰ αὐτῆς συριεῖ, καὶ κινήσει τὰς χεῖρας αὐτοῦ. ὦ οὐαὶ φανῆς, καὶ ἀπελευτήσει πόλις, ἡ πόθεν ὁρᾶ οὐκ εἰσήκουσε φωνῆς σου, οὐκ ἐδέξατο παιδείαν, οὐδὲ ἐπὶ κύριον οὐκ ἐπεποίθει, καὶ πῶς τὸν θεὸν αὐτῆς οὐκ ἤγγισεν. οἱ ἄρχοντες ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι οἱ κριτοὶ αὐτῆς ὡς λύκοι ἐν ἀῤῥαβίας, οὐχ ὑπελείποντο εἰς τὸ πρωΐ οἱ προφῆται αὐτῆς πονηροὶ μετάφορεῖς ἄνδρες καταφρονηταί. ἱερεῖς αὐτῆς βεβηλοῦσι τὰ ἅγια, καὶ ἀσεβοῦσιν εἰς τὸν νόμον. ὁ δὲ κύριος δίκαιος ἐν μέσῳ αὐτῆς, καὶ οὐ μὴ ποιήσει ἄδικον, πρωὶ πρωὶ δώσει κρίμα αὐτοῦ εἰς φῶς, καὶ οὐκ ἀπεκρύβη, καὶ οὐκ ἔγνω ἀδικίαν ἐν ἀπαιτήσει, καὶ οὐκ εἰς νεῖκος ἀδικίαν. διέστασα ὑπερηφάνους, ἀφανίσθησαν γωνίαι αὐτῶν, ἐξερήμωσα τὰς ὁδοὺς αὐτῶν τὸ παρελθεῖν. ἐξέλιπον αἱ πόλεις αὐτῶν, διὰ τὸ μηδένα ὑπάρχειν, μηδὲ κατοικεῖν. εἶπα, πλὴν φοβηθήσῃ με, καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῇ ἐξ ὀφθαλμῶν αὐτῆς πάντα ὅσα ἐξεδίκησα ἐπ' αὐτήν. ἑτοιμάζου, ὄρθρισον, διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν. διατοῦτο ὑπόμεινόν με, λέγει κύριος, εἰς ἡμέραν αὐξήσεώς μου εἰς μαρτύριον. διότι τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ εἰσδέξασθαι βασιλείας, τοῦ ἐκχέαι ἐπ' αὐτοὺς τὴν ὀργήν μου, πᾶσαν ὀργὴν θυμοῦ, διότι ἐν πυρὶ ζήλου μου κατανάλωθήσεται πᾶσα ἡ γῆ. ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλώσσαν εἰς γενεὰν αὐτῶν, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. ἐκ πόρρωθεν ποταμῶν αἰθιοπίας προσδέξομαί σε θυγατέρας διασπαρμένους. οἴσουσι θυσίας μοι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου ὧν ἠσέβησας εἰς ἐμέ, ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκέτι μὴ προσχῇς, τοῦ μεγαλαυχῆσαι ἐπὶ τῷ ὄρει τῷ ἁγίῳ μου. καὶ ὑπολήψομαι ἐν σοὶ λαὸν πολιὸν καὶ πεπεινόν, καὶ ἐλπιοῦσιν ἐπὶ τὸ ὄνομα κυρίου οἱ κατάλοιποι τοῦ ἰσραήλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσιν μάταια, καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία, διότι αὐτοὶ νεμήσονται, καὶ κοιτασθήσονται, καὶ οὐκ ἔσαι ὁ ἐκφοβῶν αὐτούς. Χαῖρε σφόδρα θύγατερ σιών, κήρυσσε θύγατερ ἰερουσαλήμ. εὐφράνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου θύγατερ ἰερουσαλήμ, πεφεῖλε κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου βασιλεὺς ἰσραὴλ κύριος ἐν μέσῳ σου οὐκ ὄψεται κακά, οὐκ ἔσιν ἐν τῇ καρδίᾳ ἐκείνου ὀρεῖ κύριος, πήξει σαλήμ. θάρσει σιών, μὴ παρείσθωσαν αἱ χεῖρές σου, κύριος ὁ θεὸς ἐν σοὶ δυνατὸς σώσῃ σε, ἐπάξει ἐπί σε εὐφροσύνῃ, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ. καὶ εὐφρανθήσεται ἐπὶ σοὶ ἐν τρόπῳ ἐν ἡμέρᾳ ἑορτῆς, ἐν σωσάρξω σοῦ σωστετριμμένους σε. οὐαὶ τῆς ἐλάσεως ἐπ' αὐτῷ ὄνειδισμόν; διὸ ἐγὼ ποιῶ ἐν σοί, ἕνεκέν σου ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει κύριος, καὶ σώσω τὸν

ἐκπε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκπεπολεμώλω, καὶ τῶ ἀπωσμώλω εἰσελέξομαι, καὶ θήσομαι αὐτοὺς εἰς καύχημα, καὶ ὄνομα τοῖς γῆ, καὶ οὐ μὴ καταισχυνθῶσιν γὰρ ἐν καιρῷ ἐκείνῳ, ὅταν καλῶς ὑμῖν ποιήσω. καὶ γὰρ ἐν καιρῷ ἐκείνῳ ὅταν εἰσελέξωμαι ὑμᾶς, διότι δώσω ὑμᾶς ὀνόματος, καὶ εἰς καύχημα γὰρ πᾶσι τοῖς λαοῖς τῆς γῆς, γὰρ ἐν ὑποστρέφειν με γώπιον ὑμῶν, λέγει κύριος, τῶ αἰχμαλωσίαν ὑμῶν.

Τέλος σοφονίας.

ΑΓΓΑΙΟΣ.

ΚΕΦΑΛ. α'. ι.

ΕΝ τῷ δευτέρῳ ἔτει τῶ δαρείου βασιλέως, γὰρ τῷ μιῷ τῷ ἕκτῳ μιᾶς τοῦ μηνὸς, ἐγένετο λόγος κυρίου γὰρ χειρὶ ἀγγαίου τοῦ προφήτου λέγων· εἶπον πρὸς ζοροβάβελ τὸν τοῦ σαλαθιὴλ, ἐκ φυλῆς ἰούδα, καὶ πρὸς ἰησοῦν τὸν τοῦ ἰωσεδὲκ, τὸν ἱερέα τὸν μέγαν, λέγων· τάδε λέγει κύριος παντοκράτωρ λέγων· ὁ λαὸς οὗτος λέγουσιν, οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου. καὶ ἐγένετο λόγος κυρίου γὰρ χειρὶ ἀγγαίου τοῦ προφήτου, λέγων· εἰ καιρὸς ὑμῖν μηδ' ὅτι, τοῦ οἰκοδομεῖν γὰρ οἴκους ὑμῶν καιλοσανέθμους, ὁ δὲ οἶκός μου οὗτος ἐξερήμωται; καὶ νῦν τάδε λέγει κύριος παντοκράτωρ· τάξατε καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν, ἐσπείρατε πολλὰ, καὶ εἰσηνέγκατε ὀλίγα. ἐφάγετε, καὶ οὐκ εἰς πλησμονήν. ἐπίετε, καὶ οὐκ εἰς μέθην. περιεβάλεσθε, καὶ οὐκ ἐθερμάνθητε γὰρ αὐτοῖς. καὶ ὁ τὸν μισθὸν συναγαγὼν, συνήγαγεν εἰς ἀσκὸν διόρυκτον. τάδε λέγει κύριος παντοκράτωρ. θέσθε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν, καὶ ἀνάβητε ἐπὶ τὸ ὄρος, καὶ λίψατε ξύλα, καὶ οἴσετε, καὶ οἰκοδομήσετε τὸν οἶκον, καὶ δυσκοπήσω γὰρ αὐτῷ καὶ ἐνδοξασθήσομαι, εἶπε κύριος. ἐπιβλέψατε εἰς πολλὰ, καὶ ἐγένετο ὀλίγα, καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά. διατί τάδε λέγει κύριος παντοκράτωρ· αὐθ' ὧν ὁ οἶκός μου ὃν ἐγὼ ὁρῶ, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, διατοῦτο κατέσχε ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ ἡ γῆ ἐκώλυσε τοῦ δοῦναι τὰ ἐκφόρια αὐτῆς, καὶ ἐπάξω βρομφαίαν ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον, καὶ ἐπὶ τὸν οἶνον, καὶ ἐπὶ τὸ ἔλαιον, καὶ ὅσα ἐκφέρει ἡ γῆ, καὶ ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν. καὶ ἤκουσε ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ ἐκ κεφαλῆς ἰούδα, καὶ ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ ἱερεὺς ὁ μέγας, καὶ πάντων οἱ καταλοιποὶ τοῦ λαοῦ, τῆς φωνῆς κυρίου τοῦ θεοῦ αὐτῶν, καὶ τῶν λόγων τοῦ ἀγγαίου τοῦ προφήτου, καθότι ἀπέστειλεν αὐτὸν κύριος ὁ θεὸς αὐτῶν πρὸς αὐτούς, καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσώπου κυρίου. καὶ εἶπεν ἀγγαῖος ὁ ἄγγελος κυρίου, ἐν ἀγγέλοις κυρίου τῷ λαῷ· ἐγὼ εἰμὶ μεθ' ὑμῶν, λέγει κύριος. καὶ ἐξήγειρε κύριος τὸ πνεῦμα ζοροβάβελ τοῦ σαλαθιὴλ, ἐκ φυλῆς ἰούδα, καὶ τὸ πνεῦμα ἰησοῦ τοῦ ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου, καὶ τὸ πνεῦμα τῶν καταλοίπων τοῦ λαοῦ, καὶ εἰσῆλθον, καὶ ἐποίουν ὄργα ἐν τῷ οἴκῳ κυρίου παντοκράτορος θεοῦ αὐτῶν.

ΚΕΦΑΛ. β'. ι.

ΤΗ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου, τῷ δευτέρῳ ἔτει τῶ δαρείου τοῦ βασιλέως, τῷ ἑβδόμῳ μηνὶ, μιᾷ καὶ εἰκάδι τοῦ μηνὸς, καὶ ἐλάλησε κύριος ἐν χειρὶ ἀγγαίου τοῦ προφήτου, λέγων· εἶπον δὴ πρὸς ζοροβάβελ τὸν τοῦ σαλαθιὴλ, ἐκ φυλῆς ἰούδα, καὶ πρὸς ἰησοῦν τοῦ ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν, καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ λέγων· τίς ὑμῶν ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἐμπροσθεν; καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν, καθὼς οὐκ ἔστιν ἐνώπιον ὑμῶν; καὶ νῦν κατίσχυε ζοροβάβελ, λέγει κύριος, καὶ κατίσχυε ἰησοῦ, ὁ τοῦ ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας, καὶ καταισχύνετω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει κύριος, καὶ ποιεῖτε (διότι ἐγὼ μεθ' ὑμῶν εἰμὶ, λέγει κύριος παντοκράτωρ) τὸν λόγον οὗ διεθέμην ὑμῖν, ἐν τῷ ἐξελθεῖν ὑμᾶς ἐξ αἰγύπτου, καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. θαρσεῖτε, διότι τάδε λέγει κύριος παντοκράτωρ. ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὴν ξηράν, καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν, καὶ πληρώσω τὸν οἶκον τῆς δόξης, λέγει κύριος παντοκράτωρ. ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ χρυσίον, λέγει κύριος παντοκράτωρ. διότι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου, ἢ ἐκεῖ-
νου τοῦ πρώτου, λέγει κύριος παντοκράτωρ. καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέ-
γει κύριος παντοκράτωρ. καὶ εἰρήνην ψυχῆς εἰς πολυποίησιν πᾶσι τοῖς κτίζουσι, τοῦ κα-
θᾶσαι τὸν λαὸν τοῦτον. τετράδι καὶ εἰκάδι τοῦ ἐνάτου μηνός, ἔτους δευτέρου ὡδὶ δαρείου, ἐγέ-
νετο λόγος κυρίου πρὸς ἀγγαῖον τὸν προφήτην λέγων· τάδε λέγει κύριος παντοκράτωρ· ἐπε-
ρώτησον δὴ τοὺς ἱερεῖς νόμον, λέγων· ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματί-
ου αὐτοῦ, καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου, ἢ ἐψήματος, ἢ οἴνου, ἢ ἐλαίου, ἢ παντὸς βρώ-
ματος, εἰ ἁγιασθήσεται; καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ εἶπαν· οὔ. καὶ εἶπεν ἀγγαῖος, ἐὰν
ἅψηται μεμιασμένος ὕδατι ψυχῇ ἀπὸ παντὸς τούτων, εἰ μιανθήσεται; καὶ ἀπεκρίθησαν, καὶ
εἶπαν, μιανθήσεται. καὶ ἀπεκρίθη ἀγγαῖος, καὶ εἶπεν· οὕτως ὁ λαὸς οὗτος, καὶ οὕτως τὸ ἔθ-
νος τοῦ ἐνώπιόν μου, λέγει κύριος. καὶ οὕτως πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῶν, καὶ ὃς ἂν
ἐγγίσῃ ἐκεῖ μιανθήσεται. ἐνέκεν τῶν λημμάτων αὐτῶν, καὶ τῶν ὀρθρινῶν ὀδυνηθήσονται ἀπὸ
προσώπου πονηρῶν αὐτῶν, καὶ ἐμισεῖτε ἐν πύλαις ἐλέγχοντα. καὶ νῦν θέσθε δὴ ὑμῖν τὰς καρ-
δίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης, καὶ ὑποράνω πρὸ τοῦ θεῖναι λίθον ὑπὲρ λίθον ἐν τῷ ναῷ κυ-
ρίου. τίνος ἦτε, ὅτε ἐνεβάλετε εἰς λυψέλλιον εἴκοσι σάτα, καὶ ἐγένετο δέκα σάτα λειθῆς, καὶ
εἰσωρύξατε εἰς τὸ ὑπολήνιον, ἑξαντλῆσαι πεντήκοντα μετρητὰς, καὶ ἐγένετο εἴκοσι
ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ, καὶ ἐν ἀνεμοφθορίᾳ, καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χειρῶν ὑμῶν,
καὶ οὐκ ἐπεστρέψατε πρός με, λέγει κύριος. καὶ νῦν τάξατε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς
ἡμέρας ταύτης, καὶ ἐπέκεινα, ἀπὸ τετράδι καὶ εἰκάδι τοῦ ἐνάτου μηνός. καὶ ἀπὸ τῆς
ἡμέρας ἧς τεθεμελίωται ὁ ναὸς κυρίου, θέσθε ἐν ταῖς καρδίαις ὑμῶν, εἰ ἔτι ἐν γωνιαθήσεται ὁ
σῖτος ἐν ἀλῳ, καὶ ἔτι ἡ ἄμπελος, καὶ ἡ συκῆ, καὶ ἡ ῥόα, καὶ τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα καρ-
πόν, ἀπὸ τῆς ἡμέρας ταύτης εὐλογήσω. καὶ ἐγένετο λόγος κυρίου ἐκ δευτέρου πρὸς ἀγγαῖον τὸν
προφήτην, τετράδι καὶ εἰκάδι τοῦ μηνός, λέγων· εἰπὸν πρὸς ζοροβάβελ τὸν τοῦ σαλαθιὴλ, ἔ-
φυλῆς ἰούδα, λέγων· ἐγὼ σείω τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὴν ξηράν, καὶ
καταστρέψω θρόνους βασιλέων, καὶ ὀλεθρεύσω δυνάμεις βασιλέων τῶν ἐθνῶν. καὶ καταστρέ-
ἅρματα, καὶ ἀναβάτας, καὶ καταβήσονται ἵπποι, καὶ ἀναβάται αὐτῶν, ἕκαστος ἐν ῥομφαίᾳ τοῦ
ἐν ἀδελφοῦ αὐτοῦ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, λήψομαί σε ζοροβάβελ τὸν
τοῦ σαλαθιὴλ, τὸν δοῦλόν μου, λέγει κύριος. καὶ θήσομαί σε ὡς σφραγῖδα, διότι σε ἐξελεξά-
λέγει κύριος παντοκράτωρ.

Τέλος ἀγγαίου.

ΖΑΧΑΡΙΑΣ

ΚΕΦΑΛ. ἀ. ι.

ΕΝ τῷ ὀγδόῳ μηνὶ, ἔτους δευτέρου, ὡδὶ δαρείου, ἐγένετο λόγος κυρίου πρὸς ζα-
χαρίαν τὸν τοῦ βαραχίου, υἱὸν ἀδδὼ τὸν προφήτην, λέγων· ὠργίσθη κύριος
ὡδὶ ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην. καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει κύ-
ριος παντοκράτωρ· ἐπιστρέψατε πρός με, λέγει κύριος παντοκράτωρ, καὶ ἐπι-
στραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος παντοκράτωρ. καὶ μὴ γίνεσθε καθὼς οἱ
πατέρες ὑμῶν, οἷς ἐκάλεσαν αὐτοὺς οἱ προφῆται ἔμπροσθεν λέγοντες· τάδε λέγει κύριος
παντοκράτωρ, ἀπόστρεψατε ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τῶν πονηρῶν, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν
καὶ τῶν πονηρῶν, καὶ οὐκ εἰσήκουσαν, καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου, λέγει κύριος. οἱ πατέρες
ὑμῶν ποῦ εἰσι, καὶ οἱ προφῆται μὴ ἐν αἰῶνα ζήσονται; πλὴν οὓς λόγους μου, καὶ τὰ νόμιμά μου
ἐνετειλάμην, ὅσα ἐγὼ ἐνετείλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις, οἳ κατελάβοσαν
οὓς πατέρας ὑμῶν. καὶ ἀπεκρίθησαν, καὶ εἶπαν· καθὼς ἐβουλεύσατο κύριος παντοκράτωρ τοῦ
ποιῆσαι ἡμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως ἐποίησεν ἡμῖν. τῇ
τετράδι καὶ εἰκάδι, τοῦ ἑνδεκάτου μηνὸς, οὗτός ἐστιν ὁ μὴν σεβὰτ, ἐν τῷ δευτέρῳ ἔτει ὡδὶ
δαρείου, ἐγένετο λόγος κυρίου πρὸς ζαχαρίαν τὸν τοῦ βαραχίου, υἱὸν ἀδδὼ τὸν προφήτην λέ-
γων· ἑώρακα νυκτὸς, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἵππου πυρρόν, καὶ οὗτος εἱστήκει ἀνὰ μέσον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δύο τῶν ὀρέων τῶν χαλκοῦν, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυρροί, καὶ ψαροί, καὶ ποικίλοι, καὶ λευκοί. καὶ εἶπα· τί οὗτοι κύριε; καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· ἐγώ εἰμι δείξω σοι τί ὅτι ταῦτα. καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἑστηκὼς ἀνὰ μέσον τῶν ὀρέων, καὶ εἶπε πρός με· οὗτοί εἰσιν οὓς ἀπέστειλε κύριος περιοδεύσαι τὴν γῆν. καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ κυρίου τοῦ ἑστῶτος ἀνὰ μέσον τῶν ὀρέων, καὶ εἶπον· περιοδεύσαμεν τὴν γῆν, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται, καὶ ἡσυχάζει. καὶ ἀπεκρίθη ὁ ἄγγελος κυρίου, καὶ εἶπε· κύριε παντοκράτωρ ἕως τίνος οὐ μὴ ἐλεήσεις τὴν Ἰερουσαλήμ, καὶ τὰς πόλεις Ἰούδα ἃς ὠργίσθης; ταῦτα ἐβδομηκοστὸν ἔτος. καὶ ἀπεκρίθη κύριος παντοκράτωρ τῷ ἀγγέλῳ τῷ λαλοῦντί μοι, ῥήματα καλὰ, καὶ λόγους παρακλήσεως. καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ ἀνάκραγε λέγων· τάδε λέγει κύριος παντοκράτωρ, ἐζήλωκα τὴν Ἰερουσαλήμ, καὶ τὴν Σιὼν ζῆλον μέγα, καὶ ὀργὴν μεγάλην ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ σωτηρίᾳ ἐλπίδι· ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθηκαν εἰς κακά. διὰ τοῦτο λέγει κύριος· οὕτως ἐπιστρέψω ἐπὶ Ἰερουσαλήμ ἐν οἰκτιρμῷ, καὶ ὁ οἶκός μου ἀποικοδομηθήσεται ἐν αὐτῇ, λέγει κύριος παντοκράτωρ, καὶ μέτρον ἐκταθήσεται ἐπὶ Ἰερουσαλήμ. καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· ἔτι ἀνάκραγε λέγων· τάδε λέγει ὁ παντοκράτωρ, ἔτι διαχυθήσονται πόλεις ἐν ἀγαθοῖς, καὶ ἐλεήσει κύριος ἔτι τὴν Σιὼν, καὶ αἱρετιεῖ τὴν Ἰερουσαλήμ. καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ τέσσαρα κέρατα. καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· τί ὅτι ταῦτα κύριε; καὶ εἶπε πρός με· ταῦτα τὰ κέρατα τὰ διασκορπίζοντα τὸν Ἰούδα, καὶ τὸν Ἰσραὴλ, καὶ Ἰερουσαλήμ. καὶ ἔδειξέ μοι κύριος τέσσαρας τέκτονας, καὶ εἶπα· τί οὗτοι ἔρχονται ποιῆσαι; καὶ εἶπε· ταῦτα τὰ κέρατα τὰ διασκορπίζοντα τὸν Ἰούδα καὶ τὸν Ἰσραὴλ κατέξεαν, καὶ οὐδεὶς αὐτῶν ἦρε κεφαλήν. καὶ ἦλθοσαν οὗτοι τοῦ ἐξῶσαι αὐτὰ εἰς χεῖρας αὐτῶν. τὰ τέσσαρα κέρατα, τὰ ἔθνη τὰ ἐπαιρόμενα κέρας ἐπὶ τὴν γῆν κυρίου, τοῦ διασκορπίσαι αὐτήν.

ΚΕΦΑΛ. β'. 2.

ΚΑὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν. καὶ εἶπα πρὸς αὐτόν· ποῦ σὺ πορεύῃ; καὶ εἶπε πρός με· διαμετρῆσαι τὴν Ἰερουσαλήμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ὅτι, καὶ πηλίκον τὸ μῆκος. καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ εἰσήκει, καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτοῦ, καὶ εἶπε πρὸς αὐτὸν, λέγων· δράμε, καὶ λάλησον πρὸς τὸν νεανίαν ἐκεῖνον λέγων· κατάκαρπος κατοικηθήσεται Ἰερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων, καὶ κτήνων ἐν μέσῳ αὐτῆς, καὶ ἐγὼ ἔσομαι αὐτῇ λέγει κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. ὦ ὦ φεύγετε ἀπὸ γῆς Βορρᾶ, λέγει κύριος· διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς, λέγει κύριος, εἰς σιὼν διασώζεσθε οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος. διότι τάδε λέγει κύριος παντοκράτωρ· ὀπίσω δόξης ἀπέσταλκέ με, ὑπὲρ τῶν ἐθνῶν τῶν σκυλευσάντων ὑμᾶς, ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. διότι ἰδοὺ ἐγὼ σείω τὴν χεῖρά μου ἐπ' αὐτούς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐτοῖς. καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με. τέρπου καὶ θυγατέρα Σιὼν, διότι ἰδοὺ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος. καὶ καταφεύξονται ἔθνη πολλὰ ὑπὲρ τοῦ κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν. καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ γνώσῃ ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με πρός σε. καὶ κατακληρονομήσει κύριος τὸν Ἰούδαν, καὶ τὴν μερίδα αὐτοῦ ὑπὲρ τῆς γῆς τῆς ἁγίας, καὶ αἱρετιεῖ ἔτι τὴν Ἰερουσαλήμ. σύλαβέσθω πᾶσα σὰρξ ἀπὸ προσώπου κυρίου, διότι ἐξεγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ.

ΚΕΦΑΛ. γ'. 3.

ΚΑὶ ἔδειξε κύριος τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ προσώπου ἀγγέλου κυρίου, καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ. καὶ εἶπε κύριος πρὸς τὸν διάβολον, ἐπιτιμήσαι κύριος ἐν σοὶ διάβολε, καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἰερουσαλήμ. οὐκ ἰδοὺ οὗτος δαλὸς ἐξεσπασμένος ἐκ πυρός; καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρά, καὶ εἱστήκει πρὸ προσώπου τοῦ ἀγγέλου. καὶ ἀπεκρίθη καὶ εἶπε πρὸς τοὺς ἑστηκότας πρὸ προσώπου αὐτοῦ λέγων· ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ. καὶ εἶπε πρὸς αὐτόν· ἰδοὺ ἀφῄρηκα ἀπὸ σοῦ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περιελῶ, καὶ ἐνέδυσα αὐτὸν ποδήρη, καὶ ἐπίθετε μίτραν, καὶ ἐνέδυσαν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐπέθηκαν μίτραν, καὶ ἐνέδυσαν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ περιέβαλον αὐτὸν ἱμάτια. καὶ ὁ ἄγγελος κυρίου εἱστήκει, καὶ διεμαρτύρατο ὁ ἄγγελος κυρίου πρὸς Ἰησοῦν, λέγων· τάδε λέγει κύριος παντοκράτωρ· ἐὰν ἐν ταῖς ὁδοῖς μου πορεύσῃ, καὶ ἐν τοῖς προσταγμασί μου φυλάξῃς, καὶ σὺ διακρινεῖς τὸν οἶκόν μου, καὶ ἐὰν διαφυλάξῃς τὰς αὐλάς μου, καὶ δώσω σοι ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων. ἄκουε δὴ Ἰησοῦ ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώπου, διότι ἄνδρες τέρατος οὗτοί εἰσι, διότι ἐγὼ ἄγω τὸν δοῦλόν μου ἀνατολήν. διότι

ὁ λίθος ὃν ἔδωκα πρὸ προσώπου τοῦ Ἰησοῦ ὑπὲρ τὸν λίθον τὸν ἕνα, ἑπτὰ ὀφθαλμοί εἰσιν. ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον, λέγει κύριος παντοκράτωρ, καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐν ἡμέρᾳ μιᾷ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, συγκαλέσατε ἕκαστον τὸν πλησίον αὐτοῦ, ὑποκάτω ἀμπέλου, καὶ ὑποκάτω συκῆς.

ΚΕΦΑΛ. δ'. 4.

ΚΑΙ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐμοί, καὶ ἤγειρέ με ὡς ἄνθρωπος ἐκ τοῦ ὕπνου αὐτοῦ. καὶ εἶπε πρός με· τί σὺ βλέπεις; καὶ εἶπα· ἑώρακα, καὶ ἰδοὺ λυχνία ὅλη χρυσῆ, καὶ τὸ λαμπάδιον αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ ἑπτὰ ἐπιστομίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς, καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καὶ μία ἐξ ἀριστερῶν. καὶ ἐπηρώτησα, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί λέγων· τί ὅδε ταῦτα; καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπε πρός με λέγων· οὐ γινώσκεις τί ὅδε ταῦτα. εἶπα, οὐχί κύριε. καὶ ἀπεκρίθη καὶ εἶπε πρός με λέγων· οὗτος ὁ λόγος κυρίου πρὸς Ζοροβάβελ λέγων· οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ μεγάλῃ, ἀλλ' ἐν πνεύματί μου λέγει κύριος παντοκράτωρ. τί εἶ σὺ τὸ ὄρος τὸ μέγα; πρὸ προσώπου Ζοροβάβελ εἰς εὐθυσμόν· καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας, ἰσότητα χάριτος χάριτα αὐτῇ. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ τελειώσουσιν αὐτόν, καὶ γνώσῃ ὅτι κύριος παντοκράτωρ ἀπέσταλκά με πρός σε. ὅτι τίς ἐξουδένωσεν εἰς ἡμέρας μικράς, καὶ χαρήσονται, καὶ ὄψονται τὸν λίθον τὸν βασιστήριον ἐν χειρὶ Ζοροβάβελ. ἑπτὰ οὗτοι ὀφθαλμοί κυρίου εἰσὶν οἱ ἐμβλέποντες ὅλην τὴν γῆν. καὶ ἀπεκρίθην καὶ εἶπα πρὸς αὐτόν· τί αἱ δύο ἐλαῖαι αὗται, αἱ ἐκ δεξιῶν τῆς λυχνίας, καὶ ἐξ ἀριστερῶν; καὶ ἐπηρώτησα ἐκ δευτέρου, καὶ εἶπον πρὸς αὐτόν· τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν ἐκχεόντων, καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; καὶ εἶπε πρός με λέγων· οὐκ οἶδας τί ἐστι ταῦτα; καὶ εἶπα, οὐχί κύριε. καὶ εἶπεν, οὗτοι οἱ δύο υἱοὶ τῆς πότητος παρεστήκασι τῷ κυρίῳ πάσης τῆς γῆς.

ΚΕΦΑΛ. ε'. 5.

ΚΑΙ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ δρέπανον πετόμενον. καὶ εἶπε πρός με· τί σὺ βλέπεις; καὶ εἶπον ἐγώ· ὁρῶ δρέπανον πετόμενον μήκους πηχῶν εἴκοσι, καὶ πλάτος πηχῶν δέκα. καὶ εἶπε πρός με· αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς. διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται, καὶ ὡς οὗτος, λέγει κύριος παντοκράτωρ. καὶ εἰσελεύσονται εἰς τὸν οἶκον τοῦ κλέπτου, καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τὸ ὄνομά μου ἐπὶ ψεύδει, καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει καὶ τὰ ξύλα αὐτοῦ, καὶ τοὺς λίθους αὐτοῦ. καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπε πρός με· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἰδὲ τὸ ἐκπορευόμενον τοῦτο. καὶ εἶπα· τί ὅδε; καὶ εἶπε, τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. καὶ εἶπεν, αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. καὶ ἰδοὺ τάλαντον μολίβδου ἐξαιρόμενον, καὶ ἰδοὺ γυνὴ μία ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου. καὶ εἶπεν· αὕτη ὅση ἡ ἀνομία. καὶ ἔρριψεν αὐτὴν εἰς μέσον τοῦ μέτρου, καὶ ἔρριψε τὸν λίθον τοῦ μολίβδου εἰς τὸ στόμα αὐτῆς. καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, καὶ αὗται εἶχον πτέρυγας ὡς πτέρυγας ἐποπός, καὶ ἀνέλαβον τὸ μέτρον ἀνὰ μέσον τῆς γῆς, καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ. καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί, ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον; καὶ εἶπε πρός με, οἰκοδομῆσαι αὐτῇ οἰκίαν ἐν γῇ Βαβυλῶνος, καὶ ἑτοιμάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ.

ΚΕΦΑΛ. ς'. 6.

ΚΑΙ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ τέσσαρα ἅρματα ἐκπορευόμενα ἐκ μέσου δύο ὀρέων, καὶ τὰ ὄρη χαλκᾶ, ἐν τῷ ἅρματι τῷ πρώτῳ ἵπποι πυρροί, καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες, καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοί, καὶ ἐν τῷ ἅρματι τῷ τετάρτῳ ἵπποι ποικίλοι καὶ ψαροί. καὶ ἀπεκρίθην, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· τί ὅδε ταῦτα, κύριε; καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπε· ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, καὶ ἐκπορεύονται παραστῆσαι τῷ κυρίῳ πάσης τῆς γῆς. ἐν ᾧ ἦσαν ἵπποι οἱ μέλανες, ἐξεπορεύοντο ἐπὶ γῆν βορρᾶ, καὶ οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν αὐτῶν, καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν νότου, καὶ οἱ ψαροὶ ἐξεπορεύοντο, καὶ ἐπέβλεπον τοῦ πορευθῆναι καὶ περιοδεῦσαι τὴν γῆν. καὶ εἶπε· πορεύεσθε, καὶ περιοδεύσατε τὴν γῆν. καὶ περιῴδευσαν τὴν γῆν, καὶ ἀνέβησε, καὶ ἐλάλησε πρός με· ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βορρᾶ, ἀνέπαυσαν τὸν θυμόν μου ἐν γῇ βορρᾶ. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· λαβὲ τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων, καὶ παρὰ τῶν χρησίμων αὐτῆς, καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτήν. καὶ εἰσελεύσῃ σὺ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον Ἰωσίου τοῦ σοφονίου τοῦ ἥκοντος ἐκ Βαβυλῶνος, καὶ λήψῃ ἀργύριον καὶ χρυσίον, καὶ ποιήσεις στέφα-

νους,

νου, καὶ ὦσθήσεις ἀδὴ τὴν κεφαλὴν ἀπὸ τοῦ ἀπὸ τοῦ ἱερέως τοῦ μεγάλου. καὶ ὄψεῖς πρὸς αὐτὸν τάδε λέγει κύριος παντοκράτωρ· ἰδοὺ ἀνὴρ ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑπὸ κάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν οἶκον κυρίου, καὶ αὐτὸς λήψεται ἀρετὴν, καὶ καθιεῖται καὶ κατάρξει ἀδὴ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀνὰ μέσον ἀμφοτέρων. ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσι, καὶ τοῖς χρήσιμοις αὐτοῖς, καὶ τοῖς ἐπιγενομένοις αὐτοῖς, καὶ εἰς χάριτα τοῦ Σοφονίου, καὶ εἰς ψαλμὸν τοῦ οἴκου κυρίου, καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι, καὶ οἰκοδομήσουσιν τοῦ οἴκου κυρίου, καὶ γνώσεσθε διότι κύριος παντοκράτωρ ἀπέσταλκέ με πρὸς ὑμᾶς. καὶ ἔσται, ἐὰν εἰσακούοντες εἰσακούσητε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν.

ΚΕΦΑΛ. ζ'. 7.

Καὶ ἐγένετο τοῦ τετάρτου ἔτους, ἀδὴ ἐλάλησε τοῦ βασιλέως ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν, τετραδὶ τοῦ μηνὸς τοῦ ἐνάτου, ὃς ἐστὶ χασελεῦ, καὶ ἀπέστειλαν εἰς Βαθήλ, σαρασὰρ καὶ ἀβδὰθ Ναγὲρ ὁ βασιλεὺς, καὶ οἱ ἄνδρες αὐτοῦ ἐξιλάσασθαι τὸν κύριον, λέγων πρὸς τοὺς ἱερεῖς τοὺς τοῦ οἴκου κυρίου παντοκράτορος, καὶ πρὸς τοὺς προφήτας λέγων· εἰσελήλυθεν ὧδε τοῦ μηνὶ τοῦ πέμπτου τὸ ἁγίασμα, καθότι ἐποίησαν ἤδη ἱκανὰ ἔτη. καὶ ἐγένετο λόγος κυρίου τοῦ δυνάμεως πρὸς ἐμὲ λέγων· εἰπὲ πρὸς πάντα τὸν λαὸν τῆς γῆς, καὶ πρὸς τοὺς ἱερεῖς λέγων· ἐὰν νηστεύσητε, καὶ κόψησθε τοῦ τετάρτου, καὶ τοῦ ἑβδόμου, καὶ ἰδοὺ ἑβδομήκοντα ἔτη, μὴ νηστείαν νενηστεύκατέ μοι; καὶ ἐὰν φάγητε, καὶ πίητε, οὐχ ὑμεῖς ἐσθίετε καὶ ὑμεῖς πίνετε; οὐχ οὗτοί εἰσιν οἱ λόγοι οὓς ἐλάλησε κύριος τοῦ χθὲς τῶν προφητῶν τῶν ἔμπροσθεν; ὅτε καὶ Ἰερουσαλὴμ κατῳκισμένη καὶ εὐφραίνουσα, καὶ αἱ πόλεις αὐτῆς κυκλόθεν, καὶ ἡ ὀρεινὴ, καὶ ἡ πεδινὴ κατῳκεῖτο. καὶ ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν λέγων· τάδε λέγει κύριος παντοκράτωρ· κρῖμα δίκαιον κρίνετε, καὶ ἔλεος, καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. καὶ μὴ μνησικακεῖτε τοῦ ταῖς καρδίαις ὑμῶν. καὶ ἠπείθησαν τοῦ προσέχειν, καὶ ἔστησαν νῶτον παραφρονοῦντα, καὶ τὰ ὦτα αὐτῶν ἐβάρυνον τοῦ μὴ εἰσακούειν, καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ, τοῦ μὴ εἰσακούειν τοῦ νόμου μου, καὶ τοὺς λόγους μου οὓς ἀπέστειλε κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χειρὶ τῶν προφητῶν ἔμπροσθεν. καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ κυρίου παντοκράτορος. καὶ ἔσται, ὃν τρόπον ἐκάλεσα, καὶ οὐκ εἰσήκουσαν αὐτοῦ, οὕτως διεπράξοντο, καὶ οὐ μὴ εἰσακούσω λέγει κύριος ὁ παντοκράτωρ. καὶ ἐκβαλῶ αὐτοὺς εἰς πάντα τὰ ἔθνη, ἃ οὐκ ἔγνωσαν. καὶ ἡ γῆ ἀφανισθήσεται ἀπόπισθεν αὐτῶν, ἐκ διοδεύοντος καὶ ἀναστρέφοντος, καὶ ἔταξαν τὴν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν.

ΚΕΦΑΛ. η'. 8.

Καὶ ἐγένετο λόγος κυρίου παντοκράτορος λέγων· τάδε λέγει κύριος παντοκράτωρ· ἐζήλωκα τὴν Ἰερουσαλὴμ, καὶ τὴν σιὼν ζῆλον μέγα, καὶ θυμῷ μεγάλῳ ἐζήλωκα αὐτήν. τάδε λέγει κύριος· οὕτως ἐπιστρέψω ἀδὴ σιὼν, καὶ κατασκηνώσω ἐν μέσῳ Ἰερουσαλὴμ, καὶ κληθήσεται Ἰερουσαλὴμ πόλις ἀληθινὴ, καὶ τὸ ὄρος κυρίου παντοκράτορος ὄρος ἅγιον. τάδε λέγει κύριος παντοκράτωρ· ἔτι καθήσονται πρεσβύτεροι, καὶ πρεσβύτεραι ἐν ταῖς πλατείαις Ἰερουσαλὴμ, ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ ἀπὸ πλήθους ἡμερῶν. καὶ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιζόντων καὶ παιζουσῶν ἐν ταῖς πλατείαις αὐτῆς. τάδε λέγει κύριος παντοκράτωρ· εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις, μὴ ἐνώπιόν μου ἀδυνατήσει, λέγει κύριος παντοκράτωρ; τάδε λέγει κύριος παντοκράτωρ· ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν, καὶ ἀπὸ γῆς δυσμῶν, καὶ εἰσάξω αὐτούς, καὶ κατασκηνώσω ἐν μέσῳ Ἰερουσαλὴμ, καὶ ἔσονταί μοι εἰς λαόν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς θεόν, ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ. τάδε λέγει κύριος παντοκράτωρ· καταισχυνθήτωσαν αἱ χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν προφητῶν, ἀφ' ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος κυρίου παντοκράτορος, καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται. διότι πρὸ τῶν ἡμερῶν ἐκείνων ὁ μισθὸς τοῦ ἀνθρώπου οὐκ ἔσται εἰς ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπάρξει, καὶ τοῖς εἰσπορευομένοις καὶ τοῖς ἐκπορευομένοις οὐκ ἔσται εἰρήνη ἀπὸ τῆς θλίψεως. καὶ ἀποστελῶ πάντας τοὺς ἀνθρώπους, ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ. καὶ νῦν οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ τοῖς καταλοίποις τοῦ λαοῦ τούτου, λέγει κύριος παντοκράτωρ, ἀλλ' ἢ σπέρμα εἰρηνικόν. ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἡ γῆ δώσει τὰ γενήματα αὐτῆς. καὶ ὁ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ, καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου ταῦτα πάντα. καὶ ἔσται ὃν τρόπον ἦτε κατάρα ἐν τοῖς ἔθνεσιν οἶκος Ἰούδα, καὶ οἶκος Ἰσραὴλ, οὕτως διασώσω ὑμᾶς, καὶ ἔσεσθε εὐλογία. θαρσεῖτε, καὶ καλισχύετε ἐν ταῖς χερσὶν ὑμῶν, διότι τάδε λέγει κύριος παντοκράτωρ· ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει κύριος, καὶ οὐ μετενόησα, οὕτως παρατέτακμαι, καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις τοῦ καλῶς ποιῆσαι Ἰερουσα-

ζαλήμ, καὶ τὸν οἶκον Ἰούδα. θαρσεῖτε, οὗτοι οἱ λόγοι οὓς ποιήσετε. λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ἀλήθειαν καὶ κρίμα εἰρηνικὸν, καὶ δίκαιον κρίνετε ἐν ταῖς πύλαις ὑμῶν, καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν. καὶ ὅρκον ψεύδους μὴ ἀγαπᾶτε. διότι ταῦτα πάντα ἐμίσησα, λέγει κύριος παντοκράτωρ. καὶ ἐγένετο λόγος κυρίου παντοκράτορος πρός με λέγων· τάδε λέγει κύριος παντοκράτωρ· νηστεία τετάρτη, καὶ νηστεία πέμπτη, καὶ νηστεία ἑβδόμη, καὶ νηστεία δεκάτη, ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν, καὶ εἰς εὐφροσύνην, καὶ εἰς ἑορτὰς ἀγαθάς. καὶ εὐφραίνεσθε, καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε. τάδε λέγει κύριος παντοκράτωρ· ἔτι ἥξουσι λαοὶ πολλοὶ, καὶ κατοικοῦντες πόλεις πολλὰς, καὶ συναθροισθήσονται κατοικοῦντες μίαν, εἰς μίαν πόλιν, λέγοντες· πορευθῶμεν πορευόμενοι τοῦ προσῶπα κυρίου δεηθῆναι, καὶ ἐκζητῆσαι τὸ πρόσωπον κυρίου παντοκράτορος. πορεύσομαι καὶ ἐγὼ, καὶ ἥξουσι λαοὶ πολλοὶ καὶ ἔθνη πολλὰ, καὶ ἐκζητήσουσι τὸ πρόσωπον κυρίου παντοκράτορος ἐν Ἰερουσαλήμ, ἐξιλάσασθαι τὸ πρόσωπον κυρίου. τάδε λέγει κύριος παντοκράτωρ· ἐν ταῖς ἡμέραις ἐκείναις, ἐὰν ἐπιλάβωνται δέκα ἀνδρῶν ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν, καὶ ἐπιλάβωνται τοῦ ἱματίου ἀνδρὸς Ἰουδαίου, λέγοντες· πορευσόμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν ὅτι ὁ θεὸς μεθ' ὑμῶν ἐστιν εἰς τέλος.

ΚΕΦΑΛ. θ'. 9.

Λῆμμα λόγου κυρίου ἐν γῇ Ἀδράχ, καὶ Δαμάσκου θυσία αὐτοῦ, διότι κύριος ἐφορᾷ ἀνθρώπους, καὶ πάσας φυλὰς τοῦ Ἰσραήλ. καὶ Ἐμαθὲ τοῖς ὁρίοις αὐτῆς Τύρος καὶ Σιδὼν, διότι ἐφρόνησε σφόδρα. καὶ ᾠκοδόμησε Τύρος ὀχύρωμα αὐτῆς, καὶ ἐθησαύρισεν ἀργύριον ὡς χοῦν. καὶ σωρὸν ἄγε χρυσίου ὡς πηλὸν ὁδῶν. διὰ τοῦτο κύριος κληρονομήσει αὐτὴν, καὶ πατάξει εἰς θάλασσαν δύναμιν αὐτῆς, καὶ αὐτὴ ἐν πυρὶ κατανα λωθήσεται. ὄψεται Ἀσκάλων, καὶ φοβηθήσεται, καὶ Γάζα, καὶ ὀδυνηθήσεται σφόδρα, καὶ Ἀκκάρων, ὅτι ἠσχύνθη τὴν ἐλπίδα αὐτῆς. καὶ ἀπολεῖται Βασιλεὺς ἐκ Γάζης, καὶ Ἀσκάλων οὐ μὴ κατοικηθῇ. καὶ κατοικήσουσιν ἀλλογενεῖς ἐν Ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλοφύλων, καὶ ἀφελῶ τὸ αἷμα αὐτῶν ἐκ στόματος αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἐκ μέσου ὀδόντων αὐτῶν. καὶ καταλειφθήσονται καὶ οὗτοι τῷ θεῷ ἡμῶν, καὶ ἔσονται ὡς χιλιαρχος ἐν Ἰούδα, καὶ Ἀκκάρων ὡς ὁ Ἰεβουσαῖος. καὶ παρεμβαλῶ τῷ οἴκῳ μου ἀπὸ παρεμβολῆς, μὴ διέλθῃ μηδὲ ἀναστρέψῃ· καὶ οὐ μὴ ἐπέλθῃ ἐπ' αὐτοὺς ἔτι ἐπιλαμβανόμενος, διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου. χαῖρε σφόδρα θύγατερ Σιών, κήρυσσε θύγατερ Ἰερουσαλήμ. ἰδοὺ ὁ Βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων αὐτὸς, πραΰς καὶ ἐπιβεβηκὼς ὑπὲρ ὑποζύγιον καὶ πῶλον νέον, καὶ ἐξολεθρεύσει ἅρματα ἐξ Ἐφραὶμ, καὶ ἵππον ἐξ Ἰερουσαλήμ, ἐξολεθρευθήσεται τόξον πολεμικὸν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν, καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως βολὰς γῆς. καὶ σὺ ἐν αἵματι διαθήκης ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ, καθήσεσθε ἐν ὀχυρώματι δέσμιοι ἐπὶ σωτηρίᾳ, καὶ αὐτὴ μιᾶς ἡμέρας ποιοῦσα δίπλᾶ αὐτὰ ἀποδώσω, διότι ἐνέτεινά σε ἐμαυτῷ Ἰούδα τόξον, ἔπλησα τὸν Ἐφραὶμ, καὶ ἐξεγερῶ τὰ τέκνα σου Σιὼν ἐπὶ τὰ τέκνα σου Ἑλλάδος, καὶ ἐποίησά σε ὡς ῥομφαίαν μαχητοῦ, καὶ κύριος ἔσται ἐπ' αὐτοῖς, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ. καὶ κύριος ὁ θεὸς ὁ παντοκράτωρ ἐν σάλπιγγι σαλπίσει, καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. κύριος παντοκράτωρ καταπαύσει αὐτῶν, καὶ καταναλώσουσιν αὐτοὺς ἐν λίθοις σφενδόνης, καὶ ἐκπίονται τὸ αἷμα αὐτῶν ὡς οἶνον, καὶ πλήσουσι τὰς φιάλας ὡς θυσιαστήριον, καὶ σώσει αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς πρόβατα λαὸν αὐτοῦ. διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ γῆς αὐτοῦ, ὅτι εἴ τι ἀγαθὸν αὐτῷ, καὶ εἴ τι καλὸν παρ' αὐτοῦ. σίτος νεανίσκοις, καὶ οἶνος δύσκολα ἔσται εἰς πρωθήβας.

ΚΕΦΑΛ. ι'. 10.

Αἰτεῖσθε παρὰ κυρίου ὑετὸν καθ' ὥραν, πρώϊμον καὶ ὄψιμον, κύριος ἐποίησε φαντασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑνάστῳ βοτάνην ἐν ἀγρῷ. διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ οἱ μάντεις ὁράσεις ψευδεῖς, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλησαν, μάταια παρεκάλεσαν. διὰ τοῦτο ἐξεπράνθησαν ὡς πρόβατα, καὶ ἐκακώθησαν ὅτι οὐκ ἦν ἴασις. ἐπὶ τοῖς ποιμέσιν ἐθυμώθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι, καὶ ἐπισκέψεται κύριος ὁ θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ, τὸν οἶκον Ἰούδα, καὶ τάξει αὐτοὺς ὡς ἵππον δύναμιν αὐτοῦ ἐν πολέμῳ, καὶ ἐξ αὐτοῦ ἐπιβλέψει, καὶ ἐξ αὐτοῦ ἔταξε, καὶ ἐξ αὐτοῦ τὸ τόξον ἐν πνεύματι θυμοῦ, καὶ ἐξ αὐτοῦ ἐξελεύσεται πᾶς ἐξορμῶν ἐν αὐτῷ. καὶ ἔσονται ὡς μαχηταὶ πατοῦντες πηλὸν ἐν ταῖς ὁδοῖς ἐν πολέμῳ, καὶ πολεμήσουσι, ὅτι κύριος μετ' αὐτῶν. καὶ καταισχυνθήσονται καταβάται ἵππων, καὶ καλαισχύνω τὸν οἶκον Ἰούδα, καὶ τὸν οἶκον Ἰωσὴφ σώσω, καὶ κατοικιῶ αὐτοὺς, ὅτι ἠγάπησα αὐτοὺς, καὶ ἔσονται ὃν τρόπον οὐκ ἀπέστρεψα αὐτούς. διότι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν, καὶ ἐπακούσομαι αὐτῶν, καὶ ἔσονται ὡς μαχηταὶ τοῦ Ἐφραὶμ, καὶ χαρήσεται ἡ καρδία αὐτῶν ὡς ἐν οἴνῳ, καὶ τὰ τέκνα ὄψονται, καὶ εὐφρανθήσονται, καὶ χαρήσεται ἡ καρδία

διὰ αὐτὸν ὑπὸ τοῦ κυρίου. σημαίνω αὐτοῖς, καὶ εἰσελεύσομαι αὐτοὺς, διότι λυτρώσομαι αὐτοὺς, καὶ πληθυνθήσονται καθότι ἦσαν πολλοί. καὶ σπερῶ αὐτοὺς ἐν λαοῖς, καὶ οἱ μακρὰν αὐτῶν μνησθήσονταί μου, ἐκθρέψουσι τὰ τέκνα αὐτῶν, καὶ ἐπιστρέψουσι. καὶ ἐπιστρέψω αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ Ἀσσυρίων εἰσελεύσομαι αὐτούς, καὶ εἰς γῆν Γαλαὰδ, εἰς τὸν Λίβανον εἰσάξω αὐτούς, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν οὐδὲ εἷς, καὶ διελεύσονται ἐν θαλάσσῃ στενῇ, καὶ πατάξουσι ἐν θαλάσσῃ λύματι, καὶ ξηρανθήσονται πάντα τὰ βάθη ποταμοῦ, καὶ ἀφαιρεθήσεται πᾶσα ὕβρις Ἀσσυρίων, καὶ σκῆπτρον Αἰγύπτου ἀποδιαρεθήσεται, καὶ καταισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ καταπαυθήσονται, λέγει κύριος.

ΚΕΦΑΛ. ιά'. 11.

Διάνοιξον ὁ Λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰ δένδρα σου. ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. ὀλολύξατε δρυῦς τῆς Βασανίτιδος, ὅτι κατεπάτηται ὁ δρυμὸς ὁ σύμφυτος. φωνὴ θρηνούντων ποιμένων, ὅτι ταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν. φωνὴ ὠρυομένων λεόντων, ὅτι ταλαιπώρηκε τὰ φρυάγματα τοῦ Ἰορδάνου. τάδε λέγει κύριος· ποίμαινε τὰ πρόβατα τῆς σφαγῆς, ἃ οἱ κτησάμενοι κατέσφαξαν, καὶ οὐ μετεμελήθησαν, καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον· εὐλογητὸς κύριος, ὅτι πεπλούτηκαμεν, καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἐφείσαντο ἐπ' αὐτοῖς. διατοῦτο οὐ φείσομαι οὐκέτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει κύριος. καὶ ἰδοὺ ἐγὼ παραδίδωμι τοὺς ἀνθρώπους, ἕκαστον εἰς χεῖρας τοῦ πλησίον αὐτοῦ, καὶ κατακόψουσι τὴν γῆν, καὶ οὐ μὴ ἐξέλωμαι ἐκ χειρὸς αὐτῶν, καὶ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς εἰς τὴν χαναανῖτιν. καὶ λήψομαι ἐμαυτῷ δύο ῥαβδίδας, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα, καὶ ποιμανῶ τὰ πρόβατα, καὶ ἀρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς. καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπορεύοντο ἐπ' ἐμέ. καὶ εἶπα· οὐ ποιμανῶ ὑμᾶς. τὸ ἀρθὲν οὐ ἀποθνῃσκετω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ καταλοιπὰ καταφαγέτωσαν ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν, καὶ ἀκρρίψω αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς, καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος κυρίου ἐστί. καὶ ἐρῶ πρὸς αὐτούς· εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε. καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργύρους. καὶ εἶπε κύριος πρός με· κάθου αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. καὶ ἔλαβον τοὺς τριάκοντα ἀργύρους, καὶ ἐνέβαλον εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον, καὶ ἀπέῤῥιψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ. καὶ εἶπε κύριος πρός με· ἔτι λάβε σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος ἀπείρου, διότι ἰδοὺ ἐγὼ ἐξεγείρω ποιμένα ἐπὶ τὴν γῆν, τὸ ἐκλεῖπον οὐ μὴ ἐπισκέψηται, καὶ τὸ ἔσκορπισμένον οὐ μὴ ζητήσει, καὶ τὸ συντετριμμένον οὐ μὴ ἰάσηται, καὶ τὸ ὁλόκληρον οὐ μὴ καταδυθωθῇ, καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται, καὶ τὰς ἀστραγάλους αὐτῶν ἐκτρίψει. ὡς ὑπομένοντος τὰ πρόβατα, καὶ καταλελοιπότος τὰ πρόβατα. μάχαιρα ἐπὶ τὸν βραχίονα αὐτοῦ, καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ, ὁ βραχίων αὐτοῦ ξηρανθήσεται, καὶ ὁ ὀφθαλμὸς ὁ δεξιὸς αὐτοῦ ἐκτυφλωθήσεται.

ΚΕΦΑΛ. ιβ'. 12.

Λῆμμα λόγου κυρίου ἐπὶ τὸν Ἰσραήλ, λέγει κύριος, ἐκτείνων οὐρανὸν, καὶ θεμελιῶν γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ· ἰδοὺ ἐγὼ τίθημι τὴν Ἰερουσαλὴμ, ὡς πρόθυρα καλυπτόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ, καὶ ἔσται περοχὴ ἐπὶ Ἰερουσαλήμ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τὴν Ἰερουσαλὴμ λίθον καταπατούμενον. πᾶς ὁ καταπατῶν αὐτὸν ἐμπαίζων ἐμπαίζεται, καὶ συναχθήσονται ἐπ' αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, πατάξω πᾶν ἵππον ἐν ἐκπλήξει, καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει, ἐπὶ δὲ τὸν οἶκον Ἰούδα διανοίξω τοὺς ὀφθαλμούς μου, καὶ πάντας τοὺς ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει. καὶ ὄψονται οἱ χιλίαρχοι Ἰούδα πάντες ἐν ταῖς καρδίαις αὐτῶν· εὑρήσομεν ἐν ἑαυτοῖς κατοικοῦντας Ἰερουσαλὴμ, ἐν κυρίῳ παντοκράτορι θεῷ αὐτῶν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχας Ἰούδα ὡς πλευρὸν πυρὸς ἐν καλάμῃ, καὶ καυσοῦντας ἐν δεξιᾷ καὶ ἐξ ἀριστερῶν πάντας τοὺς λαοὺς κυκλόθεν, καὶ κατοικίσει Ἰερουσαλὴμ ἔτι καθ' ἑαυτὴν ἐν Ἰερουσαλήμ, καὶ σώσει κύριος τὰ σκηνώματα Ἰούδα, καθὼς ἀπ' ἀρχῆς, ὅπως μεγαλύνηται καύχημα οἴκου Δαβίδ, καὶ ἔντασις τῶν κατοικούντων Ἰερουσαλὴμ ὑπὲρ τοῦ Ἰούδα. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπιβλέψομαι κύριος τοῦ κατοικοῦντα Ἰερουσαλὴμ, καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς Δαβίδ, ὁ δὲ οἶκος Δαβὶδ ὡς οἶκος θεοῦ, ὡς ἄγγελος κυρίου ἐνώπιον αὐτῶν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχόμενα ἐπὶ Ἰερουσαλὴμ, καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαβὶδ, καὶ ἐπὶ τοὺς κατοικοῦντας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἱερουσαλὴμ, πανδοχεῖα χωρὶς καὶ οἰκέρμου. καὶ ἀπιβλέψονται πρός με, εἰς ὃν ἐξεκέντησαν αὐθ' ὧν κατωρχήσαντο. καὶ κόψονται ἐπ' αὐτῷ κοπετὸν, ὡς ἀγαπητῷ, καὶ ὀδυνηθήσονται ὀδυνίαν ὡς ἐπὶ πρωτοτόκῳ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μεγαλυνθήσεται ὁ κοπετὸς ἐν ἱερουσαλὴμ, ὡς κοπετὸς ῥοῶν ἐν πεδίῳ ἐκκοπομένῳ, καὶ κόψεται ἡ γῆ κατὰ φυλὰς φυλάς. φυλὴ οἴκου δαβὶδ κατ' ἐαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν κατ' ἐαυτάς. φυλὴ οἴκου νάθαν κατ' ἐαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν κατ' ἐαυτάς. φυλὴ οἴκου συμεὼν κατ' ἐαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν κατ' αὐτάς. πᾶσαι περιλελειμμέναι φυλαὶ, φυλὴ κατ' αὐτὴν, καὶ αἱ γυναῖκες αὐτῶν κατ' αὐτὴν, καὶ αἱ γυναῖκες αὐτῶν κατ' ἐαυτάς.

ΚΕΦΑΛ. ιγ'. 13.

ΕΝ τῇ ἡμέρᾳ ἐκείνῃ ἔσαι πᾶς τόπος διανοιγόμενος οἴκῳ δαβὶδ, καὶ τοῖς κατοικοῦσιν ἱερουσαλὴμ εἰς πλύσιν μετακίνησιν, καὶ εἰς τὸν ῥαντισμόν. καὶ ἔσαι τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος σαββαὼθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκ ἔτι αὐτῶν ἔσαι μνεία. καὶ τοὺς ψευδοπροφήτας, καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαιρῶ ἀπὸ τῆς γῆς. καὶ ἔσαι ἐὰν προφητεύσῃ ἄνθρωπος ἔτι, καὶ ἐροῦσι πρὸς αὐτὸν οἱ πατέρες αὐτοῦ, καὶ ἡ μήτηρ αὐτοῦ οἱ γεννήσαντες αὐτόν· οὐ ζήσῃ, ὅτι ψευδῆ ἐλάλησας ἐπ' ὀνόματι κυρίου, καὶ συμπολεμήσουσιν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἡ μήτηρ αὐτοῦ, οἱ γεννήσαντες αὐτὸν ἐν τῷ προφητεύειν αὐτόν. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταισχυνθήσονται οἱ προφῆται, ἕκαστος ἐκ τῆς ὁράσεως αὐτοῦ, ἐν τῷ προφητεύειν αὐτὸν, καὶ οὐδὲ μὴ ἐνδύσονται διέρριν τριχίνην, αὐθ' ὧν ἐψεύσαντο. καὶ ἐρεῖ· οὐκ εἰμὶ προφήτης ἐγὼ, ἀλλ' ἄνθρωπος ὀργαζόμενος τὴν γῆν ἐγώ εἰμι, ὅτι ἄνθρωπος ἐκτήσατό με ἐκ νεότητός μου. καὶ ἐρεῖ πρὸς αὐτόν· τί αἱ πληγαὶ αὗται ἀνὰ μέσον τῶν χειρῶν σου; καὶ ἐρεῖ· ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῶν ἀγαπητῶν μου. ῥομφαία, ἐξεγείρθητι ἐπὶ τοὺς ποιμένας μου, καὶ ἐπὶ ἄνδρα πολίτην αὐτοῦ, λέγει κύριος παντοκράτωρ. πάταξον τοὺς ποιμένας, καὶ διασκορπισθήτωσαν τὰ πρόβατα, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, τὰ δύο μέρη ἐν αὐτῇ ἐξολοθρευθήσεται, καὶ ἐκλείψει, τὸ δὲ τρίτον περιλειφθήσεται ἐν αὐτῇ. καὶ διάξω τὸ τρίτον διὰ πυρὸς, καὶ πυρώσω αὐτοὺς ὡς πυροῦται τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτοὺς ὡς δοκιμάζεται τὸ χρυσίον. αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου, καὶ ἐγὼ ἐπακούσομαι αὐτοῦ, καὶ ὀρῶ· λαός μου οὗτος ὄει. καὶ αὐτὸς ὀρεῖ· κύριος ὁ θεός μου.

ΚΕΦΑΛ. ιδ'. 14.

ΙΔΟΥ ἡμέραι ὀρχοῦνται κυρίου, καὶ διαμεριοῦνται τὰ σκῦλά σου ἐν σοί, καὶ συνάξω πάντα τὰ ἔθνη ἐπὶ ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλωσεται ἡ πόλις, καὶ διαρπασθήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως. καὶ ἐξελεύσεται κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου. καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ κατέναντι ἱερουσαλὴμ ἐξ ἀνατολῶν. καὶ χιθήσεται τὸ ὄρος τῶν ἐλαιῶν τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς, καὶ θάλασσαν, χάος μέγα σφόδρα. καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς τὸν βορρᾶν, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον, καὶ ἐμφραχθήσεται ἡ κοιλὰς τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων ἕως ἀσηλ, καὶ ἐμφραχθήσεται ὃν τρόπον ἐνέφραγη ἀπὸ προσώπου τοῦ σεισμοῦ ἐν ἡμέραις ὀζίου βασιλέως ἰούδα. καὶ παρέσαι κύριος ὁ θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. καὶ ἔσαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἔσαι φῶς καὶ ψύχος, καὶ πάγος ἔσαι μίαν ἡμέραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωσθήσεται τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ νύξ, καὶ πρὸς ἑσπέραν ἔσαι φῶς. καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ ἱερουσαλὴμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, ἐν θέρει καὶ ἐν ἔαρι ἔσαι οὕτως. καὶ ἔσαι κύριος εἰς βασιλέα ὅλης τῆς γῆς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσαι κύριος εἷς τὸ ὄνομα κυρίου ἐν, κυκλῷ πάσαν τὴν γῆν, καὶ τὸν ἑρμὼν ἀπὸ γαλααδ ἕως ῥεμμὼν, κατὰ νότον ἱερουσαλὴμ. ῥαμὰ δὲ ὅλη τόπου μενεῖ, ἀπὸ τῆς πύλης βενιαμὶν ἕως τοῦ τόπου τῆς πύλης τῆς πρώτης, ὅλη πύλῃ τῇ γωνιῶν, καὶ ἕως τοῦ πύργου ἀναμεήλ, ἕως τῶν ὑπολωνίων τοῦ βασιλέως, κατοικήσουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκ ἔσαι ἔτι, καὶ κατοικήσει ἱερουσαλὴμ πεποιθότως, καὶ αὕτη ἔσαι ἡ πληγὴ ἣν πατάξει κύριος πάντας τοὺς λαοὺς, οἳ ἐπεστράτευσαν ὅλῃ ἱερουσαλήμ. πακήσονται αἱ σάρκες αὐτῶν ἑστῶτων ὅλων τοὺς πόδας αὐτῶν. οἱ ὀφθαλμοὶ αὐτῶν ῥυήσονται ἐκ τῶν ὀπῶν αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν πακήσεται ἐν τοῖς σώμασιν αὐτῶν. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκστασις κυρίου μεγάλη ἐπ' αὐτούς. καὶ ἐπιλήψεται ἕκαστος τῆς χειρὸς τοῦ πλησίον αὐτοῦ, καὶ συμπλακήσεται ἡ χεὶρ αὐτοῦ πρὸς τὴν χεῖρα τοῦ πλησίον αὐτοῦ, καὶ ἰούδας παραταξεται ἐν ἱερουσαλήμ. καὶ συναχθήσεται τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν, χρυσίον καὶ ἀργύριον, καὶ ἱματισμὸν εἰς πολὺ πλῆθος σφόδρα. καὶ οὕτη ἔσαι ἡ πληγὴ τῶν ἵππων καὶ τῶν ἡμιόνων, καὶ τῶν καμήλων, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τῶν ὄνων, καὶ πάντων τῶν κτηνῶν τῶν ὄντων ἐν ταῖς παρεμβολαῖς ἐκείναις, κατὰ τὴν πῶσιν ταύτην. καὶ ἔσται, ὅσοι ἐὰν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ἱερουσαλήμ, καὶ ἀναβήσονται κατ' ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ Βασιλεῖ κυρίῳ παντοκράτορι, καὶ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῶν σκηνοπηγίας. καὶ ἔσαι ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς εἰς Ἱερουσαλήμ, τοῦ προσκυνῆσαι τῷ Βασιλεῖ κυρίῳ παντοκράτορι, καὶ οὐκ ἐκείνοις προστεθήσονται, οὐκ ἔσαι ἐπ' αὐτοῖς ὑετός. ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ, μηδὲ ἔλθῃ, καὶ ὧδε πρόσται ἔσαι ἡ πῶσις, ἣν παταξει κύριος πάντα τὰ ἔθνη, ὅσα οὐ μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῶν σκηνοπηγίας. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσαι τὸ χαλινὸν τοῦ ἵππου σου, ἅγιον τῷ κυρίῳ. καὶ ἔσονται οἱ λέβητες ἐν τῷ οἴκῳ κυρίου ὡς φιάλαι πρὸ προσώπου τοῦ θυσιαστηρίου, καὶ ἔσαι πᾶς λέβης ἐν Ἱερουσαλήμ, καὶ ἐν τῷ ἰούδα ἅγιον τῷ κυρίῳ παντοκράτορι. καὶ ἥξουσι πάντες οἱ θυσιάζοντες, καὶ λήψονται ἐξ αὐτῶν, καὶ ἑψήσουσιν ἐν αὐτοῖς, καὶ μὴ ἔσαι χαναναῖος ἔτι ἐν τῷ οἴκῳ κυρίου τῶν δυνάμεων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Τέλος Ζαχαρίου.

ΜΑΛΑΧΙΑΣ.

ΚΕΦΑΛ. α'. ι.

Ημμα λόγου κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ· θέσθε δὲ ἐπὶ τὰς καρδίας ὑμῶν. ἠγάπηκα ὑμᾶς, λέγει κύριος, καὶ εἴπατε· ἐν τίνι ἠγάπησας ἡμᾶς; οὐκ ἀδελφὸς ἦν Ησαῦ τοῦ Ιακώβ, λέγει κύριος, καὶ ἠγάπησα τὸν Ιακώβ, τὸν δὲ Ησαῦ ἐμίσησα; καὶ ἔταξα τὰ ὄρια αὐτοῦ εἰς ἀφανισμόν, καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δράκοντας ἐρήμου; διότι ἐρεῖ ἡ Ιδουμαία κατέστραπται, καὶ ἀποστρέψωμεν, καὶ οἰκοδομήσωμεν τὰς ἠφανισμένας αὖθις. τάδε λέγει κύριος παντοκράτωρ· αὐτοὶ οἰκοδομήσουσι, καὶ ἐγὼ καταστρέψω, καὶ οὐ κληθήσεται αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ' ὃν πεπρόσταπται κυρίῳ ἕως αἰῶνος. καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε· ἐμεγαλύνθη κύριος ἐπάνω τῶν ὁρίων τοῦ Ισραήλ. υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον ἑαυτοῦ φοβηθήσεται. καὶ εἰ πατὴρ εἰμὶ ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι ἐγώ, πᾶ ἐστιν ὁ φόβος μου; λέγει κύριος παντοκράτωρ. ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου, καὶ εἴπατε· ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά σου; προσάγοντες πρὸς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγημένους, καὶ εἴπατε· ἐν τίνι ἠλισγήσαμεν αὐτούς; ἐν τῷ λέγειν ὑμᾶς, τράπεζα κυρίου ἐξουθενωμένη ἐστί, καὶ τὰ ἐπιτιθέμενα ἐξουθενῶται. διότι ἐὰν προσάγητε τυφλὸν εἰς θυσίας, οὐ κακόν; καὶ ἐὰν προσάγῃ χωλὸν ἢ ἄρρωστον, οὐ κακόν; προσάγαγε δὴ αὐτῷ τῷ ἡγουμένῳ σου, εἰ προσδέξεταί σε, εἰ λήψεται πρόσωπόν σου, λέγει κύριος παντοκράτωρ. καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ θεοῦ ὑμῶν, καὶ ἐλεηθήσεται ὑμῖν. ἐν χερσὶν ὑμῶν γέγονε ταῦτα, εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπον ὑμῶν, λέγει κύριος παντοκράτωρ; διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀναψετε τὸ θυσιαστήριόν μου δωρεάν. οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ. θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν, διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά, διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει κύριος παντοκράτωρ. ὑμεῖς δὲ βεβηλοῦτε αὐτὸ ἐν τῷ λέγειν ὑμᾶς, τράπεζα κυρίου ἠλισγημένη ἐστί, καὶ τὰ ἐπιτιθέμενα ἐξουθένωται βρώματα αὐτοῦ. καὶ εἴπατε, ταῦτα ἐκακοπαθέας ἐστί, καὶ ἐξεφύσησα αὐτά, λέγει κύριος παντοκράτωρ. καὶ εἰσφορὰν ἀρπάγματα, καὶ τὰ χωλὰ, καὶ τὰ ἐνοχλούμενα, καὶ προσφορὰν τὴν θυσίαν, εἰ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν; λέγει κύριος παντοκράτωρ. καὶ ὑπερεπαίρεται, ὃς ἐν δόλῳ, καὶ ὑπάρχων ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν, καὶ εὐχὴν αὐτοῦ ἐπ' αὐτῷ, καὶ θύει διεφθαρμένον τῷ κυρίῳ. διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου φανὲς ἐν τοῖς ἔθνεσι.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. β'. 2.

Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς οἱ ἱερεῖς, ἐὰν μὴ ἀκούσητε, καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν, τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου, λέγει Κύριος παντοκράτωρ. καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν, καὶ εὐλογήσω τὰς εὐλογίας ὑμῶν, καὶ κατηρασάμην αὐτὰς, καὶ οὐκ ἔστι ὑμῖν. ὅτι ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον, καὶ σκορπιῶ κόπρον ἐπὶ τὰ πρόσωπα ὑμῶν, κόπρον ἑορτῶν ὑμῶν, καὶ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό, καὶ γνώσεσθε, διότι ἐγὼ ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην, τοῦ εἶναι διαθήκην μου πρὸς τοὺς Λευίτας, λέγει Κύριος παντοκράτωρ. ἡ διαθήκη μου ἦν μετ' αὐτοῦ ἡ ζωὴ καὶ ἡ εἰρήνη, καὶ ἔδωκα αὐτῷ φόβῳ φοβεῖσθαί με, καὶ ἀπὸ προσώπου ὀνόματός μου ἐπόησεν αὐτόν. νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ, ἐν εἰρήνῃ καὶ εὐθύτητι ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας, ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν. ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ, καὶ ἠσθενήσατε πολλοὺς ἐν νόμῳ, διεφθείρατε τὴν διαθήκην τοῦ Λευΐ, λέγει Κύριος παντοκράτωρ. καὶ ἐγὼ δέδωκα ὑμᾶς ἐξουδενωμένους καὶ ἀπερρυμμένους εἰς πάντα τὰ ἔθνη, καθ' ὅν ὑμεῖς οὐ φυλάξασθε τὰς ὁδούς μου, ἀλλὰ ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ. οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν, οὐχὶ θεὸς εἷς ἔκτισεν ὑμᾶς; τί ὅτι ἐγκατελίπατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, τοῦ βεβηλῶσαι τὴν διαθήκην τῶν πατέρων ὑμῶν; ἐγκατελείφθη Ἰούδας, καὶ βδέλυγμα ἐγένετο ἐν τῷ Ἰσραὴλ, καὶ ἐν Ἰερουσαλήμ, διότι ἐβεβήλωσεν Ἰούδας τὰ ἅγια Κυρίου, ἃ ἠγάπησε, καὶ ἐπεστήλωσεν εἰς θεὸς ἀλλοτρίους. ἐξολεθρεύσει Κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα τοῦτο, ἕως οὗ καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰακώβ, καὶ ἐκ προσαγόντων θυσίαν τῷ Κυρίῳ παντοκράτορι, καὶ τοῦτο δεύτερον ἐποιήσατε. ἐκαλύπτετε δακρυσι τὸ θυσιαστήριον Κυρίου, καὶ κλαυθμῷ καὶ στεναγμῷ ἐκόπτετε, καὶ ἔτι οὐκ ἔστιν ἐπιβλέψαι εἰς θυσίαν, οὐ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν; καὶ εἴπατε τίνος; ὅτι Κύριος διεμαρτύρατο ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου, ᾗ ἐγκατέλιπες, καὶ αὕτη κοινωνός σου, καὶ γυνὴ διαθήκης σου, καὶ οὐ καλὸν ἐποίησε; καὶ κατάλειμμα πνεύματος αὐτοῦ, καὶ εἴπατε· τί ἄλλο ἢ σπέρμα ζητεῖ ὁ θεός; καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς, ἀλλὰ ἐὰν μισήσῃς ἐξαπόστειλας, λέγει Κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ, καὶ καλύψει ἀσέβεια ἐπὶ τὰ ἐνθυμήματά σου, λέγει Κύριος ὁ θεὸς παντοκράτωρ, καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ οὐ μὴ ἐγκαταλίπητε οἱ προφαίνοντες τὸν Κύριον ἐν τοῖς λόγοις ὑμῶν. καὶ εἴπατε· ἐν τίνι πρωφύναμέν σε; ἐν τῷ λαβεῖν ὑμᾶς, πᾶς ποιῶν πονηρὸν καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε, καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς δικαιοσύνης;

ΚΕΦΑΛ. γ'. 3.

Ἰδοὺ ἐξαποστελῶ τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ Κύριος ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης ὃν ὑμεῖς θέλετε, ἰδοὺ ὄρχεται, λέγει Κύριος παντοκράτωρ. καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων. καὶ καθιεῖται χωνεύων, καὶ καθαριεῖ ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον, καὶ καθαρίσει τοὺς υἱοὺς Λευΐ, καὶ χεεῖ αὐτοὺς ὡς τὸ χρυσίον, καὶ ὡς τὸ ἀργύριον, καὶ ἔσονται τῷ Κυρίῳ προσάγοντες θυσίας ἐν τῇ δικαιοσύνῃ, καὶ ἀρέσει τῷ Κυρίῳ θυσία Ἰούδα καὶ Ἰερουσαλήμ, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, καὶ κατὰ ἔτη ἔμπροσθεν. καὶ προσάξω πρὸς ὑμᾶς ἐν κρίσει, καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τοὺς φαρμακοὺς, καὶ ἐπὶ τοὺς μοιχαλίδας, καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀποστροφῶντας μισθὸν μισθωτοῦ, καὶ καταδυναστεύοντας χήρας, καὶ ὀρφανοὺς ἐκλίνοντας κρίσιν προσηλύτου, καὶ τοὺς μὴ φοβουμένους με, λέγει Κύριος παντοκράτωρ. διότι ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν, οὐκ ἠλλοίωμαι, καὶ ὑμεῖς οἱ υἱοὶ Ἰακὼβ οὐκ ἀπέχεσθε ἀπὸ τῶν ἁμαρτιῶν τῶν πατέρων ὑμῶν, ἐξεκλίνατε νόμιμά μου, καὶ οὐκ ἐφυλάξατε. ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος παντοκράτωρ. καὶ εἴπατε, ἐν τίνι ἐπιστρέψωμεν; εἰ πτοήσει ἄνθρωπος θεόν; διότι ὑμεῖς πτοήσετέ με, καὶ εἴπατε, ἐν τίνι ἐπτοήσαμεν; ὅτι τὰ ἐπιθέματα, καὶ αἱ ἀπαρχαὶ μεθ' ὑμῶν ἐστι, καὶ ἀποβλέποντος ὑμεῖς ἀποβλέπετε, καὶ ἐμὲ ὑμεῖς πτοήσετε. τὸ ἔθος συντέλεστε, καὶ εἰσηνέγκατε πάντα τὰ ἐκφόρια εἰς τοὺς θησαυροὺς, καὶ ἔσαι ἡ διαρπαγὴ εἰς τοὺς οἴκους ὑμῶν. ἐπιστρέψατε δὴ ἐν τούτῳ, λέγει Κύριος παντοκράτωρ. ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς καταῤῥῶκτας τοῦ οὐρανοῦ, καὶ χεῶ τὴν εὐλογίαν μου ὑμῖν, ἕως τοῦ ἱκανωθῆναι. διασελῶ ὑμῖν εἰς βρῶσιν, καὶ οὐ μοὶ διαφθερῶ ὑμῖν τὸν καρπὸν τῆς γῆς, καὶ οὐ μὴ ἀδηνήσῃ ὑμῶν ἡ ἄμπελος ἡ ἐν τῷ ἀγρῷ, λέγει Κύριος παντοκράτωρ, καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ θελητή, λέγει Κύριος παντοκράτωρ.

παντοκράτωρ. ἐβαρύνετε ἐπ' ἐμὲ σὺν λόγοις ὑμῶν, λέγει κύριος, καὶ εἴπατε· ἐν τίνι κατελαλήσαμεν σοῦ; εἴπατε, μάταιος ὁ δουλεύων θεῷ, καὶ τί πλεῖον, ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ, καὶ διότι ἐπορεύθημεν ἱκέται πρὸ προσώπου κυρίου παντοκράτορος; καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται παράνομοι ποιοῦντες ὄνομα, καὶ αὐτέσκαμεν δὲ θεῷ, καὶ ἐσώθησαν. τοῦτα κατελαλήκαμ οἱ φοβούμενοι τὸν κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. καὶ προσέχει κύριος, καὶ εἰσήκουσε, καὶ ἐγράφη βιβλίον μνημοσύνου ἐνώπιον αὐτοῦ τοῖς φοβουμένοις τὸν κύριον, καὶ διαλογιζομένοις τὸ ὄνομα αὐτοῦ. καὶ ἔσονταί μοι, λέγει κύριος παντοκράτωρ, εἰς ἡμέραν ἣν ἐγὼ ποιῶ ὡς περιποίησιν, καὶ ἀρεῖλαι αὐτούς, ὃν τρόπον αἴρεται ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, τὸν δουλεύοντα αὐτῷ. καὶ ἐπιστραφήσεσθε, καὶ ὄψεσθε ἀνὰ μέσον δικαίου καὶ ἀνὰ μέσον ἁμαρτωλοῦ, καὶ ἀνὰ μέσον δουλεύοντος θεῷ, καὶ τοῦ μὴ δουλεύοντος αὐτῷ.

ΚΕΦΑΛ. δ'. 4.

Ὅτι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ φλέξει αὐτούς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς, καὶ πάντες οἱ ποιοῦντες ὄνομα καλάμη, καὶ ἀναφλέξει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει κύριος παντοκράτωρ. καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν ῥίζα, οὐδὲ κλῆμα. καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. καὶ ἐξελεύσεσθε καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀναιμάκτων, καὶ καταπατήσετε ἀνόμους, καὶ ἔσονται σποδὸς ὑπὸ κάτω τῶν ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐγὼ ποιῶ, λέγει κύριος παντοκράτωρ. μνήσθητε νόμου μωϋσῆ τοῦ δούλου μου, καθότι ἐνετειλάμην αὐτῷ ἐν χωρὴβ πρὸς πάντα τὸν λαὸν ἰσραὴλ, προστάγματα καὶ δικαιώματα. καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν ἠλίαν τὸν θεσβίτην, καὶ πρὶν ἐλθεῖν ἡμέραν κυρίου τὴν μεγάλην τὴν ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην.

Τέλος Μαλαχίου.

ΑΠΟΚΡΥΦΟΙ

ΑΠΟΚΡΥΦΟΙ ΑΙ ΠΑΡ ΕΒΑΙΟΙΣ

ΕΚ ΤΟΥ ΤΩΝ ΑΞΙΟΠΙΣΤΩΝ ΑΡΙΘΜΟΥ ΣΥΓΚΑΘΙΣΤΑΝΤΑΙ.

ΤΩΒΙΤ.

ΚΕΦΑΛ. α'. ι.

Βιβλος λόγων τωβίτ, τῦ τωβιήλ, τ̃ ἀναηήλ, τῦ ἀδλουήλ, τῦ γαβαήλ ἐκ τῦ σπέρματ⊙ ἀσαήλ, ἐκ τ̃ φυλ̃ς νεφθαλείμ, ὃς ἐμάλωτεύθη ἐν ταῖς ἡμέραις ἐνεμεσάρ τῦ Βασιλέως ἀσσυρίων ἐκ θισβ̃ς, ἣ ἐστὶν ἐκ δεξιῶν λυσίου τ̃ νεφθαλείμ ἐν τῇ γαλιλαίᾳ ὑπεράνω ἀσήρ. Ἐγὼ τωβίτ ὁδοῖς ἀληθείας ἐπορεύομαι, καὶ ἐλεημοσύνας πάσας τὰς ἡμέρας τ̃ ζωῆς μ⊙. καὶ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς ἀδελφοῖς μ⊙, καὶ τ̃ ἔθνει μ⊙, τοῖς συμπορευθεῖσί μετ' ἐμ⊙ εἰς χώραν ἀσσυρίων εἰς νινευή· καὶ ὅτε ἤμην ἐν τῇ χώρᾳ μ⊙ ἐν τῇ γῇ ἰσραὴλ νεωτέρ⊙ μ⊙ ὄντ⊙, πᾶσα φυλὴ τῦ νεφθαλείμ τ̃ πατρός μ⊙ ἀπέστη ἀπὸ τῦ οἴκου ἱερουσαλήμ, ἣ ἐκλεγείσης ἀπὸ πασῶν τ̃ φυλ̃ν ἰσραὴλ, ἐν ᾗ θυσιάζειν πᾶσαι τὰς φυλάς. καὶ ἡγιάσθη ὁ ναὸς ἣ κατασκηνώσεως τῦ ὑψίστ⊙, καὶ ᾠκοδομήθη εἰς πάσας τὰς γενεὰς τ̃ αἰῶν⊙, ἡ πᾶσαι αἱ φυλαὶ αἱ συναποστᾶσαι ἔθυον τῇ Βάαλ τῇ δαμάλει, καὶ ὁ οἶκος νεφθαλείμ τῦ πατρός μ⊙. καὶ ἐγὼ μόν⊙ ἐπορευόμην πλειοναχῶς εἰς ἱερουσαλὴμ ἐν ταῖς ἑορταῖς, καθὼς γέγραπται πᾶσιν τοῖς λαοῖς ἰσραὴλ, ἐν πίστει ἀγγέλων τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας τ̃ γενημάτων, καὶ τὰς πρωτοκαρείας ἔχων, καὶ ἐδίδουν αὐτὰ τοῖς ἱερεῦσιν υἱοῖς ἀαρὼν πᾶς ὁ θυσιαστήριον πάντων τ̃ γενημάτων. τὴν πρώτην δεκάτην ἐδίδουν τοῖς υἱοῖς ἀαρὼν τοῖς θεραπεύουσι ἱερουσαλήμ, τὴν δ' ἑτέραν δεκάτην ἀπεπράτιζόμην, καὶ ἐπορευόμην, καὶ ἐδαπάνων αὐτὰ ἐν ἱερουσαλὴμ καθ' ἑκάστου ἐνιαυτόν. τὴν τρίτην ἐδίδουν οἷς καθήκει, καθὼς ἐνετείλατο δεββώρα ἡ μήτηρ τῦ πατρός μ⊙, διότι ὀρφανὸς ἐλείφθην ὑπὸ τῦ πατρός μ⊙. Καὶ ὅτε ἐγενόμην ἀνὴρ, ἔλαβον ἄνναν γυναῖκα ἐξ τ̃ σπέρματ⊙ ἣ πατριᾶς μου, καὶ ἐγέννησα ἐξ αὐτ̃ς τωβίαν. Καὶ ὅτε ἠχμαλωτίσθη εἰς νινευή, πάντες οἱ ἀδελφοί μου, καὶ οἱ ἐκ τῦ γένους μου ἤσθιον ἐκ τ̃ ἄρτων τ̃ ἐθνῶν, ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν μου μὴ φαγεῖν, διότι ἐμεμνήμην τῦ θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ μ⊙.

Καὶ ἔδωκεν ὁ ὕψιστ⊙ χάριν καὶ μορφὴν ἐνώπιον ἐνεμεσάρ, καὶ ἤμην αὐτῦ ἀγοραστής· καὶ ἐπορευόμην εἰς τὴν μηδείαν, καὶ παρεθέμην γαβαήλῳ τῷ ἀδελφῷ γαβρίᾳ ἐν ἀγροῖς ἣ μηδείας ἀργυρίου τάλαντα δέκα. Καὶ ὅτε ἀπέθανεν ἐνεμεσάρ, ἐβασίλευσε σενναχηρείμ ὁ υἱὸς αὐτῦ αὐτ' αὐτῦ, καὶ αἱ ὁδοὶ αὐτῦ ἠκατέστησαν, καὶ οὐκ ἔτι ἠδυνήθην πορευθῆναι εἰς τὴν μήδειαν. Καὶ ἐν ταῖς ἡμέραις ἐνεμεσάρ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς ἀδελφοῖς μου. τοὺς ἄρτους μου ἐδίδουν τοῖς πεινῶσι, καὶ τὰ ἱμάτιά μου τοῖς γυμνοῖς. καὶ εἴ τινα ἐν τῷ γένει μου ἐθεώρουν τεθνηκότα, καὶ ἐρριμμένον ὑπὸ τὸ τεῖχος εἰς νινευή, ἔθαπτον αὐτόν. καὶ εἴ τινα ἀπέκτεινε σενναχηρείμ ὁ βασιλεύς, ὅτε ἦλθε φεύγων ἐκ ἣ ἰουδαίας, ἔθαπτον αὐτοὺς λεληθῶς. πολλοὺς γὰρ ἀπώλεσεν ἐν τῷ θυμῷ αὐτῦ. καὶ ἐζητήθη ὑπὸ τῦ βασιλέως τὰ σώματα, καὶ οὐχ εὑρέθη. πορευθεὶς δὲ εἰς τὴν νινευὴν ὑπεδείξει τῷ βασιλεῖ πάντα ἐμοῦ ὅτι ἔθαπτον αὐτούς, ἡ ἐκρύβην. ὡς γνοὺς ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβηθεὶς ἀνεχώρησα. καὶ διαρπάγη πάντα τὰ ὑπάρχοντά μου, καὶ οὐ διατελείφθη μοι οὐδέν, πλὴν ἄννης ἣ γυναικός μου καὶ τωβίου τῦ ἱοῦ μ⊙. καὶ οὐ διῆλθον ἡμέραι τεσσαράκοντα τρεῖς, ἕως οὗ ἀπέκτειναν αὐτὸν οἱ δύο ἱοὶ αὐτῦ. Καὶ ἔφυγον εἰς τὰ ὄρη ἀραράθ, καὶ ἐβασίλευσε σαχεδδόνος ὁ υἱὸς αὐτῦ ἀντ' αὐτῦ. καὶ ἔταξεν ἀχιάχαρον ἀνεψιὸν τὸν υἱὸν τῦ ἀδελφῦ μ⊙ ἐπὶ πάσαν τὴν ἐκλογισίαν τ̃ πατρὸς αὐτῦ, καὶ ἐπὶ πᾶσαν τὴν διοίκησιν. καὶ ἐξίωσεν ἀχιάχαρ⊙ πρὸς ἐμ⊙, καὶ ἦλθον εἰς νινευή. ἀχιάχαρ⊙ δὲ ἦν οἰνοχόος, ἡ ἐπὶ τῦ δακτυλίου, καὶ διοικητὴς, καὶ ἐκλογιστής. καὶ κατέστησεν αὐτὸν ὁ σαχεδδόν⊙ ἐκ δευτέρας, ἦν δὲ ἀδελφός μ⊙.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. Β'. 2.

Ὅτε δὲ ἐκαπήλουν εἰς τὴν οἰκίαν μου, καὶ ἀπεδόθη μοι ἄννα ἡ γυνή μου, καὶ τωβίας ὁ υἱός μου, ἐν τῇ πεντηκοστῇ τῇ ἑορτῇ ἡ ἁγία ἑπτὰ ἑβδομάδων, ἐγρήνησέ μοι ἄριστον ἐκαλόν μοι, καὶ ἀνέπεσα τοῦ φαγεῖν. καὶ ἐθεασάμην ὄψα πολλά, καὶ εἶπα τῷ υἱῷ μου· Βάδισον ἄγαγε οὖν ἐὰν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐνδεῆ, ὃς μέμνηται τοῦ κυρίου. καὶ ἰδοὺ μένω σε. καὶ ἐλθὼν εἶπεν· πάτερ, εἷς ἐκ τοῦ γένους ἡμῶν ἐσφαγμένος ἔρριπται ἐν τῇ ἀγορᾷ, ἐάγω πρινὴ γοῦν σπασθαί με, ἀναπηδήσας ἀνειλόμην αὐτὸν εἰς οἴκημα, ἕως ὅτου ἔδυ ὁ ἥλιος. καὶ ὕδρισάμενος ἐλουσάμην, καὶ ἤσθιον τὸν ἄρτον μου ἐν λύπῃ. καὶ ἐμνήσθην τῆς προφητείας ἀμώς, καθὼς εἶπεν· στραφήσονται αἱ ἑορταὶ ὑμῶν εἰς πένθος, καὶ πᾶσαι αἱ εὐφροσύναι ὑμῶν εἰς θρῆνον. καὶ ἔκλαυσα, καὶ ὅτε ἔδυ ὁ ἥλιος ὠρυξάμην, καὶ ὠρυξάς ἔθαψα αὐτόν. Καὶ οἱ πλησίοι ἐπεγέλων λέγοντες· οὐκέτι φοβεῖται οὗτος φόνου θνῄσκων διὰ τὸ πρᾶγμα τοῦτο, καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει τοὺς νεκρούς. Καὶ ἐν αὐτῇ τῇ νυκτὶ αὐλισθεὶς θάψας, καὶ ἐνοιμήθην μεμιαμμένος πλησίον τοῦ τοίχου τῆς αὐλῆς. καὶ τὸ πρόσωπόν μου ἀνακεκαλυμμένον ἦν, καὶ οὐκ ἤδειν ὅτι στρουθία ἐν τῷ τοίχῳ ἐστί. καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων, ἀφώδυσαν τὰ στρουθία θερμὸν εἰς τοὺς ὀφθαλμούς μου, καὶ ἐγένοντο λευκώματα ἐν τοῖς ὀφθαλμοῖς μου, καὶ ἐπορεύθην πρὸς ἰατροὺς, καὶ οὐκ ὠφέλησάν με. Ἀχιάχαρος δὲ ἐτρόφει με ἕως οὗ ἐπορεύθην εἰς τὴν ἐλυμαΐδα. καὶ ἡ γυνή μου ἄννα ἐριθεύετο ἐν τοῖς γυναικείοις, καὶ ἀπέστελλε τοῖς κυρίοις. καὶ ἀπέλωσαν αὐτῇ καὶ αὐτοὶ ἐμισθὸν πρόσλοντον, καὶ ἔριφον. ὅτε δὲ ἦλθε πρός με, ἤρξατο κράζειν. καὶ εἶπον αὐτῇ· πόθεν τὸ ἐρίφιον; μὴ κλεψίματόν ἐστιν; ἀπόδος αὐτὸ τοῖς κυρίοις. οὐ γὰρ θεμιτόν ἐστιν φαγεῖν κλεψίματον. ἡ δὲ εἶπεν· δῶρον δέδοταί μοι ἐπὶ πλέον μισθῷ. καὶ ἐπεπίστευον αὐτῇ, καὶ ἔλεγον ἀπολίσονας αὐτὸ τοῖς κυρίοις, καὶ ἠρυθρίων πρὸς αὐτήν. ἡ δὲ ἀπεκρίθη εἶπέ μοι· ποῦ εἶσιν αἱ ἐλεημοσύναι σου, καὶ αἱ δικαιοσύναι σου; ἰδοὺ γνωστὰ πάντα μετὰ σοῦ.

ΚΕΦΑΛ. Γ'. 3.

Καὶ λυπηθεὶς ἔκλαυσα, καὶ προσηυξάμην μετ' ὀδυνῶν λέγων· δίκαιος εἶ κύριε, καὶ πάντα τὰ ἔργα σου, καὶ πᾶσαι αἱ ὁδοί σου ἔλεος καὶ ἀλήθεια. καὶ κρίσιν ἀληθινὴν κρίνεις εἰς τὸν αἰῶνα. μνήσθητί μου, καὶ ἐπίβλεψον ἐπ' ἐμέ. μὴ με ἐκδικήσῃς ταῖς ἁμαρτίαις μου, καὶ τοῖς ἀγνοήμασί μου ὧν ἔπραξα τοῦ πατρός μου, οἳ ἥμαρτον ἐνώπιόν σου. παρήκουσαν γὰρ τῶν ἐντολῶν σου, καὶ ἔδωκας ἡμᾶς εἰς διαρπαγήν, καὶ αἰχμαλωσίαν, καὶ θάνατον, καὶ παραβολὴν ὀνειδισμοῖς πᾶσιν οἷς ὑπερπίπτομεν. καὶ νῦν πολλαὶ αἱ κρίσεις σου εἰσὶν ἀληθιναί. ἃ ἐμοῦ ποιῆσαι κατὰ τῶν ἁμαρτιῶν μου, καὶ τῶν πατέρων μου, ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐντολάς σου, οὐ γὰρ ἐπορεύθημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου. καὶ νῦν τὸ ἀρεστὸν ἐνώπιόν σου ποίησον μετ' ἐμοῦ. ἐπίταξον ἀνάλαβεῖν τὸ πνεῦμά μου, ὅπως ἀπολυθῶ καὶ γένωμαι γῆ. διότι λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῆν, ὅτι ὀνειδισμὸς ψευδεῖς ἤκουσα, καὶ λύπη ἐστὶ πολλὴ ἐν ἐμοί. ἐπίταξον ἀπολυθῆναί με εἰς τὸν αἰώνιον τόπον. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. Ἐν τῇ αὐτῇ ἡμέρᾳ σωιεβῇ τῇ θυγατρὶ ῥαγουὴλ σαῤῥᾶ ἐν ἐκβατανοῖς τῆς μηδείας, καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ παιδίσκης τοῦ πατρὸς αὐτῆς, ὅτι ἦν συνδεδεμένη ἀνδράσιν ἑπτά, καὶ ἀσμοδαῖος τὸ πονηρὸν δαιμόνιον ἀπέκτεινεν αὐτούς, ὡς εἰνὶ γαμεῖσθαι αὐτοὺς μετ' αὐτῆς ὡς ἐν γυναικί. καὶ εἶπεν αὐτῇ· οὐ σωιεῖς ἀποπνίγασθαι τοὺς ἀνδρας; ἤδη ἑπτὰ ἀνδρας ἔσχες, καὶ ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης. τί ἡμᾶς μαστιγοῖς πρὸ αὐτῶν; εἰ ἀπέθανον, βάδιζε μετ' αὐτῶν, μὴ ἴδοιμέν σου ἐκ τοῦ νῦν ἢ θυγατέρα εἰς τὸν αἰῶνα. Ταῦτα ἀκούσασα ἐλυπήθη σφόδρα, ὥστε ἀπάγξασθαι, καὶ εἶπεν· μία μόνη εἰμὶ τῷ πατρί μου, ἐὰν ποιήσω τοῦτο, ὀνειδισμὸν αὐτῷ δώσω, καὶ τὸ γῆρας αὐτοῦ καταξέω μετ' ὀδυνῶν εἰς ᾅδην. καὶ ἐνεύθη πρὸς τὴν θυρίδα, καὶ εἶπεν· εὐλογητὸς εἶ κύριε ὁ θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, καὶ ἔντιμον εἰς τοὺς αἰῶνας. εὐλογήσαισάν σε πάντα τὰ ἔργα σου εἰς τὸν αἰῶνα. καὶ νῦν κύριε τοὺς ὀφθαλμούς μου, καὶ τὸ πρόσωπόν μου εἰς σὲ δέδωκα. εἶπον, ἀπόλυσόν με ἀπὸ τῆς γῆς, καὶ μὴ ἀπόδοσί μοι μηκέτι ὀνειδισμόν. σὺ γινώσκεις δέσποτα, ὅτι καθαρά εἰμι ἀπὸ πάσης ἁμαρτίας ἀνδρός, καὶ οὐκ ἐμόλυνα τὸ ὄνομά μου, οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου. μονογενής εἰμι τῷ πατρί μου, καὶ οὐκ ὑπάρχει αὐτῷ παιδίον ὃ κληρονομήσει αὐτόν, οὐδὲ ἀδελφός ἐγγύς, οὐδὲ ὑπάρχων αὐτῷ υἱός ἵνα σωτηρίαν σωιεῖ μαυτῷ αὐτῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι ἑπτά, ἵνα τί μοι ζῶ; καὶ εἰ μὴ δοκεῖ σοι ἀπολέσαί με, ἐπίταξον ἐπιβλέψαι ἐπ' ἐμὲ, καὶ ἐπ' ἐμοὶ ἐλεῆσαί με, καὶ μὴ ἀκοῦσαί με μηκέτι ὀνειδισμόν. Καὶ εἰσηκούσθη ἡ προσευχὴ ἀμφοτέρων ἐνώπιον τῆς δόξης τοῦ μεγάλου θεοῦ, καὶ ἀπεστάλη ῥαφαὴλ ἰαθῆσθαι τοὺς δύο, τωβὶτ λεπίσαι τὰ λευκώματα, καὶ σαῤῥᾶν τῷ τοῦ ῥαγουὴλ δοῦναι τωβίᾳ τῷ υἱῷ τωβὶτ γυναῖκα, καὶ δῆσαι ἀσμοδαῖον τὸ πονηρὸν δαιμόνιον, διότι τωβίᾳ ἔπρεπε λαμβάνειν κληρονομοῦσαι αὐτοῦ.

Ἐν αὐτῷ τῷ καιρῷ ἐπιστρέψας τωβὶτ, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ σαῤῥᾶ ἡ τοῦ ῥαγουὴλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. δ'. 4.

ΕΝ τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβὶτ περὶ τοῦ ἀργυρίου, οὗ παρέθετο Γαβαήλῳ ἐν Ῥάγοις τῆς Μηδείας. καὶ εἶπεν ἐν ἑαυτῷ· ἐγὼ ἠτησάμην θάνατον, τί οὐ καλῶ Τωβίαν τὸν υἱόν μου, ἵνα αὐτῷ ὑποδείξω, πρὶν ἀπελθεῖν με; καὶ καλέσας αὐτὸν εἶπεν· παιδίον, ἐὰν ἀπάξω θάψον με, καὶ μὴ ὑπερίδῃς τὴν μητέρα σου. τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ ποίησον τὸ ἀρεστὸν αὐτῇ, καὶ μὴ λυπήσῃς αὐτήν. μνήσθητι παιδίον, ὅτι πολλοὺς κινδύνους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ. ὅταν ἀπάξω, θάψον αὐτὴν παρ' ἐμοὶ ἐν ἑνὶ τάφῳ. πάσας τὰς ἡμέρας παιδίον, λυρίσει τὸν θεὸν ἡμῶν μνημόνευε, καὶ μὴ θελήσῃς ἁμαρτάνειν, καὶ παραβῆναι τὰς ἐντολὰς αὐτοῦ, καὶ δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ μὴ πορεύθῃς ταῖς ὁδοῖς τῆς ἀδικίας. διότι ποιοῦντί σοι τὴν ἀλήθειαν, εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου, καὶ πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύνην. ἐκ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην, καὶ μὴ φθονησάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. μὴ ἀπορρίψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ, καὶ ἀπὸ σοῦ οὐ μὴ ἀπορραφῇ τὸ πρόσωπον τοῦ θεοῦ. ὡσεὶ ὑπάρχει σοι τὸ πλῆθος, ποίησον ἐξ αὐτοῦ ἐλεημοσύνην. ἐὰν ὀλίγον σοι ὑπάρχει, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην. θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέρας ἀνάγκης, διότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται, καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος. δῶρον γὰρ ἀγαθὸν ἔσται ἐλεημοσύνη πᾶσι τοῖς ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ ὑψίστου. πρόσεχε σεαυτῷ παιδίον ἀπὸ πάσης πορνείας, καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ σπέρματος τῶν πατέρων σου, καὶ μὴ λάβῃς γυναῖκα ἀλλοτρίαν, ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς τοῦ πατρός σου, διότι υἱοὶ προφητῶν ἐσμέν. νῶε, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, οἱ πατέρες ἡμῶν ἀπὸ τοῦ αἰῶνος. μνήσθητι παιδίον ὅτι οὗτοι πάντες ἔλαβον γυναῖκας ἀπὸ τῶν ἀδελφῶν αὐτῶν, καὶ εὐλογήθησαν ἐν τοῖς τέκνοις αὐτῶν, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν. καὶ νῦν παιδίον ἀγάπα τοὺς ἀδελφούς σου, καὶ μὴ ὑπερηφανεύου ἐν τῇ καρδίᾳ σου ἀπὸ τῶν ἀδελφῶν σου, καὶ τῶν υἱῶν καὶ θυγατέρων τοῦ λαοῦ σου, λαβεῖν σεαυτῷ ἐξ αὐτῶν γυναῖκα. διότι ἐν τῇ ὑπερηφανίᾳ ἀπώλεια, καὶ ἀκαταστασία πολλή, καὶ ἐν τῇ ἀργιότητι ἐλάττωσις καὶ ἔνδεια μεγάλη. ἡ γὰρ ἀργιότης μήτηρ ἐστὶ τοῦ λιμοῦ. μισθὸς παντὸς ἀνθρώπου ὃς ἐὰν ὀργισθῇ σοι, παρ' σοὶ μὴ αὐλισθήτω, ἀλλ' ἀπόδος αὐτῷ παραυτίκα. ἐὰν δουλεύσῃ τοῦ θεῷ, ἀρεσθήσεταί σοι. πρόσεχε σεαυτῷ παιδίον ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ δόκιμος ἐν πάσῃ ἀναστροφῇ σου. καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. πίνων εἰς μέθην μὴ πίῃς, καὶ μὴ πορευθήτω μετὰ σοῦ μέθη ἐν τῇ ὁδῷ σου. ἐκ τοῦ ἄρτου σου δίδου πεινῶντι, καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυμνοῖς. πᾶν ὃ ἐὰν περισσεύσῃ, ποίει ἐλεημοσύνην, καὶ μὴ φθονησάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. ἔγκεισο οὖν ἄρτος σου ὧδε ἐπὶ τάφου τῶν δικαίων, καὶ μὴ δῷς τοῖς ἁμαρτωλοῖς. συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον, καὶ μὴ καταφρονήσῃς ὧδε πάσης συμβουλίας χρησίμης. καὶ ἐν παντὶ καιρῷ εὐλόγει κύριον τὸν θεόν σε, καὶ παρ' αὐτοῦ αἴτησον, ὅπως αἱ ὁδοί σου εὐθεῖαι γένωνται, καὶ πᾶσαι αἱ τρίβοί σου, καὶ αἱ βουλαί σου εὐοδωθῶσιν. διότι πᾶν ἔθνος οὐκ ἔχει βουλήν, ἀλλ' αὐτὸς ὁ κύριος δώσει πάντα τὰ ἀγαθά. καὶ ὃν θέλει ταπεινοῖ, καθὼς βούλεται. καὶ νῦν παιδίον μνημόνευε τὰς ἐντολάς μου, καὶ μὴ ἐξαλειφθήτω ἐκ τῆς καρδίας σου. καὶ νῦν ὑποδείκνυμί σοι τὰ δέκα τάλαντα τοῦ ἀργυρίου, ἃ παρεθέμην Γαβαήλῳ τοῦ Γαβρίου ἐν Ῥάγοις τῆς Μηδείας. καὶ μὴ φοβοῦ παιδίον, ὅτι ἐπτωχεύσαμεν. ὑπάρχει σοι πολλά, ἐὰν φοβηθῇς τὸν θεόν, καὶ ἀποστῇς ἀπὸ πάσης ἁμαρτίας, καὶ ποιήσῃς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ.

ΚΕΦΑΛ. ε'. 5.

ΚΑΙ ἀποκριθεὶς Τωβίας εἶπεν· πατήρ, ποιήσω πάντα ὅσα ἐνετείλατό μοι. ἀλλὰ πῶς συνάξομαι λαβεῖν τὸ ἀργύριον, καὶ οὐ γινώσκω αὐτόν; καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον, καὶ εἶπεν αὐτῷ· ζήτησον σεαυτῷ ἄνθρωπον, ὃς συμπορεύσεταί σοι, καὶ δώσω αὐτῷ μισθὸν ἕως ζῶ, καὶ λαβὲ πορεύου τὸ ἀργύριον. καὶ ἐπορεύθη ζητῆσαι ἄνθρωπον, καὶ εὗρε τὸν Ῥαφαὴλ ὃς ἦν ἄγγελος, καὶ οὐκ ἤδει, καὶ εἶπεν αὐτῷ· ἐξομολογοῦμαι πορευθῆναι μετὰ σοῦ ἐν ἀγροῖς τῆς Μηδείας, καὶ εἰ ἐμπειρεῖ εἶ τῆς τόπου; καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος, πορεύσομαι μετὰ σοῦ, καὶ πρὸς γαβαὴλ τὸν ἀδελφὸν ἡμῶν ἠυλίσθη. καὶ εἶπεν αὐτῷ Τωβίας· ὑπόμενόν με, καὶ ἐρῶ τῷ πατρί μου. καὶ εἶπεν αὐτῷ· πορεύου, καὶ μὴ χρονίσῃς. καὶ εἰσελθὼν εἶπεν τῷ πατρὶ ἰδοὺ εὕρηκα ὃς συμπορεύσεταί μοι. ὁ δὲ εἶπεν· φώνησόν μοι αὐτὸν πρός με, ἵνα ὁμολογήσω ποίας φυλῆς ἐστι, καὶ εἰ πιστός ἐστι τοῦ πορευθῆναι μετὰ σοῦ. καὶ ἐκάλεσεν αὐτόν, καὶ εἰσῆλθε καὶ ἠσπάσαντο ἀλλήλους. καὶ εἶπεν αὐτῷ Τωβίτ· ἀδελφέ, ἐκ ποίας φυλῆς καὶ ἐκ ποίας πατριᾶς εἶ; ὑπόδειξόν μοι. καὶ εἶπεν αὐτῷ· φυλὴν καὶ πατριὰν σὺ ζητεῖς, ἢ μίσθιον ὃς συμπορεύσεται μετὰ τοῦ υἱοῦ σου; καὶ εἶπεν αὐτῷ Τωβίτ· βούλομαι ἀδελφέ ὑπογνῶναι τὸ γένος σου, καὶ τὸ ὄνομα. ὁ δὲ εἶπεν· ἐγὼ τὸ γένος ἀζαρίας, καὶ αὐανίτης τοῦ μεγάλου, καὶ ἀδελφῶν σου. καὶ εἶπεν Τωβίτ· ὑγιαίνων ἔλθοις ἀδελφέ, καὶ μή μοι ὀργισθῇς, ὅτι ἐζήτησα τὴν φυλήν σου, καὶ τὴν πατριάν σου ὑπογνῶναι. καὶ σὺ συγγενὴς ἀδελφός μου ἐκ καλῆς καὶ ἀγαθῆς γενεᾶς.

ἐπεγινώσκων

ἐπεγίνωσκον γὰρ αὐτὸν ἀνανίαν καὶ Ἰωναθαν, οὓς ἦσαν σαμαίου τοῦ μεγάλου. ὡς ἐπορευόμεθα λοιπὸν εἰς Ἐκβατανα μετὰ πορσκυνεῖν, καὶ ἀναφέροντος τὰ πρωτότοκα, καὶ τὰς δεκάτας τῶν γεννημάτων, καὶ οὐκ ἐπλανήθησαν τῇ πλάνῃ τῶν ἀδελφῶν ἡμῶν. ἐκ ῥίζης μεγάλης εἶ ἀδελφέ, ἀλλὰ εἶπον τίνα σοι ἔσομαι μισθὸν, δισσόναι, δραχμὴν τῆς ἡμέρας, καὶ τὰ δίοντα, ὡς καὶ τοῦ ἐμοῦ μου. καὶ ἔτι προσθήσω σοι ὧν τὸν μισθὸν, ἐὰν ὑγιαίνοντος ὧν ἐπιστρέψητε. Καὶ ὠσθίκησαν οὕτως, καὶ εἶπεν πρὸς τωβίαν· ἕτοιμος γίνου εἰς τὴν ὁδὸν, καὶ εὐοδωθείητε. καὶ ἡτοίμασεν ὁ υἱὸς αὐτοῦ τὰ πρὸς τὴν ὁδὸν. Καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ· πορεύου μετὰ τοῦ ἀνθρώπου τούτου, ὁ δὲ θεὸς τοῦ οὐρανοῦ διατοιοῦν θεὸς εὐοδώσει τὴν ὁδὸν ὑμῶν, καὶ ὁ ἄγγελος τοῦ θεοῦ συμπορευθήτω ὑμῖν. Καὶ ἐξῆλθον ἀμφότεροι ἀπελθεῖν, καὶ ὁ λύων τὸ παιδάριον μετ' αὐτῶν. ἐκλαυσε δὲ ἄννα ἡ μήτηρ αὐτοῦ, καὶ εἶπεν πρὸς τωβίτ· τί ἐξαπέστειλας τὸν παιδίον ἡμῶν; ἡ οὐχὶ ἡ ῥάβδος τῆς χειρὸς ἡμῶν ὅτιν τῶν τοῦ πορεύεσθαι τὸν ἀπέναντι ἡμῶν; ἀργύριον τοῦ ἀργυρίου μὴ φθάσαι, ἀλλὰ πρίγμα τοῦ παιδίου ἡμῶν γένοιτο. ὡς γὰρ δέδωται ἡμῖν ζῶν πᾶσα τοῦ ζωῆς, τοῦτο ἱκανὸν ἡμῖν ὑπάρχει. Καὶ εἶπεν αὐτῇ τωβίτ· μὴ λόγον ἔχε ἀδελφή, ὑγιαίνων ἐλεύσεται, καὶ οἱ ὀφθαλμοί σε ὄψονται αὐτόν. ἄγγελος γὰρ ἀγαθὸς συμπορεύεται αὐτῷ, καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ, καὶ ὑποστρέψει ὑγιαίνων.

ΚΕΦΑΛ. ε'. 6.

ΚΑΙ ἐπαύσατο λαλήσασα. οἱ δὲ πορευόμενοι τὴν ὁδὸν, ἦλθον ἐπὶ τὸν τίγριν ποταμόν, καὶ ηὐλίζοντο ἐκεῖ. τότε παιδάριον κατέβη πρὸς λούσασθαι. καὶ ἀνεπήδησεν ἰχθὺς ἐκ τοῦ ποταμοῦ, καὶ ἐβάλλετο κατὰ πόδας τὸ παιδάριον. ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ· ἐπιλαβοῦ τοῦ ἰχθύος. καὶ ἐκράτησε τὸν ἰχθὺν τὸ παιδάριον, καὶ ἀνέλαβεν αὐτὸν ἐπὶ τὴν γῆν. καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· ἀνάτεμε τὸν ἰχθύν, καὶ λαβὲ τὴν καρδίαν, καὶ τὸ ἧπαρ, καὶ τὴν χολὴν θὲς ἀσφαλῶς. καὶ ἐποίησε τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ ἄγγελος. τὸν δὲ ἰχθὺν ὀπτήσαντες, ἔφαγον. Καὶ ὥδευον ἀμφότεροι, ἕως οὗ ἤγγισαν ἐκβατάνοις. Καὶ εἶπεν τὸ παιδάριον τοῦ ἀγγέλου· ἀζαρία ἀδελφέ, τί ὄφελος ἡ καρδία καὶ τὸ ἧπαρ, καὶ ἡ χολὴ τοῦ ἰχθύος; Καὶ εἶπεν αὐτῷ· ἡ καρδία καὶ τὸ ἧπαρ ἐάν τινα ὀχλῇ δαιμόνιον, ἢ πνεῦμα πονηρὸν, παντὸς δεῖ καπνίσαι ἐνώπιον ἀνθρώπου, ἢ γυναικός, καὶ οὐ μὴ ἔτι ὀχληθῇ. ἡ δὲ χολὴ ἐγχρίσαι ἀνθρώπου, ὃς ἔχει λευκώματα ἐν τοῖς ὀφθαλμοῖς, καὶ ἰαθήσεται. Ὡς δὲ προσήγγισαν τῇ ῥαγῇ, εἶπεν ὁ ἄγγελος τοῦ παιδαρίου· ἀζαρία ἀδελφέ, σήμερον αὐλισθησώμεθα πρὸς ῥαγουήλ, καὶ αὐτὸς συγγενὴς σου ἐστίν. καὶ ἔστιν αὐτῷ θυγάτηρ μονογενὴς, ὀνόματι σαῤῥᾶ. λαλήσω περὶ αὐτῆς, τοῦ δοθῆναί σοι αὐτὴν εἰς γυναῖκα, ὅτι σοι ὀφείλει ἡ κληρονομία αὐτῆς, καὶ σὺ μόνος εἶ ἐκ τοῦ γένους αὐτοῦ, καὶ τὸ κοράσιον καλὸν καὶ φρόνιμον ἔστιν. καὶ νῦν ἄκουσόν μου, καὶ λαλήσω τοῦ πατρὸς αὐτῆς. καὶ ὅτ' ἂν ἀρραβωνίσωμεν ἐκ ῥαγοῦ, ποιήσωμεν τὸν γάμον. δίοτι ἐπίσταμαι ῥαγουήλ, ὅτι οὐ μὴ δῷ αὐτὴν αὐτὸς ἑτέρῳ ἢ τὸν νόμον τοῦ μωϋσῆ, ἢ ὀφειλήσει θάνατον, ὅτι τὴν κληρονομίαν σοι καθήκει λαβεῖν, ἢ καὶ πάντα ἄνθρωπον. Τότε εἶπεν τὸ παιδάριον τοῦ ἀγγέλου· ἀζαρία ἀδελφέ, ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑπτὰ ἀνδράσι, καὶ πάντας ἐν τοῦ νυμφῶνι ἀπολωλότας. σὺ νῦν ἐγὼ μονός εἰμι τοῦ πατρὸς, καὶ φοβοῦμαι μὴ εἰσελθὼν ἀποθανῶ καθὼς καὶ οἱ πρότερον, ὅτι δαιμόνιον φιλεῖ αὐτὴν, ὃ οὐκ ἀδικεῖ δόλια πλὴν τῶν προσαγόντων αὐτῇ. καὶ νῦν ἐγὼ φοβοῦμαι μὴ ἀποθανῶ, καὶ καταξῃ τὴν ζωὴν τοῦ πατρός μου καὶ τῆς μητρός μου μετ' ὀδυνῶν ἐπ' ἐμοὶ εἰς τὸν τάφον αὐτῶν, καὶ υἱὸς ἕτερος οὐκ ὑπάρχει αὐτοῖς ὃς θάψει αὐτούς. Εἶπεν δὲ αὐτῷ ὁ ἄγγελος· οὐ μεμνησαι τῶν λόγων, οὓς ἐνετείλατό σοι ὁ πατήρ σου, λαβεῖν σε γυναῖκα ἐκ τοῦ γένους σου; καὶ νῦν ἄκουσόν μου ἀδελφέ, δι' ὅτι σοί ἐσαι εἰς γυναῖκα, καὶ τὸ δαιμονίου μηδὲν λόγον ἔχε, ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι αὐτὴ εἰς γυναῖκα. καὶ ἐὰν εἰσέλθοις εἰς τὸν νυμφῶνα, λήψῃ τέφραν θυμιαμάτων, καὶ ἐπιθήσεις ἀπὸ τῆς καρδίας τοῦ ἰχθύος καὶ τοῦ ἥπατος, καὶ καπνίσεις, καὶ ὀσφρανθήσεται τὸ δαιμόνιον, καὶ φεύξεται, καὶ οὐκ ἔτι ἐπανελεύσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὅτ' ἂν δὲ προσπορεύῃ αὐτῇ, ἐγερθῆτε ἀμφότεροι, καὶ βοήσατε πρὸς τὸν ἐλεήμονα θεόν, καὶ σώσει ὑμᾶς, καὶ ἐλεήσει. μὴ φοβοῦ, ὅτι σὺ αὐτῇ πρόκειμασμένος εἶ ἀπὸ τοῦ αἰῶνος, καὶ σὺ αὐτὴν σώσεις, καὶ πορεύσεται μετὰ σοῦ, καὶ ὑπολαμβάνω ὅτι σοὶ ἔσαι ἐξ αὐτῆς παιδία. Καὶ ὡς ἤκουσε τωβίας ταῦτα, ἐφίλησεν αὐτὴν, καὶ ἡ ψυχὴ αὐτοῦ ἐκεκόλλητο σφόδρα αὐτῇ.

ΚΕΦΑΛ. ζ'. 7.

ΚΑΙ ἦλθον εἰς ἐκβατανᾶ, καὶ παρεγένοντο εἰς τὴν οἰκίαν ῥαγουήλ. σαῤῥᾶ δὲ ὑπαντήσασα αὐτοῖς, καὶ ἐχαιρέτισεν αὐτούς, καὶ αὐτοὶ αὐτήν. καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν οἰκίαν. καὶ εἶπεν ῥαγουήλ ἔσπευσε τῇ γυναικὶ αὐτοῦ· ὡς ὅμοιος ὁ νεανίσκος τωβιτ τοῦ ἀνεψιοῦ μου; καὶ ἠρώτησεν αὐτοὺς ῥαγουήλ· πόθεν ἐστὲ ἀδελφοί; καὶ εἶπον αὐτῷ· ἐκ τῶν υἱῶν νεφθαλείμ τῶν αἰχμαλώτων ἐν νινευί. καὶ εἶπεν αὐτοῖς· γινώσκετε τωβὶτ τὸν ἀδελφὸν ἡμῶν; οἱ δὲ εἶπον, γινώσκομεν. καὶ εἶπεν αὐτοῖς· ὑγιαίνει; οἱ δὲ εἶπαν· καὶ ζῇ καὶ ὑγιαίνει. Καὶ εἶπεν τωβίας·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πατὴρ μου ὅτι. καὶ ἀνεπήδησε ῥαγουὴλ, καὶ ἠσπάσατο αὐτὸν, καὶ ἔκλαυσε, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· ὁ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἀνθρώπου υἱός. καὶ ἀκούσας ὅτι τωβὶτ ἀπώλεσε τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐλυπήθη καὶ ἔκλαυσε, καὶ ἐδάκρυσεν ἡ γυνὴ αὐτοῦ καὶ σαῤῥᾶ ἡ θυγάτηρ αὐτοῦ ἔκλαυσαν, καὶ ὑπεδέξαντο αὐτοὺς προθύμως. καὶ ἔθυσαν κριὸν πρόβατον, καὶ παρέθηκαν ὄψα πολλά. Εἶπεν δὲ τωβίας τῷ ῥαφαὴλ· ἀζαρία ἀδελφὲ, λάλησον ὑπὲρ ὧν ἐλάλησε γὼ πρὸς αὐτὸν, καὶ τελειωθήτω τὸ πρᾶγμα. Καὶ μετέδωκε τὸν λόγον τῷ ῥαγουήλ.

Καὶ εἶπεν ῥαγουὴλ πρὸς τωβίαν· φάγε καὶ πίε, καὶ ἱλαρίως γίνου. δι γὰρ καθήκει τὸν υἱόν μου λαβεῖν, πλὴν ὑποδείξω σοι τὴν ἀλήθειαν. ἔδωκα τὸν υἱόν μου ἑπτὰ ἀνδράσι, καὶ ὁπότε εἰσεπορεύοντο πρὸς αὐτὴν, ἀπεθνῄσκοσαν ὑπὸ τὴν νύκτα. ἀλλὰ τοῦ νῦν ἔχω, ἱλαρίως γίνου. Καὶ εἶπεν τωβίας· οὐ γεύσομαι οὐδὲν ὧδε ἕως ἂν ποιήσητε, καὶ ἀκούσητε πρός με.

Καὶ εἶπεν ῥαγουὴλ· νομίζω αὐτὴν ἀκολουθεῖν τῷ νόμῳ τῷ κρίσει. σὺ δὲ ἀδελφὸς εἶ αὐτῆς, καὶ αὐτὴ σου. ὁ δὲ ἐλεήμων θεὸς εὐοδώσει ὑμῖν τὰ κάλλιστα. καὶ ἐκάλεσε σαῤῥᾶν τὴν θυγατέρα αὐτοῦ, καὶ ἦλθε πρὸς τὸν πατέρα αὐτῆς, καὶ λαβὼν τῆς χειρὸς αὐτῆς, παρέδωκεν αὐτὴν τωβίᾳ γυναῖκα, καὶ εἶπεν· ἰδοὺ κατὰ τὸν νόμον μωϋσέως δικαίως αὐτὴν, καὶ ἄπαγε πρὸς τὸν πατέρα σου. καὶ εὐλόγησεν αὐτούς. Καὶ ἐκάλεσεν ἔδναν τὴν γυναῖκα αὐτοῦ, καὶ λαβὼν βιβλίον ἔγραψε συγγραφὴν, καὶ ἐσφράγισαν, καὶ ἤρξαντο ἐσθίειν. Καὶ ἐκάλεσε ῥαγουὴλ ἔδναν τὴν γυναῖκα αὐτοῦ, καὶ εἶπεν αὐτῇ· ἀδελφὴ, ἑτοίμασον τὸν ἕτερον ταμεῖον, καὶ εἰσάγαγε αὐτὴν ἐκεῖ.

Καὶ ἐποίησεν ὡς εἶπε, καὶ εἰσήγαγεν αὐτὴν ἐκεῖ, καὶ ἔκλαυσεν. καὶ ἀπελείξατο τὰ δάκρυα τῆς θυγατρὸς αὐτῆς, καὶ εἶπεν αὐτῇ· θάρσει τέκνον, ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, δώῃ σοι χαρὰν ἀντὶ τῆς λύπης σου ταύτης, θάρσει θύγατερ.

ΚΕΦΑΛ. ή. 8.

Ὅτε δὲ συνετέλεσαν δειπνοῦντες, εἰσήγαγον τωβίαν πρὸς αὐτήν. ὁ δὲ πορευόμενος ἐμνήσθη τῶν λόγων ῥαφαὴλ, καὶ ἔλαβε τὴν πήραν τῶν θυμιαμάτων, καὶ ἐπέθηκε τὴν καρδίαν τοῦ ἰχθύος, καὶ ὁ ἰχθὺς ἐκάπνισεν. ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς ὀσμῆς, ἐφυγάδευθη εἰς τὰ ἀνώτατα αἰγύπτου, καὶ ἐδήσαν αὐτὸν οἱ ἄγγελοι. Ὡς δὲ συνεκλείσθησαν ἀμφότεροι, ἀνέστη τωβίας ἀπὸ τῆς κλίνης, καὶ εἶπεν· ἀνάστηθι ἀδελφὴ, καὶ προσευξώμεθα, ἵνα ἐλεήσῃ ἡμᾶς ὁ κύριος. καὶ ἤρξατο τωβίας λέγειν· εὐλογητὸς εἶ ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον, καὶ ὑψωθήτω εἰς τοὺς αἰῶνας. εὐλογησάτωσαν οἱ οὐρανοὶ, καὶ πᾶσαι αἱ κτίσεις σου. σὺ ἐποίησας ἀδὰμ, καὶ ἔδωκας αὐτῷ βοηθὸν εὖαν σύριγμα τῶν γυναικῶν αὐτοῦ. ἐκ τούτων ἐγεννήθη τὸ τῶν ἀνθρώπων σπέρμα. σὺ εἶπας· οὐ καλόν ἐστιν τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ. καὶ νῦν κύριε οὐχὶ διὰ πορνείαν ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλὰ ἐπ' ἀληθείας. ἐπίταξον ἐλεῆσαί με, καὶ ταύτῃ συγκατατρίβωμαι.

Καὶ εἶπε μετ' αὐτοῦ, ἀμήν. καὶ ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα. καὶ ἀναστὰς ῥαγουὴλ ἐπορεύθη, καὶ ὤρυξε τάφον λέγων· μὴ καὶ οὗτος ἀπέθανεν; καὶ ἦλθε ῥαγουὴλ εἰς τὴν οἰκίαν αὐτοῦ, καὶ εἶπεν ἔδνα τῇ γυναικὶ αὐτοῦ· ἀπόστειλον μίαν τῶν παιδισκῶν, καὶ ἐλθέτωσαν εἰ ζῇ. εἰ δὲ μή, ἵνα θάψω αὐτὸν, καὶ μηδεὶς γνώτω. καὶ εἰσῆλθε ἡ παιδίσκη καὶ ἀνοίξασα τὴν θύραν, καὶ εὗρεν τοὺς δύο καθεύδοντας. Καὶ ἐξελθοῦσα, ἀπήγγειλεν αὐτοῖς, ὅτι ζῇ, καὶ εὐλόγησε ῥαγουὴλ τὸν θεὸν λέγων· εὐλογητὸς εἶ ὁ θεὸς ἐν πάσῃ εὐλογίᾳ καθαρᾷ καὶ ἁγίᾳ. καὶ εὐλογείτωσάν σε οἱ ἅγιοί σου, καὶ πᾶσαι αἱ κτίσεις σου, καὶ πάντες οἱ ἄγγελοί σου, καὶ οἱ ἐκλεκτοί σου εὐλογείτωσάν σε εἰς πάντας τοὺς αἰῶνας. εὐλογητὸς εἶ, ὅτι εὐφρανάς με, καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπωπτεύσαμεν, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος ἐποίησας μεθ' ἡμῶν. εὐλογητὸς εἶ, ὅτι ἠλέησας δύο μονογενεῖς, ποίησον αὐτοῖς δέησιν τὸ σωτήριόν σου. συντέλεσον τὸν βίον αὐτῶν ἐν ὑγιείᾳ μετὰ εὐφροσύνης καὶ ἐλέους. ἐκέλευσε δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον, καὶ ἐποίησεν αὐτοῖς γάμον ἡμερῶν δεκατεσσάρων. καὶ εἶπεν αὐτῷ ῥαγουήλ· πρὶν συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου, ὀμόσας ὄμοσον μὴ ἐξελθεῖν αὐτὸν, ἕως ἂν πληρωθῶσιν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου. καὶ τότε λαβόντα τὸ ἥμισυ τῶν ὑπαρχόντων αὐτοῦ πορεύεσθαι μετ' ὑγιείας πρὸς τὸν πατέρα, καὶ τὰ λοιπὰ ὅτ' ἂν ἀποθάνω, καὶ ἡ γυνή μου.

ΚΕΦΑΛ. θ'. 9.

Καὶ ἐκάλεσε τωβίαν τὸν ῥαφαὴλ, καὶ εἶπεν αὐτῷ· ἀζαρία ἀδελφὲ, λαβὲ μετὰ σεαυτοῦ παῖδα, καὶ δύο καμήλους, καὶ πορεύθητι ἐν ῥαγοῖς εἰς μηδείαν πρὸς γαβαὴλ, καὶ κόμισαί μοι τὸ ἀργύριον, καὶ αὐτὸν ἄγε εἰς τὸν γάμον, ὀίδας ὁμώμοκε ῥαγουὴλ, μὴ ἐξελθεῖν με. καὶ ὁ πατήρ μου ἀριθμεῖ τὰς ἡμέρας, καὶ ἐὰν χρονίσω μεγάλως ὀδυνηθήσεται λίαν. Καὶ ἐπορεύθη ῥαφαὴλ, καὶ ηὐλίσθη παρὰ γαβαήλῳ, καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον. ὡς δὲ προσήνεγκε τὰ θυλάκια ἐν ταῖς σφραγῖσιν, καὶ ἔδωκεν αὐτῷ· καὶ ὤρθρισαν ἀμοιβῶς, καὶ ἦλθον εἰς τὸν γάμον, καὶ εὐλόγησε τωβίας τὴν γυναῖκα αὐτοῦ.

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. ί. 10.

ΚΑὶ τωβὶτ ὁ πατὴρ αὐτοῦ ὐλογίζε ἐκάστης ἡμέρας. καὶ ὡς ἐπληρώθησαν αἱ ἡμέραι τῆς πορείας, καὶ οὐκ ἤρχοντο, εἶπε τωβὶτ· μή ποτε διατέτριπται, μή ποτε ἀπέθανε γαβαὴλ, καὶ οὐδεὶς αὐτῷ δίδωσι τὸ ἀργύριον; καὶ ἐλυπεῖτο λίαν. Εἶπεν δὲ αὐτῷ ἡ γυνή· ἀπώλετο τὸ παιδίον, καὶ ὅτι διεγόνατε. καὶ ἤρξατο θρηνεῖν αὐτὸν, καὶ εἶπεν· οὐ μέλει μοι τέκνον, ὅτι ἀφῆκασε τὸ φῶς τῶν ὀφθαλμῶν μου. Καὶ τωβὶτ λέγει αὐτῇ· σίγα, μὴ λόγον ἔχε, ὑγιαίνει. ⸂καὶ λέγει αὐτῷ· σίγα, μὴ πλάνα με, ἀπώλετο τὸ παιδίον μου. Καὶ ἐπορεύετο διαθ' ἡμέραν εἰς τὴν ὁδὸν ἔξω, ὅθεν ἀπῆλθον· ἡμέρας δὲ ἄρτον οὐκ ἤσθιε, τὰς δὲ νύκτας ὅλας οὐ διελύπανε θρηνῶν τὰ τωβίαν τὸν υἱὸν αὐτῆς, ἕως οὗ συνετελέσθησαν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου, ἃς ὤμοσε Ραγουὴλ ποιῆσαι αὐτὸν ἐκεῖ. Εἶπεν δὲ τωβίας τῷ Ραγουὴλ· ἐξαπόστειλόν με, ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου οὐκ ἔτι ἐλπίζουσιν ὄψεσθαί με. Εἶπεν δὲ αὐτῷ ὁ πενθερὸς αὐτοῦ· μεῖνον παρ' ἐμοί, καὶ ἐγὼ ἐξαποστέλλω πρὸς τὸν πατέρα σου, καὶ δηλώσουσι αὐτῷ τὰ διατάσσε.

Καὶ τωβίας λέγει· οὐχί, ἀλλὰ ἐξαπόστειλόν με πρὸς τὸν πατέρα μου. Ἀνασὰς δὲ Ραγουὴλ, ἔδωκεν αὐτῷ σάρραν τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ ἥμισυ τῶν ὑπαρχόντων, σώματα, καὶ κτήνη, καὶ ἀργύριον, καὶ ὐλογήσας αὐτοὺς ἐξαπέστειλε λέγων· εὐοδώσει ὑμᾶς τέκνα ὁ θεὸς τοῦ οὐρανοῦ, πρὸ τοῦ με ἀφθαγεῖν. καὶ εἶπεν τῇ θυγατρὶ αὐτοῦ· τίμα τοὺς πενθεροὺς σου, αὐτοὶ νῦν γονεῖς σου εἰσίν, ἀκηκοῦσαί μου ἀκοὴν διαλύ. καὶ ἐφίλησεν αὐτούς. Καὶ ἔδωκε εἶπεν πρὸς τωβίαν· ἀδελφὲ ἀγαπητὲ, ἄρκατάσπασαί σε ὁ κύριος τοῦ οὐρανοῦ, καὶ δώη μοι ἰδεῖν σου τὰ ἐκ σάρρας τῆς θυγατρός μου, ἵνα εὐφρανθῶ ἐνώπιον κυρίου. καὶ ἰδοὺ παρατίθημί σοι τὴν θυγατέρα μου τὴν πεπαιδαγωγημένην, καὶ μὴ λυπήσῃς αὐτήν. μετὰ ταῦτα ἐπορεύετο, καὶ τωβίας ὐλογῶν τὸν θεὸν ὅτι εὐόδωσε τὴν ὁδὸν αὐτοῦ, καὶ διατυπλάγει Ραγουὴλ, καὶ ἔδωκαν τὴν γυναῖκα αὐτοῦ. καὶ ἐπορεύθη μέχρις οὗ ἐγγίσαι αὐτοὺς εἰς νινευῖ.

ΚΕΦΑΛ. ία. 11.

ΚΑὶ εἶπεν Ραφαὴλ πρὸς τωβίαν· γινώσκεις ἀδελφὲ πῶς ἀφῆπας τὸν πατέρα σου, πρόδρομον ἐμπροσθεν τῆς γυναικός σου, καὶ ἐρημάσωμεν τὴν οἰκίαν, λάβε δὲ πρὸς χεῖρα τὴν χολὴν τοῦ ἰχθύος. καὶ ἐπορεύθησαν, καὶ συνῆλθεν ὁ κύων ὀπίσω αὐτῶν. Καὶ ἄννα ἐκάθητο προβλεπομένη τὴν πάῖδια αὐτῆς εἰς τὴν ὁδὸν, καὶ προσγόησεν αὐτὸν ὀρχόμενον, καὶ εἶπεν τῷ πατρὶ αὐτοῦ· ἰδοὺ ὁ υἱός σου ὀρχεται, καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ' αὐτοῦ. καὶ Ραφαὴλ εἶπεν· ἐπίσαμαι ἐγὼ τωβία, ὅτι ἀνοίξει τοὺς ὀφθαλμοὺς ὁ πατήρ σου. σὺ οὖν ἔγχρισον τὴν χολὴν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ διαχυθεὶς διατρίψει, καὶ ἀρβαλεῖ τὰ λευκώματα, καὶ ὄψεται σε. καὶ προσδραμοῦσα ἄννα ἐπέπεσεν ἐπὶ τὸν τράχηλον τοῦ υἱοῦ αὐτῆς, καὶ εἶπεν αὐτῷ· εἶδόν σε τωβία, ἀπὸ τοῦ νῦν ἀφθανοῦμαι. καὶ ἔκλαυσαν ἀμφότεροι. Καὶ τωβὶτ ἐξήρχετο πρὸς τὴν θύραν, καὶ προσέκοπτεν. ὁ δὲ υἱὸς αὐτοῦ προσέδραμεν αὐτῷ, καὶ ἐπελάβετο τοῦ πατρὸς αὐτοῦ, καὶ προσέπασε τὴν χολὴν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ πατρὸς αὐτοῦ λέγων· θάρσει πάτερ. ὡς δὲ συνεδρίχθησαν, διέτριψε τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐλεπίδα ἀπὸ τῶν ἀκανθῶν αὐτοῦ τὰ λευκώματα. καὶ ἰδὼν τὸν υἱὸν αὐτοῦ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσε, καὶ εἶπεν· ὐλογητὸς εἶ ὁ θεὸς, καὶ ὐλογητὸν τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, καὶ ὐλογημένοι πάντες οἱ ἅγιοί σου ἄγγελοι, ὅτι ἐμαστίγωσας, καὶ ἠλέησάς με. ἰδοὺ βλέπω τωβίαν τὸν υἱόν μου. Καὶ εἰσῆλθεν ὁ υἱὸς αὐτοῦ χαίρων, καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ τὰ μεγαλεῖα τὰ γενόμενα ἐν τῇ μηδείᾳ. Καὶ ἐξῆλθε τωβὶτ εἰς συναντησιν τῇ νύμφῃ αὐτοῦ, χαίρων καὶ ὐλογῶν τὸν θεὸν πρὸς τῇ πύλῃ νινευῆ. καὶ ἐθαύμαζον οἱ θεωροῦντες αὐτὸν πορευόμενον, ὅτι ἔβλεψε. καὶ τωβὶτ ἐξωμολογεῖτο ἐνώπιον αὐτῶν, ὅτι ἐλέησεν αὐτὸν ὁ θεός. καὶ ὡς ἤγγισε τωβὶτ σάρρα τῇ νύμφῃ αὐτοῦ, διατυλόγησεν αὐτὴν λέγων· ἐλθοις ὑγιαίνουσα θυγατερ, ὐλογητὸς ὁ θεὸς ὃς ἤγαγέ σε πρὸς ἡμᾶς, καὶ ὁ πατήρ σου. καὶ ἐγένετο χαρὰ πᾶσι τοῖς ἐν νινευῆ ἀδελφοῖς αὐτοῦ. Καὶ πρεσβύτης ἀχιάχαρος, καὶ νασβὰς ὁ ἐξάδελφος αὐτοῦ, καὶ ἦλθεν ὁ γάμος τωβίας μετ' εὐφροσυνης ἡμέρας ἑπτά.

ΚΕΦΑΛ. ιβ'. 12.

ΚΑὶ ἐκάλεσε τωβὶτ τωβίαν τὸν υἱὸν αὐτοῦ, ⸂εἶπεν αὐτῷ· ὅρα τέκνον, μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, καὶ προσθεῖναι αὐτῷ δεῖ. Καὶ εἶπεν αὐτῷ· πάτερ οὐ βλάπτομαι, δίδωμι αὐτῷ τὸ ἥμισυ ὧν ἐκόμισα, ὅτι με ἀγίωχέ σοι ὑγιῆ, καὶ τὴν γυναῖκα μου ἐθεράπευσε, καὶ τὸ ἀργύριόν μου ἐνέγκε, καὶ σὲ ὁμοίως ἐθεράπευσε. Καὶ εἶπεν ὁ πρεσβύτης· δίκαιόν σοι αὐτῷ· καὶ ἐκάλεσε τὸν ἄγγελον, καὶ εἶπεν αὐτῷ· λάβε τὸ ἥμισυ πάντων ὧν ἐκόμισας, καὶ ὑπαγε ὑγιαίνων. Τότε καλέσας τοὺς δύο κρυπτῶς, εἶπεν αὐτοῖς· ὐλογεῖτε τὸν θεὸν, καὶ αὐτῷ ἐξομολογεῖσθε, καὶ μεγαλοσυνίαν δίδοτε αὐτῷ, καὶ ἐξομολογεῖσθε ἐνώπιον πάντων τῶν ζώντων, περὶ ὧν ἐποίησε μεθ' ὑμῶν. ἀγαθὸν τὸ ὐλογεῖν τὸν θεὸν, καὶ ὑψοῦν τὸ ὄνομα αὐτοῦ, τοὺς λόγους τῶν ὀργων τοῦ θεοῦ ἐνδόξως ἀποδεικνύοντες. καὶ μὴ ὀκνεῖτε ἐξομο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λογεῖσθαι αὐτῷ. μυστήριον βασιλέως καλὸν κρύψαι, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως. ἀγαθὸν ποιήσατε, καὶ κακὸν οὐχ εὑρήσει ὑμᾶς. ἀγαθὸν προσευχὴ μετὰ νηστείας, καὶ ἐλεημοσύνης, καὶ δικαιοσύνης. ἀγαθὸν τὸ ὀλίγον μετὰ δικαιοσύνης, ἢ πολὺ μετὰ ἀδικίας. καλὸν ποιῆσαι ἐλεημοσύνην, ἢ θησαυρίσαι χρυσίον. ἐλεημοσύνη γὰρ ἐκ θανάτου ῥύεται, καὶ αὐτὴ ἀπαθαρίζει πᾶσαν ἁμαρτίαν. οἱ ποιοῦντες ἐλεημοσύνας καὶ δικαιοσύνας, πλησθήσονται ζωῆς, οἱ δὲ ἁμαρτάνοντες πολέμιοι εἰσὶ τῇ ἑαυτῶν ζωῇ. οὐ μὴ κρύψω ἀφ' ὑμῶν πᾶν ῥῆμα. εἴρηκα δέ, μυστήριον βασιλέως κρύψαι καλόν, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως. καὶ νῦν ὅτε προσηύξω σύ, καὶ ἡ νύμφη σου Σάρρα, ἐγὼ προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου. καὶ ὅτε ἔθαπτες τοὺς νεκρούς, ὡσαύτως συμπαρήμην σοι. καὶ ὅτε οὐκ ὤκνησας ἀναστῆναι, καὶ κατέλιπες τὸ ἄριστόν σου, ὅπως ἀπελθὼν ἐκρύβης τὸν νεκρόν, οὐκ ἔλαθές με ἀγαθοποιῶν, ἀλλὰ σὺν σοὶ ἤμην. καὶ νῦν ἀπέστειλέ με ὁ θεὸς ἰάσασθαί σε, καὶ τὴν νύμφην σου Σάρραν. ἐγώ εἰμι Ῥαφαὴλ εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἁγίων, οἱ προσαναφέρουσι τὰς προσευχὰς τῶν ἁγίων, καὶ εἰσπορεύονται ἐνώπιον τῆς δόξης τοῦ ἁγίου. καὶ ἐταράχθησαν οἱ δύο, καὶ ἔπεσαν ἐπὶ πρόσωπον, ὅτι ἐφοβήθησαν. Καὶ εἶπεν αὐτοῖς· μὴ φοβεῖσθε, ὅτι εἰρήνην ὑμῖν ἔσαι. τὸν δὲ θεὸν εὐλογεῖτε, ὅτι οὐ τῇ ἐμαυτοῦ χάριτι, ἀλλὰ τῇ θελήσει τοῦ θεοῦ ἦλθον, ὃν εὐλογεῖτε αὐτὸν εἰς τοὺς αἰῶνας. πάσας τὰς ἡμέρας ὤπτανόμην ὑμῖν, καὶ οὐκ ἔφαγον, οὐδὲ ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς ἐθεωρεῖτε. καὶ νῦν ὁμολογεῖσθε τῷ θεῷ, ὅτι ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά με, καὶ γράψατε πάντα τὰ συντελεσθέντα εἰς βιβλίον. καὶ ἀνέστησαν, καὶ οὐκ ἔτι εἶδον αὐτόν. Καὶ ὡμολόγουν τὰ ἔργα τὰ μεγάλα καὶ θαυμαστὰ τοῦ θεοῦ, καὶ ὡς ὤφθη αὐτοῖς ὁ ἄγγελος κύριος.

ΚΕΦΑΛ. ιγ'. 13.

Καὶ Τωβὶτ ἔγραψε προσευχὴν εἰς ἀγαλλίασιν, καὶ εἶπεν· εὐλογητὸς ὁ θεὸς ὁ ζῶν εἰς τοὺς αἰῶνας, καὶ ἡ βασιλεία αὐτοῦ, ὅτι αὐτὸς μαστιγοῖ, καὶ ἐλεᾷ, καταγει εἰς ᾅδου καὶ ἀνάγει, καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὴν χεῖρα αὐτοῦ. ἐξομολογεῖσθε αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ ἐνώπιον τῶν ἐθνῶν, ὅτι αὐτὸς διεσπειρεν ἡμᾶς ἐν αὐτοῖς. ἐκεῖ ὑψοῦτε τὴν μεγαλωσύνην αὐτοῦ, καὶ ὑψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶντος. καθότι αὐτὸς κύριος ἡμῶν, καὶ ὁ θεὸς αὐτὸς πατὴρ ἡμῶν εἰς πάντας τοὺς αἰῶνας. καὶ μαστιγώσει ὑμᾶς ἐν ταῖς ἀδικίαις ὑμῶν, καὶ πάλιν ἐλεήσει, καὶ συνάξει ὑμᾶς ἐκ πάντων τῶν ἐθνῶν, οὗ διεσκορπίσθητε ἐν αὐτοῖς. ἐὰν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ καρδίᾳ ὑμῶν, καὶ ἐν ὅλῃ τῇ ψυχῇ ὑμῶν, ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήθειαν, τότε ἐπιστρέψει πρὸς ὑμᾶς. καὶ οὐ μὴ κρύψῃ τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν, καὶ θεάσεσθε ἃ ποιήσει μετ' ὑμῶν. καὶ ἐξομολογήσασθε αὐτῷ ἐν ὅλῳ τῷ στόματι ὑμῶν, καὶ εὐλογεῖτε τὸν κύριον τὸν δικαιοσύνης, καὶ ὑψώσατε τὸν βασιλέα τῶν αἰώνων. ἐγὼ ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου ἐξομολογοῦμαι αὐτῷ, καὶ δείκνυμι τὴν ἰσχὺν καὶ τὴν μεγαλωσύνην αὐτοῦ ἔθνει ἁμαρτωλῷ. ἐπιστρέψατε ἁμαρτωλοί, καὶ ποιήσατε δικαιοσύνην ἐνώπιον αὐτοῦ. τίς γινώσκει εἰ θελήσει ὑμᾶς, καὶ ποιήσει ἐλεημοσύνην ὑμῖν; τὸν θεόν μου ὑψῶ, καὶ ἡ ψυχή μου τὸν βασιλέα τοῦ οὐρανοῦ, καὶ ἀγαλλιάσεται τῇ μεγαλωσύνῃ αὐτοῦ. λεγέτωσαν πάντες, καὶ ἐξομολογείσθωσαν αὐτῷ ἐν δικαιοσύνῃ. Ἱερουσαλὴμ πόλις ἁγία μαστιγώσει σε διὰ τὰ ἔργα τῶν υἱῶν σου, καὶ πάλιν ἐλεήσει τοὺς υἱοὺς τῶν δικαίων. ἐξομολογοῦ τῷ κυρίῳ ἀγαθῶς, καὶ εὐλόγει τὸν βασιλέα τῶν αἰώνων, ἵνα πάλιν ἡ σκηνὴ αὐτοῦ οἰκοδομηθῇ ἐν σοὶ μετὰ χαρᾶς, καὶ εὐφρανῇ ἐν σοὶ τοὺς ἐκεῖ αἰχμαλώτους, καὶ ἀγαπήσαι ἐν σοὶ τοὺς ταλαιπώρους εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος. ἔθνη πολλὰ μακρόθεν ἥξει πρὸς τὸ ὄνομα κυρίου τοῦ θεοῦ, δῶρα ἐν χερσὶν ἔχοντες, δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ. γενεαὶ γενεῶν αἰνέσουσί σε, καὶ δώσουσιν ἀγαλλίασιν. ὧν κατάρασθαι πάντες οἱ μισοῦντές σε, εὐλογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές σε εἰς τὸν αἰῶνα. χάρηθι καὶ ἀγαλλίασαι ἐπὶ τοῖς υἱοῖς τῶν δικαίων, ὅτι σωαχθήσονται καὶ εὐλογήσουσι τὸν κύριον τῶν δικαίων. ὦ μακάριοι οἱ ἀγαπῶντές σε, χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου. καὶ μακάριοι ἄνθρωποι ἐλυπήθησαν ἐπὶ πάσαις ταῖς μάστιξί σου, ὅτι ἐπὶ σοὶ χαρήσονται, θεασάμενοι πᾶσαν τὴν δόξαν σου, καὶ εὐφρανθήσονται εἰς τὸν αἰῶνα. ἡ ψυχή μου εὐλογείτω τὸν θεὸν τὸν βασιλέα τὸν μέγαν, ὅτι οἰκοδομηθήσεται Ἰερουσαλὴμ σαπφείρῳ καὶ σμαράγδῳ, καὶ λίθῳ τιμίῳ τὰ τείχη σου, καὶ οἱ πύργοι, καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ, καὶ αἱ πλατεῖαι Ἰερουσαλὴμ ἐν βηρύλλῳ καὶ ἀνθρακι, καὶ λίθῳ ἐκ σαρδείου ψηφολογηθήσονται. καὶ ὁδοῦσι πᾶσαι αἱ ῥύμαι αὐτῆς, ἀλληλουϊὰ. καὶ αἰνέσουσι λέγοντες· εὐλογητὸς ὁ θεός, ὃς ὕψωσε πάντας σοὺς αἰῶνας.

ΚΕΦΑΛ. ιδ'. 14.

Καὶ ἐπαύσατο ἐξομολογούμενος Τωβίτ. καὶ ἦν ἐτῶν πεντήκοντα ὀκτώ, ὅτε ἀπώλεσε τὰς ὄψεις, καὶ μετὰ ἔτη ὀκτὼ ἀνέβλεψεν. καὶ ἐποίει ἐλεημοσύνας. καὶ προσέθετο φοβεῖσθαι κύριον τὸν θεόν, καὶ ἐξομολογεῖσθαι αὐτῷ. μεγάλως δὲ ἐγήρασεν. καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ, καὶ τοὺς ἐξ υἱοὺς τοῦ υἱοῦ αὐτοῦ. Καὶ εἶπεν αὐτῷ· Τέκνον λάβε τοὺς υἱούς σου, ἰδοὺ γὰρ γήρασα,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

γήρακα, καὶ πῶς ἦλθεν ἐπὶ τὸν ἀγχόνην ἐν τῷ οἴκῳ μου. ἀπελθὲ εἰς τὴν μητέρα τέκνον, ὅτι οὐκέτι εἰμὶ

καὶ ὠδὴ πάντας τοὺς κατοικοῦντας πρὸς ἀνατολὰς, καὶ τοὺς κατοικοῦντας Κιλικίαν, καὶ Δαμασκὸν, καὶ Λίβανον, καὶ αὐτιλίβανον, καὶ πάντας τοὺς κατοικοῦντας τὴν πρόσωπον τῆς θαλάσσης, καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ Καρμήλ καὶ Γαλαάδ, καὶ τὴν ἄνω Γαλιλαίαν, καὶ τὸ μέγα πεδίον ἐσβραηλὼμ, καὶ πάντας τοὺς ἐν Σαμαρείᾳ, καὶ τὰς πόλεις αὐτῆς, καὶ πέραν τοῦ Ἰορδάνου ἕως Ἱερουσαλὴμ καὶ Βετάνη, καὶ Χελλοὺς, καὶ Κάδης, καὶ τοῦ ποταμοῦ Αἰγύπτου, καὶ Ταφνὰς, καὶ Ῥαμεσσὴ, καὶ πᾶσαν γῆν Γεσεμέως τοῦ ἐλθεῖν ἐπάνω τάνεως καὶ Μέμφεως, καὶ πάντας τοὺς κατοικοῦντας τὴν Αἴγυπτον, ἕως τοῦ ἐλθεῖν ὧδε τὰ ὅρια Αἰθιοπίας. καὶ ἐφαύλισαν πάντες οἱ κατοικοῦντες τὴν γῆν τὸ ῥῆμα Ναβουχοδονόσορ τοῦ Βασιλέως Ἀσσυρίων, καὶ οὐ συνῆλθον αὐτῷ εἰς τὸν πόλεμον, ὅτι οὐκ ἐφοβήθησαν αὐτόν. ἀλλ' ἦν ἐναντίον αὐτῶν ὡς ἀνὴρ εἷς, καὶ ἀπέστρεψαν τοὺς ἀγγέλους αὐτοῦ κενοὺς καὶ ἀτιμίᾳ ἀπὸ προσώπου αὐτῶν. καὶ ἐθυμώθη Ναβουχοδονόσορ ὧδε πᾶσαν τὴν γῆν ταύτην σφόδρα, καὶ ὤμοσε κατὰ τοῦ θρόνου καὶ τῆς Βασιλείας αὐτοῦ, εἰ μὴ ἐκδικήσειν αὐτὸν πάντα τὰ ὅρια τῆς Κιλικίας, καὶ Δαμασκοῦ, καὶ Συρίας, ἀνελεῖν τῇ ῥομφαίᾳ αὐτοῦ καὶ πάντας τοὺς κατοικοῦντας τὴν Μωάβ, καὶ τοὺς υἱοὺς Ἀμμών, καὶ πᾶσαν τὴν Ἰουδαίαν, καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ, ἕως τοῦ ἐλθεῖν ὧδε τὰ ὅρια τῶν δύο θαλάσσων. καὶ πεποίηται ἐν τῇ δυνάμει αὐτοῦ πρὸς Ἀρφαξὰδ Βασιλέα ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει τῷ ἐπαπολεμῆσαι αὐτῷ. καὶ ἐκρατυνώθη ἐν τῷ πολέμῳ αὐτοῦ, καὶ ἀνέστρεψε πᾶσαν τὴν δυνάμιν Ἀρφαξὰδ, καὶ πᾶσαν τὴν ἵππον αὐτοῦ, καὶ πάντα τὰ ἅρματα αὐτοῦ, καὶ ἐνυρίδωσε τὴν πόλιν αὐτοῦ. καὶ ἀφίκετο ἕως ἐκβαλαώνων, καὶ ἐκράτησε τῶν τειχέων, καὶ ἐπῶνόμασε τὰς πλατείας αὐτῆς, καὶ τὸν κόσμον αὐτῆς ἔδωκεν εἰς ὄνειδος αὐτῆς. καὶ ἔλαβε τὸν Ἀρφαξὰδ ἐν ταῖς ὀρεσι Ῥαγαῦ, καὶ κατηκόντισεν αὐτὸν ἐν ταῖς ζιβύαις αὐτοῦ, καὶ ἐξωλόθρευσε αὐτὸν ἕως τῆς ἡμέρας ἐκείνης. καὶ ἀνέστρεψε μετ' αὐτῆς εἰς Νινευὴ αὐτὸς καὶ πᾶς ὁ σύμμικτος αὐτοῦ, πλῆθος ἀνδρῶν πολεμιστῶν πολὺ σφόδρα. καὶ ἐνῆ ἐκεῖ ῥαθυμῶν, καὶ ἀνακόμενος αὐτὸς καὶ ἡ δύναμις αὐτῆς ἐφ' ἡμέρας ἑκατὸν εἴκοσι.

ΚΕΦΑΛ. Β. 2.

Ἀγαπήσατε δικαιοσύνην οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ κυρίου ἐν ἀγαθότητι, καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν. ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ· σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας. ὅτι εἰς κακοτέχνου ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι κατακρίτῳ ἁμαρτίας. ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων, καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. φιλάνθρωπον γὰρ πνεῦμα σοφία, καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ. ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ θεός, καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθής, καὶ τῆς γλώσσης ἀκοή. ὅτι πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐ λήσει μὴ λάθῃ, οὐδὲ μὴ παρελθούσης αὐτὸν ἐλέγχουσα ἡ δίκη. ἐν γὰρ διαβουλίοις ἀσεβῶν ἐξέτασις ἔσται. λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ. ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα, καὶ θορύβου γογγυσμῶν οὐκ ἀκροᾶται. φυλάξασθε τοίνυν γογγυσμὸν ὠφελῆ, μὴ δὲ καταλαλιᾶς φείσασθαι γλώσσης. ὅτι φθέγμα λαθραῖον ἰὸν οὐ πορεύσεται, στόμα δὲ καταψευδόμενον ἀναιρεῖ ψυχήν. μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν, μηδὲ ἕλησθε ὄλεθρον ἔργοις χειρῶν ὑμῶν. ὅτι ὁ θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐν ἀπωλείᾳ ζώντων. ἔκτισεν γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καὶ σωτηρίους αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου, οὔτε ᾅδης βασίλειον ἐπὶ γῆς. δικαιοσύνη γὰρ ἀθάνατός ἐστιν, ἀσεβεῖς δὲ τοῖς χερσὶν καὶ τοῖς λόγοις προσεκαλέσαντο αὐτόν. φίλον ἡγησάμενοι αὐτὸν, ἐτάκησαν, καὶ συνθήκην ἔθεντο πρὸς αὐτόν, ὅτι ἄξιοί εἰσιν τῆς ἐκείνου μερίδος εἶναι.

ΚΕΦΑΛ. β΄. 2.

Εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς, ὀλίγος καὶ λυπηρὸς ὁ βίος ἡμῶν, καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνθρώπου, καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ᾅδην. ὅτι αὐτοσχεδίως ἐγενήθημεν, καὶ μετὰ τοῦτο ἐσόμεθα ὡς οὐκ ἐπάρξαντες. ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν, καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας ἡμῶν, οὗ σβεσθέντος τέφρα ἀρθήσεται τὸ σῶμα, καὶ τὸ πνεῦμα διαχυθήσεται ὡς χαῦνος ἀήρ. καὶ τὸ ὄνομα ἡμῶν ἐπιλησθήσεται ἐν χρόνῳ, καὶ οὐθεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν. καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης, καὶ ὡς ὁμίχλη διασκεδασθήσεται, διωχθεῖσα ὑπὸ ἀκτίνων ἡλίου, καὶ ὑπὸ θερμότητος αὐτοῦ βαρυνθεῖσα, σκιᾶς

γὰρ

γὰρ πάροδός ὁ καιρὸς ἡμῶν. καὶ ἐκ ἔστιν ἀναποδισμὸς τῆ τελευτῆς ἡμῶν, ὅτι κατεφθαρήσθη, καὶ ὀδηγεῖς ἀναχωρεῖ. δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν, καὶ χρησώμεθα τῇ κτίσει ὡς νεότητι ταχυδιαίως. οἴνῳ πολυτελεῖ καὶ μύροις πληθώμεν, καὶ μὴ παρελθάτω ἡμᾶς ἄνθος ἀώρος. στεψώμεθα ῥόδοις πρὶν ἀπολεῖψαι, ποιήσωμεν λειμῶνα μηδενὶ ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας. παντοχοῦ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης, ὅτι αὕτη ἡ μερὶς ἡμῶν, καὶ ὁ κλῆρος οὗτος. καταδυναστεύσωμεν τὸν πένητα δίκαιον, μὴ φεισώμεθα χήρας, μηδὲ πρεσβύτου γήρας ἀποπτώμεν πολιᾶς πολιχρονίου. ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης, τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται. γνῶμεν δὲ τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ γαυριᾶται τοῖς ἔργοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου, καὶ ἐπιφημίζεται ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ, καὶ παῖδα κυρίου ἑαυτὸν ὀνομάζει. ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν. βαρύς ἐστιν ἡμῖν, καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἠλλαγμέναι αἱ τρίβοι αὐτοῦ. εἰς μίδισμον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν. μακαρίζει ἔσχατα δικαίων, καὶ ἀλαζονεύεται πατέρα θεόν. ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ, ἀντιλήψεται αὐτοῦ, καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων. ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δικάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν, ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν. ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν, καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ, οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος, οὐδὲ κρίναν γέρως ψυχῶν ἀμώμων. ὅτι ὁ θεὸς ἔκτισεν τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος ἐποίησεν αὐτόν. φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, πειράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες.

ΚΕΦΑΛ. γ'. 3.

Δίκαιοι δὲ ψυχαὶ ἐν χειρὶ θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. καὶ γὰρ ἐὰν ἐνώπιον ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ. οἱ δὲ ἀσεβεῖς καθὰ ἐλογίσαντο ἔξουσιν ἐπιμέλειαν, οἱ ἀμελήσαντες τοῦ δικαίου τοῦ κυρίου ἀπρόσωπον. Σοφίαν γὰρ καὶ παιδείαν ἀπώσαντο πταλαίπωρος, καὶ κενὴ ἡ ἐλπὶς αὐτῶν, καὶ οἱ κόποι ἀνόνητοι, καὶ ἄκαρπα τὰ ἔργα αὐτῶν. αἱ γυναῖκες αὐτῶν ἄφρονες, καὶ πονηρὰ τὰ τέκνα αὐτῶν. ἐπικατάρατος ἡ γένεσις αὐτῶν, ὅτι μακαρία στεῖρα ἡ ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι, ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν, καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνομίαν, μηδὲ ἐνθυμηθείη κατὰ τοῦ κυρίου πονηρά. δοθήσεται γὰρ αὐτῷ ἐκ πίστεως χαρὰς ἐκλεκτὴ, καὶ κλῆρος ἐν ναῷ κυρίου εὐπρόσδεκτος. ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεὴς, καὶ ἀμάραντος ἡ ῥίζα τῆς φρονήσεως. τέκνα δὲ μοιχῶν ἀτέλεσται ἔσται, καὶ ἐκ παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται. ἐὰν τε γὰρ μακρόβιοι γένωνται, εἰς οὐθὲν λογισθήσονται, καὶ ἄτιμος ἡ ἐσχάτη τῶν γήρας αὐτῶν. ἐὰν τε ὀξέως τελευτήσωσιν, οὐκ ἔχουσιν ἐλπίδα, οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παραμύθιον. γενεᾶς γὰρ ἀδίκου χαλεπὰ τὰ τέλη.

ΚΕΦΑΛ. δ'. 4.

Κρείσσων ἀτεκνία μετὰ ἀρετῆς, ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτῆς, ὅτι καὶ παρὰ θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις, παρουσία τε μιμοῦνται αὐτὴν, καὶ ποθοῦσιν ἀπελθοῦσαν, καὶ ἐν τῷ αἰῶνι στεφανηφορεῖται πομπεύει, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα. πολύγονον δὲ ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει, καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος, οὐδὲ ἀσφαλῆ βάσιν ἐδράσει. καὶ γὰρ ἐν κλάδοις πρὸς καιρὸν αὐαθήσῃ, ἀσφαλῶς βεβηκότος ὑπὸ ἀνέμου σαλευθήσεται, καὶ ὑπὸ βίας ἀνέμων ἐκριζωθήσεται. πρόκλαδα θήσονται κλῶνες ἀτέλεσοι, καὶ ὁ καρπὸς αὐτῶν ἄχρηστος, ἄωρος εἰς βρῶσιν, καὶ εἰς οὐθὲν ὠφέλιμος. ἐκ γὰρ ἀνόμων ὕπνων τέκνα γεννώμενα μαρτυρεῖς εἰσιν πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ αὐτῶν. δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. πολιὰ δέ ἐστιν φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. εὐάρεστος θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. ἡ ἁρπαγὴ μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. τελειωθεὶς ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἀλίγῳ ἐπλήρωσαν χρόνος μακρούς. ἀρεστὴ γὰρ ἦν δικαίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευδεν ἐκ μέσου πονηρίας. οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο, ὅτι χάρις καὶ ἔλεος ἐπὶ τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐπὶ τοῖς ἐκλεκτοῖς αὐτοῦ. διατοῦτο κρίνει δίκαιος θανὼν τοὺς ζῶντας ἀσεβεῖς, καὶ νεότης τελεσθεῖσα ταχέως πολυετοῦς γῆρας ἄδικον. ἄφρονες γὰρ τελοῦντι βουλῇ τοῦ κυρίου περὶ αὐτοῦ, καὶ εἰς τί ἀσφαλίσατο αὐτὸν ὁ κύριος. ὄψονται καὶ ἐξουθενήσουσιν, αὐτοὺς δὲ ὁ κύριος ἐκγελάσεται, καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον, καὶ εἰς ὕβριν ἐν νεκροῖς εἰς αἰῶνα, ὅτι ῥήξει αὐτοὺς ἀφρόνους πρωτοπλάστους, καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίου, καὶ ἕως ἐσχάτου χορσωθήσονται, καὶ ἔσονται ἐν ὀδύνῃ, καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται. ἐλεύσονται ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν εἰσελοί, καὶ ἐλέγξει αὐτοὺς ἐξ ἐναντίας τὰ ἀνομήματα αὐτῶν.

ΚΕΦΑΛ. ε'. 5.

Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν, καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ. ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκπλαγήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας. ὁρῶσιν ἐν ἀνελπίστοις μετανοοῦντες, καὶ διὰ στενοχωρίαν πνεύματος στενάξονται. οὗτος ἦν ὃν ἔσχομεν ποτὲ εἰς γέλωτα, καὶ εἰς παραβολὴν ὀνειδισμοῦ. οἱ ἄφρονες ἡμεῖς τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὸ τέλος αὐτοῦ ἄτιμον. πῶς κατελογίσθη ἐν υἱοῖς θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν; ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἔλαμψεν ἡμῖν, καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν. ἀνομίας ἐνεπλήσθημεν πρέσβεις, καὶ ἀπωλείας, καὶ διωδεύσαμεν ὁδοὺς δυσβάτους, τὴν δὲ ὁδὸν κυρίου οὐκ ἐγνώσμεθα. τί ὠφέλησεν ἡμᾶς ὑπερηφανία; ἢ τί πλοῦτος μετὰ ἀλαζονίας συμβέβληκεν ἡμῖν; παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιά, καὶ ὡς ἀγγελία παρατρέχουσα. ὡς ναῦς διερχομένη κυματοφόρον ὕδωρ, ἧς διαβάσεως ἀκολουθίαν ἔχον εὑρεῖν, οὐδὲ ἀτραπὸν τρίβου αὐτῆς ἐν κύμασιν. ἢ ὡς ὄρνεα διαπτάντος ἀέρος, οὐθὲν εὑρίσκεται τεκμήριον πορείας· πληγὴ δὲ παραπεσοῦσα μαστίζομένου πνεύματα λεπτά, καὶ σχιζομένου βίᾳ ῥοίζου, κινουμένων πτερύγων διαδιόντων, καὶ μετὰ ταῦτα οὐχ εὑρέθη σημεῖον παρόδου ἐν αὐτοῖς. ἢ ὡς βέλους βληθέντος εἰς σκοπὸν, τεμνεῖς ὁ ἀὴρ σύδενος εἰς ἑαυτὸν εἰσῆλθεν, ὡς ἀγνωσθῆναι τὴν διόδον αὐτοῦ· οὕτως καὶ ἡμεῖς γεννηθέντες ἠξελίπομεν, καὶ ἀρετῆς μὴ σημεῖον οὐδὲν ἔχομεν δεῖξαι, ἐν δὲ τῇ κακίᾳ ἡμῶν κατεφθάρημεν. ὅτι ἐλπὶς ἀσεβοῦς ὡς φοροῦμενος χνοῦς ὑπὸ ἀνέμου, καὶ ὡς πάχνη ὑπὸ λαίλαπος διωχθεῖσα λεπτή, καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη, καὶ ὡς μνεία καταλύτου μονοημέρου παρώδευσεν. δίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσιν, καὶ ἐν κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. λήψεται ἀσπίδα ἀκαταμαχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ὑπὲρ τοὺς παράφρονας. πορεύσονται εὔσοχοι βολίδων ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ὑπὲρ σκοπὸν ἀλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀκρότομοι. πνεύσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυνατῶν.

ΚΕΦΑΛ. ς'. 6.

Ἀκούσατε οὖν βασιλεῖς, καὶ συνίετε, μάθετε δικασταὶ πάσης γῆς, γνῶτε ἐσχατιαὶ οἰκουμένης πλήθος, καὶ γεγαυρωμένοι ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ τοῦ κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου, ὃς ἐξετάσει τὰ ἔργα ὑμῶν καὶ τοὺς βουλὰς διερευνήσει. ὅτι ὑπάρχοντες ὄντες τῆς αὐτοῦ βασιλείας οὐκ ἐκρίνατε ὀρθῶς, οὐδὲ ἐφυλάξατε νόμον, οὐδὲ κατὰ τὴν βουλὴν τοῦ θεοῦ ἐπορεύθητε. φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν, ὅτι κρίσις ἀπότομος τοῖς ὑπάρχουσι γίνεται. ὁ γὰρ ἐλαχίστου συγγνωστός ἐστιν ἔλεος, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ παντων δεσπότης, οὐδὲ μὴ τραπήσεται μεγέθος, ὅτι μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν, ὁμοίως τε πρόνοια πᾶσι παντων, τοῖς δὲ κρατοῦσι ἰσχυρὰ ἐπίκειται ἔρευνα. πρὸς ὑμᾶς οὖν ὦ τύραννοι οἱ λόγοι μου, ἵνα μάθητε σοφίαν, καὶ μὴ παραπέσητε. οἱ γὰρ φυλαξάντων ὁσίως τὰ ὅσια, ὁσιωθήσονται, καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν. πρόσχετε οὖν τοῖς λόγοις μου, ποθήσατε καὶ παιδευθήσεσθε. λαμπρὰ καὶ ἀμάραντος ἐστὶν ἡ σοφία, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτὴν, καὶ εὑρίσκεται ὑπὸ τῶν ζητούντων αὐτήν. φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι, ὁ ὀρθρίζας ἐπ' αὐτῇ οὐ κοπιάσει, πάρεδρον γὰρ εὑρήσει τῇ πύλῃ αὐτοῦ, τὸ γὰρ ἐνθυμηθῆναι περὶ αὐτῆς φρονήσεως τελειότης. καὶ ὁ ἀγρυπνήσας διὰ αὐτὴν ταχέως ἀμέριμνος ἔσται, ὅτι αὐτὸς ἀξίους αὐτῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πῆς αὖτη πορεύῃ; ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτὸς δύμωνος, καὶ πάσῃ εὐνοίᾳ ὑπαντᾷ αὐτοῖς. ἀρχὴ γὰρ αὐτῆς ἡ ἀληθεστάτη παιδείας ἐπιθυμία. φροντὶς δὲ παιδείας ἀγάπη, ἀγάπη δὲ τήρησις νόμων αὐτῆς. πρόσοχὴ δὲ νόμων βεβαίωσις ἀφθαρσίας. ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ. ὥστε ἐπιθυμία ἄρα σοφίας ἀναγει ἐπὶ βασιλείαν. εἰ οὖν εἴδεσθε ὑμῖν θρόνοις καὶ σκήπτροις τύραννοι λαῶν, τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. τί δέ ἐστι σοφία, καὶ πῶς ἐγένετο ἀπαγγελῶ ὑμῖν, καὶ οὐκ ἀποκρύψω ὑμῖν μυστήρια, ἀλλὰ ἐπ' ἀρχῆς γενέσεως ἐξιχνιάσω, καὶ θήσω εἰς τὸ ἐμφανὲς τὴν γνῶσιν αὐτῆς, καὶ οὐ μὴ παρελεύσω τὴν ἀλήθειαν, οὔτε μὴν φθόνῳ τετηκότι συνοδεύσω, ὅτι οὗτος οὐ κοινωνήσει σοφίᾳ, πλῆθος δὲ σοφῶν σωτηρία κόσμου, καὶ βασιλεὺς φρόνιμος εὐσταθία λήμου. ὥστε παιδεύεσθε τοῖς ῥήμασίν μου, καὶ ὠφεληθήσεσθε. εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος ἴσος ἅπασιν, καὶ γηγενὴς ἀπόγονος πρωτοπλάστου, καὶ ἐν κοιλίᾳ μητρὸς ἐπλάσθην σὰρξ δεκαμηνιαίῳ, πεπηγὼς ἐν αἵματι ἐκ σπέρματος ἀνδρὸς καὶ ἡδονῆς ὕπνου συνελθόντος.

ΚΕΦΑΛ. ζ. 7

Καὶ ἐγὼ δὲ γηρόμην ἔπαρσα τὸν κοινὸν ἀέρα, καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπεσον γῆν. πρῶτον φωνὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαίων, ἐν παραγαίοις αὐτεπάφοις, καὶ ἐν φρονήσει. οὐδεὶς γὰρ βασιλεὺς ἑτέραν ἔσχεν γένεσεως ἀρχήν. μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον, ἔξοδός τε ἴση. σοὶ γὰρ σὺν ἐδόθη μοι, καὶ φρονήσεις ἐδόθη μοι, ἐπεκαλεσάμην, καὶ ἦλθέν μοι πνεῦμα σοφίας, πρὸ ἐκείνου σοὶ τὸν σκῆπτρον καὶ θρόνον. καὶ πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει αὐτῆς, οὐδὲ ὁμοίωσα αὐτῇ λίθον ἀτίμητον, ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος ὀλίγη, καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐνώπιον αὐτῆς. ὑπὲρ ὑγίειαν καὶ εὐμορφίαν ἠγάπησα αὐτὴν, καὶ προειλόμην αὐτὴν ἀντὶ φωτὸς ἔχειν, ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος. ἦλθον δέ μοι τὰ ἀγαθὰ ὁμοῦ πάντα μετ' αὐτῆς, καὶ ἀναρίθμητος πλοῦτος ἐν χερσὶν αὐτῆς. εὐφράνθην δὲ ἐπὶ πάντων, ὅτι αὐτὴν ἡγεῖται σοφία. ἠγνόουν δὲ αὐτὴν γενέσιν εἶναι τούτων, ἀπλόως τε ἐμαθον, ἀφθόνως μεταδίδωμι, τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι. ἀνεκλιπὴς γὰρ θησαυρός ἐστιν ἀνθρώποις, οὓς οἱ χρησάμενοι θεοῦ ἐτάλαντο φιλίαν διὰ τὰς παιδείας δωρεὰς συστάντες. ἐμοὶ δίδωκεν ὁ θεὸς εἰπεῖν κατὰ γνώμην, καὶ εὐθυμεῖσθαι ἀξίως τῶν διδομένων, ὅτι αὐτὸς καὶ ἡ σοφία διόρθωτής. ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς, καὶ οἱ λόγοι ἡμῶν, πᾶσά τε φρόνησις, καὶ ὀργανεῖαν ἐπιστήμη. αὐτὸς γάρ μοι ἔδωκεν τῶν ὄντων γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, τροπῶν ἀλλαγὰς, καὶ μεταβολὰς καιρῶν, ἐνιαυτῶν κύκλους καὶ ἀστέρων θέσεις, φύσεις ζώων καὶ θυμὸς θηρίων, πνεύματα βίας, καὶ διαλογισμοὺς ἀνθρώπων, διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν, ὅσα τε ὄντα κρυπτὰ καὶ ἐμφανῆ ἔγνων. ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέν με σοφία. ἔστιν γὰρ ἐν αὐτῇ πνεῦμα νοερὸν, ἅγιον, μονογενὲς, πολύμορφον, λεπτὸν, εὐκίνητον, τρανὸν, ἀμόλυντον, σαφὲς, ἀπήμαντον, φιλάγαθον, ὀξὺ, ἀκώλυτον, εὐεργετικὸν, φιλάνθρωπον, βέβαιον, ἀσφαλὲς, ἀμέριμνον, παντοδύναμον, πανεπίσκοπον, καὶ διὰ πάντων χωρῶν πνευμάτων νοερῶν καθαρῶν λεπτοτάτων. πάσης γὰρ κινήσεως κινητικώτερον σοφία. διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαριότητα. ἀτμὶς γάρ ἐστι τῆς θείας δυνάμεως, καὶ ἀπόῤῥοια τῆς παντοκράτορος δόξης εἰλικρινής. διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει. ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ. μία δὲ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα καινίζει, καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα, φίλους θεοῦ καὶ προφήτας κατασκευάζει. οὐθὲν γὰρ ἀγαπᾷ θεὸς, εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα. ἔστιν γὰρ αὕτη δυπρεπεστέρα ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν. φωτὶ συγκρινομένη, εὑρίσκεται πρωτεύουσα. νυκτὶ μὲν γὰρ ἐπιβουλεύεται κακία, σοφίας δὲ οὐ κατισχύει κακία.

ΚΕΦΑΛ. η. 8.

Διατείνει δὲ ἀπ' ἄκρου εἰς πέρας κραταιῶς, καὶ διοικεῖ τὰ πάντα χρηστῶς. ταύτην ἐφίλησα καὶ ἐζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς. δυγένειαν σεμνύνει, συμβίωσιν θεοῦ ἔχουσα, καὶ ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν. μύστις γάρ ἐστι τοῦ θεοῦ τῆς ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ. εἰ δὲ πλοῦτον ἐστὶν ἐπιθυμητὸν κτῆμα ἐν βίῳ, τί σοφίας πλουσιώτερον ἐστὶ τὰ πάντα ἐργαζομένης; εἰ δὲ φρόνησις ἐργάζεται, τίς αὐτῆς τῶν ὄντων μᾶλλον ἐστὶ τεχνίτης; καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις, οἱ πόνοι ταύτης εἰσὶν ἀρεταί. σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδεν τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἔκβασις καιρῶν καὶ χρόνων. ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβίωσιν, εἰδὼς ὅτι ἔσται μοι σύμβουλος ἀγαθὴ, καὶ

παραίνεσις φρονεῖτέ μοι καὶ λύπης ἔξεστι σοι αὐτοῖς λόξαν ἐν ὄχλοις, καὶ τιμὴ πᾶσα πρόδυ-
τοις ὀνεῖ. ὀξὺς εὐρεθήσομαι ἐν κρίσει, οὐ γὰρ ὄψει θαυμασῶν θαυμαδήσομαι. σιγῶντά με πε-
ριμένουσιν, καὶ φθεγγομένων προσδέξονται, καὶ λαλοῦντος ἐπιπλέον, χεῖρα ἐπιθήσουσιν ὠδὴ σό-
ματι αὐτῶν. ἔξω σοι αὐτοῖς ἀθανασίαν, καὶ μνήμην αἰώνιον τοῖς μετ' ἐμὲ ἀπολέψω. σοι κήσω
λαούς, καὶ ἔθνη ὑποταγήσεταί μοι. φοβηθήσονταί με ἀπάσαντες τύραννοι φρυκτοί, ἐν πλή-
θει φανοῦμαι ἀγαθός, οὐ γὰρ πολέμῳ ἀνδρεῖος. εἰσελθὼν εἰς τὸν οἶκόν μου προσπαύσομαι αὐ-
τῇ, οὐ γὰρ ἐχθ πικρίαν ἡ συμβίωσις αὐτῆς, οὐδὲ ὀδυνῶ ἡ συμβίωσις αὐτῆς, ἀλλὰ συφροσύ-
νῃ καὶ χαρᾷ. ταῦτα λογισάμενος ἐν ἑαυτῷ, καὶ φρονήσας ἐν καρδίᾳ μου, ὅτι ὅτι ἀθανα-
σία ἐν συγγενείᾳ Σοφίας, καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγαθή, καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλοῦ-
τος ἀνεκλιπής, καὶ ἐν συγγυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις, καὶ δύκλεια ἐν κοινωνίᾳ λόγων
αὐτῆς. πορεύσομαι ζητῶν ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν. πῶς δ' ἥμην σύφυκς, ψυχῆς τε ἔλα-
χον ἀγαθῆς, μᾶλλον δὲ ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον. γνοὺς δὲ ὅτι οὐκ ἄλλως ἔσομαι ἐγ-
κρατής, ἐὰν μὴ ὁ θεὸς δῶ, καὶ τοῦτο δ' ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις, προσῆλθον τῷ
κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μου.

ΚΕΦΑΛ. θ'. 9.

Θεὸ πατέρων, καὶ κύριε τοῦ ἐλέους σου, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ Σοφίᾳ σου
κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ
διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ, δός μοι
τὴν σὴν θρόνων πρέσβυν σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦ-
λος σός, καὶ υἱὸς τῆς παιδίσκης σου, ἄνθρωπος ἀδύνης καὶ ὀλιγοχρόνιος, καὶ ἐλάσσων ἐν συνέ-
σει κρίσεως καὶ νόμων, κἂν γάρ τις ἦ τέλειος ἐν υἱοῖς ἀνθρώποις, μὴ ἀπὸ σοῦ σοφίας ἀπούσης
εἰς οὐδὲν λογισθήσεται. σύ με προέλω βασιλέα λαοῦ σοῦ, καὶ δικαστὴν υἱῶν σου καὶ θυγατέρων.
εἶπας, οἰκοδομῆσαι ναὸν ἐν ὄρει ἁγίῳ σου, καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαστήριον, μί-
μημα σκηνῆς ἁγίας ἣν προητοίμασας ἀπ' ἀρχῆς, καὶ μετὰ σοῦ ἡ σοφία ἡ εἰδυῖα τὰ ἔργα σου, καὶ
παροῦσα ὅτε ἐποίεις τὸν κόσμον, καὶ συναρμόν τι ἀρεστὸν ἐν ὀφθαλμοῖς σου, καὶ τι ὀρθὲς ἐν ἐν-
τολαῖς σου. ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν, καὶ ἀπὸ θρόνου δόξης σου πέμψον αὐτήν. ἵνα
συμπαρῇ σά μοι κοπιάσῃ, καὶ γνῶ τί εὐάρεστόν ἐστι παρά σοι. οἶδε γὰρ ἐκείνη πάντα, καὶ συ-
νιεῖ, καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσί μου σωφρόνως, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. καὶ
ἔσομαι προσδεκτὰ τὰ ἔργά μου, καὶ δικαιωθήσομαι τὸν λαόν σου δικαίως, καὶ ἔσομαι ἄξιος θρόνων πα-
τρός μου. τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν θεοῦ; ἢ τίς νοήσει τί θέλει ὁ θεός; λογισ-
μοὶ γὰρ θνητῶν δειλοί, καὶ ἀσφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν. φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν,
καὶ βρίθει τὸ γεώδες σκῆνος νοῦν πολὺ φροντίδα, καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν χεί-
σιν εὑρίσκομεν μετὰ πόνου. τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασεν; βουλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ
δέδωκας σοφίαν, καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ ὑψίστων; καὶ οὕτως διωρθώθησαν αἱ
τρίβοι τῶν ἐπὶ γῆς, καὶ τὰ ἀρέσκοντά σου ἐδιδάχθησαν ἄνθρωποι, καὶ τῇ σοφίᾳ ἐσώθησαν.

ΚΕΦΑΛ. ι'. 10.

Αὕτη πρωτόπλαστον πατέρα κόσμου, μόνον κτισθέντα διεφύλαξεν, καὶ ἐξέτεινε αὐτὸν
ἐκ παραπτώματος ἰδίου, ἔδωκέν τε αὐτῷ ἰσχὺν κρατῆσαι ἁπάντων. ἀποστὰς δὲ ἀπ'
αὐτῆς ἀδίκῳ ἐν ὀργῇ αὐτοῦ, ἀδελφοκτόνοις συναπώλετο θυμοῖς, δι' ὃν κατακλυζομένην
γῆν πάλιν διέσωσεν σοφία, διὰ ξύλου τὸν δίκαιον κυβερνήσασα. αὕτη καὶ ἐν ὁμο-
νοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων εὗρε τὸν δίκαιον, καὶ ἐτήρησεν ἄμεμπτον θεῷ, καὶ ἰσχυρὸν
τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλαξεν. αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐρρύσατο φυγόν-
τα πῦρ κατενεχθὲν ἐπὶ τὴν πεντάπολιν. ἧς ἔτι μαρτύριον ἡ πονηρίας καπνιζομένη κατέστηκε χώρ
σος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά, ἀπιστοῦσης ψυχῆς μνημεῖον ἑστηκὼς στήλη ἅλός.
σοφίαν γὰρ παρελθόντες, οὐ μόνον ἐβλάβησαν τοῦ μὴ γνῶναι αὐτὰ κακά, ἀλλὰ καὶ ἐν ἀφρο-
σύνῃ ἀπέλιπον τοῖς βίῳ μνημόσυνον, ἵνα ἐν οἷς ἠγνόησαν μηδὲ λαθεῖν δυνηθῶσιν. σοφία δὲ
τοὺς θεραπεύοντας αὐτὴν ἐκ πόνων ἐρρύσατο. αὕτη φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον ὁδη-
γήσασα ἐν τρίβοις εὐθείαις, ἔδειξεν αὐτῷ βασιλείαν θεοῦ, καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων, εὐ-
πόρησεν αὐτὸν ἐν μόχθοις, καὶ ἐπλήθυνεν τοὺς πόνους αὐτοῦ. ἐν πλεονεξίᾳ καθυφόντων αὐτὸν πα-
ρέσῃ, καὶ ἐπλήσησεν αὐτόν. δίκαιον ἐφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν, καὶ ἀπὸ ἐνεδρευόντων ἠσφαλίσατο.
ἐν ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτῷ, ἵνα γνῷ ὅτι πάντων δυνατωτέρα ἐστὶν εὐσέβεια. αὕτη πρα-
θέντα δίκαιον οὐκ ἐγκατέλιπεν, ἀλλὰ ἀπ' ἁμαρτίας ἐρρύσατο αὐτόν. συγκατέβη αὐτῷ εἰς λάκ-
κον, καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτὸν, ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βασιλείας, καὶ ἐξουσίαν τυρα-
νούντων αὐτοῦ. ψεύστας τε ἔδειξεν τοὺς μωμησαμένους αὐτὸν, καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον.
αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον ἐρρύσατο ἀπ' ἔθνους θλιβόντων. εἰσῆλθεν εἰς ψυχὴν θεράπ-
ποντος κυρίου, καὶ αὐστήσασα βασιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ σημείοις. ἀπέδωκεν ὁσίοις μισθὸν κό-
πων

πωρ αὐτ, ὡσλύγησαν αὐτοὺς γὰρ ὁδῷ θαυμασῇ, ⁊ ἐγνώζθ αὐτοῖς εἰς σκέπην ἡμέρας, ἡ εἰς φλόγα ἄστρων τ νύκτα. σλιεβίβασαν αὐτοὺς θάλασσαν ὁρυθραὶν, ἡ δύναγμν αὐτοὺ σλὶ ὕδατος πολλ. αὐτοὺ ὁ ἐχθρὸς αὐτ ιατέκλυσαν, ἡ ἐκ βάθους ἀβύσσου αὐεβρασαν αὐτούς. σλὰ τοῦτ σλίκαιοι ἐσκύλευσαν ἀσεβεῖς, καὶ ὕμνησαν κύριε τὸ ὄνομα τὸ ἅγιόν σου, τλὼ τε ὑπερμαχόν σου χεῖρα ὤσεσαν ὁμοθυμαδόν. ὅτι ἡ σοφία ἤνοιξεν στόμα ἀωφῶν, καὶ γλώσσας νηπίων ἔθηκεν θραυάς.

ΚΕΦΑΛ. ιά. 11.

Ευώδωσεν τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτου ἁγίου. σλιώδευσαν ὄρημον ἀοίκητον, ⁊ ἐν ἀβάτοις ἔπηξαν σκηνάς. αὐτεπάλαισαν πολεμίοις, καὶ ἠμύναντο ἐχθρούς. ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε, καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ, καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ. δι ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν, σλὰ τούτων αὐτοὶ ἀχρεῖοντο δύσργετήθησαν. αὐτὶ μ πηγῆς ἀγνὰς ποταμὸς αἵματι λυθρώδει παραχθέντος εἰς ἔλεγχον νηπιοκτόνου διατάγματος, ἔδωκας αὐτοῖς σλαψίλες ὕδωρ αὐελπίστως, δείξας σλὰ τὸ τότε σλίψας πῶς αὐτοὺς ἀντωγωνίσω ἐκόλασας. ὅτε γὰρ ἐπειράσθησαν, καίπερ ἐν ἐλέει παιδευόμενοι, ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι ἀσεβεῖς ἐβασανίζοντο. τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας, ἐκείνους ὡς ἀπότομος βασιλεὺς ιατακλινάζων ἐξήτασας. καὶ ἀπόντων δὲ ἡ παρόντων ὁμοίως ἐπεύχοντο. σλιπλὴν γὰρ αὐτοὺ ἔλαβεν λύπη καὶ ἀναγμὸς μνημῶν ὧν παρελθόσων. ὅτε γὰρ ἤκουσαν σλὰ ὧν ἐδίδου κολάσεων δύσργετημάτων αὐτοῦ, ἤδοντο τοῦ κυρίου. ὃν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφῆντα ἀπαίτον χλευάζοντος, ὧδι τέλει ὧν ἐκβάσεων ἐθαύμασαν, οὐχ ὅμοια σλικαίοις σλιψήσαντος. αὐτὶ δὲ λογισμῶν ἀσωμέτων ἀδίκιας αὐτῶν, ἐν οἷς πλανηθέντος ἐβρήσκουν ἄλογα ἑρπετά, καὶ κινώδαλα αὐτελῆ. ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζώων εἰς ἐκδίκησιν, ἵνα γνῶσιν ὅτι σλὶ ὧν τίς ἁμαρτάνει, σλιατέτων κολάζεται. οὐ γὰρ ἤπορεί ἡ παντοδύναμός σου χείρ, καὶ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης. ὧδι πέμψαι αὐτοῖς πλῆθος ἄρκτων, ἢ θρασεῖς λέοντας, ἢ νεοκτίτους θυμὸ πλήρεις θήρας ἀγνώστους, ἤτοι πυρπνόου φυσῶντας ἄδμα, ἢ βρόμους λικμωμένους ιαπνῷ, ἢ σκιὰς ἀπ' ὀμμάτων ἀπινθῆρας ἀσπάπτοντας, ὧν οὐ μόνον ἡ βλάβη ἀδύνατο σωνεκρίψαι αὐτούς, ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβίζοντας ὀλοέσαι. καὶ χωρὶς δὲ τούτων, ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο ὑπὸ δίκης σκηπτοῦχοι, ἡ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου, ἀλλὰ πάντα μέτρῳ ἡ ἀριθμῷ καὶ σταθμῷ σκέτεξας. τὸ γὰρ μεγάλως ἰσχύειν πάρεστί σοι πάντοτε, ⁊ τίς βραχίονός σου τίς ἀντιστήσεται; ὅτι ὡς ῥοπὴ ἐκ πλασίγνου ὅλος ὁ κόσμος ἐναντίον σου, ἡ ὡς ῥανὶς δρόσου ὀρθινὴ καταπεσοῦσα ὧδι γῆν. ἐλεεῖς ἢ πάντας, ὅτι πάντα δύνασαι, ἡ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν. ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ, ὧν ἐποίησας. οὐδὲν γὰρ ἂν μισῶν κατεσκεύασας. πῶς δ ἔμενεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας; ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη; φείδῃ δὲ πάντων, ὅτι σά δεσπότα φιλόψυχε.

ΚΕΦΑΛ. ιβ'. 12.

Το γὰρ ἄφθαρτόν σου πνεῦμα ἔστιν ἐν πᾶσιν. διὸ οὖν παραπίπτοντας κατ' ὀλίγον ἐλέγχεις, καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντος τῆς κακίας πιστεύσωσιν ὧδι σε κύριε. καὶ γὰρ τοὺς παλαιοὺς οἰκήτορας τῆς ἁγίας σου γῆς μισήσας, ὧν ἐβδ ἔχθισε πραΰσειν ἔργα φαρμακειῶν, καὶ τελετὰς ἀνοσίους, τέκνων τε φονέας αὐελεήμονας, καὶ σπλαγχνοφάγων ἀνθρωπίνων σαρκῶν, θοίνην ἡ αἵματος ἐκ μέσου μυστῶν θείας σου, ⁊ αὐθόντας γονεῖς ψυχῶν ἀβοηθήτων ἐβούλησας ἀπολέσαι σὺν χερσὶν πατέρων ἡμῶν, ἵνα ἀξίαν ἀποικίαν δέξηται θεοῦ παίδων, ἡ πρὸς οἱ πασῶν τιμιωτάτη γῆ. ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἀφείσω, ἀπέστειλάς τε πρόδρομος τῆς σῆς παροπτείου σου σφῆκας, ἵνα αὐτοὺς κατακράχῃ ὀλοθρεύσωσιν, οὐκ ἀδυνατῶν ἐν πρὸς τάξει ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι, ἢ θηρίοις δεινοῖς, ἢ λόγῳ ἀπροόμῳ ὑφ' ἓν ἐκπρίψαι. κρίνων δὲ κατὰ μέρος ἐδίδους τόπον μετανοίας, οὐκ ἀγνοῶν ὅτι πονηρὰ ἡ γένεσις αὐτῶν, καὶ ἔμφυτος ἡ κακία αὐτῶν, καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα. σπόρμα γὰρ ἦν κατηραμένον ἀπ' ἀρχῆς. οὐδὲ ὀλιγωρῶν τινὰ ἐφ' οἷς ἡμάρτανον, ἄδειαν ἐδίδους. τίς γὰρ ὀρεῖ σε ἐποίησας; ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου; τίς δὲ ἐγκαλέσει σοι ἔθνῶν ἀπολωλότων, ἃ σὺ ἐποίησας; ἢ τίς εἰς κατάστασίν σου ἐλεύσεται ἔκδικος ἐπὶ ἀδίκων ἀνθρώπων; οὔτε γὰρ θεὸς ὅτι πολλὶ σοῦ, ᾧ μέλει περὶ πάντων, ἵνα δείξῃς, ὅτι οὐκ ἀδίκως ἔκρινας. οὔτε βασιλεὺς, ἢ τύραννος ἀνθρφθαλμῆσαι δυνήσεταί σοι περὶ ὧν ἐκόλασας. δίκαιος δὲ ὢν δικαίως τὰ πάντα διέπεις, αὐτὸν ὃν μὴ ὀφείλοντα κολασθῆναι, κατεδίκασας ἀλλότριον ἡγεμόνος τῆς γῆς δυνάμεως. ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχή, καὶ τ πάντων σε δεσποτεῖν, πάντων φείδεσθαι ποιεῖ. ἰσχὺν γὰρ σὺ δ' ἐπίνυσας, ἀπερόμενος ὧδι δυνάμεως τελειότητι, καὶ ἐν τοῖς εἰδόσι τὸ θράσος ἐξελέγχεις. σὺ δ δικαιώσας ἰσχύος ὢν δικαίας κρίνεις, ⁊ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς. πάρεστι γάρ σοι ὅταν θέλῃς, τὸ δύνασθαι ὑπὲρ. ἐδίδαξας δὲ σὸν τὸν λαόν σου διὰ τ καλῶν ἔργων, ὅτι δεῖ δίκαιον εἶν φιλάνθρωπον. καὶ θάρσος παῖδας ἐποίησας σοὺς ἐλπίδος ἀγαθῆς, ὅτι δίδεις ἐπὶ ἁμαρτήμασιν μετάνοιαν. εἰ γὰρ ἐχθροὺς παιδεύων σε,

καὶ

καὶ ὀφειλομένης θανάτῳ μετὰ τοσαύτης ἐπιμονῆς πλοσδυχῆς, καὶ λύσεως, λοιὸς χρόνος καὶ τόπος οὐ ὧν ἀπαλλαγῶσι ἡ λακίας. μετὰ πάσης ἀκριβείας ἐκρινας τοὺς ἡμᾶς σου, ὧν τῆς παραβάσεις ὄρκους καὶ συνθήκας ἐλωκας ἀγαθῶν ὑποχέσεων. ἡμᾶς οὖν παιδεύων, τοὺς ἐχθροὺς ἡμῶν γὰ μυριότητι μασιγῆς, ἵνα σου τῶν ἀγαθότητα μιμησώμεθα λιπόντες, λεπόμενοι δὲ προσλοκῶμεν ἔλεος. ὅθεν καὶ τοὺς γὰ ἀφροσύνῃ ζωῆς βιώσαντας ἀσλίκως, οὓς τῷ ἰσλίῳ ἐβασάνισε βασιλυγμάτων. καὶ γὰρ τῷ πλούτῳ ὁσίων μακρόθυμον ἐπλανήθησαν, θεὸς ὑπολαμβάνοντες τὰ καὶ γὰ ζώοις τ' ἐχθρῶν ἄτιμα, νηπίων δίκαιω ἀφρόνων ψυθυγότες. οὓς δῶρ ὡς παισὶν ἀλογίστοις τῶν λιρίσιν εἰς ἐμπαιγμὸν ἐπεμψας. οἱ δὲ παιγνίοις ὠλιγώρησε μὴ νουθετηθέντες, ἀξίαν θεῦ λιρίσιν παράσχωσιν. ἐφ' οἷς γὰρ αὐτοὶ πάσχοντες ἠγανάκτησ, ὧδε τούτοις οὓς ἐσλόκων θεὸς, γὰ αὐτοῖς λολαζόμενοι ἰσλόντες ὃν πάλαι πρνοῶντο εἰσλθεῖν, θεὸν ἐπέγνωσαν ἀληθῆ. διὸ καὶ τὸ τέρμα ἡ λαταδίκης ἐπ' αὐτοὺς ἐπῆλθεν.

ΚΕΦΑΛ. ιγ'. 13.

Ματαιοι μὲν γὰρ παύτες ἄνθρωποι φύσει, οἷς πᾶσι θεοῦ ἀγνωσία, καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδθεῖναι τὸν ὄντα, οὔτε τοῖς ὄργοις προσέχοντες ἐπέγνωσαν τὸν τεχνίτω, ἀλλ' ἢ πῦρ, ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα, ἢ κύκλον ἄστρων, ἢ βίαιον ὕδωρ, ἢ φωστῆρας οὐρανοῦ, πρυτάνεις κόσμου θεοὺς γὼμισαν. ὧν εἰ μὲν τῇ λαλλονῇ τερπόμενοι, θεοὺς ὑπελαμβανον, γνώτωσαν πόσῳ τούτων ὁ δίσποτης ὄσῳ βελτίων. ὁ γὰρ τοῦ κάλλους γενεσιάρχης, ἔκτισεν αὐτά. εἰ δὲ δυνάμει καὶ ἐνόργείᾳ ἐκπλαγέντες, νοησάτωσαν ἀπ' αὐτῶν πόσῳ ὁ λατασκευάσας αὐτὰ δυνατώτερός ὄστι. ἐκ γὰρ μεγέθος λαλλονῆς, καὶ ὡπισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. ἀλλ' ὅμως ὀλίγοι τούτοις ἐσι μέμψις ὀλίγη. καὶ γὰρ αὐτοὶ πάχα πλανῶνται, θεὸν ζητοῦντες καὶ θέλοντες εὑρεῖν. ἐν γὰ τοῖς ὄργοις αὐτοῦ ἀναστρεφόμενοι διερευνῶσιν, καὶ πείθονται τῇ ὄψει, ὅτι λαλὰ τὰ βλεπόμενα. πάλιν δ' οὐδ' αὐτοὶ σύγγνωστοι. εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδθεῖναι, ἵνα δυνῶνται σοφὰ θεάσασθαι τὸν αἰῶνα, τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὕρον; παλαίπωροι δὲ καὶ γὰ νεκροῖς αἱ ἐλπίδες αὐτῶν, οἳ ξύλινας ἐκάλεσαν θεοὺς ὄργα χειρῶν ἀνθρώπων, χρυσοῦ, καὶ ἀργύρου, τέχνης ἐμμελέτημα, καὶ ἀπφκάσματα ζώων, ἢ λίθου, ἄχρηστον χειρὸς ὄργον ἀρχαίας. εἰ δὲ καὶ τις ὑλοτόμος τέκτων ἐκκίνητον φυτὸν ἐκπρίσας, ἐπιδεξιως ὑμαθῶς πάντα τὸν φλοιὸν αὐτοῦ, ⸂καὶ τεχνισάμενος⸃ ὑπερεπῶς λατεσκεύασεν χρήσιμον σκεῦος εἰς ὑποδρεσίαν ζωῆς, τὰ δὲ ἀπόβλητα τῆς ὀργασίας εἰς ἑρμασίαν τροφῆς ἀναλώσας ἐνεπλήσθη, τὸ δὲ ἐξ αὐτοῦ ἀπόβλητον εἰς οὐθὲν ὄχρηστον, ξύλον σκολιὸν, καὶ ὄζοις συμπεφυκός, λαβὼν ἐγλυψεν ἐν ὥρᾳ μελέτης ἀργίας αὐτοῦ, καὶ ἐμπειρίας αὐτοῦ ἐτύπωσεν αὐτὸ ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου, ἢ ζώῳ τινὶ ὑπτελεῖ ὡμοίωσεν αὐτὸ, λατεχρίσας μίλτῳ καὶ φύκει, ἐρυθριάσας χρόα αὐτοῦ, καὶ πᾶσαν λυλίδα τοῦ ἐν αὐτῷ λατεχρίσατο, καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα. ἐν τοίχῳ ἔθηκεν αὐτὸ, ἀσφαλισάμενος σιδήρῳ. ἵνα μὲν οὖν μὴ λατα πέσῃ πρνόησεν αὐτοῦ, εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι. καὶ γὰρ ὄζει εἰκών, καὶ χρείαν ἔχει βοηθείας. περὶ δὲ ὑπερμάτων καὶ γάμων αὐτοῦ, καὶ τέκνων προσεύχόμενος, οὐκ αἰσχύνεται ⸂ἐφ' ἀψύχῳ προσλαλῶν⸃. καὶ περὶ μὲν ὑγιείας τὸ ἀδυνὲς ὠνακαλεῖται, περὶ δὲ ζωῆς τὸν νεκρὸν αἰτεῖ. περὶ δὲ εὐπορίας τὸν ἀπειρόπλουτον ἱκετεύει. περὶ δὲ ὁδοιπορίας, τὸ μηδὲ βάσει χρῆσθαι δυναμένου. περὶ δὲ πορισμοῦ, καὶ ὀργασίας, καὶ χειρῶν εὐτεχίας, τὸν ἀδρανέσατον ταῖς χερσὶν δυσβράνειαν αἰτεῖται.

ΚΕΦΑΛ. ιδ'. 14.

Πλοιῶν πάλιν τὶς ἐπιλόμενος, καὶ ἄγρια μέλλων διοδεύειν κύματα, τὸ φρόντις αὐτοῦ πλοῖον ⸂βρεότερον ξύλον ὑπεβάσατο⸃. ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπγόνησεν, τεχνίτης δὲ ⸂σοφία⸃ λατεσκεύασεν. ἦλθε σὴ πάτερ διακυβερνᾶ πρόνοια, ὅτι ἐλωκας καὶ γὰ θαλάσσῃ ὁδὸν, καὶ γὰ κύμασιν πρίβον ἀσφαλῆ, δεικνὺς ὅτι δυνάσαι ἐκ παντὸς σώζειν, ἵνα καὶ ἄνευ τέχνης τὶς ὑπβῇ, θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τ' σοφίας σε ὄργα. διατοῦτο καὶ ἐλαχίσῃ ξύλῳ πισεύσασιν ἄνθρωποι ψυχὰς, καὶ διελθόντες λιμένα, σχεδίᾳ διεσώθησαν. καὶ ἀρχῆς γὰρ ἀρχεννμένων ⸂παρηφάνων γιγάντων⸃, ἡ ἐλπὶς τοῦ κόσμου ὑπὸ σχεδίας λατεφυγόσα, ἀπέλιπεν αἰῶνι παρόμα γενέσεως τῇ σῇ λυβερνήσασα χειρί. σὺ λόγῳ γὰρ ξύλον, σὺ οὐ γένεις δικαιοσύνη. τὸ χειροποίητον ⸂ὑπὸ κακίας⸃ αὐτὸ, καὶ ὁ ποιήσας αὐτό. ὅτι ὁ μὲν ἐργάζετο, τὸ δὲ φθαρὲν θεὸς ὠνομάσθη. ἐν ἴσῳ γὰρ μισητὰ θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ, καὶ γὰρ τὸ πραχθὲν σὺν ⸂τῷ δράσαντι λολασθήσεται⸃. διατοῦτο καὶ ἐν εἰδώλοις ἐθνῶν ὠπισκοπήθησαν, ὅτι ἐν τιμαῖς θεῦ εἰς βδέλυγμα ἐγγνήθησαν, καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων, καὶ εἰς παγίδα ποσὶν ἀφρόνων. ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς. οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσαι. ⸂ματαιοδοξία γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς κόσμον⸃. καὶ διὰ τοῦτο σύντομον αὐτῇ τέλος ἐπγονήθη. ἀώρου γὰρ τεγνήσει πρυχόμενος πατὴρ, τὸ ταχέως ἀφεραυθέντος τέκνου εἰκόνα ποιήσας τότε νεκρὸν ἄνθρωπον, νῦν ὡς θεὸν ἐτίμησεν, καὶ πρόσλωκεν

τοῖς

τοῖς ἀσυνχειρίοις μυσηρια, καὶ τελεταὶς. εἶπα γὰ χρόνω μεγαλυθῆ ἡ ἀσεβὲς ἔθος, ὡς νόμος ἐφυλάχθη, καὶ τυραννων ὠμότατα ἐθρησκεύθη τὰ γλυπτά. οὓς γὰ ὄφελε μὴ δυνάμενοι τιμᾶν ἄνθρωποι σβέ ἡ μακρὰν οἰκεῖν, τὴν πόρρωθεν ὄψιν ἀνατυπωσάμενοι, ἐμφανῆ εἰκόνα τοῦ τιμωμένου Βασιλέως ἐποίησαν, ἵνα μὴ ἅπαντα ὡς παρόντα κολακεύωσιν σβέ. ἡ ἀπορία. εἰς ἐπίτασιν δὲ θρησκείας καὶ τοὺς ἀγνοοῦντας ἡ τοῦ τεχνίτου προετρέψατο φιλοτιμία. ὁ μὲν γὰρ τάχα μεγαλυνθῆναι βουλόμενος ἀρέσαι, ἠζηλιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ὕδη τὸ κάλλιον. τὸ δὲ πλῆθος ἐφελκόμενον σβέ ἡ εὐχαρι ἡ ὀργασίας ἦν πολύγονον τιμηθέντα ἄνθρωπον, νεῶ σέβασμα ἐλογίσαντο. ἐν οἷς ἐληλυθὼς ἤδη βίᾳ εἰς φθορὰν, ὅτι συμφορᾶς, ἢ τυραννίδι σπαλυθέντων ἀνθρωποι, τὸ ἀνοινώνητον ὄνομα λίθοις καὶ ξύλοις προσέθεσαν. εἶτα δὴ ἤρκεσεν ἡ πλανᾶσθαι περὶ τὴν τοῦ θεοῦ γνῶσιν, ἀλλὰ καὶ μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ τὰ τοσαῦτα κακὰ εἰρήνῃ προσαγορεύουσιν. ἢ γὰ τελεσφόρους τελετὰς, ἢ ἱερὰ μυστήρια, ἢ ἐμμανεῖς ἢ ἄλλων θεσμῶν κώμους ἄγοντες, οὔτε βίους, οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν. ἕτερος δ' ἕτερον ἢ λοχῶν ἀναιρεῖ, ἢ νοθεύων ὀδυᾶ. πάντας δ' ἐπιμιξ ἔχει αἷμα καὶ φόνος, ζηλοτυπία, δολος, φθορὰ, ἀσέλγεια, πάραχος, πορνεία, θόρυβος ἀγαθῶν, χάριτες ἀμνησία, ψυχῶν μιασμός, γενέσεως ἀλλαγὴ, γάμων ἀταξία, μοιχεία καὶ ἀσέλγεια. εἰ γὰρ τῶν ἀνονύμων εἰδώλων θρησκείας πάντων ἀρχὴ κακὴ, καὶ αἰτία καὶ πρόφασις ὅδε. ἢ γὰρ θυφραινόμενοι μεμιάσιν, ἢ προφητεύσιν ψευδῆ, ἢ ζῶσιν ἀδίκως, ἢ πορνεύσιν ταχέως. ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις, κακῶς ὀμόσαντες ἀδικηθῆναι οὐ προσδέχονται. ἀμφότερα δὲ αὐτοῖς μετελεύσεται τὰ δίκαια. ὅτι κακῶς ἐφρόνησαν περὶ θεὸν πρόσχοντες εἰδώλοις, καὶ ἀδίκως ὤμοσαν γὰ δόλῳ, κατάφρονήσαντες ὁσιότητος. οὐ γὰρ ἡ τῶν ὀμνυμένων δύναμις, ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

ΚΕΦΑΛ. ιέ. 15.

Σὺ δὲ ὁ θεὸς ἡμῶν χρηστὸς καὶ ἀληθὴς, μακρόθυμος, καὶ ἐλέει διοικεῖς τὰ πάντα. καὶ γὰ ἐὰν ἁμαρτάνωμεν, σοί ἐσμεν, εἰδότες σου τὸ κράτος. οὐχ ἁμαρτήσομέθα δὲ, εἰδότες ὅτι σοὶ λελογίσμεθα. τὸ γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανασίας. οὔτε γὰρ ἐπλούτησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια, οὐδὲ σκιογράφων πόνος ἄκαρπος, εἴδωλος ποικίλοις χρώμασι διαπλασμένοις, ὧν ὄψις ἄφροσιν εἰς ὄνδιδος ὄρεξιν, πόθεν νεκρᾶς εἰκόνος εἶδος ἄπνουν. κακῶν ὄρασις, ἄξιοι τε τούτων ἐλπίδων, καὶ οἱ ποιοῦντες καὶ οἱ σεβόμενοι. καὶ γὰ μόραμεύς ἀπαλὸν γλυῦ θλίβων ὑδρὶ μόχθον πλάσας πρὸς ὑπηρεσίαν ἡμῶν ἔπλασεν, ἀλλ' ἐκ τῆς αὐτῆς πηλὸν ἀναπλάττει τά τε τῆς καθαρῶν ὀργῶν δεῖλα σκεύη, τά τε ἐναντία πάντ' ὁμοίως. τούτων δ' ἑτέρου τίς ἑκάστου ὄφελος ἡ χρῆσις, κριτὴς ὁ πηλουργός. καὶ κακόμοχθος θεὸν μάταιον ἐκ τοῦ αὐτοῦ πλάσας πηλὸν, ὃς πρὸ μικροῦ ἐκ γῆς ἐνεχθεὶς, καὶ μετ' ὀλίγον πορεύσεται ὅθεν ἦς ἐλήφθη, τὸ δὲ ψυχῆς ἀπαιτηθεὶς χρέος. ἀλλ' ἔστιν αὐτῷ φροντὶς οὐχ ὅτι μέλλει κάμνειν, οὐδ' ὅτι βραχυτελῆ βίον ἔχει, ἀλλ' αὐτοργοῖς καὶ ἀργυροχόοις, χαλκοπλάσταις τε μιμεῖται, καὶ δόξαν ἡγεῖται, ὅτι λίθοδηλα πλάσσει, σποδὸς ἡ καρδία αὐτοῦ, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτοῦ, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτοῦ, ὅτι ἠγνόησε τὸν πλάσαντα αὐτὸν, καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργῆσαν, καὶ τὸν ἐμφυσήσαντα πνοὴν ζωτικήν. ἀλλ' ἐλογίσαντο παίγνιον εἶναι τὸν ζωὴν ἡμῶν, καὶ τὸν βίον πανηγυρισμοῦ κερδῶν δεῖν. δεῖν γὰρ φησὶν ὅθεν δή, καὶ ἐκ κακοῦ πορίζειν. οὗτος γὰρ παρὰ πάντας οἶδεν ὅτι ἁμαρτάνει, ὕλης γεώδους εὐθραυσας σκεύη, καὶ γλυπτὰ δημιουργῶν. πάντων δ' ἀφρονέστατοι καὶ τάλανες ὑπὲρ ψυχὴν νήπιοι, οἱ ἐχθροὶ τοῦ λαοῦ σου κατεδυναστεύσαντες αὐτόν. ὅτι καὶ πάντα εἰδωλα τῶν ἐθνῶν ἐλογίζαντο θεὸς, οἷς οὔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν, ἔτι ῥῖνες εἰς σωοληκὴν ἀέρος, ἔτε ὦτα ἀκοὴν, ἔτι δάκτυλοι χερῶν εἰς ψηλάφησιν, καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν. ἄνθρωπος γὰρ ἐποίησεν αὐτὸς, καὶ ὁ πνεῦμα δεδανισμένος ἔπλασεν αὐτός. δεδεῖς γὰρ αὐτῷ ὅμοιον ἄνθρωπος ἰσχύει πλάσαι θεόν. θνητὸς δὲ ὢν, νεκρὸν ὀργάζεται χερσὶν ἀνόμοις. κρείττων γὰρ ὃν τῶν σεβασμάτων αὐτῶν, ὧν αὐτὸς μὲν ἔζησεν, ἐκεῖνα δὲ οὐδέποτε. καὶ τὰ ζῶα δὲ τὰ ἔχθιστα σέβονται. ἄνοια γὰρ συγκρινόμενα τῶν ἄλλων ἐστὶ χείρονα, οὐδ' ὅλον ὑδροποθῆσαι ὡς γὰ ζώων ὄφελε καλὰ τυγχάνει. ἐκπέφυγε δὲ καὶ τὸν τοῦ θεοῦ ἔπαινον, καὶ τὴν εὐλογίαν αὐτοῦ.

ΚΕΦΑΛ. ιέ. 16.

Διὰ τοῦτο δ' ὁμοίως ἐκολαθθησαν ἄξιως, καὶ δι' ἃς πληθος ἐνωδιαλλων ἐβασανίθησαν. αὐθ' ἧς κολάσεως σύοργετήσας τὸν λαόν σου, εἰς ὠθυμίαν ὀρέξεως ξένην γενόσιν, προφὴν ἡτοίμασας ὀρτυγομήτραν, ἵνα ἐκεῖνοι μὲν ὠθυμοῦντες προφῆς, διὰ τ' ἀηχθεῖσαν τῶν ἐπαπεσαλμῶν, τὴν τῶν ἀναγκαίαν ὄρεξιν ἀπορραφωντ, αὐτοὶ δὲ ἐπ' ὀλίγον γενόμενοι τὴν ξένης μετάσχωσι γενόσεως. ἐπεὶ γὰρ ἐκείνοις μὴ ἀπαίτητον γένεσιν ἐπελθεῖν τυραννοῦσιν, τούτοις ἦ μόνον δεινχθῆναι, πῶς οἱ ἐχθροὶ αὐτ' ἐβασανίζοντο. ἐν γὰρ τοῖς δεινοῖς ἐπῆλθε θηρίων θυμὸς, σὺν μασίν τε σκολιῶν δεινφθείροντο ὄφεων, ἐ μέχρι τέλους ἔμεινε ἡ ὀργή σε. εἰς νεθεσίαν ἦ πρὸς

ὀλίγον

ὀλίγον ἐπαράχθησαν, σύμβολον ἔχοντες σωτηρίας, εἰς ἀνάμνησιν γὰρ τοῦ νόμου σου. ὁ γὰρ ὢν γραφεὺς οὐ σῴζει τὸ θεωρούμενον ἐσώζετο, ἀλλὰ σῴζει σε τὸν αὐτῶν σωτῆρα. ἡ γὰρ τούτῳ δὲ ἐπείζας οὐκ ἐχθρὸς ἦν σου, ὅτι εἰ ὁ ῥυόμενος ἐκ παντὸς κακοῦ. οὓς μὲν γὰρ ἀκρίσιον ἡ μυῶν ἀπέκτεινεν σὴν γαλῆ, καὶ ὀχ εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν, ὅτι ἄξιοι ἦσαν τοιούτων λοιμῶν. οὓς ἡμᾶς σου οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες. τὸ ἔλεος γάρ σου αὐτοὺς ἐθεράπευσεν, καὶ ἰάσατο αὐτούς. εἰς γὰρ ὑπόμνησιν τῶν λογίων σου ἐνεκεντρίζοντο, καὶ ὀξέως διεσώζοντο, ἵνα μὴ εἰς βαθεῖαν ἐμπεσόντες λήθην, ἀπορίασωσι γένωνται τῆς σῆς εὐεργεσίας. καὶ γὰρ οὔτε βοτάνη, οὔτε μάλαγμα ἐθεράπευσεν αὐτούς, ἀλλὰ ὁ σὸς λόγος ὁ πάντα ἰώμενος. σὺ γὰρ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχεις, καὶ κατάγεις εἰς πύλας ᾅδου, καὶ ἀνάγεις. ἄνθρωπος δὲ ἀποκτείνει μὲν τῇ κακίᾳ αὐτοῦ, ἐξελθὼν δὲ πνεῦμα οὐκ ἀναστρέφει, οὐδὲ ἀναλύει ψυχὴν θανατηφόρον. τὴν δὲ σὴν χεῖρα φυγεῖν ἀδύνατόν ἐστι. ἀρνούμενοί γάρ σε εἰδέναι ἀσεβεῖς, ἐν ἰσχύει βραχίονός σου ἐμαστιγώθησαν ξένοις ὑετοῖς, καὶ χαλάζαις, καὶ ὄμβροις διαπόμενοι ἀπαύστως καὶ πυρὶ κατανάλισκόμενοι. τὸ γὰρ πῦρ δοκιμαστικώτερον ἐν ὕδατι φαντὶ σβέννυσθαι ὕδατι πλεῖον ἐνέργει τὸ πῦρ. συνεργεῖ γὰρ ὁ κόσμος σοι δικαίῳ. ποτὲ μὲν γὰρ ἡμερούτο φλόξ, ἵνα μὴ καταφλέξῃ τὰ ἐπ' ἀσεβεῖς ἀπεσταλμένα ζῶα, ἀλλ' αὐτοὶ βλέποντες ἴδωσιν, ὅτι θεὸς κρίσει ἐλαύνονται. ποτὲ δὲ ἐν μεταξὺ ὕδατος συνεῖρεν τὸ πῦρ ὃ διώκειν φλέγει, ἵνα ἀδίκου γῆς γεννήματα διαφθείρῃ. αὐθ' ὧν ἀγγέλων προφῶν ἐνώμισας τὸν λαόν σου, ὃν ἡτοίμου αὐτὸν αὐτοῖς ἀπ' ἀρχῆς ἐπεμψας ἀκοπίως, πᾶσαν ἡδονὴν ἰσχύοντα, καὶ πρὸς πᾶσαν ἀρμόνιον γεῦσιν. ἡ μὲν γὰρ τροφή σου τοῖς σοῖς γλυκύτητα πρὸς τέκνα ἐνεφάνισεν. ἡ δὲ πρόσφορος ὠφελιμία παντοίων, πρὸς ὅπερ ἐβούλετο μετεκιρνᾶτο. χιὼν δὲ καὶ κρύσταλλος ὑπέμενε πῦρ, ἵνα μὴ ἐτήκετο, ἵνα γνῶσιν, ὅτι τοῦ τὸν ἐχθρὸν καρπὸς κατέφθειρε πῦρ φλεγόμενον ἐν τῇ χαλάζῃ, καὶ ἐν τοῖς ὑετοῖς ἐξαστράπτων. τοῦτο πάλιν δ' ἵνα γραφῶσιν δίκαιοι, ἡ φύσις ὑπελείφθη δυνάμεως. ἡ γὰρ κτίσις σοι τῷ ποιήσαντί σε ὑπηρετοῦσα, ὑπτιάνεται εἰς κόλασιν ἐπὶ τοὺς ἀδίκους, καὶ αὖ ἵεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν εἰς σὲ πεποιθότων. διὰ τοῦτο καὶ τότε εἰς πάντα μεταλλουμένη τῇ παντοτροφῷ σου δωρεᾷ ὑπηρετεῖ πρὸς τὴν τῶν δεομένων θέλησιν, ἵνα μαθῶσιν οἱ υἱοί σε, οὓς ἠγάπησας κύριε, ὅτι οὐχ αἱ γένεσις τῶν καρπῶν τρέφασιν ἄνθρωπον, ἀλλὰ τὸ ῥῆμά σε τοῦ σοῖ πιστεύοντας διατηρεῖ. τὸ γὰρ ὑπὸ πυρὸς μὴ φθειρόμενον ἁπλῶς ὑπὸ βραχείας ἀκτῖνος ἡλίου θερμαινόμενον ἐτάκη, ὅπως γνωσθῇ σοι, ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ' εὐχαριστίαν σε, καὶ πρὸς αὐτολιὼ φῶς γενέσθαι σοι. ἀχαρίστου γὰρ ἐλπὶς ὡς χειμερίου πάχνη τακήσεται, καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

ΚΕΦΑΛ. ιζ'. 17.

Μεγάλαι γάρ σε αἱ κρίσεις καὶ δυσδιήγητοι, διὰ τοῦτο ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν. ὑπέλαβον γὰρ καταδῶσαι ὄντες ἔθνος ἅγιον ἄνομοι, δέσμιοι σκότους καὶ μακρᾶς δεσμῶν τυγχάνοντες νυκτὸς, κατακλεισθέντες ὀρόφοις, φυγαδισθέντες αἰωνίᾳ προνοίᾳ ἐκεῖνο. λανθάνειν γὰρ νομίζοντες ὧν κρυφαίοις ἁμαρτήμασιν, ἀφέγγει λήθης πέπακαλύμματι ἐσκορπίσθησαν, θαμβούμενοι δεινῶς καὶ ἐνδιάλμασιν ἐκπαραδοξούμενοι. οὐδὲ γὰρ ὁ κατέχων αὐτοὺς μυχὸς ἀφόβως διεφύλαττεν. ἦχοι δεινὰ παράδοξοντες αὐτοὺς προδεικνύμενοι, καὶ φάσματα ἀμφιδεῖ τοῖς κατηφέσιν πρόσωπος ἐνεφανίζετο, καὶ πυρὸς μὲν οὐδεμία βία κατίσχυεν φωτίζειν, οὔτε ἄστρων ἐκλαμπροὶ φλόγες κατάγαζεν ἀνέμενον τὸν συγκλείσαντα ἐκείνην νύκτα. δεινὰ δ' αὐτοῖς μόνον αὐτόματα πυρὰ φόβου πλήρης. ἐκλειπόμενοι δ' ἀπὸ θεωρουμένης ἐκείνης ὄψεως, ἡγοῦντο χείρω τὰ βλεπόμενα. μαγικῆς δὲ ἐμπαίγματα κατέκειτο τέχνης, ἡ δὲ ἀπὸ φρονήσεως ἀλαζονείας ἔλεγχος ἐφύβρισος. οἱ γὰρ ἀνιχνεύοντες δείματος καὶ ταραχῆς ἀπελαύνειν ψυχῆς νοσούσης, οὐδὲ καταγέλαστον δύλάβδαν ἐνόσουν. καὶ γὰρ εἰ μηδεὶς αὐτοὺς ταράχαι ἐφόβει, ἰνιοδιάλων πτόησις καὶ ἕρπετῶν συριγμοὶ ἐκστησόμενοι, διώλλυντο ἔντρομοι, καὶ τὸν μισοπόθην φθόγγον ἀδρὰ πτοούμενοι. δεινὸν γὰρ ἰδίως πονηρίας μαρτυρεῖ κατασβεννυμένη, ἀεὶ δὲ πρόσεισι τὰ χαλεπὰ συνεγχομένη τῇ συνειδήσει. οὐθὲν γὰρ ὄντι φόβος, εἰ μὴ πρόσοψις τῶν ἀπὸ λογισμοῦ βουθημάτων. ἐνόησεν δὲ οὗτος ἦσσον ἡ πρόσοψις, πλείονα λογίζεται τὴν ἄγνοιαν ἡ παρεχόσης τὴν βάσανον αἰτίας. οἱ δὲ τὴν ἀδυνατον ὄντως νύκτα καὶ ἐξ ἀδυνάτου ἅδου μύχων ἐπελθόντα, τὸν αὐτὸν ὕπνον λοιμώμενοι, τὰ μὲν ὁράσεις ἠλαύνοντο φαντασμάτων, τὰ δὲ ἡ ψυχῆς πάθους πρόσοψις. ἀφνίδιος γὰρ αὐτοῖς καὶ ἀπροσδόκητος φόβος ἐπῆλθεν. εἰθ' οὕτως, ὃς δικαιοσύνῃ ἐκεῖ κατεπήχθη, ἐφρουρεῖτο εἰς τὴν ἀσύλητον εἱρκτὴν κατακλεισθείς. εἴτε γὰρ γεωργὸς ἦν τις, ἢ ποιμήν, ἢ τὴν κατ' ἐρημίαν ὀργάτης μόχθων, προληφθεὶς τῇ δικαίᾳ κλήρου ἔμοιρεν αὐλῶν. μιᾷ γὰρ ἀλύσει σκότους πάντες ἐδεσμεύθησαν, εἴτε πνεύμα συρίζον, ἢ πηδῶν ἀμφιλαφεῖς ἠλαλάζεν ὀρεινὸς ἠχος δύμελής, ἢ ῥυθμὸς ὕδατος πορευομένου βίᾳ, ἢ ἰκτύπου ἀπλοῦς καταριπτομένων πετρῶν, ἢ σκιρτώντων ζώων δρόμου ἀθεώρητος, ἢ ὠρυομένων ἀπλοεστάτων θηρίων φωνή, ἢ αὐτανάπλωσις ἐκ

κοιλότητος

κοιλότητ☉ ὀρέων ἠχώ, πᾶξέλυσεν αὐτοῦ ἐκφοβοῦντα. ὅλος γὰρ ὁ κόσμ☉ λαμπρῷ κατελάμπ☉ φωτὶ, καὶ ἀνεμποδίστοις σπουδαῖς ἔργοις. μόνοις δὲ ἐκείνοις ἐπέπατο βαρεῖα νύξ, εἰκὼν τοῦ μέλλοντ☉ αὐτοῦ διασκέδασθαι σκότος, ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότοι.

ΚΕΦΑΛ. ιθ'. 18.

Τοῖς δὲ ὁσίοις σε μέγιστον ἦν φῶς, οὗ φωνὴν μὲν ἀκούοντες, μορφὴν δὲ οὐχ ὁρῶντες. ὅτι μὲν οὖν καὶ ἐκεῖνοι πεπόνθασιν ἐμακάριζον, ὅτι δὲ οὐ βλάπτουσι ποθοῦντες ὑπερεσχήκασιν, καὶ τοῦ δικαίου χάριν ἐδέοντο. αὖθ' ὧν πυρὶ φλεγῆν σύλην, δίκην μὲν ἀγνώστου δοῦσι πορίας, ἥλιον δὲ ἀβλαβῆ θεότιμα ξενιτείας πᾶξέχουσι. ἄξιοι μὲν γὰρ ἐκεῖνοι σφηθῆναι φωτὸς, καὶ φυλακὴν δῶναι ᾧ σκότει, οἱ δεσπόσαντες φυλάξαντες οὐ ὑγὸς σε, δι' ὧν ἤμελλεν τὸ ἄφθαρτον νόμα φῶς τοῦ αἰῶνι δίδοσθαι. βουλευσάμενοι αὐτοῦ τὰ πρῶτα ὁσίων ἀρκτεῖναι νήπια, καὶ ἑνὸς ἐκτεθέντ☉ τέκνα καὶ σωθέντ☉, εἰς ἔλεγχον τὸ αὐτῶν ἀφείλω πλῆθ☉ τέκνων, καὶ ὁμοθυμαδὸν ἀπώλεσας ἐν ὕδασι σφοδρῶ. ἐκεῖνα ἃ νῦξ προεγνώσθη παρέσιμ ἡμῶν, ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίστευσαν ὅρκοις, ἐπιθυμήσωσιν. προσελθὼν σωτὴρ λαοῦ σου, σωτηρία μ δικαίων, ἐχθρῶν δὲ ἀπώλεια. ὡς γ' ἔτι μορήσω τοῦ ὑπαγαντίου, τούτῳ ἡμᾶς προσκαλεσάμενος ἐδόξασας. ἱερυφῆ γὰρ ἐθυσίαζον ὅσιοι παῖδες ἀγαθῶν, καὶ νόμ☉ θ. θειότητ☉ νόμον ἐν ὁμονοίᾳ διέθεντο, τῶν αὐτῶν ὁμοίως, καὶ ἀγαθῶν καὶ ἐνδυσώων μεταλήψεσθαι τοῦ ἁγίου, πατρῷαν ἥδονὴ προαναμελπόντων αἶνον. αὐτήχει δ' ἀσύμφων☉ ἐχθρῶν ἡ βοή, καὶ οἰκτρὰ διεφέρ☉ θρῆνος μόνων παίδων. ὁμοία δὲ δίκη δίδ☉ ἅμα πεισόμεν ἱκέται δοῦλοι, καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πάσχων. ὁμοθυμαδὸν δὲ αὐτοῦ ἐνὶ ὀνόματι θανάτου νεκροὺς εἶχον ἀναριθμήτους. οὐδὲ γὰρ πῶς ἦν θάψαι οἱ ζῶντες ἦσαν ἱκανοί, ἐπεὶ πῶς μίαν ῥοπὴν ἡ ἐνδημιοτέρα γένεσις αὐτῶν διέφθειρεν. πάντα γὰρ ἀπισωῦντος δίκης τὰς φαρμακείας ὕδατι τῶν πρωτοτόκων ὀλέθρῳ, ὁμολογουμένως θεοῦ ἦν λαός. ἠσύχα γὰρ σιγῆς περιεχούσης τὰ πάντα, καὶ νυκτὸς ἐν ἰσότῃ τάχει μεσαζούσης, ὁ παντοδύναμός σου λόγ☉ ἐπ' οὐρανοῦ ἐκ θρόνων βασιλείων ἀπότομος πολεμιὴς εἰς μέσην δι' ὀλεθρείας ἤλασε γῆς. ξίφ☉ ὀξὺ τὴν αὐτοκέλευστον σῶν ταγήν σου φέρων, καὶ στὰς ἐπλήρωσεν τὰ πάντα θανάτ☉, καὶ οὐρανοῦ μὲν ἥπτ☉, βεβηκὼς ἐπὶ γῆς. τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων δεινῶς ἐξετάραξαν αὐτοὺς, φόβοι δὲ ἐπέπεσαν ἀδόκητοι. καὶ ἄλλ☉ ἄλλαχῆ ῥιφεὶς ἡμίθνητ☉, δι' ἣν ἔθνησκεν αἰτίαν ἐνεφάνιζεν. οἱ γὰρ ὄνειροι θορυβήσαντες αὐτοὺς ἔδ☉ προειμήνυσαν, ἵνα μὴ ἀγνοοῦντες δι' ὃ κακῶς πάσχουσι, ἀπόλωνται. ἥψαντο δὲ καὶ δικαίων πεῖρα θανάτου, καὶ θραῦσις ἐν ὀρήμῳ ἐγένετ☉ πλήθους. ἀλλ' οὐκ ἐπὶ πολὺ ἔμεινεν ἡ ὀργή. πέρσαντες γὰρ ἀνὴρ ἄμεμπτος προεμάχησεν, τὸ δι' ἰδίας λειτουργίας ὅπλον, προσευξάμενος, καὶ θυμιάματ☉ ἐξιλασμὸν κομίσας, αὐτέστη τοῦ θυμοῦ, καὶ πορίας ἐπέθηκε τῇ συμφορᾷ, δεικνὺς, ὅτι σὸς ὀπαδὸς θοράπων. νίκησεν δὲ τὸν ὄχλον οὐκ ἰσχύι τοῦ σώματ☉, οὐχ ὅπλων ἐνεργείᾳ, ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν, ὅρκους πατέρων καὶ διαθήκας ὑπομνήσας. σφηνὸν γὰρ ἤδη πεπτωκότων ἐπ' ἀλλήλων νεκρῶν, μεταξὺ στάσαν ἔκοψε τοῦ ὀργιοῦ, καὶ διέκρισεν τὸν πρὸς σὸν ζῶντας ὁδόν. ὦδε γὰρ ποδήρης ἐνδύματ☉ ἦν ὅλος ὁ κόσμος, καὶ πατέρων δόξαι ὦδε τετρασίχα λίθοι γλυφῆς, καὶ μεγαλωσύνη σου ὦδε διαδήματος ὑπὲρ κεφαλῆς αὐτ☉. τούτοις ἔδυν ὁ ὀλεθρεύων, ταῦτα δὲ ἐφοβήθησαν. ἦν γὰρ μόνη ἡ πεῖρα τῆς ὀργῆς ἱκανή.

ΚΕΦΑΛ. κ'. 19.

Τοῖς δὲ ἀσεβέσιν μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέκειτο. προῄδει γὰρ αὐτῶν, καὶ τὰ μέλλοντα. ὅτι αὐτοὶ ὧν ἠρνήσαντο τοῦ ἀπιέναι, καὶ μετὰ σπουδῆς προπέμψαντος αὐτοὺς, διώξασιν μεταμεληθέντες. ἔτι γὰρ ἐν χερσὶν ἔχοντες τὰ πρᾶγμα, καὶ προσδυρόμενοι τάφοις νεκρῶν, ἕτερον ἐπεπάσαντο λογισμὸν ἀνοίας. καὶ οὓς ἱκετεύοντες ἐξέβαλον, τούτους ὡς φυγάδας ἐδίωκον. εἵλκυν γὰρ αὐτοὺς ἡ ἀξία οὗ ἦν πρᾶξαι ἀνάγκη, καὶ τῶν βεβηκότων ἀμνησίαν ἐνέβαλον, ἵνα τὴν λειπομένην ταῖς βασάνοις προσαναπληρώσωσι κόλασιν. καὶ ὁ μὲν λαὸς σου παράδοξον ὁδοιπορέαν πειράσῃ, ἐκεῖνοι δὲ ξένον εὕρωσιν θάνατον. ὅλη γὰρ ἡ κτίσις ἐν ἰδίῳ γένει πάλιν ἀνεπλάττετο, ὑπηρετοῦσα ταῖς ἰδίαις ἐντολαῖς. ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν ἀβλαβεῖς, ἡ μὲν περιβολὴ σκιάζουσα ἐφαίνετο, ἐκ δὲ προφανοῦς ὕδατ☉ ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρήθη, ἐξ ἐρυθρᾶς θαλάσσης ὁδὸς ἀνεμπόδιστ☉, καὶ χλοηφόρου πεδίου ἐκ κλυδωνίου βίαιος, ἐν οὗ πανεθνεὶ διῆλθον, οἱ τῇ σῇ σκεπαζόμενοι χειρὶ, θεωρήσαντες θαυμασὰ τέρατα. ὡς γὰρ ἵπποι ἐνεμήθησαν, καὶ ὡς ἄμνοι διεσκίρτησαν, αἰνέσαντές σε κύριε τὸν ῥυσάμενον αὐτούς. ἐμεμνήντο γὰρ ἔτι τῶν ἐν τῇ παροικίᾳ αὐτῶν, πῶς αὐτὴ μὲν γονέσεως ζῶσα ἐξήνεγκεν ἀντὶ γῆς σκνίφας, αὐτὴ δὲ ἐν ὕδασιν ἐξηρύσατο ὁ ποταμὸς πλῆθ☉ βατράχων. ἐφ' ὑδρόᾳ ἦ ἐδίου ☉ νέαν γένεσιν ὀρνέων, ὅτι ἐπιθυμίας προσαχθέντες ἠτήσαντο ἐδέσματα τρυφῆς. εἰς γὰρ παραπυθίαν αὐτοῖς ἀπ' οἰκείων ἀφ' θαλάσσης ὀρτυγομήτρα, καὶ ἀπὸ λιμοῦ ἀίας τοῖς ἁμαρτωλοῖς ἐπῆλθον, ἐπ' αὐτοῖς τὴν γεγονότων τεκμηρίων τῇ βίᾳ τῶν ἐναντίων. διπλασίως γὰρ ἔπασχον ταῖς ἰδίαις αὐτῶν πονηρίαις. καὶ γὰρ χαλεποτέραν μισοξενίαν ἐπετηδεύσαν. οἱ μὲν γὰρ οὐ ἀγνοοῦντας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἐσλέχοντο παρόντας. οὗτοι δὲ δύοργέτας ἔχνος ἐσλαθεῖν. καὶ οὐ μόνον, ἀλλ' ἢ τὶς ὧν σκοπὴ ἔσαι αὐτῶν, ἐπεὶ ἀπεχθῶς πρὸς ἐσλέχοντο τοὺς ἀλλοτρίους. οἱ δὲ μετὰ ἑορτασμάτων εἰσελεξάμενοι τοὺς ἤδη τῶν αὐτῶν μετεχμηκότας δικαίων, δεινοῖς ἐπέκειντο πόνοις. ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ, ὥσπερ ἐκεῖνοι ὑπὸ ταῖς τοῦ δικαίου θύραις, οὔτε ἐχανεῖ πρὸ ἐλπιθέντος σκότει, ἕκαστον τῶν αὐτοῦ θυρῶν τὸν δίοδον ἐζήτει. δι' ἑαυτῶν γὰρ τὰ στοιχεῖα μεθαρμοζόμενα, ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι τοῦ ῥυθμοῦ τὸ ὄνομα ἀλλάσσειν, ταὐτὸν μὴ ὄντα ἦχον, ὁπόρ' ὅδιν εἰκάσαι ἐκ τῶν γεγονότων ὅλως ἀκριβῶς. χόρσαῖα γὰρ εἰς ψυδρὰ μετεβάλλετο, καὶ διατεμετέβαινεν ὑπὸ γῆς. πῦρ ἴσχυσεν ἐν ὕδατι τῆ ἰδίας δυνάμεως, καὶ ὕδωρ τῆ σβεστικῆς δυνάμεως ἐπελανθάνετο. φλόγα δὲ αὐάπαλιν φθάρτων ζώων οὐκ ἐμέρανεν σάρκας ἐμποδιστάντων. οὐδὲ τηκὸν ἱερουσαλὴμ δύτηκεν γήνος ἀμβροσίας τροφῆς. ἐπὶ ταῦτα γὰρ λύειν ἐμεγάλωσας τὸν λαόν σου, καὶ ἐδόξασας, καὶ οὐκ ὑπερεῖδες ἐν παντὶ καιρῷ καὶ τόπῳ παρεστάμενος.

Τέλος τῆς Σοφίας τοῦ Σολομῶντος.

ΠΡΟΛΟΓΟΣ ΣΟΦΙΑΣ

ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

ΠΟΛΛΩΝ καὶ μεγάλων ἡμῖν δέδοται νόμων καὶ τῶν προφητῶν, καὶ τῶν ἄλλων τῶν κατ' αὐτοὺς ἠκολουθηκότων διεδεξάμενον, ἐφ' οἷς ὤφειλεν ὅδιν ἐπαινεῖν τὸν Ἰσραὴλ, παιδείας καὶ σοφίας, καὶ ὡς οὐ μόνον αὐτοὺς δεῖ ἀναγινώσκοντας μέγα ὅδιν ὠφελεῖσθαι συνέσεως γίνεσθαι, ἀλλὰ καὶ τοὺς ἐκτὸς διὰ τοῦτο δεῖν μανθάνειν, καὶ λέγοντας καὶ γράφοντας· ὁ πάππος μου Ἰησοῦς, ὢν πλεῖστον ἑαυτὸν δοὺς εἰς τε τὴν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων πατρίων βιβλίων ἀνάγνωσιν, καὶ ἐν τούτοις ἱκανὴν ἕξιν περιποιησάμενος, προήχθη καὶ αὐτὸς συγγράψαί τι τῶν εἰς παιδείαν καὶ σοφίαν ὠφέλιμον, ὅπως οἱ φιλομαθεῖς καὶ τούτων ἔνοχοι γινόμενοι, πολλῷ μᾶλλον ὧν προθῶνται δύνωνται ζῆν ἐν νόμοις βιώσεως. προσκεκλήκασι οὖν μετ' εὐνοίας καὶ προσοχῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι, καὶ συγγνώμην ἔχειν, ἐφ' οἷς ἂν δόκωμεν τῶν ἐν τῇ ἑρμηνείᾳ πρὸς φιλοπονημένων ἴσως τῶν λέξεων ἀδυναμεῖν. οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς ἑβραϊστὶ λεγόμενα, ἢ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἄλλα, καὶ αὐτὸς ὁ νόμος, καὶ αἱ προφητεῖαι, καὶ τὰ λοιπὰ τῶν βιβλίων οὐ μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα. ἐν γὰρ τῷ ὀγδόῳ καὶ ι' ἔτει, ὢν τοῦ εὐεργέτου βασιλέως παραγενηθείς εἰς Αἴγυπτον, καὶ συγχρονίσας εὐρόμενός τινα οὐ μικρᾶς παιδείας ἁφόμοιον, ἀναγκαιότατον ἐθέμην αὐτὸς προσενεγκάσθαι τινὰ σπουδὴν καὶ τέχνην, τὸ μεθερμηνεῦσαι τὴν δὲ τὴν βίβλον. πολλὴν γὰρ ἀγρυπνίαν καὶ ἐπιστήμην προσενεγκάμενος ἐν τῷ μεταξὺ χρόνῳ, πρὸς τὸ ὑπὸ πόρας ἄγοντα τὸ βιβλίον ἐκδοθῆναι, καὶ τοῖς ἐν τῇ παροικίᾳ βουλομένοις φιλομαθεῖν, προκατασκευαζομένους τὰ ἤθη ἐν νόμῳ βιοτεύειν.

ΣΟΦΙΑ ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

ΚΕΦΑΛ. ά. 1.

ΠΑσα σοφία παρὰ κυρίου, καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα. ἄμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει; ὕψος οὐρανοῦ, καὶ πλάτος γῆς, καὶ ἄβυσσον, καὶ σοφίαν τίς ἐξιχνιάσει; πρὸ πάντων ἔκτισται σοφία, καὶ συνέσεως φρονήσεως ἐξ αἰῶνος. ῥίζα σοφίας τίνι ἀπεκαλύφθη; καὶ τὰ πανουργεύματα αὐτῆς τίς ἔγνω; εἷς ἐστὶ σοφὸς φοβερὸς σφόδρα, καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ, κύριος αὐτὸς ἔκτισεν αὐτήν, καὶ εἶδεν καὶ ἐξηρίθμησεν αὐτήν, καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ, μετὰ πάσης σαρκὸς κατὰ τὴν δόσιν αὐτοῦ, καὶ ἐχορήγησεν αὐτὴν τοῖς ἀγαπῶσιν αὐτόν. φόβος κυρίου δόξα, καὶ καύχημα, καὶ εὐφροσύνη, καὶ στέφανος ἀγαλλιάματος. φόβος κυρίου τέρψει καρδίαν, καὶ δώσει εὐφροσύνην καὶ χαρὰν καὶ μακροημέρευσιν. τῷ φοβουμένῳ τὸν κύριον εὖ ἔσται ἐπ' ἐσχάτων, καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὑρήσει χάριν. ἀρχὴ σοφίας φοβεῖσθαι τὸν θεόν, καὶ μετὰ πιστῶν ἐν μη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸ σγνεκτόθη αὐτοῖς, καὶ μετὰ ἀνθρώπου θεμέλιον αἰῶνος γνόσδυσον, καὶ μετὰ τὸ ασθρίματος αὐτῶν ἐμπεσδυθήσεται. πλεισμονὴ σοφίας φοβεῖσθαι τὸν λύριον, καὶ μεθύσκει αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς. πᾶσαν τὴν οἰκον αὐτῆς ἐμπλήσει ὠδυμημάτων, καὶ τὰς ἀποθήκας ἀπὸ τῶν γρημάτων αὐτῆς. στέφανος σοφίας φόβος λυρίς, ἀναθάλλων εἰρήνην, καὶ ὑγείαν ἰάσεως, καὶ εἶδε καὶ ἐξηρίθμησεν αὐτὴν ὑπεράνω καὶ γνῶσιν σωτέσεως ἐξώμβρησεν, καὶ δόξαν κρατούντων αὐτῆς ἀνύψωσεν. ῥίζα σοφίας φοβεῖσθαι τὸν λύριον, καὶ οἱ κλάδοι αὐτῆς μακροημορδύσις. ἀπόλυσεται θυμὸς ἄδικος· δικαιωθῆναι, ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πῆδσις αὐτῷ. ἕως καιροῦ ἀνθέξεται μακρόθυμος, καὶ ὕστερον αὐτῷ ἀνασλωσει δύφροσυνη. ἕως καιροῦ κρύψει τοὺς λόγους αὐτοῦ, καὶ χείλη πισῶν ἐκδιηγήσεται σωτέσιν αὐτοῦ. ἐν θησαυροῖς σοφίας παραβολὴ ὠδυσήμης, βδέλυγμα δὲ ἁμαρτωλῷ θεοσέβεια. ὠδυμημάτων σοφίαν διατήρησον ἐντολάς, καὶ λύτει χορηγήσει σοι αὐτῷ. σοφία γὰρ καὶ παιδεία φόβου λυρίς, καὶ ἡ δύδοκία αὐτοῦ πίστις καὶ πραότης. μὴ ἀπειθήσης φόβῳ λυρίς, καὶ μὴ προσέλθης αὐτῷ ἐν καρδίᾳ δισσῇ. μὴ ὑποκριθῆς ἐν στόμασιν ἀνθρώπων, καὶ ἐν τοῖς χείλεσί σου πρόσεχε. καὶ ἐξύψωσε σεαυτὸν, ἵνα μὴ πέσῃς, καὶ ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν. καὶ ἀποκαλύψει λύτει τὰ κρυπτά σου, καὶ ἐν μέσῳ συναγωγῆς καταβαλεῖ σε, ὅτι οὐ προσῆλθες φόβῳ λυρίς, καὶ ἡ καρδία σου πλήρης δόλου.

ΚΕΦΑΛ. ϛ'. 2.

Τέκνον, εἰ προσέρχη δουλεύειν κυρίῳ θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. εὔθυνον τὴν καρδίαν σου, καὶ κάρτέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς. κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῆς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτου σου. πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι, καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον. ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου, εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν. οἱ φοβούμενοι τὸν κύριον, ἀναμείνατε τὸ ἔλεος αὐτοῦ, καὶ μὴ ἐκκλίνητε ἵνα μὴ πέσητε. οἱ φοβούμενοι τὸν κύριον, πίστευσατε αὐτῷ, καὶ οὐ μὴ ἀπόλῃ ὁ μισθὸς ὑμῶν. οἱ φοβούμενοι τὸν κύριον, ἐλπίσατε εἰς ἀγαθὰ, καὶ εἰς εὐφροσύνην αἰώνιον καὶ ἐλέους. ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε· τίς αἰσχύνθη; ἢ τίς ἐνέμεινεν τῷ φόβῳ αὐτοῦ, καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτὸν, καὶ ὑπερεῖδεν αὐτόν; ὅτι οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, καὶ ἀφίησιν ἁμαρτίας, καὶ σώζει ἐν καιρῷ θλίψεως. δαὶ καρδίαις δειλαίας, καὶ χερσὶν πεπαιμένοις, καὶ ἁμαρτωλῷ πορευομένῳ ἐπὶ δύο τρίβους. οὐαὶ καρδίᾳ πεπαιμένῃ, ὅτι οὐ πεποίθει, διὰ τοῦτο οὐ σκεπασθήσεται. οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν, καὶ τί ποιήσετε ὅτι ἐπισκέψεται ὁ κύριος; οἱ φοβούμενοι κύριον οὐκ ἀπειθήσουσι ῥημάτων αὐτοῦ, καὶ οἱ ἀγαπῶντες αὐτὸν συντηρήσουσι τὰς ὁδοὺς αὐτοῦ. οἱ φοβούμενοι κύριον ζητήσουσι εὐδοκίαν αὐτοῦ, καὶ οἱ ἀγαπῶντες αὐτὸν ἐμπλήσονται νόμου. οἱ φοβούμενοι κύριον ἑτοιμάσουσι καρδίας αὐτῶν, καὶ ἐνώπιον αὐτοῦ ταπεινώσουσι τὰς ψυχὰς αὐτῶν. ἐμπεσούμεθα εἰς χεῖρας κυρίου, καὶ οὐκ εἰς χεῖρας ἀνθρώπων. ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ, οὕτως καὶ τὸ ἔλεος αὐτοῦ.

ΚΕΦΑΛ. γ'. 3.

Κρίματα πατρὸς ἀκούσατε τέκνα, καὶ οὕτως ποιήσατε, ἵνα σωθῆτε. ὁ γὰρ κύριος ἐδόξασεν πατέρα ἐπὶ τέκνοις, καὶ κρίσιν μητρὸς ἐκύρωσεν ἐφ' υἱοῖς. ὁ τιμῶν πατέρα ἐξιλάσεται ἁμαρτίας, καὶ ὡς θησαυρίζων ὁ δοξάζων μητέρα αὐτοῦ. ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέκνων, καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται. ὁ δοξάζων πατέρα μακροημορδύσει, καὶ ὁ εἰσακούων κυρίου ἀναπαύσει μητέρα αὐτοῦ, καὶ ὡς δεσπόταις δουλεύσῃ ἐν τοῖς γονεῦσιν αὐτοῦ. ἐν ὀργῇ καὶ λόγῳ τίμα τὸν πατέρα σου, ἵνα ἔλθῃ σοι εὐλογία παρ' αὐτοῦ. εὐλογία γὰρ πατρὸς ἐνρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐνριζοῖ θεμέλια. μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου, οὐ γάρ ἐστί σοι δόξα πρὸς ἀτιμίαν. ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ, καὶ ὄνειδος τέκνοις μήτηρ ἐν ἀδοξίᾳ. τέκνον, ἀντιλαβοῦ τὸν γῆρας πατρός σου, καὶ μὴ λυπήσῃς αὐτὸν ἐν τῇ ζωῇ αὐτοῦ. καὶ ἐὰν ἐκλείπῃ σωτέσιν, συγγνώμην ἔχε, καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύϊ σου. ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται, καὶ ἀντὶ ἁμαρτιῶν προσανοικοδομηθήσεταί σοι, ἐν τῇ ἡμέρᾳ θλίψεώς σου ἀναμνησθήσεταί σου. ὡς δύδία ἐπὶ παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι. ὡς βλασφημος ὁ ἐγκαταλιπὼν πατέρα, καὶ ἐπικατηραμένος ὑπὸ κυρίου ὁ παροργίζων μητέρα αὐτοῦ. τέκνον, ἐν πραΰτητι τὰ ἔργα σου διέξαγε, καὶ ὑπὲρ ἀνθρώπου δεκτὸς ἀγαπηθήσῃ. ὅσῳ μείζων εἶ, τοσούτῳ ταπείνου σεαυτὸν, καὶ ἐνώπιον κυρίου εὑρήσεις χάριν. ὅτι μεγάλη ἡ δυναστεία τοῦ κυρίου, καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται. χαλεπώτερά σου μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέτασε. ἃ πρόσταγμά σοι ταῦτα διανοοῦ, ἐν γὰρ ὀλίγοις χρείαν ἔργων σου μὴ πολυεργάζου, πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπερβέβηκάν σε. πολλοὺς γὰρ ἐπλάνησεν ἡ ὑπόληψις αὐτῶν, καὶ ὑπόνοια πονηρὰ ὀλίσθησε διανοίας αὐτῶν. καὶ ὁ ἀγαπῶν κίνδυνον, ἐν αὐτῷ ἐμπεσεῖται. καρδία σκληρὰ κακωθήσεται ἐπ' ἐσχάτου. καρδία σκληρὰ βαρυνθήσεται πόνοις, καὶ ὁ ἁμαρτωλὸς προσθήσει ἁμαρ-

τίαν ἐφ' ἁμαρτίαις. ἐπαγωγὴ ἐπορφανὰ οὐκ ἔστιν ἴασις, φυτὸν γὰρ πονηρίας ἐρρίζωκεν ἐν αὐτῷ. μαρσίπα σωστὸν σλανοκθήσεται πρὸς βολὴν, καὶ οὓς ἂν κρατοῦσι θυμίας ἐφ' ὧν φλογιζόμενον ἀποσβέσει ὕδωρ, καὶ ἐλεημοσύνη ἐξιλάσεται ἁμαρτίας. ὁ αὐτὰποδιδοὺς χάρις τας, μέμνηται εἰς τὰ μετὰ ταῦτα, καὶ ἐν καιρῷ πτώσεως εὑρήσει στήριγμα.

ΚΕΦΑΛ. λ'. 4.

Τέκνον, τὴν ζωήν σου μὴ ἀτιμάσῃς, καὶ μὴ πρόσκλινε ὀφθαλμοὺς εἰς ἐπιθυμίας. ψυχὴν πεινῶσαν μὴ λυπήσῃς, καὶ μὴ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ. καρδίαν παροργισμένην μὴ προσαράξῃς, καὶ μὴ πρόσκλινε δόσιν προσλεομένῳ. ἀπὸ τὴν δεδομένην μὴ ἀπαναίνου, καὶ μὴ ἀντέρεις τὸ πρόσωπόν σου ἀπὸ πτωχοῦ. ἀπὸ δεομένου μὴ ἀποστρέψῃς ὀφθαλμόν, καὶ μὴ δῷς τόπον ἀνθρώπῳ καταράσασθαί σε. καταρωμένου γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, τῆς δεήσεως αὐτοῦ ἐπακούσεται ὁ ποιήσας αὐτόν. πρόσφιλῆ συναγωγὴ σεαυτὸν ποίει, καὶ μεγιστάνι ταπείνου τὴν κεφαλήν σου. κλίνον πτωχῷ τὸ οὖς σου, καὶ ἀπόκριθήτι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι. ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος, καὶ μὴ ὀλιγοψυχήσῃς ἐν τῷ κρίνειν σε. γίνου ὀρφανοῖς ὡς πατήρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν, καὶ ἔσῃ ὡς υἱὸς ὑψίστου, καὶ ἀγαπήσει σε μᾶλλον ἡ μήτηρ σου. ἡ σοφία υἱοὺς ἑαυτῇ αὐξήσει, καὶ καταλαμβάνεται τῶν ζητούντων αὐτήν. ὁ ἀγαπῶν αὐτὴν ἀγαπᾷ ζωήν, καὶ οἱ ὀρθρίζοντες πρὸς αὐτὴν ἐμπλησθήσονται εὐφροσύνης. ὁ κρατῶν αὐτῆς κληρονομήσει δόξαν, καὶ οὗ εἰσπορεύεται εὐλογήσει αὐτὸν κύριος. οἱ λατρεύοντες αὐτῇ λειτουργήσουσιν ἁγίῳ, καὶ τοὺς ἀγαπῶντας αὐτὴν ἀγαπᾷ ὁ κύριος. ὁ ὑπακούων αὐτῆς κρινεῖ ἔθνη, καὶ ὁ προσεχῶν αὐτῇ κατασκηνώσει ἀσφαλῶς. καὶ ἂν ἐμπιστεύσῃ κατακληρονομήσει αὐτὴν, καὶ ἐν καταχήσει ἔσονται αἱ γενεαὶ αὐτοῦ. ὅτι πλανεραμμένως πορεύεται μετ' αὐτοῦ ἐν πρώτοις, φόβον δὲ καὶ πειρασίαν ἐπάξει ἐπ' αὐτόν, ἕως βασανίσῃ αὐτὸν ἐν παιδείᾳ αὐτῆς, ἕως οὗ ἐμπιστεύσῃ τῇ ψυχῇ αὐτοῦ, καὶ πράσσει αὐτὸν, ἐν τοῖς δικαιώμασιν αὐτῆς. καὶ πάλιν ἐπανήξει κατ' εὐθεῖαν πρὸς αὐτὸν καὶ εὐφρανεῖ αὐτὸν, καὶ ἀποκαλύψει αὐτῷ τὰ κρυπτὰ αὐτῆς. ἐὰν ἀποπλανηθῇ, ἐγκαταλείψει αὐτὸν, καὶ προδώσει αὐτὸν εἰς χεῖρας πτώσεως αὐτοῦ. σωτήριον καιρόν, καὶ φύλαξαι ἀπὸ πονηροῦ, καὶ περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς. ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις. μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου, καὶ μὴ ἐν τραπῇς εἰς πτῶσίν σου. μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας. ἐν γὰρ λόγῳ γνωσθήσεται σοφία, καὶ παιδεία ἐν ῥήματι γλώσσης. μὴ αὐτίλεγε τῇ ἀληθείᾳ, καὶ περὶ τῆς ἀπαιδευσίας σου ἐν τραπήθι. μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σε, καὶ μὴ βιάσῃ ῥοῦν ποταμόν. καὶ μὴ ὑποκρώσῃς σεαυτὸν ἀνθρώπῳ μωρῷ, καὶ μὴ λάβῃς πρόσωπον δυνάστου. ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ κύριος ὁ θεός πολεμήσει ὑπὲρ σοῦ. μὴ γίνου θρασὺς ἐν γλώσσῃ σου, καὶ νωθρὸς καὶ ῥᾴθυμος ἐν τοῖς ἔργοις σου. μὴ ἴδιος ὡς λέων ἐν τῷ οἴκῳ σου, καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου. μὴ ἔσω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ ἀποδιδόναι συσταλμένη.

ΚΕΦΑΛ. ε'. 5.

Μὴ ἔπεχε ὕδωρ τοῖς ῥήμασί σου, καὶ μὴ εἴπῃς, αὐτάρκη μοί ἐστι. μὴ ἐξακολούθει τῇ ψυχῇ σου, καὶ τῇ ἰσχύι σου, πορεύεσθαι ἐν ταῖς θυμίαις καρδίας σου. καὶ μὴ εἴπῃς· τίς με δύναται σθένει; ὁ γὰρ κύριος ἐκδικῶν ἐκδικήσει σε. μὴ εἴπῃς· ἥμαρτον, καὶ τί μοι ἐγένετο; ὁ γὰρ κύριος ἔστι μακρόθυμος. περὶ ἐξιλασμοῦ μὴ ἄφοβος γίνου, προσθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρτίαις. καὶ μὴ εἴπῃς· ὁ οἰκτιρμὸς αὐτοῦ πολύς, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται. ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ, καὶ ἐν ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ. μὴ ἀνάμεινε ἐπιστρέψαι πρὸς κύριον, καὶ μὴ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας. ἐξάπινα γὰρ ἐξελεύσεται ὀργὴ κυρίου, καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ. μὴ ἀπέχου ὕδωρ χρήμασιν ἀδίκοις, οὐδὲν γὰρ ὠφελήσει σε ἡμέρᾳ ἐπαγωγῆς. μὴ λίκμα ἐν παντὶ ἀνέμῳ, καὶ μὴ πορεύου ἐν πάσῃ ἀτραπῷ. οὕτως ὁ ἁμαρτωλὸς ὁ διγλωσσος. ἴδιος ἐστηριγμένος ἐν σωτῆρί σου, καὶ ἐς ἔστω σε ὁ λόγος. γίνου ταχὺς ἐν ἀκροάσει σου, καὶ ἐν μακροθυμίᾳ, φθέγγου ἀπόκρισιν. εἰ ἔστι σοι σώσεως, ἀπόκριθι τῷ πλησίον. εἰ δὲ μή, ἡ χεὶρ σου ἔστω ὕδωρ στόματί σου. δόξα καὶ ἀτιμία ἐν λαλιᾷ, καὶ γλῶσσα ἀνθρώπου πτῶσις αὐτῷ. μὴ ἀκληθὴς ψιθύρος, καὶ τῇ γλώσσῃ σε μὴ ἐνέδρευε. ὕδωρ γὰρ τοῦ κλέπτου ἔστιν αἰσχύνη, καὶ κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσῳ. ἐν μεγάλῳ καὶ ἐν μικρῷ μὴ ἀγνόει.

ΚΕΦΑΛ. ς'. 6.

Καὶ αὐτὶ φίλος μὴ γίνου ἐχθρός. ὄνομα γὰρ πονηρὸν αἰσχύνη καὶ ὀνείδισμος κληρονομήσει, οὕτως ὁ ἁμαρτωλὸς ὁ διγλωσσος. μὴ ἐπάρης σεαυτὸν ἐν βουλῇ ψυχήν σου, τὰ φύλλα σε καταφάγῃσαι, καὶ τοὺς καρπούς σε ἀπολέσῃς, καὶ ἀφήσῃς σεαυτὸν ὡς ξύλον ξηρόν. ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κτησάμενον αὐτὴν, καὶ ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐτόν. λάρυγξ γλυκὺς πληθυνεῖ φίλους αὐτοῦ, καὶ γλῶσσα εὐλαλὸς πληθυνεῖ σύμβουλους. οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοί, οἱ δὲ σύμβουλοί σου εἷς ἀπὸ χιλίων. εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ κτῆσαι αὐτόν, καὶ μὴ ταχὺ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταχὺ ἐμπεσδύσης αὐτῷ. ἔσι γὰρ φίλῳ ἐν καιρῷ αὐτοῦ, καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου. καὶ ἔσι φίλῳ μεταβλέμματος εἰς ἐχθραν, καὶ μάχιμον ὀνειδισμὸ σου ἀποκαλύψει. καὶ ἔσι φίλῳ κοινωνὸς τραπέζης, καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου. καὶ ἐν τοῖς ἀγαθοῖς σου ἔσαι ὡς σὺ, καὶ ἐπὶ τοὺς οἰκέτας σου παῤῥησιάσεται. ἐὰν ταπεινωθῇς ἔσαι ἐπὶ σοῦ, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσεται. ἀπὸ τῶν ἐχθρῶν σου διαχωρίσθητι, καὶ ἀπὸ τῶν φίλων σου πρόσεχε. φίλῳ πιστὸς σκέπη κραταιᾶ, ὁ δὲ εὑρὼν αὐτὸν εὗρεν θησαυρόν. φίλου πιστῷ οὐκ ἔσιν ἀντάλλαγμα, καὶ οὐκ ἔσι σαθμὸς τῆς καλονῆς αὐτῆς. φίλῳ πιστὸς φάρμακον ζωῆς, καὶ οἱ φοβούμενοι κύριον εὑρήσουσιν αὐτόν. ὁ φοβούμενος κύριον, σὺθαύει φιλίαν αὐτοῦ, ὅτι κατ' αὐτὸν οὕτως καὶ ὁ πλησίον αὐτοῦ. τέκνον, ἐκ νεότητός σου ἐπίλεξαι παιδείαν, καὶ ἕως πολιᾶς εὑρήσεις σοφίαν. ὡς ὁ ἀροτριῶν καὶ ὁ σπείρων πρόσελθε αὐτῇ, καὶ ἀνάμεινε τὸν ἀγαθὸν καρπὸν αὐτῆς. ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσεις, καὶ τάχυ φάγῃ γεννήματων αὐτῆς. ὡς τραχεῖα δὲ σφόδρα τοῖς ἀπαιδεύτοις, καὶ οὐκ ἐμμενεῖ ἐν αὐτῇ ἀνάρσιος. ὡς λίθος δοκιμασίας ἰσχυρὸς ἔσαι ἐπ' αὐτῷ, καὶ οὐ χρονιεῖ ἀπορῤῥῖψαι αὐτόν. σοφία γὰρ κατὰ τὸ ὄνομα αὐτοῦ ἐσὶ, καὶ οὐ πολλοῖς δῆλη φανερά. ἄκουσον τέκνου καὶ λάβε γνώμην μου, καὶ μὴ ἀπαναίνου τὴν συμβουλίαν μου. καὶ εἰσάγαγε τοὺς πόδας σου εἰς τὰς πεδίας αὐτῆς, καὶ εἰς τὸν μηρὸν αὐτῆς τὸν πρόχειλόν σου. ὑπόδησαι τὸν νόμον σου, καὶ βάσανον αὐτὴν, καὶ μὴ προσχθίσῃς τοῖς δεσμοῖς αὐτῆς. ἐν πάσῃ ψυχῇ σου πρόσελθε αὐτῇ, καὶ ἐν ὅλῃ δυνάμει σου σωτήριον τὰς ὁδοὺς αὐτῆς. ἐξίχνευσον καὶ ζήτησον, καὶ γνωσθήσεταί σοι, καὶ δυνατὸς γενόμενος μὴ ἀφῇς αὐτήν. ἐπ' ἐσχάτων γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐτῆς, καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην. καὶ ἔσονταί σοι αἱ πέδαι εἰς σκέπην ἰσχύος, καὶ οἱ μηροὶ αὐτῆς εἰς στολὴν δόξης. κόσμος γὰρ χρυσέος ἐσὶν ἐπ' αὐτῆς, καὶ οἱ δεσμοὶ αὐτῆς μηλώσεως ὑακίνθινον. στολὴν δόξης ἐνδύσῃ αὐτήν, καὶ στέφανον ἀγαλλιάματος περιθήσεις αὐτῷ. ἐὰν θέλῃς τέκνον, παιδεύθησῃ, καὶ ἐὰν δῶς τὴν ψυχήν σου, παν ἐργος ἔσῃ. ἐὰν ἀγαπήσῃς ἀκούειν, ἐκδέξῃ. κλῖνον τὸ οὖς σου, σοφὸς ἔσῃ. ἐν πλήθει πρεσβυτέρων στῆθι, καὶ τίς σοφός, αὐτῷ προσκολλήθητι. πᾶσαν δίνησιν θείαν θέλε ἀκούειν, καὶ παροιμίας συνέσεως μὴ ἐκφύγετωσάν σε. ἐὰν ἴδῃς σωτὴρ, ὄρθριζε πρὸς αὐτὸν, καὶ βαθμὸς πρίβωμα αὐτοῦ ἐκτριβέτω ὁ πούς σου. διανοοῦ γὰρ τοῖς προστάγμασι κυρίου, καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ μελέτα διαπαντός. αὐτὸς σοι δώσει τὴν καρδίαν σου, καὶ ἡ ἐπιθυμία σου δοθήσεταί σοι.

ΚΕΦΑΛ. ζ'. 7.

ΜΗ ποίει κακὰ, καὶ οὐ μή σε καταλάβῃ κακόν. ἀπόσπα ἀπὸ ἀδικίας, καὶ ἐκκλίνει ἀπὸ σοῦ. τέκνον μὴ σπείρε ἐπ' αὐλακὰς ἀδικίας, καὶ οὐ μὴ θερίσῃς αὐτὰς ἑπταπλασίως. μὴ ζήτει παρὰ κυρίου ἡγεμονίαν, μηδὲ παρὰ βασιλέως καθέδραν δόξης. μὴ δικαιοῦ ἑαυτὸν ἐνώπιον κυρίου, καὶ παρὰ βασιλέως μὴ σοφίζου. μὴ ζήτει γενέσθαι κριτὴς, μὴ οὐκ ἰσχύσεις ἐξᾶραι ἀδικίας. μήποτε δύναισθῆς ἀπὸ προσώπου δυνάστου, καὶ θήσεις σκάνδαλον ἐν τῇ εὐθύτητί σου. μὴ ἁμάρτανε εἰς πλῆθος πόλεως, καὶ μὴ καταβάλλε σεαυτὸν ἐν ὄχλῳ. μὴ καταδεδεμένος ἐν δεσμοῖς ἁμαρτίαν, ἐν γὰρ τῇ μιᾷ οὐκ ἀθῶος ἔσῃ. μὴ εἴπῃς· ἐπὶ πλήθει τῶν δώρων μου ἐπόψεται, καὶ ἐν τῷ προσενεγκαῖ με θεῷ ὑψίσῳ προσδέξεται. μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου, καὶ ἐλεημοσύνης ποιῆσαι μὴ παρίδῃς. μὴ καταγέλα ἀνθρώπου ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, ἔσι γὰρ ὁ ταπεινῶν καὶ ὑψῶν. μὴ ἀροσρία ψεύδου ἐπ' ἀδελφῷ σου, μηδὲ φίλῳ τὸ ὅμοιον ποίει. μὴ θέλε ψεύδεσθαι παῶν ψεῦδος, ὁ γὰρ ἐνδιελεγισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν. μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων, καὶ μὴ διδυτόρως λόγον ἐν προσευχῇ σου. μὴ μισήσῃς ἐπίπονον ὀργασίαν, καὶ γεωργίαν ὑπὸ ὑψίσου ἐκπεμφθεῖσαν. μὴ πολογίζου σεαυτὸν ἐν πλήθει ἁμαρτωλῶν. ταπείνωσον σφόδρα τὴν ψυχήν σου, μνήσθητι ὅτι ὀργὴ οὐ χρονιεῖ, ὅτι ἐκδίκησις ἀσεβοῦς πῦρ καὶ σκώληξ. μὴ ἀλλάξῃς φίλον ἕνεκεν ἀδιαφόρου, μὴ δ' ἀδελφὸν γνήσιον ἐν χρυσίῳ σουφείρ. μὴ ἄσοχη γυναικὸς σοφῆς καὶ ἀγαθῆς, καὶ γὰρ χαρις αὐτῆς ὑπὲρ τὸ χρυσίον. μὴ δακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ, μηδὲ μίσθιον δόντα ψυχὴν αὐτοῦ. οἰκέτην ἀγαθὸν ἀγάπα σὺ ψυχή, μὴ στρήνησαν αὐτὸν ἐλευθερίας. κτῆνη σοι ὅσιν, ὅρα σκέπου αὐτά, καὶ εἰ ἔσι σοι χρήσιμα, ἐμμενέτω σοι. τέκνα σοι ὦσι, παίδευσον αὐτά, καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν. θυγατέρες σοί εἰσιν, πρόσεχε τὸ σῶμα αὐτῶν, καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου. ἔκδυε θυγατέρα, καὶ ἔσαι τετελεκὼς ὄργον μέγα, καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν. γυνή σοι ὦσι κατὰ ψυχὴν, μὴ ἐκβάλλε αὐτὴν, τὴν δὲ μισοῦσαν μὴ πίσευε. ἐν ὅλῃ καρδίᾳ δόξασον τὸν πατέρα σου, καὶ μητρὸς ὠδῖνας μὴ ἐπιλάθου. μνήσθητι, ὅτι διὰ αὐτῶν ἐγεννήθης, καὶ τί ἀνταποδώσεις αὐτοῖς, καθὼς αὐτοί σοί; ἐν ὅλῃ ψυχῇ σε δίλαβε τὸν κύριον, καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε. ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε, καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς. φοβοῦ τὸν κύριον, καὶ δόξασον ἱερέα, καὶ δὸς τὴν μερίδα αὐτοῖς καθὼς ἐντέταλταί σοι. καὶ ἀπαρχὴ καὶ ἁγνισμοῦ ἀρεσκέτω σοι, καὶ δόσιν βραχιόνων, καὶ θυσίας ἁγιασμοῦ καὶ ἀπαρχήν. καὶ πτωχῷ ἔκτεινον τὴν χεῖρά σε, ἵνα τελειωθῇ ἡ εὐλογία σου. χαρις δόματος ἐνώπιον παντὸς ζῶντος,

καὶ ὧδε νεκρῷ μὴ ἀφκωλύσης χάειν. μὴ ὑσδρεῖ ἀφκλαιόντων, καὶ μετὰ πφωθέντων πφόθη-
σον. μὴ ὄκνει ὧδε σκέπεσθαι ἀφ' ἑαυτοῦ, ἐκ γὰρ τῶν τοιάτων ἀγαπηθήσῃ. ἐν πᾶσι τοῖς λόγοις σου
μεμνήσκε τὰ ἔσχατά σε, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμαρτήσεις.

ΚΕΦΑΛ. ιη'. 18.

ΜΗ διαμάχε μετὰ ἀνθρώπου δυνάστου, μή ποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ. μὴ ἔρι-
ζε μετὰ ἀνθρώπου πλουσίου, μή ποτε αὐτισήσῃ σου τῷ ὄλκῷ. πολλοὺς γὰρ ἀπώλεσεν
τὸ χρυσίον, καὶ καρδίας βασιλέων ἐξέκλινεν. μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους, ἐν
μὴ αὐτοιβάσῃς ὧδε τὸ πῦρ αὐτοῦ ξύλα. μὴ πρόσπαιζε ἀπαιδεύτῳ, ἵνα μὴ ἀτιμάζωνται οἱ
πρόγονοί σου. μὴ ὀνείδιζε ἄνθρωπον ἀφεστῶτα ἀφ' ἁμαρτίας, μνήσθητι ὅτι πάντες ὑπεύ-
θυνοί ἐσμεν. μὴ ἀτίμαζε ἄνθρωπον ἐν γήρᾳ αὐτοῦ, καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσιν. μὴ ἐπιχαῖ-
ρε ὧδε νεκρῷ, μνήσθητι ὅτι πάντες τελευτῶμεν. μὴ παρίδῃς διήγημα σοφῶν, καὶ ἐν ταῖς
παροιμίαις αὐτῶν ἀνάστρεφε. ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν, καὶ λειτουργῆσαι μεγιστᾶ-
σιν. μὴ ἀστόχει διηγήματος γερόντων, καὶ γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν, ὅτι
παρ' αὐτῶν μαθήσῃ σώφρονα, καὶ ἐν καιρῷ χρείας δοθῆναι ἀπόκρισιν. μὴ ἔκκαιε ἀνθρακας ἁ-
μαρτωλοῦ, μὴ ἐμπυρισθῇς ἐν φυσῇ φλογὸς αὐτοῦ. μὴ ἀντιστῇς ἀφ' προσώπου ὑβριστοῦ, ἵνα μὴ
ἐγκαθίσῃ ὡς ἐνέδρον ἐπὶ σώματί σου. μὴ δανείσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου, καὶ ἐὰν δανεί-
σῃς, ὡς ἀπολωλεκὼς γίνου. μὴ ἐγγυήσῃ ὑπὲρ δυνάμίν σου, καὶ ἐὰν ἐγγυήσῃ, ὡς ἀποτίσων
φρόντιζε. μὴ δικάζου μετὰ κριτοῦ, κατὰ γὰρ τὸ δόξαν αὐτοῦ κρινοῦσιν αὐτῷ. μετὰ πολ-
μηροῦ μὴ πορεύου ἐν ὁδῷ, ἵνα μὴ καταβαρύνεται κατὰ σου. αὐτὸς γὰρ κατὰ τὸ θέλημα αὐ-
τοῦ ποιήσει, καὶ σὺ ἀφροσύνῃ αὐτοῦ συναπολῇ. μετὰ θυμώδους μὴ ποιήσῃς μάχην, καὶ μὴ
διαπορεύσῃ μετ' αὐτοῦ τὴν ὁδὸν, ὅτι ὡς οὐδὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα, καὶ ὅπου οὐκ ἔστιν
βοήθεια καταβαλεῖ σε. μετὰ μωροῦ μὴ συμβουλεύσῃ, οὐ γὰρ δυνήσεται λόγον σεσῶσαι. ἐνώ-
πιον ἀλλοτρίου μὴ ποιήσῃς μυστήριον, οὐ γὰρ γινώσκεις τί τέξεται. πάντι ἀνθρώπῳ μὴ ἐκφαί-
νε σὴν καρδίαν, καὶ μὴ ἀναφορέτω σε χάειν.

ΚΕΦΑΛ. θ'. 19.

ΜΗ ζήλου γυναῖκα τοῦ κόλπου σου, μηδὲ διδάξῃς ὧδε σεαυτὸν παιδείαν πονηράν. μὴ
δῶς γυναικὶ τὴν ψυχήν σου, ὥστε ἐλθεῖν αὐτῇ ὧδε τὴν ἰσχύν σου. μὴ πάντα γυναικὶ
ἐταιριζομένῳ, μή ποτε ἐμπέσῃς εἰς τὰς παγίδας αὐτῆς. μετὰ ψαλλούσης μὴ ἐνδιατρίβε, μή
ποτε ἅλῶς ἐν τοῖς ὠδίνεσιν αὐτῆς. παρθένου μὴ καταμάθῃς, μή ποτε σκανδαλισθῇς ἐν
τοῖς ὠδίνεσιν αὐτῆς. μὴ δῶς πόρνῃ τὴν ψυχήν σου, ἵνα μὴ ἀπολέσῃς τὴν κληρονομίαν σου.
μὴ περιβλέπου ἐν ῥύμαις πόλεως, καὶ ἐν ταῖς ἐρήμοις αὐτῆς μὴ πλανῶ. ἀπόστρεψον ὀφθαλμὸν
ἀπὸ γυναικὸς δυσμόρφου, καὶ μὴ καταμάθῃς κάλλος ἀλλότριον. ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλα-
νήθησαν, καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀναπάεται. μετὰ παντὸς γυναικὸς μὴ κάθου τὸ σιώ-
λου, καὶ μὴ συμβολοκοπήσῃς μετ' αὐτῆς ἐν οἴνῳ, μή ποτε ἐκκλίνει ἡ ψυχή σου ἐπ' αὐτῷ, καὶ τῷ
ὀνόματί σου ὀλισθήσῃς εἰς ἀπώλειαν. μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον, ὁ γὰρ πρόσφατον οὐκ
ἔστιν ἴσος αὐτῷ. οἶνος νέος, φίλος νέος, ἐὰν παλαιωθῇ μετ' εὐφροσύνης πίεσαι αὐτόν. μὴ
ζηλώσῃς δόξαν ἁμαρτωλοῦ, οὐ γὰρ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐτοῦ. μὴ εὐδοκήσῃς ἐν ὁδῷ
ἀσεβῶν, μνήσθητι ὅτι ἕως ἄδου οὐ μὴ δικαιωθῶσιν. μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπου ὃς ἔχει ἐξου-
σίαν τοῦ φονεύειν, καὶ οὐ μὴ ὑποπτεύσῃς φόβον τοῦ θανάτου. ἐὰν προσέλθῃς μὴ πλημμελήσῃς,
ἵνα μὴ ἀφέλωνταί σου τὴν ζωήν σου. ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ὧδε ἐπάλξεων
πόλεως περιπατεῖς. κατὰ τὴν ἰσχύν σου σόφισαι τὸν πλησίον, καὶ μετὰ σοφῶν συμβουλεύου, καὶ
μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σου, καὶ πᾶσα διήγησίς σου ἐν νόμῳ ὑψίστου. ἀνδρῶν δίκαιοι
ἔστωσαν συνδειπνοί σου, καὶ ἐν φόβῳ κυρίου ἔστω τὸ καύχημά σου. ἐν χειρὶ τεχνιτῶν ἔργον ἐπαινε-
θήσεται, καὶ ὁ ἡγούμενος λαοῦ σοφὸς ἐν λόγῳ αὐτοῦ. φοβερὸς ἐν πόλει αὐτοῦ ἀνὴρ γλωσσώδης,
καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτοῦ μισηθήσεται.

ΚΕΦΑΛ. ι'. 10.

ΚΡΙΤΗΣ σοφὸς παιδεύει τὸν λαὸν αὐτοῦ, καὶ ἡγεμονία συνετοῦ τετάγμενη ἔσται. κατὰ τὸν
κριτὴν τοῦ λαοῦ αὐτοῦ, οὕτως καὶ οἱ λειτουργοὶ αὐτοῦ. καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως,
πάντες οἱ κατοικοῦντες αὐτῇ. βασιλεὺς ἀπαίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ, καὶ πόλις οἰκη-
θήσεται ἐν συνέσει δυνατῶν. ἐν χειρὶ κυρίου ἐξουσία τῆς γῆς, καὶ τὸν χρήσιμον ἐγερεῖ εἰς καιρὸν
ἐπ' αὐτῆς. ἐν χειρὶ κυρίου εὐοδία ἀνδρός, καὶ προσώπῳ γραμματέως τιμήσει δόξαν αὐ-
τοῦ. ὧδε πάντι ἀδικήματι μὴ μιμιάσῃς τὸν πλησίον, καὶ μὴ πράξεσι μηδὲν ὀργοὺς ὕβρεως. μι-
σητὴ ἐναντίον κυρίου καὶ ἀνθρώπων ὑπερηφανία, καὶ ἐξ ἀμφοτέρων πλημμελήσει ἀδικία. βα-
σιλεία ἀπ' ἔθνους εἰς ἔθνος μετάγεται. διὰ ἀδικίας, καὶ ὕβρεις, καὶ χρήματα, πτωχαίνουσι
γῆ καὶ πατρίδες, ὅτι ἐν ζωῇ ἔρριψα τὰ ἐνδόδια αὐτοῦ. μακρὰν ἀπέχω σκόπελος ἰατρός, καὶ
βασιλεὺς σίμβρον καὶ αὔριον τελευτήσει. ἐν γὰρ τῷ ἀποθανεῖν ἄνθρωπον, κληρονομήσει ἑρπε-

τὰ

τὰ καὶ θηρία, καὶ σκώληκας. ἀρχὴ ὑπερηφανίας ἀνθρώπῳ ἀποστῆναι ἀπὸ κυρίου, καὶ ἀπὸ τοῦ ποιήσαντος αὐτὸν ἀπέστη ἡ καρδία αὐτοῦ. ὅτι ἀρχὴ ὑπερηφανίας ἁμαρτία, καὶ ὁ κρατῶν αὐτῆς ἐξομβρήσει βδέλυγμα. διὰτοῦτο ἤγειρεν κύριος τὰς ἐπαγωγὰς, καὶ κατέστρεψεν εἰς τέλος αὐτούς. θρόνους ἀρχόντων καθεῖλεν ὁ κύριος, καὶ ἐκάθισεν πραεῖς αὐτ' αὐτῶν. ῥίζας ἐθνῶν ἐξέτιλεν ὁ κύριος, καὶ ἐφύτευσεν ταπεινοὺς αὐτ' αὐτῶν. χώρας ἐθνῶν κατέστρεψεν ὁ κύριος, καὶ ἀπώλεσεν αὐτὰς ἕως θεμελίων γῆς. ἐξήρανεν ἐξ αὐτῶν καὶ ἀπώλεσεν αὐτούς, καὶ κατέπαυσεν ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν. οὐκ ἔκτισαι ἀνθρώποις ὑπερηφανίαν, οὐδὲ ὀργὴ θυμοῦ γεννήμασι γυναικῶν. σπέρμα γνήσιμον ποῖον σπέρμα ἀνθρώπου, σπέρμα γνήσιμον ποῖον οἱ φοβούμενοι τὸν κύριον. σπέρμα ἄτιμον ποῖον σπέρμα ἀνθρώπου, σπέρμα ἄτιμον ποῖον οἱ παραβαίνοντες γνῶτας. γνῶ μέσῳ ἀδελφῶν ὁ ἡγούμενος αὐτῶν γνήσιος, καὶ οἱ φοβούμενοι κύριον γνῶ ὀφθαλμοῖς αὐτοῦ. πλούσιος καὶ ἔνδοξος καὶ πτωχός, τὸ καύχημα αὐτῶν φόβος κυρίου. οὐ δίκαιον ἀτιμάσαι πτωχὸν συνετὸν, καὶ οὐ καθῆκε δοξάσαι ἄνδρα ἁμαρτωλὸν μεγισᾶν. καὶ μεριτὴς καὶ δυνάστης δοξασθήσεται, καὶ οὐκ ἔστιν αὐτῶν τις μείζων τοῦ φοβουμένου τὸν κύριον. οἰκέτῃ σοφῷ ἐλεύθεροι λειτουργήσουσιν, καὶ ἀνὴρ ἐπιστήμων οὐ γογγύσει. μὴ σοφίζου ποιῆσαι τὸ ἔργον σου, καὶ μὴ δοξάζου ἐν καιρῷ συνοχῆς σου. κρείσσων ὁ γαζόμενος ἢ πολυπαθῶν, ἢ δοξαζόμενος καὶ ἀπορῶν αὐτῶν. τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου, καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς. τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ τίς δικαιώσει; καὶ τίς δοξάσει τὸν ἀτιμάζοντα τὴν ζωὴν αὐτοῦ; πτωχὸς δοξάζεται διὰ τὴν ἐπιστήμην αὐτοῦ, καὶ πλούσιος δοξάζεται διὰ τὸν πλοῦτον αὐτοῦ. ὁ δὲ δοξαζόμενος ἐν πτωχείᾳ, καὶ ἐν πλούτῳ πῶς ἀγνοήσει;

ΚΕΦΑΛ. ιά'. 11.

Σοφία ταπεινοῦ ὑψώσει κεφαλὴν αὐτοῦ, καὶ ἐν μέσῳ μεγιστάνων καθίσει αὐτόν. μὴ αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ, μὴ βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ. μικρὰ ἐν πετεινοῖς μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς. ἐν πολυβολίᾳ ἱματίων μὴ καυχήσῃ, καὶ ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου, ὅτι θαυμαστὰ τὰ ἔργα κυρίου, καὶ κεκρυμμένα τὰ ἔργα αὐτοῦ ἐν ἀνθρώποις. πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους, ὁ δὲ οὐδὲν ὑπονοήσας ἐφόρεσεν διάδημα. πολλοὶ ἐξουδένωσαν ἐντίμους σφόδρα, καὶ ἐν δόξῃ παρεδόθησαν εἰς χεῖρας ἑτέρων. πρὶν ἐξετάσῃς, μὴ μέμφου, νόησον πρῶτον, καὶ τότε ἔλεγξον. πρὶν ἀκοῦσαι, μὴ ἀποκρίνου, καὶ ἐν μέσῳ λόγων μὴ παρεμβάλλου. περὶ δὲ πράγματος οὗ οὐκ ἔστι σοι χρεία, μὴ ἐρίζῃ, καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ συνεδρεύσῃς. τέκνον μὴ πολυπραγμόνει ἐπὶ πολλὰ ἐὰν γὰρ πληθυνθῇς, οὐκ ἀθῳωθήσῃ, καὶ ἐὰν διώκῃς, οὐ μὴ καταλάβῃς, καὶ οὐ μὴ ἐκφύγῃς διαδρᾶς. ἔστι μοχθῶν καὶ πονῶν, καὶ σπεύδων, καὶ τόσῳ μᾶλλον ὑστερεῖται. σῴζει νωθρὸς καὶ προσδεόμενος ἀντιλήψεως, ὑστερῶν ἰσχύϊ καὶ πτωχείᾳ πλουτοῦσι, καὶ οἱ ὀφθαλμοὶ κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθὰ, καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ. καὶ ἀνύψωσε κεφαλὴν αὐτοῦ, καὶ ἐθαύμασαν ἐπ' αὐτῷ πολλοί. ἀγαθὰ καὶ κακὰ, ζωὴ καὶ θάνατος, πτωχεία καὶ πλοῦτος, παρὰ κυρίου ἐστί. δόσις κυρίου φανερὰ ἐστὶν, καὶ ἡ δυσωδία αὐτοῦ εἰς τὸν αἰῶνα διασωθήσεται. ἔστι πλουτῶν ἐν πολλῇ σωφροσύνῃ αὐτοῦ, καὶ αὕτη ἡ μερὶς τοῦ μισθοῦ αὐτοῦ. ἐν τῷ εἰπεῖν αὐτὸν εὗρον ἀνάπαυσιν, καὶ νῦν φαγομαι ἐκ τῶν ἀγαθῶν μου. καὶ οὐκ οἶδεν τίς καιρὸς παρελεύσεται, καὶ καταλείψει αὐτὰ ἑτέροις, καὶ ἀποθανεῖται. στῆθι ἐν διαθήκῃ σου καὶ ὁμίλει ἐν αὐτῇ, καὶ ἐν τῷ ἔργῳ σου παλαιώθητι. μὴ θαύμαζε ἐν ἔργοις ἁμαρτωλοῦ, πίστευε τῷ κυρίῳ, καὶ μεῖνον τῷ πόνῳ σου. ὅτι εὔκοπον ἐν ὀφθαλμοῖς κυρίου, ἐξαπίνης πλουτίσαι πένητα. εὐλογία κυρίου ἐν μισθῷ εὐσεβοῦς, καὶ ἐν ὥρᾳ ταχινῇ ἀνεβάλετο εὐλογίαν αὐτοῦ. μὴ εἴπῃς, τίς ἔστι μου χρεία, καὶ τίνα ἀπὸ τοῦ νῦν ἔσται μοι τὰ ἀγαθά; καὶ εἴπῃς, αὐτάρκη μοι ἔστι, καὶ τί ἀπὸ τοῦ νῦν κακωθήσομαι; ἐν ἡμέρᾳ ἀγαθῶν ἀμνησία κακῶν, καὶ ἐν ἡμέρᾳ κακῶν μνησθήσεται ἀγαθῶν. ὅτι εὔκοπον ἐναντίον κυρίου, ἐν ἡμέρᾳ τελευτῆσαι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ. κάκωσις ὥρας ἐπιλησμονὴν ποιεῖ τρυφῆς, καὶ ἐν συντελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων αὐτοῦ. πρὸ τελευτῆς μὴ μακάριζε μηδένα, κατὰ γὰρ τέκνοις αὐτοῦ γνωσθήσεται ἀνήρ. μὴ πᾶσα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου, πολλὰ γὰρ τὰ ἐνεδρεύοντα τοῦ δολίου. ὡσεὶ ἔξ θηρευτὴς ἐν καρταλλῳ, οὕτως καρδία ὑπερηφάνου, καὶ ὡς ὁ κατάσκοπος ἐπιβλέπει πᾶσιν. τὰ γὰρ ἀγαθὰ εἰς κακὰ μετατρέψει ἐνεδρεύων, καὶ ἐν τοῖς αἱρετοῖς εὑρεθήσεται μῶμον. ἀπὸ σπινθῆρος πυρὸς πληθύνεται ἀνθρακιὰ, καὶ ἀνὴρ ἁμαρτωλὸς εἰς αἷμα ἐνεδρεύει. πρόσεχε ἀπὸ κακόργου, πονηρὰ γὰρ τεκταίνει, μή ποτε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι. ξένοικον ἀλλότριον, καὶ διαστρέψει ἐν παραχαῖς, καὶ ἀποπλοτριώσει σε τῶν ἰδίων σου.

ΚΕΦΑΛ. ιβ'. 12.

Ἐὰν εὖ ποιῇς, γνῶθι τίνι ποιεῖς, καὶ ἔσαι χάρις τοῖς ἀγαθοῖς σου. εὖ ποίησον δικαίῳ, καὶ εὑρήσεις ἀνταπόδομα, καὶ εἰ μὴ παρ' αὐτοῦ, ἀλλὰ παρὰ ὑψίστου. οὐκ ἔστιν ἀγαθὰ ἀπὸ ἐνδελε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χίζουσι εἰς ἀκακα, καὶ ζηλ ἐλεημοσυνῶν μὴ χαριζομένῳ. ἀλὸς ζηλ δύσεβεῖ, καὶ μὴ κατηλάθητι ἁμαρτωλοῦ. δύποίησον ζηλ παπεινῶ, καὶ μὴ ἀλῶς ἀσεβῆ. ἐμπόδισον αὐτοὺς αὐτῷ, καὶ μὴ ἀλῶς αὐτῷ, ἵνα μὴ γὰ αὐτοῖς σε δικασθῶσι. λιπλάσια γὰρ ἀκακὰ εὑρήσεις, γὰ πᾶσιν ἀγαθοῖς οἷς ἂν ποιήσης αὐτῷ. ὅτι καὶ ὕψιστος ἐμίσησεν ἁμαρτωλοὺς, καὶ τοῖς ἀσεβέσιν ἀπροσώπως ἐκδίκησιν. ἀλὸς ζηλ ἀγαθῷ, καὶ μὴ κατηλάθητι ἁμαρτωλοῦ. οὐκ ἐκκλινηθήσεται γὰ ἀγαθοῖς ὁ φίλος, καὶ οὐ λειφθήσεται γὰ ἀκακοῖς ὁ ἐχθρός. γὰ ἀγαθοῖς κατάδηλος οἱ ἐχθροὶ αὐτοῦ γὰ λύπῃ, καὶ γὰ τοῖς ἀκακοῖς αὐτοῦ καὶ ὁ φίλος διαχωρισθήσεται. μὴ πίστευσης ζηλ ἐχθρῷ σου εἰς τὸν αἰῶνα. ὡς γὰρ ὁ χαλκὸς ἰοῦται, οὕτως ἡ πονηρία αὐτοῦ. καὶ ἐὰν ταπεινωθῇ καὶ πορεύεται συγκεκυφώς, ἐπίσκεψαι τῶ ψυχῶ σου, καὶ φύλαξαι ἀπ' αὐτοῦ, καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπτρον, καὶ γνώσῃ ὅτι οὐκ εἰς τέλος ἀκατίωσεν. μὴ στήσῃς αὐτῷ πλησίον σεαυτοῦ, μὴ ἀναστρέψας ἔσῃ ἀπὸ τοῦ τόπου σου. μὴ καθίσῃς αὐτὸν ἐκ δεξιῶν σου, μή ποτε ζητήσῃ τὴν καθέδραν σου, καὶ ἐπ' ἐσχάτῳ ἐπιγνώσῃ τοὺς λόγους μου, καὶ ἀπὸ τῶν ῥημάτων μου κατανυγήσῃ. μὴ δεσμεύσεις δίς ἁμαρτίαν, γὰ γὰρ μιᾷ οὐκ ἀθωωθήσῃ. τίς ἐλεήσει ἐπαοιδὸν ἀποδηκτόν, καὶ πάντας τοὺς προσαγομένους θηρίοις, οὕτως ὁ προσορμούμενος ἀνδρὶ ἁμαρτωλῷ, κὴ συμφυρόμενος γὰ ταῖς ἁμαρτίαις αὐτοῦ. ὥραν μετὰ σοῦ διαμένει, καὶ ἐὰν ἐκκλίνῃς οὐ μὴ διαρτηρήσῃ. καὶ γὰ τοῖς χείλεσιν αὐτοῦ γλυκανεῖ ὁ ἐχθρὸς, καὶ πολὰ ψιθυρίσει. καὶ ὀφθαλμοῖς αὐτοῦ δακρύσῃ, καὶ γὰ τῇ καρδίᾳ βαλοῦσιν αὐαβέψαι σε εἰς βόθρον, κὴ ἐὰν εὕρῃ διαιρὸν οὐκ ἐμπλησθήσεται ἀφ' αἵματος. διακὰ αὐτιπαντήσῃ σοι, εὑρήσεις αὐτὸν ἐκεῖ πρότερόν σε, καὶ ὡς βοηθῶν ὑποχάσει πτέρναν σε. διυήσει τὴν κεφαλὴν αὐτοῦ, καὶ ὠκροτήσει τοὺς χορσὶν αὐτοῦ, καὶ πολὰ δαψιθυρίσει, καὶ ἀλλοιώσει τὸ πρόσωπον αὐτοῦ.

ΚΕΦΑΛ. ιγ'. 13.

ΟΑπτόμενος πίσσης μολυνθήσεται, καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ. Βαρὺς ὑπὲρ σε μὴ ἄρῃς, καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ μὴ κοινώνει. τί κοινωνήσει χύτρα πρὸς λέβητα; αὕτη προσπεσοῦσα, καὶ αὐτὴ συντριβήσεται. πλούσιον ἀδίκησεν, καὶ αὐτὸς προσγκλημήσεται. πτωχὸς ἀδίκηται, καὶ αὐτὸς προσλακηθήσεται. ἐὰν χρησιμεύσῃς, ὀργάζεται γὰ σοί. καὶ ἐὰν ὑστερήσῃς, διαπαλέψει σε. ἐὰν ἔχῃς, συμβιώσεταί σοι, καὶ ἀκρωνώσει σε, καὶ αὐτὸς οὐ πονέσει. χρείαν ἔχω σου, καὶ ἀκροπλανήσει σε, καὶ προσγελάσεταί σοι, κὴ δώσει σοι ἐλπίδα. λαλήσει σοι διακὰ, καὶ ὀρεῖ τίς ἡ χρεία σου; καὶ αἰχμώσει σε γὰ τοῖς βρώμασιν αὐτοῦ, ἕως οὗ ἀκρωνώσει σε δίς ἢ τρίς, κὴ ἐπ' ἐσχάτῳ διαπαμωκήσεταί σε. μετὰ ταῦτα ὄψεταί σε, καὶ διαπαλέψει σε, καὶ τὴν κεφαλὴν αὐτοῦ διυήσει ὑδὲ σοί. πρόσεχε μὴ ἀποπλανηθῇς, καὶ μὴ ταπεινωθῇς γὰ ὑφροσύνῃ σου. προσκαλεσαμένῳ σὲ δυνάστην, ὑποχώρει γίνου, καὶ τόσῳ μᾶλλον προσκαλέσεταί σε. μὴ ἐμπίπτε, ἵνα μὴ ἀπωσθῇς, μὴ μακρὰν ἀφέστως ἵνα μὴ ἐπιλησθῇς. μὴ ἐπέχε διαλογεῖσθαι μετ' αὐτοῦ, καὶ μὴ πίστευε τοῖς πλείοσι λόγοις αὐτοῦ. ἐκ πολλῆς γὰρ λαλιᾶς πειράσει σε, καὶ ὡς προσγελῶν ἐξετάσει σε. ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους, καὶ οὐ μὴ φείσεται πρὸς κακώσεως καὶ δεσμῶν. συντήρησον καὶ πρόσεχε σφόδρα, ὅτι μετὰ πτώσεώς σου περιπατεῖς. πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτοῦ, καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ. πᾶσα σὰρξ κατὰ γένος συναγέται, καὶ ζηλ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἄνθρ. τί κοινωνήσει λύκος ἀμνῷ; οὕτως ἁμαρτωλὸς πρὸς δύσεβῆ. τίς εἰρήνη ὑαίνῃ πρὸς λύναν, καὶ τίς εἰρήνη πλουσίῳ πρὸς πτωχόν; διωκήγεια λεόντων ὄναγροι γὰ ὄρήμῳ, οὕτως νομαὶ πλουσίων πτωχοί. βδέλυγμα ὑπερηφάνῳ ταπεινότης, οὕτως βδέλυγμα πλουσίῳ πτωχός. πολέσει καλυδόμενος σκιρίζεται ὑπὸ φίλου, ταπεινὸς δὲ πεσὼν προσαπωθεῖται ὑπὸ φίλου. πλουσίῳ σφαλγέντος πολλοὶ ἀντιλήπτορες, ἐλάλησεν ἀπόῤῥητα, καὶ ἐδικαίωσαν αὐτόν. ταπεινὸς ἔσφαλεν, καὶ προσεπετίμησαν αὐτῷ, ἐφθέγξατο σωφρόνως καὶ οὐκ ἐδόθη αὐτῷ τόπος. πλούσιος ἐλάλησεν, καὶ πάντες ἐσίγησαν, καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσεν ἕως νεφελῶν. πτωχὸς ἐλάλησεν, κὴ εἶπαν τίς οὗτος; καὶ ἂν πταίσῃ, προσωθήσουσιν αὐτόν. ἀγαθὸς ὁ πλοῦτος ᾧ μὴ ἔστιν ἁμαρτία, καὶ πονηρὰ ἡ πτωχεία γὰ στόματι ἀσεβοῦς. καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ πρόσωπον αὐτοῦ, ἐὰν εἰς ἀγαθὰ, ἐὰν τε εἰς κακά. ἴχνος καρδίας γὰ ἀγαθοῖς, πρόσωπον ἱλαρόν, καὶ εὕρεσις παραβολῶν, διαλογισμοὶ μετὰ κόπου.

ΚΕΦΑΛ. ιδ'. 14.

ΜΑκάριος ἀνὴρ ὃς οὐκ ὠλίσθησεν γὰ στόματι αὐτοῦ, καὶ οὐ κατηγνύγη γὰ λύπῃ ἁμαρτίας. μακάριος οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ, καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ. ἀνδρὶ μικρολόγῳ οὐ καλὸς ὁ πλοῦτος, καὶ ἀνθρώπῳ βασκαίνῳ ἑνατί χρήματα; ὁ συναγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ συναγγ ἄλλοις, καὶ γὰ τοῖς ἀγαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι. ὁ πονηρὸς ἑαυτῷ, τίνι ἀγαθὸς ἔσαι; καὶ οὐ μὴ εὐφρανθήσεται γὰ τοῖς χρήμασιν αὐτοῦ. τοῦ βασκαίνοντος ἑαυτὸν οὐκ ἔστιν πονηρότερος, καὶ τοῦτο ἀνταπόδομα δικαίας αὐτοῦ. ἐὰν δύποιῇ,

ὀδύνοις, γὴ λύπη ποιεῖ, καὶ ἐπ' ἐσχάτων ἐκφαίνει τὴν κακίαν αὐτ'. πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ, ἀχαρίστων πρόσωπον, καὶ ταπεινοῖ ψυχάς. πλευρὰ κτου ὀφθαλμὸς οὐκ ἐμπίπλαται μερίδι, καὶ ἀδικία πονηρὰ αὐαξηράνει ψυχήν. ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ' ἄρτῳ, καὶ ἐλλιπὴς ἐπὶ τραπέζης αὐτοῦ. τέκνον κακῶς ἐὰν ἔχῃς, δύπνιε σεαυτῷ, καὶ πρόσφορας κυρίῳ ἐξίως προσάγε. μνήσθητι, ὅτι θάνατος οὐ χρονιεῖ, καὶ διαθήκη ἅδου οὐκ ἐπιδείχθησεται. πρίν σε τελευτῆσαι, δύπνιε φίλῳ, καὶ ἡδὺ τὸν ἐγγύν σου ἔκτεινον, καὶ δὸς αὐτῷ. μὴ ἀφυσερήσῃς ἀπὸ ἀγαθῆς μερίδος, καὶ μερὶς ἐπιθυμίας ἀγαθῆς μὴ σε παρελθέτω. οὐχὶ ἑτέρῳ καταλείψεις τοὺς πόνους σου, καὶ οἱ κόποι σου εἰς διαίρεσιν κλήρου. δὸς καὶ λάβε, καὶ ἁγίασον τὴν ψυχήν σου, ὅτι οὐκ ἔστιν ἐν ᾅδου ζητῆσαι τρυφήν. πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται, ἡ γὰρ διαθήκη ἀπ' αἰῶνος θανάτῳ ἀφθαρῆ. ὡς φύλλον θάλλον ἐπὶ δρυὸς δασέος, ὃ μὲν καταβάλλει, ἄλλα δὲ φύει, οὕτως γενεὰ σαρκὸς καὶ αἵματος, ἡ μὲν τελευτᾷ, ἑτέρα δὲ γεννᾶται. πᾶν ἔργον σηπόμενον ἐκλείπει, καὶ ὁ ἐργαζόμενος αὐτὸ μετ' αὐτοῦ ἀπελεύσεται. μακάριος ἀνὴρ ὃς ἐν σοφίᾳ τελευτήσει, καὶ ὃς ἐν σωφροσύνῃ αὐτοῦ διαλεχθήσεται. ὁ διαιρούμενος τὰς ὁδοὺς αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ ἐν τοῖς ἀποκρύφοις αὐτοῦ νοηθήσεται. ἔξελθε ὀπίσω αὐτῆς ὡς ἰχνευτής, καὶ ἐν ταῖς εἰσόδοις αὐτῆς ἐνέδρευε. ὁ παρακύπτων διὰ τῶν θυρίδων αὐτῆς, καὶ ἐπὶ τῶν θυρωμάτων αὐτῆς ἀκροάσεται. ὁ καταλύων σωφρονιεῖ τὸν οἶκον αὐτῆς, κλήσει τὴν σκιὰν αὐτῆς, καὶ καταλύσει ἐν καταλύμασι ἀγαθῶν. θήσει τὰ τέκνα αὐτοῦ ἐν τῇ σκέπῃ αὐτῆς, καὶ ὑπὸ τοὺς κλάδους αὐτῆς αὐλισθήσεται, σκεπασθήσεται ὑπ' αὐτῆς ἀπὸ καύματος, καὶ ἐν τῇ δόξῃ αὐτῆς καταλύσει.

ΚΕΦΑΛ. ιέ. ις.

Ὁ φοβούμενος κύριον ποιήσει ἀγαθόν, καὶ ὁ ἐγκρατὴς τοῦ νόμου καταλήψεται αὐτόν. καὶ ὑπαντήσεται αὐτῷ ὡς μήτηρ, καὶ ὡς γυνὴ παρθενίας προσδέξεται αὐτόν. ψωμιεῖ αὐτὸν ἄρτον συνέσεως, καὶ ὕδατι σοφίας ποτίσει αὐτόν. στηριχθήσεται ἐπ' αὐτῷ, καὶ οὐ μὴ κλιθῇ, καὶ ἐπ' αὐτῷ ἐφέξει, καὶ οὐ μὴ καταισχυνθῇ. καὶ ὑψώσει αὐτὸν παρὰ τοὺς πλησίον αὐτοῦ, ἐν μέσῳ ἐκκλησίας ἀνοίξει στόμα αὐτοῦ. εὐφροσύνῃ καὶ στέφανον ἀγαλλιάματος, καὶ ὄνομα αἰώνιον καταπληρονομήσῃ. οὐ μὴ καταλήψονται αὐτὸν ἄνθρωποι φρονοῦντες, καὶ ἄνδρες ἁμαρτωλοὶ οὐ μὴ ἴδωσιν αὐτόν. μακρὰν ὄντα ὑπερηφανίας, καὶ ἄνδρες ψεῦσαι οὐ μὴ μνησθήσονται αὐτῆς. οὐχ ὡραῖον αἶνος ἐν στόματι ἁμαρτωλοῦ, ὅτι οὐ παρὰ κυρίου ἀπεστάλη. ἐν γὰρ σοφίᾳ ῥηθήσεται αἶνος, καὶ ὁ κύριος εὐοδώσῃ αὐτόν. μὴ εἴπῃς, ὅτι διὰ κύριόν με ἀπέστη, ἃ γὰρ ἐμίσησεν οὐ ποιήσῃς. μὴ εἴπῃς, ὅτι αὐτός με ἐπλάνησεν, οὐ γὰρ χρείαν ἔχει ἀνδρὸς ἁμαρτωλοῦ. πᾶν βδέλυγμα ἐμίσησεν κύριος, καὶ οὐκ ἔστιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν. αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ. ἐὰν θέλῃς, συντηρήσῃς ἐντολάς καὶ πίστιν ποιῆσαι εὐδοκίας. παρέθηκέν σοι πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου. ἐνώπιον ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν δόκιμον δοθήσεται αὐτῷ. ὅτι πολλὴ σοφία τοῦ κυρίου ἰσχυρὸς ἐν δυνάσταις, καὶ βλέπων τὰ πάντα. καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπ' αὐτούς φοβουμένους αὐτόν, καὶ αὐτὸς ἐπιγνώσεται πᾶν ἔργον ἀνθρώπου. καὶ οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν, καὶ οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν.

ΚΕΦΑΛ. ις. ιζ.

Μὴ ἐπιθύμει τέκνον πλῆθος ἀχρήστων, μηδὲ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν. ἐὰν πληθύνωσιν, μὴ εὐφραίνου ἐπ' αὐτοῖς. εἰ μὴ ἔστι φόβος κυρίου μετ' αὐτῶν, μὴ ἐκπεισθύσῃς τῇ ζωῇ αὐτῶν, καὶ μὴ ἐπέχει ἐπὶ τὸν τόπον αὐτῶν. κρείσσων γὰρ εἷς ἢ χίλιοι, καὶ ἀποθανεῖν ἄτεκνον ἢ ἔχειν τέκνα ἀσεβῆ. ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις, φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται. πολλὰ τοιαῦτα ἑώρακα ἐν ὀφθαλμοῖς μου, καὶ ἰσχυρότερα τούτων ἀκήκοεν τὸ οὖς μου. ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, καὶ ἐν ἔθνει ἀπειθεῖ ὠργίσθη ὀργὴ ἐκκαύθη. οὐκ ἐξιλάσατο περὶ τῶν ἀρχαίων γιγάντων, οἱ ἀπέστησαν τῇ ἰσχύι αὐτῶν. οὐκ ἐφείσατο περὶ τῆς παροικίας λώτ, οὓς ἐβδελύξατο διὰ τὸ ὑπερηφανίαν αὐτῶν. οὐκ ἐλέησεν ἔθνος ἀπωλείας, τοὺς ἐξηρημένους ἐν ἁμαρτίαις αὐτῶν. καὶ οὕτως χ χιλιάδας ὠκίζων τοὺς συστραφθέντας ἐν σκληροκαρδίᾳ αὐτ', * ἐὰν ἓν ἐς σκληροτράχηλος, θαυμαστὸν τοῦτο εἰ ἀθωωθήσεται. ἔλεος γὰρ, καὶ ὀργὴ παρ' αὐτοῦ, δυνατὸς ἐξιλάσασθαι, καὶ ἐκχέων ὀργάς. κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτως καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ, ἀνδρὸς κατὰ τὰ ἔργα αὐτοῦ κρίνει. οὐκ ἐκφεύξεται ἐν ἁρπάγμασιν ἁμαρτωλός, καὶ οὐ μὴ καθυσορήσει ὑπομονὴ εὐσεβῶν. πάσῃ ἐλεημοσύνῃ ποιήσει τόπον, ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει. μὴ εἴπῃς, ὅτι ἀπὸ κυρίου κρυβήσομαι, μὴ ἐξ ὕψους τίς μου μνησθήσεται; ἐν λαῷ πλείονι οὐ μὴ γνωσθῶ, τίς γὰρ ἡ ψυχή μου ἐν ἀμετρήτῳ κτίσει; ἰδοὺ οὐρανὸς, καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ τοῦ θεοῦ. ἄβυσσος, καὶ γῆ σαλευθήσονται ἐν τῇ ἐπισκοπῇ αὐτοῦ. ἅμα τὰ ὄρη, καὶ τὰ θεμέλια τῆς γῆς, ἐν τῷ ἐπιβλέψαι εἰς αὐτὰ τρόμῳ συσσείονται, καὶ ἐπ' αὐτοῖς οὐ διανοηθήσεται καρδία. καὶ τὰς ὁδοὺς αὐτοῦ τίς ἐνθυμηθήσεται, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ διαταγὶς μὴ οὐκ ὄψεται ἄνθρωπος, τὰ δὲ πλείονα τῆς ὀργῆς αὐτοῦ γὴ ἀκηρύφοις. ὀργὴ δικαιοσύνης τὶς ἀναγγελεῖ, ἢ τὶς ὑπομενεῖ; μακρὰν γὰρ ἡ διαθήκη, ἐλαττούμενος διαπορίαι ταῦτα, καὶ ἀνὴρ ἄφρων καὶ πλανώμενος διανοεῖται μωρά. ἄκουσόν μου τέκνου, καὶ μάθε παιδείαν, καὶ πρόσεχε τῇ διαθέσει σου. ἐκφανῶ γὰρ σαθρῶς παιδείαν, καὶ γὰ ἀκριβείᾳ ἐπαγγελῶ μηνίσω. γὰ διέσῳζε ὀργὰς αὐτοῦ ἀπ' ἀρχῆς, καὶ ἀπὸ ποιήσεως αὐτοῦ διέκρινεν μερίδας αὐτῶν. ἐκόσμησεν εἰς αἰῶνα τὰ ὄργα αὐτοῦ, καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν. ἔκλαυσε τὸν πλησίον αὐτοῦ οὐκ ἔβλιψεν, καὶ ἕως αἰῶνος οὐκ ἀπεθήσουσιν τοῦ ῥήματος αὐτοῦ. καὶ μετὰ ταῦτα διέκρινεν εἰς πᾶσαν γῆν ἐπέβλεψεν, καὶ ἐνέπλησεν αὐτὴν τῶν ἀγαθῶν αὐτοῦ. ψυχὴν παντὸς ζώου ἐκάλυψεν τὸ πρόσωπον αὐτοῦ, καὶ εἰς αὐτὴν ἡ ἀποστροφὴ αὐτῶν.

ΚΕΦΑΛ. ιζ'. 17.

Κύριος ἔκλισεν ἐκ γῆς ἄνθρωπον, καὶ πάλιν ἀπέστρεψεν αὐτὸν εἰς αὐτήν. ἡμέρας ἀριθμοῦ, καὶ καιρὸν ἔδωκεν αὐτοῖς. καθ' αὐτοὺς ἐνίσχυσεν αὐτοὺς ἰσχύϊ, καὶ κατ' εἰκόνα αὐτοῦ ἐποίησεν αὐτούς. καὶ ἔθηκε τὸν φόβον αὐτοῦ πάσης σαρκὸς, καὶ κατακυριεύειν θηρίων, καὶ πετεινῶν. σκεῦος, καὶ γλῶσσαν, καὶ ὀφθαλμοὺς, ὦτα καὶ καρδίαν ἔδωκεν διανοεῖσθαι αὐτοῖς. πνεύματι συνέσεως ἐνέπλησεν αὐτούς, καὶ ἀγαθὰ καὶ κακὰ ὑπέδειξεν αὐτοῖς. ἔθηκεν τὸν ὀφθαλμὸν αὐτοῦ ἐπὶ τὰς καρδίας αὐτῶν, δεῖξαι αὐτοῖς τὸ μεγαλεῖον τῶν ὀργῶν αὐτοῦ. προσέθηκεν αὐτοῖς πνεύματι, καὶ νόμου ζωῆς ἐκληροδότησεν αὐτοῖς. σκληρὰν αἰῶνος ἔστησεν μετ' αὐτῶν, καὶ τὰ λείμματα αὐτοῦ ὑπέδειξεν αὐτοῖς. μεγαλεῖον δόξης εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν, καὶ δόξαν φωνῆς αὐτῶν ἤκουσεν τὸ οὖς αὐτῶν. καὶ εἶπεν αὐτοῖς· προσέχετε ἀπὸ παντὸς ἀδίκου. καὶ ἐνετείλατο αὐτοῖς, ἑκάστῳ περὶ τοῦ πλησίον. αἱ ὁδοὶ αὐτῶν ἐναντίον αὐτοῦ, σκληραὶ οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ. ἑκάστῳ ἔθνει διατέστησεν ἡγούμενον, καὶ μερὶς κυρίου ἰσραὴλ ἐστίν. ἔστιν πάντα τὰ ὄργα αὐτῶν ὡς ὁ ἥλιος ἐναντίον αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδιελεγεῖς ἐπὶ τὰς ὁδοὺς αὐτῶν. οὐ κεκρύβηται αἱ ἀδικίαι αὐτῶν ἀπ' αὐτοῦ, καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτῶν ἐναντι κυρίου. ἐλεημοσύνη ἀνθρώπου ὡς σφραγὶς μετ' αὐτοῦ, καὶ χεὶρ ἀνθρώπου ὡς κόρμα σωτηρήσει. μετὰ ταῦτα ἀναστήσεται, καὶ ἀνταποδώσει αὐτοῖς, καὶ τὸ ἀνταπόδομα αὐτῶν εἰς κεφαλὴν αὐτῶν ἀπέδωσεν. πλὴν μετανοοῦσιν ἔδωκεν ἐπάνοδον, καὶ παρεκάλεσεν ἐκλείποντας ὑπομονήν. ἐπίστρεφε πρὸς κύριον, καὶ ἀπόλειπε ἁμαρτίας, προσεύχου κατὰ πρόσωπον, καὶ σμίκρυνον πρόσκομμα, ἕπειγε πρὸς ὕψιστον, καὶ ἀπόστρεφε ἀπὸ ἀδικίας, καὶ σφόδρα μίσησον βδέλυγμα. ὕψιστον τίς αἰνέσει ἐν ᾅδου; ἀντὶ ζόντων καὶ ζώντων, καὶ διδόντων ἀνθομολόγησιν. ἀπὸ νεκροῦ, ὡς μὴ δὲ ὄντος ἀπόλυται ἐξομολόγησις. ζῶν καὶ ὑγιὴς αἰνέσει τὸν κύριον. ὡς μεγάλη ἡ ἐλεημοσύνη τοῦ κυρίου, καὶ ἐξιλασμὸς τοῖς ἐπιστρέφουσιν ἐπ' αὐτόν. σὺ γὰρ πάντα πάντας οἶδεν ἐν ἀνθρώποις, ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου. τί φωτεινότερον ἥλιος, καὶ τοῦτο ἐκλείπει. καὶ πονηρὰ ἐνθυμηθήσεται σὰρξ καὶ αἷμα, διότι ὕψος οὐρανοῦ αὐτὸς οὐ σκεπασθήσεται, καὶ οἱ ἄνθρωποι πάντες γῆ καὶ σποδός.

ΚΕΦΑΛ. ιη'. 18.

Ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισεν τὰ πάντα κοινῇ, κύριος μόνος δικαιωθήσεται. οὐθενὶ ἐξεπόιησεν ἐξαγγεῖλαι τὰ ὄργα αὐτοῦ, καὶ τὶς ἐξιχνιάσει τὰ μεγαλεῖα αὐτοῦ; κράτος μεγαλωσύνης αὐτοῦ τὶς ἐξαριθμήσεται; καὶ πότε ἐκλείψουσιν ἐκδιηγήσασθαι τὰ ἐλέη αὐτοῦ; οὐκ ἔστιν ἐλαττῶσαι, οὐδὲ προσθεῖναι, καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ θαυμάσια τοῦ κυρίου. ὅταν συντελέσῃ ὁ ἄνθρωπος, τότε ἄρχεται. καὶ ὅταν παύσηται, τότε ἀπορηθήσεται. τί ἄνθρωπος, καὶ τί ἡ χρῆσις αὐτοῦ; τί τὸ ἀγαθὸν αὐτοῦ, καὶ τί τὸ κακὸν αὐτοῦ; ἀριθμὸς ἡμερῶν ἀνθρώπου πολλὰ ἔτη ἐὰν τύχῃ. ὡς σταγὼν ὕδατος ἀπὸ θαλάσσης, καὶ ψῆφος ἄμμου, οὕτως ὀλίγα ἔτη ἐν ἡμέρᾳ αἰῶνος. διὰ τοῦτο ἐμακροθύμησε κύριος ἐπ' αὐτοῖς, καὶ ἐξέχεεν ἐπ' αὐτοὺς τὸ ἔλεος αὐτοῦ. εἶδεν καὶ ἐπέγνω τὴν κατατροφὴν αὐτῶν, ὅτι πονηρά. διὰ τοῦτο ἐπλήθυνεν τὸν ἐξιλασμὸν αὐτοῦ. ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ κυρίου ἐπὶ πᾶσαν σάρκα, ἐλέγχων καὶ παιδεύων, καὶ ἐλεῶν καὶ ἐπιστρέφων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ. τοὺς ἐκλεχομένους παιδείαν ἐλεεῖ, καὶ τοὺς κατανοοῦντας ἐπὶ τὰ κρίματα αὐτοῦ. τέκνον ἐν ἀγαθοῖς μὴ διῶς μωμον, καὶ ἐν πάσῃ δόσει λύπει λόγῳ. οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; οὕτως κρείσσων λόγος ἢ δόσις. οὐκ ἰδοὺ λόγος κρεῖσσον ἀγαθόν; καὶ ἀμφότερα πρὸς ἀνδρὶ ἐλεημονομένῳ. μωρὸς ἀχαρίστως ὀνειδιεῖ, καὶ δόσις βασκαίνει ἐκπίνει ὀφθαλμούς. πρὶν λαλῆσαι, μάνθανε, καὶ πρὸ ἀῤῥωστίας, θεράπευε. πρὸ κρίσεως δόκιμαζε αὐτὸν, καὶ ἐν ὥρᾳ ἐπισκοπῆς εὑρήσεις ἐξιλασμόν. πρὶν ἀῤῥωστῆσαί σε ταπείνωθητι, καὶ ἐν ἁμαρτήμασιν δεῖξον ἐπιστροφήν. μὴ ἐμποδισθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως, καὶ μὴ μείνῃς ἕως θανάτου δικαιωθῆναι. πρὶν εὔξασθαι ἑτοίμασον σεαυτόν, καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν κύριον. μνήσθητι θυμοῦ ἐν ἡμέρᾳ τελευτῆς, καὶ καιρὸν ἐκδικήσεως ἐν ἀποστροφῇ προσώπου. μνήσθητι καιρὸν λιμοῦ ἐν καιρῷ πλησμονῆς,

πτωχείαν

πλωχέαν. & γνλειαν γν ημβραις πλάστ. ἀκ πρωίθν ἕως ἑσπέρας μεταβάλλει καιρός, κ πάν τα δὲι ταχεινὰ γναν. λυρίσ. ἄνθρωπ & σοφὸς γν πασι δύλαβηθήσεται, καὶ γν ημβραις ἁμαρτιῶν πθοσέξει ἀκ πλημμελείας. πᾶς σωετὸς ἔγνω σοφίαν, καὶ θρ εὑρόντι αὐτὴν δώσει ὀξομολόγησιν. σωετοὶ γν λόγοις καὶ αὐτοὶ ἐνθρίσανθ, κ αὐώμβρησαν πρσιμίας ἀκριβεῖς ἐγκράτεια ψυχῆς. ὀπίσω γν ἐπθυμιῶν σου μὴ πορδύ, καὶ ἀκ γν ὀρέξεών σου κωλύου. ἐὰν χορτάσης τὴ ψυχή σου δυσκολίαν ὠθυμίας, ποιήσει σε ὠχαρμάτων ἐχθρῶν σου. μὴ δύφραίνου ἐπὶ πολλῇ τρυφῇ, μὴ πθοσλεθῆς συμβολῇ αὐτῆ. μὴ γίνου πλωχὸς συμβολοκοπῶν ἐκ δανεισμοῦ, καὶ οὐδὲν σοι δώσει γν μαρσιππέων.

ΚΕΦΑΛ. ιθ'. 19.

Ἐργάτης μέθυσος οὐ πλουτήσει. ὁ δὲ ἀθετῶν τὰ ὀλίγα, πίπτει μικρὸν πρὸ ἐσχάτου. οἶνος & κ γυναῖκες ἀκρατοῦσιν σωετοῦ, κ ὁ κολλώμενος & πόρναις τολμηρότερος ἔσται. σῆτες κ σκώληκες κληρονομήσουσιν αὐτὸν, καὶ ψυχὴ τολμηρὰ δραθήσεται. ὁ ταχὺ ἐμπιστεύων, κουφος καρδίᾳ, καὶ ἁμαρτάνων εἰς ψυχὴν αὐτοῦ πλημμελήσει. ὁ δύφραινόμενος & καρδίᾳ καταγνωσθήσεται, καὶ ὁ μισῶν λαλιὰν ἐλαττονᾶται καιρόν. μηδέποτε δώσῃς λόγον, κ οὐδὲν δώσει σοι ὁ μὴ ἐλαττονῶν. γν φίλον καὶ γν ἐχθρὸν μὴ διπλᾶ, καὶ ἐὰν μὴ δῷς σοι ἁμαρτίαν, μὴ ἄρχου λυπεῖν. ἀκήκοας γάρ σου, καὶ ἐφυλάξατό σε, καὶ γν καιρῷ μισήσει σε. ἀκήκοας λόγον, σωα ποθανέτω σοι, θάρσει, οὐ μὴ σε ῥήξει. ἀκ πθοσώπου λόγος ὠδινήσει μωρός, ὡς ἀκ πθοσώπου βρέφος ὃ πίκτασα. βέλος πεπηγὸς γν μηρῷ σαρκὸς, οὕτως λόγος γν καρδίᾳ μωροῦ. ἔλεγξον φίλον, μή ποτε οὐκ ἐποίησεν, καὶ ἐὰν ἐποίησεν μὴ ποτε πθοδῷ. ἔλεγξον γὰρ φίλον μή ποτε οὐκ εἶπεν, & ἐὰν εἶπεν γνῶναι, μὴ διπλοῦν σου. ἔλεγξον φίλον, πολάκις γὰρ γίνεται διαβολή, καὶ μὴ πάντι λόγῳ πίσδυε. ἔστιν ὀλισθαίνων, καὶ ὀκ ἀκ ψυχῆς, καὶ τίς ἐχ ἡμάρτησεν γν τῇ γλώσσῃ αὐτοῦ; ἔλεγξον τὸν πλησίον σου πρὸ ἀπειλῆσαι, καὶ δὸς τόπον νόμῳ ὑψίστου. πᾶσα σοφία φόβος κυρίου, κ γν πάσῃ σοφίᾳ ποίησις νόμου. καὶ οὐκ ἔστι σοφία πονηρίας ἐπιστήμη, κ ὀκ ἔστιν ὅπου βουλὴ ἁμαρτωλῶν φρόνησις. ἔστι πανουργία, καὶ αὕτη βδέλυγμα, & ἔστιν ἄφρων ἐλαττούμενος & σοφίᾳ. ἱερατεύων ἐλαττωμένῳ & γν σωέσει ἔμφοβος, ἡ πρόθυμος δύναται γν φρονήσει, κ πραθαίνων νόμου. ἔστι πανουργία ἀκριβὴς, καὶ αὕτη ἄδικος, καὶ ἔστι διαστρέφων χάριτα ἐκφαύσει ἱερίμα. ἔστι πονηρεύόμενος & συγκεκυφὼς μελανίᾳ, & τὰ γν ὄς αὐτοῦ πλήρης δόλου. συγκεκύφων πρόσωπον, καὶ ἐτερόκωφον, ὅπου ὀκ ἐπεγνώθη πθοφθάσει σε. καὶ ἐὰν ὑπὸ ἐλαττώματος ἰσχύος κωλυθῇ ἁμαρτεῖν, ἐὰν εὕρῃ καιρὸν κακοποιήσει. ἀκ ὁράσεως γνωσθήσεται ἀνήρ, κ ἀκ ἀπαντήσεως πθοσώπου γνωσθήσεται νόημα. σολισμὸς αὐδρός, & γέλως ὀδόντων, κ βῆμα ἀνθρώπου ἀναγγέλλει τὰ περὶ αὐτοῦ. ἔστιν ἔλεγχος ὃς ὀκ ἔστιν ὡραῖος, κ ἔστι σιωπῶν, κ αὐτὸς φρόνιμος.

ΚΕΦΑΛ. κ. 20.

Ὡς καλὸν ἐλέγξαι, ἢ θυμοῦσθαι, καὶ ὁ ἀνθομολογούμενος, ἀκ ἐλαττώσεως κωλυθήσεται. ὠθυμία δύνυχα ἀκπαρθιῶσαι νεανίδα, οὕτως ὁ πιῶν γν βίᾳ ἱερίματα. δῶρα σιωπῶν, οὐ γὰρ ἔχει ἀπόκρισιν, καὶ ἔστι σιωπὴν εἰδὼς καιρόν. ἄνθρωπ & σοφὸς σιγήσει ἕως καιροῦ, ὁ δὲ λαπίστης καὶ ἄφρων ὑπερβήσεται καιρόν. ὁ πλεοναζων λόγων βδελυχθήσεται, κ γν ἐξουσιαζόμενος & μισηθήσεται. ἔστιν δύσκλια γν κακοῖς αὐδρί, κ δῶρα εὕρεμα εἰς ἐλάττωσιν. ἔστι δόσις ἣ οὐ λυσιτελήσει σοι, καὶ ἔστι δόσις ἧς ἡ αὐταπόδομα διπλοῦν. ἔστιν ἐλάττωσις γνεκεν δόξης, καὶ ἔστιν ὃς ἀκ ταπεινώσεως ἦρε κεφαλήν. ἔστιν ἀγοράζων πολλὰ ὀλίγου, κ ἀκπεννύων αὐτὰ ἐπαπλάσιον. ὁ σοφὸς γν λόγῳ ἑαυτὸν πθοφιλῆ ποιήσει, καθεστὼς ἢ μωρὸν ἐκχυθήσονται. δόσις ἄφρονος οὐ λυσιτελήσει σοι, οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἀνθ' ἑνὸς πολλοί. ὀλίγα δώσῃ, καὶ πολλὰ ὀνειδίσει, καὶ αὐοίξει ἐν σώματι αὐτοῦ ὡς λάκκον. σκεῦος σκανιεῖ, καὶ αὔριον ἀπαιτήσει, μισητὸς ἄνθρωπ & ὁ τοιοῦτος. μωρὸς ὀρεῖ· οὐχ ὑπάρχει μοι φίλος, καὶ οὐκ ἔστι χάρις τοῖς ἀγαθοῖς μου. οἱ ἐσθίοντές μου ἄρτον μου φαῦλοι γλώσσῃ. πόσακις καὶ ὁσονοῦν καταγελάσονται αὐτοῦ. ὀλίσθημα ἐπὶ ἐδάφους μᾶλλον ἢ ἀκ γλώσσης, οὕτως πεσοῦσις κακοῦ ταχὺ ἥξει. ἄνθρωπ & ἄχαρις μῦθος ἀκαίρως, γν στόματι ἀπαιδεύτου γνλεχισθήσεται. ἀκ στόματος μωροῦ ἀκκλοκιμασθήσεται παραβολή, οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς. ἔστι κωλυόμενος ἁμαρτάνειν ἀκ γνλείας, καὶ γν τῇ ἀναπαύσει αὐτοῦ οὐ καταντυγήσεται. ἔστι ἀκλυόμενος τῇ ψυχῇ αὐτοῦ λίαν ἀχθούμενος, καὶ ἀκ ἄφρονος πθοσώπου ἀκλεῖ αὐτήν. ἔστι χαλεπὸς ἀχθοῦς ἐπαγγελόμενος φίλῳ, καὶ ἐκτίσας αὐτὸν ἐχθρὸν πλουτεῖ. μῶμος & πονηρὸς γν ἀνθρώπῳ ψεῦδος, γν στόματι ἀπαιδεύτου γνλεχισθήσεται. αἰσχὺν καλέπτης, ἡ γνλεχίζων φίλον, ἀμφότεροι δὲ ἀπώλειαν κληρονομήσουσιν. ἦθος ἀνθρώπου ψευδὲς ἀτιμία, καὶ ἡ ἀσχύνη αὐτοῦ μετ' αὐτοῦ γνλεχῶς. λόγοι παραβολῆς. σοφὸς γν λόγοις πθοάξει ἑαυτὸν, κ ἄνθρωπος φρόνιμος ἀρέσει μεγισᾶσιν. ὁ ὀργαζόμενος γλῶ αὐυψώσει θυμωνίαν αὐτοῦ, καὶ ὁ ἀρέσκων μεγισᾶσιν ἀφιλάσεται ἀδικίαν. ἐργία καὶ πλάνα ἀκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς θυμὸς γν στόματι ἀκτρέπει ἔλεγμός. σοφία κεκρυμμένη, κ θησαυρὸς ἄφανὴς, τίς ὠφέλεια γν ἀμφοτέροις;

κρείσσων

λειόσωμ ἄνθρωπος ἀρκρύπτωμ τὴν μωρίαν αὐτοῦ, ἢ ἄνθρωπ☉ ἀρκρύπτωμ τὴν ☾ρίαν αὐτ☉.

ΚΕΦΑΛ. κά. 21.

Τέκνον ἥμαρτόν, μὴ πρόσθῆς μηκέτ, καὶ περὶ τῶν προτέρων σε ἱκέτευε. ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε ἀπὸ ἁμαρτίας, ἐὰν γὰρ προσέλθῃς ἁψῇ τοῦ. ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς, ἀναιροῦντες ψυχὰς ἀνθρώπων. ὡς ῥομφαία δίστομος πᾶσα ἀνομία, τὴ πληγὴ αὐτῆς οὐκ ἔστιν ἴασις. κατάπληγμος καὶ ὕβρεις ὀρημώσουσιν πλοῦτον, οὕτως οἶκ☉ ὑπερηφάνου ἐρημωθήσεται. δίκησις πλουτοῦντος ἕως ὠτίων αὐτοῦ, καὶ ὁ κρίμας αὐτοῦ ἐγγὺς οὐ μὴ ἀποδιλῶ ὀργήσει. μισῶν ἐλεγμὸν γὰρ ἴχνει ἁμαρτωλοῦ, καὶ φοβούμεν☉ δίκριον ἐπιστρέψει γὰρ καρδία. γνωστὸς μακρόθεν ὁ δίκαιος γὰρ γλώσσῃ, ὁ δὲ νόημων οἶδεν γὰρ ☾ὸ ὀλιβαίνειμ αὐτόν. ὁ οἰκοδομῶν τ☾ οἰκίαν αὐτοῦ γὰρ χρήμασιν ἀλλοτρίοις, ὡς σωρὸν λίθους εἰς χειμῶνα. συναγωγὴ συνηγμένον σωρὸς ἀνόμων, καὶ ἡ σωτέλεια αὐτῶν φλὸξ πυρός. ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἐκ λίθων, καὶ ἐπ' ἐσχάτῳ αὐτῆς βάθρος ἅδου. ὁ φυλάσσων νόμον κατακρατεῖ τοῦ γνώσεως αὐτοῦ, καὶ συντέλεια τοῦ φόβου κυρίου ☾οφία. οὐ παιδευθήσεται ὃς δοκεῖ πανοῦργ☉. ἔστι πανουργία πεπληθυσμένη πικρίαν. γνῶσις ☾οφὸν ὡς κατακλυσμὸς πληθυνθήσεται, καὶ ἡ βουλὴ αὐτοῦ ὡς πηγὴ ζωῆς. ἐγκατακρυβὲν ὡς ἀγγεῖον συντετριμμένον, καὶ πᾶσαν γνῶσιν οὐ κρατήσει. λόγον σοφὸν ἐὰν ἀκούσῃ σωπήσῃμον, αἰνέσει αὐτὸν, καὶ ἐπ' αὐτὸν προσθήσει. ἥκουσεν ὁ ἀσεβὴς, καὶ ἐμίσησεν αὐτὸν, καὶ ἀπέστρεψεν αὐτὸν ὀπίσω τοῦ νότου αὐτοῦ. ἀγώνισις μωροῦ ὡς γὰρ ὁδὸς φορτίου, ὕβρις δὲ χείλους σωστὸν εὑρεθήσεται χάρις. σῶμα φρονίμου ζητηθήσεται γὰρ ἐκκλησίᾳ, καὶ ☾ὸν λόγον αὐτοῦ διανοηθήσεται γὰρ καρδίᾳ. ὡς οἶκ☉ ἠφανισμέν☉, οὕτως μωρῷ σοφία, καὶ γνῶσις ἀσυνέτου ἀδιεξέπαυστοι λόγοι. πτῶσιν γὰρ ποσὶν αὐοήτοις παιδεία, καὶ ὡς χειροπέδαι ὦδὶ χειρὸς δεξιᾶς. μωρὸς γὰρ γέλωτι αὐυφοῖ φωνὴν αὐτοῦ, αὐὴρ δὲ πανοῦργος μόλις ἡσυχῇ μειδιάσει. ὡς δόσιμ☉ χρυσὸν φρονίμῳ παιδεία, καὶ ὡς χελιδὼν ὦδὶ βραχίονι δεξιῷ. πρὸς μωρὸν ταχὺς εἰς οἰκίαν, ἄνθρωπ☉ δὲ πολύπειρ☉ αἰσχυνθήσεται ἀπὸ προσώπου. ἄφρων ἀπὸ θύρας πλατύνθη εἰς οἰκίαν, αὐὴρ δὲ πεπαιδευμέν☉ ἔξω στήσεται. ἀπαιδευσία ἀνθρώπου ἀκροᾶσθαι πρὸς θύραν, ὁ δὲ φρόνιμος βαρυνθήσεται ἀτιμίᾳ. χείλη ἀλλοτρίων γὰρ τόποις βαρυνθήσεται, λόγοι δὲ φρονίμων γὰρ ζυγῷ σταθήσονται. γὰρ σόφοις μωροῦ ἡ καρδία αὐτῶν, ἡ γὰρ ☾ὰ ☾οφῶν σόφα αὐτῶν. γὰρ ☾ῷ κατεράσθαι ἀσεβῆ τὸν ☾αταναῦ, αὐτὸς κατεράσται τῷ ἑαυτοῦ ψυχῷ. μολύνει τὴν ἑαυτοῦ ψυχὴν ὁ ψιθυρίζων, καὶ γὰρ προοικήσει μισηθήσεται.

ΚΕΦΑΛ. κβ'. 22.

Λίθῳ πρὸς λαλωμένῳ σωτελὴς θήσεται ὀκνηρός, πᾶς ὁ αὐαιρούμεν☉ αὐτὸν ἐκλυαίνει χεῖρα. αἰσχύνη πατρὸς γὰρ γήνεσι ἀπαιδεύτῳ, θυγάτηρ δὲ ὠφελήσει γίνεται. θυγάτηρ φρονίμη κληρονομήσει ὠφέλειαν αὐτῆς, καὶ ἡ κατισχύουσα εἰς λύπην γεννήσαντ☉. πατρὸς καὶ ἀνδρὸς καταισχύνει ἡ θρασεῖα, καὶ ὑπὸ ἀμφοτέρων ἀπομαθήσεται. μισητὴ γὰρ πανοῦργος, ἀκαιρος δίκησις. μάσιγξ, καὶ παιδεία γὰρ πᾶσι καιρῷ σοφίας. συγκλοπὴν ὄφρακον ὁ δικάσκων μωρὸν, ἀξιεγείρων καθεύδοντα ἐκ βαθέως ὕπνου. δικαίωμ☉ νυστάζοντος, ὁ δικαίωμ☉ μωρῷ, καὶ ὦδὶ σωτελείᾳ ὁρᾷ, τί ὄφελος; ὦδὶ νεκρῷ ἱλαῦσον, ἀξέλιπε γὰρ φῶς. καὶ ὦδὶ μωρῷ ἱλαῦσον, ἀξέλιπε γὰρ σωτῆρα. ἥλιον ἱλαῦσον ὦδὶ νεκρῷ ὅτι αὐεπαύσατο, τοῦ δὲ μωροῦ ὑπὲρ θάνατον ἡ ζωὴ πονηρά. πανθάνει νεκρὸς ἑπτὰ ἡμέρας, μωροῦ δὲ καὶ ἀσεβοῦς πᾶσαι αἱ ἡμέραι ☾ῆς ζωῆς αὐτοῦ. μετὰ ἄφρον☉ μὴ πληθύνης λόγον, καὶ πρὸς ἀσυνέτου μὴ πορεύου. φυλάξαι ἀπ' αὐτοῦ ἵνα μὴ κόπον ἔχῃς, καὶ οὐ μὴ μολυνθῇς γὰρ ☾ῷ ἐκλυαγμῷ αὐτοῦ. ἐκπλυνον ἀπ' αὐτοῦ, καὶ εὑρήσεις ἀνάπαυσιν, ☾ὸ μὴ ἀκκισάσης γὰρ τῇ ἀφροσύνῃ αὐτοῦ. ☾ὸν μόλιβδον τί βαρυνθήσεται; ☾ τί αὐτῷ ὄνομα ἀλλ' ἢ μωρός; ἄμμον καὶ ἅλας καὶ βῶλον σιδήρου εὐχερέστερον ☾ωγνεγκεῖν, ἢ ἄνθρωπον ἀσύνετον. ἱμάντωσις ξυλίνη γὰρ δεδεμένη εἰς οἰκοδομὴν γὰρ συνεστεσμῷ ὁ δαλυθήσεται, οὕτως καρδία ἐσπερυγμένη ὦδὶ διανοήματ☉ βουλῆς γὰρ καιρῷ ὁ διελιάσει. καρδία ἡδρασμένη ὦδὶ διανοίας συνέσεως, ὡς κόσμος ψαμμωτὸς τοίχῳ ξυστόν. χάρακος ὦδὶ μετεώρου διέμενοι κατγάνται ἀνέμου οὐ μὴ ὑπομείνωσι, οὕτως καὶ καρδία διελὴ ὦδὶ διανοήματ☉ μωρὸν κατγάναι πάντος φόβου οὐ μὴ ὑπομείνῃ. ὁ νύσσων ὀφθαλμὸν κατσύρει διάκρυα, ☾ νύσσων καρδίαν ἐκφαίνει αἴσθησιν. βάλλων λίθῳ ὦδὶ πτεινὰς, ἐποβεῖ αὐτὰς, καὶ ὁ ὀνειδίζων φίλον διαλύσει φιλίαν. ὦδὶ φίλον ἐὰν πάσῃς ῥομφαίαν, μὴ ἀφελπίσῃς. ἔστι γὰρ ἐπανόδιος. ὦδὶ φίλον ἐὰν οἰξῇς σόμα, μὴ δύλαβηθῇς. ἔστι γὰρ διαλλαγὴ πλὴν ὀνειδισμὸν, καὶ ὑπερηφανίας, ἢ μυστηρίου ἀποκαλύψεως, ἢ πληγῆς δολίας. γὰρ τούτοις ἀποφεύξεται πᾶς φίλος πίστιν λυπήσας. γὰρ πηχείᾳ μετὰ τοῦ πλησίον, ἵνα γὰρ τοῖς ἀγαθοῖς αὐτοῦ ὁμοῦ πλησθῇς. γὰρ καιρῷ θλίψεως διάμενε ἐαυτῷ, ἵνα γὰρ τῇ κληρονομίᾳ αὐτοῦ συγκληρονομήσῃς. πῦρ πυρὸς ἀτμὶς καμίνου, καὶ καπνὸς, οὕτως πρὸ αἱμάτων λοιδορίαι. φίλον σκεπάσαι ἐκ αἰσχυνθήσομαι, καὶ ἀπὸ προσώπου αὐτοῦ οὐ μὴ κρυβῶ. ☾ὴ ἐὰν κακά μοι συμβῇ διὰ αὐτ', πᾶς ὁ ἀκούων φυλάξει ἀπ' αὐτ'. τίς δώσει μοι ὦδὶ σόμα με φυλακὴν, ☾ ὦδὶ τ χειλέων με σφραγίδα πανοῦργον; ἵνα μὴ πέσω ἀφ' αὐτ', ἡ ἡ γλῶσσά με ἀπολέσῃ με.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. κγ'. 23.

Κύριε πατὴρ καὶ δέσποτα ζωῆς μου, μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐτῶν, μὴ ἀφῇς με πορεύεσθαι ἐν αὐτοῖς. τίς δώσει ἐπὶ τὸ στόμα μου μάστιγας, καὶ ἐπὶ τὴν καρδίαν μου παιδείαν σοφίας, ἵνα ἐπὶ τοῖς ἀγνοήμασίν μου μὴ φείσωνται, καὶ οὐ μὴ παρῇ τὰ ἁμαρτήματα αὐτῶν, ὅπως μὴ πληθύνωσιν ἐξ ἀγνοιαί μου, καὶ ἐξ ἁμαρτίαι μου πλεονάσωσιν, καὶ πεσοῦμαι ἐνώπιον τῶν ἐχθρῶν, καὶ χαρεῖταί μοι ὁ ἐχθρός μου. κύριε πάτερ καὶ θεὲ ζωῆς μου, μετεωρισμὸν ὀφθαλμῶν μὴ δῷς μοι, καὶ ἐπιθυμίαν ἀπόστρεψον ἀπ' ἐμοῦ. κοιλίας ὄρεξις, καὶ σωμάτων ἁσμός, μὴ καταλάβέτωσάν με, καὶ ψυχῇ ἀναισθῆ μὴ παραδῷς με, πάσης ἁμαρτίας σώματος. πάσης ἁμαρτίας σώματος ἀπούσατε τέκνα, καὶ ὁ φυλάσσων οὐ μὴ ἁλῷ. ἐν τοῖς χείλεσιν αὐτοῦ καταλειφθήσεται ἁμαρτωλός, καὶ λοίδορος, καὶ ὑπερήφανος σκανδαλισθήσονται ἐν αὐτοῖς. ὄρκων μὴ ἐθίσῃς τὸ στόμα σου, καὶ ὀνομασίαν τοῦ ἁγίου μὴ συνεθισθῇς. ὥσπερ γὰρ οἰκέτης βασανιζόμενος ἐν μώλωπος οὐκ ἐλαφρωθήσεται, οὕτως καὶ ὁ ὀμνύων, καὶ ὀνομαζων ἐξ ἁμαρτίας ὁ μὴ καθαρισθῇ. ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, καὶ οὐκ ἀφεσθήσεται ἀπὸ τοῦ οἴκου αὐτοῦ μάστιξ. ἐὰν πλημμελήσῃ ἁμαρτία αὐτοῦ ἐπ' αὐτῷ, καὶ ἐνώπιόν μου ἥμαρτεν δίκαιος. καὶ εἰ ἀγνοίᾳ ὤμοσεν, ὁ δικαιωθήσεται. πλησθήσεται γὰρ ἀπὸ γωγῆς ὁ οἶκος αὐτοῦ. ἔστι λέξις ἀπαπόδειλημμένη θανάτου, μὴ εὑρεθήτω ἐν κληρονομίᾳ Ἰακώβ. ἀπὸ γὰρ ἀσεβῶν ταῦτα πάντα ἀφεσθήσεται, καὶ ἐν ἁμαρτίαις σου οὐκ ἐγκυλισθήσονται, ἀπαιδευσίαν ἀσυρῇ μὴ συνεθίζῃς τὸ στόμα σου, ἔστιν γὰρ ἐν αὐτῇ λογισμὸς ἁμαρτίας. μνήσθητι πατρὸς καὶ μητρός σου, ἀνὰ μέσον γὰρ μιγισάντων συνεδρεύεις, μήποτε ἐπιλάθῃς ἐνώπιον αὐτῶν, καὶ ἐν ἐθισμῷ σε μωραν θῇς, καὶ θελήσεις εἰ μὴ ἐγεννήθης, καὶ τὴν ἡμέραν τοῦ γενέσθαι σε μὴ καταράσῃ. ἀνθρώπου συνεθιζομένου λόγοις ὀνειδισμοῦ ἐν πάσαις τοῖς ἡμέραις αὐτοῦ ὁ μὴ παιδευθῇ. δύο εἴδη πληθύνουσιν ἁμαρτίας, καὶ τὸ τρίτον ἐπάξει ὀργήν. ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον, ὃ μὴ σβεσθῇ ἕως ἂν καταναλωθῇ. ἀνθρώπου πόρνος ἐν σώματι σαρκὸς αὐτοῦ ὁ μὴ πάυσηται, ἕως ἂν ἐκκαύσῃ πῦρ. ἀνθρώπῳ πόρνῳ πᾶς ἄρτος ἡδύς, ὁ μὴ κοπάσῃ ἕως ἂν τελευτήσῃ. ἀνθρώπου πορευόμενον ἐπὶ κλίνης αὐτοῦ, λέγων ἐν τῇ ψυχῇ αὐτοῦ· τίς με ὁρᾷ; σκότος κύκλῳ μου, καὶ οἱ τοῖχοί με καλύπτουσιν, καὶ οὐδείς με ὁρᾷ, τί δύναμαι; τὸν ἁμαρτωλὸν μὴ ὁ μὴ μνησθήσεται ὁ ὕψιστος, καὶ ὀφθαλμοὶ ἀνθρώπου ὁ φόβος αὐτοῦ. καὶ οὐκ ἔγνω ὅτι ὀφθαλμοὶ κυρίου μυριοπλασίως ἥλιός φωτεινότεροι, ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων, καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη. πρὸ γὰρ τοῦ κτισθῆναι τὰ πάντα ἔγνωσται αὐτῷ, οὕτως καὶ μετὰ τὸ συντελεσθῆναι. οὗτος ἐν πλατείαις πόλεως ἐκκαυθήσεται, καὶ ὃν ἂν καταλάβῃ πυρὶ δαπανήσει. οὕτως καὶ γυνὴ καταλιποῦσα τὴν ἄνδρα, καὶ παραστᾶσα κληρονόμον ἐξ ἀλλοτρίου. πρῶτον μὲν γὰρ ἐν νόμῳ ὑψίστου ἠπείθησεν, καὶ δεύτερον εἰς ἄνδρα ἑαυτῆς ἐπλημμέλησεν, καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη, ἐξ ἀλλοτρίου ἀνδρὸς τέκνα παρέσησεν. αὕτη ἐν ἐκκλησίᾳ ἐξαχθήσεται, καὶ ἐπὶ τὰ τέκνα αὐτῆς ἐπισκοπὴ ἔσται. ὃ δεδιώσασιν τὰ τέκνα αὐτῆς εἰς ῥίζαν, καὶ οἱ κλάδοι αὐτῆς ὃ δώσουσιν καρπόν. καὶ καταλείψει εἰς κατάραν τὸ μνημόσυνον αὐτῆς, καὶ τὸ ὄνειδος αὐτῆς οὐκ ἐξαλειφθήσεται. καὶ ἐπιγνώσονται οἱ καταλειφθέντες, ὅτι οὐθὲν κρεῖττον φόβου κυρίου, καὶ τί οὐθὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς κυρίου.

Αἴνεσις Σοφίας. ΚΕΦΑΛ. κδ'. 24.

ἡμῶν. ὑμεῖς δὲ μὴ φοβηθῆτε ἀπ' αὐτῶν. ὡς δὲ ἐπαύσατο λαλῶν, ἐνέπλαρε εἰς αὐτοὺς ἄφνω, καὶ σωτηρίαν σήρων, καὶ ἡ παρεμβολὴ αὐτῶν ἐνώπιον αὐτῶν. καὶ ἐδίωκον αὐτοὺς ἐν τῇ καταβάσει Βαιθωρὼν ἕως τοῦ πεδίου, καὶ ἔπεσον ἀπ' αὐτῶν εἰς ἄνδρας ὀκτακοσίους. οἱ δὲ λοιποὶ ἔφυγον εἰς γῆν φυλιστιείμ, καὶ ἤρξατο ὁ φόβος Ἰούδα, καὶ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἡ πτόησις ἐπὶ πᾶν ἀδὴ τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν. καὶ ἤγγισεν ἕως τοῦ Βασιλέως τὸ ὄνομα αὐτοῦ, καὶ ἐν τῷ παρατάξει Ἰούδα ἐξηγεῖτο πάντα ἔθνος. ὡς δὲ ἤκουσεν αὐτίοχος ὁ Βασιλεὺς τοὺς λόγους τούτους, ὠργίσθη θυμῷ, καὶ ἀπέστειλε, καὶ συνήγαγε τὰς δυνάμεις πάσας τῆς Βασιλείας αὐτοῦ, παρεμβολὴν ἰσχυρὰν σφόδρα, καὶ ἤνοιξε τὸ γαζοφυλάκιον αὐτοῦ, καὶ ἔδωκεν ὀψώνια ταῖς δυνάμεσιν αὐτοῦ εἰς ἐνιαυτὸν, καὶ ἐνετείλατο αὐτοῖς εἶναι ἑτοίμους εἰς πᾶσαν χρείαν. καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ἀργύριον ἀπὸ τῶν θησαυρῶν, καὶ οἱ φορολόγοι τῆς χώρας ὀλίγοι, χάριν τῆς χρείας καὶ τῆς πληγῆς, ἧς ἐπέσκηψεν ἐν τῇ γῇ τοῦ μὴ εἶναι τὰ νόμιμα, ἃ ἦσαν ἀπ' ἡμερῶν τῶν πρώτων, καὶ ἐφοβήθη μὴ οὐκ ἔσται ὡς ἅπαξ, καὶ δῶρα εἰς τὰς δαπάνας, καὶ τὰ δόματα, ἃ ἐδίδου ἐμπροσθεν δαψιλεῖ χειρί, καὶ ἐπερίσσευεν ὑπὲρ τοὺς Βασιλεῖς τοὺς πρώτους δαψιλεῖ χειρί. καὶ ἠπορεῖτο τῇ ψυχῇ αὐτοῦ σφόδρα, καὶ ἐβουλεύσατο τοῦ πορευθῆναι εἰς τὴν Περσίδα, καὶ λαβεῖν τοὺς φόρους τῶν χωρῶν, καὶ συναγαγεῖν ἀργύριον πολύ. καὶ κατέλιπε Λυσίαν ἄνθρωπον ἐνδοξον, ἐκ ῥίζης τῆς Βασιλείας ἐπὶ τῶν πραγμάτων τοῦ Βασιλέως ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου ἕως τῶν ὁρίων Αἰγύπτου, καὶ τρέφειν αὐτίοχον τὸν ἱὸν αὐτοῦ, ἕως τοῦ παραγενέσθαι αὐτόν. καὶ παρέδωκεν αὐτῷ τὰς ἡμίσεις τῶν δυνάμεων, καὶ τοὺς ἐλέφαντας, καὶ ἐνετείλατο αὐτῷ περὶ πάντων ὧν ἐβούλετο, καὶ περὶ τῶν κατοικούντων τὴν Ἰουδαίαν καὶ Ἱερουσαλήμ, ἀποστεῖλαι ἐπ' αὐτοὺς δύναμιν, τοῦ ἐκκρίψαι καὶ ἐξᾶραι τὴν ἰσχὺν Ἰσραὴλ, καὶ τὸ κατάλειμμα Ἱερουσαλήμ, καὶ ἆραι τὸ μνημόσυνον αὐτῶν ἀπὸ τοῦ τόπου, καὶ κατοικίσαι υἱοὺς ἀλλογμοὺς ἐν πάσαις τοῖς ὁρίοις αὐτῶν, καὶ κατακληροδοτῆσαι τὴν γῆν αὐτῶν. καὶ ὁ Βασιλεὺς παρέλαβε τὰς ἡμίσεις τῶν δυνάμεων τὰς καταλειφθείσας, καὶ ἀπῆρεν ἀπὸ αὐτοκείας ἀπὸ πόλεως Βασιλείας αὐτοῦ ἔτους ἑβδόμου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ. καὶ διεπόρευσε τὸν Εὐφράτην ποταμὸν, καὶ διεπορεύθη τὰς ἐπάνω χώρας. καὶ ἐπέλεξε Λυσίας Πτολεμαῖον τὸν Δορυμμένους, καὶ Νικάνορα, καὶ Γοργίαν ἄνδρας δυνατοὺς τῶν Φίλων τοῦ Βασιλέως, καὶ ἀπέστειλε μετ' αὐτῶν τεσσαράκοντα χιλιάδας ἀνδρῶν, καὶ ἑπτακισχιλίαν ἵππον, τοῦ ἐλθεῖν εἰς γῆν Ἰούδα, καὶ καταφθεῖραι αὐτὴν κατὰ τὸν λόγον τοῦ Βασιλέως. καὶ ἀπῆραν σὺν πάσῃ δυνάμει αὐτῶν, καὶ ἦλθον καὶ παρενέβαλον πλησίον ἐμμαοὺμ ἐν τῇ γῇ τῇ πεδινῇ. καὶ ἔγνωσαν οἱ ἔμποροι τῆς χώρας τὸ ὄνομα αὐτῶν, καὶ ἔλαβον ἀργύριον, καὶ χρυσίον πολὺ σφόδρα, καὶ παῖδας, καὶ ἦλθον εἰς τὴν παρεμβολὴν τοῦ λαβεῖν τοὺς υἱοὺς Ἰσραὴλ εἰς παῖδας. καὶ προσετέθησαν πρὸς αὐτοὺς δυνάμεις συρίας, καὶ γῆς ἀλλοφύλων. καὶ εἰσῆλθον Ἰούδαν, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ὅτι ἐπλήθυνθη τὰ κακὰ, καὶ αἱ δυνάμεις παρεμβάλλουσιν ἐν τοῖς ὁρίοις αὐτῶν. καὶ ἐπέγνωσαν τοὺς λόγους τοῦ Βασιλέως, οὓς ἐνετείλατο ποιῆσαι τῷ λαῷ εἰς ἀπώλειαν, καὶ συντέλειαν. καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· ἀναστήσωμεν τὴν καθαίρεσιν τοῦ λαοῦ ἡμῶν, καὶ πολεμήσωμεν περὶ τοῦ λαοῦ ἡμῶν, καὶ τῶν ἁγίων. καὶ ἠθροίσθη ἡ συναγωγὴ τοῦ εἶναι ἑτοίμους εἰς πόλεμον, καὶ τοῦ προσεύξασθαι, καὶ αἰτῆσαι ἔλεον καὶ οἰκτιρμούς. καὶ Ἱερουσαλὴμ ἦν ἀοίκητος ὡς ἔρημος, οὐκ ἦν ὁ εἰσπορευόμενος, καὶ ἐκπορευόμενος ἐκ τῶν γενημάτων αὐτῆς. καὶ τὸ ἁγίασμα κατεπατεῖτο, καὶ υἱοὶ ἀλλογμῶν ἐν τῇ ἄκρᾳ, κατάλυμα τοῖς ἔθνεσι, καὶ ἀφῃρέθη τέρψις ἀπὸ Ἰακώβ. καὶ ἀφείλετο αὐλὸς καὶ κιθάρα. καὶ συνήχθησαν, καὶ ἦλθοσαν εἰς Μασσηφὰ κατέναντι Ἱερουσαλήμ, ὅτι τόπος προσεύχης ἐν Μασσηφὰ τὸ πρότερον τοῦ Ἰσραήλ. καὶ ἐνήστευσαν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ περιεβάλοντο σάκκους, καὶ ἐπέσπαρτο σποδὸς ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ διερρήξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ νόμου περὶ ὧν ἐξηρεύνων τὰ ἔθνη, τοῦ ἐπιγράφειν ἐπ' αὐτῶν τὰ ὁμοιώματα τῶν εἰδώλων αὐτῶν, καὶ ἔλεγκαν τὰ ἱμάτια τῆς ἱερωσύνης, καὶ τὰ πρωτογενήματα καὶ τὰς δεκάτας. καὶ ἤγειραν τοὺς ναζιραίους, οἱ ἐπλήρωσαν τὰς ἡμέρας, καὶ ἐβόησαν φωνῇ εἰς τὸν οὐρανὸν λέγοντες· τί ποιήσωμεν τούτοις, καὶ ποῦ αὐτοὺς ἀπαγαγωμεν; καὶ τὰ ἅγιά σου κατεπεπάτηται, καὶ βεβήλωται, καὶ οἱ ἱερεῖς σου ἐν πένθει καὶ ταπεινώσει. καὶ ἰδοὺ τὰ ἔθνη συνήχθησαν ἐφ' ἡμᾶς τοῦ ἐξᾶραι ἡμᾶς. σὺ οἶδας, ἃ λογίζονται ἐφ' ἡμᾶς, πῶς δυνησόμεθα ὑποστῆναι πρόσωπον αὐτῶν, ἐὰν μὴ σὺ βοηθήσῃς ἡμῖν; καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐβόησαν φωνῇ μεγάλῃ. καὶ μετὰ ταῦτα κατέστησεν Ἰούδας ἡγουμένους τοῦ λαοῦ χιλιάρχους, καὶ ἑκατοντάρχας, καὶ πεντηκοντάρχας, καὶ δεκάρχους, καὶ εἶπεν τοῖς οἰκοδομοῦσιν οἰκίας, καὶ μνηστευομένοις γυναῖκας, καὶ φυτεύουσιν ἀμπελῶνας, καὶ δειλοῖς ἀποστρέφειν ἕκαστον εἰς τὸν οἶκον αὐτοῦ καὶ τὸν νόμον. καὶ ἀπῆρεν ἡ παρεμβολὴ, καὶ παρενέβαλε κατὰ νότον ἐμμαούμ. καὶ εἶπεν Ἰούδας· περιζώσασθε, καὶ γίνεσθε εἰς υἱοὺς δυνατούς, καὶ γίνεσθε ἕτοιμοι εἰς τὸ πρωΐ, τοῦ πολεμῆσαι ἐν τοῖς ἔθνεσι τούτοις τοῖς συνηγμένοις ἐφ' ἡμᾶς, ἐξᾶραι ἡμᾶς, καὶ τὰ ἅγια ἡμῶν. ὅτι κρεῖσσον ἡμᾶς ἀπολέσθαι ἐν

πο-

τοῦ πολέμου, ἢ ὥσθλεῖν ὡδὶ τὰ ἔθνη κατὰ τὸ ἔθνους ἡμῶν, καὶ τῶν ἁγίων. ὡς δ' αὖ ἦ θέλημα ἐν οὐ
ρανῷ, οὕτω ποιήσει.

ΚΕΦΑΛ. δ'. 4.

ΚΑὶ παρεγένετο γοργίας τῶν τακισχιλίους ἄνδρας, καὶ χιλίαν ἵππον ἐκλεκτὴν, καὶ ἀπή
ρχον ἡ παρεμβολὴ νυκτὸς ὥς τε ὥσθλεῖν ὡδὶ τὴν παρεμβολὴν τῶν ἰουδαίων, καὶ πατα
ξαι αὐτοὺς ἄφνω. καὶ οἱ ἡμῖν τῆς ἄκρας ἦσαν αὐτῷ ὁδηγοί. καὶ ἤκουσεν ἰούδας καὶ ἀπῆρεν αὐ
τὸς, καὶ οἱ δυνατοὶ πατάξαι τὴν δύναμιν τοῦ βασιλέως τὴν ἐν ἐμμαούμ, ἕως ἔτι ἡ δύναμις
ὀλιγοστὴ ἦσαν ἀπὸ τῆς παρεμβολῆς. καὶ ἦλθε γοργίας εἰς τὴν παρεμβολὴν ἰούδα νυκτὸς.
καὶ οὐδένα εὗρε. καὶ ἐζήτει αὐτοὺς ἐν τοῖς ὄρεσιν, ὅτι εἶπε· φεύγουσιν οὗτοι ἀφ' ἡμῶν. καὶ ἦ
μα τῇ ἡμέρᾳ ὤφθη ἰούδας ἐν τῷ πεδίῳ ἐν τρισχιλίοις ἀνδράσι, πλὴν καλυμμάτων καὶ μα
χαιρῶν οὐκ εἶχον, καθὼς ἐβούλοντο. καὶ εἶδον τὴν παρεμβολὴν ἐθνῶν ἰσχυρὰν, τεθωρακισμένην, καὶ
ἵππον κυκλοῦσαν αὐτὴν, καὶ οὗτοι δι' ἀσκητοὶ πολέμου. καὶ εἶπεν ἰούδας τοῖς ἀνδράσι, τοῖς
μετ' αὐτοῦ· μὴ φοβεῖσθε τὸ πλῆθος αὐτῶν, καὶ τὸ ὅρμημα αὐτῶν μὴ δειλωθῆτε. μνήσθητε ὡς
ἐσώθησαν οἱ πατέρες ἡμῶν ἐν θαλάσσῃ ἐρυθρᾷ, ὅτε ἐδίωξεν αὐτοὺς φαραὼ ἐν δυνάμει. καὶ
νῦν βοήσωμεν εἰς τὸν οὐρανὸν εἰ ὠφελήσει ἡμᾶς, καὶ μνησθήσεται διαθήκης πατέρων, καὶ
συντρίψει τὴν παρεμβολὴν ταύτην κατὰ πρόσωπον ἡμῶν σήμερον. καὶ γνώσεται πᾶν τὰ
τὰ ἔθνη, ὅτι ἔστιν ὁ λυτρούμενος, καὶ σώζων τὸν ἰσραήλ. καὶ ἦραν οἱ ἀλλόφυλοι τοὺς ὀφθαλμοὺς
αὐτῶν, καὶ εἶδον αὐτοὺς ὁρχουμένους ἐξ ἐναντίας, καὶ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς εἰς πόλεμον,
καὶ ἐγκατέλιπον οἱ μετὰ ἰούδα, καὶ συνῆψαν καὶ συνετρίβησαν τὰ ἔθνη, καὶ ἔφυγον εἰς τὸ
πεδίον. οἱ δὲ ἔσχατοι αὐτοὺ ἔπεσον ἐν ῥομφαίᾳ, καὶ ἐδίωξαν αὐτοὺς ἕως ἀσαρημὼθ, καὶ
ἕως τῶν πεδίων τῆς ἰδουμαίας καὶ ἀζώτου, καὶ ἰαμνίας. καὶ ἔπεσον αὐτῶν εἰς ἄνδρας τρι
σχιλίους. καὶ ἐπέστρεψεν ἰούδας, καὶ ἡ δύναμις ἀπὸ τοῦ διώκειν ὄπισθεν αὐτῶν, καὶ εἶπε πρὸς
τὸν λαόν· μὴ ὠρθυμήσητε τῶν σκύλων, ὅτι πόλεμος ἐξ ἐναντίας ἡμῶν, καὶ γοργίας καὶ ἡ δύ
ναμις ἐν τῷ ὄρει ἐγγὺς ἡμῶν, ἀλλὰ στῆτε νῦν ἐναντίον τῶν ἐχθρῶν ἡμῶν, καὶ πολεμήσατε αὐ
τοὺς. καὶ μετὰ ταῦτα λήψεσθε τὰ σκύλα μετὰ παῤῥησίας. ἔτι λαλοῦντος ἰούδα τοῦτα, ὤφ
θη μέρος τι ἐκκύπτον ἐκ τοῦ ὄρους, καὶ εἶδον ὅτι τετρόπωνται, καὶ ἐμπυρίζουσι οἱ περὶ ἰούδαν
τὴν παρεμβολὴν. ὁ γὰρ καπνὸς θεωρούμενος ἐφανέριζε τὸ γεγονός. οἱ δὲ ταῦτα συνιδόντες
ἐδειλώθησαν σφόδρα. συνιδόντες δὲ καὶ τὴν ἰούδα παρεμβολὴν ἐν τῷ πεδίῳ ἑτοίμην
εἰς παράταξιν, ἔφυγον πάντες εἰς γῆν ἀλλοφύλων. καὶ αὐτὸς ἰούδας ὠδὶ τὴν σκυλείαν
ἡ παρεμβολῆς, καὶ ἔλαβον χρυσίον πολὺ, καὶ ἀργύριον, καὶ ὑάκινθον, καὶ πορφύραν θαλασ
σίαν, καὶ πλοῦτον μέγαν. καὶ ὑποστρέψαντες ὕμνουν, καὶ ἐξηγόρευον εἰς οὐρανὸν, ὅτι ἀγαθὸν, ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ ἐγένετο σωτηρία μεγάλη τῷ ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ὅσοι
δὲ τῶν ἀλλοφύλων διεσώθησαν, παρεγένοντο ἀπήγγειλαν τῷ λυσίᾳ πάντα τὰ συμβε
βηκότα. ὁ δὲ ἀκούσας συνεχύθη, καὶ ἤθυμεν, ὅτι οὐχ οἷα ἤθελε τοιαῦτα γεγόνει τῷ ἰσραὴλ, καὶ
οὐχ οἷα ἐνετείλατο αὐτῷ ὁ βασιλεὺς τοιαῦτα ἐξέβη. καὶ ἐν τῷ ὁρχωμίῳ ἐνιαυτῷ τῷ σωτελέ
χησεν ὁ λυσίας ἀνδράσι ἐκλεκτοῖς ξ' χιλιάδας, καὶ πεντακισχιλίαν ἵππον, ὥστε ἐκπολεμῆ
σαι ἰδουμαίην. καὶ ἦλθον εἰς τὴν ἰδουμαίαν, καὶ παρενέβαλον ἐν βαιθσούροις, καὶ συνήντη
σεν αὐτοῖς ἰούδας ἐν δέκα χιλιάσιν ἀνδράσι, καὶ εἶδε τὴν παρεμβολὴν ἰσχυρὰν, καὶ προσηύ
ξατο, καὶ εἶπεν· εὐλογητὸς εἶ ὁ σωτὴρ τοῦ ἰσραὴλ, ὁ συντρίψας τὸ ὅρμημα τοῦ δυνατοῦ ἐν χειρὶ
τοῦ δούλου σου δαβίδ, καὶ παρέδωκας τὴν παρεμβολὴν τῶν ἀλλοφύλων εἰς χεῖρας ἰωναθὰν
υἱοῦ σαούλ, καὶ τοῦ αἴροντος τὰ σκεύη αὐτοῦ, συγκλεῖσον τὴν παρεμβολὴν ταύτην ἐν χειρὶ λαοῦ
σου ἰσραὴλ, καὶ αἰσχυνθήτωσαν ἐπὶ τῇ δυνάμει, καὶ τῇ ἵππῳ αὐτῶν. δὸς αὐτοῖς δειλίαν, καὶ
πῆξον θράσος ἰσχύος αὐτῶν, καὶ σαλευθήτωσαν τῇ συντριβῇ αὐτῶν. βαλὲ αὐτοὺς ῥομ
φαίᾳ ἀγαπώντων σε, καὶ αἰνεσάτωσάν σε πάντες οἱ ἐγγύτατοι τὸ ὄνομά σου ἐν ὕμνοις. καὶ συνε
βαλον ἀλλήλοις, καὶ ἔπεσον ἐκ τῆς παρεμβολῆς λυσίᾳ εἰς πεντακισχιλίους ἄνδρας, καὶ ἔπεσον
ἐξ ἐναντίας αὐτῶν. ἐδίωξε δὲ λυσίας τὴν γνωμολογίαν προπὴν ἐν αὐτοῦ συντάξεως, ἐν δὲ ἰού
δᾳ τὸ γεγραμμένον θάρσος, καὶ ὡς ἕτοιμοί εἰσιν ἢ ζῆν, ἢ τεθνάναι γενναίως, ἀπῆρεν εἰς αὐτὰ
χειαν, καὶ ἐξηγολόγει, καὶ πλεονασμὸς τὸν γραπτὸν ἐλογίζετο πάλιν γενηθῆναι
παραγενέσθαι εἰς τὴν ἰουδαίαν. εἶπε δὲ ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ· ἰδοὺ συνετρίβησαν οἱ ἐχ
θροὶ ἡμῶν, ἀναβῶμεν καθαρίσαι τὰ ἅγια, καὶ ἐγκαινίσαι. καὶ συνήχθη ἡ παρεμβολὴ πᾶσα,
καὶ ἀνέβησαν εἰς ὄρος σιών, καὶ εἶδον τὸ ἁγίασμα ἠρημωμένον, καὶ τὸ θυσιαστήριον βεβηλωμέ
νον, καὶ τὰς πύλας κατακεκαυμένας, καὶ ἐν ταῖς αὐλαῖς φυτὰ πεφυκότα ὡς ἐν δρυμῷ, ἢ ὡς
ἐν ἑνὶ τῶν ὀρέων, καὶ τὰ παστοφόρια καθῃρημένα, καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐκό
ψαντο κοπετὸν μέγαν, καὶ ἐπέβαλον σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, καὶ ἔπεσον ἐπὶ πρόσω
πον ἐπὶ τὴν γῆν, καὶ ἐσάλπισαν τοῖς σάλπιγξι τῶν σημασιῶν, καὶ ἐβόησαν εἰς τὸν οὐρανόν.
τότε ἐπέταξεν ἰούδας ἀνδράσι πολεμεῖν τοὺς ἐν τῇ ἄκρᾳ ἕως οὗ καθαρίσωσι τὰ ἅγια. καὶ

ἐπελέξατο

ἐπέλεξεν ἰδρεῖς ἀμώμους, θελητὰς νόμου, καὶ ἐκαθάρισαν τὰ ἅγια, καὶ ἦραν τοὺς λίθους τοῦ μιασμοῦ εἰς τόπον ἀκάθαρτον, καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσιαστηρίου ὁλοκαυτώσεως τοῦ βεβηλωμένου τί αὐτῷ ποιήσωσι. καὶ ἔπεσεν αὐτοῖς βουλὴ ἀγαθὴ καθελεῖν αὐτό, μή ποτε γένηται αὐτοῖς εἰς ὄνειδος, ὅτι ἐμίανεν τὰ ἔθνη αὐτό. καὶ καθεῖλον τὸ θυσιαστήριον, καὶ ἀπέθεντο τοὺς λίθους ἐν τῷ ὄρει τοῦ οἴκου ἐν τόπῳ ὡς τυγχάνει, μέχρι τοῦ παραγενηθῆναι προφήτου τοῦ ἀπαγγεῖλαι περὶ αὐτῶν. καὶ ἔλαβον λίθους ὁλοκλήρους κατὰ τὸν νόμον, καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον καινὸν κατὰ τὸ πρότερον, καὶ ᾠκοδόμησαν τὰ ἅγια, καὶ τὰ ἐνδότερα τοῦ οἴκου, καὶ τὰς αὐλάς, καὶ πάντα, καὶ ἐποίησαν τὰ σκεύη τὰ ἅγια καινά, καὶ εἰσήνεγκαν τὴν λυχνίαν, καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων, καὶ θυμιαμάτων, καὶ τὴν πρόθεσιν εἰς τὸν ναόν, καὶ ἐθυμίασαν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἔκαυσαν τοὺς λύχνους τοὺς ἐπὶ τῆς λυχνίας, καὶ ἐφαίνοσαν ἐν τῷ ναῷ. καὶ ἐπέθηκαν ἐπὶ τὴν πρόθεσιν ἄρτους, καὶ ἐξεπέτασαν τὰ καταπετάσματα, καὶ ἐτέλεσαν πάντα τὰ ἔργα, ἃ ἐποίησαν. καὶ ὦρθισαν τῷ πρωῒ τῇ πεμπτῇ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἐνάτου, ὅστις ὁ μὴν χασελεῦ τοῦ ἑβδόμου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ ἔτους. καὶ ἀνέφερον θυσίαν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων τὸ καινόν, ὃ ἐποίησαν κατὰ τὸν καιρὸν κατὰ τὴν ἡμέραν, ἐν ᾗ ἐβεβήλωσαν αὐτὸ τὰ ἔθνη, ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν ᾠδαῖς, καὶ κιθάραις, καὶ κινύραις, καὶ ἐν κυμβάλοις. καὶ ἔπεσον πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον, καὶ προσεκύνησαν, καὶ εὐλόγησαν εἰς οὐρανὸν τὸν εὐοδώσαντα αὐτοῖς, καὶ ἐποίησαν ἐν ἐγκαινισμῷ τοῦ θυσιαστηρίου ἡμέρας ὀκτώ. καὶ προσήνεγκαν ὁλοκαυτώματα μετ' εὐφροσύνης, καὶ ἔθυσαν θυσίαν σωτηρίου καὶ αἰνέσεως, καὶ κατεκόσμησαν τὸ κατὰ πρόσωπον τοῦ ναοῦ στεφάνοις χρυσοῖς, καὶ ἀσπιδίσκαις. καὶ ἐνεκαίνισαν τὰς πύλας, καὶ τὰ παστοφόρια, καὶ ἐθύρωσαν αὐτά. καὶ ἐγένετο εὐφροσύνη μεγάλη ἐν τῷ λαῷ σφόδρα, καὶ ἀπεστράφη ὄνειδος ἐθνῶν. καὶ ἔστησεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἐκκλησία Ἰσραήλ, ἵνα ἄγωνται αἱ ἡμέραι ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου ἐν τοῖς καιροῖς αὐτῶν ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἡμέρας ὀκτώ, ἀπὸ τῆς πεμπτῆς καὶ εἰκάδος τοῦ μηνὸς χασελεῦ, μετ' εὐφροσύνης καὶ χαρᾶς. καὶ ᾠκοδόμησαν ἐν τῷ καιρῷ ἐκείνῳ τὸ ὄρος Σιὼν κυκλόθεν τείχει ὑψηλῷ, καὶ πύργοις ἰσχυροῖς, μή ποτε παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν αὐτά, ὡς ἐποίησαν τὸ πρότερον. καὶ ἐπέταξεν ἐκεῖ διαμεῖναι φυλακὴν αὐτῷ, καὶ ὠχύρωσαν αὐτὸ τοῦ εἶναι τοῦ Βαιθσούραν, τοῦ ἔχειν τὸν λαὸν ὀχύρωμα κατὰ πρόσωπον τῆς Ἰδουμαίας.

ΚΕΦΑΛ. ε'. ς'.

Καὶ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν, ὅτι ᾠκοδόμηθη τὸ θυσιαστήριον, καὶ ἐνεκαινίσθη τὸ ἁγίασμα ὡς τὸ πρότερον, καὶ ὠργίσθησαν σφόδρα, καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ἰακὼβ τὸ ὂν ἐν μέσῳ αὐτῶν, καὶ ἤρξαντο τοῦ θανατοῦν τὸν λαὸν, καὶ διώκειν. καὶ ἐπολέμει Ἰούδας πρὸς Ἐσαῦ τὸν υἱὸν Ἰσαὰκ τὸν ἀπελαθέντα ἐν τῇ Ἰδουμαίᾳ τῷ ἀπελαβεῖν, ὅτι προσεκάθητο τὸν Ἰσραήλ, καὶ ἐπάταξεν αὐτὸν πληγὴν μεγάλην. καὶ συνέσειλεν αὐτόν, καὶ ἔλαβε τὰ σκύλα αὐτῶν, καὶ ἐμνήσθη τῆς κακίας ὧν ἐποίησαν τοῖς υἱοῖς Βαιάν, οἵτινες ἦσαν τοῦ λαοῦ εἰς παγίδα, καὶ εἰς σκάνδαλον ἐν τῷ ἐνεδρεύειν αὐτοὺς ἐν ταῖς ὁδοῖς, καὶ συνεκλείσθησαν ὑπ' αὐτοῦ ἐν τοῖς πύργοις. καὶ παρεγένετο ἐπ' αὐτούς, καὶ ἀνεθεμάτισεν αὐτούς, καὶ ἐνέπρησε τοὺς πύργους αὐτῆς ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐνοῦσι. καὶ διεπέρασεν ὑπὸ τοὺς υἱοὺς Ἀμμών, καὶ εὗρε χεῖρα ἰσχυρὰν, καὶ λαὸν πολύν, καὶ τιμόθεον ἡγούμενον αὐτῶν. καὶ συνῆψε πρὸς αὐτοὺς πολέμους πολλούς, καὶ συνεπρίσθησαν πρὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξεν αὐτούς, καὶ προκατελάβετο τὴν ἰαζήρ, καὶ τὰς θυγατέρας αὐτῆς, καὶ ἀνέστρεψεν εἰς τὴν Ἰουδαίαν. καὶ συνήχθησαν τὰ ἔθνη τὰ ἐν τῇ Γαλαάδ ὑπὸ τὸν Ἰσραὴλ τοὺς ὄντας ὑπὸ τοῖς ὁρίοις αὐτῶν, τοῦ ἐξᾶραι αὐτοὺς, καὶ ἔφυγον εἰς ὀλίγον τὸ ὀχύρωμα, καὶ ἀπέστειλαν γράμματα πρὸς Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λέγοντες· συνήγμενά ἐστιν ἐφ' ἡμᾶς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν τοῦ ἐξᾶραι ἡμᾶς, καὶ ἑτοιμάζονται ἐλθεῖν, καὶ προκαταλαβέσθαι τὸ ὀχύρωμα, εἰς ὃ καταφεύγομεν. καὶ νῦν ἀνάστητι τῆς παρεμβολῆς αὐτῶν. νῦν οὖν ἐλθὼν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς αὐτῶν, ὅτι πεπτώκαμεν ἐξ ἡμῶν πλῆθος, καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν οἱ ὄντες ἐν τοῖς τοπίοις τεθνάνται. καὶ ἠχμαλωτεύκασιν τὰς γυναῖκας αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ τὴν ἀποσκευὴν, καὶ ἀπώλεσαν ἐκεῖ ὡς μίαν χιλιαρχίαν ἀνθρώπων. ἔτι δὲ ταῦτα ἀναγινώσκοντες, καὶ ἰδοὺ ἄγγελοι ἕτεροι παρεγένοντο ἐκ τῆς Γαλιλαίας διερρηχότες τὰ ἱμάτια, ἀπαγγέλλοντες κατὰ τὰ ῥήματα ταῦτα λέγοντες· συνήχθη ἐπ' αὐτοὺς ἐκ Πτολεμαΐδος, καὶ Τύρου, καὶ Σιδῶνος, καὶ πάσης Γαλιλαίας ἀλλοφύλων, τοῦ ἐξαναλῶσαι ἡμᾶς. ὡς δὲ ἤκουσεν Ἰούδας καὶ ὁ λαὸς τοὺς λόγους τούτους, συνήχθη ἐκκλησία μεγάλη, βουλεύσασθαι τί ποιήσωσι τοῖς ἀδελφοῖς αὐτῶν, τοῖς θλιβομένοις, καὶ πολεμουμένοις ὑπ' αὐτῶν. καὶ εἶπεν Ἰούδας Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ· ἐπίλεξον σεαυτῷ ἄνδρας, καὶ πορεύου καὶ ῥῦσαι τοὺς ἀδελφούς σου τοὺς ἐν τῇ Γαλιλαίᾳ. ἐγὼ δὲ, καὶ Ἰωνάθαν ὁ ἀδελφός μου, πορευσόμεθα εἰς τὴν Γαλααδίτιν. καὶ κατέλιπεν Σίμων Ἰωσὴφ τὸν τοῦ Ζαχαρίου, καὶ Ἀζαίαν, ἡγουμένους τοῦ λαοῦ μετὰ τῶν ὑπολοίπων τὸ διαφέρειν ἐν τῇ Ἰουδαίᾳ εἰς τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρησιν, καὶ ἐνετείλατο αὐτοῖς λέγων· πρόσκειται τῷ λαῷ τούτῳ, καὶ μὴ σωφρονήσητε πόλεμον πρὸς τὰ ἔθνη, ἕως τοῦ ἀπολυτρώσασθαι ἡμᾶς. καὶ ἐμερίσθησαν σίμωνι ἄνδρες τρισχίλιοι, τοῦ πορευθῆναι εἰς τὴν γαλιλαίαν, ἰούδᾳ δὲ ἄνδρες ὀκτακισχίλιοι εἰς τὴν γαλααδίτιν. καὶ ἐπορεύθη σίμων εἰς τὴν γαλιλαίαν, καὶ συνέβαλε πολέμους πολλοὺς πρὸς τὰ ἔθνη, καὶ συνετρίβη τὰ ἔθνη ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐδίωξεν αὐτοὺς ἕως τῶν πυλῶν πτολεμαΐδος, καὶ ἔπεσον ἐκ τῶν ἐθνῶν εἰς τρισχιλίους ἄνδρας. καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ παρέλαβε τοὺς ἐκ τῆς γαλιλαίας, καὶ ἐν ἀρβαθάοις σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις, καὶ πάντα ὅσα ἦν αὐτοῖς. καὶ ἤγαγεν εἰς τὴν ἰουδαίαν μετὰ ἀφροσύνης μεγάλης. καὶ ἰούδας ὁ μακκαβαῖος, καὶ ἰωνάθαν ὁ ἀδελφὸς αὐτοῦ διέβησαν τὸν ἰορδάνην, καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ, καὶ συνέτυχησαν τοῖς ναβαταίοις, καὶ ἀπήντησαν αὐτοῖς εἰρηνικῶς, καὶ διηγήσαντο αὐτοῖς ἅπαντα τὰ συμβαίνοντα τοῖς ἀδελφοῖς αὐτῶν ἐν τῇ γαλααδίτιδι, καὶ ὅτι πολλοὶ ἐξ αὐτῶν συνειλημμένοι εἰσὶν εἰς βόσορα, καὶ βοσὸρ ἐν ἀλήμοις χασκώ, μακεδί, καὶ καρναΐμ. πᾶσαι αἱ πόλεις αὗται ὀχυραὶ, καὶ μεγάλαι, καὶ ἐν ταῖς λοιπαῖς πόλεσι τῆς γαλααδίτιδός εἰσι συνειλημμένοι εἰς αὔριον πάσονται παρεμβαλεῖν ἐπὶ τὰ ὀχυρώματα, καὶ καταλαβέσθαι καὶ ἐξᾶραι πάντας τούτους ἐν ἡμέρᾳ μιᾷ. καὶ ἀπέστρεψεν ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ ὁδὸν εἰς τὴν ἔρημον εἰς βόσορρα ἄφνω, καὶ κατελαβέτο τὴν πόλιν, καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας, καὶ ἔλαβε πάντα τὰ σκῦλα αὐτῶν, καὶ ἐπέρασεν αὐτὰ διὰ νυκτός, καὶ ἐπορεύθη ὡς ἐπὶ τὸ ὀχύρωμα. καὶ ἐγρήγορεν ἰωθιήλ, καὶ ἴδεν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἰσχὺς λαὸς πολὺς οὗ οὐκ ἦν ἀριθμός, ἀέροντες κλίμακας καὶ μηχανὰς καταλαβέσθαι τὸ ὀχύρωμα, καὶ ἐπολέμουν αὐτούς. καὶ εἶδεν ἰούδας ὅτι ἤρκται ὁ πόλεμος. καὶ ἡ κραυγὴ τῆς πόλεως ἀνέβη ἕως τοῦ οὐρανοῦ, σάλπιγξι καὶ φωνῇ μεγάλῃ. καὶ εἶπε τοῖς ἀνδράσι τῆς δυνάμεως· πολεμίζετε σήμερον ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν. καὶ ἐξῆλθεν ἐν τρισὶν ἀρχαῖς ἐξ ὄπισθεν αὐτῶν, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐβόησαν ἐν προσευχῇ. καὶ ἐπέγνω ἡ παρεμβολὴ τιμοθέου, ὅτι μακκαβαῖός ἐστι, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ. καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ ἔπεσον ἐξ αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς ὀκτακισχιλίους ἄνδρας, καὶ ἀπέκλινεν εἰς μασφά, καὶ ἐπολέμησεν αὐτήν, καὶ προκατελάβετο αὐτήν. καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν αὐτῆς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς, καὶ ἐνέπρησεν αὐτὴν πυρί. ἐκεῖθεν ἀπῆρε, καὶ προκατελάβετο τὴν χασφών, μακεδί, βοσόρ, καὶ τὰς λοιπὰς πόλεις τῆς γαλααδίτιδος. μετὰ δὲ τὰ ῥήματα τοῦτα συνήγαγε τιμόθεος παρεμβολὴν ἄλλην, καὶ παρενέβαλε κατὰ πρόσωπον ῥαφὼν ἐκ πέραν τοῦ χειμάῤῥου. καὶ ἀπέστειλεν ἰούδας κατασκοπεῦσαι τὴν παρεμβολήν, καὶ ἀπήγγειλαν αὐτῷ λέγοντες· συνηγμένα εἰσὶ πρὸς αὐτοὺς πάντα τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν, δύναμις πολλὴ σφόδρα. καὶ ἄραβας μεμίσθωται εἰς βοήθειαν αὐτοῖς, καὶ παρεμβάλλουσι πέραν τοῦ χειμάῤῥου ἕτοιμοι τοῦ ἐλθεῖν ἐπὶ σὲ εἰς πόλεμον. καὶ ἐπορεύθη ἰούδας εἰς συνάντησιν αὐτῶν. καὶ εἶπε τιμόθεος τοῖς ἄρχουσι τῆς δυνάμεως αὐτοῦ, ἐν τῷ ἐγγίζειν ἰούδαν, καὶ τὴν παρεμβολὴν αὐτοῦ ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος· ἐὰν διαβῇ πρὸς ἡμᾶς πρότερον, οὐ δυνησόμεθα ἀντοτῆναι αὐτῷ, ὅτι δυναμούμενος δυνήσεται πρὸς ἡμᾶς. ἐὰν δὲ δειλανθῇ καὶ παρεμβάλῃ πέραν τοῦ ποταμοῦ, διαπεράσομεν πρὸς αὐτὸν, καὶ δυνησόμεθα πρὸς αὐτόν. ὡς δὲ ἤγγισεν ἰούδας ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος, ἔστησε τοὺς γραμματεῖς τοῦ λαοῦ ἐπὶ τοῦ χειμάῤῥου, καὶ ἐνετείλατο αὐτοῖς λέγων· μὴ ἀφῆτε πάντα ἄνθρωπον παρεμβαλεῖν, ἀλλ' ἐρχέσθωσαν πάντες εἰς τὸν πόλεμον. καὶ διεπεράσατο ἐπ' αὐτοὺς πρότερος, καὶ πᾶς ὁ λαὸς αὐτοῦ ὄπισθεν αὐτοῦ. καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἔῤῥιψαν τὰ ὅπλα αὐτῶν, καὶ ἔφυγον εἰς τὸ τέμενος ἐν καρναΐμ, καὶ προκατελάβοντο τὴν πόλιν, καὶ τὸ τέμενος ἐνέπρησαν ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐν αὐτοῖς. καὶ ἐπροπώθη καρναΐμ, καὶ οὐκ ἐδυνάσθη ἔτι ἀντοτῆναι κατὰ πρόσωπον ἰούδα. καὶ συνήγαγεν ἰούδας πάντα ἰσραὴλ τοὺς ἐν τῇ γαλααδίτιδι ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ τὰς γυναῖκας αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ τὴν ἀποσκευὴν, πλῆθος παρεμβολὴν μεγάλην σφόδρα, ἐλθεῖν εἰς γῆν ἰούδα. καὶ ἦλθον ἕως ἐφρών, καὶ αὕτη ἡ πόλις μεγάλη ἦν ἐν εἰσόδοις ὀχυρὰ σφόδρα, οὐκ ἦν ἐκκλίναι ἔτι αὐτὴν δεξιὰ ἢ ἀριστερά, ἀλλ' ἢ διὰ μέσου αὐτῆς πορεύεσθαι. καὶ ἀπέκλεισαν αὐτοὺς οἱ ἐκ τῆς πόλεως, καὶ ἐνέφραξαν τὰς πύλας λίθοις. καὶ ἀπέστειλε πρὸς αὐτοὺς ἰούδας λόγοις εἰρηνικοῖς λέγων· διελεύσομαι διὰ τῆς γῆς σου, τοῦ ἀπελθεῖν εἰς τὸν γῆν ἡμῶν, καὶ οὐδεὶς κακοποιήσει ὑμᾶς, πλὴν τοῖς ποσὶ παρελεύσομεθα. καὶ οὐκ ἠβούλοντο ἀνοῖξαι αὐτῷ. καὶ ἐπέταξεν ἰούδας κηρύξαι ἐν τῇ παρεμβολῇ, τοῦ παρεμβαλεῖν ἕκαστον ἐν ᾧ ὄντι τόπῳ. καὶ παρενέβαλον οἱ ἄνδρες τῆς δυνάμεως, καὶ ἐπολέμησαν τὴν πόλιν ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα. καὶ παρεδόθη ἡ πόλις ἐν χερσὶν αὐτοῦ, καὶ ἀπώλεσε πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας, καὶ ἐξερρίφησαν αὐτὴν, καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς, καὶ διῆλθε διὰ τῆς πόλεως ἐπάνω τῶν ἀπεκταμμένων, καὶ διέβησαν τὸν ἰορδάνην εἰς τὸ πεδίον τὸ μέγα κατὰ πρόσωπον βαισάν, καὶ ὧν ἰούδας ἀπεσυνάγων τοὺς ἐκάτιζοντας, καὶ παρεκάλουν

τὸν

τὴν λαὸν ἡ τὴν πᾶσαν τὴν ὁδὸν, ἕως ἦλθον εἰς γῆν Ἰούδα. καὶ ἀνέβησαν εἰς τὸ ὄρος Σιὼν μετὰ εὐφροσύνης καὶ χαρᾶς. καὶ προσήγαγον ὁλοκαυτώματα, ὅτι οὐκ ἔπεσον ἐξ αὐτῶν οὐθεὶς, ἕως τοῦ ἀποστρέψαι μετὰ εἰρήνης. καὶ μετὰ τὰς ἡμέρας ταύτας Λυσίας καὶ Ἰωνάθαν μετὰ τῆς γαλαάδ, καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ μετὰ τῆς γαλιλαίας ἐπὶ πρόσωπον πολεμικῆς, ἤκουσαν Ἰωσὴφ ὁ τοῦ Ζαχαρίου, καὶ Ἀζαρίας ἄρχοντες τῆς δυνάμεως τῶν ἀνδραγαθιῶν καὶ τοῦ πολέμου οἷα ἐποίησαν, καὶ εἶπον· ποιήσωμεν καὶ αὐτοὶ ἑαυτοῖς ὄνομα, καὶ πορευθῶμεν πολεμῆσαι πρὸς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν. καὶ παρήγγειλαν τοῖς ἀπὸ τῆς δυνάμεως τοῖς μετ' αὐτῶν, καὶ ἐπορεύθησαν ἐπὶ Ἰαμνείαν. καὶ ἐξῆλθε Γοργίας καὶ οἱ ἄνδρες αὐτοῦ, εἰς συναντήσιν αὐτοῖς εἰς πόλεμον. καὶ ἐτροπώθη Ἰωσὴφ καὶ Ἀζαρίας, καὶ ἐδιώχθησαν, ἕως τῶν ὁρίων τῆς Ἰουδαίας. καὶ ἔπεσον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τοῦ λαοῦ Ἰσραὴλ εἰς δισχιλίους ἄνδρας, καὶ ἐγένετο τροπὴ μεγάλη ἐν τῷ λαῷ Ἰσραὴλ, ὅτι οὐκ ἤκουσαν Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ, οἱ ἐμέλλοντι ἀνδραγαθῆσαι. αὐτοὶ δὲ οὐκ ἦσαν ἐκ τοῦ σπέρματος τῶν ἀνδρῶν ἐκείνων, οἷς ἐδόθη σωτηρία Ἰσραὴλ διὰ χειρὸς αὐτῶν. καὶ ὁ ἀνὴρ Ἰούδας, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐδοξάσθησαν σφόδρα ἐναντίον πάντων Ἰσραὴλ, καὶ ἐν πᾶσι τοῖς ἔθνεσιν οὗ ἀκουσθὲν τὸ ὄνομα αὐτῶν, καὶ ὡς συνήγοντο πρὸς αὐτοὺς συρόμενοι. καὶ ἐξῆλθεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ἐπολέμουν τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ γῇ πρὸς νότον, καὶ ἐπάταξε τὴν Χεβρὼν καὶ τὰς θυγατέρας αὐτῆς, καὶ κατεῖλε τὸ ὀχύρωμα αὐτῆς, καὶ τοὺς πύργους αὐτῆς ἐνέπρησε κυκλόθεν, καὶ ἀπῆρε τοῦ πορευθῆναι εἰς γῆν ἀλλοφύλων καὶ διεπορεύθη τὴν σαμάρειαν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπέσον ἱερεῖς πόλεμον, βουλόμενοι αὐτοὶ ἀνδραγαθῆσαι, ἐν τῷ αὐτοὺς ἐξελθεῖν εἰς πόλεμον ἀβουλεύτως. καὶ ἐξέκλινεν Ἰούδας εἰς ἄζωτον γῆν ἀλλοφύλων, καὶ καθεῖλε τοὺς βωμοὺς αὐτῶν, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν, καὶ κατέκαυσε πυρί, καὶ ἐσκύλευσε τὰ σκύλα τῆς πόλεως, καὶ ἐπέστρεψεν εἰς τὴν γῆν Ἰούδα.

ΚΕΦΑΛ. ε'. 6.

ΚΑΙ ὁ Βασιλεὺς αὐτίοχος διεπορεύετο τὰς ἐπάνω χώρας, καὶ ἤκουσεν ὅτι ἔστιν ἐλύμαις ἐν τῇ περσίδι πόλις ἔνδοξος πλούτῳ ἀργυρίῳ καὶ χρυσίῳ, καὶ τὸ ἱερὸν τὸ ἐν αὐτῇ πλούσιον σφόδρα, καὶ ἐκεῖ κλυδώνια χρυσᾶ, καὶ θώρακες, καὶ ὅπλα ἃ κατέλιπεν ἐκεῖ ἀλέξανδρος ὁ Φιλίππου ὁ Βασιλεὺς μακεδών, ὃς ἐβασίλευσε πρῶτος ἐν τοῖς Ἕλλησι. καὶ ἦλθε καὶ ἐζήτησε καταλαβέσθαι τὴν πόλιν, καὶ περιορίσαι αὐτὴν, καὶ οὐκ ἠδυνάσθη, ὅτι ἐγνώσθη ὁ λόγος τοῖς ἐκ τῆς πόλεως. καὶ ἀνέστησαν αὐτὸν ἐν πολέμῳ, καὶ ἔφυγε καὶ ἀπῆρεν ἐκεῖθεν μετὰ λύπης μεγάλης, ἀπέστρεψε εἰς Βαβυλῶνα. καὶ ἦλθεν ἀπαγγέλλων τις αὐτῷ εἰς τὴν περσίδα, ὅτι πεπρόπωνται αἱ παρεμβολαὶ αἱ πορευθεῖσαι εἰς γῆν Ἰούδα. καὶ ἐπορεύθη Λυσίας πρωϊαίτερος, καὶ ἀνεπαύσατο ἀπὸ προσώπου αὐτῶν, καὶ ἐπίσχυσαν ὅπλοις, καὶ δυνάμει, καὶ σκύλοις πολλοῖς, οἷς ἔλαβον ἀπὸ τῶν παρεμβολῶν ὧν ἐξέκλιναν, καὶ κατέλαβον τὸ βδέλυγμα, ὃ ᾠκοδόμησεν ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν Ἱερουσαλήμ, καὶ τὸ ἁγίασμα καθὼς τὸ πρότερον ἐκύκλωσαν τείχεσιν ὑψηλοῖς, καὶ τὴν Βαιθσοῦραν πόλιν αὐτοῦ. καὶ ἐγένετο ὡς ἤκουσεν ὁ Βασιλεὺς τοὺς λόγους τούτους, ἐθαμβήθη, καὶ ἐσαλεύθη σφόδρα, καὶ ἔπεσεν ἐπὶ τὴν κοίτην, καὶ ἐνέπεσεν εἰς ἀρρωστίαν ἀπὸ τῆς λύπης, ὅτι οὐκ ἐγένετο αὐτῷ καθὼς ἐνεθυμεῖτο. καὶ ἦν ἐκεῖ ἡμέρας πλείους, ὅτι ἀνεκαινίσθη ἐπ' αὐτὸν λύπη μεγάλη, καὶ ἐλογίσατο ὅτι ἀπεθανεῖται καὶ ἐκάλεσε πάντας τοὺς φίλους αὐτοῦ, καὶ εἶπε πρὸς αὐτούς· ἀπέστη ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ συμπέπτωκα τῇ καρδίᾳ ἀπὸ τῆς μερίμνης, καὶ εἶπα τῇ καρδίᾳ, ἕως τίνος θλίψεως ἦλθον, καὶ κλύδωνος μεγάλου ἐν ᾧ νῦν εἰμι; ὅτι χρηστὸς καὶ ἀγαπώμενος ἤμην ἐν τῇ ἐξουσίᾳ μου, νῦν δὲ μιμνήσκομαι τῶν κακῶν ὧν ἐποίησα ἐν Ἱερουσαλήμ. καὶ ἔλαβον πάντα τὰ σκεύη τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ τὰ ἐν αὐτῇ, καὶ ἐξαπέστειλα ἐξᾶραι τοὺς κατῳκηκότας Ἰούδα δόλῳ κύριος, ἔγνων ὅτι χάριν τούτων εὗρόν με τὰ κακὰ ταῦτα, καὶ ἰδοὺ ἀπόλλυμαι λύπῃ μεγάλῃ καὶ ἐν γῇ ἀλλοτρίᾳ. καὶ ἐκάλεσε Φίλιππον ἕνα τῶν Φίλων αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ τὸ διάδημα καὶ τὴν στολὴν αὐτοῦ, καὶ τὸν δακτύλιον, τοῦ ἀγαγεῖν αὐτὶοχον τὸν υἱὸν αὐτοῦ, καὶ ἐκθρέψαι αὐτὸν τοῦ βασιλεύειν. καὶ ἀπέθανεν ἐκεῖ αὐτίοχος ὁ Βασιλεὺς ἔτους ἐνάτου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ. καὶ ἐπέγνω Λυσίας ὅτι τέθνηκεν ὁ Βασιλεύς, καὶ κατέστησε Βασιλεύειν αὐτίοχον τὸν υἱὸν αὐτοῦ αὐτὸν αὐτοῦ, ὃν ἐξέθρεψε νεώτερον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Εὐπάτωρ. καὶ οἱ ἐν τῇ ἄκρᾳ ἦσαν συγκλείοντες τὸν Ἰσραὴλ κύκλῳ τῶν ἁγίων, καὶ ζητοῦντες τὰ κακὰ αὐτοῖς ὅλου, καὶ ὑπόμνημα τοῖς ἔθνεσι. καὶ ἐλογίσατο Ἰούδας ἐξᾶραι αὐτούς, καὶ ἐξεκκλησίασε πάντα τὸν λαὸν τοῦ πολεμῆσαι ἐπ' αὐτούς. καὶ συνήχθησαν ἅμα, καὶ πολεμοῦσιν ἐπ' αὐτοὺς ἔτους ἑνενηκοστοῦ καὶ ἑκατοστοῦ. καὶ ἐποίησεν ἐπ' αὐτοὺς βελοστάσεις καὶ μηχανάς. καὶ ἐξῆλθον ἐξ αὐτῶν ἐκ συγκλεισμοῦ, καὶ ἐκολλήθησαν αὐτοῖς τινες τῶν ἀσεβῶν ἐξ Ἰσραὴλ, καὶ ἐπορεύθησαν πρὸς τὸν Βασιλέα, καὶ εἶπον· ἕως πότε οὐ ποιήσεις κρίσιν, καὶ ἐκλήσεις τοὺς ἀδελφοὺς ἡμῶν; ἡμεῖς δουλεύσομεν δουλεύειν τῷ πατρί σου, καὶ πορεύεσθαι τοῖς λόγοις αὐτοῦ λεγομένοις, καὶ κατακολουθεῖν τοῖς προστάγμασιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ. ὅτι οἱ τοῦ λαοῦ τούτου, χάριν τούτου ἠλλοτριώθησαν ἀφ' ἡμῶν. πλὴν ὅσοι εὑρίσκοντο ἀφ' ἡμῶν, ἐθανατώθησαν, καὶ οὐ λήψονται ἡμῶν μισθόν. καὶ οὐκ ἐφ' ἡμᾶς μόνον ἐξέτειναν χεῖρα, ἀλλὰ καὶ ἐπὶ πάντα τὰ ὅρια αὐτῶν. καὶ ἰδοὺ παρεμβεβλήκασι σήμερον ἐπὶ τὴν ἄκραν ἐν Ἱερουσαλήμ, τοῦ καταλαβέσθαι αὐτὴν καὶ τὸ ἁγίασμα, καὶ τὴν Βαιθσούραν ὠχύρωσαν. καὶ ἐὰν μὴ προκαταλάβητε αὐτοὺς ἀφ' ὑμῶν, μείζονα τούτων ποιήσουσι, καὶ οὐ μὴ δύνησθε τοῦ καταχεῖν αὐτούς. ὡργίσθη ὁ βασιλεὺς ὅτε ἤκουσε, καὶ συναγαγὼν πάντας τοὺς φίλους αὐτοῦ, ἄρχοντας δυνάμεως αὐτοῦ, καὶ τοὺς ἐπὶ τῶν ἵππων, καὶ ἀπὸ βασιλείων ἑτέρων, καὶ ἀπὸ νήσων θαλασσῶν ἦλθον πρὸς αὐτὸν συναγωγαί. καὶ ἦν ὁ ἀριθμὸς τῶν συναγωγῶν αὐτοῦ ἑκατὸν χιλιάδες πεζῶν, καὶ εἴκοσι χιλιάδες ἵππων, καὶ ἐλέφαντες δύο, καὶ προσκοντα εἰδότες πόλεμον. καὶ ἦλθοσαν διὰ Ἰδουμαίας, καὶ παρενεβάλοσαν ἐπὶ Βαιθσούραν, καὶ ἐπολέμησαν ἐπὶ ἡμέρας πολλάς, καὶ ἐποίησαν μηχανάς, καὶ ἐξῆλθον καὶ ἐνέπυρσαν αὐτὰς ἐν πυρί, καὶ ἐπολέμησαν ἀνδρικῶς. καὶ ἀπῆρεν Ἰούδας ἀπὸ τῆς ἄκρας, καὶ παρενέβαλεν εἰς Βαιθζαχαρίαν ἀπέναντι τῆς παρεμβολῆς τοῦ βασιλέως. καὶ ὠρθρισεν ὁ βασιλεὺς πρωΐ, καὶ ἀπῆρε τὴν παρεμβολὴν ἐν ὁρμήματι αὐτοῦ ἐπὶ τὴν ὁδὸν Βαιθζαχαρίας, καὶ διεσκευάσθησαν αἱ δυνάμεις εἰς τὸν πόλεμον, καὶ ἐσάλπισαν ταῖς σαλπιγξί, καὶ τοῖς ἐλέφασιν ἔδειξαν αἷμα σταφυλῆς καὶ μόρων, τοῦ παρασπάσαι αὐτοὺς εἰς τὸν πόλεμον, καὶ διεῖλον τὰ θηρία εἰς τὰς φάραγγας, καὶ παρέταξαν ἑκάστῳ ἐλέφαντι χιλίους ἄνδρας τεθωρακισμένους ἐν ἁλυσιδωτοῖς, καὶ περικεφαλαίαι χαλκαῖ ἐπὶ τῆς κεφαλῆς αὐτῶν, καὶ ὡπλισμένοι ἵππῳ ἐκλεκτῇ ἑκάστῳ θηρίῳ ἐκλελεγμένοι. οὗτοι πρὸ καιροῦ οὗ ἐὰν ἦν τὸ θηρίον ἦσαν, καὶ οὗ ἐὰν ἐπορεύετο, ἐπορεύοντο ἅμα, οὐκ ἀφίσαν ἀπ' αὐτοῦ. καὶ πύργοι ξύλινοι ἐπ' αὐτοὺς ὀχυροί, σκεπαζόμενοι ἐφ' ἑκάστου θηρίου, ἐζωσμένοι ἐπ' αὐτοῦ μηχαναῖς, καὶ ἐφ' ἑκάστου ἄνδρες δύο καὶ τριάκοντα οἱ πολεμοῦντες ἐπ' αὐτοῖς, καὶ ὁ ἰνδὸς αὐτοῦ. καὶ τοῖς ἐπιλοίποις ἵππον ἔνθεν καὶ ἔνθεν ἔστησαν ἐπὶ τὰ δύο μέρη τῆς παρεμβολῆς καταπαίοντας, καὶ καταφρασσόμενοι ἐν ταῖς φαλαγξιν. ὡς δὲ ἔσυθεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς ἀσπίδας, ἔσυθε τὰ ὄρη ἀπ' αὐτῶν, καὶ κατηύγαζον ὡς λαμπάδες πυρός. καὶ διεστάθη μέρος τι τῆς παρεμβολῆς τοῦ βασιλέως ἐπὶ τὰ ὑψηλὰ ὄρη, καὶ ἄλλο τινὲς ἐπὶ ταπεινά, καὶ ἤρχοντο ἀσφαλῶς καὶ τεταγμένως. καὶ ἐσαλπίζοντο πάντες οἱ ἀκούοντες φωνῆς πλήθους αὐτῶν, καὶ ὁ ἦχος τῆς πορείας τοῦ πλήθους, καὶ συγκρουσμοῦ τῶν ὅπλων. ἦν γὰρ παρεμβολὴ μεγάλη σφόδρα καὶ ἰσχυρά, καὶ ἤγγισε Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς παράταξιν, καὶ ἔπεσον ἀπὸ τῆς παρεμβολῆς τοῦ βασιλέως ἑξακόσιοι ἄνδρες. καὶ εἶδεν Ἐλεάζαρ ἐν τῶν θηρίων τεθωρακισμένων πύργοις βασιλικῆς, καὶ ἦν ὑπεράνω πάντα τὰ θηρία. καὶ ὤφθη ὅτι ἐπ' αὐτῷ ὅδε ὁ βασιλεύς, καὶ ἔδωκεν ἑαυτὸν τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ, καὶ ποιήσαι ἑαυτῷ ὄνομα αἰώνιον. καὶ ἐπέδραμεν αὐτῷ θράσει εἰς μέσον τῆς φάλαγγος, καὶ ἐθανάτου δεξιᾷ καὶ εὐωνύμῳ. καὶ ἐχίζοντο ἀπ' αὐτοῦ ἔνθα καὶ ἔνθα, καὶ εἰσῆλθε ὑπὸ τὸν ἐλέφαντα, καὶ ὑπέθηκεν αὐτῷ, καὶ ἀπέκτεινεν αὐτόν, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἐπάνω αὐτοῦ, καὶ ἀπέθανεν ἐκεῖ. καὶ εἶδον τὴν ἰσχὺν τῆς βασιλείας, καὶ τὸ ὅρμημα τῶν δυνάμεων, καὶ ἐξέκλιναν ἀπ' αὐτῶν. οἱ δὲ ἐκ τῆς παρεμβολῆς τοῦ βασιλέως, ἀνέβαινον εἰς συνάντησιν αὐτῶν εἰς Ἱερουσαλήμ. καὶ κατέβαλεν ὁ βασιλεὺς εἰς τὴν Ἰουδαίαν, καὶ εἰς τὸ ὄρος Σιών, καὶ ἐποίησεν εἰρήνην μετὰ τῶν ἐν Βαιθσούραν. καὶ ἐξῆλθον ἐκ τῆς πόλεως, ὅτι οὐκ ἦν αὐτοῖς ἐκεῖ σιτοφυὲς τοῦ συνεκλεῖσθαι ἐν αὐτῇ, ὅτι σάββατον ἦν τῇ γῇ. καὶ κατελάβετο βασιλεὺς τὴν Βαιθσούραν, καὶ ἐπέταξεν ἐκεῖ φρουρὰν τηρεῖν αὐτήν. καὶ παρενέβαλεν ἐπὶ τὸ ἁγίασμα ἡμέρας πολλάς. καὶ ἔστησεν ἐκεῖ βέλεσταστεις, καὶ μηχανάς, καὶ πυρόβολα, καὶ λιθόβολα, καὶ σκορπίδας εἰς τὸ βάλλεσθαι βέλη καὶ σφενδόνας. καὶ ἐποίησαν καὶ αὐτοὶ μηχανὰς πρὸς τὰς μηχανὰς αὐτῶν, καὶ ἐπολέμησαν ἡμέρας πολλάς. βρώματα δὲ οὐκ ἦν ἐν τοῖς ἀγγείοις, διὰ τὸ ἔβδομον ἔτος εἶναι. καὶ οἱ διασωζόμενοι ἐκ τῆς Ἰουδαίας ἀπὸ τῶν ἐθνῶν, κατέφαγον τὸ ὑπόλειμμα τῆς παραθέσεως. καὶ ὑπελείφθησαν ἐν τοῖς ἁγίοις ἄνδρες ὀλίγοι, ὅτι κατεκράτησεν αὐτῶν ὁ λιμός, καὶ ἐσκορπίσθησαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ. καὶ ἤκουσε Λυσίας ὅτι Φίλιππος, ὃν κατέστησεν ὁ βασιλεὺς Ἀντίοχος, ἔτι ζῶντος αὐτοῦ, ἐνθρέψαι Ἀντίοχον τὸν υἱὸν αὐτοῦ εἰς τὸ βασιλεῦσαι αὐτόν, ἀπέστρεψεν ἀπὸ τῆς Περσίδος καὶ Μηδείας, καὶ αἱ δυνάμεις αἱ πορευθεῖσαι τοῦ βασιλέως μετ' αὐτοῦ, καὶ ὅτι ζητεῖ παραλαβεῖν μετὰ τῶν πραγμάτων, καὶ κατέσπευδε τοῦ ἐλθεῖν καὶ ἐπιγνόσοντο ἐκ τῆς ἄκρας, τοῦ ἀπελθεῖν καὶ εἰπεῖν πρὸς τὸν βασιλέα καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως καὶ τοὺς ἄνδρας· ἐκλείπομεν καθ' ἡμέραν, καὶ ἡ τροφὴ ἡμῶν ὀλίγη, καὶ ὁ τόπος οὗ περιβάλλομεν ἰσχυρός, καὶ ἐπίκειται ἡμῖν τὰ τῆς βασιλείας. νῦν οὖν δώμεν δεξιὰν τοῖς ἀνθρώποις τούτοις, καὶ ποιήσωμεν μετ' αὐτῶν εἰρήνην, καὶ μετὰ παντὸς ἔθνους αὐτῶν, καὶ ἐσόμεθα αὐτοῖς τοῦ πορεύεσθαι τοῖς νόμοις αὐτῶν, ὡς τὸ πρότερον. χάριν γὰρ τῶν νομίμων αὐτῶν ὧν ἐξεσκεδάσθημεν, ὠργίσθησαν, καὶ ἐποίησαν ταῦτα πάντα. καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον τοῦ βασιλέως καὶ τῶν ἀρχόντων, καὶ ἀπέστειλε πρὸς αὐτοὺς εἰρήνην δοῦναι, καὶ ἐποίησαν, καὶ ὤμοσεν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες.

ὧδε

ὑδὶ τούτοις ἐξῆλθον ἐκ τοῦ ὀχυρώματος. καὶ εἰσῆλθον ὁ Βασιλεὺς εἰς τὸ ὄρος σιὼν, καὶ εἶδε τὸ ὀχύρωμα τοῦ τόπου, καὶ ἠθέτησε τὸν ὅρκισμὸν ὃν ὤμοσε, καὶ ἐφυτεύλατο, καὶ ἀπέβαλε τὸ τεῖχος Ἰεβουσαλήμ. καὶ ἀπῆρε καὶ ἐπορεύθη καὶ ἐπολιόρκησε, καὶ ἀπέστρεψεν εἰς αὐτιόχειαν. καὶ εὗρε Φίλιππον ἐνεδυόμενον τὴν πόλιν, καὶ ἐπολέμησε πρὸς αὐτὸν, καὶ κατελαβέτο τὴν πόλιν βίᾳ.

ΚΕΦΑΛ. ζ. 7.

ΕΤους ἑνὸς καὶ ὀγδοηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθε δημήτριος ὁ τοῦ σελεύκου ἐκ ῥώμης. καὶ αὐτὸς ἐπεδήμησεν ὀλίγοις εἰς πόλιν παραθαλασσίαν, καὶ ἐβασίλευσεν ἐκεῖ. καὶ ἐγένετο ὡς εἶδε πορεύεσθαι εἰς οἶκον βασιλείας πατέρων αὐτοῦ, συνέλαβον αἱ δυνάμεις τὸν αὐτίοχον καὶ τὸν λυσίαν, ἄγειν αὐτοὺς αὐτῷ. καὶ ἐγνώσθη αὐτῷ τὸ πρᾶγμα, καὶ εἶπε· μή μοι δείξητε τὰ πρόσωπα αὐτῶν, καὶ ἀπέκτειναν αὐτοὺς αἱ δυνάμεις. καὶ ἐκάθισε δημήτριος ἐπὶ θρόνου βασιλείας αὐτοῦ, καὶ ἦλθον πρὸς αὐτὸν ἄνδρες ἄνομοι καὶ ἀσεβεῖς ἐξ ἰσραὴλ, καὶ ἀλκιμος ἡγεῖτο αὐτῶν, βουλόμενος ἀρατοσθένην. καὶ κατηγόρησαν τοῦ λαοῦ πρὸς τὸν βασιλέα λέγοντες· ἀπώλεσεν ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πάντας τοὺς φίλους σου, καὶ ἡμᾶς ἐσκόρπισαν ἀπὸ τῆς γῆς ἡμῶν. νῦν οὖν ἀπόστειλον ἄνδρα ᾧ πιστεύεις, καὶ πορευθεὶς ἰδέτω τὴν ἀπολόθρευσιν πᾶσαν, ἣν ἐποίησεν ἡμῖν καὶ τῇ χώρᾳ τοῦ βασιλέως, καὶ ἐκδικησάτω αὐτοὺς καὶ πάντας τοὺς ἐπιβοηθοῦντας αὐτοῖς. καὶ ἐπέστειλεν ὁ βασιλεὺς τὸν βακχίδην τὸν φίλον τοῦ βασιλέως, ἐνεδυόμενον τὸν ποταμοῦ, καὶ μέγαν τῇ βασιλείᾳ, καὶ πιστὸν τῷ βασιλεῖ. καὶ ἀπέστειλεν αὐτὸν καὶ ἄλκιμον τὸν ἀσεβῆ, καὶ ἔκτισεν αὐτῷ τὴν ἰδρυσύνην, καὶ ἐνετείλατο αὐτῷ ποιῆσαι τὴν ἐκδίκησιν ἐν τοῖς ἰουδαίοις. καὶ ἀπῆλθον, καὶ ἦλθον μετὰ δυνάμεως πολλῆς εἰς γῆν ἰούδα. καὶ ἀπέστειλεν ἀγγέλους πρὸς ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λόγοις εἰρηνικοῖς μετὰ δόλου. καὶ ἐπροσέχομεν τοῖς λόγοις αὐτῶν. εἶδον γὰρ ὅτι ἦλθον μετὰ δυνάμεως πολλῆς, καὶ ὠλοσυνήχθησαν πρὸς ἄλκιμον καὶ βακχίδην συναγωγὴ γραμματέων ἐκζητῆσαι δίκαια. καὶ πρῶτοι οἱ ἀσιδαῖοι ἦσαν ἐν τοῖς ἰσραὴλ, καὶ ἐπεζήτουν παρὰ αὐτῶν εἰρήνην. εἶπαν γάρ· ἄνθρωπος ἱερεὺς ἐκ τοῦ σπέρματος ἀαρὼν ἦλθεν ἐν ταῖς δυνάμεσι, καὶ οὐκ ἀδικήσει ἡμᾶς. καὶ ἐλάλησε μετ' αὐτῶν λόγους εἰρηνικούς, καὶ ὤμοσεν αὐτοῖς λέγων· οὐκ ἐκζητήσομεν ὑμῖν κακὰ καὶ τοῖς φίλοις ὑμῶν. καὶ ἐνεπίστευσαν αὐτῷ. καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τοὺς λόγους, οὓς ἔγραψε· σαρκας ὁσίων σου, καὶ αἷματα αὐτῶν ἐξέχεαν κύκλῳ ἰερουσαλήμ, καὶ οὐκ ἦν αὐτοῖς ὁ θάπτων. καὶ ἐπέπεσεν αὐτοῖς ὁ φόβος καὶ ὁ τρόμος διὰ πάντα τὸν λαόν, ὅτι εἶπαν· ὅτι οὐκ ἔστιν αὐτοῖς ἀλήθεια καὶ κρίσις. παρέβησαν γὰρ τὴν συνθήκην καὶ τὸν ὅρκον ὃν ὤμοσαν. καὶ ἀπῆρε βακχίδης ἀπὸ ἰερουσαλήμ, καὶ παρενέβαλεν ἐν βηζεθ, καὶ ἀπέστειλε καὶ συνέλαβε πολλοὺς ἀπὸ τῶν μετ' αὐτοῦ, καὶ ἀνθρωπολησε αὐτῶν ἀνδρῶν, καὶ τινας τοῦ λαοῦ, καὶ ἔβυσεν αὐτοὺς εἰς τὸ φρέαρ τὸ μέγα. καὶ κατέστησε τὴν χώραν τοῦ ἀλκίμου, καὶ ἀφῆκε μετ' αὐτοῦ δυνάμεις τοῦ βοηθεῖν αὐτοῦ, καὶ ἀπῆλθε βακχίδης πρὸς τὸν βασιλέα. καὶ ἠγωνίσατο ἄλκιμος περὶ τῆς ἀρχιερωσύνης. καὶ συνήχθησαν πρὸς αὐτὸν πάντες οἱ παράλοσοντες τὸν λαὸν αὐτῶν, καὶ κατεκράτησαν γῆν ἰούδα, καὶ ἐποίησαν πληγὴν μεγάλην ἐν ἰσραήλ. καὶ εἶδεν ἰούδας πᾶσαν τὴν κακίαν ἣν ἐποίησεν ἄλκιμος, καὶ οἱ μετ' αὐτοῦ ἐν ἰοῖς ἰσραὴλ ὑπὲρ τὰ ἔθνη. καὶ ἐξῆλθεν εἰς πάντα τὰ ὅρια τῆς ἰουδαίας κυκλόθεν, καὶ ἐποίησεν ἐκδίκησιν ἐν τοῖς ἀνδράσι τοῖς αὐτομολήσασι, καὶ ἀνέστειλησαν τοῦ πορεύεσθαι εἰς τὴν χώραν. ὡς δὲ εἶδεν ἄλκιμος ὅτι ἐνίσχυσεν ἰούδας καὶ οἱ μετ' αὐτοῦ, καὶ ἔγνω ὅτι οὐ δύναται ὑποστῆναι αὐτούς, καὶ ἀπέστρεψε πρὸς τὸν βασιλέα, καὶ κατηγόρησεν αὐτῶν πονηρά. καὶ ἀπέστειλεν ὁ βασιλεὺς νικάνορα, ἕνα τῶν ἀρχόντων αὐτοῦ τῶν ἐνδόξων, καὶ μισοῦντα καὶ ἐχθραίνοντα τὸν ἰσραὴλ, καὶ ἐνετείλατο αὐτῷ ἐξᾶραι τὸν λαόν. καὶ ἦλθε νικάνωρ εἰς ἰερουσαλήμ δυνάμει πολλῇ, καὶ ἀπέστειλε πρὸς ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ μετὰ δόλου λόγοις εἰρηνικοῖς λέγων· μὴ ἔστω μάχη ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν, ἥξω γὰρ ἐν ὀλίγοις, ἵνα ὑμῶν ἴδω τὰ πρόσωπα μετ' εἰρήνης. καὶ ἦλθε πρὸς ἰούδαν, καὶ ἠσπάσαντο ἀλλήλους εἰρηνικῶς. καὶ οἱ πολέμιοι ἦσαν ἕτοιμοι ἁρπάσαι τὸν ἰούδαν. καὶ ἐγνώσθη ὁ λόγος τοῦ ἰούδα, ὅτι μετὰ δόλου ἦλθεν ἐπ' αὐτόν. καὶ ἐφοβήθη ἀπ' αὐτοῦ, καὶ οὐκ ἠβουλήθη ἔτι ἰδεῖν τὸ πρόσωπον αὐτοῦ. καὶ ἔγνω νικάνωρ, ὅτι ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐξῆλθεν εἰς συναντησιν τοῦ ἰούδα κατὰ καφαρσαλαμά. καὶ ἔπεσον τῶν παρὰ νικάνορος ὡσεὶ πεντακόσιοι ἄνδρες, καὶ ἔφυγον εἰς τὴν πόλιν δαβίδ. καὶ μετὰ τοὺς λόγους τούτους ἀνέβη νικάνωρ εἰς τὸ ὄρος σιών. καὶ ἐξῆλθον ἐκ τῶν ἱερέων ἐκ τῶν ἁγίων καὶ ἐκ τῶν πρεσβυτέρων τοῦ λαοῦ, ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς, καὶ δεῖξαι αὐτῷ τὴν ὁλοκάρτωσιν τὴν προσφερομένην ὑπὲρ τοῦ βασιλέως. καὶ ἐμυκτήρισεν αὐτούς, καὶ κατεγέλασεν αὐτῶν, καὶ ἐμίανεν αὐτούς. καὶ ἐλάλησεν ὑπερηφάνως, καὶ ὤμοσε μετὰ θυμοῦ λέγων· ἐὰν μὴ παραδοθῇ ἰούδας, καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς χεῖράς μου τὸ νῦν, ἔστε ἐὰν ἀποστρέψω ἐν εἰρήνῃ, ἐμπυρίσω τὸν οἶκον τοῦτον. καὶ ἐξῆλθε μετὰ θυμοῦ μεγάλου. καὶ εἰσῆλθον οἱ ἱερεῖς, καὶ ἔστησαν κατὰ πρόσωπον τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βυσιασηρίου καὶ τὸ ναὸν, καὶ ἐπλαυσαν τὴν οἰκον τοῦτον ὡσὶ πληθλῶσαι τὸ ὄνομα σου ἐπ' αὐτῷ, εἰν οἶκῳ πρωσευχῆς καὶ διαθήκης τῷ λαῷ σου. ποιησον ἐκδικησιν ἐν τῷ ἀνθρώπῳ τούτῳ καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ, καὶ πατάξατωσαν ἐν ῥομφαίᾳ. μνήσθητι τῶν διασφημιῶν αὐτῶν, καὶ μὴ δῶς αὐτοῖς μονλιὶ. καὶ ἐξῆλθε νικάνωρ ἐξ ἱερουσαλὴμ, καὶ παρενέβαλεν ἐν Βαιθωρὼν, καὶ συνελήτησεν αὐτῷ δυνάμις συρίας. καὶ ἰούδας παρενέβαλεν ἐν ἀδάσᾳ ἐν τριχιλίοις ἀνδράσι. καὶ προσηύξατο ἰούδας καὶ εἶπεν· οἱ παρὰ τοῦ βασιλέως ὅτε ἐβλασφήμησαν, ἐξῆλθεν ἄγγελός σου, καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας, ὕτως σύντριψον τὴν παρεμβολὴν ταύτην ἐνώπιον ἡμῶν σήμερον, καὶ γνώτωσαν οἱ ἐπίλοιποι, ὅτι κακῶς ἐλάλησαν ἐπὶ τὰ ἅγιά σου. καὶ κρῖνον αὐτὸν κατὰ τὴν κακίαν αὐτοῦ. καὶ συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς ἀδάρ. καὶ συνετρίβη ἡ παρεμβολὴ νικάνορος, καὶ ἔπεσεν αὐτὸς πρῶτος ἐν τῷ πολέμῳ. ὡς δὲ εἶδεν ἡ παρεμβολὴ αὐτὸν, ὅτι τέθνηκε νικάνωρ, ῥίψαντες τὰ ὅπλα αὐτῶν ἔφυγον. καὶ κατεδίωξαν αὐτοὺς ὁδὸν ἡμέρας μιᾶς ἀπὸ ἀδάσα ἕως τοῦ ἐλθεῖν εἰς γαζηρα, καὶ ἐσάλπισαν ὀπίσω αὐτῶν ταῖς σαλπιγξὶ τῶν σημασιῶν, καὶ ἐξῆλθον ἐκ πασῶν τῶν κωμῶν τῆς ἰουδαίας κυκλόθεν, καὶ ὑπερεπέρων αὐτούς, καὶ ἀνέστρεφον οὗτοι πρὸς τούτους, καὶ ἔπεσαν πάντες ῥομφαίᾳ, καὶ διετελέσθη ἐξ αὐτῶν ἕως ἑνός. καὶ ἔλαβον τὰ σκῦλα καὶ τὴν προνομὴν, καὶ τὴν κεφαλὴν νικάνορος ἀφεῖλον, καὶ τὴν δεξιὰν αὐτοῦ ἣν ἐξέτεινεν ὑπερηφάνως, καὶ ἐκρέμασαν, καὶ ἐξέτειναν πρὸς τὴν ἱερουσαλήμ. καὶ ηὐφράνθη ὁ λαὸς σφόδρα, καὶ ἦγαγον τὴν ἡμέραν ἐκείνην ἡμέραν εὐφροσύνης μεγάλης, καὶ ἔστησαν τοῦ ἄγειν κατ' ἐνιαυτὸν τὴν ἡμέραν ταύτην τὴν τρισκαιδεκάτην τοῦ ἀδάρ. καὶ ἡσύχασεν ἡ γῆ ἰούδα ἡμέρας ὀλίγας.

ΚΕΦΑΛ. ἡ. 8.

ΚΑὶ ἤκουσεν ἰούδας τὸ ὄνομα τῶν ῥωμαίων, ὅτι εἰσὶ δυνατοὶ ἰσχύι, καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσι τοῖς προσιθεμένοις αὐτοῖς. καὶ ὅσοι ἂν προσέλθωσιν αὐτοῖς, ἰσῶσιν αὐτοῖς φιλίαν. καὶ ὅτι εἰσὶ δυνατοὶ ἰσχύι, καὶ διηγήσαντο αὐτοῦ τοὺς πολέμους αὐτῶν, καὶ τὰς ἀνδραγαθίας ἃς ποιοῦσιν ἐν τοῖς γαλάταις, καὶ ὅτι κατεκράτησαν αὐτῶν, καὶ ἤγαγον αὐτοὺς ὑπὸ φόρον. καὶ ὅσα ἐποίησαν ἐν χώρᾳ ἰασανίας, τοῦ κατακρατῆσαι τῶν μετάλλων τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου τοῦ ἐκεῖ. καὶ κατεκράτησαν τοῦ τόπου πάντος τῇ βουλῇ αὐτῶν καὶ τῇ μακροθυμίᾳ. καὶ ὁ τόπος ἦν μακρὰν ἀπέχων ἀπ' αὐτῶν σφόδρα, καὶ τῶν βασιλέων τῶν ἐπελθόντων ἐπ' ἄκρου τῆς γῆς ἕως συνέτριψαν αὐτούς, καὶ ἐπάταξαν ἐν αὐτοῖς πληγὴν μεγάλην, καὶ οἱ ἐπίλοιποι διδόασιν αὐτοῖς φόρον κατ' ἐνιαυτόν. καὶ τὸν Φίλιππον καὶ τὸν πρότερον Περσέα βασιλέα, καὶ τοὺς ἐπηρμένους ἐπ' αὐτοὺς, συνέτριψαν αὐτοὺς πολέμῳ, καὶ κατεκράτησαν αὐτῶν. καὶ Αὐτίοχον τὸν μέγαν βασιλέα τῆς Ἀσίας τὸν προβεβηκότα ἐπ' αὐτοὺς εἰς πόλεμον ἔχοντα ρκ' ἐλέφαντας, καὶ ἵππον, καὶ ἅρματα, καὶ δύναμιν πολλὴν σφόδρα. καὶ συνετρίβη ἀπ' αὐτῶν, καὶ ἔλαβον αὐτὸν ζῶντα, καὶ ἔστησαν αὐτοῖς διδόναι αὐτόν τε, καὶ τοὺς βασιλεύοντας μετ' αὐτὸν φόρον μέγαν, διδόναι ὁμήρους καὶ σταθμὸν, καὶ χώραν τὴν ἰνδικὴν, καὶ μηδείαν, καὶ λυδίαν, καὶ ἀπὸ τῶν καλλίστων χωρῶν αὐτῶν. καὶ λαβόντες αὐτὰς παρ' αὐτοῦ ἔδωκαν αὐτὰς δωρεὰν τῷ βασιλεῖ. καὶ ὅτι οἱ ἐκ τῆς ἑλλάδος ἐβουλεύσαντο ἐλθεῖν καὶ ἀνελεῖν αὐτούς, καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς, καὶ ἀπέστειλαν ἐπ' αὐτοὺς στρατηγόν ἕνα, καὶ ἐπολέμησαν πρὸς αὐτούς. καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί, καὶ ἠχμαλώτισαν πολλούς, τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ προενόμευσαν αὐτούς, καὶ κατεκράτησαν τῆς γῆς αὐτῶν, καὶ καθεῖλον τὰ ὀχυρώματα αὐτῶν, καὶ προενόμευσαν αὐτούς, καὶ κατεδουλώσαντο αὐτοὺς ἕως τῆς ἡμέρας ταύτης. καὶ τὰς λοιπὰς βασιλείας καὶ τὰς νήσους, ὅσοι ποτὲ ἀντέστησαν αὐτοῖς, κατέφθειραν, καὶ ἐδούλωσαν αὐτούς. μετὰ δὲ τῶν φίλων αὐτῶν, καὶ τῶν ἐπαναπαυομένων αὐτοῖς συνετήρησαν αὐτοῖς φιλίαν, καὶ κατεκράτησαν τῶν βασιλειῶν τῶν ἐγγὺς καὶ τῶν μακρὰν. καὶ ὅσοι ἤκουσαν τὸ ὄνομα αὐτῶν, ἐφοβοῦντο ἀπ' αὐτῶν. ὅσοις δ' ἂν βούλωνται βοηθεῖν καὶ βασιλεύειν βασιλεύουσιν, οὓς δ' ἂν βούλωνται μεθιστῶσι, καὶ ὑψώθησαν σφόδρα. καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπέθετο οὐδεὶς αὐτοῖς διάδημα, καὶ οὐ πορφύραν ἐνεδύσαντο πορφύραν, ὥς τε ἀσφρωθῆναι ἐν αὐτῇ. καὶ βουλευτήριον ἐποίησαν ἑαυτοῖς, καὶ καθημέραν ἐβουλεύοντο τριακόσιοι καὶ εἴκοσι βουλεύοντες διαπαντὸς περὶ τοῦ πλήθους, τοῦ διορθοῦσθαι αὐτούς. καὶ πιστεύουσιν ἑνὶ ἀνθρώπῳ, ἄρχειν αὐτῶν κατ' ἐνιαυτὸν, καὶ κυριεύειν πάσης τῆς γῆς αὐτῶν. καὶ πάντες ἀκούουσι τοῦ ἑνός, καὶ οὐκ ἔστι φθόνος, οὐδὲ ζῆλος ἐν αὐτοῖς. καὶ ἐπέλεξεν ἰούδας τὸν Εὐπόλεμον υἱὸν Ἰωάννου τοῦ ἀκκώς, καὶ Ἰάσονα υἱὸν Ἐλεαζάρου, καὶ ἀπέστειλαν αὐτοὺς εἰς ῥώμην στῆσαι αὐτοῖς φιλίαν καὶ συμμαχίαν, καὶ τοῦ ἆραι τὸν ζυγὸν ἀπ' αὐτῶν, ὅτι εἶδον τὴν βασιλείαν τῶν ἑλλήνων κατασυνυμένους τὸν ἰσραὴλ δουλείαν. καὶ ἐπορεύθησαν εἰς ῥώμην, καὶ ἡ ὁδὸς πολλὴ σφόδρα. καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον, καὶ ἀπεκρίθησαν καὶ εἶπον. ἰούδας ὁ καὶ μακκαβαῖος, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ τὸ πλῆθος τῶν ἰουδαίων ἀπέσταλκεν

ἡμᾶς

ἡμᾶς πρὸς ὑμᾶς, σῶσαι μεθ' ἡμῶν συμμαχίαν καὶ εἰρήνην, καὶ γραφῆναι ἡμᾶς συμμάχους καὶ φίλους ὑμῶν. καὶ ἤρεσεν ὁ λόγος καὶ γνώμη αὐτῶν. καὶ τοῦτο τὸ αὐτίγραφον τῶν ἐπιστολῶν ἦν αὐτέγραψαν ἐν δέλτοις χαλκοῖς, καὶ ἀπέστειλαν εἰς Ἱεροσόλυμα· ἦν παρ' αὐτοῖς ἐκεῖ μνημόσυνον εἰρήνης. καὶ σύμμαχος καλῶς γέγοιτο ῥωμαίοις καὶ τοῖ ἔθνει Ἰουδαίων ἐν τῇ θαλάσσῃ, καὶ ὧδε ἐξ ἐρᾶς εἰς τὸν αἰῶνα, καὶ ῥομφαῖα καὶ ἔχθρος μακρυνθείη ἀπ' αὐτῶν. ἐὰν δὲ ὧδε πόλεμος ἐν ῥώμῃ πρωτόρια, ἢ πᾶσι τοῖς συμμάχοις αὐτῶν ἐν πάσῃ ἐπικρατείᾳ αὐτῶν, συμμαχήσει τὸ ἔθνος τῶν Ἰουδαίων, ὡς ἂν ὁ καιρὸς ἐπιγράφῃ αὐτοῖς καρδίᾳ πληρεῖ, καὶ τοῖς πολεμοῦσιν, οὐδὲ ἐπιβοήσουσι σίτου, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε ῥωμαίοις. καὶ φυλάξουσι τὰ φυλάγματα αὐτῶν, ὥσπερ λαβόντος. καὶ τὰ αὐτὰ δὲ ἐὰν ἔθνει Ἰουδαίων συμβῇ πρωτόροις πολεμοῦσι, συμμαχήσουσιν οἱ ῥωμαῖοι ἐκ ψυχῆς, ὡς ἂν αὐτοῖς ὁ καιρὸς ἐπιγράφῃ. καὶ τοῖς συμμαχοῦσιν Ἰουδαίων σίτου, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε ῥώμῃ, καὶ φυλάξουσι τὰ φυλάγματα τούτων, καὶ ὁ μετὰ Ἰουδαίων. καὶ οὗτος λόγος τούτους ἔσωσαν ῥωμαῖοι παρ' Ἰουδαίων. ἐὰν δὲ μετὰ τοῦτον λόγους τούτους βουλεύσωνται ἢ τοι καὶ ὅτι προσθεῖναι ἢ ἀφελεῖν, ποιήσονται δι' αἱρέσεως αὐτῶν, καὶ ὃ ἐὰν προσθῶσιν ἢ ἀφέλωσιν, ἔσται κύριον. καὶ περὶ τῶν κακῶν ὧν ὁ Βασιλεὺς Δημήτριος συνετέλεσεν εἰς αὐτούς, ἐγράψαμεν αὐτῷ λέγοντες· διατί ἐβάρυνας τὸν ζυγόν σου ἐπὶ τοὺς φίλους ἡμῶν τοὺς συμμάχους Ἰουδαίους; ἐὰν οὖν ἔτι γένηται κατὰ σοῦ, ποιήσομεν αὐτοῖς δίκην, καὶ πολεμήσομέν σε διὰ θαλάσσης καὶ διὰ ξηρᾶς.

ΚΕΦΑΛ. θ. ι.

Καὶ ἤκουσε Δημήτριος ὅτι ἐπέπεσε νικαύωρ καὶ αἱ δυνάμεις αὐτοῦ πόλεμον, καὶ προσέθετο τὴν Βακχίδην καὶ τὸν Ἀλκιμον εἰς Ἰουδαίαν, καὶ τὸ δεξιὸν μέρος μετ' αὐτῶν. καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Γαλγαλα, καὶ παρενέβαλον ἐπὶ Μασαλὼθ τὴν ἐν Ἀρβήλοις, καὶ προκατέλαβον αὐτὴν, καὶ ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς. καὶ τῷ μηνὶ τῷ πρώτῳ ἔτους τοῦ δευτέρου καὶ ἑκατοστοῦ παρενέβαλον ἐπὶ Ἱερουσαλήμ. καὶ ἀπῆραν καὶ ἐπορεύθησαν εἰς Βηρὲα ἐν εἴκοσι χιλιάσιν ἀνδρῶν, καὶ δισχίλιοι ἱππεῖς. καὶ Ἰούδας ἦν παρεμβεβληκὼς ἐν Ἐλεασὰ, καὶ τρισχίλιοι ἄνδρες ἐπλεκτοὶ μετ' αὐτοῦ, καὶ εἶδον τὸ πλῆθος τῶν δυνάμεων, ὅτι πολλοί εἰσι, καὶ ἐφοβήθησαν σφόδρα. καὶ ἐξερύησαν πολλοὶ ἀπὸ τῆς παρεμβολῆς, οὐ κατελείφθησαν ἐξ αὐτῶν ἀλλ' ἢ ὀκτακόσιοι ἄνδρες. καὶ εἶδεν Ἰούδας ὅτι ἀπερρύη ἡ παρεμβολὴ αὐτοῦ, καὶ ὁ πόλεμος ἐβλίβη αὐτόν, καὶ συνετρίβη τῇ καρδίᾳ, ὅτι οὐκ ἦχε καιρὸν συναγαγεῖν αὐτούς, καὶ ἐξελύθη. καὶ εἶπε τοῖς καταλειφθεῖσιν· ἀναστῶμεν καὶ ἀναβῶμεν ἐπὶ τοὺς ἐναντίους ἡμῶν, ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι αὐτούς. καὶ ἀπέστρεψαν αὐτὸν λέγοντες· οὐ μὴ δυνώμεθα, ἀλλ' ἢ σώζωμεν τὰς ἑαυτῶν ψυχάς. τὸ νῦν ἐπιστρέψωμεν. καὶ οἱ ἀδελφοὶ ἡμῶν ἀπερρύησαν, καὶ πολεμήσομεν πρὸς αὐτοὺς ἡμεῖς δὲ ὀλίγοι; καὶ εἶπεν Ἰούδας· μὴ μοι γένοιτο, ποιῆσαι τὸ πρᾶγμα τοῦτο, φυγεῖν ἀπ' αὐτῶν. εἰ ἤγγικεν ὁ καιρὸς ἡμῶν, καὶ ἀποθανούμεθα εὐθείας χάριν τῶν ἀδελφῶν ἡμῶν, καὶ μὴ καταλίπωμεν αἰτίαν τῇ δόξῃ ἡμῶν. καὶ ἀπῆρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβολῆς, καὶ ἔστησαν εἰς συναντησιν αὐτοῖς. καὶ ἐμερίσθη ἡ ἵππος εἰς δύο μέρη, καὶ οἱ σφενδονηταὶ, καὶ οἱ τοξόται πρὸ τῆς παρεμβολῆς ἦσαν. καὶ οἱ πρωτοστάται πάντων οἱ δυνατοί. Βακχίδης δὲ ἦν ἐν τῷ δεξιῷ μέρει. καὶ ἤγγισεν ἡ φάλαγξ ἐκ τῶν δύο μερῶν, καὶ ἐφώνουν ταῖς σάλπιγξι, καὶ ἐσάλπισαν οἱ παρὰ Ἰούδᾳ καὶ αὐτοὶ ταῖς σάλπιγξι, καὶ ἐσαλεύθη ἡ γῆ ἀπὸ τῆς φωνῆς τῆς παρεμβολῆς, καὶ ἐγένετο ὁ πόλεμος συνκεκλυσμένος ἀπὸ πρωΐθεν ἕως ἑσπέρας. καὶ εἶδεν Ἰούδας ὅτι Βακχίδης, καὶ τὸ στρατευμα τῆς παρεμβολῆς ἐν τοῖς δεξιοῖς. καὶ συνῆλθον αὐτῷ πάντες οἱ ἄνδρες καρδίᾳ, καὶ συνετρίβη τὸ δεξιὸν μέρος ἀπ' αὐτῶν, καὶ ἐδίωκον ὀπίσω αὐτῶν ἕως ἀζώτου τὸ ὄρος. καὶ οἱ εἰς τὸ ἀριστερὸν μέρος ἔδυν ὅτι συνετρίβη τὸ δεξιὸν μέρος, καὶ ἐπέστρεψαν κατὰ πόδας Ἰούδα, καὶ ἐν μετ' αὐτοῦ ἐκ τῶν ὀπίσω. καὶ ἐβαρύνθη ὁ πόλεμος, καὶ ἔπεσον τραυματίαι πολλοὶ ἐκ τούτων καὶ ἐκ τούτων, καὶ Ἰούδας ἔπεσε, καὶ οἱ λοιποὶ ἔφυγον. καὶ ἦραν Ἰωνάθαν καὶ Σίμωνα Ἰούδαν τὸν ἀδελφὸν αὐτῶν, καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν πατέρων αὐτοῦ ἐν Μωδεείμ, καὶ ἔκλαυσαν αὐτὸν, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπυθοῦντο ἡμέρας πολλὰς, καὶ εἶπαν· πῶς ἔπεσε δυνατὸς σώζων τὸν Ἰσραήλ; καὶ τὰ περισσὰ τῶν λόγων Ἰούδα καὶ τῶν πολέμων καὶ τῶν ἀνδραγαθιῶν ὧν ἐποίησε, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐ κατεγράφη· πολλὰ γὰρ ἦν σφόδρα. καὶ ἐγένετο μετὰ τὸν τελευτὴν Ἰούδου, ἐξέκυψαν οἱ ἄνομοι ἐν πᾶσι τοῖς ὁρίοις Ἰσραὴλ, καὶ ἀνέτειλαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀδικίαν. ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένηθη λιμὸς μέγας σφόδρα, καὶ συνεμολόγησεν ἡ χώρα μετ' αὐτῶν. καὶ ἐξέλεξε Βακχίδης τοὺς ἀσεβεῖς ἀνδρας, καὶ κατέστησεν αὐτοὺς κυρίους τῆς χώρας, καὶ ἐζήτουν καὶ ἐξηρεύνων τοὺς φίλους Ἰούδου, καὶ ἤγαγον αὐτοὺς πρὸς Βακχίδην, καὶ ἐξεδίκει αὐτούς, καὶ ἐνέπαιζεν αὐτοῖς. καὶ ἐγένετο θλῖψις μεγάλη ἐν τῷ Ἰσραὴλ, ἣ οὐκ ἐγένετο ἀφ' ἧς ἡμέρας· οὐκ ὤφθη προφήτης ἐν αὐτοῖς. καὶ ἠθροίσθησαν πάντες οἱ φίλοι Ἰούδου, καὶ εἶπον τῷ Ἰωνάθαν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφ' ὃ ὁ ἀδελφός σου ἰούδας πεπολέμηκε, καὶ αὐτὴρ ὅμοιος αὐτῷ ἐκ ἔστιν ἐξελθεῖν πρὸς τοὺς ἐχθρούς, καὶ βακχίδην, καὶ γὰ τοῖς ἐχθραίνουσι τὸ ἔθνος ἡμῶν. νῦν οὖν σε προτεταμένθαι σύμβουλον, τοῦ εἶναι αὐτὸ ἡμῖν εἰς ἄρχοντα καὶ ἡγούμενον, τοῦ πολεμῆσαι τὸν πόλεμον ἡμῶν. καὶ ἐπελέξατο ἰωνάθαν γὰ τοὺς λαοὺς τὸν ἐκείνων τὴν ἡμέραν, καὶ αὐέστη αὐτὶ ἰούδου τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ ἔγνω βακχίδης, καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι. καὶ ἔγνω ἰωνάθαν, καὶ σίμων ὁ ἀδελφὸς αὐτοῦ, καὶ πάντες οἱ μετ' αὐτοῦ, καὶ ἔφυγον εἰς τὴν ὀρεινὴν θεκωέ, καὶ ἐπέβαλον ὕδωρ ὑδάτων λάκκου ἀσφαλῆ. καὶ ἔγνω βακχίδης τῇ ἡμέρᾳ τοῦ σαββάτου, καὶ ἦλθεν αὐτὸς, καὶ πᾶν στράτευμα αὐτοῦ πέραν τοῦ ἰορδάνου. καὶ ἀπέστειλε τὸν ἀδελφὸν αὐτοῦ ἡγούμενον τοῦ ὄχλου, καὶ παρεκάλεσε τοὺς ναυκλήρους φίλους αὐτοῦ, πορεύεσθαι αὐτοὺς τὴν ἀποσκευὴν αὐτῶν τὴν πολλήν. καὶ ἐξῆλθον οἱ υἱοὶ ἰαμβρὶ ἐκ μηδαβᾶ, καὶ συνέλαβον ἰωάννην, καὶ πάντα ὅσα εἶχεν, καὶ ἀπῆλθον ἔχοντες. μετὰ δὲ τοὺς λόγους τούτους ἀπήγγειλαν τῷ ἰωνάθαν, καὶ σίμωνι τῷ ἀδελφῷ αὐτοῦ, ὅτι οἱ υἱοὶ ἰαμβρὶ ποιοῦσι γάμον μέγαν, καὶ ἄγουσι τὴν νύμφην ἀπὸ ναδιαβάθ, θυγατέρα ἑνὸς τῶν μεγιστάνων μεγάλων τῆς χαναάν, μετὰ πομπῆς μεγάλης. καὶ ἐμνήσθη ἰωάννης τοῦ ἀδελφοῦ αὐτῶν, καὶ ἀνέβησαν, καὶ ἐκρύβησαν ὑπὸ τὴν σκέπην τοῦ ὄρους, καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον, καὶ ἰδοὺ θόρυβος καὶ ἀποσκευὴ πολλή. καὶ ὁ νυμφίος ἐξῆλθε, καὶ οἱ φίλοι αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς συναντησιν αὐτῶν μετὰ τυμπάνων καὶ μουσικῶν, καὶ ὅπλων πολλῶν. καὶ ἐξανέστησαν ἐπ' αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου, οἱ πρῶτοι ἰωνάθαν, καὶ ἀπέκτειναν αὐτούς, καὶ ἔπεσον τραυματίαι πολλοί. καὶ οἱ ἐπίλοιποι ἔφυγον εἰς τὸ ὄρος, καὶ ἔλαβον πάντα τὰ σκῦλα αὐτῶν, καὶ μετεστράφη ὁ γάμος εἰς θρῆνον, καὶ ἡ φωνὴ μουσικῶν αὐτῶν εἰς θρῆνον. καὶ ἐξεδίκησαν τὸν ἐκδίκησιν αἵματος ἀδελφοῦ αὐτῶν, καὶ ἀπέστρεψαν εἰς τὸ ἕλος τοῦ ἰορδάνου. καὶ ἦκουσε βακχίδης, καὶ ἦλθε τῇ ἡμέρᾳ τοῦ σαββάτου ἕως τοῦ μεσπίλου τοῦ ἰορδάνου ἐν δυνάμει πολλῇ. καὶ εἶπεν ἰωνάθαν τοῖς παρ' αὐτοῦ· ἀναστῶμεν νῦν, καὶ πολεμήσωμεν ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὁ γὰρ ὅρκος οὐκ ἔστιν ὡς ἐχθές, καὶ τρίτην ἡμέραν. ἰδοὺ γὰρ ὁ πόλεμος ἐξ ἐναντίας ἡμῶν, καὶ ἐξ ὀπίσθεν ἡμῶν. τὸ δὲ ὕδωρ τοῦ ἰορδάνου ἐνθεν καὶ ἐνθεν, καὶ ἕλος καὶ δρυμός, οὐκ ἔστι τόπος τοῦ ἐκκλίναι. νῦν οὖν βοήσατε εἰς οὐρανόν, ὅπως σωθῆτε ἐκ χειρὸς ἐχθρῶν ἡμῶν. καὶ συνῆψεν ὁ πόλεμος, καὶ ἐξέτεινεν ἰωνάθαν τὴν χεῖρα αὐτοῦ πατάξαι τὸν βακχίδην, καὶ ἐξέκλινεν ἀπ' αὐτοῦ εἰς τὰ ὀπίσω. καὶ ἐνεπήδησεν ἰωνάθαν, καὶ οἱ μετ' αὐτοῦ τὸν ἰορδάνην, καὶ διενεκολύμβησαν εἰς τὸ πέραν, καὶ οὐ διέβησαν ἐπ' αὐτοὺς τὸν ἰορδάνην. καὶ διέπεσον παρὰ βακχίδῃ τῇ ἡμέρᾳ ἐκείνῃ εἰς χιλίους ἄνδρας. καὶ ἐπέστρεψεν εἰς ἰερουσαλήμ, καὶ ᾠκοδόμησε πόλεις ὀχυρὰς ἐν τῇ ἰουδαίᾳ, τὸ ὀχύρωμα τὸ ἐν ἰεριχὼ, καὶ τὴν ἐμμαοὺμ, καὶ τὴν βαιθωρὼν, καὶ τὴν βαιθὴλ, καὶ τὴν θαμναθὰ φαραθωνί, καὶ τὴν τεφὼν ἐν τείχεσιν ὑψηλοῖς, καὶ πύλαις καὶ μοχλοῖς. καὶ ἔθετο φρουρὰν ἐν αὐτοῖς τοῦ ἐχθραίνειν τὸν ἰσραήλ, καὶ ὠχύρωσε τὴν πόλιν τὴν ἐν βαιθσούρᾳ, καὶ τὴν γάζαρα, καὶ τὴν ἄκραν, καὶ ἔθετο ἐν αὐταῖς δυνάμεις καὶ παραθέσεις βρωμάτων. καὶ ἔλαβε τοὺς υἱοὺς τῶν ἡγουμένων τῆς χώρας ὁμήρους, καὶ ἔθετο αὐτοὺς ἐν τῇ ἄκρᾳ ἐν ἰερουσαλὴμ ἐν φυλακῇ. καὶ ἐν ἔτει τριτῷ καὶ ὀγδοηκοστῷ καὶ ἑκατοστῷ, μηνὶ τῷ δευτέρῳ, ἐπέταξεν ἀλκίμῳ καθαιρεῖν τὸ τεῖχος τῆς αὐλῆς τοῦ ἁγίου τῆς ἐσωτέρας, καὶ καθεῖλε τὰ ὄργανα τῶν προφητῶν, καὶ ἤνοιξε τὸ καθαιρεῖν. ἐν τῷ καιρῷ ἐκείνῳ ἐπλήγη ἄλκιμος, καὶ ἐνεποδίσθη τὰ ὄργανα αὐτοῦ, καὶ ἀπεφράγη τὸ στόμα αὐτοῦ, καὶ παρελύθη, καὶ οὐκ ἐδυνάστευσεν ἔτι λαλῆσαι λόγον, καὶ ἐνετείλασθαι περὶ τοῦ οἴκου αὐτοῦ. καὶ ἀπέθανεν ἄλκιμος ἐν τῷ καιρῷ ἐκείνῳ μετὰ βασάνου μεγάλης. καὶ εἶδε βακχίδης, ὅτι ἀπέθανεν ἄλκιμος, καὶ ἀπέστρεψε πρὸς τὸν βασιλέα. καὶ ἡσύχασεν ἡ γῆ ἰούδα ἔτη δύο, καὶ ἐβουλεύσαντο πάντες οἱ ἄνομοι λέγοντες· ἰδοὺ ἰωνάθαν, καὶ οἱ παρ' αὐτοῦ ἐν ἡσυχίᾳ κατοικοῦσι πεποιθότες. νῦν οὖν ἄξομεν τὸν βακχίδην, καὶ συλλήψεται αὐτοὺς πάντας ἐν νυκτὶ μιᾷ. καὶ πορευθέντες συνεβουλεύσαντο αὐτῷ. καὶ ἀπῆρε τοῦ ἐλθεῖν μετὰ δυνάμεως πολλῆς, καὶ ἀπέστειλεν ὡς πολλὰς λάθρα ἐπιστολὰς τοῖς συμμάχοις αὐτοῦ, τοῖς ἐν τῇ ἰουδαίᾳ, ὅπως συλλάβωσι τὸν ἰωνάθαν, καὶ οὓς μετ' αὐτοῦ, καὶ οὐκ ἐδυνάσθησαν, ὅτι ἐγνώσθη αὐτοῖς ἡ βουλὴ αὐτῶν. καὶ συνελάβοσαν ἐκ τῶν ἀνδρῶν τῆς χώρας, τῶν ἀρχηγῶν τῆς κακίας εἰς πεντήκοντα ἄνδρας, καὶ ἀπέκτειναν αὐτούς. καὶ ἐξεχώρησεν ἰωνάθαν, καὶ σίμων, καὶ οἱ μετ' αὐτοῦ εἰς βαιθβασί, τὴν ἐν τῇ ἐρήμῳ, καὶ ᾠκοδόμησε τὰ καθῃρημένα αὐτῆς, καὶ ἐστερέωσαν αὐτήν. καὶ ἔγνω βακχίδης, καὶ συνήγαγε πᾶν τὸ πλῆθος αὐτοῦ, καὶ τοὺς ἐκ τῆς ἰουδαίας πορεύεσθαι. καὶ ἦλθεν προσέβαλεν πρὸς βαιθβασί, καὶ ἐπολέμησεν αὐτὴν ἡμέρας πολλάς, καὶ ἐποίησε μηχανάς, καὶ ἀπέλιπεν ἰωνάθαν σίμωνα τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ πόλει, καὶ ἐξῆλθεν εἰς τὴν χώραν. καὶ ἐξῆλθεν ἐν ἀριθμῷ, καὶ ἐπάταξεν ὀδομηρὰ, καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ τοὺς υἱοὺς φασιρὼν ἐν τῷ σκηνώματι αὐτῶν. καὶ ἐξήρξατο τύπτειν, καὶ ἀνέβαινεν ἐν ταῖς δυνάμεσι. καὶ σίμων καὶ οἱ μετ' αὐτοῦ ἐξῆλθον ἐκ τῆς πόλεως, καὶ ἐνέπυρισαν τὰς μηχανάς, καὶ ἐπολέμησαν πρὸς τὸν βακχίδην. καὶ συνετρίβη ὑπὸ αὐτῶν, καὶ ἐβλέβον αὐτὸν σφόδρα, ὅτι ἰὼν ἡ βουλὴ αὐτοῦ καὶ ἡ ἔφοδος αὐτοῦ ἰσχνή. καὶ ὠργίσθησαν θυμῷ τοῖς ἀνδράσι τοῖς ἀνόμοις, τοῖς συμβουλεύσασιν αὐτῷ ἐλθεῖν εἰς τὴν χώραν, καὶ ἀπέκτειναν ἐξ αὐτῶν πολλούς.

πολλὰς, καὶ ἐβδελύξατο τὸ ἀπελθεῖν εἰς τὴν γῆν αὐτῶν. καὶ ἐπέγνω Ἰωνάθαν, καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις, τοῦ συνθέσθαι πρὸς αὐτὸν εἰρήνην, καὶ ἀργίσαι αὐτοῖς τὴν ἀχμαλωσίαν. καὶ ἀπεδέξατο, καὶ ἐποίησε μετ' αὐτῶν λόγους αὐτοῦ, καὶ ὤμοσεν αὐτῷ μὴ ἐκζητῆσαι αὐτὸν κακὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ ἀπέδωκεν αὐτῷ τὴν ἀχμαλωσίαν, ἣν ἠχμαλώτευσε πρότερον ἐκ γῆς Ἰούδα, καὶ ἀπεστράφη ἀπὸ πλῆθος εἰς τὴν γῆν αὐτοῦ, καὶ οὐκέτι ἦλθεν εἰς τὰ ὅρια αὐτῶν. καὶ κατέπαυσε ῥομφαίαν ἀπὸ Ἰσραήλ, καὶ ὤκησεν Ἰωνάθαν ἐν Μαχμαδ. καὶ ἤρξατο Ἰωνάθας λοιμεῖν τὸν λαὸν, καὶ ἠφάνισε τοὺς ἀσεβεῖς ἀπὸ Ἰσραήλ.

ΚΕΦΑΛ. ι'. 10.

ΚΑὶ ἐν ἔτει ἑξηκοστῷ καὶ ἑκατοστῷ, ἀνέβη Ἀλέξανδρος ὁ τοῦ Αὐτιόχου ὁ Ἐπιφανὴς, καὶ κατελάβετο Πτολεμαΐδα, καὶ ἐπεδέξαντο αὐτὸν, καὶ ἐβασίλευσεν ἐκεῖ. καὶ ἤκουσε Δημήτριος ὁ Βασιλεὺς, καὶ συνήγαγε δυνάμεις πολλὰς σφόδρα, καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτοῦ εἰς πόλεμον. καὶ ἀπέστειλε Δημήτριος πρὸς Ἰωνάθαν λόγους εἰρηνικοὺς, ὥστε μεγαλῦναι αὐτὸν. εἶπε γὰρ· προφθάσωμεν τοῦ εἰρηνεῦσαι μετ' αὐτῶν, πρὶν ἢ ποιῆσαι αὐτὸν μετὰ Ἀλέξανδρον κατ' ἡμῶν. μνησθήσεται γὰρ πάντων τῶν κακῶν, ὧν ἐποιήσαμεν πρὸς αὐτὸν, καὶ εἰς τὸν ἀδελφὸν αὐτοῦ, καὶ εἰς τὸ ἔθνος αὐτοῦ. καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν συναγαγεῖν δυνάμεις, καὶ κατασκευάζειν ὅπλα, καὶ εἶναι αὐτὸν σύμμαχον αὐτοῦ. καὶ τοὺς ὁμήρους, τοὺς ἐν τῇ ἄκρᾳ, ἐκέλευσε παραδοθῆναι αὐτῷ. καὶ ἦλθεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ, καὶ ἀνέγνω τὰς ἐπιστολὰς εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ, καὶ τῶν ἐκ τῆς ἄκρας, καὶ ἐφοβήθησαν φόβον μέγαν ὅτε ἤκουσαν, ὅτι ἔδωκεν αὐτῷ ὁ Βασιλεὺς ἐξουσίαν συναγαγεῖν δυνάμεις. καὶ παρέδωκαν οἱ ἐκ τῆς ἄκρας Ἰωνάθαν τοὺς ὁμήρους, καὶ ἀπέδωκεν αὐτοὺς τοῖς γονεῦσιν αὐτῶν. καὶ ὤκησεν Ἰωνάθαν ἐν Ἱερουσαλὴμ, καὶ ἤρξατο οἰκοδομεῖν, καὶ ἀνανεοῦν τὴν πόλιν. καὶ εἶπε πρὸς τοὺς ποιοῦντας τὰ ἔργα, οἰκοδομεῖν τὰ τείχη, καὶ τὸ ὄρος σιὼν κυκλόθεν ἐκ λίθων τετραγώνων εἰς ὀχύρωσιν. καὶ ἐποίησαν οὕτως. καὶ ἔφυγον οἱ ἀλλογενεῖς, οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν, οἷς ᾠκοδόμησε Βακχίδης. καὶ κατέλιπεν ἕκαστος τὸν τόπον αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. πλὴν ἐν Βαιθσούροις κατελείφθησάν τινες τῶν καταλιπόντων τὸν νόμον, καὶ τὰ προστάγματα. ἦν γὰρ αὐτοῖς φυγαδευτήριον. καὶ ἤκουσεν Ἀλέξανδρος ὁ Βασιλεὺς τὰς ἐπαγγελίας, ὅσας ἀπέστειλε Δημήτριος τῷ Ἰωνάθαν. καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους, καὶ τὰς ἀνδραγαθίας, ἃς ἐποίησεν αὐτὸς, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ τοὺς κόπους, οὓς εἶχον. καὶ εἶπε· μὴ εὑρήσομεν ἄνδρα τοιοῦτον ἡμεῖς; καὶ νῦν ποιήσομεν αὐτὸν φίλον καὶ σύμμαχον ἡμῶν. καὶ ἔγραψεν ἐπιστολὰς, καὶ ἀπέστειλεν αὐτῷ κατὰ τοὺς λόγους τούτους λέγων· Βασιλεὺς Ἀλέξανδρος τῷ ἀδελφῷ Ἰωνάθαν χαίρειν. ἀκηκόαμεν περὶ σοῦ, ὅτι ἀνὴρ δυνατὸς ἰσχύι, καὶ ἐπιτήδειος εἶ τοῦ εἶναι ἡμῖν φίλος. καὶ νῦν καθεσταμέν σε σήμερον ἀρχιερέα τοῦ ἔθνους σου, καὶ φίλον βασιλέως καλεῖσθαι (καὶ ἀπέστειλεν αὐτῷ πορφύραν, καὶ στέφανον χρυσοῦν) καὶ φρονεῖν τὰ ἡμῶν, καὶ συντηρεῖν φιλίαν πρὸς ἡμᾶς. καὶ ἐνεδύσατο Ἰωνάθας τὴν ἁγίαν στολὴν τῷ ἑβδόμῳ μηνὶ ἔτους ἑξηκοστοῦ καὶ ἑκατοστοῦ, ἐν ἑορτῇ σκηνοπηγίας, καὶ συνήγαγε δυνάμεις, καὶ κατεσκεύασεν ὅπλα πολλά. καὶ ἤκουσε Δημήτριος τοὺς λόγους τούτους, καὶ ἐλυπήθη, καὶ εἶπε· τί τοῦτο ἐποιήσαμεν, ὅτι προέφθακεν ἡμᾶς ὁ Ἀλέξανδρος τοῦ φιλίαν καταθέσθαι πρὸς Ἰουδαίους εἰς σκέπασμα. γράψω αὐτοῖς λόγους παρακλήσεως, καὶ τιμῆς, καὶ δωμάτων, ὡς τοῦ ὦσι σὺν ἐμοὶ εἰς βοήθειαν. καὶ ἀπέστειλεν αὐτοῖς κατὰ τοὺς λόγους τούτους. Βασιλεὺς Δημήτριος τῷ ἔθνει τῶν Ἰουδαίων χαίρειν. ἐπεὶ συνετηρήσατε τὰς πρὸς ἡμᾶς συνθήκας, καὶ ἐνεμείνατε τῇ φιλίᾳ ἡμῶν, καὶ οὐ προσεχωρήσατε τοῖς ἐχθροῖς ἡμῶν, ἠκούσαμεν, καὶ ἐχάρημεν. καὶ νῦν ἐμμείνατε ἔτι τοῦ συντηρῆσαι πρὸς ἡμᾶς πίστιν, καὶ ἀνταποδώσομεν ὑμῖν ἀγαθὰ ἀνθ' ὧν ποιεῖτε μεθ' ἡμῶν, καὶ ἀφήσομεν ὑμῖν ἀφέματα πολλὰ, καὶ δώσομεν ὑμῖν δόματα. καὶ νῦν ἀπολύω ὑμᾶς, καὶ ἀφίημι ὑμῖν πάντας τοὺς Ἰουδαίους ἀπὸ τῶν φόρων, καὶ ἀπὸ τῆς τιμῆς τοῦ ἁλός, καὶ ἀπὸ τῶν στεφάνων. καὶ ἀντὶ τοῦ τρίτου τῶν σπορῶν, καὶ ἀντὶ τοῦ ἡμίσους τοῦ καρποῦ τοῦ ξυλίνου, τοῦ ὀφείλοντός μοι λαβεῖν, ἀφίημι ἀπὸ τῆς σήμερον καὶ ἐπέκεινα, τοῦ λαβεῖν ἀπὸ τῆς γῆς Ἰούδα. καὶ ἀπὸ τῶν τριῶν νομῶν τῶν προστεθειμένων αὐτῇ ἀπὸ τῆς Σαμαρείτιδος καὶ Γαλιλαίας, καὶ ἀπὸ τῆς σήμερον ἡμέρας καὶ εἰς τὸν αἰῶνα χρόνον. καὶ Ἱερουσαλὴμ ἔστω ἁγία, καὶ ἀφημένη, καὶ τὰ ὅρια αὐτῆς, ἀπὸ δεκάτου καὶ τὰ τέλη. ἀφίημι καὶ τὴν ἐξουσίαν τῆς ἄκρας τῆς ἐν Ἱερουσαλὴμ, καὶ δίδωμι τῷ ἀρχιερεῖ, ὅπως αὐτὸς καταστήσῃ ἐν αὐτῇ ἄνδρας, οὓς ἂν ἐκλέξωνται αὐτὸς τοῦ φυλάσσειν αὐτὴν. καὶ πᾶσαν ψυχὴν Ἰουδαίων τὴν αἰχμαλωτισθεῖσαν ἀπὸ γῆς Ἰούδα εἰς πᾶσαν βασιλείαν μου ἀφίημι ἐλευθέραν δωρεάν. καὶ πάντων ἀφίετωσαν τοὺς φόρους, καὶ λυτρωσάμενοι αὐτῶν. καὶ πᾶσαι αἱ ἑορταὶ, καὶ τὰ σάββατα, καὶ νουμηνίαι, καὶ ἡμέραι ἀποδεδειγμέναι, καὶ τρεῖς ἡμέραι πρὸ ἑορτῆς, καὶ τρεῖς ἡμέραι μετὰ ἑορτὴν ἔστωσαν πᾶσαι αἱ ἡμέραι ἀτελείας καὶ ἀφέσεως πᾶσι τοῖς Ἰουδαίοις, τοῖς οὖσιν ἐν τῇ βασιλείᾳ μου, καὶ οὐκ ἔξει ἐξουσίαν οὐδεὶς πραλογεῖν καὶ ἐνοχλεῖν τινὰ αὐτῶν περὶ παντὸς πράγματος. καὶ παραλαμβάνειν τοὺς Ἰουδαίους εἰς τὰς δυνάμεις τοῦ βασιλέως εἰς τριάκοντα χιλιάδας ἀνδρῶν. καὶ δοθήσεται

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θήσεται αὐτοῖς ἐγγύα, ὡς καθήκει πάσαις ταῖς δωρεαῖς τοῦ βασιλέως. καὶ κατασταθήσεται ἐξ αὐτῶν ἐν τοῖς ὀχυρώμασι τοῦ βασιλέως τοῖς μεγάλοις, καὶ ἐν τούτοις κατασταθήσεται ὑπὲρ χρειῶν τῆς βασιλείας τῶν οὐσῶν εἰς πίστιν. Καὶ οἱ ἐπ' αὐτῶν καὶ οἱ ἄρχοντες ἔστωσαν ἐξ αὐτῶν, καὶ πορεύεσθωσαν τοῖς νόμοις αὐτῶν, καθὰ καὶ προσέταξεν ὁ βασιλεὺς ἐν Ἰουδαίᾳ. καὶ οὓς προσέλαβον νόμους οὓς προστεθῆναι τῇ ἰουδαίᾳ ἀπὸ τῆς χώρας σαμαρείας, προστεθήτω τῇ ἰουδαίᾳ προσ τὸ λογισθῆναι τοῦ χρυσίου ὑφ' ἓν, τοῦ μὴ ὑπακούσαι ἄλλης ἐξουσίας, ἀλλ' ἢ τοῦ ἀρχιερέως. Πτολεμαΐδα, καὶ τὸν προσκυρόσαν αὐτῇ δ' ἔδωκα δῶρα τοῖς ἁγίοις, τοῖς ἐν ἱεροσολύμοις, εἰς τὰς προσαναλώσεις τοῖς ἁγίοις. δίδωμι κατ' ἐνιαυτὸν δεκαπέντε χιλιάδας σίκλων ἀργυρίου, ἀπὸ τῶν λόγων τοῦ βασιλέως, ἀπὸ τῶν τόπων τῶν ἀνηκόντων. καὶ πᾶν τὸ πλεονάζον, ὃ οὐκ ἀπεδίδοσαν ἐκ τῶν χρειῶν, ὡς ἐν τοῖς πρώτοις ἔτεσιν, ἀπὸ τοῦ νῦν δώσουσιν εἰς τὰ ἔργα τοῦ οἴκου, καὶ ὑπὲρ τούτοις πεντακισχιλίας σίκλους ἀργυρίου ἐξ ἐλάμβανον ἀπὸ τῶν χρειῶν, ὡς ἐν τοῖς πρώτοις ἔτεσι τοῦ ἁγίου ἀπὸ τοῦ λόγου κατ' ἐνιαυτόν. καὶ ταῦτα ἀφέσθαι ἐξ αὐτῶν τοὺς ἱερουργοῦντας. καὶ ὅσοι ἐὰν φύγωσιν εἰς τὸ ἱερόν, ἐν ἐν ἱεροσολύμοις, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ ὀφείλοντος βασιλικά, καὶ πᾶν πρᾶγμα, ἀπολελύσθωσαν. καὶ πάντα ὅσα ὄφειλον αὐτοῖς ἐν τῇ βασιλείᾳ μου, καὶ τοῦ οἰκοδομεῖσθαι, καὶ τοῦ πλατύνεσθαι τὰ ἔργα τοῦ ἁγίου, καὶ ἀπὸ παντὸς δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως. Καὶ τοῦ οἰκοδομεῖσθαι τὰ τείχη ἱεροσολύμων, καὶ ὀχυρῶσαι κυκλόθεν, καὶ ἀπὸ παντὸς δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως, καὶ τοῦ οἰκοδομεῖσθαι τὰ τείχη τὰ ἐν τῇ ἰουδαίᾳ. ὡς δὲ ἤκουσεν Ἰωναθᾶς καὶ ὁ λαὸς οὐ λόγους τούτους, οὐκ ἐπίστευσαν αὐτοῖς, οὐδὲ ἐπεσέξαντο, ὅτι ἐπεμνήσθησαν τῆς κακίας τῆς μεγάλης, ἣν ἐποίησεν ἐν ἰσραὴλ, καὶ ἐθλίψεν αὐτοὺς σφόδρα. καὶ συνήλθοσαν ἐν ἀλεξανδρείᾳ, ὅπου αὐτὸς ἐγκάθηται αὐτοῖς ἀρχιερεὺς λόγων εἰρηνικῶν, καὶ συνεμάχουν αὐτῷ πάσας τὰς ἡμέρας. καὶ συνήγαγεν ἀλέξανδρος ὁ βασιλεὺς δυνάμεις μεγάλας, καὶ παρενέβαλεν ἐξ ἐναντίας δημητρίου. καὶ συνῆψαν πόλεμον οἱ δύο βασιλεῖς, καὶ ἔφυγεν ἡ παρεμβολὴ δημητρίου, καὶ ἐδίωξεν αὐτὸν ὁ ἀλέξανδρος, καὶ ἔχυσεν ἐπ' αὐτούς. καὶ ἐνίσχυσε τὸν πόλεμον σφόδρα, ἕως ἔδυ ὁ ἥλιος, καὶ ἔπεσεν ὁ δημήτριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Καὶ ἀπέστειλεν ἀλέξανδρος πρὸς πτολεμαῖον βασιλέα αἰγύπτου πρέσβεις κατὰ τοὺς λόγους τούτους, λέγων· ἐπεὶ ἀνέστρεψα εἰς γῆν βασιλείαν μου, καὶ ἐκάθισα ἐπὶ θρόνου πατέρων μου, καὶ κρατῶ τῆς ἀρχῆς, καὶ συνέτριψα τὸν δημήτριον, καὶ ἐκράτησα τῆς χώρας ἡμῶν, καὶ συνῆψα πρὸς αὐτὸν μάχην, καὶ συνετρίβη αὐτὸς, καὶ ἡ παρεμβολὴ αὐτοῦ ὑφ' ἡμῶν, καὶ ἐκαθίσαμεν ἐπὶ θρόνου βασιλείας αὐτοῦ, καὶ νῦν συνάψωμεν πρὸς ἑαυτοὺς φιλίαν. καὶ νῦν δός μοι τὴν θυγατέρα σου εἰς γυναῖκα, καὶ ἐπιγαμβρεύσω σοι, καὶ δώσω σοι δόματα, καὶ αὐτῇ ἀξίᾳ σοι. καὶ ἀπεκρίθη πτολεμαῖος ὁ βασιλεὺς λέγων· ἀγαθὴ ἡμέρα ἐν ᾗ κατέστρεψας εἰς γῆν πατέρων σου, καὶ ἐκάθισας ἐπὶ θρόνου βασιλείας αὐτῶν, καὶ νῦν ποιήσω σοι ἃ ἔγραψας. ἀλλ' ἀπάντησόν μοι εἰς πτολεμαΐδα, ὅπως ἰδωμεν ἀλλήλους, καὶ ἐπιγαμβρεύσω σοι καθὼς εἴρηκας. καὶ ἐξῆλθε πτολεμαῖος ἐξ αἰγύπτου αὐτὸς, καὶ κλεοπάτρα ἡ θυγάτηρ αὐτοῦ, καὶ ἦλθον πτολεμαΐδα ἔτους ὀγδοηκοστοῦ καὶ ἑκατοστοῦ. καὶ ἀπήντησεν αὐτῷ ἀλέξανδρος ὁ βασιλεὺς, καὶ ἐξέδοτο αὐτῷ κλεοπάτραν τὴν θυγατέρα αὐτοῦ. καὶ ἐποίησεν τὸν γαμον αὐτῇ ἐν πτολεμαΐδι, καθὼς οἱ βασιλεῖς, ἐν δόξῃ μεγάλῃ. καὶ ἔγραψεν ἀλέξανδρος ὁ βασιλεὺς τῷ ἰωνάθαν, ἐλθεῖν εἰς συνάντησιν αὐτῷ. καὶ ἐπορεύθη μετὰ δόξης εἰς πτολεμαΐδα. καὶ ἀπήντησε τοῖς δυσὶ βασιλεῦσι, καὶ ἔδωκεν αὐτοῖς ἀργύριον καὶ χρυσίον, καὶ τοῖς φίλοις αὐτῶν, δόματα πολλὰ, καὶ εὗρε χάριν ἐναντίον αὐτῶν. Καὶ συνήχθησαν πρὸς αὐτὸν ἄνδρες λοιμοὶ ἐξ ἰσραὴλ, ἄνδρες παράνομοι ἐνέτυχεν κατ' αὐτοῦ, καὶ οὐ προσέσχεν αὐτοῖς ὁ βασιλεύς. καὶ προσέταξεν ὁ βασιλεὺς, καὶ ἐξέδυσαν ἰωνάθαν τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνέδυσαν αὐτὸν πορφύραν, καὶ ἐποίησαν οὕτως. καὶ ἐκάθισεν αὐτὸν ὁ βασιλεὺς μετ' αὐτοῦ, καὶ εἶπε τοῖς ἄρχουσιν αὐτοῦ· ἐξέλθετε μετ' αὐτοῦ εἰς μέσον τῆς πόλεως, καὶ κηρύξατε τοῦ μηδένα ἐντυγχάνειν κατ' αὐτοῦ περὶ μηδενὸς πράγματος, καὶ μηδεὶς αὐτῷ ἐνοχλείτω περὶ παντὸς λόγου. καὶ ἐγένετο ὡς εἶδον οἱ ἐντυγχάνοντες τὴν δόξαν αὐτοῦ καθὼς ἐκήρυξαν, καὶ περιεβεβλημένον αὐτὸν πορφύραν, καὶ ἔφυγον πάντες. καὶ ἐδόξασεν αὐτὸν ὁ βασιλεὺς, καὶ ἔγραψεν αὐτὸν τῶν πρώτων φίλων, καὶ ἔθετο αὐτὸν στρατηγὸν καὶ μεριδάρχην. καὶ ἐπέστρεψεν ἰωνάθας εἰς ἱερουσαλὴμ μετ' εἰρήνης καὶ εὐφροσύνης. καὶ ἐν ἔτει τεσσαρακοστῷ καὶ ἑξακοσιοστῷ ἦλθε δημήτριος ὁ τοῦ δημητρίου, ἐκ κρήτης εἰς τὴν γῆν τῶν πατέρων αὐτοῦ. καὶ ἤκουσεν ἀλέξανδρος ὁ βασιλεὺς, καὶ ἐλυπήθη σφόδρα, καὶ ἀπέστρεψεν εἰς αὐτοῦ χώραν. καὶ διέταξεν δημήτριος ἀρχιμάγειρον, ὃς ἦν ἐπὶ κοίλης συρίας, καὶ συνήγαγε δυνάμεις μεγάλας, καὶ ἤρξατο πολεμεῖν ἐν ἰαμνείᾳ καὶ ἀπέστειλε πρὸς ἰωνάθαν τὸν ἀρχιερέα λέγων· σὺ μονώτατος ἐπαίρει ἐφ' ἡμᾶς; ἐγὼ δὲ ἐγγυήθην εἰς διατελῶ, καὶ εἰς ὀνειδισμόν σου εἶ σύ. καὶ νῦν δυνατεύεις ἐφ' ἡμᾶς ἐν τοῖς ὄρεσιν; νῦν οὖν εἰ πέποιθας ἐπὶ ταῖς δυνάμεσί σου, καταβηθι πρὸς ἡμᾶς εἰς τὸ πεδίον, καὶ συγκριθῶμεν ἑαυτοῖς ἐκεῖ, ὅτι μετ' ἐμοῦ ἐστι δυνάμις τῶν πόλεων. ἐρώτησον,

καὶ

καὶ μάθε τὶς εἰμι, καὶ οἱ λοιποὶ οἱ βοηθοῦντες ἡμῖν· καὶ λέγουσιν· ὀκ ἔστιν ὑμῖν σωτηρία ποδὸς τὴν πρόσωπον ἡμῶν, ὅτι σὺς ἐπροπάθησαν οἱ πατέρες σε, ἐν τῇ γῇ αὐτῶν. καὶ νῦν ὁ βασιλεὺς ἐπέστειλεν τοῦ σωθῆναι τοῦ ἵππου, καὶ δυνάμιν τοιαύτην ἐν τῷ πεδίῳ, ὅπερ ὀκ ἔστι λίθος, οὐδὲ κόχλαξ, οὐδὲ τόπος τοῦ φυγεῖν. ὡς δὲ ἤκουσεν ἰωνάθαν τῶν λόγων ἀπελλωνίτ, ἐκινήθη τῇ διανοίᾳ, καὶ ἐπέλεξε δ' ἐκ χιλιάδας ἀνδρῶν, καὶ ἐξῆλθεν ἐξ ἱερουσαλήμ. καὶ συνήντησεν αὐτῷ σίμων ὁ ἀδελφὸς αὐτοῦ ὑπὲρ βοήθειαν αὐτοῦ, καὶ παρενέβαλεν ἐπὶ ἱόππην. καὶ ἀπέκλεισαν αὐτὸν ἐκ τῆς πόλεως, ὅτι φρουρὰ ἀπολλωνίου ἐν ἰόππῃ, καὶ ἐπολέμησαν αὐτήν. καὶ φοβηθέντες οἱ ἐκ τῆς πόλεως. καὶ ἐκένευσεν ἰωνάθαν ἰόππης, καὶ ἦκουσεν ἀπολλωνίου, καὶ παρενέβαλε τρισχιλίαν ἵππον, καὶ δυνάμιν πολλὴν, καὶ ἐπορεύθη εἰς ἄζωτον ὡς διοδεύων. καὶ ἅμα προῆγεν εἰς τὸ πεδίον διὰ τὸ ἔχειν αὐτὸν πλῆθος ἵππου, καὶ πεποιθέναι ἐπ' αὐτήν. καὶ κατεδίωξεν ἰωνάθαν ὀπίσω αὐτοῦ εἰς ἄζωτον, καὶ συνῆψαν αἱ παρεμβολαὶ ὀπίσω αὐτοῦ εἰς πόλεμον. καὶ ἀπέλιπεν ἀπελλωνίου χιλίους ἵππους λαθραίως κατόπισθεν αὐτῶν. καὶ ἔγνω ἰωνάθαν, ὅτι ἔστιν ἐνέδρα κατόπισθεν αὐτοῦ, καὶ ἐκύκλωσαν αὐτοῦ τὴν παρεμβολήν, καὶ ἐξετίναξαν τὰς χεῖρας εἰς τὸν λαὸν ἐκ πρωΐθεν ἕως δείλης. ὁ δὲ λαὸς εἰσήκει καθὼς ἐπέταξεν ἰωνάθαν, καὶ ἐνεπίασαν οἱ ἵπποι αὐτῶν. καὶ εἴλκυσε σίμων τὴν δύναμιν αὐτοῦ, καὶ συνῆψε πρὸς τὴν φάλαγγα. ἡ γὰρ ἵππος ἐξελύθη, καὶ συνετρίβησαν ἀπ' αὐτοῦ, καὶ ἔφυγον, καὶ ἡ ἵππος διεκορπίσθη ἐν τῷ πεδίῳ. καὶ ἔφυγον εἰς ἄζωτον, καὶ εἰσῆλθον εἰς βηθδαγὼν δ εἰδωλεῖον αὐτῶν τοῦ σωθῆναι. καὶ ἐνεπύρισεν ἰωνάθαν τὴν ἄζωτον, καὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῆς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ τὸν ἱερὸν δαγὼν, καὶ τοὺς συμφυγόντας εἰς αὐτὸν ἐνεπύρισε πυρί. καὶ ἐγένοντο οἱ πεπτωκότες μαχαίρας σὺν τοῖς ἐμπυρισθεῖσιν εἰς ἄνδρας ὀκτακισχιλίους. καὶ ἀπῆρεν ἐκεῖθεν ἰωνάθαν, καὶ παρενέβαλεν ἐπὶ ἀσκάλωνα, καὶ ἐξῆλθον οἱ ἐκ τῆς πόλεως εἰς συναντησιν αὐτῷ ἐν δόξῃ μεγάλῃ. καὶ ἐπέστρεψεν ἰωνάθαν εἰς ἱερουσαλὴμ σὺν τοῖς παρ' αὐτοῦ ἔχοντος σκῦλα πολλά. καὶ ἐγένετο ὡς ἤκουσεν ἀλέξανδρος ὁ βασιλεὺς τοὺς λόγους τούτους, καὶ προσέθετο δοξάσαι τὸν ἰωνάθαν, καὶ ἀπέστειλεν αὐτῷ πορφύραν χρυσῆν, ὡς ἔθος ἐστὶ δίδοσθαι τοῖς συγγενέσι τοῦ βασιλέως. καὶ ἐδώκεν αὐτῷ τὴν ἀκκαρών, καὶ πάντα τὰ ὅρια αὐτῆς εἰς κληρονομίαν.

ΚΕΦΑΛ. ιά'. ιι.

Καὶ ὁ βασιλεὺς ἀγύπτου ἤθροισε δυνάμεις πολλὰς ὡς τὴν ἄμμον, τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ πλοῖα πολλά, καὶ ἐζήτησε κατακρατῆσαι τῆς βασιλείας ἀλέξανδρου δόλῳ, καὶ προσθεῖναι αὐτὴν τῷ βασιλείῳ αὐτοῦ. καὶ ἐξῆλθεν εἰς συρίαν λόγοις εἰρηνικοῖς. καὶ ἠνοίγοσαν αὐτῷ οἱ ἀπὸ τῶν πόλεων, καὶ συνήντων αὐτῷ, ὅτι ἐνετείλατο ἀλέξανδρος τοῦ βασιλέως συναντᾶν αὐτῷ διὰ τὸ γυνὴ αὐτοῦ εἶναι. ὡς δὲ εἰσεπορεύετο εἰς τὰς πόλεις ἐπολεμάϊδος, ἀπέστελλε τὰς δυνάμεις καὶ φρουρὰν ἐν ἑκάστῃ πόλει. ὡς δὲ ἤγγισεν ἀζώτου, εἶδεν ἐμπεπυρισμένον τὸν ἱερὸν δαγὼν, καὶ ἄζωτον, καὶ τὰ περίπολια αὐτῆς καθηρημένα, καὶ τὰ σώματα ἐρριμμένα, καὶ τοὺς ἐμπεπυρισμένους οὓς ἐνεπύρισεν ἐν τῷ πολέμῳ. ἐποίησαν γὰρ θημωνίας αὐτῶν ἐν τῇ ὁδῷ αὐτοῦ. καὶ διηγήσαντο τῷ βασιλεῖ ἃ ἐποίησεν ἰωνάθαν εἰς τὸ ψογῆσαι αὐτὸν, καὶ ἐσίγησεν ὁ βασιλεύς. καὶ συνήντησεν ἰωνάθαν τῷ βασιλεῖ εἰς ἰόππην μετὰ δόξης, καὶ ἠσπάσαντο ἀλλήλους, καὶ ἐκοιμήθησαν ἐκεῖ. καὶ ἐπορεύθη ἰωνάθαν μετὰ τοῦ βασιλέως ἕως τοῦ ποταμοῦ τοῦ λεγομένου ἐλευθέρου, καὶ ἐπέστρεψεν εἰς ἱερουσαλήμ. ὁ δὲ βασιλεὺς πολεμαῖος ἐκυρίευσε τῶν πόλεων ἕως παραλίας, ἕως σελευκίας τῆς παραθαλασσίου. καὶ διελογίζετο πονηρὸς ἀλέξανδρος λογισμοὺς πονηρούς, καὶ ἀπέστειλε πρέσβεις πρὸς δημήτριον τὸν βασιλέα λέγων· δεῦρο συνθώμεθα πρὸς ἑαυτοὺς διαθήκην, καὶ δώσω σοι τὴν θυγατέρα μου, ἣν ἔχει ἀλέξανδρος, καὶ βασιλεύσεις τῆς βασιλείας τοῦ πατρός σου. μετεμεμέλημαι γὰρ ὅτι δέδωκα αὐτῷ τὴν θυγατέρα μου, ἐζήτησε γὰρ ἀποκτεῖναί με. καὶ ἐνόησεν τὸν χρόνον τοῦ βασιλεύσαι αὐτὸν τῆς βασιλείας αὐτοῦ. καὶ ἀφελόμενος αὐτοῦ τὴν θυγατέρα, ἔδωκεν αὐτὴν τῷ δημητρίῳ, καὶ ἠλλοιώθη τοῦ ἀλέξανδρος, καὶ ἐφάνη ἔχθρα αὐτῷ. καὶ εἰσῆλθε πολεμαῖος εἰς αὐτοῦ χειραν, καὶ ποιεῖται δύο διαθήματα πρὸς τὸν βασιλέα αὐτοῦ. τῆς μὲν δόσις τοῦ ἀγύπτου. ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἦν ἐν κιλικίᾳ διὰ τὸν καιρὸν ἐκεῖνον, ὅτι ἀπεστάτουν οἱ ἀπὸ τῶν τόπων ἐκείνων. καὶ ἦκουσεν ἀλέξανδρος, καὶ ἦλθεν ἐπ' αὐτὸν πολεμῶν. καὶ ἐξήγαγε πολεμαῖος, καὶ ἀπήντησεν αὐτοῦ ἐν χειρὶ ἰσχυρᾷ, καὶ ἐτροπώσατο αὐτόν. καὶ ἔφυγεν ἀλέξανδρος εἰς τὴν ἀραβίαν, τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ. ὁ δὲ βασιλεὺς πτολεμαῖος ὑψώθη. καὶ ἀφεῖλε ζαβδιὴλ ὁ ἄραψ τὴν κεφαλὴν ἀλέξανδρος, καὶ ἀπέστειλε τοῦ πτολεμαίου. καὶ ὁ βασιλεὺς πτολεμαῖος ἀπέθανε ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν ἀπώλοντο ὑπὸ τῶν ἐν τοῖς ὀχυρώμασι, καὶ ἐβασίλευσε δημήτριος ἔτους ἑβδόμου καὶ ἑξηκοστοῦ ἑκατοστοῦ. ἐν ταῖς ἡμέραις ἐκείναις συνήγαγεν ἰωνάθαν τοὺς ἐκ τῆς ἰουδαίας, τοῦ ἐκπολεμῆσαι τὴν ἄκραν τὴν ἐν ἱερουσαλήμ, καὶ ἐποίησεν ἐπ' αὐτὴν μηχανὰς πολλάς. καὶ ἐπορεύθησαν τινὲς μισοπονήρους τοῦ ἔθνους αὐτῶν ἀνδρῶν παράνομοι πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλαν αὐτῷ, ὅτι ἰωνάθαν πολιορκεῖ τὴν ἄκραν. καὶ

ἐκάστης

ἀκάτας ὠργίδη. ὡς δὲ ἤκουσεν, σὺθέως ἀναζεύξας ἦλθεν εἰς Πτολεμαΐδα, καὶ ἔγραψεν Ἰωνάθαν, τὸν μὴ πορευθῆναι, καὶ τὸν ἀπαντῆσαι αὐτὸν αὐτῷ συμμίσγειν εἰς Πτολεμαΐδα τὴν τάχιστα. ὡς δὲ ἤκουσεν Ἰωνάθαν, ἐκέλευσε πορευθῆναι, καὶ ἐπέλεξε τῶν πρεσβυτέρων Ἰσραὴλ καὶ τὴν ἰσχύν, καὶ ἔσπευσεν ἑαυτὸν τοῦ συνεῖναι. καὶ λαβὼν ἀργύριον καὶ χρυσίον, καὶ ἱματισμόν, καὶ ἕτερα ξένια πλείονα, ἐπορεύθη πρὸς τὸν Βασιλέα εἰς Πτολεμαΐδα, καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ. καὶ ἐνετύγχανον κατ' αὐτοῦ τινες ἄνομοι ἐξ τοῦ ἔθνους, καὶ ἐποίησεν αὐτοῖς ὁ Βασιλεὺς καθὼς ἐποίησαν αὐτοῖς οἱ πρὸ αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν ἐνώπιον πάντων τῶν Φίλων αὐτοῦ. καὶ ἔστησεν αὐτῷ τιάραν ἀρχιερωσύνης, καὶ ὅσα ἄλλα εἶχε τίμια τὸ πρότερον, καὶ ἐποίησεν αὐτὸν τῶν πρώτων Φίλων ἡγεῖσθαι. καὶ ἠξίωσεν Ἰωνάθαν τὸν Βασιλέα ποιῆσαι τὴν Ἰουδαίαν ἀφορολόγητον, καὶ τὰς τρεῖς τοπαρχίας, καὶ τὴν σαμαρείτην. καὶ ἐπηγγείλατο αὐτῷ τάλαντα τριακόσια. καὶ συνῆκεν ὁ Βασιλεὺς, καὶ ἔγραψε τῷ Ἰωνάθαν ἐπιστολὰς περὶ πάντων τούτων, ἐχούσας τὸν τρόπον τοῦτον. Βασιλεὺς Δημήτριος Ἰωνάθαν τῷ ἀδελφῷ χαίρειν, καὶ ἔθνει Ἰουδαίων. τὸ αὐτίγραφον τῆς ἐπιστολῆς, ἧς ἐγράψαμεν Λασθένει τοῦ συγγενεῖ ἡμῶν περὶ ὑμῶν, γεγράφαμεν καὶ πρὸς ὑμᾶς, ὅπως εἰδῆτε. Βασιλεὺς Δημήτριος Λασθένει τοῦ πατρὶ χαίρειν. τοῦ ἔθνει τῶν Ἰουδαίων Φίλοις ἡμῶν, καὶ συντηροῦσι τὰ πρὸς ἡμᾶς δίκαια, ἐκείναμεν ἀγαθοποιῆσαι χάριν τῆς πρὸς αὐτοὺς εὐνοίας πρὸς ἡμᾶς, ἐστήκαμεν αὐτοῖς τάξεις τῆς Ἰουδαίας τοὺς τρεῖς νόμους ἀφαίρεμα, καὶ λύδδαν, καὶ ῥαμαθεμ, αἳ τινες προσετέθησαν τῇ Ἰουδαίᾳ ἀπὸ τῆς σαμαρείτιδος, καὶ πάντα τὰ συγκυροῦντα αὐτοῖς τοῖς θυσιάζουσιν εἰς Ἱεροσόλυμα, ἀντὶ τῶν βασιλικῶν, ἃ ἐλάμβανεν ὁ Βασιλεὺς παρ' αὐτῶν τὸ πρότερον κατ' ἐνιαυτὸν ἀπὸ τῶν γενημάτων τῆς γῆς, καὶ ἀπὸ τῶν καρπῶν, καὶ τὰ ἄλλα τὰ αὐήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν ἀφιέντων, καὶ τῶν τελῶν τῶν αὐηκόντων ἡμῖν, καὶ τὰς τῶν ἁλῶν λίμνας, καὶ τοὺς αὐήκοντας ἡμῖν στεφάνους, πάντα ἀποδώσομεν αὐτοῖς. καὶ οὐκ ἀθετήσεται ἀπ' αὐτῶν, ἀπὸ τοῦ νῦν ὑπὲρ τὸν ἅπαντα χρόνον. νῦν οὖν φυλάξατε τὸ ποιῆσαι τούτων αὐτίγραφον, καὶ δοθήτω Ἰωνάθαν, καὶ τεθήτω ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐν τόπῳ ἐπισήμῳ. καὶ εἶδε Δημήτριος ὁ Βασιλεὺς, ὅτι ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ, καὶ ἀδικῶν αὐτῷ αὐθεκάστει, καὶ ἀπέλυσε πάσας τὰς δυνάμεις αὐτοῦ ἕκαστον εἰς τὸν ἴδιον τόπον, πλὴν τῶν ξένων δυνάμεων, ὧν ἐξενολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν, καὶ ἦρθεναν αὐτῷ πᾶσαι αἱ δυνάμεις αἱ ἀπὸ τῶν πατέρων. Τρύφων δὲ ἦν πρὸ ἀλεξάνδρου τὸ πρότερον, καὶ εἶδεν ὅτι πᾶσαι αἱ δυνάμεις καταγογγύζουσι τὸν Δημήτριον, καὶ ἐπορεύθη πρὸς σιμαλκουαὶ τὸν ἄραβα, ὃς ἔτρεφε τὸν αὐτίοχον τὸ παιδάριον τὸ τοῦ ἀλεξάνδρου. καὶ παρεπορεύθη αὐτῷ ὅπως παραδοῖ αὐτὸν αὐτῷ, ὅπως βασιλεύσει αὐτὶ τοῦ πατρὸς αὐτοῦ, καὶ ἀπήγγειλεν αὐτῷ ὅσα συνετέλεσε Δημήτριος, καὶ τὴν ἔχθραν. ἦν ἐχθραίνουσιν αὐτῷ αἱ δυνάμεις αὐτοῦ. καὶ ἔμεινεν ἐκεῖ ἡμέρας πολλάς, καὶ ἀπέστειλεν Ἰωνάθαν πρὸς Δημήτριον τὸν Βασιλέα, ἵνα ἐκβάλῃ αὐτὸν ἐκ τῆς ἄκρας ἐξ Ἱερουσαλήμ, καὶ αὐτὸν ἐν τοῖς ὀχυρώμασιν. ἦσαν γὰρ πολεμοῦντες τὸν Ἰσραὴλ καὶ ἀπέστειλε Δημήτριος πρὸς Ἰωνάθαν λέγων· τάχιστα ταῦτα ποιήσω σοὶ, καὶ τοῖς ἔθνεσί σου, ἀλλὰ δόξῃ δοξάσω σε, καὶ τὸ ἔθνός σε, ἐὰν δικαιρίας τύχω. νῦν οὖν ὀρθῶς ποιήσεις ἀποστείλας μοι ἄνδρας, οἳ συμμαχήσουσιν, ὅτι ἀπέστησαν πᾶσαι αἱ δυνάμεις μου. καὶ ἀπέστειλεν Ἰωνάθαν ἄνδρας τρισχιλίους δυνατοὺς ἰσχύι αὐτῶν εἰς αὐτόχειαν, καὶ ἦλθοσαν πρὸς τὸν Βασιλέα, καὶ ἐχάρη ὁ Βασιλεὺς ὡς τῇ ἐφόδῳ αὐτῶν. καὶ συνεπήχθησαν οἱ ἐκ τῆς πόλεως εἰς μέσον τῆς πόλεως, ὡς ἀνδρῶν ἑκατὸν μυριάδας, καὶ ἐβάλοντο αὐλεῖν τὸν Βασιλέα. καὶ ἔφυγεν ὁ Βασιλεὺς εἰς τὴν αὐλήν, καὶ κατελάβοντο οἱ ἐκ τῆς πόλεως τὰς ὁδοὺς τῆς πόλεως, καὶ ἤρξαντο πολεμεῖν. καὶ ἐκάλεσεν ὁ Βασιλεὺς τοὺς Ἰουδαίους ὡς Βοήθειαν, καὶ συνεπήχθησαν πρὸς αὐτὸν πάντες ἅμα, καὶ διεσπάρησαν ἐν τῇ πόλει, καὶ ἀπέκτειναν ἐν τῇ πόλει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς μυριάδας ἑκατόν. καὶ ἐνεπύρισαν τὴν πόλιν, καὶ ἔλαβοσαν σκύλα πολλὰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἔσωσαν τὸν Βασιλέα. καὶ εἶδον οἱ ἀπὸ τῆς πόλεως, ὅτι κατεκράτησαν οἱ Ἰουδαῖοι τῆς πόλεως, ὡς ἐβάλοντο, καὶ ἀσθένησαν ταῖς διανοίαις αὐτῶν, καὶ ἐκέκραξαν πρὸς τὸν Βασιλέα μετὰ δεήσεως, λέγοντες· δὸς ἡμῖν δεξιάς, καὶ παυσάσθωσαν οἱ Ἰουδαῖοι πολεμοῦντες ἡμᾶς, καὶ τὴν πόλιν. καὶ ἔῤῥιψαν τὰ ὅπλα, καὶ ἐποίησαν εἰρήνην. καὶ ἐδοξάσθησαν οἱ Ἰουδαῖοι ἐνώπιον τοῦ Βασιλέως, καὶ ἐνώπιον πάντων τῶν ἐν τῇ Βασιλείᾳ αὐτοῦ. καὶ ἐπέστρεψαν εἰς Ἱερουσαλὴμ ἔχοντες σκύλα πολλά. καὶ ἐκάθισε Δημήτριος ὁ Βασιλεὺς ἐπὶ θρόνου τῆς Βασιλείας, καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ. καὶ ἐψεύσατο πάντα ὅσα εἶπε, καὶ ἀλλοτριώθη τοῦ Ἰωνάθαν, καὶ οὐκ ἀνταπέδωκε τὰς εὐνοίας ἃς ἀνταπέδωκεν αὐτῷ, καὶ ἐθλίβεν αὐτὸν σφόδρα. μετὰ δὲ ταῦτα ἀπέστρεψε Τρύφων, καὶ αὐτίοχος μετ' αὐτοῦ παιδάριον νεώτερον, καὶ ἐβασίλευσε, καὶ ἐπέθετο διάδημα. καὶ συνεπήχθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ἃς ἀπεδυσπόησε Δημήτριος, καὶ ἐπολέμησαν πρὸς αὐτὸν, καὶ ἔφυγε, καὶ ἐτροπώθη. καὶ ἔλαβε Τρύφων τὰ θυρία, καὶ κατεκράτησεν αὐτοχείας. καὶ ἔγραψεν αὐτίοχος ὁ νεώτερος τοῦ Ἰωνάθαν λέγων· ἱστημί σοι τὸν ἀρχιερωσύνην, καὶ καθίστημί σε ἐπὶ τῶν τεσσάρων νόμων, τοῦ εἶναί σε τῶν Φίλων τοῦ

Βασι-

Βασιλέως. καὶ ἀπέστειλεν αὐτῷ χρυσώματα, καὶ μιαηνίαν. καὶ ἔδωκεν αὐτῷ ἀρχιερωσύνην πίνειν ἐν χρυσώμασι, καὶ εἶναι ἐν πορφύρᾳ, καὶ ἔχειν πόρπην χρυσῆν. καὶ σίμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησε στρατηγὸν ἀπὸ τῆς Ἐλιμαικῶν χώρας, ἕως τῶν ὁρίων Αἰγύπτου. καὶ ἀνῆλθεν ἰωνάθαν, καὶ διεπορεύετο τὴν χώραν τοῦ ποταμοῦ, καὶ ἐν ταῖς πόλεσι, καὶ ἠθροίσθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις συρίας εἰς συμμαχίαν. καὶ ἦλθεν εἰς ἀσκάλωνα, καὶ ἀπήντησαν αὐτῷ οἱ ἐκ τῆς πόλεως ἐν δόξῃ, καὶ ἀνῆλθεν ἐκεῖθεν εἰς γάζαν. καὶ ἀπέκλεισαν οἱ ἀπὸ γάζης, καὶ περιεκάθισεν περὶ αὐτὴν, καὶ ἐνεπύρισε τὰ περίπολια αὐτῆς πυρί, καὶ ἐσκύλευσεν αὐτά. καὶ ἠξίωσαν οἱ ἀπὸ γάζης ἰωνάθαν, καὶ ἔδωκεν αὐτοῖς δεξιάς, καὶ ἔλαβε τοὺς υἱοὺς ἀρχόντων αὐτῶν εἰς ὄμηρα, καὶ ἀπέστειλεν αὐτοὺς εἰς ἱερουσαλήμ, καὶ διῆλθε τὴν χώραν ἕως δαμασκοῦ. καὶ ἤκουσεν ἰωνάθαν, ὅτι ἦλθον οἱ ἄρχοντες δημητρίου εἰς κάδης, τὴν ἐν τῇ γαλιλαίᾳ μετὰ δυνάμεως πολλῆς βουλόμενοι μεταστῆσαι αὐτὸν ἀπὸ τῆς χώρας, καὶ συνέλαβε σίμων τὸν ἀδελφὸν αὐτοῦ καὶ κατέλιπε τὴν χώραν, καὶ προσέβαλε σίμων ἐπὶ βαιθσώρα, καὶ ἐπολέμει αὐτὴν ἡμέρας πολλὰς, καὶ συνέκλεισεν αὐτήν. καὶ ἠξίωσαν αὐτὸν τοῦ δεξιᾶς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς. καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν, καὶ κατελάβετο τὴν πόλιν, καὶ ἐθέτο ἐπ' αὐτὴν φρουράν. καὶ ἰωνάθαν, καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλον ὕδωρ τὸ ὕδωρ γαμνασὰρ, καὶ ὤρθρισαν τοπρωῒ εἰς τὸ πεδίον νασώρ. καὶ ἰδοὺ παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ ἐν τῷ πεδίῳ, καὶ ἐξέβαλον ἐνέδρον ἐπ' αὐτὸν ἐν τοῖς ὄρεσιν. αὐτοὶ δὲ ἀπήντησαν ἐξ ἐναντίας. τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τόπων αὐτῶν, καὶ συνῆψαν πόλεμον, καὶ ἔφυγον οἱ παρὰ ἰωνάθαν πάντες, οὐδὲ εἷς κατελείφθη ἀπ' αὐτῶν, πλὴν ματταθίας, ὁ δὲ ἀβεσσαλὼμ, καὶ ἰούδας ὁ τοῦ χαλφί, ἄρχοντες τῆς στρατιᾶς τῶν δυνάμεων. καὶ διέῤῥηξεν ἰωνάθαν τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθηκε γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ προσηύξατο, καὶ ἐπέστρεψε πρὸς αὐτὸν πόλεμον, καὶ ἐτροπώσατο αὐτούς, καὶ ἔφυγον. καὶ εἶδεν οἱ φεύγοντες οἱ παρ' αὐτοῦ, καὶ ἐπέστρεψαν πρὸς αὐτὸν, καὶ ἐδίωκον μετ' αὐτοῦ ἕως κάδης, ἕως τῆς παρεμβολῆς αὐτῶν, καὶ προσέβαλον ἐκεῖ. καὶ ἔπεσον ἐκ τῶν ἀλλοφύλων τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους, καὶ ἐπέστρεψεν ἰωνάθαν εἰς ἱερουσαλήμ.

ΚΕΦΑΛ. ιβ'. 12.

ΚΑὶ εἶδεν ἰωνάθαν, ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ ἐπελέξατο ἄνδρας, καὶ ἀπέστειλεν εἰς ῥώμην, σῆσαι καὶ ἀνανεώσασθαι τὴν φιλίαν αὐτοῦ πρὸς αὐτούς. καὶ πρὸς σπαρτιάτας καὶ τόπους ἑτέρους ἀπέστειλεν ὡσαύτως. καὶ ἐπορεύθησαν εἰς ῥώμην, καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον, καὶ εἶπον· ἰωνάθαν ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τῶν ἰουδαίων ἀπέσταλκεν ἡμᾶς ἀνανεώσασθαι τὴν φιλίαν αὐτοῖς, καὶ τὴν συμμαχίαν καθὼς τὸ πρότερον. καὶ ἔδωκαν ὡσαύτως αὐτοῖς πρὸς αὐτοὺς περὶ τόπων, ὅπως προπέμψωσιν αὐτοὺς εἰς γῆν ἰούδα μετ' εἰρήνης. καὶ ἔστιν τὸ ἀντίγραφον τῶν ὡσαύτως ὧν ἔγραψεν ἰωνάθαν τοῖς σπαρτιάταις. Ἰωνάθαν ἀρχιερεὺς, καὶ ἡ γερουσία τοῦ ἔθνους, καὶ οἱ ἱερεῖς, καὶ ὁ λοιπὸς δῆμος τῶν ἰουδαίων, σπαρτιάταις τοῖς ἀδελφοῖς χαίρειν. ἐπεὶ τὸ πρότερον ἀπεστάλκασιν ὡσαύτως πρὸς ὀνίαν τὸν ἀρχιερέα παρά σιμωνος τοῦ Βασιλεύοντος ἐν ὑμῖν, ὅτι εἰσὶ ἀδελφοὶ ἡμῶν, ὡς τὸ αὐτίγραφον ὑποκεῖται· καὶ ἐπεδείξατο ὀνίας τὸν ἄνδρα τὸν ἀπεσταλμένον ἐν δόξῃ. καὶ ἔλαβε τὰς ὡσαύτως ἐν αἷς διεσαφεῖτο περὶ συμμαχίας καὶ φιλίας. καὶ ἡμεῖς οὖν οὐ προσδεεῖς τούτων ὄντες παράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια, τὰ ἐν ταῖς χερσὶν ἡμῶν, ἐπειράθημεν ἀνανεώσασθαι τὴν πρὸς ὑμᾶς ἀδελφότητα καὶ φιλίαν ἀνανεώσασθαι, μήπως ἐν μακροθυμίᾳ γένωμαι ὑμῶν. πολλοὶ γὰρ καιροὶ διῆλθον ἀφ' οὗ ἀπεστείλατε πρὸς ἡμᾶς. ἡμεῖς οὖν ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς, καὶ ταῖς λοιπαῖς καθηκούσαις ἡμέραις μιμνησκόμεθα ὑμῶν, ἐφ' ὧν προσφέρομεν θυσίαν, καὶ ἐν ταῖς προσευχαῖς, ὡς δεῖον ἐστὶ καὶ πρέπον μνημονεύειν ἀδελφῶν. σὺφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν. ἡμᾶς δὲ ἐκύκλωσαν πολλαὶ θλίψεις, καὶ πόλεμοι πολλοί, καὶ ἐπολέμησαν ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν, καὶ οὐκ ἠβουλόμεθα ἐπ' αὐτοῖς παρενοχλεῖν ὑμῖν, καὶ τοῖς λοιποῖς συμμάχοις καὶ φίλοις ἡμῶν ἐν τοῖς πολέμοις τούτοις. ἔχομεν γὰρ τὴν βοήθειαν τὴν ἐξ οὐρανοῦ βοηθεῖαν βοηθοῦσαν ἡμῖν, καὶ ἐῤῥύσθημεν ἀπὸ τῶν ἐχθρῶν ἡμῶν, καὶ ἐταπεινώθησαν οἱ ἐχθροὶ ἡμῶν. ἐπελέξαμεν οὖν νεμουήλου τὸν πόχα, καὶ αὐτίπατρον ἰασωνος, καὶ ἀπεστάλκαμεν πρὸς ῥωμαίους ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν, καὶ συμμαχίαν τὴν προτέραν. καὶ ἐνετειλάμεθα οὖν αὐτοῖς, καὶ πρὸς ὑμᾶς προβαλεῖν, καὶ ἀσπάσασθαι ὑμᾶς, καὶ ἀποδοῦναι ὑμῖν τὰς παρ' ἡμῶν ἐπιστολὰς περὶ τῆς ἀνανεώσεως καὶ τῆς ἀδελφότητος ἡμῶν. καὶ νῦν καλῶς ποιήσετε, ἀντιφωνήσαντες ἡμῖν περὶ τούτων. καὶ ἔστιν τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἀπέστειλεν ὀνιάρης· Βασιλεὺς ἀρτάξης τῷ ὀνίᾳ ἱερεῖ μεγάλῳ χαίρειν. εὑρέθη ἐν γραφῇ περί τε τῶν σπαρτιατῶν καὶ ἰουδαίων, ὅτι εἰσὶν ἀδελφοί, καὶ ὅτι εἰσὶν ἐκ γένους ἀβραάμ. καὶ νῦν ἀφ' οὗ ἐγνωμεν ταῦτα, καλῶς ποιήσετε γράφοντες ἡμῖν περὶ τῆς εἰρήνης ὑμῶν. καὶ ἡμεῖς δὲ αὐτιγράφομεν ὑμῖν, τὰ κτήνη ὑμῶν, καὶ ἡ ὕπαρξις ὑμῶν ἡμῖν ὅση, καὶ τὰ ἡμῶν ὑμῖν ὅσα. γνωστὸν ποιοῦμεθα δὲ, ὅπως ἀπαγγείλωσιν ὑμῖν περὶ τούτων. καὶ ἤκουσεν ἰωνάθαν, ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες δημητρίου μετὰ δυνάμεως πολλῆς τοῦ ἐλθεῖν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρότερον τοῦ πολεμῆσαι πρὸς αὐτὸν. καὶ ἀπῆρεν ἐξ Ἰόππης, καὶ ἀπέλυτησεν αὐτοὺς εἰς τὴν χώραν αὐτῶν ἀμαθίτιν χώραν. οὐ γὰρ ἔστωκεν αὐτοῖς αὐχμὸν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτῶν. καὶ ἀπέστειλε κατασκόπους εἰς τὴν παρεμβολὴν αὐτῶν, καὶ ἀπέστρεψαν, καὶ ἀπήγγειλαν αὐτῷ, ὅτι οὕτω πάσονται οἱ ἐπεσεῖν ἐπ' αὐτοὺς τὴν νύκτα. ὡς δὲ ἔδυ ὁ ἥλιος, ἐπέταξεν Ἰωνάθαν τοῖς ἐξ αὐτοῦ γρηγορεῖν, καὶ εἶναι ὑδὲ τοῖς ὅπλοις, καὶ ἑτοιμάζεσθαι εἰς πόλεμον ὅλη ὅλης τῆς νυκτός, καὶ ἐξέβαλε προφύλακας κύκλῳ τῆς παρεμβολῆς. καὶ ἤκουσαν οἱ ἀντιπάλοι, ὅτι ἡτοίμασαι Ἰωνάθαν καὶ οἱ παρ' αὐτοῦ εἰς πόλεμον, καὶ ἐφοβήθησαν, καὶ ἐπῆξαν τῇ καρδίᾳ αὐτῶν, καὶ ἀνέκαυσαν πυρὰς ἐν τῇ παρεμβολῇ αὐτῶν. Ἰωνάθαν δὲ καὶ οἱ παρ' αὐτοῦ οὐκ ἔγνωσαν ἕως πρωΐ. ἔβλεπον γὰρ τὰ φῶτα καιόμενα. καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτῶν, καὶ οὐ κατέλαβεν αὐτούς, διέβησαν γὰρ τὸν ἐλεύθερον ποταμόν. καὶ ἐξέκλινεν Ἰωνάθαν ὑδὸν εἰς Ἀραβας τοὺς καλουμένους Ζαβεδαίους, καὶ ἐπάταξεν αὐτούς, καὶ ἔλαβε τὰ σκύλα αὐτῶν. καὶ ἀναζεύξας ἦλθεν εἰς Δαμασκόν, καὶ διώδευσεν ἐν πάσῃ τῇ χώρᾳ. καὶ σῖτον ἐξῆλθε, καὶ διώδευσεν ἕως Ἀσκάλωνος, καὶ τὴν πλησίον ὀχυρωμάτων, καὶ ἐξέκλινεν εἰς Ἰόππην, καὶ προκατελάβετο αὐτήν. ἤκουσε γὰρ ὅτι βούλονται τὸ ὀχύρωμα παραδοῦναι τοῖς περὶ Δημητρίου. καὶ ἔθετο ἐκεῖ φρουράν, ὅπως φυλάσσωσιν αὐτήν. καὶ ἐπέστρεψεν Ἰωνάθαν, καὶ ἐξεκλησίασε τοὺς πρεσβυτέρους τοῦ λαοῦ, καὶ ἐβουλεύσατο μετ' αὐτῶν τοῦ οἰκοδομῆσαι ὀχυρώματα ἐν τῇ Ἰουδαίᾳ, καὶ πλατύνασαι τὰ τείχη Ἰερουσαλήμ, καὶ ὑψῶσαι ὕψος μέγα ἀνὰ μέσον τῆς ἄκρας καὶ τῆς πόλεως, εἰς τὸ διαχωρίζειν αὐτὴν τῆς πόλεως, ἵνα ᾖ αὐτὴ μόνη, ὅπως μήτε ἀγοράζωσι, μήτε πωλῶσι. καὶ συνήχθησαν τοῦ οἰκοδομεῖν τὴν πόλιν, καὶ ἔπεσε τοῦ τείχους τοῦ χειμάρρου, τοῦ ἀφ' ἡλίου, καὶ ἐπεσκεύασαν τὸ καλούμενον Χαφεναθά. καὶ σίμων ᾠκοδόμησε τὴν Ἀδιδὰ ἐν τῇ Σεφήλα, καὶ ὠχύρωσε θύρας καὶ μοχλούς. καὶ ἐζήτησε τρύφων βασιλεῦσαι τῆς Ἀσίας, καὶ ἀναβῆναι τὸ διάδημα, καὶ ἐκτεῖναι χεῖρα ἐπὶ Ἀντίοχον τὸν βασιλέα. καὶ ὑπελάβετο μή ποτε οὐκ ἐάσει αὐτὸν Ἰωνάθαν, καὶ μή ποτε πολεμήσῃ πρὸς αὐτόν. καὶ ἐζήτει πόρον τοῦ συλλαβεῖν τὸν Ἰωνάθαν, τοῦ ἀνελεῖν αὐτόν. καὶ ἀπάρας ἦλθεν εἰς Βαθσάν, καὶ ἐξῆλθεν Ἰωνάθαν εἰς ἀπάντησιν αὐτῷ μετὰ τεσσαράκοντα χιλιάδων ἀνδρῶν ἐπιλελεγμένους εἰς παράταξιν, καὶ ἦλθεν εἰς Βαθσάν. καὶ εἶδε τρύφων, ὅτι πάρεσι μετὰ δυνάμεως πολλῆς, καὶ ἐκτεῖναι χεῖρας ἐπ' αὐτὸν δυνάμει. καὶ ἐπεδέξατο αὐτὸν φιλοφρόνως, καὶ συνέστησεν αὐτὸν πᾶσι τοῖς φίλοις αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ δόματα, καὶ ἐπέταξε τοῖς φίλοις αὐτοῦ, καὶ ταῖς δυνάμεσιν αὐτοῦ ὑπακούειν αὐτῷ ὡς ἑαυτῷ. καὶ εἶπε πρὸς Ἰωνάθαν· ἵνα τί ἐκόπους πάντα τὸν λαὸν τοῦτον, πολέμου μὴ ὄντος ἡμῖν; καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν. ἐπίλεξαι δὲ σεαυτῷ ἄνδρας ὀλίγους, οἵτινές ἔσονται μετὰ σοῦ, καὶ δεῦρο μετ' ἐμοῦ εἰς Πτολεμαΐδα, καὶ παραδώσω σοι αὐτήν, καὶ τὰ λοιπὰ ὀχυρώματα καὶ τὰς δυνάμεις τὰς λοιπάς, καὶ πάντας τοὺς ὧδε τοὺς χρεῶν. καὶ ἀπερίψας ἀπελεύσομαι, τοῦτο γὰρ χάριν πάρειμι. καὶ ἐμπιστεύσας αὐτῷ ἐποίησε καθὼς εἶπε. καὶ ἐξαπέστειλε τὰς δυνάμεις, καὶ ἀπῆλθον εἰς γῆν Ἰούδα. κατέλιπε δὲ μεθ' ἑαυτοῦ ἄνδρας τρισχιλίους, ὧν δισχιλίους ἀφῆκεν ἐν τῇ Γαλιλαίᾳ, χιλίους δὲ συνῆλθον αὐτῷ. ὡς δὲ εἰσῆλθεν Ἰωνάθαν εἰς Πτολεμαΐδα, ἀπέκλεισαν οἱ Πτολεμαεῖς τὰς πύλας, καὶ συνέλαβον αὐτόν, καὶ πάντας οὓς εἰσελθόντας μετ' αὐτοῦ ἀπέκτειναν ἐν ῥομφαίᾳ. καὶ ἀπέστειλε τρύφων δυνάμεις, καὶ ἵππον εἰς τὴν Γαλιλαίαν, καὶ τὸ πεδίον τὸ μέγα, τοῦ ἀνελεῖσαι πάντας τοὺς περὶ Ἰωνάθαν. καὶ ἐπέγνωσαν ὅτι συνελήφθη Ἰωνάθαν, καὶ ἀπόλωλε, καὶ οἱ μετ' αὐτοῦ, καὶ παρεκάλεσαν ἑαυτούς, καὶ ἐπορεύοντο συνεστραμμένοι ἕτοιμοι εἰς πόλεμον. καὶ εἶδον οἱ διώκοντες, ὅτι περὶ ψυχῆς αὐτοῖς ἐστι, καὶ ἐπέστρεψαν, καὶ ἦλθον πάντες μετ' εἰρήνης εἰς γῆν Ἰούδα. καὶ ἐπῴδησαν τὸν Ἰωνάθαν, καὶ τοὺς μετ' αὐτοῦ, καὶ ἐφοβήθησαν σφόδρα. καὶ ἐπῴδησαν πᾶς Ἰσραὴλ πῴδὴν μεγάλην, καὶ ἐζήτησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν ἐκτρίψαι αὐτούς. εἶπαν γάρ· οὐκ ἔχουσιν ἄρχοντα, καὶ βοηθοῦντα. νῦν οὖν πολεμήσωμεν αὐτούς, καὶ ἐξαρωμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

ΚΕΦΑΛ. ιγ. 13.

ΚΑΙ ἤκουσε σίμων ὅτι συνήγαγε τρύφων δύναμιν πολλὴν τοῦ ἐλθεῖν εἰς γῆν Ἰούδα, καὶ ἐκτρίψαι αὐτήν. καὶ εἶδε τὸν λαόν, ὅτι ὄκνῳ ἐνετρόμει, καὶ ἔμφοβος. καὶ ἀνέβη εἰς Ἰερουσαλήμ, καὶ ἤθροισε τὸν λαόν, καὶ παρεκάλεσεν αὐτούς, καὶ εἶπεν αὐτοῖς· αὐτοὶ οἴδατε ὅσα ἐγὼ, καὶ οἱ ἀδελφοί μου, καὶ ὁ οἶκος τοῦ πατρός μου ἐποιήσαμεν περὶ τῶν νόμων, καὶ τῶν ἁγίων, καὶ τοὺς πολέμους, καὶ τὰς στενοχωρίας, ἃς εἴδομεν. τούτου χάριν ἀπόλωνται οἱ ἀδελφοί μου πάντες χάριν τοῦ Ἰσραὴλ, καὶ κατελείφθην ἐγὼ μόνος. καὶ νῦν μὴ μοι γένοιτο φείσασθαί μου τῆς ψυχῆς ἐν παντὶ καιρῷ θλίψεως, οὐ γάρ εἰμι κρείσσων τῶν ἀδελφῶν μου. πλὴν ἐκδικήσω περὶ τοῦ ἔθνους μου, καὶ περὶ τῶν ἁγίων, καὶ περὶ τῶν γυναικῶν καὶ τῶν τέκνων ἡμῶν. ὅτι συνήχθησαν πάντα τὰ ἔθνη ἐκτρίψαι ἡμᾶς, ἔχθρας χάριν. καὶ ἀνεζωπύρησε τὸ πνεῦμα τοῦ λαοῦ ὡς ἤκουσαν τῶν λόγων τούτων, καὶ ἀπεκρίθησαν φωνῇ μεγάλῃ λέγοντες· σὺ εἶ ἡμῶν ἡγούμενος ἀντὶ Ἰούδα, καὶ Ἰωνάθαν τοῦ ἀδελφοῦ σου. πολέμησον τὸν πόλεμον ἡμῶν, καὶ πάντα ὅσα ἂν εἴπῃς

ἡμῖν

ἡμῖν, ποιήσωμεν. καὶ συνάγαγε πάντας τοὺς ἄνδρας τοὺς πολεμιστάς, καὶ ἐπάχιωτε τοῦ τελέσαι τὰ τείχη Ἱερουσαλήμ, καὶ ὠχύρωσεν αὐτὴν λυπλόθεν. καὶ ἀπέστειλεν Ἰωνάθαν τὸν τοῦ ἀβεσσαλώμ, καὶ μετ' αὐτοῦ δυνάμιν ἱκανὴν εἰς Ἰόππην, καὶ ἐξέβαλε τοὺς ὄντας ἐν αὐτῇ, καὶ ἔμεινεν ἐκεῖ ἐν αὐτῇ. καὶ ἀπῆρε τρύφων ἀπὸ πτολεμαΐδος μετὰ δυνάμεως πολλῆς εἰσελθεῖν εἰς γῆν Ἰούδα, καὶ Ἰωνάθαν μετ' αὐτοῦ ἐν φυλακῇ. σίμων ὁ πατὴρ ἐνέβαλεν ἐν ἀδιδοῖς πρὸς τὸ πρόσωπον τοῦ πεδίου. καὶ ἐπέγνω τρύφων, ὅτι ἀνέστη σίμων αὐτὶ Ἰωνάθου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ὅτι συνάπτειν αὐτῷ μέλλει πόλεμον. καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις λέγων· διὰ ἀργυρίου, οὗ ὤφελεν Ἰωνάθαν ὁ ἀδελφός σου εἰς τὸ βασιλικόν, δι' ἃς εἶχε χρείας, σωιέχομεν αὐτόν. καὶ νῦν ἀπόστειλον ἀργυρίου τάλαντα ἑκατὸν, καὶ δύο τῶν υἱῶν αὐτοῦ ὅμηρα, ὅπως μὴ ἀφεθεὶς ἀφιστήσῃ ἀφ' ἡμῶν, καὶ ἀφιόμεν αὐτόν. καὶ ἔγνω σίμων, ὅτι δόλῳ λαλοῦσι πρὸς αὐτόν, καὶ ᾠήμπει τὸ ἀργύριον, καὶ τὰ παιδάρια, καὶ μὴ ποτε ἔχθραν ἀρῇ μεγάλην πρὸς τὸν λαὸν λέγοντες· ὅτι οὐκ ἀπέστειλα αὐτῷ τὸ ἀργύριον, καὶ τὰ παιδάρια, καὶ ἀπώλετο. καὶ ἀπέστειλε τὰ παιδάρια, καὶ τὰ ἑκατὸν τάλαντα. καὶ διεψεύσατο, καὶ οὐκ ἀφῆκε τὸν Ἰωνάθαν. καὶ μετὰ ταῦτα ἦλθε τρύφων τοῦ ἐμβατεῦσαι εἰς τὴν χώραν, καὶ ἐκτρίψαι αὐτήν, καὶ ἐκύκλωσεν ὁδὸν τὴν εἰς ἄδωρα. καὶ σίμων, καὶ ἡ παρεμβολὴ αὐτοῦ αὐτῷ ἀντῆγεν αὐτῷ εἰς παντὸς τόπον, οὗ ἂν ἐπορεύετο. οἱ δὲ ἐκ τῆς ἄκρας ἀπέστελλον πρὸς τρύφωνα προτρέποντας, καταπατεῦσαι αὐτὸν τοῦ ἐλθεῖν πρὸς αὐτοὺς διὰ τῆς ὁρήμου, καὶ ἀχρεῖλαι αὐτοῖς τροφάς. καὶ ἡτοίμασε τρύφων πᾶσαν τὴν ἵππον αὐτοῦ ἐλθεῖν. καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ, ὧν χιὼν πολλὴ σφόδρα, καὶ ἀπῆλθε διὰ τὴν χιόνα. καὶ ἀπῆρε, καὶ ἦλθεν εἰς γαλααδῖτιν. ὡς δὲ ἤγγισε τῇ Βασκαμᾶ, ἀπέκτεινε τὸν Ἰωνάθαν, καὶ ἐτάφη ἐκεῖ. καὶ ἐπέστρεψε τρύφων, καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. καὶ ἀπέστειλε σίμων, καὶ ἔλαβε τὰ ὀστᾶ Ἰωνάθαν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν Μωδεΐν, πόλει τῶν πατέρων αὐτοῦ. καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθησαν αὐτὸν ἡμέρας πολλάς. καὶ ᾠκοδόμησε σίμων ἐπὶ τὸν τάφον τοῦ πατρὸς αὐτοῦ, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν τῇ ὁράσει λίθῳ ξεστῷ ἐκ τῶν ὄπισθεν, καὶ ἐκ τῶν ἔμπροσθεν, καὶ ἔστησεν ἐπ' αὐτὰ ἐπάλξεις πυραμίδας, μίαν κατέναντι μιᾶς, τῷ πατρί, καὶ τῇ μητρί, καὶ τοῖς τέσσαρσιν ἀδελφοῖς. καὶ τούτους ἐποίησε μηχανήματα πολυθεῖς σύλους μεγάλους, καὶ ἐποίησεν ἐπὶ τοῖς σύλοις παντοπλίας εἰς ὄνομα αἰώνιον, καὶ παρὰ τὰς παντοπλίας ᾠκοδόμησε πλοῖα ὑπογεγλυμμένα, εἰς τὸ θεωρεῖσθαι ὑπὸ παντῶν τῶν πλεόντων τὴν θάλασσαν. οὗτος ὁ τάφος, ὃν ἐποίησεν ἐν Μωδεΐν, ἕως τῆς ἡμέρας ταύτης. ὁ δὲ τρύφων ἐπορεύετο δόλῳ μετὰ αὐτιόχου τοῦ βασιλέως τοῦ νεωτέρου, καὶ ἀπέκτεινεν αὐτόν, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ. καὶ περιέθετο διάδημα βασίας, καὶ ἐποίησε πληγὴν μεγάλην ἐν τῇ γῇ. καὶ ᾠκοδόμησε σίμων τὰ ὀχυρώματα τῆς ἰουδαίας, καὶ περιετείχισε πύργοις ὑψηλοῖς, καὶ τείχεσι μεγάλοις, καὶ πύργοις καὶ πύλαις, καὶ μοχλοῖς, καὶ ἐθετο βρώματα ἐν τοῖς ὀχυρώμασι. καὶ ἐπέλεξε σίμων ἄνδρας, καὶ ἀπέστειλε πρὸς δημήτριον τὸν βασιλέα, τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι αἱ πράξεις τρύφωνος ἦσαν ἁρπαγαί. καὶ ἀπέστειλεν αὐτῷ δημήτριος ὁ βασιλεὺς κατὰ τοὺς λόγους τούτους, καὶ ἀπεκρίθη αὐτῷ. καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν τοιαύτην· βασιλεὺς δημήτριος σίμωνι ἀρχιερεῖ, καὶ προφήταις, καὶ ἔθνει ἰουδαίων χαίρειν. τὸν στέφανον τὸν χρυσοῦν, καὶ τὴν βαΐνην, ἣν ἀπεστείλατε, δεκόμεθα, καὶ ἑτοιμοί ἐσμεν ποιεῖν εἰρήνην μεγάλην, καὶ γράφειν τοῖς ἐπὶ τῶν χειρῶν, τοῦ ἀφεθῆναι ὑμῖν ἀφέματα. καὶ ὅσα ἐστήκαμεν πρὸς ὑμᾶς ἔστηκε. καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδομήκατε, ὑπάρχετω ὑμῖν. ἀφίεμεν δὲ ἀγνοήματα, καὶ τὰ ἁμαρτήματα ἕως τῆς σήμερον ἡμέρας, καὶ τὸν στέφανον, ὃν ὠφείλετε, καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο ἐν Ἰερουσαλήμ μηκέτι τελωνείσθω. καὶ εἴ τινες ὧν ὑπόλειποι ὑμῶν γραφῆναι εἰς τοὺς ἐπὶ ἡμᾶς ἐγγραφέσθωσαν, καὶ γινέσθω μετὰ μέσον ὑμῶν εἰρήνη. ἔτους ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἤρθη ὁ ζυγὸς ἀπὸ τοῦ Ἰσραήλ, καὶ ἤρξατο ὁ λαὸς Ἰσραὴλ γράφειν ἐν ταῖς συγγραφαῖς, καὶ σιγιλλιάγμασιν. ἔτους πρώτου ἐπὶ σίμωνος ἀρχιερέως μεγάλου καὶ στρατηγοῦ, καὶ ἡγουμένου Ἰουδαίων. ἐν ταῖς ἡμέραις ἐκείναις παρῳκοδόμησεν ἐπὶ γαζαρ, καὶ ἐκύκλωσεν αὐτὴν παρεμβολαῖς, καὶ ἐποίησεν ἑλέπολιν, καὶ προσήγαγε τῇ πόλει, καὶ ἐπάταξε πύργον ἕνα, καὶ κατελάβετο. καὶ ἐξέλλοντο οἱ ἐν τῇ ἑλεπόλει εἰς τὴν πόλιν, καὶ ἐγένετο κίνημα μέγα ἐν τῇ πόλει. καὶ ἀνέβησαν οἱ ἐν τῇ πόλει σὺν ταῖς γυναιξί, καὶ τοῖς τέκνοις ἐπὶ τὸ τεῖχος, διερρηχότων τὰ ἱμάτια αὐτῶν, καὶ ἐβόησαν φωνῇ μεγάλῃ αἰτιώμενοι σίμωνα δεξιᾶς αὐτοῖς δοῦναι, καὶ εἶπον· μὴ ἡμῖν χρήσῃ κατὰ τὰς πονηρίας ἡμῶν, ἀλλὰ κατὰ τὸ ἔλεός σου. καὶ συνελύθη σίμων αὐτοῖς, καὶ οὐκ ἐπολέμησεν αὐτούς, καὶ ἐξέβαλεν αὐτοὺς ἐκ τῆς πόλεως, καὶ ἐκαθάρισε τὰς οἰκίας, ἐν αἷς ἦν τὰ εἴδωλα. καὶ οὕτως εἰσῆλθεν εἰς αὐτὴν ὑμνῳδῶν, καὶ δόξολογῶν. καὶ ἐξέβαλεν ἐξ αὐτῆς πᾶσαν ἀκαθαρσίαν, καὶ κατῴκισεν ἐκεῖ ἄνδρας οἳ πνοὴν τοῦ νόμου ποιοῦσι, καὶ προσωχύρωσεν αὐτὴν, καὶ ᾠκοδόμησεν ἑαυτῷ ἐν αὐτῇ οἴκησιν. οἱ δὲ ἐκ τῆς ἄκρας ἐν Ἰερουσαλήμ ἐκωλύοντο ἐκπορεύεσθαι, καὶ εἰσπορεύεσθαι εἰς τὴν χώραν, καὶ ἀγοράζειν καὶ πωλεῖν. καὶ ἐπείνασαν σφόδρα, καὶ ἀπώλοντο ἐξ αὐτῶν ἱκανοὶ τῷ λιμῷ, καὶ ἐβόησαν πρὸς σί-

μωνα λεξιάς λαβεῖν, καὶ ἐδωκεν αὐτοῖς, καὶ ἐξέβαλε τοὺς ἐκεῖθεν, καὶ ἐκαθάρισε τὴν ἄκραν ἀπὸ τῶν μιασμάτων. καὶ εἰσῆλθεν εἰς αὐτὴν τῇ τρίτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ δευτέρου, ἔτους ἑνὸς καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ μετὰ ἀνέσεως, καὶ βαΐων, καὶ ψαλτηρίων, καὶ κιννύρας, καὶ ἐν κυμβάλοις, καὶ ἐν νάβλαις, καὶ ἐν ὕμνοις καὶ ἐν ᾠδαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ Ἰσραήλ. καὶ ἔστησε διατάγμα τοῦ ἄγειν τὴν ἡμέραν ταύτην μετ' εὐφροσύνης. καὶ ᾠκοδόμησε τὸ ὄρος τοῦ ἱεροῦ τὸ πλησίον τῆς ἄκρας, καὶ ὤκησεν ἐκεῖ αὐτὸς, καὶ οἱ περὶ αὐτόν. καὶ εἶδε Σίμων τὴν ἀνάπαυσιν τοῦ οἴκου αὐτοῦ, ὅτι ἀνὴρ δόξης, καὶ ἔθετο αὐτὸν ἡγούμενον τῶν δυνάμεων παντῶν, καὶ ὤκει ἐν Γαζάροις.

ΚΕΦΑΛ. ιδ'. 14.

Καὶ ἐν ἔτει ἑνδεκάτῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ, συνήγαγε Δημήτριος ὁ Βασιλεὺς τὰς δυνάμεις αὐτοῦ, καὶ ἐπορεύθη εἰς Μηδείαν, τοῦ λαβέσθαι βοήθειαν αὐτῷ, ὅπως πολεμήσῃ τὸν Τρύφωνα. καὶ ἤκουσεν ἀρσάκης ὁ Βασιλεὺς τῆς Περσίδος καὶ Μηδείας, ὅτι ἦλθε Δημήτριος εἰς τὰ ὅρια αὐτοῦ, καὶ ἀπέστειλεν ἓν τῶν ἀρχόντων αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶντα. καὶ ἐπορεύθη, καὶ ἐπάταξε τὴν παρεμβολὴν Δημητρίου, καὶ συνέλαβεν αὐτὸν, καὶ ἤγαγεν αὐτὸν πρὸς ἀρσάκην, καὶ ἔθετο αὐτὸν ἐν φυλακῇ. καὶ ἐκάθισεν ἡ γῆ πάσας τὰς ἡμέρας Σίμωνος. καὶ ἐζήτησεν ἀγαθὰ τῷ ἔθνει αὐτοῦ, καὶ ἤρεσεν αὐτοῖς ἡ δόξα αὐτοῦ, καὶ ἡ δόξα αὐτοῦ πάσας τὰς ἡμέρας. καὶ μετὰ πάσης τῆς δόξης αὐτοῦ ἔλαβε τὴν Ἰόππην εἰς λιμένα. καὶ ἐποίησεν εἴσοδον τοῖς νήσοις τῆς θαλάσσης, καὶ ἐπλάτυνε τὰ ὅρια τοῦ ἔθνους αὐτοῦ, καὶ ἐκράτησε τῆς χώρας. καὶ συνήγαγεν αἰχμαλωσίαν πολλὴν, καὶ ἐκυρίευσε Γαζάρων, καὶ Βαιθσούρων, καὶ τῆς ἄκρας. καὶ ἐξῆρε τὰς ἀκαθαρσίας ἐξ αὐτῆς. καὶ οὐκ ἦν ὁ ἀντικείμενος αὐτῷ. καὶ ἦσαν γεωργοῦντες τὴν γῆν αὐτῶν μετ' εἰρήνης, καὶ ἡ γῆ ἐδίδου τὰ γενήματα αὐτῆς, καὶ τὰ ξύλινα τῶν πεδίων τὸν καρπὸν αὐτῶν. πρεσβύτεροι ἐν ταῖς πλατείαις ἐκάθηντο, πάντες περὶ ἀγαθῶν ἐκοινολογοῦντο. καὶ οἱ νεανίσκοι ἐνεδύσαντο δόξας καὶ στολὰς πολέμου. ταῖς πόλεσιν ἐχορήγησε βρώματα, καὶ ἔταξεν αὐτὰς ἐν σκεύεσιν ὀχυρώσεως, ἕως ὅτου ὠνομάσθη τὸ ὄνομα τῆς δόξης αὐτοῦ ἕως ἄκρας τῆς γῆς. ἐποίησε τὴν εἰρήνην ἐν τῇ γῇ, καὶ εὐφράνθη Ἰσραὴλ εὐφροσύνην μεγάλην. καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ, καὶ τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς. καὶ ἐξέλιπε πολεμῶν αὐτοὺς ἐν τῇ γῇ. καὶ οἱ Βασιλεῖς συνετρίβησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐκύρισε πάντας τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ. τὸν νόμον ἐξεζήτησε, καὶ ἐξῆρε πάντα ἄνομον καὶ πονηρόν. τὰ ἅγια ἐδόξασε, καὶ ἐπλήθυνε τὰ σκεύη τοῦ ἁγίου. καὶ ἤκουσαν ἐν Ῥώμῃ, ὅτι ἀπέθανεν Ἰωνάθαν, καὶ ἕως Σπάρτης ἠκούσθη, καὶ ἐλυπήθησαν σφόδρα. ὡς δὲ ἤκουσεν ὅτι Σίμων ὁ ἀδελφὸς αὐτοῦ γέγονεν ἀντ' αὐτοῦ ἀρχιερεὺς, καὶ κατέχει τῆς χώρας, καὶ τῶν πολέμων τῶν ἐν αὐτῇ, ἔγραψαν πρὸς αὐτὸν ἐπὶ πλαξὶ χαλκαῖς, τοῦ ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν, καὶ τὴν συμμαχίαν, ἣν ἐποιήσαμεν πρὸς Ἰούδαν καὶ Ἰωνάθαν τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἀνεγνώσθησαν ἐνώπιον τῆς ἐκκλησίας ἐν Ἰερουσαλήμ. καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἀπέστειλαν οἱ Σπαρτιᾶται· Σπαρτιατῶν ἄρχουσι καὶ ἡ πόλις, Σίμωνι ἱερεῖ μεγάλῳ, καὶ τοῖς πρεσβυτέροις, καὶ τοῖς ἱερεῦσι, καὶ τῷ λοιπῷ δήμῳ τῶν Ἰουδαίων, ἀδελφοῖς, χαίρειν. οἱ πρεσβύτατοι, οἱ ἀπαντήσαντες πρὸς τὸν δῆμον ἡμῶν, ἀπήγγειλαν ἡμῖν περὶ τῆς δόξης ὑμῶν, καὶ τιμῆς, καὶ εὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. καὶ ἀνεγράψαμεν τὰ ὑπ' αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου οὕτως· Νουμήνιος Ἀντιόχου, καὶ Ἀντίπατρος Ἰάσονος πρεσβευταὶ Ἰουδαίων ἦλθαν πρὸς ἡμᾶς ἀνανεούμενοι τὴν πρὸς ἡμᾶς φιλίαν, καὶ ἤρεσε τῷ δήμῳ ὑποδέξασθαι τοὺς ἄνδρας ἐν δόξῃ, καὶ τοῦ θεῖναι τὰ ἀντίγραφον τῶν λόγων αὐτῶν ἐν τοῖς ἀρχειείοις μόνοις τῷ δήμῳ Βιβλίοις, τοῦ ἔχειν μνημόσυνον τὸν δῆμον τῶν Σπαρτιατῶν. τὸ δὲ ἀντίγραφον τούτων ἔγραψαν Σίμωνι τῷ ἀρχιερεῖ. μετὰ ταῦτα ἀπέστειλε Σίμων τὸν Νουμήνιον εἰς Ῥώμην ἔχοντα ἀσπίδα χρυσῆν μεγάλην, ὁλκῆς μνᾶν χιλίων, εἰς τὸ στῆσαι πρὸς αὐτοὺς τὴν συμμαχίαν. ὡς δὲ ἤκουσεν ὁ δῆμος τῶν λόγων τούτων, εἶπον· τίνα χάριν ἀποδώσομεν Σίμωνι, καὶ τοῖς υἱοῖς αὐτοῦ; ἐστήριξε γὰρ αὐτὸς, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπολέμησαν τοὺς ἐχθροὺς Ἰσραὴλ ἀπ' αὐτῶν, καὶ ἔστησαν αὐτῷ ἐλευθερίαν, καὶ ἐγράψαν ἐν στήλαις χαλκαῖς, καὶ ἔθεντο ἐν στήλαις ἐν ὄρεσι Σιών. καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς· ὀκτωκαιδεκάτῃ Ἐλεὺλ, ἔτους ἑνδεκάτου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ. καὶ τοῦτο τριετηρίς, ὑπὸ Σίμωνος ἀρχιερέως ἐν Ἀσαραμέλ, ὑπὸ συναγωγῆς μεγάλης ἱερέων, καὶ λαοῦ καὶ ἀρχόντων ἐθνῶν, καὶ τῶν πρεσβυτέρων τῆς χώρας ἐγνωρίσαμεν ἡμῖν, ἐπεὶ πολλάκις ἐνέπεσον πόλεμοι ἐν τῇ χώρᾳ. Σίμων δὲ ὁ υἱὸς Ματταθίου ὁ υἱὸς τῶν ἱερέων, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔδωκαν ἑαυτοὺς τοῦ κινδυνεύσαι, καὶ ἀντέστησαν τοῖς ἐναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως στήσῃ τὰ ἅγια αὐτῶν καὶ ὁ νόμος, καὶ δόξαν μεγάλην ἐδόξασαν τὸ ἔθνος αὐτῶν. καὶ ἤθροισεν Ἰωνάθαν τὸ ἔθνος αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς ἀρχιερεύς, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. καὶ ἐβουλήθησαν οἱ ἐχθροὶ αὐτῶν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτῶν, τοῦ ἐκτρίψαι τὴν χώραν αὐτῶν, καὶ ἐκτεῖναι χεῖρας ἐπὶ τὰ ἅγια αὐτῶν. τότε ἀνέστη Σίμων καὶ ἐπολέμησε πρὸ τοῦ ἔθνους αὐτοῦ, καὶ ἐδαπά-

νησε

νησε χρήματα πολλὰ τῷ ἑαυτοῦ, καὶ ὡπλοδότησε αὐτοὺς ἄνδρας τῆ δυνάμεως τοῦ ἔθνους αὐτοῦ. καὶ ἐδωκεν αὐτοῖς ὀψώνια, καὶ ὠχύρωσε τὰς πόλεις τῆ ἰουδαίας, καὶ τὴν Βεθσούραν, τὴν ὡὴ τῶν ὁρίων τῆ ἰουδαίας, οὗ ἦν τὰ ὅπλα τῶν πολεμίων τὸ πρότερον, καὶ ἔθετο ἐκεῖ φρουρὰν ἀνδρας ἰουδαίους. ⁋ ἰόππην ὠχύρωσε τὴν ὡὴ τῆ θαλάσσης, καὶ τὴν γάζαρα τῆ ὡὴ τῶν ὁρίων ἀζώτου, ἦν ἦκουσι οἱ πολέμιοι τὸ πρότερον ἐκεῖ. καὶ κατώκισεν ἐκεῖ ἰουδαίους, καὶ ὅσα ὠὴ τροφεῖα ἦν πρὸς τὴν τούτων ἐπανόρθωσιν εἶχεν ἦν αὐτοῖς. καὶ εἰσῆλθεν ὁ λαὸς τὴν πίστιν τοῦ σίμωνος, καὶ τὴν δόξαν ἣν ἐβουλεύσατο ποιῆσαι τοῦ ἔθνει αὐτοῦ. καὶ ἔθετο αὐτὸν ἡγούμενον αὐτῶν, καὶ ἀρχιερέα δῆλα τὸ αὐτὸν πεποιηκέναι πάντα ταῦτα. καὶ τὴν δικαιοσύνην, καὶ τὴν πίστιν, ἣν συνετήρησε τοῦ ἔθνει αὐτοῦ, καὶ ἐζήτησε παντὶ τρόπῳ ὑψῶσαι τὸν λαὸν αὐτοῦ. καὶ ἦν ταῖς ἡμέραις αὐτοῦ εὐοδώθη ἦν ταῖς χερσὶν αὐτοῦ, τοῦ ἐξαρθῆναι τὰ ἔθνη ἐκ τῆς χώρας αὐτῶν, καὶ τοὺς ἦν τῇ πόλει δαβίδ, τοὺς ἦν ἱερουσαλήμ, οἱ ἐποίησαν ἑαυτοῖς ἄκραν, ἐξ ἧς ἐξεπορεύοντο, καὶ ἐμίαινον κύκλῳ τὴν ἁγίων. καὶ ἐποίουν πληγὴν μεγάλην ἦν τῇ ἁγνείᾳ, καὶ κατώκισεν ἦν αὐτῇ ἄνδρας ἰουδαίους. καὶ ὠχύρωσεν αὐτὴν πρὸς ἀσφάλειαν τῆς χώρας, καὶ ἦ πόλεως, ἧ ὕψωσε τὰ τείχη ἱερουσαλήμ. καὶ ὁ βασιλεὺς δημήτριος ἔκρινεν αὐτῷ τὴν ἀρχιερωσύνην κατὰ ταῦτα, καὶ ἐποίησεν αὐτὸν τὴν φίλων αὐτοῦ, καὶ ἐδόξασεν αὐτὸν δόξῃ μεγάλῃ. ἠκούσθη γὰρ, ὅτι προσαγορεύονται οἱ ἰουδαῖοι ὑπὸ ῥωμαίων φίλοι καὶ σύμμαχοι. καὶ ὅτι καὶ ἀπεδέξαντο τοὺς πρεσβεύτας σίμωνος ἦν δόξῃ, ἧ ὅτι εὐδόκησαν οἱ ἰουδαῖοι, καὶ οἱ ἱερεῖς, τοῦ εἶν σίμωνα ἡγούμενον καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα, ἕως τοῦ ἀναστῆναι προφήτην πιστὸν, καὶ τοῦ εἶν ἐπ' αὐτῶν στρατηγόν. καὶ ὅπως μέλοι αὐτῷ περὶ τῶν ἁγίων καθιστάναι αὐτῶν ἐπὶ τῶν ἔργων αὐτῶν, καὶ ἐπὶ τῆ χώρας, καὶ ἐπὶ τῶν ὅπλων, καὶ ἐπὶ τῶν ὀχυρωμάτων. καὶ ὅπως μέλοι αὐτῷ περὶ τῶν ἁγίων, καὶ ὅπως ἀκούσεται ὑπὸ παντῶν. καὶ ὅπως γράφωνται ἐπὶ τῆ ὀνόματι αὐτοῦ πᾶσαι συγγραφαὶ ἦν τῇ χώρᾳ, καὶ ὅπως περιβάλλωνται πορφύραν, καὶ χρυσοφορῇ, καὶ ἀκέσασα δόξαν τοῦ λαοῦ, καὶ τῶν ἱερέων ἀθετῆσαί τι τούτων, καὶ αὐτεπεῖν τοῖς ὑπ' αὐτοῦ ῥηθησομένοις, καὶ ὠῖσυσεῖναι συστροφὴν ἦν τῇ χώρᾳ ἐπὶ αὐτοῦ, καὶ περιβαλέσθαι πορφύραν καὶ ἐμπορπᾶσθαι πόρπην χρυσῆν. ὃς δ' ἂν παρὰ ταῦτα ποιήσῃ, ἢ ἀθετήσῃ τι τούτων, ἔνοχος ἔσαι. καὶ εὐδόκησε πᾶς ὁ λαὸς θεῖναι σίμωνι ποιῆσαι κατὰ τοὺς λόγους τούτους. καὶ ἐπεδέξατο σίμων, καὶ εὐδόκησεν ἀρχιεράτευειν, καὶ εἶναι στρατηγὸς, καὶ ἐθνάρχης τῶν ἰουδαίων καὶ ἱερέων, ⁋ τοῦ παραστῆσαι πάντων. καὶ τὴν γραφὴν ταύτην εἶπον θεῖναι ἦν στήλαις χαλκαῖς, καὶ στῆσαι αὐτὰς ἦν πολυβόλῳ τῶν ἁγίων ἦν τόπῳ ὠῖσιμῳ. τὰς δὲ ἀντιγραφὰς αὐτῶν θεῖναι ἦν θησαυροφυλακίῳ, ὅπως ἔχῃ σίμων, καὶ οἱ υἱοὶ αὐτοῦ.

ΚΕΦΑΛ. ιε'. 15.

ΚΑὶ ἀπέστειλεν ὁ αντίοχος υἱὸς δημητρίου τοῦ βασιλέως ὠῖσολὰς ἐκ τῶν νήσων τῆς θαλάσσης σίμωνι ἱερεῖ καὶ ἐθνάρχῃ τῶν ἰουδαίων, καὶ παντὶ τῷ ἔθνει. καὶ ἦσαν πολλὰ ἐχουσαι τὸν τρόπον τοῦτον. βασιλεὺς αντίοχος σίμωνι ἱερεῖ μεγάλῳ καὶ ἐθνάρχῃ, καὶ ἔθνει ἰουδαίων χαίρειν. ἐπειδὴ ἄνδρες λοιμοὶ κατεκράτησαν τῆς βασιλείας τῶν πατέρων ἡμῶν, βούλομαι δὲ ἀντιποιήσασθαι τῆς βασιλείας ὅπως ἀποκαταστήσω αὐτὴν ὡς ἦν πρότερον, ἐξεγολόγησα δὲ πλῆθος δυνάμεων καὶ κατεσκεύασα πλοῖα πολεμικά. βούλομαι δὲ ἐκβῆναι ἦν τὴν χώραν, ὅπως μετέλθω τοὺς καταφθαρκότας τὴν χώραν ἡμῶν, καὶ τοὺς ἐρημωκότας πόλεις πολλὰς ἐν τῇ βασιλείᾳ. νῦν οὖν ἵσταμί σοι πάντα τὰ ἀφαιρέματα, ἃ ἀφῆκάν σοι οἱ πρὸ ἐμοῦ βασιλεῖς, καὶ ὅσα ἄλλα δόματα ἀφῆκάν σοι. καὶ ἐπέτρεψά σοι ποιῆσαι κόμμα ἴδιον νόμισμα τῇ χώρᾳ σου, ἱερουσαλὴμ δὲ καὶ τὰ ἅγια εἶν ἐλεύθερα, καὶ πάντα τὰ ὅπλα ὅσα κατεσκεύασας, καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδόμησας, ὧν κρατεῖς μενέτω σοι. καὶ παῦν ὀφείλημα βασιλικὸν, καὶ τὰ ἐσόμενα βασιλικὰ ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν ἅπαντα χρόνον ἀφίεμέν σοι. ὡς δ' ἂν κατασήσωμεν τὴν βασιλείαν ἡμῶν δοξάζομέν σε, καὶ τὸ ἔθνός σου, καὶ τὸ ἱερὸν δόξῃ μεγάλῃ, ὥστε φανερὰν γενέσθαι τὴν δόξαν ὑμῶν ἐν πάσῃ τῇ γῇ. ἔτους ἑκατοστοῦ καὶ ἑβδομηκοστῷ ἦ ἐπανέβη ἐξῆλθεν αντίοχος εἰς τὴν γῆν πατέρων αὐτοῦ, καὶ συνῆλθον πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ὥστε ὀλίγους εἶν τοὺς καταλειφθέντας σὺν τρύφωνι, ⁋ ἐδίωξεν αὐτὸν αντίοχος ὁ βασιλεὺς, καὶ ἦλθεν φεύγων εἰς δωρᾶ, τὴν ὡὴ τῆ θαλάσσης. εἶδε γὰρ ὅτι συνῆκται ἐπ' αὐτὸν τὰ ἰσκὰ, καὶ ἀφῆκαν αὐτὸν αἱ δυνάμεις. καὶ παρενέβαλεν αντίοχος ὡὴ δωρᾶ, καὶ σὺν αὐτῷ ιβ' μυριάδες ἀνδρῶν πολεμικῶν, καὶ ὀκτακισχίλια ἵππος, καὶ ἐκύκλωσε τὴν πόλιν, καὶ τὰ πλοῖα ἐκ θαλάσσης συνῆψαν, καὶ ἔθλιβε τὴν πόλιν ἐκ τῆ γῆς καὶ τῆ θαλάσσης, ⁋ οὐκ ἔασεν οὐδένα ἐκπορεύεσθαι καὶ εἰσπορεύεσθαι. καὶ ἦλθε νεμλιὶος, καὶ οἱ παρ' αὐτοῦ ἐκ ῥώμης ἔχοντες ὠῖσολὰς τοῖς βασιλεῦσι καὶ ταῖς χώραις, ἐν αἷς ἐγέγραπτο τάδε. λούκιος ὕπατος ῥωμαίων πολεμαίῳ βασιλεῖ χαίρειν. οἱ πρεσβευταὶ τῶν ἰουδαίων ἦλθον πρὸς ἡμᾶς, φίλοι ἡμῶν καὶ σύμμαχοι, ἀνανεούμενοι τὴν δὲ ἀρχῆς φιλίαν καὶ συμμαχίαν, ἀπεσταλμένοι ἀπὸ σίμωνος τοῦ ἀρχιερέως, καὶ τοῦ δήμου τῶν ἰουδαίων. ὠῆγεγκαν ἂ ἀσπίδια χρυσᾶ ἐκ μνῶν χιλίων.

πρεσϐυ οὖν ἡμῖν γράψαι τοῖς Βασιλεῦσι, καὶ ταῖς χώραις, ὅπως μὴ ἐκζητήσωσιν αὐτοῖς κακά, καὶ μὴ πολεμήσωσιν αὐτούς, καὶ τὰς πόλεις αὐτῶν, καὶ τὴν χώραν αὐτῶν, καὶ ἵνα μὴ συμμαχήσωσι τοῖς πολεμίοις αὐτῶν. ἐκλεξε δὲ ἡμῖν ἀνέξαθεν τὴν ἀσπίδα παρ' αὐτῶν. εἶ ἴνδον οὖν λοιποί διαπεφεύγασιν ἐκ τῆς χώρας αὐτῶν πρὸς ὑμᾶς, παράδοτε αὐτοὺς σίμωνι τῷ ἀρχιερεῖ, ὅπως ἐκδικήσῃ ἐν αὐτοῖς ἐκ τοῦ νόμου αὐτῶν. καὶ τοῦτα ἔγραψε δημητρίῳ τῷ Βασιλεῖ, καὶ ἀτταλῳ, καὶ ἀριάθῃ, καὶ ἀρσάκῃ, καὶ εἰς πάσας τὰς χώρας, καὶ σαμψάκῃ, καὶ σπαρτιάταις, καὶ εἰς δῆλον, καὶ εἰς μυόνδον, εἰς σικυῶνα, καὶ εἰς πᾶν καρίαν, καὶ εἰς σάμον, καὶ εἰς παμφυλίαν, καὶ εἰς λυκίαν, καὶ εἰς ἁλικαρνασσόν, καὶ εἰς ῥόδον, καὶ εἰς Βασιλίσσα, καὶ εἰς λάῳ, καὶ εἰς σίδην, καὶ εἰς γόρτυναν, καὶ κνίδον, καὶ κύπρον, καὶ κυρήνην. τὸ δὲ ἀντίγραφον αὐτῶν ἔγραψα σίμωνι τῷ ἀρχιερεῖ. Ἀντίοχος δὲ ὁ Βασιλεὺς παρεϐάλετο ἐπὶ δωρᾶ ἐν τῇ δυνάμει, προσάγων διαπαντὸς αὐτῇ τὰς χεῖρας, καὶ μηχανὰς ποιούμενος. καὶ συνέκλεισε τὸν τρύφωνα τοῦ μὴ ἐξαπορεύεσθαι, καὶ ἐκπορεύεσθαι. καὶ ἀπέστειλεν αὐτῷ σίμων διαχιλίους ἄνδρας ἐκλεκτοὺς συμμαχῆσαι αὐτῷ, καὶ ἀργύριον, καὶ χρυσίον, καὶ σκεύη ἱκανά, καὶ οὐκ ἠθέλησε λαϐεῖν αὐτά· διέξαθεν, ἀλλ' ἀθέτησε πάντα ὅσα συνέθετο αὐτῷ τὸ πρότερον, καὶ ἀλλοτριώσατο αὐτόν. καὶ ἀπέστειλε πρὸς αὐτὸν ἀθηνόϐιον, ἵνα τὴν φίλων αὐτοῦ κοινολογισάμενον αὐτῷ λέγων· ὑμεῖς κατακρατεῖτε τῆς ἰόππης, καὶ γαζάρων, καὶ τῆς ἄκρας τῆς ἐν ἰερουσαλὴμ πόλεως τοῦ Βασιλείας μου. τὰ ὅρια αὐτῆς ἠρημώσατε, καὶ ἐποιήσατε πληγὴν μεγάλην ἐν τῇ γῇ, καὶ ἐκυριεύσατε τόπων πολλῶν ἐν τῇ Βασιλείᾳ μου. νῦν οὖν παράδοτε τὰς πόλεις, ἃς ἐκατελάϐεσθε, καὶ τοὺς φόρους τῶν τόπων, ὧν κατεκυριεύσατε ἐκτὸς τῶν ὁρίων τῆς ἰουδαίας. εἰ δὲ μή, δότε αὐτ' αὐτῶν ἑκατὸν τάλαντα ἀργυρίου, καὶ τὰ κατεφθορᾶς, ἃς κατεφθάρκατε, καὶ τοὺς φόρους τῶν τόπων ἄλλα πάλαντα ἑκατόν. εἰ δὲ μή, παραγγέλλομεν ἐκπολεμήσομεν ὑμᾶς. καὶ ἦλθεν ἀθηνόϐιος ὁ φίλος τοῦ Βασιλέως εἰς ἰόππην πρὸς τὸν σίμωνα, καὶ εἶδε τὰ σίδηρα σίμωνος, καὶ κνημῖδας χρυσᾶς μετὰ χρυσωμάτων, καὶ ἀργυρωμάτων, καὶ παράσημα ἱκανά, καὶ ἐξέστη, καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τοῦ Βασιλέως. καὶ ἀρκεθεὶς σίμων εἶπεν αὐτῷ· οὔτε γὰρ ἀλλοτρίων εἰλήφαμεν, οὔτε ἀλλοϐίων ἐκρατήσαμεν, ἀλλὰ τῆς κληρονομίας τῶν πατέρων ἡμῶν. ποτὲ δὲ ἐχθρῶν ἡμῶν ἐν ἴσῳ καιρῷ ἀκρίτως ἐκατεκρατήθη. ἡμεῖς δὲ καιρὸν ἔχοντες, αὐτεχόμεθα τῆς κληρονομίας τῶν πατέρων ἡμῶν. περὶ δὲ ἰόππης, καὶ γαζάρων, ὧν αἰτεῖς, αὐτὰ ἐποίουν ἐν τῷ λαῷ πληγὴν μεγάλην τῇ χώρᾳ ἡμῶν. τούτων δώσομεν τάλαντα ἑκατόν. καὶ οὐκ ἀπεκρίθη αὐτῷ ἀθηνόϐιος λόγον. ἀπέστρεψε δὲ μετὰ θυμοῦ πρὸς τὸν Βασιλέα, καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τούτους, καὶ τὴν δόξαν σίμωνος, καὶ πάντα ὅσα εἶδε. καὶ ὠργίσθη ὁ Βασιλεὺς ὀργὴν μεγάλην. πρύφων δὲ ἐμβὰς εἰς πλοῖον, ἔφυγεν εἰς ὀρθωσιάδα. καὶ κατέστησεν ὁ Βασιλεὺς τὸν ἰωνάθην τοποτηρητὴν τῶν παραλίων, καὶ δυνάμεις στρατιὰς καὶ ἱππικὰς ἔδωκεν αὐτῷ. καὶ ἐνετέλατο αὐτῷ παρεμβαλεῖν κατὰ πρόσωπον τῆς ἰουδαίας, καὶ ἐνετέλατο αὐτῷ οἰκοδομῆσαι τὴν κεδρὼν, καὶ ὀχυρῶσαι τὰς πύλας, ὅπως πολεμήσῃ τὸν λαόν. ὁ δὲ Βασιλεὺς ἐδίωκε τὸν πρύφωνα, καὶ παρεγένθη ἰωνάθης εἰς ἀσμωναίαν, καὶ ἤρξατο τοῦ ὀρθοῦσθαι τὸν λαόν, καὶ ἐμβατεύειν εἰς τὴν ἰουδαίαν, καὶ αἰχμαλωτίζειν τὸν λαὸν καὶ φονεύειν. καὶ ᾠκοδόμησε τὴν κεδρών, καὶ ἔταξεν ἐκεῖ ἱππεῖς καὶ δυνάμεις, ὅπως ἐκπορεύωνται ἐξαπατῶσι τὰς ὁδοὺς τῆς ἰουδαίας, καθὰ συνέταξεν αὐτῷ ὁ Βασιλεύς.

ΚΕΦΑΛ. ις'. 16.

Καὶ ἀνέϐη ἰωάννης ἐκ γαζάρων, καὶ ἀπήγγειλε σίμωνι τῷ πατρὶ αὐτοῦ ἃ συνετέλεσε ἰωνάθης. καὶ ἐκάλεσε σίμων τοὺς δύο υἱοὺς αὐτοῦ τοὺς πρωτοτόκους, ἰούδαν καὶ ἰωάννην, καὶ εἶπεν αὐτοῖς· ἐγὼ καὶ οἱ ἀδελφοί μου, καὶ ὁ οἶκος τοῦ πατρός μου ἐπολεμήσαμεν τοὺς πολεμίους ἰσραὴλ ἀπὸ νεότητος ἕως τῆς σήμερον ἡμέρας, καὶ δυοδώθη ἐν ταῖς χερσὶν ἡμῶν, ῥύσασθαι τὸν ἰσραὴλ πλεονάκις. νῦν δὲ γεγήρακα, καὶ ὑμεῖς ἦ ἐν τῷ ἔλεει ἱκανοί ἐστε ἐν τοῖς ἐτεσι. γίνεσθε αὐτ' ἐμοῦ, καὶ τοῦ ἀδελφοῦ μου, καὶ ἐξελθόντες ἀντιπολεμήσατε ὑπὲρ τοῦ ἔθνους ἡμῶν. οἱ δὲ ἐκ τοῦ οὐρανοῦ βοήθειαν ἔσω μεθ' ὑμῶν. καὶ ἐπέλεξεν ἐκ τῆς χώρας εἴκοσι χιλιάδας ἀνδρῶν πολεμιστῶν, καὶ ἱππεῖς, καὶ ἐπορεύθησαν ἀπὸ τοῦ λιϐανήσιον. καὶ ἐκοιμήθησαν ἐν μωδεὶν, καὶ ἀνέστησαν τὸ πρωὶ ἐπορεύοντο εἰς τὸ πεδίον. καὶ ἰδοὺ δυνάμεις πολλαὶ εἰς συναντησιν αὐτοῖς πεζικὴ, καὶ ἱππεῖς. καὶ ἰὼν χειμάῤῥους ἀνὰ μέσον αὐτῶν, καὶ παρεϐάλετο ἐπὶ πρόσωπον αὐτῶν αὐτὸς, καὶ ὁ λαὸς αὐτοῦ. καὶ εἶδε τὸν λαὸν διαπορευόμενον διαπορᾶσαι τὸν χειμάῤῥουν, καὶ διεπόρασε πρῶτος. καὶ εἶδον αὐτὸν οἱ ἄνδρες, καὶ διεπόρασαν κατόπισθεν αὐτοῦ. καὶ διεῖλε τὸν λαὸν καὶ τοὺς ἱππεῖς ἐν μέσῳ τῶν πεζῶν. ἦ δὲ ἵππος τῶν ἐναντίων πολλὴ σφόδρα. καὶ ἐσάλπισαν τὰς σάλπιγξι, καὶ ἐτροπώθη λιϐανήσιος, καὶ ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί. οἱ δὲ καταλειφθέντες ἔφυγον εἰς τὸ ὀχύρωμα. τότε ἐτραυματίσθη ἰούδας, ὁ ἀδελφὸς ἰωάννου. ἰωάννης δὲ κατεδίωξεν αὐτούς, ἕως ἦλθεν εἰς κεδρών, ἣν ᾠκοδόμησε. καὶ ἔφυγον ἕως εἰς τοὺς πύργους, τοὺς ἐν τοῖς ἀγροῖς ἀζώτου, καὶ ἐνεπύρισεν αὐτὰ ἐν πυρί. καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας διαχιλίους. καὶ ἀπέστρεψεν εἰς γῆν ἰούδα μετ' εἰρήνης.

οὐχ οὕτως ἰσχυρικώτερον ἔχετε κατ' ἐμοῦ τὸ πῦρ, ὥστε μὴ φείσασθαί με. μὰ τὸν μακάριον τῶν ἀδελφῶν μου θάνατον, καὶ τὸν αἰώνιον τοῦ τυράννου ὄλεθρον, καὶ τὸν αἰσχύμενον τῶν δυσεβῶν βίον. οὐκ ἀρνήσομαι τοῦτο σὺ γυμνῆ ἀδελφότητα. ἐπαινῶ σε τύραννε Βασανῖτα, ἵνα καὶ σὲ καὶ τῶν μάθω, ὅτι ἀδελφός εἰμι τῶν προδεδοκιμασμένων. ταῦτα ἀκούσας ὁ αἱμοβόρος, καὶ φονώδης, καὶ παμμιαρώτατος αὐτίοχος, ἐκέλευσε τοῦτο γλῶσσαν αὐτοῦ ἐκτεμεῖν. ὁ δὲ ἔφη· καὶ ἀφέλης τὸ φωνῆς ὄργανον, καὶ σιωπῶντων εἰσακούει ὁ θεός. ἴσως προσεχάλασε ἡ γλῶττα, τέμνετε. οὐ γὰρ περὶ τούτου τὸν λογισμὸν ἡμῶν γλωσσοτομήσεις. ὡς εἴπερ θεοῦ τὰ τοῦ σώματος μέλη ἀκροτομιαζόμεθα, σὲ δὲ ταχέως μετελεύσεται ὁ θεός. τοῦτο γὰρ τῶν θείων ὕμνων μελῳδοῦν γλῶσσαν ἐκτέμνεις, ὡς δὲ καὶ οὗτος τοῖς Βασανίοις ἐπαπειλεῖς ἀπέθανεν.

ΚΕΦΑΛ. ιά'. 11.

Ὁ τέμπτος παρεπύθετο λέγων· οὐ μέλλω τύραννε πῶς τὸν ὑπὲρ τῆς ἀρετῆς βασανισμόν, αὐτὸς δὲ ἀπ' ἐμαυτοῦ πρόβλου, ὅπως μὰ μὲ κατακτείνας, πολὺ πλείονων ἀδικημάτων ὀφλήσεις τῇ συρανίῳ δίκῃ τιμωρίαν; ὠμηστάνε, καὶ μισάρεστε, τί σε ὠφέλουν ἡμᾶς, τοῦτον πορεύεις τὸν τρόπον; ὅτι μὲν παύτων κτίσιν δυσεβοῦμεν, καὶ κατὰ τὸν φάρετον αὐτοῦ ζωῆς νόμον, ἀλλὰ ταῦτα λιμῶν οἱ Βασανῖται εἰσὶν ἄξια. τοιαῦτα λέγοντα οἱ δορυφόροι δήσαντες αὐτὸν, εἶλκον ὑπὸ τὸν κατάπελτον, ἐφ' οὗ δήσαντες αὐτὸν ὑπὸ τὰ γόνατα, καὶ ταῦτα ποδάγραις σιδηραῖς ἐφαρμόσαντες, τῷ ὀσφῦϊ αὐτοῦ ποδὶ προχαΐον σφῦρα κατέκαμψαν, ποδὶ δὲ ὅλος ποδὶ τὸν τροχόν, σκορπίῳ τρόπον, αὐακλώμενον δεξιμελίζουν. ἦν δὲ τοῦτον τὸν τρόπον καὶ τὸ πνεῦμα συνοχωρούμενον, καὶ τὸ σῶμα δυχόμενον, λαλᾶς ἔλεγεν· ἄκουε ὦ τύραννε χολέρτας ἡμῖν χαρίζῃ, δίκαι γυναικοτόρῳ πόνῳ πολλάξ ἐπάσχομεν παρὰ σοῦ· καὶ εἰς τὸν νόμον ἡμῶν λατρείαν. τελευτήσαντος δὲ καὶ τούτου, ὁ ἕκτος ἤγετο μαρακίσκος, ὃς πιστωθεὶς τοῦ τυράννου, εἰ βούλοιτο φαγὼν ἀφλύεσθαι, ἔφη· ἐγὼ καὶ μὲν ἡλικίαν τοῦ ἀδελφοῦ εἰμὶ νεώτερος, τῇ δὲ διανοίᾳ ἡλικιώτης. εἰς τὰ αὐτὰ γὰρ καὶ γεννηθῆναι καὶ τραφῆναι, ὥσπερ τῶν αὐτῶν καὶ ἀποθνήσκειν ὀφείλομεν ὁμοίως. ὡς εἰ δοκεῖ βασανίζειν, μὴ μαροφαγοῦντα βασανίζειν ταῦτα αὐτὸν εἰπόντα πρῶτον αὐτὸν ὑπὸ τὸν τροχόν, ὑφ' οὗ κατατεινόμενος ἐκμελῶς ᾠδὴν ἐπεφθέγγετο ὥσπερ ἐγκωμιάζων, καὶ ὀβελίσκοις δι' ὀξέων πειρώντων, τοῖς νόστοις πιθόμενος, καὶ τὰ πλεῦρα διαπείραντες αὐτοῦ καὶ τὰ σπλάγχνα διέκαιον. ὁ δὲ βασανιζόμενος, ὡς ἱστορεῖται δ' ἀγὼν ἔλεγεν, ἐφ' ὧν σὰ τοῦ ἀσεβείαν εἰς γυμνασίαν πόνου ἀδελφοὶ τοσοῦτοι διήνεγκάν σε γενέσθαι. ἀνίκητος γὰρ ὄντως ὦ τύραννε ἡ δυσεβὴς εὐσέβεια. διαλογικαγαθίας διαθλοπαθισμὸν τελευτήσομαι διαγὼ μετὰ τῶν ἀδελφῶν μου, μέγαν μοι προσβαλὼν καὶ αὐτὸς ἀλλόφορε διανοργὲ τῶν βασανίων, καὶ πολέμιε τῶν ἀληθῶς δυσεβούντων, ἐξ μειρακία διατελύχαμαί σου τοῦ τυραννίδα. τὸ γὰρ μὴ δυνηθῆναί σε μεταπεῖσαι τὸν λογισμὸν ἡμῶν, μὴ δὲ βιάσασθαι πῶς τοῦ μιαροφαγίαν οὐ διατάλυσις ὀδύσου, τὸ πῦρ σου ψυχρὸν ἡμῖν, οὐ πόνοι οἱ διαπέλται. οὐ γὰρ τύραννε, ἀλλὰ θεὸς νόμου προεστήκασιν ἡμῶν δορυφόροι. διὰ τοῦτο ἀνίκητον ἔχομεν τὸν λογισμόν.

ΚΕΦΑΛ. ιβ'. 12.

Ὡς δὲ καὶ οὗτος μακαρίως ἀπέθανε, διαπεβληθεὶς εἰς λέβητα, ὁ ἕβδομος προαγίνεται παύτων νεώτερος, ὃν διαπικτειρίσας ὁ τύραννος, διά τοι δεινῶς ἐπὶ παύτων τῶν ἀδελφῶν αὐτοῦ διαπεπαιδευμένος, ὁρῶν ἤδη τὰ δεσμὰ προκείμενον, πλησιέστερον αὐτοῦ μετεπέμψατο, καὶ προσηγορεύετο ἐπειρᾶτο λέγων· ἦ μὲν τῶν ἀδελφῶν σου ἀρνοίας τὸ τέλος ὁρᾷς. σὺ γὰρ ἀπείθειαν προβεβωθότος τεθνᾶσι. σύ σε εἰ μὴ πειθάνει, πάλαι βασανισθεὶς καὶ αὐτὸς τεθνήξει πρὸ ὥρας. πρόθεὶς δὲ, φίλος ἔσῃ, καὶ τῶν ὑπὸ τῆς βασιλείας ἀφηγήσῃ πραγμάτων. καὶ ταῦτα προκαλῶν, τὴν μητέρα τῶν παιδίον μετεπέμψατο, ὅπως αὐτὴν ἐλπίσας τοῦτων ὑμῶν σωφρονίσειαν, προορμήσειεν ὑπὸ τὴν σωτηρίαν δύπειθῆ ποιῆσαι τὸν προδιαπόμενον. ὁ δὲ, τῆς μητρὸς τῇ ἑβραΐδι φωνῇ πρὸς προσαμένης αὐτὸν, ὡς ὁρᾷς με, λύσατέ με φησίν, εἶπω τῆς βασιλεῖ καὶ σὺν αὐτῷ φίλοις πᾶσι. μὴ ὑπαχαρχότος μᾶλλον ὑπὸ τῆς ἐπαγγελίας τοῦ παιδίος, ταχέως ἐλυσεν αὐτόν. καὶ δραμὼν ὑπὸ πλησίον τί τῶν πυγαύων· αὐδόσιε φησί, καὶ πάντων πονηρῶν ἀσεβέστατε τύραννε. οὐκ ἠδέσθης παρὰ τοῦ θεοῦ λαβὼν τὰ ἀγαθὰ, καὶ τὴν βασιλείαν, καὶ σὸν θρόνον πόντας αὐτὸν διακτεῖναι, καὶ τὸν τῆς δυσεβείας ἀσκητὰς προβεβωσαι; αὐθ' ὧν παμβλέπτατά σε ἡ πλὴν πανυκτότερον καὶ αἰωνίῳ πυρὶ καὶ βασάνοις, αἳ εἰς ὅλον τὸν αἰῶνα οὐκ ἀπόσουσί σε. οὐκ ἠδέσθης ἄνθρωπον ὧν θεραπεύεσθε τοῦ ὁμοιοπαθῆ, καὶ ἐκ τῶν αὐτῶν γεγονότας στοιχείων γλωσσοτομῆσαι, καὶ τοῦτον διακαπίζας τὸν τρόπον βασανίσαι, ἄλλοι μὲν δύγνως ἀποθανόντα, ἐπλήρωσαν τὴν εἰς τὸν θεὸν δυσέβειαν. σὺ δὲ διακῶς οἰμώξεις, τοὺς τῆς ἀρετῆς ἀγωνιστὰς αὐαιτίως ἀρκτείνας. ὅθεν καὶ αὐτὸς ἀποθνήσκειν μέλλων, οὐκ ἀπαυτομολῶ τῶν ἀδελφῶν μου ἀρωσίας. καὶ ταῦτα εἰπὼν, ἑαυτὸν ἐξέψυξε τῶν πυγαύων, καὶ οὕτως ἀπέδωκε τὴν ψυχήν.

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. ιγ'. 13.

Δι τοίνυν, ὅ μὲχρι θανάτε πόνων ἐσωφρόνησαν οἱ ἑπτὰ ἀδελφοί, συμπολόγει τε παν πεχόθων ὅτι αὐτοδίδακτός ὅδε τῶν παθῶν ὁ σύσεβὴς λογισμός. ὥσπερ γὰρ καὶ τοῖς πάθεσι δεδωλωθότες ἐμισροφάγησαν, ἐλέγομεν αὖ τότες αὐτοὺς νεκικηκότα; νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ τοῦ ἐπαινεμένου πρὸ θεῶ λογισμῶ πρδιεγκόντο τῶν παθῶν. καὶ οὐκ ὄδι παρισθῆν τῶν ἡγεμονίαν ἢ διανοίας. ἐπεκράτησε γὰρ καὶ πάθες καὶ πόνων. πῶς οὖν οὐκ ὄδι πύρις τῶν τῆς εὐλογισίας παθοκρατορίαν ὁμολογεῖν, οἱ δι' ὧν πυρὸς ἀλγησόνων οὐκ ἀπεσράφησαν; διαθά πρ γὰρ προβλῆτον λιμῶνω πύργοι τὰς τῶν λιμάτων ἀπλὰς ἀνακόπτοντον, γαλιῶν παρέχσι τοῖς ἐμπίπσι τὸν ὅρμον, οὕτως ἡ ἑπτάπυργ ἢ νεανίσκων εὐλογία, τὸν ἢ εὐσεβείας ὀχυρώσασα λιμῶνα τῶν τῶν παθῶν ἐνίκησεν ἀκολασίαν. ἰσὸν γὰρ εὐσεβείας κίνεντον χορὸν πρεθάῤῥωναν ἀλλήλες, λέγοντον· ἀδελφικῶς ἀρβαώμεν ἀδελφοί πρὸ τοῦ νόμου. μιμησώμεθα τοὺς ὑδὲ ἢ ἀσυρίας νεανίας, οἱ ἢ ἰσπάλιδ καμίνε διεφρόνησαν, μὴ δειλανδρήσωμεν πρὸς τῶν ἢ εὐσεβείας ἐπίδειξιν. καὶ ὁ μὲν, θάῤῥει ἀδελφὲ ἔλεγον. ὁ δὲ, εὐγενῶς διαρτόρησον. ὁ δὲ διαπεμπόδεις ἔλεγε· μνήδητε πόθεν ἐσὲ, ἢ τίν πατρῷ χειροφαγιαδῶαι δι' τὴν εὐσέβειαν ἐσώμενε ἰσπάκ; εἰς δὲ ἕκας ἀλλήλες ὁμοῦ πάντον ἐφορῶντες φασδροί, καὶ μάλα θαῤῥαλέοι ἑαυτοὺς ἔλεγον· τοῦ θεῶ ἀθιερώσωμεν δῤ ὅλης διαρδίας, τοῦ δόντα τὰς ψυχὰς, καὶ χήζωμεν τῇ πρὸ τὸν νόμον φυλακῇ τὰ σώματα. μὴ φοβηθῶμεν τὸν δοκοιῶντα ἀρκτείνειν τὸ σῶμα, μέγας γὰρ ψυχῆς λίνδυν ἢ αἰωνίω βαπτισμῷ διέμενν τοῖς πῤαβαίνσι τὸν ἢ τολμὰ τοῦ θεοῦ. διαθοπλισώμεθα πιγαρᾶν τῶν τοῦ θεῖ λογισμὸ θεοκράτειαν. οὕτω γὰρ θάνοντες ἡμᾶς ἀβραὰμ ἰσπὰκ καὶ ἰακὼβ ὑποδείξοντα, καὶ πάντον οἱ πατρῶν ἐπαινέσουσι. καὶ ἑνὶ ἑκάσῳ τῶν ἀρτιωμένων αὐτῶν ἀδελφῶν ἔλεγον οἱ πρδιλφπόμενοι· μὴ διατειχώμεν ἡμᾶς ἀδελφὲ, μηδὲ ψδύσι τοὺς προαποθανόντας ἡμῶν ἀδελφούς· ἀκ ἀγνοεῖτε δὲ τὰ ἢ ἀδελφότητ Φίλτρα, ἅπερ ἡ θεία καὶ πανόσοφ πρόνοια, δι' πατρῶν τοῖς γγνομένοις ἐμέρισε, καὶ δι' [illegible]ρώας φυτδίζασε γαστρός, ἐν ᾗ ἐν ἕνι ἴσον ἀρτεχθέντες χρόνον, καὶ ἐν τοῦ αὐτοῦ [illegible]όνῳ πλαδηθέντες, καὶ ἀκ τοῦ αὐτοῦ αἵματ αὐξηθέντες, καὶ δι' ἢ αὐτῆς ψυχῆς τελεσφορηθέντες, καὶ δι' ἐν ἴσον ἀρτεχθέντες χρόνον, ἡ ἐκ τῶν αὐτῶν γαλακτοτροφῶντες πηγῶν, ἀφ' ὧν σωτρέφονται ἐν ἀγκαλισμάτω φιλάδελφοι ψυχαὶ, καὶ αὔξονται σφοδρότορον δι' ἢ σωτροφίας, καὶ δι' ἢ καθ' ἡμέραν σωπθείας, καὶ ἢ ἄλλης παιδείας, καὶ ἢ ἡμετόρας ἐν νόμῳ θεῦ ἀσκήσεως. οὕτω δὴ τοίνυν, διαθεσάσης συμπαθῶς ἢ φιλαδελφίας, οἱ ἑπτὰ ἀδελφοὶ συμπαθέστορον ἔχον πρὸς ἀλλήλες. νόμῳ γὰρ τοῦ αὐτῷ παιδηθέντες, καὶ τὰς αὐτὰς δῤ ἀσκήσαντες ἀρετὰς, καὶ τοῦ δικαίῳ σωτραφέντες βίῳ μᾶλλον ἑαυτοὺς ἠγάπων. ἡ γὰρ ὁμοζηλία τ διαθοκαγαθίας ἐπέτηνε αὐτοῖς τ πρὸς ἀλλήλες ὁμόνοιαν. σὺν γὰρ τῇ εὐσεβείᾳ πρθεινοτόραν ἑαυτοῖς διατεσκύαζον τὴν φιλαδελφίαν, ἀλλ' ὅμως καὶ πρδὶ ἢ φύσεως καὶ ἢ σωπθείας, καὶ τῶν ἢ ἀρετῆς ἠθῶν τὰ ἢ ἀδελφότητ αὐτοῖς Φίλτρα σωαυξανόντων, ἀνέχονδ δι' τὴν εὐσέβειαν οὐ ἀδελφὸς, οἱ ὑπολειπόμενοι οὐ διατακιζόμενος ὁρῶντες, μεχρὶ θανάτου βασανιζόμενος.

ΚΕΦΑΛ ιδ'. 14.

Προσέτι καὶ ὧν τὸν ἀέκισμόν ἐποτρύοντες, ὡς μὴ μόνον τῶν ἀλγησόνων πρδιφρονῆσαι αὐτοὺς, ἀλλὰ καὶ τῶν ἢ φιλαδελφίας παθῶν ἱερατῆσαι. ὦ βασιλέων λογισμοὶ βασιλικώτοροι, καὶ ἐλευθερόρων ἐλευθεροώτοροι, οὐδεὶς τῶν ἑπτὰ μειρακίων ἐδειλίασεν, οὐδὲ πρὸς τὸν θάνατον ὤκνησεν, ἀλλὰ πάντες ὥσπερ ἐπ' ἀθανασίας ὁδὸν πρέχοντες, ὑδὲ τὸν δι' τῶν βασάνων ἑαυτοὺς ἐδύσοντο. καὶ ἅπερ γὰρ χεῖρες συμφώνως, καὶ πόδες συμφώνως τοῖς ἢ ψυχῆς ἀφηγήμασι διενοῶντο, οὕτως οἱ ἱεροὶ μείρακες ἐκεῖνοι, ὡς ἀπὸ ψυχῆς μιᾶς ἢ ἀθανάτου εὐσεβείας διανούμενοι, πρὸς τὸν ὑπὲρ αὐτῆς σωεφώνησαν θάνατον. ὦ πανηγίας συμφώνου ἀδελφῶν ἑβδομάδ. διαθάπερ γὰρ ἐπὶ τῆς κοσμοποιίας ἡμέραι πρὸς τὸν ἀσέβειαν, οὕτω πρὸς τὸν ἑβδομάδα χορδύοντες οἱ μείρακες ἐκύκλωσαν τὸν τῶν Βασάνων φόβον διαπαλύοντες. νῦν ἡμεῖς ἀκούοντες τὸν θλίψιν τῶν νεανίσκων φρίττομεν. οἱ δὲ οὐ μόνον ὁρῶντες, ἀλλ' οὐδὲ ἀκούοντες τὸν παραχρῆμα ἀπειλῆς λόγον, ἀλλὰ καὶ πάχοντες ἐνεκαρτόρουν, καὶ ὧν τὰς δι' πυρὸς ὀδύνας, ὧν ἢ αὖ γθύοιτο ἐπαλγεσόρους; ὀξεῖα γὰρ καὶ σώτρομ ἡ τοῦ πυρὸς οὖσα δυνάμις, ταχέως δ' ἐλυσε τὰ σώματα. ἡ μὲν θαυμασὸν ἠγεῖδε, εἰ ὁ λογισμὸς πρδιεκράτησε τῶν αὐθρώπων ἐκείνων ἐν ταῖς βασάνοις, ὅπου γε καὶ γυναικὸς νοῦς πολυτροπωτόρων ἐσωφρέφρόνησεν ἀλγησόνων. ἡ μικτὴς γὰρ τῶν ἑπτὰ νεανίσκων ἐκείνων, ἐκωλύσγλισε τὰς ἐφ' ἑνὶ ἑκάσῳ τῶν τέκνων σρέβλας. θεωρεῖται δὲ, πῶς πολύτεκνός ὄδι ἡ τῆς φιλοτεκνίας σοργὴ, ἔλκασε πάντα πρὸς τὸν τῶν τέκνων συμπάθειαν, ὅπου γε καὶ τὰ ἄλογα ζῶα ὁμοίαν τὸν πρὸς δ' αὐτῶν γγόμενα συμπάθειαν καὶ σοργὴν ἔχει τοῖς αὐθρώποις. καὶ τί δεῖ τὸν δι' τῶν ἀλόγων ζώων ὠδινεδείκνυσθαι πρὸς τὰ τέκνα συμπάθειαν, ὅπου γε καὶ μείλισσαι πρὸ τῆς ἐκπορογονίας ἀπα-

μιμούντας τοὺς πρωτοτόκους; καὶ καθάπερ σιδήρῳ, ἢ λιμῷ πλησθῆναι, οὕτω πρωτοτόκους τῇ νοσερᾷ αὐτῶν, καὶ ἐπαμυνόντας ἕως θανάτου;

ΚΕΦΑΛ. ιε'. 15.

Ἀλλ' οὐχὶ τῇ Ἀβραὰμ ὁμόψυχον τῶν νεωτέρων μητέρα μετεκίνησε συμπάθεια τέκνων, πρωτοτόκου μητὴρ ἀνυσῖμος πρωτοτόκων ὑσιεβείας, καὶ τοῖς ἐπὶ γῆς ὑμῶν σωτηρίας πρωτοπαίροντι τῶν τοῦ τυραννοκτόνου ἀνοχῆσιν, τῷ ὑσιεβείαν μᾶλλον ἠγάπησε, τῷ σώζεσθαι εἰς αἰώνιον ζωὴν τοῦ θεοῦ. ὡ τίνα τρόπον ἠθολογίσαιμι φιλότεκνα γονέων πάθη, ψυχῆς τε καὶ μορφῆς ὁμοιότητα, εἰς μικρὸν παιδὸς χαρακτῆρα θαυμάσιον ζωπυροφραγίζοντα, μάλιστα διὰ τὸ παθεροῖς ῥυπωθεῖσι τὰς μητέρας τῶν πατέρων λαθεπάναι συμπαθεστέρας; ὅσῳ γὰρ καὶ ἀδρόψυχοι καὶ φιλογονώτεραι ἀπάρχουσι αἱ μητέρες, τοσούτῳ μᾶλλον εἰσὶ φιλοτεκνώτεραι. πασῶν δὲ τῶν μητέρων ἐγγὺς ἡ τῶν ἐπὶ γῆς μητὴρ φιλιτεκνωτέρα, ἧπερ ἐπὶ γῆς λυσφορίαις τοῦ πρὸς αὐτοὺς ὠφυτευομένου Φιλοσοργίαν, καὶ διὰ πολλὰς τὰς καθ' ἕκαστον αὐτῶν ὀδίνας, ἡ φιλασκαμένη τοῦ εἰς αὐτὸν ἔχειν συμπάθειαν, διὰ τὸν πρὸς θεοῦ φόβον ἀπορρῆξαι τοῦ τῶν τέκνων πρόσκαιρον σωτηρίαν. οὐ μὴν δὲ, ἀλλὰ καὶ διὰ τὴν καλοκαγαθίαν τῶν ὑῶν, καὶ τοῦ πρὸς νόμου αὐτῶν ὑπάθειαν, μείζω τοῦ φ' αὑτοῖς εἶχε Φιλοσοργίαν. δίκαιοί τε γὰρ ἦσαν, καὶ σώφρονες, καὶ μεγαλόψυχοι φιλάδελφοι, φιλομήτορες οὕτως, ὥστε καὶ μέχρι θανάτου τὰ νόμιμα φυλάσσοντας παθεῖν αὐτῇ. ἀλλ' ὅμως καὶ πρὸς τοσοῦτῳ ὄντως πρὸς φιλοτεκνίαν εἰς συμπάθειαν ἐλκόντων τὴν μητέρα, ἐπ' οὐδενὸς αὐτῶν τὸν λογισμὸν αὐτῆς, οἱ παμποίκιλοι βάσανοι ἰσχύσαν μεταστρέψαι, ἀλλὰ καθ' ἕνα παῖδα, καὶ ὁμοῦ πάντας ἡ μήτηρ ὑπὲρ τοῦ τῆς ὑσιεβείας πρωτοτόκου θάνατον. ὦ φύσις ἰσχὺς, καὶ φίλτρα γονέων, καὶ συμφυεῖς φιλόσοργοι καὶ τροφεῖα, καὶ μητέρων ἀλάμαστα πάθη. καθ' ἕνα στρεβλούμενον καὶ φλεγόμενον ὁρῶσα μήτηρ οὐ μετεβάλλετο διὰ τὴν ὑσιέβειαν. τὰς σάρκας τῶν τέκνων ἑώρα πρὸ τοῦ πυρὸς κνωμένας, καὶ τοὺς τῶν πλευρῶν καὶ χειρῶν σκληκτύλους ὑπὸ γῆς κατορύττοντας, καὶ τὰς τῶν κεφαλῶν μέχρι πρὸς τὰ γύαλα σάρκας, ὥσπερ πρόσωπεῖα πρὸκειμένας. ὦ τῆς [illegible]ρῶν ναῦ μητὴρ πόνων, πειρασθεῖσα ὑπὲρ τῶν ἐπ' αὐτοῖς ὠδίνων, οὐ μόνη γυναικὶ τὴν ὅλην ἀνδρείαν ὁλόκληρον ἀφκνίσατο, οὐ μετέστρεψέ σε πρωτότοκος ἀφπτέως, οὐδὲ ἀδύτῳ εἰς σὲ οἰκτον βλέπων ὁ τῶν Βασανίων, οὐ πρίτῳ ἀφ' ψύχων, οὐδὲ αὖ ὀφθαλμὸς ἑνὸς ἑκάστου θεωρῆσαι, ταυρηδὸν ὦν τῶν Βασανίων ὀρδνάντας ἐφ' ἑαυτὸν αἰκισμόν, καὶ αὖ μυκτῆρας πρὸσκειμένους ἐπὶ θάνατον αὐτῶν. οὐκ ἐκλάυσας ὁρῶσα σάρκας τεκνῶν ἀφκαιομένας, καὶ ὦν χόρσι χεῖρας ἀφτεμνομένας, καὶ ὠδὶ κεφαλὰς κεφαλὰς ἀφαιροτομουμένας, καὶ ὑπὸ νεκρῶν νεκροὺς πίπτοντας, καὶ πολυανδρίου ὁρῶσα τῶν τέκνων τὸ χορεῖον ὅλα τῶν Βασανίων οὐκ ἐσαλπιγκτας. οὐχ οὕτως εἰρὴν ἀπὸ μελωδίαι, οὐδὲ λύκνειοι πρὸς Φιλικωΐαν φωναὶ, τοὺς ἀκόντας ἐφελκόντα ὡς τέκνων φωναὶ μετὰ Βασανίων μητέρα φωνομένων. καθάπερ γὰρ ὑπὸ βελωτηρίου τῆ ἑαυτῆς ψυχῆ, πλευρὰς ὁρῶσα συμβόλους φύσιν καὶ γνήσιον καὶ Φιλοτεκνίαν, καὶ τέκνων στρέβλας, πνὸς ὑφάρις λιρατεύσατ' ἡ μήτηρ, θανατηφόρου τε καὶ σωτηρίου ἐπὶ τέκνων. οὐκ ἔγνω τὴν σώζεσθαι ἐπὶ γῆς πρὸς ὀλίγον χρόνον σωτηρίαν, ἀλλὰ τῆς θεοσεβὲς ἀβραὰμ λιστορίας ἡ θυγάτηρ ἐμνήσθη. ὦ μητὴρ ἔθνος ἔκλινε τοῦ νόμου, καὶ ἐπορθρασάσατο τῆς ὑσιεβείας, καὶ τοῦ σὺν παλαγχνων ἀγῶνος ἀθλοφόρε. ὦ ἀῤῥώνων πρὸς λιστορίαν γύναι ἀνδρειστέρα, καὶ ἀνδρῶν πρὸς ὑπομονὴν ἀνδριστέρα. καθάπερ γὰρ ἡ νὺξ λιθωτὸς ἐν θεῷ λιοσμοπλήθει λιπανλυσμῶ κοσμοφορεῖται λιστορῶς ἐπέμενε τοὺς ἑλυσίδωνας, οὕτω καὶ σὺ ἡ νομοφύλαξ πανταχόθεν ἐν θεῷ τῶν παθῶν πρὸς ἀνταγωνουμένη λιστικλυσμῶ, καὶ λιστορίοις αὐξήσεσι τὰς τῶν ἡλῶν Βασανίων σωεχομένη, γενναίως ἐπέμενας τὸν ἐπὲρ τῆς ὑσιεβείας χειμῶνα.

ΚΕΦΑΛ. ις'. 16.

Ἰδὲ τοίνυν καὶ γυνὴ γηρεὰ, καὶ ἑπτὰ παίδων μήτηρ, ἐπέμεινε τὰς μεχρὶ Βασανίου ὁρᾶσθαι τῶν τέκνων. ὁμολογουμένως ταυτηκράτωρ δὴ τῶν παθῶν ὁ ὑσιεβὴς λογισμός. ἀπέλαβεν οὖν, ὅτι ὁ μόνον ἄνδρῶν τῶν παθῶν ἐκράτησαν, ἀλλὰ καὶ γυνὴ τῶν μεγίστων Βασανίων ὑπερφρόνησε. καὶ οὐχ οὕτως οἱ πρὸ λαοπίλλειοντες ἦσαν ἄγριοι, οὐδὲ ἡ ἐπὶ τοῦ μιζαπὶ ἐκφλεγομένη καὶ καίμενος λαυροτάτου πυρὶ, ὡς ἡ τῆς Φιλοτεκνίας πρωτεκαυχ ἐκείνῳ φύσις, ὁρᾶσα αὐτὸς οὕτω ποικίλως βασανιζομένους τοὺς ἑπτὰ υἱούς, ἀλλὰ τῷ λογισμῷ τῆς εὐσεβείας μαπέσθε τοσοῦτα καὶ τηλικοῦτα παθῶν ἡ μήτηρ. καὶ γὰρ τοῦτό ἐστιν ὠλογίζεσθαι, ὅτι ἀλλόψυχος εἰλὴ γυνὴ, καὶ πρὸ μητρὸς οὖσα ὠλοφύρατο αὐ ἐπ' αὐτοῖς, καὶ ἴσως ταῦτα ἂν οὕτως εἶπον· ὦ μελέα ἐγὼ γε καὶ πολλαχῆς τρισαθλία, ἡ τῆς ἑπτὰ παίδων τεκοῦσα, οὐδενὸς μητὴρ γεγένημαι. ὦ μάταιοι ἑπτὰ λυσφοείαι, καὶ αὐόνητοι ἑπτὰ λελεκάμενοι, καὶ ἄκαρποι πθλιαι. μάτην ἐφ' ὑμῖν ὦ παῖδες, πολλὰς ἐπέμεινα ὀδίνας, καὶ χαλεποτόκους φροντίδας ἀνατροφῆς. ὦ τῶν ἐμῶν παίδων, οἱ μὴ ἄγαμοι, οἱ ἢ γήμαντες αὐόνητοι, ἐκ ὧν ὁμαι ὑμῶν τέκνα, οὐδὲ μάμμη λληθῶς μακαριοθήσομαι. ὦ ἡ πολύπαις καὶ καλλίπαις. ἐγὼ γυνὴ χήρα, καὶ μόνη πολύθρηνος,

οὐδὲ

οὐδὲ αὖ ἀρθαλμῶ θάψοντα τὴν ὑδρ ἐξω ζυνά. ἀλλὰ τάτω τῷ θρλιῶ οὐδὲν ἀλοφύρ ἡ ἱστορὰ καὶ δύσεβὴς μητὴρ, οὐδ' ἵνα μὴ ἀρθαύωσιν ἀπέτρεπεν αὐτὴν ζυνὰ, ὡς οὐδὲ ἀποθνησκόντων ἐλυπήθη, ἀλλ' ὥσπερ ἀσλαμαύλινον ἔχουσα τὸν νᾶν, καὶ εἰς ἀθανασίαν αὐτὰ πέζουσα, τὸν τὴν ὑῶν ἀριθμὸν μᾶλλον ὑπὲρ τὴ δύσεβείας ὧν τὸν θάνατον αὐτῶν πρετρέπ ἡ ἱκετδύσα. ὦ μητὲρ δὲ δύσέβειαν θεῖ σραλιώτη πρεσβύτη, καὶ γυναικὸς δὲ ἀρτρίαν ἢ τύραννον φὴκησας, ἢ ὀργοις εὐρέθης αὐθ ὸς καὶ λόγοις δυσατωτόρα. καὶ γὰρ ὅτι σωελήφθης μετὰ τῶν παίδων, εἰσήκεις τὸν ἐλεάζαρον ὁρῶσα βασανιζόμενον, καὶ ἔλεγόν τοῖς ωασὶ τῇ ἑβραΐδι διαλέκτω· ὦ παῖδὸν γμναῖ ὁ ἀγὼν, ἐφ' ὃν ἐλυθητόν ὑπὲρ δ ἁμαρτυρίας τὸ ἔθνος φὴαγωνίσασθε προθύμως ὑπὲρ τὸ πατρῴου νόμ. καὶ γὰρ αὐσχρὸν τὸν μὲν γέροντα τὸν ὑπομένειν τὰς δὲ τὴν δύσεβειαν ἀλγκαλόνας, ὑμᾶς δὲ τοὺς νεανίσκους διαπλαγῆναι τὰς βασάνους, ἀναμνήσθητε, ὅτι δὲ τὸν θεὸν τ νόμ μετελάβετε, καὶ τὸ βίσ ἀπελαύσετε. καὶ δὲ τοῦτ ὀφείλετε ωάντα πόνον ὑπομεῖναι δὲ τὸν θεόν, δὶ ὃν καὶ ὁ πατὴρ ὑμῶν ἀβραὰμ ἔσφαγε τὸν ἑνοπάτορα ὑὸν σφαγίσαι ἰζὰκ, καὶ τὴν πατρῴαν χεῖρα ξιφηφόρον διαφρομνῦσι ἐπ' αὐτὸν ὁρῶν οὐκ ἔπηξε. καὶ διαπὶλ ὁ δὶκαι ἐς λέοντας ἐλήθη. καὶ ἀνανίας, ἀζαρίας, καὶ μισαὴλ ἐς κάμινον πυρὸς ἀπεσφονδονίσθησαν, καὶ ὑπέμειναν δὲ τὸν θεόν. καὶ ὑμεῖς οὖν τὴν αὐτὴν πίσιν ἐς τὸν θεὸν ἔχοντες μὴ χαλεπαίνετε. ἀλόγισον γὰρ εἰδότας δύσέβειαν μὴ αὐτιαθῆσαι τοῖς πόνοις. δὲ τάτων τῶν λόγων ἡ ἐπαμύτωρ ἕνα ἕκασον τῶν ὑῶν πρὸς καλῆσα ἀρθανεῖν. ἐπὶ δὲ καὶ τοῦτ εἰδότες, ὅτι οἱ δὲ τὸν θεὸν ἀρθνήσκοντες ζῶσι τῷ θεῷ, ὥσπερ ἀβραὰμ, ἰζὰκ καὶ ἰακὼβ, καὶ ωάντες οἱ πατριάρχαι.

ΚΕΦΑΛ. ιζ'. 17.

Ἔλεγον δὲ καὶ τῶν διορυφόρων τινές· ὡς ὅτι ἔμελλε συλλαμβάνεσθαι καὶ αὖτη πρὸς θάνατον, ἵνα μὴ ψαύσῃ ζῆς τὸ σώματ αὐτῆς, ἑαυτὴν ἐρίψε κατὰ δὲ πυρᾶς; ὦ μητὲρ σὺ ἐπὶ παισί, διαταλύσασα τὴν τὸ τυράννυ βίαν, καὶ ἀνυρώσασα τὰς διακὰς ὠμνοίας αὐτοῦ, καὶ δείξασα τὴν δὲ πίσεως γμναιότητα, διαθάπερ σὺ εἶγε ὧν τῶν σύλους τῶν παίδων γμναίως ἐβρυμήν, ἀκλινὴς ταλάιγκας τὸν δὲ τῶν Βασανων σεισμόν. θάῤῥει τοιγαροῦν, ὦ μητὲρ ἱλαρόψυχε, τὴν ἐλπίδα δὲ ὑπομονῆς ἔχουσα βεβαίαν πρὸς θεόν. οὐχ οὕτως σελήνη διατ' οὐρανὸν σὺν ἄστροις σεμνὴ διαθέουσαν, ὡς σὺ τὸν ἀσθρας ἐπὶ παῖδας φωταγωγήσασα πρὸς τὴν δύσεβειαν φῶτιμ διαβέβηκας θεῶν, καὶ ἐστέρησας φῶ οὐρανῷ σὺν αὐτοῖς. ἰω γὰρ ἡ παιδοποιΐα σου ἀπὸ ἀβραὰμ τὸ πατρός. εἰ δ' ἦν ὑμῖν ὥσπερ ἐπί ζυνος πίνακος ζωγραφῆσαι τὴν δύσεβείας ἱστορίαν, οὐκ ἂν ἔφειπον οἱ θεωροῦντες μητέρα ἐπὶ τέκνων δὶ δύσέβειαν ποικίλας βασάνους μέχρι θανάτ γυμνούσας ὑπομένουσαν. καὶ γὰρ ἄξιον ἰω καὶ ὧδὶ τὸ αὐτὸ τὸ πάθ ἀναγράψαι, καὶ ταῦτα τοῖς ἀπὸ τὸ ἔθνος εἰς μνεῖαν λεγόμενα· γνῶτε δ' ὁ ἱερὸς γρῶν, καὶ ἐπὶ παῖδὸν ἐγκεκλιδότα δὲ τυράννυ βίαν, τὴν ἑβραίων πολιτείαν διαταλῦσαι θέλοντ, οἳ καὶ δεδλίκασιν τὸν ἔθν εἰς θεὸν ἀφορῶντὸν, καὶ μέχρι θανάτου τὰς βασάνους ὑπομένοντες. ἀληθῶς γὰρ ὁ ἀγὼν θεῖος, ὁ δὶ αὐτῶν γεγμνασμέν. ἠθλοθέτει γὰρ τότε ἀρετὴ δὶ ὑπομονῆς, δοκιμαζόσα τὸ νίκ ἀφθαρσίας ἐν ζωῇ πολυχρονίῳ. ἐλεάζαρ δὲ πρωτγωνίζ, ἡ δὲ μητὴρ τῶν ἑπτὰ παίδων ἠνέβλε, οἱ δ' ἀδελφοὶ ἠγωνίζοντο, ὁ τύραννν αὐτὸς ἀγωνίζ. ὁ δὲ κόσμ καὶ ὁ τῶν ἀνθρώπων βίος ἐθεώρει, θεοσεβεία δὲ ἐνίκα, τοὺς ἑαυτῆς ἀθλητὰς στεφανοῦσα. τίνες οὐκ ἐθαύμασαν τοὺς ἐν θείας νομοθεσίας ἀθλητάς; τίνες οὐκ ἐξεπλάγησαν; αὐτὸς γέ τοι ὁ τύραννος, καὶ ὅλον τὸ συμβούλιον ἐξεθαύμασαν αὐτῶν τὴν ὑπομονήν. καὶ γάρ φησιν ὁ μωϋσῆς, καὶ ωάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου. καὶ οὗτοι οὖν ἁγιαθέντες διὰ θεὸν τετίμηνται, καὶ διὰ τὸ αἷματ αὐτῶν δύσεβῶν ἐκείνων, καὶ τὸ ἱλαστηρίου θανάτ αὐτῶν ἡ θεία πρόνοια τὸν ἰσραὴλ πρὸ καιρῶν ἐλέωσε. πῶς γὰρ τὴν αὐθρεσίαν αὐτῶν ἐν ἀρετῆς, καὶ τὴν ὧδὴ τοῖς Βασάνοις αὐτῶν ὑπομονὴν ὁ τύραννος ἀπειθῶν αὐκήρυξεν αὐτίοχος τοῖς σραλιώταις αὐτὸ ὑπόλειγμα τῶν ἐκείνων ὑπομονῶν. ἔχε τε αὐτὸς γμναίως καὶ αὐθρείας εἰς πολεμαχίαν καὶ πολιορκίαν, καὶ ἐκπορθήσας φήκησε τοὺς ωάντας πολεμίους. ὦ τῶν ἀβραμιαίων ωσπερμάτων ἀπόγονοι παῖδες ἰσραηλῖται, πείθεσθε τῷ νόμῳ τάτῳ, καὶ ωάντα τρόπον δύσεβεῖτε, γινώσκοντες ὅτι τῶν παθῶν πιστότης δὴν ὁ δύσεβὴς λογισμός.

ΚΕΦΑΛ. ιή. 18.

Καὶ οὐ μόνον τῶν φόβον, ἀλλὰ καὶ τῶν ἔξωθν πόνων, αὐθ' ὧν δὲ τὴν δύσεβειαν πρὸ ἐμένοι τὰ σώματα τοῖς πόνοις ἐκεῖνοι, οὐ μόνον ὑπὸ τῶν αὐθρώπων ἐθαυμάσθησαν, ἀλλὰ καὶ θείας μερίδος διατηρεῖσθαι, καὶ δὶ αὐτὸ ἱερῶσθαι τὸ ἔθν καὶ τὴν δύναμίαν, τῆ ὧδὴ δὲ πατρῴδ αὐανεωσάμνον ἐζεπολιόρκησε τὸν πολεμίους καὶ ὁ τύραννος αὐτίοχ, καὶ ὧδὴ γῆς πεζμώρηται, καὶ ἀρθανὼν διολάζεται. ὡς γὰρ οὐδὲν οὐδαμῶς ἴσχυσεν αὐαγκάσαι τοὺς ἱεροδουλυμίτας ἀλλοφυλῆσαι καὶ τῶν πατρίων ἐθνῶν μεθιστάσθαι. τότε ἀπάρας ἀπὸ τῶν ἱεροδουλύμων ἐστράτευσεν ἐπὶ τοὺς ὁρίους. ἔλεγε δ' ἡ μητὴρ τῶν ἑπτὰ παίδων, καὶ ταῦτα ἡ δικαία

τοῖς τέκνοις. ὅτι ἐγκαίθω πρθρῷ ἁγνὴ, οὐδ' ὑποδέδω παροικον οἶκον. ἐφύλασσον δὲ τὼ οἰκοδομημάτω πλευράν. οὐ διέφθειρέ με λυμεὼν ὀρνίας φθορεὺς γὼ πεδίῳ, οὐδ' ἐλυμήνατό μ τὰ ἁγνὰ ζῆλ πρθρνίας λυμεὼν ἀπατηλὸς ὄφις. ἔμεινα δὲ χρόνον ἀκμῆς σὺν αὐδρί. τούτων δὲ γνήλίκων γεγομένων ἐτελεύτησεν ὁ πατὴρ μακαρίως μὲν, τὸν γὰρ ζῆλ οὐτεκνίας βίον ὡδιζήσας, τὸν ζῆλ ἀτεκνίας δὲ κ ἠδυνήθη ἰδεῖν. ὃς ἐδίδασκεν ἡμᾶς, ἔτι ὢν σὺν ἡμῖν, τὸν νόμον καὶ τοὺς προφήτας, τὸν αὐαιρεθέντα ἄβελ ὑπὸ κάϊν αὐεγίνωσκεν ἡμῖν, καὶ τὸν ὁλοκαρπούμενον ἰσαὰκ, τὸν γὼ φυλακῇ ἰωσήφ. ἔλεγε δὲ ἡμῖν τὸν ζηλωτὴν Φινεές. ἐδίδασκε δ' ἡμᾶς οὗς γὼ πυεὶ αὐανίαν, ἀζαρίαν, καὶ μισαὴλ. ἐδόξαζε καὶ τὸν γὼ λάκκῳ λεόντων διανιηλ, ὃν ἐμακάριζεν. ὑπεμίμνησκε δ' ἡμᾶς τῶν ἁγίων γραφῶν τῶν λεγόντων· ἰακὼβ δίκαιος διέλθης, φλόξ σε κατακαύσει σε. τὸν ὑμνωδὸν γράφον ἐμελῴδει ὑμῖν λαβὶδ λέγοντα· πολλαὶ αἱ θλίψεις τῶν δικαίων. τὸν σαλομῶντα προοιμιάζεν ἡμῖν λέγοντα· ξύλον ζωῆς πᾶσι τοῖς ποιοῦσιν αὐτὸ τὸ θέλημα. τὸν ἰεζεκιὴλ ὠλιγοποιεῖτο λέγοντα· εἰ ζήσεται τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα. ὡδὶ μὴ ἰωὴλ ἐδίδαξε μωϋσῆς δὲ ἐπελάθετο, διδάσκοντα μὴ λέγειν· ἐγὼ ἀφῆκτο ὧδε καὶ ζῶν ποιήσω. αὐτὴ ἡ ζωὴ ὑμῶν, μὴ ἡ μακρότης τ ἡμερῶν. ὦ πικρᾶς τ τότε ἡμέρας, μὴ ὁ πικρὸς, ὅτε πικρὸς ἐλλιώνων πύρωνθ ὧν φλέξας λέβησιν ὠμοῖς, μὴ ζέουσι θυμοῖς, ἀγαγὼν ὧδε τὸν διακαπέλτιον, μὴ πάσας αὐτοῦ τὰς βασάνους αὐτῷ ὧδε οὓς ἐπὶ πᾶσιας ζῆλ ἀβραὰμ ἐπῆλθ, καὶ δὴ ὁμμάτων κόρας ἐπήρωσε, καὶ γλώσσας ἐξέτεμε, καὶ βασάνοις ποικίλαις ἀπέκτεινεν. ὡσὲρ ὧν ἡ θεία δίκη μετῆλθε, καὶ μετελεύσεται τὸν ἀλάστορα. οἱ δὲ ἀβραμιαῖοι παῖδες σὺν τῇ ἀθλοφόρῳ μητρὶ εἰς πατέρων χορὸν σωαγελαζόντων, ψυχὰς ἁγνὰς ἀθανάτους ἀπεληφότες πρὸς θεὸν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

ΤΕΛΟΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΝΕΑ ΔΙΑΘΗΚΗ.

NOVVM TESTAMENTVM.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΒΙΟΣ ΤΟΥ ΜΑΤΘΑΙΟΥ ΕΚ ΤΩΝ ΣΩΦΡΟΝΙΟΥ.

ΑΤΘΑΙΟΣ, ὁ καὶ λδνὶς, ἀπόστολ⊖ ἐκ τελωνῶν, γν τῇ ἰουδαίᾳ πρ
διὰ τοὺς ἐκ πόντου πιστεύσαντας εὐαγγέλιον τδ χριστδ γράμμασιν κ
μασιν ἑβραϊκοῖς συνέταξεν, ἀγνοουμένου τδ μετὰ ταῦτα εἰς ἑλληνικὸν π
μεταφρασαντ⊖. Τὸ δὲ ἑβραϊκὸν ἄχρι τήμερόν ἐστιν ἐν τῇ βιβλιοθήκῃ λα
ρείας, τῇ παρὰ παμφίλου μαρτυρ⊖ σπουδασθέντως κατασκευασθ
Ἐμοὶ δὲ παρὰ τῶν ναζαραίων τῶν ἐν βεροίᾳ τῆς συρίας τοῦτο ἀναγεγραμμένον, ἄλλα παρεγέν
τοῦτον μεταγραφῆς, ἀλλ' οὐ δεῖν ἀπειθῶς πειθαρχεῖν, ὡς ἔνδια ἂν ὁ εὐαγγελιστὴς εἴ τε ἐκ τ
που οἰκείου, εἴ τε ἐκ προσώπου τδ λυτρου ἡμῶν Ιησοῦ χριστοῦ καὶ σωτῆρ⊖ ταῖς μαρτυ
λα τακέχρηται τῶν παλαιῶν γραφῶν, μὴ ἀκολουθεῖν τῇ αὐθεντίᾳ τῶν ἑβδομήκοντα ἑρμη
τῶν, ἀλλὰ τῇ ἑβραϊκῇ, ἀφ' ὧν τὰ πλείω δεῖν ἐκεῖνα· δι' ἃ εὐγύπου ἐκάλεσα τὸν ὑὸν μου.
καὶ, ὅτι ναζωραῖ⊖ κληθήσεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΥΑΓΓΕΛΙΟΝ
ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ.

ΙΒΛΟΣ γενέσεως ιησ̃ χρισ̃, υ̃ς δαβίδ, υ̃ς ἀβραάμ. ἀβραὰμ ἐγέννησε τ̀ ἰσαάκ, ἰσαὰκ δὲ ἐγέννησε τ̀ ἰακώβ. ἰακὼβ δὲ ἐγέννησε τ̀ ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτ̃. ἰούδας δὲ ἐγέννησε τ̀ φαρὲς, καὶ τ̀ ζαρὰ, ἐκ τ̃ θαμάρ. φαρὲς δὲ ἐγέννησε τὸν ἑσρώμ. ἑσρὼμ δὲ ἐγέννησε τὸν ἀράμ. ἀρὰμ δὲ ἐγέννησε τ̀ ἀμιναδάβ. ἀμιναδὰβ δὲ ἐγέννησε τ̀ ναασσών. ναασσὼν δὲ ἐγέννησε τ̀ σαλμών. σαλμὼν δὲ ἐγέννησε τὸν βοόζ, ἐκ τ̃ ῥαχάβ. βοὸζ δὲ ἐγέννησε τὸν ὠβήδ, ἐκ τ̃ ῥούθ. ὠβὴδ δὲ ἐγέννησε τ̀ ἰεσσαί. ἰεσσαὶ δὲ ἐγέννησε τ̀ δαβὶδ τὸν βασιλέα. δαβὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τ̀ σολομῶνα ἐκ τ̃ τ̃ οὐρίου. σολομὼν δὲ ἐγέννησε τ̀ ῥοβοάμ. ῥοβοὰμ δὲ ἐγέννησε τὸν ἀβιᾶ. ἀβιᾶ δὲ ἐγέννησε τὸν ἀσά, ἀσὰ δὲ ἐγέννησε τ̀ ἰωσαφάτ. ἰωσαφὰτ δὲ ἐγέννησε τὸν ἰωρὰμ. ἰωρὰμ δὲ ἐγέννησε τ̀ ὀζίαν. ὀζίας δὲ ἐγέννησε τὸν ἰωαθὰμ. ἰωαθὰμ δὲ ἐγέννησε τὸν ἄχαζ. ἄχαζ δὲ ἐγέννησε τὸν ἐζεκίαν. ἐζεκίας δὲ ἐγέννησε τ̀ μανασσῆ. μανασσῆς δὲ ἐγέννησε τὸν ἀμὼν. ἀμὼν δὲ ἐγέννησε τὸν ἰωσίαν. ἰωσίας δὲ ἐγέννησε τ̀ ἰεχονίαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τ̃ μετοικεσίας βαβυλῶνος. μετὰ δὲ τ̀ν μετοικεσίαν βαβυλῶνος, ἰεχονίας ἐγέννησε τ̀ σαλαθιήλ. σαλαθιὴλ δὲ ἐγέννησε τ̀ ζοροβάβελ. ζοροβαβὲλ δὲ ἐγέννησε τ̀ ἀβιούδ. ἀβιοὺδ δὲ ἐγέννησε τὸν ἐλιακίμ. ἐλιακὶμ δὲ ἐγέννησε τ̀ ἀζώρ. ἀζὼρ δὲ ἐγέννησε τ̀ σαδώκ. σαδὼκ δὲ ἐγέννησε τὸν ἀχίμ. ἀχὶμ δὲ ἐγέννησε τὸν ἐλιούδ. ἐλιοὺδ δὲ ἐγέννησε τὸν ἐλεαζάρ. ἐλεαζὰρ δὲ ἐγέννησε τὸν ματθάν. ματθὰν δὲ ἐγέννησε τὸν ἰακώβ. ἰακὼβ δὲ ἐγέννησε τ̀ ἰωσ̃φ, τὸν ἄνδρα μαρίας, ἐξ ἧς ἐγεννήθη ἰησ̃ς, ὁ λεγόμενος χρισ̃ς. πᾶσαι οὖν αἱ γενεαὶ ἀπ̀ ἀβραὰμ ἕως δαβὶδ γενεαὶ δεκατέσσαρες, καὶ ἀπ̀ δαβὶδ ἕως τ̃ μετοικεσίας βαβυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπ̀ τ̃ μετοικεσίας βαβυλῶνος ἕως τοῦ χρισ̃ γενεαὶ δεκατέσσαρες. Τοῦ δὲ ἰησ̃ χρισ̃ ἡ γέννησις οὕτως ἦν. μνηστευθείσης γὰρ τ̃ μητρὸς αὐτοῦ μαρίας τῷ ἰωσ̃φ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἐχούσα ἐκ πνεύματος ἁγίου. ἰωσ̃φ δὲ ὁ ἀνὴρ αὐτ̃, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρᾳ ἀπολῦσαι αὐτήν. ταῦτα δὲ αὐτ̃ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος κυρίου κατ̀ ὄναρ ἐφάνη αὐτῷ λέγων· ἰωσ̃φ υ̱ὸς δαβὶδ, μὴ φοβηθῇς παραλαβεῖν μαρίαμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἰησ̃ν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπ̀ τ̃ν ἁμαρτιῶν αὐτ̃. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου λέγοντος· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτ̃ ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός. διεγερθεὶς δὲ ἰωσ̃φ ἀπ̀ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ, καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτ̃, τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἰησοῦν.

ΚΕΦΑΛ. 2.

Τοῦ δὲ ἰησ̃ γεννηθέντος ἐν βηθλεὲμ τ̃ ἰουδαίας ἐν ἡμέραις ἡρῴδου τ̃ βασιλέως, ἰδοὺ μάγοι ἀπ̀ ἀνατολῶν παρεγένοντο εἰς ἱεροσόλυμα λέγοντες· ποῦ ἐστὶν ὁ τεχθεὶς βασιλεὺς τ̃ν ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ ἡρῴδης ὁ βασιλεὺς ἐταράχθη, καὶ πᾶσα ἱεροσόλυμα μετ' αὐτ̃, καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τ̃ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ χρισ̃ς γεννᾶται. οἱ δὲ εἶπον αὐτῷ· ἐν βηθλεὲμ τ̃ ἰουδαίας. οὕτως γὰρ γέγραπται διὰ τ̃ προφήτου· καὶ σὺ βηθλεὲμ γῆ ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν ἰούδα. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅς τις ποιμανεῖ τ̀ λαόν μου τ̀ ἰσραήλ. Τότε ἡρῴδης λάθρᾳ καλέσας τοὺς μάγους, ἠκρίβωσε παρ' αὐτ̃ τ̀ χρόνου τ̃ φαινομένου ἀστέρος, καὶ πέμψας αὐτοὺς εἰς βηθλεὲμ εἶπεν· πορευθέντες, ἀκριβῶς ἐξετάσατε περὶ τ̃ παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκούσαντες τ̃ βασιλέως ἐπορεύθησαν, καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν, ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. ἰδόντες δὲ τ̀ ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. καὶ ἐλθόντες

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς τὴν οἰκίαν, εὗρον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ. καὶ πεσόντες προσεκύνησαν
αὐτῷ· καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον
καὶ σμύρναν. καὶ χρηματισθέντες κατ' ὄναρ, μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, διὰ ἄλλης ὁδοῦ
ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος Κυρίου φαίνεται
τοῦ κατ' ὄναρ τῷ Ἰωσὴφ λέγων· ἐγερθείς, παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ
φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ, ἕως ἂν εἴπω σοι. μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπο-
λέσαι αὐτό. ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς, καὶ ἀνεχώρη-
σεν εἰς Αἴγυπτον, καὶ ἦν ἐκεῖ, ἕως τῆς τελευτῆς Ἡρῴδου, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ
τοῦ προφήτου λέγοντος· ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. Τότε Ἡρῴδης ἰδὼν, ὅτι ἐνεπαίχθη
ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ
ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς, καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μά-
γων. Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἰερεμίου τοῦ προφήτου λέγοντος· φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη,
θρηνος καὶ κλαυθμὸς, καὶ ὀδυρμὸς πολύς. Ραχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε
παρακληθῆναι, ὅτι οὐκ εἰσίν. Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ
φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐ-
τοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ. Τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. ὁ δὲ ἐγερθεὶς
παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ. ἀκούσας δὲ, ὅτι Ἀρχέλαος
βασιλεύει ἀντὶ τοῦ Ἰσραὴλ Ἰουδαίας ἀντὶ Ἡρῴδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν. χρηματισθεὶς
δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγο-
μένην Ναζαρέθ. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται.

ΚΕΦΑΛ. 3.

Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις, παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς
Ἰουδαίας, καὶ λέγων· μετανοεῖτε. ἤγγικε γὰρ ἡ Βασιλεία τῶν οὐρανῶν. Οὗτος γάρ ἐστιν ὁ
ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου λέγοντος· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν
Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Αὐτὸς δὲ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν κα-
μήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες, καὶ μέλι
ἄγριον. τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα, καὶ πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ
Ἰορδάνου, καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἰδὼν
δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς·
γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρ-
πὸν ἄξιον τῆς μετανοίας. καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ. Λέ-
γω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἤδη δὲ καὶ
ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Παν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκό-
πτεται, καὶ εἰς πῦρ βάλλεται. Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω
μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. αὐτὸς ὑμᾶς
βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί. οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλω
αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην. τὸ δὲ ἄχυρον, κατακαύσει πυρὶ ἀσβέ-
στῳ. Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ
βαπτισθῆναι ὑπ' αὐτοῦ. ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν, λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βα-
πτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτὸν· ἄφες ἄρτι. οὕτω γὰρ
πρέπον ἐστὶν ἡμῖν, πληρῶσαι πᾶσαν δικαιοσύνην. Τότε ἀφίησιν αὐτὸν, καὶ βαπτισθεὶς ὁ
Ἰησοῦς, ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ εἶδεν τὸ
πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν. καὶ ἰδοὺ φωνὴ ἐκ τῶν
οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

ΚΕΦΑΛ. 4.

Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. καὶ
νηστεύσας ἡμέρας τεσσαράκοντα, καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασεν. καὶ προσελ-
θὼν αὐτῷ ὁ πειράζων, εἶπεν· Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. ὁ δὲ ἀποκριθεὶς,
εἶπεν· γέγραπται, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ
διὰ στόματος θεοῦ. Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ
πτερύγιον τοῦ ἱεροῦ, καὶ λέγει αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω. γέγραπται γάρ, ὅτι τοῖς
ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα
σου. ἔφη αὐτῷ ὁ Ἰησοῦς· πάλιν γέγραπται, οὐκ ἐκπειράσεις Κύριον τὸν θεόν σου. πάλιν παραλαμβά-
νει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου,
καὶ τὴν δόξαν αὐτῶν, καὶ λέγει αὐτῷ· ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι.
Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ὕπαγε Σατανᾶ. γέγραπται γάρ, Κύριον τὸν θεόν σου προσκυνή-
σεις, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος. καὶ ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ. Ἀκούσας δὲ ὁ Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν. καὶ καταλιπὼν τὴν Ναζαρὲθ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλίμ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· γῆ Ζαβουλὼν καὶ Νεφθαλίμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν· μετανοεῖτε. ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδεν δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς. καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ δὲ ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, καὶ δαιμονιζομένους, καὶ σελήνιαζομένους, καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς. καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως, καὶ Ἱεροσολύμων, καὶ Ἰουδαίας, καὶ πέραν τοῦ Ἰορδάνου.

ΚΕΦΑΛ. ε.

Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος. καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς, λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας, τοὺς πρὸ ὑμῶν. Ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς. ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας. οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν, ἢ μία κεραία, οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Λέγω γὰρ ὑμῖν, ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει. ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ. ὃς δ' ἂν εἴπῃ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ μετ' αὐτοῦ ἐν τῇ ὁδῷ· μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ. ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. Ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιός σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ. συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ. συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. ἐρρέθη δὲ, ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρεκάσπορ. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορ
αὐτὴν μοιχᾶται. καὶ ὃς ἐὰν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται. πάλιν ἠκούσατε, ὅτι ἐρ
χαίοις, δὲ ἐπιορκήσεις. ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου. ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμό
μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν
εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου Βασιλέως, μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς,
ἔσαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ ναί, οὒ οὔ. Τὸ δὲ
πονηροῦ ἐστιν. ἠκούσατε ὅτι ἐρρέθη, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀν
τὶ ὀδόντος. ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅς τις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν
σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν,
ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. καὶ ὅς τις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο. τῷ αἰτοῦν
τί σε δίδου, καὶ ἀπὸ θέλοντος σὲ δανείσασθαι μὴ ἀποστραφῇς. Ἠκούσατε ὅτι ἐρρέθη, ἀγαπήσεις τὸν
πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου. ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλο
γεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν
ἐπηρεαζόντων ὑμᾶς, καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς,
ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. Ἐὰν
γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦ
σιν; καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι οὕ
τως ποιοῦσι; ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὡσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν.

ΚΕΦΑΛ. 6.

Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆ
ναι αὐτοῖς. εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν οὐρανοῖς. ὅταν οὖν
ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὡσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συνα
γωγαῖς, καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι
τὸν μισθὸν αὐτῶν. σὺ δὲ ποιῶν ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου,
ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀπο
δώσει σοι ἐν τῷ φανερῷ. καὶ ὅταν προσεύχησθε, οὐκ ἔσῃ ὡσπερ οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν
ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι
τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ ὅταν προσεύχῃ, εἴσελ
θε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, προσεύξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ,
καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Προσευχόμενοι δὲ, μὴ
βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί. δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται.
μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς. οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν, ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.
Οὕτως οὖν προσεύχεσθε ὑμεῖς. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθέτω
ἡ βασιλεία σου. γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιού
σιον δὸς ἡμῖν σήμερον. καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέ
ταις ἡμῶν. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὅτι σοῦ ἐστιν
ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας. ἀμήν. Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ
παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώ
ποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. ὅταν νηστεύη
τε, μὴ γίνεσθε ὡσπερ οἱ ὑποκριταὶ σκυθρωποί. ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φα
νῶσι τοῖς ἀνθρώποις νηστεύοντες. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ νηστεύων
ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύ
ων, ἀλλὰ τῷ πατρί σου, τῷ ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώ
σει σοι ἐν τῷ φανερῷ. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανί
ζει, καὶ ὅπου κλέπται διορύσσουσι, καὶ κλέπτουσιν. θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου
οὔτε σὴς, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσι, οὐδὲ κλέπτουσιν. ὅπου γάρ ἐστιν ὁ
θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἐὰν οὖν ὁ
ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται. ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ
σῶμά σου σκοτεινὸν ἔσται. εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶν, τὸ σκότος πόσον; Οὐδεὶς δύναται
δυσὶ κυρίοις δουλεύειν. ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται, καὶ
τοῦ ἑτέρου καταφρονήσει. οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμ
νᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, καὶ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. οὐχὶ ἡ ψυχὴ
πλεῖόν ἐστι τῆς τροφῆς; καὶ τὸ σῶμα τοῦ ἐνδύματος; ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπεί
ρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. οὐχ
ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν, δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐ
τοῦ πῆχυν ἕνα; καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει.

ὁ κο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ πορπᾷ, οὐδὲ νήθει. λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; μὴ οὖν μεριμνήσητε, λέγοντες· Τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα. πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ. οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων. ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον. ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς. ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

ΚΕΦΑΛ. 7.

Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε. καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, ἄφες ἐκβαλῶ τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. Εἰσέλθετε διὰ τῆς στενῆς πύλης. ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Μή τι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν; ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ. τὸ δὲ σαπρὸν δένδρον, καρποὺς πονηροὺς ποιεῖ. οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. ἄρα γε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. πολλοί ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε κύριε, τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Πᾶς οὖν ὃς τις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὃς τις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὃς τις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ κατέβη βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσεν, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ. ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

ΚΕΦΑΛ. 8.

Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί. καὶ ἰδοὺ λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ λέγων· Κύριε ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ ὁ Ἰησοῦς λέγων· Θέλω, καθαρίσθητι. καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, ὅρα μηδενὶ εἴπῃς, ἀλλὰ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. Εἰσελθόντι δὲ τῷ Ἰησοῦ εἰς Καπερναούμ, προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν, καὶ λέγων· Κύριε ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος, ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, πορεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ. ἀκούσας δὲ ὁ Ἰησοῦς, ἐθαύμασε, καὶ εἶπε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς ἀκολουθοῦσιν. Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. Λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ· ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι. καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ. Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδεν τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρίσσουσαν, καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός, καὶ ἠγέρθη, καὶ διηκόνει αὐτοῖς. Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς, καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τοὺς νόσους ἐβάστασεν. Ἰδὼν δὲ Ἰησοῦς ὄχλους πολλοὺς περὶ αὐτόν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. Καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων. αὐτὸς δὲ ἐκάθευδεν. καὶ προσελθόντες οἱ μαθηταὶ, ἤγειραν αὐτὸν λέγοντες· κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. καὶ λέγει αὐτοῖς· τί δειλοί ἐστε ὀλιγόπιστοι; Τότε ἐγερθεὶς, ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. οἱ δὲ ἄνθρωποι ἐθαύμασαν λέγοντες· ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ; Καὶ ἐλθόντι αὐτοῦ εἰς τὸ πέραν, εἰς χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. καὶ ἰδοὺ ἔκραξαν λέγοντες· τί ἡμῖν καὶ σοί Ἰησοῦ υἱὲ τοῦ θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν λέγοντες· Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. καὶ εἶπεν αὐτοῖς, ὑπάγετε. οἱ δὲ ἐξελθόντες, ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. καὶ ἰδοὺ ὥρμησεν πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμονιζομένων. καὶ ἰδοὺ πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ, καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν. καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπόρευσεν, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν.

ΚΕΦΑΛ. θ'.

Καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπεν τῷ παραλυτικῷ· θάρσει τέκνον, ἀφίενταί σοι αἱ ἁμαρτίαι σου. καὶ ἰδού τινες τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς, οὗτος βλασφημεῖ. Καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; Τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφίενταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειρε καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας· τότε λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς, ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ ἐγερθεὶς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. ἰδόντες δὲ οἱ ὄχλοι, ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν θεὸν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις. Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τελωνίου, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ. καὶ ἐγένετο, αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ Ἰησοῦ, καὶ τοῖς μαθηταῖς αὐτοῦ. καὶ ἰδόντες οἱ Φαρισαῖοι, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς· οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. πορευθέντες δὲ μάθετε τί ἐστιν, ἔλεος θέλω, καὶ οὐ θυσίαν. οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν. Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου λέγοντες· διὰ τί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλὰ, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν; καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος; ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν. οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ. αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται. οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς. εἰ δὲ μή γε, ῥήγνυνται οἱ ἀσκοὶ, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινοὺς, καὶ ἀμφότερα συντηροῦνται. Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδοὺ ἄρχων ἐλθὼν προσε-

προσε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κωλει αὐτῷ λέγων, ὅτι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν. ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτὴν καὶ ζήσεται. καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἰδοὺ γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. ἔλεγε γὰρ ἐν ἑαυτῇ, ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς, καὶ ἰδὼν αὐτήν, εἶπεν· θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον, λέγει αὐτοῖς· ἀναχωρεῖτε, οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ. ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην. καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· ἐλέησον ἡμᾶς υἱὲ Δαβίδ. ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· ναὶ κύριε. τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί. καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων, ὁρᾶτε μηδεὶς γινωσκέτω. οἱ δὲ ἐξελθόντες, διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον, καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες· ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. οἱ δὲ φαρισαῖοι ἔλεγον· ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας, καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα. Πρῶτος σίμων ὁ λεγόμενος πέτρος, καὶ ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ. ἰάκωβος ὁ τοῦ ζεβεδαίου, καὶ ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ. Φίλιππος καὶ βαρθολομαῖος. θωμᾶς, καὶ ματθαῖος ὁ τελώνης. ἰάκωβος ὁ τοῦ ἁλφαίου, καὶ λεββαῖος ὁ ἐπικληθεὶς θαδδαῖος. σίμων ὁ χαναναίτης, καὶ ἰούδας ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν. Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν σαμαρειτῶν μὴ εἰσέλθητε, πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ. πορευόμενοι δὲ κηρύσσετε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον. ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε, τίς ἐν αὐτῇ ἄξιός ἐστιν· κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε. Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν. καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι ἔξω τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς, καὶ τοῖς ἔθνεσιν. ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσητε. δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσητε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην. Ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ. Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ; μὴ οὖν φοβηθῆτε αὐτούς. Οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε

ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φὴ τοῦ φωτός. Καὶ ὃς εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων. μὴ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀπο-
κτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, φοβεῖσθε δὲ μᾶλλον τὸν δυνά-
μενον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται;
καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν. ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς
κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν. μὴ οὖν φοβεῖσθε, πολλῶν στρουθίων διαφέρετε ὑμεῖς. Πᾶς
οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν
τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὃς δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσο-
μαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρή-
νην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. ἦλθον γὰρ διχάσαι ἄνθρωπον
κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐ-
τῆς, καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι
μου ἄξιος. καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. καὶ ὃς οὐ λαμβάνει τὸν σταυ-
ρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν,
καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκέν μου, εὑρήσει αὐτήν. Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχε-
ται. καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με. Ὁ δεχόμενος προφήτην εἰς ὄνομα
προφήτου, μισθὸν προφήτου λήψεται. Καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου
λήψεται. καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ,
ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

ΚΕΦΑΛ. ΙΑ.

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ, μετέβη ἐ-
κεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν. Ὁ δὲ Ἰωάννης ἀκούσας ἐν
τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ· σὺ εἶ
ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πορευθέντες ἀπαγ-
γείλατε Ἰωάννῃ, ἃ ἀκούετε καὶ βλέπετε. τυφλοὶ ἀναβλέπουσιν, καὶ χωλοὶ περιπατοῦσιν, λε-
προὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσιν, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται. καὶ
μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέ-
γειν τοῖς ὄχλοις περὶ Ἰωάννου· Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σα-
λευόμενον; ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ
μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην;
ναί λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. οὗτός γάρ ἐστι, περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀ-
ποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.
Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. ὁ δὲ μι-
κρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν. Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτι-
στοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. πάντες γὰρ
οἱ προφῆται καὶ ὁ νόμος, ἕως Ἰωάννου προεφήτευσαν. καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας
ὁ μέλλων ἔρχεσθαι. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; Ὁμοία ἐστὶ
παιδαρίοις ἐν ἀγοραῖς καθημένοις, καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν, καὶ λέγουσι· ηὐλήσα-
μεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε. ἦλθε γὰρ Ἰωάννης μήτε
ἐσθίων, μήτε πίνων, καὶ λέγουσι, Δαιμόνιον ἔχει. ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πί-
νων, καὶ λέγουσι· ἰδοὺ ἄνθρωπος φάγος, καὶ οἰνοπότης, τελωνῶν φίλος, καὶ ἁμαρτωλῶν.
καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς. Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο
αἱ πλείσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν. Οὐαί σοι Χοραζείν, οὐαί σοι Βηθσαϊδά, ὅτι εἰ
ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ
μετενόησαν. πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ
ὑμῖν. καὶ σύ Καπερναούμ, μὴ ἕως τοῦ οὐρανοῦ ὑψωθήσῃ; ἕως ᾅδου καταβιβασθήσῃ, ὅτι εἰ ἐν Σο-
δόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί, ἔμειναν ἂν μέχρι τῆς σήμερον. πλὴν λέγω ὑ-
μῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί. Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκρι-
θεὶς ὁ Ἰησοῦς, εἶπεν· ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας
ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. ναὶ ὁ πατήρ, ὅτι οὕτως εὐδο-
κία ἐγένετο ἔμπροσθέν σου. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου. καὶ οὐδεὶς ἐπιγινώσκει
τὸν υἱόν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ
υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύ-
σω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς
τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορ-
τίον μου ἐλαφρόν ἐστιν.

Κεφαλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 12.

ΕΝ ἐκείνῳ τῷ καιρῷ, ἐπορεύθη ὁ Ιησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων. οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας, καὶ ἐσθίειν. οἱ δὲ φαρισαῖοι ἰδόντες εἶπον αὐτῷ· ἰδὲ οἱ μαθηταί σου ποιοῦσιν, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ. ὁ δὲ εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε τί ἐποίησεν Δαβὶδ, ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, ὃς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις; ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσιν; λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μείζων ὧδέ ἐστιν. εἰ δὲ ἐγνώκειτε τί ἐστιν, ἔλεος θέλω, καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους. κύριος γάρ ἐστι καὶ τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν. καὶ ἰδοὺ ἄνθρωπος ἦν, τὴν χεῖρα ἔχων ξηράν, καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· εἰ ἔξεστι τοῖς σάββασι θεραπεύειν; ἵνα κατηγορήσωσιν αὐτοῦ. ὁ δὲ εἶπεν αὐτοῖς· Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ; πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; ὥστε ἔξεστι τοῖς σάββασι καλῶς ποιεῖν. Τότε λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρά σου. καὶ ἐξέτεινε, καὶ ἀπεκατεστάθη ὑγιὴς ὡς ἡ ἄλλη. οἱ δὲ φαρισαῖοι ἐξελθόντες, συμβούλιον ἔλαβον κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν. Ὁ δὲ Ιησοῦς γνοὺς, ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας, καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς καὶ κωφός, καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν. Καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον· μή τι οὗτός ἐστιν ὁ υἱὸς Δαβίδ; Οἱ δὲ φαρισαῖοι ἀκούσαντες εἶπον· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. Εἰδὼς δὲ ὁ Ιησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς· πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς ἐρημοῦται. καὶ πᾶσα πόλις, ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται. καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη. πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν; διὰ τοῦτο αὐτοὶ ὑμῶν κριταὶ ἔσονται. Εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει; Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. Διὰ τοῦτο λέγω ὑμῖν, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τούτῳ τῷ αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. ἢ ποιήσατε τὸ δένδρον καλόν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν, ἢ ποιήσατε τὸ δένδρον σαπρόν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν. Ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες; Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά. καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά. Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ. Τότε ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ φαρισαίων λέγοντες· Διδάσκαλε, θέλομεν ἀπό σου σημεῖον ἰδεῖν. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτὴν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτὴν, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος, καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε. Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει. Τότε λέγει, ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον. καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα, σεσαρωμένον καὶ κεκοσμημένον.

Τότε

τότε παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, κ
εἰσελθόντα κατοικεῖ ἐκεῖ. καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων
οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ. Ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδοὺ ἡ μή
τηρ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω, ζητοῦντες αὐτῷ λαλῆσαι. εἶπε δέ τις αὐτῷ, ἰδο
ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν, ζητοῦντές σοι λαλῆσαι. Ὁ δὲ ἀποκριθεὶς εἶπε
τῷ εἰπόντι αὐτῷ· Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; καὶ ἐκτείνας τὴν χεῖ
ρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· ἰδοὺ ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου. ὃς γὰρ ἂν ποι
ήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν.

ΚΕΦΑΛ. 13.

Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν, καὶ σ
υνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι, καὶ πᾶς
ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς λέγων· ἰδοὺ ἐξῆ
λθεν ὁ σπείρων τοῦ σπείρειν. καὶ ἐν τῷ σπείρειν αὐτόν, ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ ἦλθε πε
τεινά, καὶ κατέφαγεν αὐτά. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν πολ
λήν, καὶ ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς. ἡλίου δὲ ἀνατείλαντος, ἐκαυματίσθη
καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκαν
θαι, καὶ ἀπέπνιξαν αὐτά. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλήν, καὶ ἐδίδου καρπόν, ὃ μὲν
ἑκατόν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. καὶ προσελθόντες οἱ μα
θηταὶ εἶπον αὐτῷ· διὰ τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, ὅτι ὑμῖ
ν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. Ὃς γὰρ ἔχει
δοθήσεται αὐτῷ, καὶ περισσευθήσεται. ὃς δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. Διὰ τοῦτο
ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσιν, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνί
ουσιν. καὶ ἀναπληροῦται ἐπ' αὐτοῖς ἡ προφητεία Ἡσαΐου ἡ λέγουσα· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συ
νῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, κ
αὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλ
μοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνιῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς.
Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει. ἀμὴν γὰρ λέγω ὑ
μῖν, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδαν, καὶ ἀκοῦ
σαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος. Παντὸς
ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ συνιόντος, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει τὸ ἐσπαρ
μένον ἐν τῇ καρδίᾳ αὐτοῦ. οὗτός ἐστι ὁ παρὰ τὴν ὁδὸν σπαρείς. Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς,
οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτὸν, οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυ
τῷ, ἀλλὰ πρόσκαιρός ἐστιν. γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζε
ται. ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ αἰῶνος
τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. ὁ δὲ ἐπὶ τὴν
γῆν τὴν καλὴν σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιών, ὃς δὴ καρποφορεῖ, καὶ ποιεῖ
ὃ μὲν ἑκατόν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· Ὡ
μοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ. ἐν δὲ
τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου,
καὶ ἀπῆλθεν. ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια.
προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ· κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας
ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει τὰ ζιζάνια; Ὁ δὲ ἔφη αὐτοῖς, ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίη
σεν. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; Ὁ δὲ ἔφη· οὔ. μή πο
τε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον, ἄφετε συναυξάνεσθαι ἀμφό
τερα μέχρι τοῦ θερισμοῦ, καὶ ἐν καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς· συλλέξατε πρῶτον τὰ ζι
ζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά. τὸν δὲ σῖτον συναγάγετε εἰς
τὴν ἀποθήκην μου. Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν
οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ, ὃ μικρότόν μέν
ἐστι πάντων τῶν σπερμάτων, ὅταν δὲ αὐξηθῇ μεῖζον τῶν λαχάνων ἐστὶ, καὶ γίνεται δένδρον,
ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ. Ἄλλην παρα
βολὴν ἐλάλησεν αὐτοῖς· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυ
ψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβο
λαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προ
φήτου λέγοντος· ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβο
λῆς κόσμου. Τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς τὴν οἰκίαν ὁ Ἰησοῦς, καὶ προσῆλθον αὐτῷ οἱ μα
θηταὶ αὐτοῦ, λέγοντες, φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ. Ὁ δὲ ἀποκριθεὶς,

εἶπεν

εἶπεν αὐτοῖς· ὁ σπείρων τὸ καλὸν σπέρμα, ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου. ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος. τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας. τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ. ὁ δὲ ἐχθρὸς ὁ σπείρων αὐτά, ἐστὶν ὁ διάβολος. ὁ δὲ θερισμός, συντέλεια τοῦ αἰῶνός ἐστιν. οἱ δὲ θερισταί, ἄγγελοί εἰσιν. ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ κατακαίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. Ὁ ἔχων ὦτα ἀκουέτω, ἀκουέτω. Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψεν, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει, καὶ πάντα ὅσα ἔχει πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον. Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας, ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχεν, καὶ ἠγόρασεν αὐτόν. Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ, ἣν ὅτε ἐπληρώθη ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλόν, καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον. οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. ἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφορίσουσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· συνήκατε ταῦτα πάντα; λέγουσιν αὐτῷ, ναί κύριε. Ὁ δὲ εἶπεν αὐτοῖς· διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὁμοίός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅς τις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, ὥστε ἐκπλήττεσθαι αὐτοὺς, καὶ λέγειν· πόθεν τούτῳ ἡ σοφία αὕτη, καὶ αἱ δυνάμεις; οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν; πόθεν οὖν τούτῳ ταῦτα πάντα; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν αὐτῶν.

ΚΕΦΑΛ. 14.

Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετραρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ· οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής. αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. Ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην ἔδησεν αὐτὸν, καὶ ἔθετο εἰς φυλακὴν, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. Γενεσίοις δὲ ἀγομένοις τοῦ Ἡρῴδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρῴδῃ. ὅθεν μεθ' ὅρκου ὡμολόγησεν, αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς· δός μοι φησὶν ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. καὶ ἐλυπήθη ὁ βασιλεύς, διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι αὐτῇ. καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ, καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό, καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ. καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων. καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδεν πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν. Ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν, ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσωσιν ἑαυτοῖς βρώματα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐ χρείαν ἔχουσιν ἀπελθεῖν, δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ λέγουσιν αὐτῷ· οὐκ ἔχομεν ὧδε, εἰ μὴ πέντε ἄρτους, καὶ δύο ἰχθύας. Ὁ δὲ εἶπεν· φέρετέ μοι αὐτοὺς ὧδε. καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν. καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, δώδεκα κοφίνους πλήρεις. Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων. καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος ἐκεῖ. Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων, ἦν γὰρ ἐναντίος ὁ ἄνε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μΘ. Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τὴν θάλασ
σαν. καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα, ἐταράχθησαν, λέγον
τες, ὅτι φάντασμά ἐστι. καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέ
γων· θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος, εἶπεν· κύριε, εἰ σύ εἶ, κέ
λευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα. ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος
περιεπάτησεν ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. βλέπων δὲ τὸν ἄνεμον ἰσχυρόν, ἐφοβήθη
καὶ ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε λέγων· κύριε σῶσόν με. εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας
τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ. καὶ εἶπεν αὐτῷ· ὀλιγόπιστε, εἰς τί ἐδίστασας. καὶ ἐμβάντων αὐ
τῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος. οἱ δὲ ἐν τῷ πλοίῳ, ἐλθόντες προσεκύνησαν αὐτῷ, λέγον
τες· ἀληθῶς θεοῦ υἱὸς εἶ. καὶ διαπεράσαντες, ἦλθον εἰς τὴν γῆν γεννησαρέθ. καὶ ἐπιγνόντες α
ὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου, ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν
αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, καὶ παρεκάλεσαν αὐτόν, ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ
ἱματίου αὐτοῦ. καὶ ὅσοι ἥψαντο, διεσώθησαν.

ΚΕΦΑΛ. ιε.

Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσολύμων γραμματεῖς καὶ φαρισαῖοι, λέγοντες·
διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται
τὰς χεῖρας αὐτῶν, ὅταν ἄρτον ἐσθίωσιν. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· διὰ τί καὶ ὑμεῖς παραβαί
νετε τὴν ἐντολὴν τοῦ θεοῦ, διὰ τὴν παράδοσιν ὑμῶν; Ὁ γὰρ θεὸς ἐνετείλατο, λέγων· τίμα τὸν
πατέρα καὶ τὴν μητέρα. καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. ὑμεῖς δὲ
λέγετε· ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐ μὴ τιμήσει τὸν
πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ. καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑ
μῶν. ὑποκριταί, καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας, λέγων· Ἐγγίζει μοι ὁ λαὸς οὗτος
τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. μα
τὴν δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. καὶ προσκαλεσά
μενος τὸν ὄχλον, εἶπεν αὐτοῖς· ἀκούετε καὶ συνίετε· οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν
ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον. Τότε προσελ
θόντες οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ· Οἶδας ὅτι οἱ φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκαν
δαλίσθησαν; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν πατήρ μου ὁ οὐράνιος,
ἐκριζωθήσεται. Ἄφετε αὐτούς, ὁδηγοί εἰσι, τυφλοὶ τυφλῶν. τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμ
φότεροι εἰς βόθυνον πεσοῦνται. Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· φράσον ἡμῖν τὴν παρα
βολὴν ταύτην. Ὁ δὲ Ἰησοῦς εἶπεν, ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε, ὅτι πᾶν τὸ εἰσ
πορευόμενον εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; Τὰ δὲ ἐκπορευό
μενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. Ἐκ γὰρ τῆς καρ
δίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι,
βλασφημίαι, ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον. Τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ
τὸν ἄνθρωπον. καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς, ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος, καὶ ἰδοὺ
γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἔκραζεν αὐτῷ λέγουσα, ἐλέησόν με κύριε,
υἱὲ Δαβίδ, θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. καὶ προσελθόντες
οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν λέγοντες, ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ
ἀποκριθεὶς εἶπεν, οὐκ ἀπεστάλην εἰμὶ εἰ μὴ πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. ἡ δὲ ἐλθοῦ
σα προσεκύνησεν αὐτῷ λέγουσα· κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· οὐκ ἔστι καλὸν, λαβεῖν
τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ εἶπεν, ναὶ κύριε. καὶ γὰρ τὰ κυνάρια ἐσθίει
ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶ
πεν αὐτῇ· ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις, καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ
τῆς ὥρας ἐκείνης. Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς, ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, καὶ ἀ
ναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ. καὶ προσῆλθον πρὸς αὐτὸν ὄχλοι πολλοί, ἔχοντες μεθ' ἑαυτῶν
χωλούς, τυφλούς, κωφούς, κυλλούς, καὶ ἑτέρους πολλούς, καὶ ἔῤῥιψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ
Ἰησοῦ, καὶ ἐθεράπευσεν αὐτούς, ὥστε τοὺς ὄχλους θαυμάσαι, βλέποντας κωφοὺς λαλοῦντας,
κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας, τυφλοὺς βλέποντας, καὶ ἐδόξασαν τὸν θεὸν Ἰσραήλ.
Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη
ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσιν. καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέ
λω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πόθεν ἡμῖν ἐν ἐρημίᾳ
ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον τοσοῦτον; καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πόσους ἄρτους ἔχετε;
οἱ δὲ εἶπον· ἑπτὰ, καὶ ὀλίγα ἰχθύδια. καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν· καὶ λα
βὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας, εὐχαριστήσας, ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ. οἱ
δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμά
των

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάτων ἐπὶ ἀπυρίδας πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων. καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθον εἰς τὰ ὅρια Μαγδαλά.

ΚΕΦΑΛ. 16.

ΚΑΙ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι, πειράζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ὀψίας γινομένης λέγετε, εὐδία, πυρράζει γὰρ ὁ οὐρανός. καὶ πρωΐ, σήμερον χειμών· πυρράζει γὰρ στυγνάζων ὁ οὐρανός. ὑποκριταί, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε; γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. καὶ καταλιπὼν αὐτοὺς, ἀπῆλθεν. καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λαβεῖν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες· ὅτι ἄρτους οὐκ ἐλάβομεν. γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· τί διαλογίζεσθε ἐν ἑαυτοῖς ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε; οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε; οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πόσους σπυρίδας ἐλάβετε; πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν, προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων; Τότε συνῆκαν, ὅτι οὐκ εἶπεν προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλὰ ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων. Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου; οἱ δὲ εἶπον· οἱ μὲν Ἰωάννην τὸν Βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. Λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν· Σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος εἶ Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. καὶ δώσω σοι τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς. καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. Τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ χριστός. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων· ἵλεώς σοι Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. ὁ δὲ στραφεὶς, εἶπε τῷ Πέτρῳ· ὕπαγε ὀπίσω μου σατανᾶ. σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Τί γὰρ ὠφεληθήσεται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ. καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ἀμὴν λέγω ὑμῖν, εἰσί τινες ὧδε ἑστώτων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

ΚΕΦΑΛ. 17.

ΚΑΙ μεθ' ἡμέρας ἓξ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλλαλοῦντες. ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν τῷ Ἰησοῦ· Κύριε καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. εἰ θέλεις ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ Ἠλίᾳ μίαν. ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτοῖς. καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε. καὶ ἀκούσαντες οἱ μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. καὶ προσελθὼν ὁ Ἰησοῦς, ἥψατο αὐτῶν, καὶ εἶπεν· ἐγέρθητε, καὶ μὴ φοβεῖσθε. ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον, εἰ μὴ τὸν Ἰησοῦν μόνον. καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἔρχεται πρῶτον, καὶ ἀποκαταστήσει πάντα. Λέγω δὲ ὑμῖν, ὅτι Ἠλίας ἤδη ἦλθε, καὶ οὐκ ἐπέγνωσαν αὐτὸν, ἀλλ' ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν. οὕτως καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν. Τότε συῆκαν οἱ μαθηταί, ὅτι περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ εἶπεν αὐτοῖς. καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσῆλθον αὐτῷ ἄνθρωπός τις γονυπετῶν αὐτῷ, καὶ λέγων· Κύριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει, πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ· καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν, ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν ὧδε. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον, καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν, εἶπον· διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν. ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἔνθεν ἐκεῖ, καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. Ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. καὶ ἐλυπήθησαν σφόδρα. Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναούμ προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον· ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; λέγει, ναί. καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς, λέγων· Τί σοι δοκεῖ, σίμων, οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τὰ τέλη ἢ τὸν κῆνσον, ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; λέγει αὐτῷ ὁ Πέτρος, ἀπὸ τῶν ἀλλοτρίων. ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα, ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

ΚΕΦΑΛ. ιη.

Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες· Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν; καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ εἶπεν· ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν. ὃς τις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν. καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται. Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ. καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ κυλλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον. καὶ εἰ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ. καλόν σοί ἐστι μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός. Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός. Τί ὑμῖν δοκεῖ; ἐάν τινι γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐνενηκονταεννέα ἐπὶ τὰ ὄρη, πορευθεὶς ζητεῖ τὸ πλανώμενον; καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐνενηκονταεννέα τοῖς μὴ πεπλανημένοις. οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός ὑμῶν τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται ἓν τῶν μικρῶν τούτων. Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου. ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ. ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς. καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. Πάλιν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπεν· κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; λέγει αὐτῷ ὁ Ἰησοῦς· οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. Διὰ τοῦτο ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ Βασιλεῖ, ὃς ἠθέλησε συναραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. μὴ ἐχόντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχεν, καὶ ἀποδοθῆναι. πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων· κύριε, μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω. σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια,

λαρατήσας αὐτὸν ἔπνιγε, λέγων· ἀπόδος μοι, ὅ, τι ὀφείλεις. πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων· μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα ἀποδώσω σοι. Ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελθὼν, ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα, καὶ ἐλθόντες διεσαφήσαν τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα. Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ, λέγει αὐτῷ· Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με. οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς κἀγώ σε ἠλέησα; καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

ΚΕΦΑΛ. ιθ.

ΚΑΙ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ. καὶ προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι πειράζοντες αὐτὸν, καὶ λέγοντες αὐτῷ· εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς; καὶ εἶπεν· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Λέγουσιν αὐτῷ· Τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν; Λέγει αὐτοῖς, ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν, ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται. καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι. Ὁ δὲ εἶπεν αὐτοῖς, οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται. εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως. καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων. καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν, χωρείτω. Τότε προσηνέχθη αὐτῷ παιδία, ἵνα τὰς χεῖρας θῇ αὐτοῖς, καὶ προσεύξηται. οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. ὁ δὲ Ἰησοῦς εἶπεν· ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας, ἐπορεύθη ἐκεῖθεν. Καὶ ἰδοὺ εἷς προσελθὼν, εἶπεν αὐτῷ· Διδάσκαλε ἀγαθέ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον; Ὁ δὲ εἶπεν αὐτῷ· τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ θεός. ἐὰν δὲ θέλῃς εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς. Λέγει αὐτῷ, ποίας; Ὁ δὲ Ἰησοῦς εἶπεν· οὐ, οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Λέγει αὐτῷ ὁ νεανίσκος· πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου. τί ἔτι ὑστερῶ; Ἔφη αὐτῷ ὁ Ἰησοῦς· εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. Ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον, ἀπῆλθε λυπούμενος, ἦν γὰρ ἔχων κτήματα πολλά. Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· ἀμὴν λέγω ὑμῖν, ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ πάλιν λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἐξεπλήσσοντο σφόδρα, λέγοντες· τίς ἄρα δύναται σωθῆναι; ἐμβλέψας δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστιν, παρὰ δὲ θεῷ πάντα δυνατά ἐστι. Τότε ἀποκριθεὶς ὁ Πέτρος, εἶπεν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι.

ΚΕΦΑΛ. κ.

ΟΜοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς, καὶ ἐκείνοις εἶπεν, ὑπάγετε καὶ ὑμεῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς τὴν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν. οἱ δὲ ἀπῆλθον. Πάλιν δὲ ἐξελθὼν περὶ
εἰ ἕκτην καὶ ἐνάτην ὥραν, ἐποίησεν ὡσαύτως. περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗ
ργεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; λέ
γουσιν αὐτῷ, ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. λέγει αὐτοῖς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶ
να, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε. ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπι
τρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν
ἐσχάτων ἕως τῶν πρώτων. καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον
ον. ἐλθόντες δὲ καὶ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλεῖον λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνά
ριον. λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥ
ραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύ
σωνα. Ὁ δὲ ἀποκριθεὶς ἑνὶ αὐτῶν ἔφη· ἑταῖρε, οὐκ ἀδικῶ σε, οὐχὶ δηναρίου συνεφώνησάς
μοι; ἆρον τὸ σόν, καὶ ὕπαγε, θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καί σοι. ἢ οὐκ ἔξεστί μοι
ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; οὕτως ἔσον
ται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. Πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.
Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁ
δῷ, καὶ εἶπεν αὐτοῖς· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσε
ται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσου
σιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι, καὶ μαστιγῶσαι, καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνα
στήσεται. Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦ
σα καὶ αἰτουσά τι παρ' αὐτοῦ. ὁ δὲ εἶπεν αὐτῇ· τί θέλεις; λέγει αὐτῷ· εἰπὲ ἵνα καθίσωσιν οὗτοι
οἱ δύο υἱοί μου, εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου ἐν τῇ βασιλείᾳ σου. ἀποκριθεὶς δὲ ὁ Ἰη
σοῦς εἶπεν· οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν; καὶ τὸ βά
πτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; λέγουσιν αὐτῷ, δυνάμεθα. καὶ λέγει αὐτοῖς· τὸ μὲν
ποτήριόν μου πιεῖσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δε
ξιῶν μου, καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου.
καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμε
νος αὐτοὺς εἶπεν· Οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι
κατεξουσιάζουσιν αὐτῶν. οὐχ οὕτως ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω
ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος· ὥσπερ ὁ υἱὸς τοῦ ἀν
θρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀν
τὶ πολλῶν. καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχώ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδοὺ
δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγοντες·
Ἐλέησον ἡμᾶς κύριε υἱὲ Δαβίδ. ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς, ἵνα σιωπήσωσιν. οἱ δὲ μείζονα ἔκρα
ξαν, λέγοντες· Ἐλέησον ἡμᾶς κύριε υἱὲ Δαβίδ. καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτούς, καὶ εἶπεν· Τί
θέλετε ποιήσω ὑμῖν; λέγουσιν αὐτῷ· κύριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί. σπλαγχνι
σθεὶς δὲ ὁ Ἰησοῦς, ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν. καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοί,
καὶ ἠκολούθησαν αὐτῷ.

ΚΕΦΑΛ. κα.

Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγὴ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε
Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς λέγων αὐτοῖς· πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι
ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς, λύσαντες ἀγάγετέ
μοι. καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε, ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει. εὐθέως δὲ ἀποστελεῖ αὐ
τούς. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· εἴπατε τῇ θυγα
τρὶ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑπο
ζυγίου. Πορευθέντες δὲ οἱ μαθηταί, καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον
τὴν ὄνον, καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεκάθισεν ἐπά
νω αὐτῶν. ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ. ἄλλοι δὲ ἔκοπτον κλάδους
ἀπὸ τῶν δένδρων, καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. Οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκρα
ζον, λέγοντες· ὡσαννὰ τῷ υἱῷ Δαβίδ. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ
ἐν τοῖς ὑψίστοις. καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα· Τίς ἐ
στιν οὗτος; οἱ δὲ ὄχλοι ἔλεγον, οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας· καὶ εἰ
σῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας
ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψεν, καὶ τὰς καθέδρας τῶν πω
λούντων τὰς περιστεράς. καὶ λέγει αὐτοῖς· γέγραπται· ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσε
ται, ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν
τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς. Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμά-

σια

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σπα ἃ ἐποίησεν, καὶ οὐκ πᾶσλας λεσλζοντας γὴ τοῦ ἰδρῶ, καὶ λέγοντας, ὡς αὐνα τοῦ ἡῶ σλαβίσλ, καὶ γαμάκτησαν, καὶ εἶπον αὐτῷ· ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ Ιησοῦς λέγει αὐτοῖς· ναί. οὐδέποτε ἀνέγνωτε ὅτι ἐκ σόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; καὶ καταλιπὼν αὐτοὺς, ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν, καὶ ηὐλίσθη ἐκεῖ. Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασεν. καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' αὐτὴν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ, εἰ μὴ φύλλα μόνον, καὶ λέγει αὐτῇ· μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. καὶ ἰδόντες οἱ μαθηταὶ, ἐθαύμασαν λέγοντες· πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; Ἀποκριθεὶς δὲ ὁ Ιησοῦς εἶπεν αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ καὶ ἐὰν τῷ ὄρει τούτῳ εἴπητε, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται. Καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε. Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν, προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; ἀποκριθεὶς δὲ ὁ Ιησοῦς, εἶπεν αὐτοῖς· ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα. ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς λέγοντες· ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν· διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν ἐξ ἀνθρώπων, φοβούμεθα τὸν ὄχλον. πάντες γὰρ ἔχουσιν τὸν Ἰωάννην ὡς προφήτην. καὶ ἀποκριθέντες τῷ Ιησοῦ εἶπον, οὐκ οἴδαμεν. ἔφη αὐτοῖς καὶ αὐτός· οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τί δὲ ὑμῖν δοκεῖ; ἄνθρωπος εἶχε τέκνα δύο, καὶ προσελθὼν τῷ πρώτῳ εἶπεν· τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου. ὁ δὲ ἀποκριθεὶς εἶπεν, οὐ θέλω. ὕστερον δὲ μεταμεληθεὶς, ἀπῆλθεν. καὶ προσελθὼν τῷ δευτέρῳ εἶπεν ὡσαύτως. ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ἐγὼ κύριε, καὶ οὐκ ἀπῆλθεν. τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; λέγουσιν αὐτῷ· ὁ πρῶτος. λέγει αὐτοῖς ὁ Ιησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θεοῦ. ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες, οὐ μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ. Ἄλλην παραβολὴν ἀκούσατε. Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅς τις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκεν, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησεν πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν. ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν, τοὺς καρποὺς αὐτοῦ. καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. ὕστερον δὲ ἀπέστειλεν πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱόν, εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ καταχώμεν τὴν κληρονομίαν αὐτοῦ. καὶ λαβόντες αὐτὸν, ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν. ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; λέγουσιν αὐτῷ· κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. λέγει αὐτοῖς ὁ Ιησοῦς· οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς; λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀφαιρεθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν, ὅτι περὶ αὐτῶν λέγει. καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον. Καὶ ἀποκριθεὶς ὁ Ιησοῦς, πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς, λέγων·

ΚΕΦΑΛ. 22.

Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅς τις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους λέγων· εἴπατε τοῖς κεκλημένοις· ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα, δεῦτε εἰς τοὺς γάμους. οἱ δὲ ἀμελήσαντες, ἀπῆλθον, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν, ὁ δὲ ἐπὶ τὴν ἐμπορίαν αὐτοῦ· οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ, ὕβρισαν καὶ ἀπέκτειναν. ἀκούσας δὲ ὁ βασιλεὺς, ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν. Τότε λέγει τοῖς δούλοις αὐτοῦ· ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι. πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἐὰν εὕρητε, καλέσατε εἰς τοὺς γάμους. καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς, συνήγαγον πάντας ὅσους εὗρον πονηρούς τε καὶ ἀγαθούς, καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου, καὶ λέγει αὐτῷ· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐθεμώθη. Τότε εἶπεν ὁ Βασιλεὺς τοῖς ἀριστεροῖς· ἀπόσατε αὐτὸν πόδας καὶ χεῖρας, ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. Τότε πορευθέντες οἱ φαρισαῖοι, συμβούλιον ἔλαβον, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν, λέγοντες· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ; Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπεν· τί με πειράζετε ὑποκριταί; ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. καὶ λέγει αὐτοῖς· τίνος ἡ εἰκὼν αὕτη, καὶ ἡ ἐπιγραφή; λέγουσιν αὐτῷ· Καίσαρος. Τότε λέγει αὐτοῖς· ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· διδάσκαλε, Μωσῆς εἶπεν· ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἵνα γαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί, καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. ἐν τῇ οὖν ἀναστάσει, τίνος τῶν ἑπτὰ ἔσται γυνή; πάντες γὰρ ἔσχον αὐτήν. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ εἰσίν. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ λέγοντος· ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ, καὶ ὁ θεὸς Ἰσαὰκ, καὶ ὁ θεὸς Ἰακώβ; Οὐκ ἔστιν ὁ θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων. καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Οἱ δὲ φαρισαῖοι ἀκούσαντες, ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό. καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς, πειράζων αὐτὸν, καὶ λέγων· διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἀγαπήσεις κύριον τὸν θεόν σου ἐν ὅλῃ καρδίᾳ σου, καὶ ἐν ὅλῃ ψυχῇ σου, καὶ ἐν ὅλῃ διανοίᾳ σου. αὕτη ἐστὶν πρώτη καὶ μεγάλη ἐντολή. δευτέρα δὲ ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Συνηγμένων δὲ τῶν φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς λέγων· τί ὑμῖν δοκεῖ περὶ τοῦ χριστοῦ; τίνος υἱός ἐστιν; Λέγουσιν αὐτῷ· τοῦ Δαβίδ. Λέγει αὐτοῖς, πῶς οὖν Δαβὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ, λέγων· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Εἰ οὖν Δαβὶδ κύριον αὐτὸν καλεῖ, πῶς υἱὸς αὐτοῦ ἐστί; καὶ οὐδεὶς ἠδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

ΚΕΦΑΛ. κγ.

Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ, λέγων· ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι. πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. λέγουσι γάρ, καὶ οὐ ποιοῦσι. Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. πλατύνουσι δὲ τὰ φυλακτήρια ἑαυτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν, φιλοῦσί τε τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββεί. Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββεί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς, ὁ χριστός. πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. καὶ πατέρα μὴ καλέσητε ὑμῖν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Μηδὲ κληθῆτε καθηγηταί· εἷς γάρ ὑμῶν ἐστιν ὁ καθηγητὴς, ὁ χριστός. Ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος. ὃς γὰρ ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται. καὶ ὃς γὰρ ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται. Οὐαὶ δὲ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι, ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων. ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι, ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι, διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι, ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον. καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. Οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοί, οἱ λέγοντες· ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει. μωροὶ, καὶ τυφλοί. τίς γὰρ μείζων ἐστὶν, ὁ χρυσὸς, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; καὶ ὃς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν. ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. μωροὶ, καὶ τυφλοί. τί γὰρ μεῖζον, τὸ δῶρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐτῷ, καὶ ἐν πᾶσι τοῖς ἐπάνω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νω αὐτοῦ. καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ, καὶ ἐν τῷ κατοικοῦντι αὐτόν. καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ θεοῦ, καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι, ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ ἄνηθον, καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν. ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφεῖναι. Ὁδηγοὶ τυφλοὶ οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας. φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, καὶ τοῦ παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι, ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις· οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι, ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε. εἰ ἤμεθα ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν. ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας, καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; Διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν, ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἰερουσαλήμ, Ἰερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

ΚΕΦΑΛ. 24.

ΚΑΙ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ, καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ, ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ βλέπετε πάντα ταῦτα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ μὴ καταλυθήσεται. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν λέγοντες· εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται; καὶ τί σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς. Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ἐγώ εἰμι ὁ χριστός, καὶ πολλοὺς πλανήσουσι. μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων, ὁρᾶτε μὴ θροεῖσθε. δεῖ γὰρ τὰ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος. ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοί, καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους. Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. Καὶ τότε σκανδαλισθήσονται πολλοί, καὶ ἀλλήλους παραδώσουσιν, καὶ μισήσουσιν ἀλλήλους, καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς. καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν, καὶ τότε ἥξει τὸ τέλος. Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὸς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη. ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω ἆραι τί ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. Προσεύχεσθε δέ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν σαββάτῳ. Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. Τότε ἐάν τις ὑμῖν εἴπῃ· ἰδοὺ ὧδε ὁ χριστός, ἢ ὧδε, μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανᾶσθαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. ἰδοὺ προείρηκα ὑμῖν. Ἐὰν οὖν εἴπωσιν ὑμῖν, ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε· ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. Εὐθέως δὲ

μετὰ

μετὰ τὴν θλῖψιν τ ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσετ, καὶ ἡ σελήνη δ οὐ δώσει τὸ φέγγος αὐ
τῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ τότ
φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ. Καὶ τότε κόψονται πᾶσαι αἱ φυ
λαὶ τῆς γῆς, καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυ
νάμεως καὶ δόξης πολλῆς, καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης
καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων
αὐτῶν. ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς
καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε πάντα τα
ῦτα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν
πάντα ταῦτα γένηται. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.
Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατήρ
μου μόνος. Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.
ὡσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις, ταῖς πρὸ τοῦ κατακλυσμοῦ, τρώγοντες καὶ πίνοντες, γα
μοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ οὐκ ἔγνωσαν, ἕως
ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας· οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.
Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται. δύο ἀλήθουσαι ἐν
τῷ μύλωνι, μία παραλαμβάνεται, καὶ μία ἀφίεται. γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ
κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ φυλακῇ ὁ κλέπτης
ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυχθῆναι τὸν οἶκον αὐτοῦ. διὰ τοῦτο καὶ ὑμεῖς
γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦ
λος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν
τροφὴν ἐν καιρῷ; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ, εὑρήσει ποιοῦντα
οὕτως. ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ εἴπῃ
ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἐλθεῖν, καὶ ἄρξηται τύπτειν
τοὺς συνδούλους, ἐσθίειν δὲ καὶ πίνειν μετὰ τῶν μεθυόντων, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέ
ρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ
τῶν ὑποκριτῶν θήσει, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

ΚΕΦΑΛ. κε.

Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς
λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν μω
ραὶ, καὶ αἱ πέντε φρόνιμοι. αἱ μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυ
τῶν ἔλαιον, αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων. χρονίζον
τος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ
νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι,
καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου
ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· μήποτε οὐ μὴ
ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν, πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς.
ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς
γάμους, καὶ ἐκλείσθη ἡ θύρα. ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι· κύριε, κύρι
ε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. γρηγορεῖτε οὖν, ὅτι
οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Ὥσπερ γὰρ ἄνθρω
πός τις ἀποδημῶν, ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ·
καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδή
μησεν εὐθέως. πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἐν
ἄλλα πέντε τάλαντα. ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο. ὁ δὲ τὸ ἓν λα
βὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. μετὰ δὲ χρόνον πο
λὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ' αὐτῶν λόγον, καὶ προσελθὼν ὁ τὰ πέντε
τάλαντα λαβὼν, προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων· κύριε πέντε τάλαντά μοι παρέ
δωκας, ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐν αὐτοῖς. ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ δοῦλε
ἀγαθὲ καὶ πιστὲ, ὅτι ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυ
ρίου σου. προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν, εἶπεν· κύριε, δύο τάλαντά μοι παρέ
δωκας, ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ δοῦ
λε ἀγαθὲ καὶ πιστὲ, ὅτι ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυ
ρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον λαβὼν, εἶπεν· κύριε, ἔγνων σε ὅτι σκληρός εἶ ἄν
θρωπε, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας, καὶ φοβηθεὶς ἀπελθὼν
ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ, ἴδε ἔχεις τὸ σόν. Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ·

Πονηρὲ

γονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα. ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται. ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφορίσει αὐτοὺς ἀπ' ἀλλήλων, ὡσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ ἀριστερῶν. Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα, καὶ ἐποτίσατέ με. ξένος ἤμην, καὶ συνηγάγετέ με. γυμνὸς, καὶ περιεβάλετέ με. ἠσθένησα, καὶ ἐπεσκέψασθέ με. ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν; Πότε δέ σε εἴδομεν ξένον, καὶ συνηγάγομεν; ἢ γυμνὸν, καὶ περιεβάλομεν; Πότε δὲ σε εἴδομεν ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε; Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, ἐρεῖ αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Τότε ἐρεῖ καὶ τοῖς ἐξ ἀριστερῶν· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με. ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με. γυμνὸς, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς, καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων· ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

ΚΕΦΑΛ. 26.

Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, τοῦ λεγομένου Καϊάφα, καὶ συνεβουλεύσαντο, ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν. Ἔλεγον δέ· μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ. Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἠγανάκτησαν, λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς. γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαί με ἐποίησεν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς. Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας ὁ Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπεν· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; Ὁ δὲ εἶπεν· ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ· ὁ διδάσκαλος λέγει, ὁ καιρός μου ἐγγύς ἐστιν, πρός σε ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου. καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ πάσχα. Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα. καὶ ἐσθιόντων αὐτῶν, εἶπεν· ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ὑμῶν παραδώσει με. Καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· μήτι ἐγώ εἰμι κύριε; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ. οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, εἶπεν· μήτι ἐγώ εἰμι ῥαββεί; Λέγει αὐτῷ, σὺ εἶπας. Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασεν, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπεν· λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες. Τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Λέγω δὲ ὑμῖν, ὅ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γενήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅτ' αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. καὶ ὑμνήσαντες, ἐξῆλθον

εἰς τὸ

εἰς τὸ ὄρος τῶν ἐλαιῶν. Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι. ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι, τρίς ἀπαρνήσῃ με. λέγει αὐτῷ ὁ Πέτρος· Καὶ δεῖ με συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσομαι. ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον. Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς· Καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσεύξωμαι ἐκεῖ. καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ. καὶ προελθὼν μικρόν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος, καὶ λέγων· πάτερ μου, εἰ δυνατόν ἐστιν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. Καὶ ἔρχεται πρὸς τοὺς μαθητάς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Πάλιν ἐκ δευτέρου ἀπελθών, προσηύξατο λέγων· Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. καὶ ἐλθὼν, εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν, προσηύξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπών. Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς· καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε, ἰδοὺ ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. ἐγείρεσθε, ἄγωμεν, ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστιν, κρατήσατε αὐτόν. καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπεν· Χαῖρε ῥαββεί. καὶ κατεφίλησεν αὐτόν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἑταῖρε, ἐφ' ὃ πάρει; Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας τῷ Ἰησοῦ, καὶ ἐκράτησαν αὐτόν. Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀπόστρεψον σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς. πάντες γὰρ οἱ λαμβάνοντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; Πῶς οὖν πληρωθῶσιν αἱ γραφαί, ὅτι οὕτως δεῖ γενέσθαι; Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις. ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με. καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθιζόμην, διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Τότε οἱ μαθηταὶ πάντες, ἀφέντες αὐτὸν ἔφυγον. Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως. Καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος. Οἱ δὲ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι, καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ ὅπως αὐτὸν θανατώσωσιν, καὶ οὐχ εὗρον, καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες, εἶπον· οὗτος ἔφη, δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ Ἰησοῦς ἐσιώπα. καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. Λέγει ὁ Ἰησοῦς· Σὺ εἶπας. πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων, ὅτι ἐβλασφήμησε. τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἰδοὺ νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ. τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες εἶπον· ἔνοχος θανάτου ἐστί. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν. Οἱ δὲ ἐράπισαν λέγοντες· προφήτευσον ἡμῖν χριστέ, τίς ἐστιν ὁ παίσας σε. Ὁ δὲ Πέτρος ἔξω ἐκαθητο ἐν τῇ αὐλῇ, καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων, λέγων· οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη, καὶ λέγει τοῖς ἐκεῖ· καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. καὶ πάλιν ἠρνήσατο μετ' ὅρκου, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες, εἶπον τῷ Πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ, καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ, εἰρηκότος αὐτῷ, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρίς ἀπαρνήσῃ με. καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

Κεφαλ.

ΚΕΦΑΛ. 27.

Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν. καὶ δήσαντες αὐτόν, ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτόν, ὅτι κατεκρίθη, μεταμεληθεὶς, ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι, καὶ τοῖς πρεσβυτέροις λέγων· ἥμαρτον, παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει. καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὼς συνέταξέ μοι κύριος. Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος, καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλᾶτος, οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον, λεγόμενον Βαραββᾶν. συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλᾶτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν, Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον χριστόν; ᾔδει γὰρ, ὅτι διὰ φθόνον παραδεδώκασιν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ. πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον· Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον χριστόν; λέγουσιν αὐτῷ πάντες· σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν ἔφη· τί γὰρ κακὸν ἐποίησε; Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες· σταυρωθήτω. Ἰδὼν δὲ ὁ Πιλᾶτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου, ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ. τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐν τῇ δεξιᾷ αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ λέγοντες· Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰουδαίων. καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅς ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον. καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτὸν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον. ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· οὗτός ἐστιν Ἰησοῦς ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ ἀριστερῶν. Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν. Εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων, ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ Βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. πέποιθεν ἐπὶ τὸν θεόν, ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν. εἶπε γάρ· ὅτι θεοῦ εἰμι υἱός. τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συνσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτόν. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης. περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· Ηλεὶ ηλεὶ, λαμὰ σαβαχθανί. τοῦτ' ἔστιν, θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες, ἔλεγον· ὅτι Ἠλίαν φωνεῖ οὗτος. καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν. οἱ δὲ λοιποὶ ἔλεγον· ἄφες, ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. Ὁ δὲ Ἰησοῦς πάλιν κραξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω. καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ωτέρας ἐχίδνησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων
ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πό-
λιν, καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν
ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες· ἀληθῶς θεοῦ ἦν υἱὸς οὗ-
τος. Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαί, ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ
ἀπὸ τῆς Γαλιλαίας, διακονοῦσαι αὐτῷ, ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου
καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου. Ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλού-
σιος ἀπὸ Ἀριμαθαίας, τὸ ὄνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ. οὗτος προσελθὼν
τῷ Πιλάτῳ ἠτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα.
καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσήφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ
αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ, καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνη-
μείου, ἀπῆλθεν. Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τά-
φου. Τῇ δὲ ἐπαύριον ἥτις ἐστὶ μετὰ τὴν Παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι
πρὸς Πιλᾶτον, λέγοντες· Κύριε, ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν· μετὰ τρεῖς
ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον, ἕως τῆς τρίτης ἡμέρας, μήποτε
ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ· ἠγέρθη ἀπὸ τῶν νεκρῶν. καὶ
ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη αὐτοῖς ὁ Πιλᾶτος· Ἔχετε κουστωδίαν, ὑπά-
γετε, ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ πορευθέντες, ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες
τὸν λίθον, μετὰ τῆς κουστωδίας.

ΚΕΦΑΛ. 28.

Ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ, εἰς μίαν σαββάτων, ἦλθεν Μαρία ἡ Μαγδαληνή, καὶ
ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον. καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας. Ἄγγελος γὰρ κυ-
ρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω
αὐτοῦ. Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. ἀπὸ δὲ τοῦ φόβου
αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί. ἀποκριθεὶς δὲ ὁ ἄγγελος, εἶπε ταῖς
γυναιξί· μὴ φοβεῖσθε ὑμεῖς. οἶδα γὰρ ὅτι Ἰησοῦν, τὸν ἐσταυρωμένον ζητεῖτε, οὐκ ἔστιν ὧδε. ἠγέρ-
θη γάρ, καθὼς εἶπεν. Δεῦτε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ κύριος. καὶ ταχὺ πορευθεῖσαι εἴ-
πατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν; καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλι-
λαίαν, ἐκεῖ αὐτὸν ὄψεσθε, ἰδοὺ εἶπον ὑμῖν. καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ
χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς
μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ Ἰησοῦς ἀπήντησεν αὐταῖς, λέγων· Χαίρετε. αἱ δὲ προσελθοῦσαι,
ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· μὴ φοβεῖ-
σθε. ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν. κἀκεῖ με
ὄψονται. πορευομένων δὲ αὐτῶν, ἰδοὺ τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγει-
λαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμ-
βούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες· Εἴπατε ὅτι οἱ μαθη-
ταὶ αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγε-
μόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. Οἱ δὲ λαβόντες τὰ ἀργύρια, ἐποίη-
σαν ὡς ἐδιδάχθησαν. καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. Οἱ δὲ ἕνδε-
κα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. καὶ ἰδόντες
αὐτὸν, προσεκύνησαν αὐτῷ. οἱ δὲ ἐδίστασαν. καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέ-
γων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα
τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος,
διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. καὶ ἰδοὺ ἐγὼ
μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συν-
τελείας τοῦ αἰῶνος.

Εὐαγγέλιον κατὰ Ματθαῖον, τέλος.

ΒΙΟΣ ΤΟΥ ΜΑΡΚΟΥ ΚΑΤΑ ΣΩΦΡΟΝΙΟΝ.

Μαρκος μαθητης και ερμηνευτης πετρου, καθως τω πετρου διηγουμενου ακηκοε, παρακληθεις γαρ τη ρωμη παρα των αδελφων, βραχυ συνεταξεν ευαγγελιον. ωπερ γνους πετρος εδοκιμασε, και τη εκκλησια αναγνωσθησομενον αυθεντισας διεσωσε, μαθ' α συνεγραψατο μηνυσεις γαρ του εκτω των αποστολων λογω. Και παπιας ιεραπολιτης επισκοπω μεμνηται τουτου του μαρκου. και πετρω γε τη πρωτη επιστολη, επ' ονοματι βαβυλωνι, εικονικως ρωμην σημαινων· Ασπαζεται υμας, φησιν, η εν βαβυλωνι συν τη εκλεκτη, και μαρκος ο εμος υιος. παραλαβων τοιγαρουν ο ευαγγελιον οπερ αυτος συνεταξε, κατηλαμβανει τιν αιγυπτον, και πρωτος εν αλεξανδρεια ιησουν χριστον κηρυττων, κατεστησατο εκκλησιαν. τοσαυτη παιδευσει και βιου κατορθωσει διεπρεψεν, ωστε παντας τους ακολουθουντας τω χριστω επεδαπτη του τουτου διαγωγη. οθεν και φιλων ο των ιουδαιων ελλογιμωτατος, ορμωμενος εν αλεξανδρεια πρωτην εκκλησιαν επ ιουδαϊζουσαν, ωσανει εις επαινον του οικειου εθνους, βιβλον περι του τουτων διαγωγης συνεγραψατο. και ωσπερ λουκας διηγειται τους εν ιεροσολυμοις πεπιστευκοτας παντα εγκεισθαι λεγων, ουτως και εκεινος οπερ εν αλεξανδρεια υπο μαρκου τα διδασκαλου εωρα γινομενον, τη μνημη παρεδωκε. τελευτησας δε τω εγδοω του νερωνος ετει, απετεθη εν αλεξανδρεια, σταδεξαμενων αυτον ανανιαν.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΡΚΟΝ.

ΚΕΦΑΛ. ι.

Αρχη του ευαγγελιου ιησου χριστου υιου του θεου, ως γεγραπται εν τοις προφηταις· Ιδου εγω αποστελλω τον αγγελον μου προ προσωπου σου, ος κατασκευασει την οδον σου εμπροσθεν σου· φωνη βοωντος εν τη ερημω, ετοιμασατε την οδον κυριου, ευθειας ποιειτε τας τριβους αυτου. εγενετο ιωαννης βαπτιζων εν τη ερημω, και κηρυσσων βαπτισμα μετανοιας εις αφεσιν αμαρτιων. και εξεπορευοντο προς αυτον πασα η ιουδαια χωρα, και οι ιεροσολυμιται, και εβαπτιζοντο παντες εν τω ιορδανη ποταμω υπ' αυτου, εξομολογουμενοι τας αμαρτιας αυτων. ην δε ο ιωαννης ενδεδυμενος τριχας καμηλου, και ζωνην δερματινην περι την οσφυν αυτου, και εσθιων ακριδας και μελι αγριον, και εκηρυσσε λεγων· Ερχεται ο ισχυροτερος μου οπισω μου, ου ουκ ειμι ικανος κυψας λυσαι το ιμαντα των υποδηματων αυτου. εγω μεν εβαπτισα υμας εν υδατι, αυτος δε βαπτισει υμας εν πνευματι αγιω. και εγενετο εν εκειναις ταις ημεραις, ηλθεν ιησους απο ναζαρεθ της γαλιλαιας, και εβαπτισθη υπο ιωαννου εν τω ιορδανη. και ευθεως αναβαινων απο του υδατος, ειδεν σχιζομενους τους ουρανους, και το πνευμα ως περιστεραν καταβαινον επ' αυτον. και φωνη εγενετο εκ των ουρανων· συ ει ο υιος μου ο αγαπητος, εν ω ευδοκησα. και ευθεως το πνευμα αυτον εκβαλλει εις την ερημον. και ην εκει εν τη ερημω ημερας τεσσαρακοντα, πειραζομενος υπο του σατανα. και ην μετα των θηριων, και οι αγγελοι διηκονουν αυτω. Μετα δε το παραδοθηναι ιωαννην, ηλθεν ιησους εις την γαλιλαιαν, κηρυσσων το ευαγγελιον της βασιλειας του θεου, και λεγων· οτι πεπληρωται ο καιρος, και ηγγικεν η βασιλεια του θεου· μετανοειτε, και πιστευετε εν τω ευαγγελιω. Περιπατων δε παρα την θαλασσαν της γαλιλαιας, ειδεν σιμωνα και ανδρεαν τον αδελφον αυτου, βαλλοντας αμφιβληστρον εν τη θαλασση. ησαν γαρ αλιεις. και ειπεν αυτοις ο ιησους· δευτε οπισω μου, και ποιησω υμας γενεσθαι αλιεις ανθρωπων. και ευθεως αφεντες τα δικτυα αυτων, ηκολουθησαν αυτω. και προβας εκειθεν ολιγον, ειδεν ιακωβον τον του ζεβεδαιου, και ιωαννην τον αδελφον αυτου, και αυτους εν τω πλοιω καταρτιζοντας τα δικτυα, και ευθεως εκαλεσεν αυτους. και αφεντες τον πατερα αυτων ζεβεδαιον εν τω πλοιω μετα των μισθωτων, απηλθον οπισω αυτου. και εισπορευονται εις καπερναουμ. και ευθεως τοις σαββασιν εισελθων εις την συναγωγην, εδιδασκεν. και εξεπλησσοντο επι τη διδαχη αυτου. ην γαρ διδασκων αυτους ως εξουσιαν εχων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ οὐχ ὡς οἱ γραμματεῖς. καὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέκραξε λέγων· ἔα, τί ἡμῖν καὶ σοί Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων· Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ κράξαν φωνῇ μεγάλῃ, ἐξῆλθεν ἐξ αὐτοῦ. καὶ ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν πρὸς αὐτοὺς, λέγοντες· τί ἐστι τοῦτο; τίς ἡ διδαχὴ ἡ καινὴ αὕτη; ὅτι κατ' ἐξουσίαν καὶ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ; ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας. καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθόντες, ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου, μετὰ Ἰακώβου καὶ Ἰωάννου. ἡ δὲ πενθερὰ Σίμωνος κατέκειτο πυρέσσουσα, καὶ εὐθέως λέγουσιν αὐτῷ περὶ αὐτῆς. καὶ προσελθὼν ἤγειρεν αὐτὴν, κρατήσας τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, καὶ διηκόνει αὐτοῖς. Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας, καὶ τοὺς δαιμονιζομένους. καὶ ἦν πόλις ὅλη ἐπισυνηγμένη πρὸς τὴν θύραν, καὶ ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις. καὶ δαιμόνια πολλὰ ἐξέβαλε, καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια ὅτι ἤδεισαν αὐτόν. καὶ πρωὶ ἔννυχον λίαν ἀναστὰς ἐξῆλθεν, καὶ ἀπῆλθεν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο. καὶ κατεδίωξαν αὐτὸν Σίμων, καὶ οἱ μετ' αὐτοῦ. καὶ εὗρον αὐτὸν, λέγουσιν αὐτῷ· ὅτι πάντες ζητοῦσί σε. καὶ λέγει αὐτοῖς· ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ κηρύξω. εἰς τοῦτο γὰρ ἐξελήλυθα. καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων. καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακαλῶν αὐτὸν, καὶ γονυπετῶν αὐτῷ, καὶ λέγων αὐτῷ· ὅτι ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ· θέλω, καθαρίσθητι. καὶ εὐθὺς ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη. καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως ἐξέβαλεν αὐτόν. καὶ λέγει αὐτῷ· ὅρα μηδενὶ μηδὲν εἴπῃς, ἀλλὰ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, ἃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς. Ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ, καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν, ἀλλ' ἔξω ἐν ἐρήμοις τόποις ἦν, καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

ΚΕΦΑΛ. β.

Καὶ πάλιν εἰσῆλθεν εἰς Καπερναούμ δι' ἡμερῶν, καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι, καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν, μηδὲ τὰ πρὸς τὴν θύραν, καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. καὶ ἔρχονται πρὸς αὐτὸν παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων. καὶ μὴ δυνάμενοι προσενέγκαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβαττον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο. ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ· τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν, τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ θεός; καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτως διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν τῷ παραλυτικῷ, ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειρε καὶ ἆρον τὸν κράβαττόν σου, καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας· λέγει τῷ παραλυτικῷ· Σοὶ λέγω, ἔγειρε, καὶ ἆρον τὸν κράβαττόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ ἠγέρθη εὐθέως, καὶ ἆρας τὸν κράβαττον ἐξῆλθεν ἐναντίον πάντων, ὥστε ἐξίστασθαι πάντας, καὶ δοξάζειν τὸν θεὸν, λέγοντας· ὅτι οὐδέποτε οὕτως εἴδομεν. καὶ ἐξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν, καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτὸν, καὶ ἐδίδασκεν αὐτούς. Καὶ παράγων ὁ Ἰησοῦς, εἶδεν Λευὶν τὸν τοῦ Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ· ἀκολούθει μοι, καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. ἦσαν γὰρ πολλοί, καὶ ἠκολούθησαν αὐτῷ. καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Τί, ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει; καὶ ἀκούσας ὁ Ἰησοῦς, λέγει αὐτοῖς· οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων νηστεύοντες, καὶ ἔρχονται, καὶ λέγουσιν αὐτῷ· διὰ τί οἱ μαθηταὶ Ἰωάννου, καὶ οἱ τῶν Φαρισαίων νηστεύουσι, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσι; καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι, νηστεύειν; ὅσον χρόνον μεθ' ἑαυτῶν ἔχουσι τὸν νυμφίον, οὐ δύνανται νηστεύειν. ἐλεύσονται δὲ ἡμέραι, ὅτ' ἂν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. καὶ οὐδεὶς ἐπί-

βλημα

ἔλημμα ῥάκους ἀγνάφου ἐπιῤῥάπῃ ἐπὶ ἱματίῳ παλαιῷ. εἰ δὲ μή, αἴρει τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή, ῥήσσει ὁ οἶνος τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται, ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον. Καὶ ἐγένετο, παραπορεύεσθαι αὐτὸν τοῖς σάββασι διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν, τίλλοντες τοὺς στάχυας. καὶ οἱ φαρισαῖοι ἔλεγον αὐτῷ· ἴδε, τί ποιοῦσιν τοῖς σάββασιν, ὃ οὐκ ἔξεστι; καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· οὐδέποτε ἀνέγνωτε τί ἐποίησε Δαβὶδ, ὅτε χρείαν ἔσχεν, καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι; καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι; καὶ ἔλεγεν αὐτοῖς· Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον. ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

ΚΕΦΑΛ. 3.

Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν, καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα, καὶ παρετήρουν αὐτὸν, εἰ τοῖς σάββασι θεραπεύσει αὐτὸν, ἵνα κατηγορήσωσιν αὐτοῦ. καὶ λέγει τῷ ἀνθρώπῳ, τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· ἔγειρε εἰς τὸ μέσον. καὶ λέγει αὐτοῖς· ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀποκτεῖναι; οἱ δὲ ἐσιώπων. καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρά σου. καὶ ἐξέτεινε, καὶ ἀπεκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς, ὡς ἡ ἄλλη. Καὶ ἐξελθόντες οἱ φαρισαῖοι εὐθέως μετὰ τῶν Ἡρῳδιανῶν συμβούλιον ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν. καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησεν αὐτῷ, καὶ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱεροσολύμων, καὶ ἀπὸ τῆς Ἰδουμαίας, καὶ πέραν τοῦ Ἰορδάνου. καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα πλῆθος πολύ, ἀκούοντες ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν. Καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν. πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάστιγας. καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅτ' ἂν αὐτὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ, καὶ ἔκραζε λέγοντα, ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ πολλὰ ἐπετίμα αὐτοῖς, ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσι. Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός. καὶ ἀπῆλθον πρὸς αὐτόν. καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν, καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους, καὶ ἐκβάλλειν τὰ δαιμόνια. καὶ ἐπέθηκε τῷ Σίμωνι ὄνομα Πέτρον, καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου, καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανηργές, ὅ ἐστιν, υἱοὶ βροντῆς. καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Καναναῖτην, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν. καὶ ἔρχονται εἰς οἶκον. Καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν. καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν. ἔλεγον γάρ, ὅτι ἐξέστατο. καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες, ἔλεγον, ὅτι Βεελζεβοὺλ ἔχει, καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. καὶ προσκαλεσάμενος αὐτοὺς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς· πῶς δύναται Σατανᾶς Σατανᾶν ἐκβάλλειν; καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη. καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη. καὶ εἰ ὁ Σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν, καὶ μεμέρισται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει. Οὐ δύναται οὐδεὶς τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει. Ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφεθήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι, ὅσας ἂν βλασφημήσωσιν, ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως. ὅτι ἔλεγον, πνεῦμα ἀκάθαρτον ἔχει. καὶ ἔρχονται ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ, καὶ ἔξω ἑστηκότες, ἀπέστειλαν πρὸς αὐτὸν φωνοῦντες αὐτόν, καὶ ἐκάθητο ὄχλος περὶ αὐτόν. εἶπον δὲ αὐτῷ· ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε. καὶ ἀπεκρίθη αὐτοῖς, λέγων· τίς ἐστιν ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου; καὶ περιβλεψάμενος τοὺς κύκλῳ περὶ αὐτὸν μαθητὰς καθημένους, λέγει· ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ, οὗτος ἀδελφός μου, καὶ ἀδελφὴ μού ἐστιν, καὶ μήτηρ ἐστί.

ΚΕΦΑΛ. 4.

Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν. καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος πολύς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον, καθῆσθαι ἐν τῇ θαλάσσῃ, καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἦσαν ἐπὶ τῆς γῆς ἐπὶ. καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλὰ, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· ἀκούετε. ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείραι. καὶ ἐγένετο ἐν τῷ σπείρειν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρειν, ὁ δὲ ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτό. ἄλλο δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχεν γῆν πολλὴν, καὶ εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς. ἡλίου δὲ ἀνατείλαντος, ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ συνέπνιξαν αὐτὸ, καὶ καρπὸν οὐκ ἔδωκε. καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλὴν, καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξανόμενα, καὶ ἔφερεν ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. καὶ ἔλεγεν αὐτοῖς· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Ὅτε δὲ ἐγένετο κατὰ μόνας, ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν. καὶ ἔλεγεν αὐτοῖς· ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται, ἵνα βλέποντες βλέπωσι, καὶ μὴ ἴδωσι, καὶ ἀκούοντες ἀκούωσι, καὶ μὴ συνιῶσι, μήποτε ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτήματα. καὶ λέγει αὐτοῖς· οὐκ οἴδατε τὴν παραβολὴν ταύτην; καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε; Ὁ σπείρων, τὸν λόγον σπείρει. οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν, ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθέως ἔρχεται ὁ Σατανᾶς, καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν. καὶ οὗτοί εἰσιν ὁμοίως, οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι, οἱ ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτὸν, καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν, εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθέως σκανδαλίζονται. καὶ οὗτοί εἰσιν, οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οὗτοί εἰσιν οἱ τὸν λόγον ἀκούοντες, καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται. καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούσασι τὸν λόγον, καὶ παραδέχονται, καὶ καρποφοροῦσιν, ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. καὶ ἔλεγεν αὐτοῖς· Μήτι ὁ λύχνος ἔρχεται, ἵνα ὑπὸ τὸν μόδιον τεθῇ, ἢ ὑπὸ τὴν κλίνην; οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ; Οὐ γάρ ἐστι κρυπτὸν, ὃ ἐὰν μὴ φανερωθῇ, οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα εἰς φανερὸν ἔλθῃ. Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. Καὶ ἔλεγεν αὐτοῖς· Βλέπετε τί ἀκούετε. ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, καὶ προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν. Ὃς γὰρ ἂν ἔχει, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. καὶ ἔλεγεν· οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς, καὶ καθεύδῃ, καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος βλαστᾷ, καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός. αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ. ὅταν δὲ παραδῷ ὁ καρπός, εὐθέως ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός. Καὶ ἔλεγε· τίνι ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ; ἢ ἐν τίνι παραβολῇ παραβάλωμεν αὐτήν; ὡς κόκκῳ σινάπεως, ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερον ὂν πάντων τῶν σπερμάτων τῶν ἐπὶ τῆς γῆς, καὶ ὅταν σπαρῇ, ἀναβαίνει, καὶ γίνεται πάντων τῶν λαχάνων μεῖζον. καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν. Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν. χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ ἐπέλυε πάντα. Καὶ λέγει αὐτοῖς· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης διέλθωμεν εἰς τὸ πέραν. καὶ ἀφέντες τὸν ὄχλον, παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ. καὶ ἄλλα δὲ πλοιάρια ἦν μετ' αὐτοῦ. καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη, καὶ τὰ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι, καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ, ἐπὶ τὸ προσκεφάλαιον καθεύδων. καὶ διεγείρουσιν αὐτὸν, καὶ λέγουσιν αὐτῷ· διδάσκαλε, οὐ μέλει σοι, ὅτι ἀπολλύμεθα; καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπεν τῇ θαλάσσῃ· σιώπα, πεφίμωσο. καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη. καὶ εἶπεν αὐτοῖς· τί δειλοί ἐστε οὕτως; πῶς οὐκ ἔχετε πίστιν; καὶ ἐφοβήθησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους· τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

ΚΕΦΑΛ. ε.

Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Γαδαρηνῶν. καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέως ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνημείοις, καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι, διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι δεδέσθαι, καὶ διεσπάσθαι ὑπ' αὐτοῦ τὰς ἁλύσεις, καὶ τὰς πέδας συντετρίφθαι, καὶ οὐδεὶς αὐτὸν ἴσχυσε δαμάσαι. καὶ διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς ὄρεσι, καὶ ἐν τοῖς μνήμασιν ἦν κράζων, καὶ κατακόπτων ἑαυτὸν λίθοις. ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ μακρόθεν, ἔδραμε, καὶ προσεκύνησεν αὐτῷ, καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν· τί ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου; ὁρκίζω σε τὸν θεόν, μή με βασανίσῃς. ἔλεγε γὰρ αὐτῷ, ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου. καὶ ἐπηρώτα αὐτόν· τί σοι ὄνομα; καὶ ἀπεκρίθη λέγων· λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν. καὶ παρεκάλει αὐτὸν πολλὰ, ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας. Ἦν δὲ ἐκεῖ πρὸς τὰ ὄρη ἀγέλη χοίρων μεγάλη βοσκομένη. καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες, λέγοντες· πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

θωμεν. καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ιησοῦς. καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα, εἰσῆλθον εἰς τοὺς χοίρους. καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν. ἦσαν δὲ ὡς δισχίλιοι, καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. οἱ δὲ βόσκοντες τοὺς χοίρους, ἔφυγον, καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. καὶ ἐξῆλθον ἰδεῖν τί ἐστι τὸ γεγονός. καὶ ἔρχονται πρὸς τὸν Ιησοῦν, καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον τὸν ἱματισμένον, καὶ σωφρονοῦντα τὸν ἐσχηκότα τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν. καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγένετο τῷ δαιμονιζομένῳ, καὶ περὶ τῶν χοίρων. καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν, ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν. καὶ ἐμβαίνοντος αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει αὐτὸν ὁ δαιμονισθείς, ἵνα ᾖ μετ' αὐτοῦ. Ὁ δὲ Ιησοῦς οὐκ ἀφῆκεν αὐτὸν, ἀλλὰ λέγει αὐτῷ· ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σούς, καὶ ἀπάγγειλον αὐτοῖς, ὅσα σοι ὁ Κύριος πεποίηκε, καὶ ἠλέησέ σε. καὶ ἀπῆλθε, καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει, ὅσα ἐποίησεν αὐτῷ ὁ Ιησοῦς, καὶ πάντες ἐθαύμαζον. Καὶ διαπεράσαντος τοῦ Ιησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν, συνήχθη ὄχλος πολὺς ἐπ' αὐτόν. καὶ ἦν παρὰ τὴν θάλασσαν. Καὶ ἰδοὺ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν αὐτὸν, πίπτει πρὸς τοὺς πόδας αὐτοῦ. καὶ παρακαλεῖ αὐτὸν πολλὰ, λέγων· ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει. ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ καὶ ζήσεται. καὶ ἀπῆλθε μετ' αὐτοῦ. καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ιησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ. ἔλεγε γὰρ, ἐὰν κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. καὶ εὐθὺς ὁ Ιησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ, τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων; καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, τίς μου ἥψατο; καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθεν καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε, ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. Ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες, ὅτι ἡ θυγάτηρ σου ἀπέθανε, τί ἔτι σκύλλεις τὸν διδάσκαλον; Ὁ δὲ Ιησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ. μὴ φοβοῦ, μόνον πίστευε. Καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ συνακολουθῆσαι, εἰ μὴ τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου. καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον καὶ κλαίοντας, καὶ ἀλαλάζοντας πολλά, καὶ εἰσελθὼν λέγει αὐτοῖς· Τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ. ὁ δὲ ἐκβαλὼν πάντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα, καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον κατακείμενον. καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου, λέγει αὐτῇ· Ταλιθὰ κοῦμι, ὅ ἐστι μεθερμηνευόμενον, τὸ κοράσιον, σοὶ λέγω, ἔγειρε. καὶ εὐθέως ἀνέστη τὸ κοράσιον, καὶ περιεπάτει. ἦν γὰρ ἐτῶν δώδεκα, καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ. καὶ διεστείλατο αὐτοῖς πολλὰ, ἵνα μηδεὶς γνῷ τοῦτο, καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

ΚΕΦΑΛ. 6.

ΚΑΙ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ, καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ γενομένου σαββάτου, ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν, καὶ πολλοὶ ἀκούοντες, ἐξεπλήσσοντο λέγοντες· Πόθεν τούτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται; οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα, καὶ Σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. ἔλεγε δὲ αὐτοῖς ὁ Ιησοῦς· ὅτι οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ οὐκ ἠδυνάτο ἐκεῖ ἐν δὲ μίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσε. καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν. Καὶ περιῆγε τὰς κώμας κύκλῳ, διδάσκων. καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο. καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων. καὶ παρήγγειλεν αὐτοῖς, ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν, εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν, ἀλλὰ ὑποδεδεμένους σανδάλια, καὶ μὴ ἐνδύσασθαι δύο χιτῶνας. καὶ ἔλεγεν αὐτοῖς· Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε, ἕως ἂν ἐξέλθητε ἐκεῖθεν. καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑπὸ τοὺς πόδας ὑμῶν, εἰς μαρτύριον αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν. ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. καὶ ἐξελθόντες ἐκήρυσσον, ἵνα μετανοήσωσι. καὶ δαιμόνια πολλὰ ἐξέβαλον, καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον. Καὶ ἤκουσεν ὁ Βασιλεὺς Ἡρῴδης, φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγεν, ὅτι Ἰωάννης ὁ Βαπτίζων ἐκ νεκρῶν ἠγέρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. ἄλλοι ἔλεγον, ὅτι Ἠλίας ἐστίν. ἄλλοι δὲ ἔλεγον, ὅτι προφήτης ἐστὶν, ἢ ὡς εἷς τῶν προφητῶν. Ἀκούσας δὲ ὁ Ἡρῴδης, εἶπεν· ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν, αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. Αὐτὸς γὰρ ὁ Ἡρῴδης, ἀποστείλας, ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν. ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ, ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο. ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτὸν, καὶ ἀκούσας αὐτοῦ πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουεν. καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσι, καὶ τοῖς χιλιάρχοις, καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας, καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρῳδιάδος, καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ Βασιλεὺς τῷ κορασίῳ· αἴτησόν με ὃ ἐὰν θέλεις, καὶ δώσω σοι. καὶ ὤμοσεν αὐτῇ, ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς Βασιλείας μου. ἡ δὲ ἐξελθοῦσα, εἶπε τῇ μητρὶ αὐτῆς· τί αἰτήσωμαι; ἡ δὲ εἶπε· τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν Βασιλέα, ᾐτήσατο λέγουσα· θέλω ἵνα μοι δῷς ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. καὶ περίλυπος γενόμενος ὁ Βασιλεὺς διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. καὶ εὐθέως ἀποστείλας ὁ Βασιλεὺς σπεκουλάτορα, ἐκέλευσεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ. καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ. Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν, καὶ ὅσα ἐδίδαξαν. καὶ εἶπεν αὐτοῖς· Δεῦτε ὑμεῖς αὐτοὶ κατ᾽ ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύσασθε ὀλίγον. ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν εὐκαίρουν. καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ᾽ ἰδίαν, καὶ εἶδον αὐτοὺς ὑπάγοντας οἱ ὄχλοι, καὶ ἐπέγνωσαν αὐτὸν πολλοί, καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ, καὶ προῆλθον αὐτούς, καὶ συνῆλθον πρὸς αὐτόν. καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά. Καὶ ἤδη ὥρας πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν· ὅτι ἔρημός ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή, ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς, καὶ κώμας ἀγοράσωσιν ἑαυτοῖς ἄρτους. τί γὰρ φάγωσιν, οὐκ ἔχουσιν. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. καὶ λέγουσιν αὐτῷ· ἀπελθόντες ἀγοράσωμεν διακοσίων δηναρίων ἄρτους, καὶ δώσωμεν αὐτοῖς φαγεῖν; ὁ δὲ λέγει αὐτοῖς· πόσους ἄρτους ἔχετε; ὑπάγετε καὶ ἴδετε. καὶ γνόντες, λέγουσι· πέντε, καὶ δύο ἰχθύας. καὶ ἐπέταξεν αὐτοῖς ἀνακλιθῆναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. καὶ ἀνέπεσαν πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα. καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησε, καὶ κατέκλασε τοὺς ἄρτους, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσιν αὐτοῖς. καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι. καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν. καὶ ἦραν κλάσματα δώδεκα κοφίνους πλήρεις, καὶ ἀπὸ τῶν ἰχθύων. καὶ ἦσαν οἱ φαγόντες ὡσεὶ πεντακισχίλιοι ἄνδρες. Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον. καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς, καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν. ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς. καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς, περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελε παρελθεῖν αὐτούς. Οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν. πάντες γὰρ αὐτὸν εἶδον, καὶ ἐταράχθησαν. καὶ εὐθέως ἐλάλησε μετ᾽ αὐτῶν, καὶ λέγει αὐτοῖς· θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον. Οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις, ἦν γὰρ αὐτῶν ἡ καρδία πεπωρωμένη. καὶ διαπεράσαντες, ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρὲθ, καὶ προσωρμίσθησαν. καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως ἐπιγνόντες αὐτὸν, περιέδραμον ὅλην τὴν περίχωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραβάττοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστί. καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας, ἢ πόλεις, ἢ ἀγροὺς, ἐν ταῖς ἀγοραῖς ἐτίθεσαν τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν, ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται. καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσώζοντο.

ΚΕΦΑΛ. ζ.

Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι, καί τινες τῶν γραμματέων ἐλθόντες ἀπ᾽ Ἱεροσολύμων. καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσί, τοῦτ᾽ ἔστιν ἀνίπτοις, ἐσθίοντας ἄρτους, ἐμέμψαντο. οἱ γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ φαρισαῖοι καὶ πάντες οἱ ἰουδαῖοι ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων. καὶ ἀπ' ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι. καὶ ἄλλα πολλά ἐστιν, ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν. ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς· διὰ τί οἱ μαθηταί σου οὐ περιπατοῦσιν κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ κοιναῖς χερσὶν ἐσθίουσι τὸν ἄρτον; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, ὅτι καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται· οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. μάτην δέ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων. βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. καὶ ἔλεγεν αὐτοῖς, καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε. Μωσῆς γὰρ εἶπεν· τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου. καὶ ὁ λαλῶν κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. ὑμεῖς δὲ λέγετε· ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρὶ κορβᾶν, ὅ ἐστι, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ, ὠφεληθῇς. καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ, ἢ τῇ μητρὶ αὐτοῦ, ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ τῇ παραδόσει ὑμῶν ἣ παρεδώκατε. καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον ἔλεγεν αὐτοῖς· ἀκούετέ μου πάντες, καὶ συνίετε. οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου, εἰσπορευόμενον εἰς αὐτόν, ὃ δύναται αὐτὸν κοινῶσαι, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ' αὐτοῦ, ἐκεῖνά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον. εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς. καὶ λέγει αὐτοῖς· οὕτως καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὐ νοεῖτε, ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον, οὐ δύναται αὐτὸν κοινῶσαι, ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα; ἔλεγε δὲ ὅτι, τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι, κλοπαί, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφανία, ἀφροσύνη. πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον. καὶ ἐκεῖθεν ἀναστὰς, ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος. καὶ εἰσελθὼν εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν. Ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ. ἦν δὲ ἡ γυνὴ Ἑλληνὶς, συροφοινίσσα τῷ γένει, καὶ ἠρώτα αὐτὸν, ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ· ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα. οὐ γὰρ καλόν ἐστι, λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ· ναὶ κύριε, καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων. καὶ εἶπεν αὐτῇ· διὰ τοῦτον τὸν λόγον, ὕπαγε, ἐξελήλυθεν τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου. καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς, εὗρε τὸ δαιμόνιον ἐξεληλυθός, καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης. καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως. καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον, καὶ παρακαλοῦσιν αὐτὸν, ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας, ἥψατο τῆς γλώσσης αὐτοῦ, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε, καὶ λέγει αὐτῷ· ἐφφαθά. ὅ ἐστι, διανοίχθητι. καὶ ἠνεῴχθησαν αὐτοῦ αἱ ἀκοαί, καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς. καὶ διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν. ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον, καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες· Καλῶς πάντα πεποίηκε, καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν.

ΚΕΦΑΛ. η.

ΕΝ ἐκείναις ταῖς ἡμέραις πάμπολλου ὄχλου ὄντος, καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι. καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ. τινες γὰρ αὐτῶν μακρόθεν ἥκασιν. καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας; καὶ ἐπηρώτα αὐτούς· πόσους ἔχετε ἄρτους; οἱ δὲ εἶπον, ἑπτά. καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς. καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους, εὐχαριστήσας, ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, ἵνα παραθῶσι. καὶ παρέθηκαν τῷ ὄχλῳ. καὶ εἶχον ἰχθύδια ὀλίγα. καὶ εὐλογήσας, εἶπε παραθεῖναι καὶ αὐτά. ἔφαγον δὲ καὶ ἐχορτάσθησαν, καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας. ἦσαν δὲ οἱ φαγόντες, ὡς τετρακισχίλιοι, καὶ ἀπέλυσεν αὐτούς. καὶ εὐθέως ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. καὶ ἐξῆλθον οἱ φαρισαῖοι, καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πφράζοντες αὐτόν. καὶ ἀναχωρήσας ἐκεῖ πανδήμει αὐτῷ, λέγει· πῶς γίνεται αὕτη σημεῖον οὐ ζητεῖ; Αμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον. καὶ ἀφεὶς αὐτοὺς, ἐμβὰς πάλιν εἰς πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν. καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' αὑτῶν ἐν τῷ πλοίῳ. Καὶ διεστέλλετο αὐτοῖς λέγων· ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, καὶ τῆς ζύμης Ἡρῴδου. καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες, ὅτι ἄρτους οὐκ ἔχομεν. καὶ γνοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς· τί διαλογίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε; οὔπω νοεῖτε, οὐδὲ συνίετε; ἐπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν; ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε, ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, πόσους κοφίνους πλήρεις κλασμάτων ἤρατε; λέγουσιν αὐτῷ, δώδεκα. ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; οἱ δὲ εἶπον, ἑπτά. καὶ ἔλεγεν αὐτοῖς· πῶς οὐ νοεῖτε; καὶ ἔρχεται εἰς Βηθσαϊδάν, καὶ φέρουσιν αὐτῷ τυφλόν, καὶ παρακαλοῦσιν αὐτὸν, ἵνα αὐτοῦ ἅψηται. καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης, καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἐπηρώτα αὐτὸν, εἴ τι βλέπει. καὶ ἀναβλέψας ἔλεγε· βλέπω τοὺς ἀνθρώπους, ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας. εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι, καὶ ἀπεκατεστάθη, καὶ ἐνέβλεψε τηλαυγῶς ἅπαντας. καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, λέγων· μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς, μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ. Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου. καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; οἱ δὲ ἀπεκρίθησαν, Ἰωάννην τὸν Βαπτιστὴν, καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ἕνα τῶν προφητῶν. καὶ αὐτὸς λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ ὁ Πέτρος, λέγει αὐτῷ· σὺ εἶ ὁ Χριστός. καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. καὶ ἤρξατο διδάσκειν αὐτοὺς, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι, καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει. καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ. ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, ἐπετίμησε τῷ Πέτρῳ, λέγων· ὕπαγε ὀπίσω μου Σατανᾶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς· Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; ὃς γὰρ ἂν ἐπαισχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

ΚΕΦΑΛ. 9.

ΚΑΙ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. καὶ μεθ' ἡμέρας ἓξ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους. καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο στίλβοντα, λευκὰ λίαν ὡς χιών, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι. καὶ ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωσῇ, καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· ῥαββεί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ Ἠλίᾳ μίαν. οὐ γὰρ ἤδει τί λαλήσῃ, ἦσαν γὰρ ἔκφοβοι. καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς. καὶ ἦλθε φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε. καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκέτι οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν. Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτοὺς συζητοῦντες, τί ἐστὶ τὸ ἐκ νεκρῶν ἀναστῆναι; καὶ ἐπηρώτων αὐτὸν, λέγοντες· ὅτι λέγουσιν οἱ γραμματεῖς, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον. ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶτον, ἀποκαθιστᾷ πάντα. καὶ πῶς γέγραπται τὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ πάθῃ, καὶ ἐξουδενωθῇ; ἀλλὰ λέγω ὑμῖν, ὅτι Ἠλίας ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς γέγραπται ἐπ' αὐτόν. Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδε γύρω ὄχλον πολὺν περὶ αὐτούς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς, καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν ἐξεθαμβήθη, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν. καὶ ἐπηρώτησε τοὺς γραμματεῖς, τί συζητεῖτε πρὸς αὐτούς; καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου, εἶπεν· Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον. καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτὸν, καὶ ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται. καὶ εἶπον τοῖς μαθηταῖς σου, ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν.

ὁ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ δὲ ἀπεκριθεὶς αὐτῷ, λέγει· ὦ γύναι ἄπιστε, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ. καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν, εἶπον· διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; καὶ λέγει αὐτοῖς· διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν. ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, καὶ εἴπητε τῷ ὄρει τούτῳ· μετάβα ἔνθεν ἐκεῖ, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. καὶ ἐκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ. ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν αὐτοῖς, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι. Καὶ ἦλθεν εἰς Καπερναούμ, καὶ ἐν τῇ οἰκίᾳ γενόμενος, ἐπηρώτα αὐτούς· τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε; οἱ δὲ ἐσιώπων. πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων. καὶ καθίσας, ἐφώνησε τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς· Εἴ τις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος, καὶ πάντων διάκονος. καὶ λαβὼν παιδίον, ἔστησεν ἐν μέσῳ αὐτῶν, καὶ ἐναγκαλισάμενος αὐτὸ εἶπεν αὐτοῖς· ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με. Ἀπεκρίθη δὲ αὐτῷ Ἰωάννης, λέγων· Διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν, καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν. Ὁ δὲ Ἰησοῦς εἶπεν· μὴ κωλύετε αὐτόν. οὐδεὶς γάρ ἐστιν, ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ δυνήσεται ταχὺ κακολογῆσαί με. ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν. ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν ὀνόματί μου, ὅτι χριστοῦ ἐστέ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ. καὶ ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς ἐμέ, καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται λίθος μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ βέβληται εἰς τὴν θάλασσαν. καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν. καλόν σοί ἐστι, κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν. καλόν σέ ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν. καλόν σοί ἐστι, μονοφθαλμὸν εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. Πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται. Καλὸν τὸ ἅλας. ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅλας, καὶ εἰρηνεύετε ἐν ἀλλήλοις.

ΚΕΦΑΛ. 10.

Κακεῖθεν ἀναστὰς, ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας διὰ τοῦ πέραν τοῦ Ἰορδάνου, καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν, καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐτούς. καὶ προσελθόντες φαρισαῖοι ἐπηρώτησαν αὐτόν, εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειράζοντες αὐτόν. ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· τί ὑμῖν ἐνετείλατο Μωσῆς; οἱ δὲ εἶπον· Μωσῆς ἐπέτρεψε βιβλίον ἀποστασίου γράψαι, καὶ ἀπολῦσαι. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην. ἀπὸ δὲ ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ θεός. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ μία σάρξ. ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ περὶ τοῦ αὐτοῦ ἐπηρώτησαν αὐτόν, καὶ λέγει αὐτοῖς· ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ' αὐτήν· καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς, καὶ γαμηθῇ ἄλλῳ, μοιχᾶται. καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν. ἰδὼν δὲ ὁ Ἰησοῦς, ἠγανάκτησεν, καὶ εἶπεν αὐτοῖς· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, μὴ κωλύετε αὐτά. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. καὶ ἐναγκαλισάμενος αὐτὰ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλῆς τὰς χεῖρας ἐπ' αὐτὰ, ὠλόγησεν αὐτά. καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν, προσδραμών τις, καὶ γονυπετήσας αὐτὸν, ἐπηρώτα αὐτὸν· διδάσκαλε ἀγαθὲ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεός. τὰς ἐντολὰς οἶδας, μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς, μὴ ἀποστερήσῃς. τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· ἓν σοί ὑστερεῖ. ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ δὸς τοῖς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι, ἄρας τὸν σταυρόν. Ὁ δὲ συνγνασθεὶς ἐπὶ τῷ λόγῳ, ἀπῆλθε λυπούμενος. ἦν γὰρ ἔχων κτήματα πολλά. καὶ περιβλεψάμενος ὁ Ἰησοῦς, λέγει τοῖς μαθηταῖς αὐτοῦ· Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελεύσονται. οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς· τέκνα, πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ τοῖς χρήμασιν, εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. Οἱ δὲ περισσῶς ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτούς· καὶ τίς δύναται σωθῆναι; Ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς, λέγει· παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ' οὐ παρὰ τῷ θεῷ. πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ θεῷ. καὶ ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν, ὃς ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ, οἰκίας, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς, καὶ μητέρας, καὶ τέκνα, καὶ ἀγροὺς μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι. Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα, καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο, καὶ ἀκολουθοῦντες ἐφοβοῦντο. καὶ παραλαβὼν ὁ Ἰησοῦς πάλιν τοὺς δώδεκα, ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν, ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι, καὶ τοῖς γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι, καὶ ἐμπαίξουσιν αὐτῷ, καὶ μαστιγώσουσιν αὐτὸν, καὶ ἐμπτύσουσιν αὐτῷ, καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης οἱ υἱοὶ Ζεβεδαίου, λέγοντες· Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμέν σε, ποιήσῃς ἡμῖν. Ὁ δὲ εἶπεν αὐτοῖς· τί θέλετε ποιῆσαί με ὑμῖν; Οἱ δὲ εἶπον αὐτῷ· δὸς ἡμῖν, ἵνα εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ ἀριστερῶν σου καθήσωμεν ἐν τῇ δόξῃ σου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω; καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; οἱ δὲ εἶπον αὐτῷ, δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε. Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ ἀριστερῶν μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. καὶ ἀκούσαντες οἱ δέκα, ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, λέγει αὐτοῖς· οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν; οὐχ οὕτω δέ ἐστιν ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν ὑμῶν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται διάκονος ὑμῶν. καὶ ὃς ἂν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος. καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. καὶ ἔρχονται εἰς Ἰεριχώ. Καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἰεριχὼ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ ὄχλου ἱκανοῦ, ὁ υἱὸς Τιμαίου Βαρτιμαῖος ὁ τυφλὸς ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν. καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζαρηνός ἐστιν, ἤρξατο κράζειν καὶ λέγειν· Υἱὸς Δαβὶδ Ἰησοῦ, ἐλέησόν με. καὶ ἐπετίμων αὐτῷ πολλοὶ, ἵνα σιωπήσῃ. Ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν· υἱὲ Δαβὶδ, ἐλέησόν με. στὰς ὁ Ἰησοῦς, εἶπεν αὐτὸν φωνηθῆναι. καὶ φωνοῦσι τὸν τυφλὸν, λέγοντες αὐτῷ· θάρσει, ἔγειραι, φωνεῖ σε. Ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ, ἀναστὰς ἦλθε πρὸς τὸν Ἰησοῦν. καὶ ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς· τί θέλεις ποιήσω σοι; Ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ· ῥαββονί, ἵνα ἀναβλέψω. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ὕπαγε, ἡ πίστις σου σέσωκέ σε. καὶ εὐθέως ἀνέβλεψε, καὶ ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ.

ΚΕΦΑΛ. ΙΑ.

Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ, εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· Ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν, εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς ἀνθρώπων ἐκάθικεν. λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις ὑμῖν εἴπῃ· τί ποιεῖτε τοῦτο; εἴπατε, ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει, καὶ εὐθέως αὐτὸν ἀποστελεῖ ὧδε. Ἀπῆλθον δὲ, καὶ εὗρον πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτόν. καί τινες τῶν ἐκεῖ

ἑστηκότων

ἑσκηνώτων, ἔλεγον αὐτοῖς· τί ποιεῖτε λύοντες τὸν πῶλον; Οἱ δὲ εἶπον αὐτοῖς, καθὼς ἐνετείλατο ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς. καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν, καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν· καὶ ἐκάθισεν ἐπ' αὐτόν. Πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν. ἄλλοι δὲ στιβάδας ἔκοπτον ἐκ τῶν δένδρων, καὶ ἐστρώννυον εἰς τὴν ὁδόν. Καὶ οἱ προάγοντες, καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον λέγοντες· ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εὐλογημένη ἡ ἐρχομένη Βασιλεία ἐν ὀνόματι Κυρίου τοῦ πατρὸς ἡμῶν Δαβίδ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ εἰς τὸ ἱερόν. καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα. Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας, ἐπείνασε. καὶ ἰδὼν συκῆν μακρόθεν, ἔχουσαν φύλλα, ἦλθεν, εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ. Καὶ ἐλθὼν ἐπ' αὐτὴν, οὐδὲν εὗρεν εἰ μὴ φύλλα. οὐ γὰρ ἦν καιρὸς σύκων. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι. καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ. καὶ ἔρχονται εἰς Ἱεροσόλυμα, καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερόν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ. καὶ τὰς τραπέζας τῶν κολυβιστῶν, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψε, καὶ οὐκ ἤφιεν, ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ. καὶ ἐδίδασκε, λέγων αὐτοῖς· οὐ γέγραπται, ὅτι ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν; ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν. Καὶ ἤκουσαν οἱ γραμματεῖς, καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν. ἐφοβοῦντο γὰρ αὐτὸν, ὅτι πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύετο ἔξω τῆς πόλεως. καὶ πρωὶ παραπορευόμενοι, εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. καὶ ἀναμνησθεὶς ὁ Πέτρος, λέγει αὐτῷ· ῥαββεί, ἴδε ἡ συκῆ ἣν κατηράσω, ἐξήρανται. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, λέγει αὐτοῖς· ἔχετε πίστιν θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται, ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ. Διὰ τοῦτο λέγω ὑμῖν· πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν. Καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα. καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς, καὶ οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι, καὶ λέγουσιν αὐτῷ· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν, ἵνα ταῦτα ποιῇς; Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἐπερωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; Ἀποκρίθητέ μοι. καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες· ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ, διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ἀλλ' ἐὰν εἴπωμεν, ἐξ ἀνθρώπων, ἐφοβοῦντο τὸν λαόν. ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην, ὅτι ὄντως προφήτης ἦν. Καὶ ἀποκριθέντες λέγουσι τῷ Ἰησοῦ· οὐκ οἴδαμεν. καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς, λέγει αὐτοῖς· οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

ΚΕΦΑΛ. 12.

Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λαλεῖν· ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος, καὶ περιέθηκε φραγμόν, καὶ ὤρυξεν ὑπολήνιον, καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε. καὶ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος. Οἱ δὲ λαβόντες αὐτὸν ἔδειραν, καὶ ἀπέστειλαν κενόν. Καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦλον, καὶ ἐκεῖνον λιθοβολήσαντες ἐκεφαλαίωσαν, καὶ ἀπέστειλαν ἠτιμημένον. καὶ πάλιν ἄλλον ἀπέστειλε, κἀκεῖνον ἀπέκτειναν, καὶ πολλοὺς ἄλλους, τοὺς μὲν δέροντες, τοὺς δὲ ἀποκτέννοντες. ἔτι οὖν υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, ἀπέστειλε καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον, λέγων· ὅτι ἐντραπήσονται τὸν υἱόν μου. ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον πρὸς ἑαυτούς· ὅτι οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία. καὶ λαβόντες αὐτὸν, ἀπέκτειναν, καὶ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος. Τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; Ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργούς, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. Οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε; Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον. ἔγνωσαν γὰρ, ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε. καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. καὶ ἀποστέλλουσι πρὸς αὐτὸν τινὰς τῶν Φαρισαίων καὶ τῶν Ἡρῳδιανῶν, ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ. Οἱ δὲ ἐλθόντες λέγουσιν αὐτῷ· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ οὐ μέλει σοι περὶ οὐδενός. οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις. ἔξεστι κῆνσον Καίσαρι δοῦναι ἢ οὔ; δῶμεν, ἢ μὴ δῶμεν; ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν, εἶπεν αὐτοῖς· τί με πειράζετε; φέρετέ μοι δηνάριον, ἵνα ἴδω. οἱ δὲ ἤνεγκαν, καὶ λέγει αὐτοῖς· τίνος ἡ εἰκὼν αὕτη, καὶ ἡ ἐπιγραφή; Οἱ δὲ εἶπον αὐτῷ, Καίσαρος. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀπόδοτε τὰ Καίσαρος Καίσαρι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαρε, καὶ τὰ τοῦ θεοῦ τοῦ θεῷ. καὶ ἐθαύμαζαν ἐπ' αὐτῷ. καὶ ἔρχονται σαδδουκαῖοι πρὸς αὐτ
οἵτινές λέγουσιν, ἀνάστασιν μὴ εἶναι. καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Διδάσκαλε, μωσῆς ἔγρα
ψεν ἡμῖν, ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, καὶ καταλείπῃ γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα λα
βῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξαναστήσῃ σπέρμα τοῦ ἀδελφοῦ αὐτοῦ. Ἑπτὰ
ἀδελφοί ἦσαν, καὶ ὁ πρῶτος ἔλαβε γυναῖκα, καὶ ἀποθνήσκων οὐκ ἀφῆκε σπέρμα. καὶ ὁ δεύ
τερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανε, καὶ οὐδὲ αὐτὸς ἀφῆκε σπέρμα. καὶ ὁ τρίτος ὡσαύτως, κ
ἔλαβον αὐτὴν οἱ ἑπτά, καὶ οὐκ ἀφῆκαν σπέρμα. ἐσχάτη πάντων ἀπέθανε καὶ ἡ γυνή. ἐν τῇ
οὖν ἀναστάσει, ὅταν ἀναστῶσι, τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. καὶ
ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύ
ναμιν τοῦ θεοῦ; ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡ
ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς. περὶ δὲ τῶν νεκρῶν, ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ μω
σέως, ὑπὲρ τοῦ βάτου, ὡς εἶπεν αὐτῷ ὁ θεὸς, λέγων· ἐγὼ ὁ θεὸς Ἀβραάμ, καὶ ὁ θεὸς Ἰσαάκ, καὶ
ὁ θεὸς Ἰακώβ; οὐκ ἔστιν ὁ θεὸς νεκρῶν, ἀλλὰ θεὸς ζώντων. ὑμεῖς οὖν πολὺ πλανᾶσθε. καὶ
προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς ὅτι καλῶς αὐτοῖς ἀπε
κρίθη, ἐπηρώτησεν αὐτόν· ποία ἐστὶν πρώτη πασῶν ἐντολή. ὁ δὲ Ἰησοῦς ἀπεκρίθη αὐτῷ, ὅτι πρώ
τη πασῶν τῶν ἐντολῶν· ἄκουε Ἰσραήλ, Κύριος ὁ θεὸς ὑμῶν, Κύριος εἷς ἐστι. καὶ ἀγαπήσεις Κύ
ριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου,
καὶ ἐξ ὅλης τῆς ἰσχύος σου. αὕτη πρώτη ἐντολή. καὶ δευτέρα ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλη
σίον σου ὡς σεαυτόν. μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστι. καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· καλῶ
διδάσκαλε ἐπ' ἀληθείας εἶπας, ὅτι εἷς ἐστι θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. καὶ τὸ ἀγα
πᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς συνέσεως, καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς
ἰσχύος, καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν, πλεῖόν ἐστι πάντων τῶν ὁλοκαυτωμάτων, καὶ
τῶν θυσιῶν. καὶ ὁ Ἰησοῦς ἰδὼν, ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· οὐ μακρὰν εἶ ἀπὸ τῆς βασι
λείας τοῦ θεοῦ. καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε, διδ
άσκων ἐν τῷ ἱερῷ· Πῶς λέγουσιν οἱ γραμματεῖς, ὅτι ὁ χριστὸς υἱός ἐστι Δαβίδ; Αὐτὸς γὰρ Δα
βὶδ εἶπεν ἐν τῷ πνεύματι ἁγίῳ· Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς
ἐχθρούς σου, ὑποπόδιον τῶν ποδῶν σου; αὐτὸς οὖν Δαβὶδ λέγει αὐτὸν κύριον, καὶ πόθεν υἱὸς αὐ
τοῦ ἐστι; καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως. καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Βλέπετε
ἀπὸ τῶν γραμματέων, τῶν θελόντων ἐν στολαῖς περιπατεῖν, καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ
πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις. οἱ κατεσθίοντες
τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι, οὗτοι λήψονται περισσότερον κρί
μα. καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου, ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς
τὸ γαζοφυλάκιον. καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά. καὶ ἐλθοῦσα μία χήρα πτωχὴ, ἔβαλεν λε
πτὰ δύο, ὅ ἐστι κοδράντης. καὶ προσκαλεσάμενος οὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς· ἀμὴν λέ
γω ὑμῖν, ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων βέβληκε τῶν βαλόντων εἰς τὸ γαζοφυλα
κιον. πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάν
τα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.

ΚΕΦΑΛ. 13.

ΚΑΙ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· Διδάσκαλε, ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί. καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ· Βλέπεις ταύ
τας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ λίθος ὧδε λίθος, ὃς οὐ μὴ καταλυθῇ. καὶ καθημένου
αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ' ἰδίαν Πέτρος καὶ Ἰά
κωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας· εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον ὅταν μέλλη
ταῦτα τὰ συντελεῖσθαι; ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς αὐτοῖς, ἤρξατο λέγειν· Βλέπετε, μή τις ὑ
μᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· ὅτι ἐγώ εἰμι, καὶ πολλοὺς
πλανήσουσιν. ὅταν δὲ ἀκούσητε πολέμους, καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε. δεῖ γὰρ γενέσθαι,
ἀλλ' οὔπω τὸ τέλος. ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν. καὶ ἔσον
ται σεισμοὶ κατὰ τόπους, καὶ ἔσονται λιμοὶ καὶ ταραχαί. ἀρχαὶ ὠδίνων ταῦτα. Βλέπετε δὲ ὑμεῖς
ἑαυτούς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ εἰς συναγωγὰς. δαρήσεσθε, καὶ ἐπὶ ἡγεμό
νων καὶ βασιλέων ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς. καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶ
τον κηρυχθῆναι τὸ εὐαγγέλιον. ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε
τί λαλήσητε, μηδὲ μελετᾶτε, ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε. οὐ γάρ
ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θά
νατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. καὶ
ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.
Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, ἑστὸς ὅπου
οὐ δεῖ

οὐ θέλῃ, ὁ ἀναγινώσκων νοείτω. Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη. ὁ δὲ ὢν τοῦ δώματος, μὴ καταβάτω εἰς τὴν οἰκίαν, μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ εἰς τὸν ἀγρὸν ὢν μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω, ἆραι τὸ ἱμάτιον αὐτοῦ. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. Προσεύχεσθε δέ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος. ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις, οἵα οὐ γέγονε τοιαύτη ἀπ' ἀρχῆς κτίσεως, ἧς ἔκτισεν ὁ θεὸς ἕως τοῦ νῦν, καὶ οὐ μὴ γένηται. καὶ εἰ μὴ ὁ κύριος ἐκολόβωσε τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. ἀλλὰ διὰ τοὺς ἐκλεκτούς, οὓς ἐξελέξατο, ἐκολόβωσε τὰς ἡμέρας. καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ· ἰδοὺ ὧδε ὁ χριστός, ἰδοὺ ἐκεῖ, μὴ πιστεύετε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι, καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα καὶ τέρατα, πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς. ὑμεῖς δὲ βλέπετε, ἰδοὺ προείρηκα ὑμῖν πάντα. Ἀλλ' ἐν ἐκείναις ταῖς ἡμέραις μετὰ τὴν θλῖψιν ἐκείνην ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται. καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ δόξης. καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ συνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ. Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς ἁπαλὸς γένηται, καὶ ἐκφύῃ τὰ φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν. Οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, μέχρις οὗ πάντα ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης, καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ. Βλέπετε, ἀγρυπνεῖτε καὶ προσεύχεσθε, οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν. Ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο, ἵνα γρηγορῇ. γρηγορεῖτε οὖν. οὐκ οἴδατε γάρ, πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται, ὀψὲ ἢ μεσονυκτίου, ἢ ἀλεκτοροφωνίας, ἢ πρωΐ. μὴ ἐλθὼν ἐξαίφνης, εὕρῃ ὑμᾶς καθεύδοντας. ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω· γρηγορεῖτε.

ΚΕΦΑΛ. 14.

Ἦν δὲ τὸ πάσχα, καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας. Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν. ἔλεγον δέ, μὴ ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ. Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθεν γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτελοῦς, καὶ συντρίψασα τὸ ἀλάβαστρον, κατέχεεν αὐτοῦ τῆς κεφαλῆς. ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτούς, καὶ λέγοντες· εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; ἠδύνατο γὰρ τοῦτο πραθῆναι ἐπάνω τριακοσίων δηναρίων, καὶ δοθῆναι τοῖς πτωχοῖς, καὶ ἐνεβριμῶντο αὐτῇ. Ὁ δὲ Ἰησοῦς εἶπεν· ἄφετε αὐτήν. τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον εἰργάσατο εἰς ἐμέ. πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε δύνασθε αὐτοὺς εὖ ποιῆσαι, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. ὃ εἶχεν αὕτη ἐποίησε, προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησε αὕτη, λαληθήσεται εἰς μνημόσυνον αὐτῆς. Καὶ ὁ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτὸν αὐτοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐζήτει, πῶς εὐκαίρως αὐτὸν παραδῷ. Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ πάσχα; καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων. ἀκολουθήσατε αὐτῷ. καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ, ὅτι ὁ διδάσκαλος λέγει· ποῦ ἐστὶ τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; καὶ αὐτὸς ὑμῖν δείξει ἀνάγαιον μέγα, ἐστρωμένον ἕτοιμον, ἐκεῖ ἑτοιμάσατε ἡμῖν. καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἦλθον εἰς τὴν πόλιν. καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα. καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς· ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ' ἐμοῦ. Οἱ δὲ ἤρξαντο λυπεῖσθαι, καὶ λέγειν αὐτῷ· εἷς κατ' εἷς· μήτι ἐγώ; καὶ ἄλλος, μήτι ἐγώ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· εἷς ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον. Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ. Οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, εὐλογήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. καὶ λαβὼν τὸ ποτήριον, εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. καὶ εἶπεν αὐτοῖς· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γενήματος τῆς ἀμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πέλα, ἕως ϛ ἡμέρας ἐκείνης, ὅτ' ἀὐτὸ πίνω καινὸν γὸ τῇ βασιλείᾳ τ̃ θεσ̃. καὶ ὑμνήσαντες ἐξ
ἤλθομ εἰς τὸ ὄρ@ τ̃ ἐλαιῶν. ⸫ λέγ{ αὐτοῖς ὁ Ιησ̃ς· ὅτι πάντες σκανδαλισθήσεσθε γὸ ἐμοὶ
γὸ τῇ νυκτὶ ταύτῃ. ὅτι γέγραπται· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβα-
τα, ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν γαλιλαίαν. ὁ δὲ πέτρ@ ἔφη αὐτῷ· καὶ
εἰ πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ. καὶ λέγει αὐτῷ ὁ Ιησ̃ς· ἀμὴν λέγω σοι, ὅτι σή-
μερον γὸ τῇ νυκτὶ ταύτῃ, πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. ὁ δὲ ἐκ περισσοῦ
ἔλεγε μᾶλλον· ἐάν με δέῃ συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσομαι. ὡσαύτως δὲ καὶ πάντες
ἔλεγον. Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα γεθσημανεί. καὶ λέγει τοῖς μαθηταῖς αὐτ̃· καθί-
σατε ὧδε ἕως ἀπελθὼν προσεύξωμαι. καὶ παραλαμβάνει τὸν πέτρον καὶ τὸν ἰάκωβον καὶ ἰωάν-
νην μεθ' ἑαυτ̃, καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν. καὶ λέγει αὐτοῖς· περίλυπός ἐστιν ἡ
ψυχή μ ἕως θανάτ. μείνατε ὧδε, καὶ γρηγορεῖτε. Καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ τ̃ γῆς,
καὶ προσήυχ@, ἵνα εἰ δυνατόν ἐστι παρέλθῃ ἀπ' αὐτ̃ ἡ ὥρα. καὶ ἔλεγεν· ἄββα ὁ πατήρ, πάντα
δυνατά σοι, παρένεγκε τὸ ποτήριον ἀπ' ἐμ τ̃τον. ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ. Καὶ ἔρχεται
καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τ̃ πέτρῳ· Σίμων καθεύδεις; οὐκ ἴσχυσας μίαν
ὥραν γρηγορῆσαι; γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. Τὸ μὲν πνεῦ-
μα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. καὶ πάλιν ἀπελθὼν προσηύξατ@, τὸν αὐτὸν λόγον εἰπών. καὶ
ὑποστρέψας εὗρεν αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτ̃ν βεβαρυμμένοι, καὶ
οὐκ ἤδεσαν τί αὐτῷ ἀποκριθῶσι. καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς· καθεύδετε τὸ λοι-
πὸν, καὶ ἀναπαύεσθε. ἀπέχει, ἦλθεν ἡ ὥρα, ἰδοὺ παραδίδοται ὁ υἱὸς τ̃ ἀνθρώπ εἰς τὰς χεῖ-
ρας τ̃ν ἁμαρτωλῶν. ἐγείρεσθε, ἄγωμεν. ἰδοὺ ὁ παραδιδούς με ἤγγικε. ⸫ εὐθέως ἔτι αὐτ̃ λα-
λοῦντ@ παραγίνεται Ἰούδας εἷς ὢν τ̃ δώδεκα, καὶ μετ' αὐτ̃ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ
ξύλων παρὰ τ̃ν ἀρχιερέων καὶ τ̃ν γραμματέων καὶ τ̃ν πρεσβυτέρων. ἐδεδώκει δὲ ὁ παραδι-
δοὺς αὐτὸν σύσσημον αὐτοῖς, λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτὸν, καὶ ἀπαγάγετε
ἀσφαλῶς. καὶ ἐλθὼν, εὐθέως προσελθὼν αὐτῷ, λέγει αὐτῷ· ῥαββεὶ ῥαββεί, καὶ κατεφίλησεν
αὐτόν. οἱ δὲ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας αὐτ̃ν, καὶ ἐκράτησαν αὐτόν. Εἷς δέ τις τ̃ παρε-
στηκότων σπασάμενος τὴν μάχαιραν, ἔπαισε τὸν δοῦλον τ̃ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτ̃ τὸ
ὠτίον. καὶ ἀποκριθεὶς ὁ Ιησ̃ς, εἶπεν αὐτοῖς· ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων
συλλαβεῖν με, καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τ̃ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με. ἀλλ'
ἵνα πληρωθῶσιν αἱ γραφαί. καὶ ἀφέντες αὐτὸν πάντες ἔφυγον. καὶ εἷς νεανίσκος ἠκολού-
θει αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνῷ, καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι· ὁ δὲ καταλι-
πὼν τὴν σινδόνα, γυμνὸς ἔφυγεν ἀπ' αὐτ̃ν. καὶ ἀπήγαγον τὸν Ιησ̃ν πρὸς τὸν ἀρχιερέα, καὶ
συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς. καὶ ὁ πέτρος
ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ, ἕως ἔσω εἰς τὴν αὐλὴν τ̃ ἀρχιερέως, καὶ ἦν συγκαθήμενος
μετὰ τ̃ν ὑπηρετ̃ν, καὶ θερμαινόμενος πρὸς τὸ φῶς. Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζή-
τουν κατὰ τ̃ Ιησ̃ μαρτυρίαν, εἰς τὸ θανατῶσαι αὐτόν, καὶ οὐχ εὕρισκον. πολλοὶ γὰρ ἐψευδομαρ-
τύρουν κατ' αὐτ̃, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. καί τινες ἀναστάντες ἐψευδομαρτύρουν
κατ' αὐτ̃ λέγοντες· ὅτι ἡμεῖς ἠκούσαμεν αὐτ̃ λέγοντ@, ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον
τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. καὶ οὐδὲ οὕτως ἴσαι
ἦσαν αἱ μαρτυρίαι αὐτ̃ν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς τὸ μέσον, ἐπηρώτησε τὸν Ιησοῦν λέγων·
οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ ἐσιώπα, καὶ οὐδὲν ἀπεκρίνατο. πάλι-
ν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν, καὶ λέγει αὐτῷ· σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τ̃ εὐλογητ̃; Ο δὲ Ἰησοῦς
εἶπεν, ἐγώ εἰμι. καὶ ὄψεσθε τὸν υἱὸν τ̃ ἀνθρώπ καθήμενον ἐκ δεξιῶν τ̃ δυνάμεως, καὶ ἐρχό-
μενον μετὰ τ̃ν νεφελῶν τ̃ οὐρανοῦ. Ο δὲ ἀρχιερεὺς διαῤῥήξας τοὺς χιτῶνας αὐτ̃, λέγει· Τί
ἔτι χρείαν ἔχομεν μαρτύρων; ἠκούσατε τ̃ βλασφημίας. τί ὑμῖν φαίνεται; οἱ δὲ πάντες κατέκριναν αὐτὸν εἶναι ἔνοχον θανάτου. καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ, καὶ περικαλύπτειν τὸ
πρόσωπον αὐτ̃, καὶ κολαφίζειν αὐτὸν, καὶ λέγειν αὐτῷ· προφήτευσον. καὶ οἱ ὑπηρέται ῥαπί-
σμασιν αὐτὸν ἔβαλλον. Καὶ ὄντ@ τ̃ πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται μία τ̃ν παιδισκῶν
τ̃ ἀρχιερέως, καὶ ἰδοῦσα τὸν πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ λέγει· καὶ σὺ μετὰ
τ̃ ναζαρηνοῦ Ἰησοῦ ἦσθα; Ο δὲ ἠρνήσατο, λέγων· οὐκ οἶδα, οὐδὲ ἐπίσταμαι τί λέγεις. καὶ ἐξῆλθεν
ἔξω εἰς τὸ προαύλιον, καὶ ἀλέκτωρ ἐφώνησε. καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν, πάλιν ἤρξατο λέ-
γειν τοῖς παρεστηκόσιν· ὅτι οὗτ@ ἐξ αὐτ̃ν ἐστίν. ὁ δὲ πάλιν ἠρνεῖτο. καὶ μετὰ μικρὸν πάλιν οἱ
παρεστῶτες ἔλεγον τῷ πέτρῳ· ἀληθῶς ἐξ αὐτ̃ν εἶ, καὶ γὰρ γαλιλαῖ@ εἶ, καὶ ἡ λαλιά σου ὁμοιά-
ζει. ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. καὶ ἐκ
δευτέρου ἀλέκτωρ ἐφώνησε. Καὶ ἀνεμνήσθη ὁ πέτρ@ τὸ ῥ̃μα ὡς εἶπεν αὐτῷ ὁ Ιησ̃ς· ὅτι
πρὶν ἀλέκτορα φωνῆσαι δὶς, ἀπαρνήσῃ με τρίς· καὶ ἐπιβαλὼν ἔκλαιε.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 15.

Καὶ σύθεως ὠῒ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν τῷ Πιλάτῳ. καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλᾶτος· σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· σὺ λέγεις. καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά. ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτησεν αὐτὸν, λέγων· οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε πόσα σου κατηγοροῦσιν. ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλᾶτον. Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον ὃν παρῃτοῦντο. Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς, μετὰ τῶν συστασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον ἐπεποιήκεισαν. καὶ ἀναβοήσας ὁ ὄχλος, ἤρξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς. ὁ δὲ Πιλᾶτος ἀπεκρίθη αὐτοῖς, λέγων· Θέλετε ἀπολύσω ὑμῖν τὸν Βασιλέα τῶν Ἰουδαίων; ἐγίνωσκε γάρ, ὅτι διὰ φθόνον παρεδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. Οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. Ὁ δὲ Πιλᾶτος ἀποκριθεὶς πάλιν, εἶπεν αὐτοῖς· τί οὖν θέλετε ποιήσω, ὃν λέγετε Βασιλέα τῶν Ἰουδαίων; Οἱ δὲ πάλιν ἔκραξαν, σταύρωσον αὐτόν. Ὁ δὲ Πιλᾶτος ἔλεγεν αὐτοῖς· τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσοτέρως ἔκραξαν, σταύρωσον αὐτόν. Ὁ δὲ Πιλᾶτος βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδωκε τὸν Ἰησοῦν φραγελλώσας, ἵνα σταυρωθῇ. Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν, καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· Χαῖρε Βασιλεῦ τῶν Ἰουδαίων. Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ. καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ ἐξέδυσαν αὐτῷ τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια. Καὶ ἐξάγουσιν αὐτόν, ἵνα σταυρώσωσιν αὐτόν. καὶ ἀγγαρεύουσι παράγοντά τινα σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμενον, Κρανίου τόπος. καὶ ἐδίδουν αὐτῷ πιεῖν ὠσμυρνισμένον οἶνον. ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτὸν, διεμερίζοντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτὰ, τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. καὶ ἐπληρώθη ἡ γραφὴ, ἡ λέγουσα· καὶ μετὰ ἀνόμων ἐλογίσθη. καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· οὐαὶ ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτὸν, καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως καὶ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ χριστὸς ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν. Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν, ἕως ὥρας ἐνάτης. Καὶ τῇ ὥρᾳ τῇ ἐνάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· ἐλωΐ, ἐλωΐ λαμὰ σαβαχθανί. ὅ ἐστι μεθερμηνευόμενον· ὁ θεός μου, ὁ θεός μου, εἰς τί με ἐγκατέλιπες; καὶ τινες τῶν παρεστηκότων ἀκούσαντες, ἔλεγον· ἰδοὺ Ἠλίαν φωνεῖ. Δραμὼν δέ τις, καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτὸν, λέγων· ἄφετε, ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσε. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπ' ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ κεντυρίων, ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτως κράξας ἐξέπνευσεν, εἶπεν· ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν θεοῦ. Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς καὶ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰακώβου τοῦ μικροῦ, καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη, αἵ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ, καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα. καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή, ὅ ἐστι προσάββατον, ἦλθεν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας εὐσχήμων βουλευτὴς, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλᾶτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. ὁ δὲ Πιλᾶτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκε. καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν, εἰ πάλαι ἀπέθανε. καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. Καὶ ἀγοράσας σινδόνα, καὶ καθελὼν αὐτὸν ἐνείλησε τῇ σινδόνι. καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ προσκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. Ἦν δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται.

ΚΕΦΑΛ. 16.

Καὶ διαγενομένου τοῦ Σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰακώβου, καὶ Σαλώμη, ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἔλεγον πρὸς ἑαυτάς· τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος. ἦν γὰρ μέγας σφόδρα. καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σλεξιοῖς, πρὸς βεβλημένον σολλὰ λόγκιν, καὶ ἐξεθαμβήθησαν. ὁ δὲ λέγει αὐτοῖς· μὴ ἐκθαμβεῖ
σθε. Ἰησοῦν ζητεῖτε τὸν ναζαρηνὸν τὸν ἐσταυρωμένον. ἠγέρθη, οὐκ ἔστιν ὧδε. ἴδε ὁ τόπος ὅπου
ἔθηκαν αὐτόν. ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ πέτρῳ, ὅτι προάγει ὑμᾶς
εἰς τὴν γαλιλαίαν. ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. καὶ ἐξελθοῦσαι ταχὺ ἔφυγον ἀπὸ τοῦ
μνημείου. εἶχεν δὲ αὐτὰς τρόμος, καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ. Ἀναστὰς
πρωῒ πρώτῃ σαββάτου, ἐφάνη πρῶτον μαρίᾳ τῇ μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμό
νια. ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. κἀκεῖνοι
ἀκούσαντες, ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦ
σιν, ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν
τοῖς λοιποῖς, οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὑστερον αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, κα
θιζομένοις τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον
οὐκ ἐπίστευσαν. καὶ εἶπεν αὐτοῖς· πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέ
λιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται.
σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι
γλώσσαις λαλήσουσι καιναῖς, ὄφεις ἀροῦσι, κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλά
ψει. ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν κύριος μετὰ τὸ λαλῆ
σαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ. ἐκεῖνοι δὲ ἐξελ
θόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν
ἐπακολουθούντων σημείων.

Εὐαγγελίου τοῦ Μάρκου, τέλος. 1840

ΒΙΟΣ ΤΟΥ ΛΟΥΚΑ ΚΑΤΑ ΣΩΦΡΟΝΙΟΝ.

Λουκᾶς ἰατρὸς ἀντιοχεύς, καθὼς τὰ συγγράμματα αὐτοῦ δηλοῖ, τῇ ἑλληνικῇ οὐκ ἄπει
ρος, ἀποστόλου παύλου ἀκόλουθος, καὶ πάσης αὐτοῦ σχεδὸν ἀποστολῆς ἀκόλουθος. σωτὴρ
ἡμῶν ἐν σαρκὶ ὀφθεὶς, περὶ οὗ αὐτὸς παῦλος· ἀπεστείλατο, φησι, σὺν αὐτῷ τὸν ἀδελφόν, οὗ
ἔπαινος ἐν τῷ εὐαγγελίῳ τῇ πάσας τὰς ἐκκλησίας. καὶ πρὸς τοὺς κολοσσαεῖς· ἀσπάζεται
ὑμᾶς λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός. καὶ πρὸς τιμόθεον· λουκᾶς ἐστι μετ' ἐμοῦ μόνος. Καὶ ἑτέρω
δὲ ἐξελιπετοῦς ἁγίοις, ὧν γράφω πράξεις ἀποστόλων, οὗ ἡ ἱστορία ἕως σχεδὸν τῆς ἐν
γόντος ἐν τῇ ῥώμῃ παύλου ἐκτείνεται, τουτέστιν, ἕως τετάρτου νόρωνος γενομένου. ἀφ' ὧν πε
πείσμεθα, ἐν τῇ αὐτῇ πόλει τὴν βίβλον συντετάχθαι. Ἡ γὰρ πρόσθεν παύλου καὶ θέκλας,
καὶ πᾶς ὁ μῦθος ὡσανεὶ λέοντος βαπτισθέντος, εἰς τὰς ἀποκρύφους γραφὰς ἀναβιβάσεται.
Οὐδὲ γὰρ ἐνεχώρει τὸν ἀχώριστον τῶν ἀποστόλων, μεταξὺ τῶν λοιπῶν αὐτῶν πράξεων τοῦτο ἀγνοηθῆναι,
Ἀλλὰ καὶ τερτυλλιανὸς κατ' ἐκεῖνον τὸν χρόνον ἀναφορὰν ποιούμενός τινα ἐν ἀσίᾳ, ἀποστα
σίαν παύλου ἀποστόλου, ἐλεγχθέντα ὑπὸ ἰωάννου, οἷα παρ' αὐτοῦ συντεταγείσης βίβλου, ὁμολογη
θῆναι φίλτρου κατεχόμενον παύλου, τοῦτο ποιοῦντα, διὸ καὶ ἐκβεβλῆσθαι τοῦτον τῶν τινες ἀπο
λαμβάνουσιν. Οσάκις γὰρ παῦλος ἐν ταῖς οἰκείαις ἐπιστολαῖς λέγῃ, τὸ εὐαγγέλιόν μου, σημαί
νων ὡς περὶ τοῦ τούτου τὸ τῇ λουκᾶ σημαίνει. καὶ λουκᾶ οὐ μόνον παρὰ τοῦ ἀποστόλου παύλου
μεμαθηκέναι τὸ εὐαγγέλιον, οἷα μετὰ τοῦ κυρίου πλεικάτα ἐν τῷ σώματι μὴ γενομένου, ἀλλὰ
καὶ παρὰ τῶν λοιπῶν ἀποστόλων, ὅπερ καὶ αὐτὸς ἐν τῇ ἀρχῇ τοῦ ἰδίου συντάγματος προφανῶς
λέγει· καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται. Τοιγαροῦν τὸ εὐαγγέλιον καθὼς ἀκήκοεν
ἔγραψε, τὰς δὲ πράξεις τῶν ἀποστόλων, καθ' ἃ ἱστόρησεν αὐτὸς, συνέταξεν. ἀπέθανε δὲ ἐν ἐφέσῳ,
ἐν ᾗ ἐνέχθη τὰ λείψανα αὐτοῦ, ἐν ἀπετέθη ἐν κωνσταντινουπόλει, εἰς ἣν πόλιν τῷ εἰκο-
στῷ κωνσταντίου ἐνιαυτῷ, ἐκ τόπου σῶμα μετὰ τῶν λειψάνων
αὐθρίως τοῦ ἀποστόλου μετενέχθη.

ΕΥΑΓΓΕΛΙΟΝ

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ.

ΚΕΦΑΛ. ι.

Γειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι κράτιστε Θεόφιλε, ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ Βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι, καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθ' ὅτι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δέ, ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου, καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· μὴ φοβοῦ Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σε, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην, καὶ ἔσαι χαρά σοι, καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. ἔσαι γὰρ μέγας ἐνώπιον Κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ. καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει πρὸς Κύριον τὸν Θεὸν αὐτῶν. καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. καὶ ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῷ· ἐγώ εἰμι Γαβριὴλ, ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρός σε, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν, καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ. ἐξελθὼν δὲ οὐκ ἐδύνατο λαλῆσαι αὐτοῖς. καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ. καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμεινε κωφός. καὶ ἐγένετο, ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· ὅτι οὕτως μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲθ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαβίδ, καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν, εἶπεν· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξίν. ἡ δὲ ἰδοῦσα, διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ. καὶ διελογίζετο, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· μὴ φοβοῦ Μαριὰμ, εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. οὗτος ἔσαι μέγας, καὶ υἱὸς Ὑψίστου κληθήσεται. καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς Βασιλείας αὐτοῦ οὐκ ἔσαι τέλος. Εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· πῶς ἔσαι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῇ· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς Θεοῦ. καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς. καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ, ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Εἶπεν δὲ Μαριὰμ· ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος. Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. καὶ ἐγένετο, ὡς ἤκουσεν Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς. καὶ ἐπλήσθη πνεύματος ἁγίου Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσαι τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. καὶ εἶπε Μαριάμ·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μεγαλυνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς καὶ γενεάς, τοῖς φοβουμένοις αὐτόν. ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. καθεῖλεν δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους. καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα. ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν. καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ, ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν· οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης. καὶ εἶπον πρὸς αὐτήν, ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου, ὃς καλεῖται τῷ ὀνόματι τούτῳ. ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν. καὶ αἰτήσας πινακίδιον ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. καὶ ἐθαύμασαν πάντες. ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ. καὶ ἐλάλει εὐλογῶν τὸν θεόν. καὶ ἐγένετο ἐπὶ πάντας φόβος, τοὺς περιοικοῦντας αὐτούς, καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες· τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; καὶ χεὶρ κυρίου ἦν μετ' αὐτοῦ. καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου, καὶ προεφήτευσε, λέγων· Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς, ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν, ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ. προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, ἐν οἷς ἐπισκέψεται ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

ΚΕΦΑΛ. 2.

Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθε δόγμα παρὰ Καίσαρος αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲθ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικί, οὔσῃ ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· μὴ φοβεῖσθε. ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι χριστὸς κύριος, ἐν πόλει Δαβίδ. καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν φάτνῃ. καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν θεὸν, καὶ λεγόντων· δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους· Διέλθωμεν δὴ ἕως Βηθλεέμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν. καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ. ἰδόντες δὲ, διεγνώρισαν περὶ τοῦ ῥήματος, τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ ὑπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν, οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς. καὶ ὅτε ἐπλήσθη-

σαν

σαν ἡμέρας ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον μωσέως, ἀνήγαγον αὐτὸν εἰς ἱεροσόλυμα, παραστῆσαι τῷ κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ κυρίου· ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται. καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν ἱερουσαλὴμ, ᾧ ὄνομα συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τοῦ ἰσραήλ, καὶ πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν. καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἴδῃ χριστὸν κυρίου. καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν. καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν θεὸν, καὶ εἶπεν· Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου ἰσραήλ. καὶ ἦν ὁ πατὴρ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες, ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ, καὶ εὐλόγησεν αὐτοὺς συμεών, καὶ εἶπε πρὸς μαριὰμ τὴν μητέρα αὐτοῦ· ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. καὶ ἦν ἄννα προφῆτις θυγάτηρ φανουὴλ ἐκ φυλῆς ἀσήρ, αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς. καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νυκτὸς καὶ ἡμέρας. καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν ἱερουσαλήμ. καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον κυρίου, ὑπέστρεψαν εἰς τὴν γαλιλαίαν εἰς πόλιν αὐτῶν ναζαρέθ. τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό. Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα. καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβαόντων αὐτῶν εἰς ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν ἱερουσαλὴμ, καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ, νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδόν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν, καὶ ἐν τοῖς γνωστοῖς. καὶ μὴ εὑρόντες αὐτὸν, ὑπέστρεψαν εἰς ἱερουσαλὴμ, ζητοῦντες αὐτόν. Καὶ ἐγένετο μεθ' ἡμέρας τρεῖς, εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθιζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. καὶ ἰδόντες αὐτὸν, ἐξεπλάγησαν. καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. καὶ εἶπε πρὸς αὐτούς· τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς ναζαρέθ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι, παρὰ θεῷ καὶ ἀνθρώποις.

ΚΕΦΑΛ. γ.

ΕΝ ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας τιβερίου καίσαρος, ἡγεμονεύοντος ποντίου πιλάτου τῆς ἰουδαίας, καὶ τετραρχοῦντος τῆς γαλιλαίας ἡρῴδου, φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς ἰτουραίας καὶ τραχωνίτιδος χώρας, καὶ λυσανίου τῆς ἀβιληνης τετραρχοῦντος, ἐπ' ἀρχιερέως ἄννα καὶ καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ ἰωάννην τὸν τοῦ ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. Καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται ἐν βίβλῳ λόγων ἡσαΐου τοῦ προφήτου, λέγοντος· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ. ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρπὸς ἄξιος τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· πατέρα ἔχομεν τὸν ἀβραάμ. λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. πᾶν οὖν δένδρον, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες· τί οὖν ποιήσωμεν; ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω. ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν· διδάσκαλε, τί ποιήσωμεν; ὁ δὲ

εἶπεν

εἶπε πρὸς αὐτούς· μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. ἐπερωτῶν δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· καὶ ἡμεῖς τί ποιήσομεν; καὶ εἶπε πρὸς αὐτούς· μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ χριστός, ἀπεκρίνατο ὁ Ἰωάννης, ἅπασι λέγων· Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. οὗ τὸ πτύον ἐν χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν, εὐηγγελίζετο τὸν λαόν. Ὁ δὲ Ἡρῴδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ' αὐτοῦ περὶ Ἡρῳδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ Ἡρῴδης, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαόν, καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανόν, καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ' αὐτόν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν· σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα. καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος ὤν, ὡς ἐνομίζετο, υἱὸς Ἰωσήφ, τοῦ Ἡλεί, τοῦ Μαθάτ, τοῦ Λευΐ, τοῦ Μελχί, τοῦ Ἰαννᾶ, τοῦ Ἰωσήφ, τοῦ Ματταθίου, τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἐσλί, τοῦ Ναγγαί, τοῦ Μαάθ, τοῦ Ματταθίου, τοῦ Σεμεΐ, τοῦ Ἰωσήχ, τοῦ Ἰούδα, τοῦ Ἰωαννᾶ, τοῦ Ῥησά, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ Νηρεί, τοῦ Μελχί, τοῦ Ἀδδεί, τοῦ Κωσάμ, τοῦ Ἐλμαδάμ, τοῦ Ἤρ, τοῦ Ἰησοῦ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρείμ, τοῦ Ματθάτ, τοῦ Λευΐ, τοῦ Συμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνάμ, τοῦ Ἐλιακείμ, τοῦ Μελεᾶ, τοῦ Μεννᾶ, τοῦ Ματταθᾶ, τοῦ Ναθάμ, τοῦ Δαυΐδ, τοῦ Ἰεσσαί, τοῦ Ὠβήδ, τοῦ Βοόζ, τοῦ Σαλμών, τοῦ Ναασσών, τοῦ Ἀμιναδάβ, τοῦ Ἀράμ, τοῦ Ἐσρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα, τοῦ Ἰακώβ, τοῦ Ἰσαάκ, τοῦ Ἀβραάμ, τοῦ Θαρρᾶ, τοῦ Ναχώρ, τοῦ Σερούχ, τοῦ Ῥαγαῦ, τοῦ Φαλλέκ, τοῦ Ἑβέρ, τοῦ Σαλά, τοῦ Καϊνάν, τοῦ Ἀρφαξάτ, τοῦ Σήμ, τοῦ Νῶε, τοῦ Λάμεχ, τοῦ Μαθουσάλα, τοῦ Ἐνώχ, τοῦ Ἰάρεθ, τοῦ Μαλελεήλ, τοῦ Καϊνάν, τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ.

ΚΕΦΑΛ. 4.

Ἰησοῦς δὲ πνεύματος ἁγίου πλήρης, ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς τὴν ἔρημον, ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου. καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ συντελεσθεισῶν αὐτῶν, ὕστερον ἐπείνασεν. εἶπε δὲ αὐτῷ ὁ διάβολος· εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν, λέγων· Γέγραπται, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ. καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλόν, ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου, καὶ εἶπεν αὐτῷ ὁ διάβολος· Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν. σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πάντα. καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω μου σατανᾶ. γέγραπται γάρ, προσκυνήσεις Κυρίῳ τῷ θεῷ σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ ἤγαγεν αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω. γέγραπται γάρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαί σε, καὶ ὅτι χερσὶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι εἴρηται· οὐκ ἐκπειράσεις Κύριον τὸν θεόν σου. καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος, ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ. Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν, καὶ φήμη ἐξῆλθε καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ. καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων. καὶ ἦλθεν εἰς τὴν Ναζαρέθ, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι. καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου. καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον, οὗ ἦν γεγραμμένον· Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀπόστειλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν. καὶ πτύξας τὸ βιβλίον, ἀπέδωκε τῷ ὑπηρέτῃ καὶ ἐκάθισε. καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ. ἤρξατο δὲ λέγειν πρὸς αὐτούς, ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ. καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ; καὶ εἶπε πρὸς αὐτούς· πάντως ῥηθήσεταί μοι τὴν παραβολὴν ταύτην· ἰατρὲ θεράπευσον σεαυτόν. ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. Εἶπε δέ, ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν· πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιμὸς μέγας ὐδὶ πᾶσαν τὴν γῆν, καὶ πῶς οὐδενὶ αὐτῶν ἐπέμφθη Ἠλίας, εἰ μὴ εἰς Σάρεφθα τῆς Σιδῶνος πρὸς γυναῖκα χήραν. καὶ πολλοὶ λεπροὶ ἦσαν ὐδὶ ἐλισαὶε τοῦ προφήτου ἐν τῷ Ἰσραὴλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν ὁ Σύρος. καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες ταῦτα. καὶ ἀναστάντες, ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν. αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο. Καὶ κατῆλθεν εἰς Καπερναοὺμ πόλιν τῆς Γαλιλαίας, καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι. Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος, ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ, λέγων· ἔα, τί ἡμῖν καὶ σοί Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων. Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. καὶ ἐγένετο θάμβος ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους, λέγοντες· τίς ὁ λόγος οὗτος; ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται; καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου. Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος. πενθερὰ δὲ τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς. καὶ ἐπιστὰς ἐπάνω αὐτῆς, ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν. καὶ παραχρῆμα ἀναστᾶσα, διηκόνει αὐτοῖς. Δύοντος δὲ τοῦ ἡλίου, ἅπαντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις, ἤγαγον αὐτοὺς πρὸς αὐτόν. Ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς, ἐθεράπευσεν αὐτούς. Ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κράζοντα καὶ λέγοντα· ὅτι σὺ εἶ ὁ χριστὸς ὁ ὑὸς τοῦ θεοῦ. καὶ ἐπιτιμῶν, οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ἤδεισαν τὸν χριστὸν αὐτὸν εἶναι. Γενομένης δὲ ἡμέρας, ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον, καὶ οἱ ὄχλοι ἐζήτουν αὐτὸν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν. Ὁ δὲ εἶπε πρὸς αὐτούς· ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ θεοῦ, ὅτι εἰς τοῦτο ἀπέσταλμαι. καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς τῆς Γαλιλαίας.

ΚΕΦΑΛ. ε.

Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ, καὶ ἀκούειν τὸν λόγον τοῦ θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέθ. καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην. οἱ δὲ ἁλιεῖς ἀπβάντες ἀπ' αὐτῶν, ἀπέπλυνον τὰ δίκτυα. ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον, καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ· ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον. καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ. διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν, καὶ κατένευσαν τοῖς μετόχοις, τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντες συλλαβέσθαι αὐτοῖς. καὶ ἦλθον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. Ἰδὼν δὲ Σίμων Πέτρος, προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων· ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι κύριε. Θάμβος γὰρ περιέσχεν αὐτὸν, καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων, ἣν συνέλαβον. ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα ἠκολούθησαν αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας. καὶ ἰδὼν τὸν Ἰησοῦν πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων· κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, εἰπών· θέλω, καθαρίσθητι. καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ. καὶ αὐτὸς παρήγγειλεν αὐτῷ, μηδενὶ εἰπεῖν, ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς. Διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν, καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν. αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ προσευχόμενος. καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων. καὶ ἦσαν καθήμενοι φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἱερουσαλὴμ, καὶ δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς. Καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν, καὶ θεῖναι ἐνώπιον αὐτοῦ. καὶ μὴ εὑρόντες διὰ ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ· ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, λέγοντες· τίς ἐστιν οὗτος, ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἀφεῖναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεός; ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, ἔγειραι καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλυτικῷ· σοὶ λέγω, ἔγειραι, καὶ ἆρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου. καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἆρας ἐφ' ὃ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν θεόν. καὶ ἔκστασις ἔλαβεν ἅπαντας, καὶ ἐδόξαζον τὸν θεόν, καὶ ἐπλήσθησαν φόβου, λέγοντες· ὅτι εἴδομεν παράδοξα σήμερον. Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην, ὀνόματι Λευείν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ· ἀκολούθει μοι. καὶ καταλιπὼν ἅπαντα, ἀναστὰς, ἠκολούθησεν αὐτῷ. καὶ ἐποίησε δοχὴν μεγάλην Λευεὶς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ ἦν ὄχλος τελωνῶν πολὺς, καὶ ἄλλων, οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι. καὶ ἐγόγγυζον οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες· διὰ τί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτούς· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. οἱ δὲ εἶπον πρὸς αὐτόν· διὰ τί οἱ μαθηταὶ Ἰωάννου νηστεύουσι πυκνὰ, καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν; ὁ δὲ εἶπε πρὸς αὐτούς· μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι, ποιῆσαι νηστεύειν; ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅτ' ἂν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς· ὅτι οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ῥάπτει ἐπὶ ἱμάτιον παλαιόν. εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίζει, καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ τὸ ἐπίβλημα ἀπὸ τοῦ καινοῦ. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, εἰ δὲ μήγε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκοὺς, καὶ αὐτὸς ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται. καὶ οὐδεὶς πιὼν παλαιὸν, εὐθέως θέλει νέον. λέγει γάρ, ὁ παλαιὸς χρηστότερός ἐστιν.

ΚΕΦΑΛ. 6.

Ἐγένετο δὲ, ἐν σαββάτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων. καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ ἤσθιον, ψώχοντες ταῖς χερσί. τινες δὲ τῶν φαρισαίων εἶπον αὐτοῖς· τί ποιεῖτε, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι; καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς· οὐδὲ τοῦτο ἀνέγνωτε, ὃ ἐποίησε Δαβὶδ, ὁπότε ἐπείνασεν αὐτὸς, καὶ οἱ μετ' αὐτοῦ ὄντες; ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ' αὐτοῦ, οὓς οὐκ ἔξεστι φαγεῖν, εἰ μὴ μόνους τοὺς ἱερεῖς; καὶ ἔλεγεν αὐτοῖς, ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου. Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ, εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν, καὶ διδάσκειν. Καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. παρετήρουν δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν κατ' αὐτοῦ. αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν, καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· ἔγειραι, καὶ στῆθι εἰς τὸ μέσον. ὁ δὲ ἀναστὰς ἔστη. εἶπε δὲ ὁ Ἰησοῦς πρὸς αὐτούς· ἐπερωτήσω ὑμᾶς, τί ἔξεστι τοῖς σάββασι, ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀπολέσαι; καὶ περιβλεψάμενος πάντας αὐτοὺς, εἶπε τῷ ἀνθρώπῳ, ἔκτεινον τὴν χεῖρά σου. ὁ δὲ ἐποίησε, καὶ ἀπεκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη. αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ. Καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ. καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε, Σίμωνα, ὃν καὶ ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν τοῦ ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον, Ματθαῖον καὶ Θωμᾶν, Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Σίμωνα τὸν καλούμενον ζηλωτὴν, Ἰούδαν Ἰακώβου, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ ἐγένετο προδότης. καὶ καταβὰς μετ' αὐτῶν, ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἰερουσαλὴμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ἀφορίζωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ σκιρτήσατε, ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν. πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε. οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε. Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. ἀλλ' ὑμῖν λέγω τοῖς ἀκούουσιν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς,

εὐλογεῖτε

εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει. καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν. καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστίν; καὶ γὰρ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα. πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε. ἀπολύετε, καὶ ἀπολυθήσεσθε. δίδοτε, καὶ δοθήσεται ὑμῖν. μέτρον καλὸν πεπιεσμένον, καὶ σεσαλευμένον, καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν. τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. εἶπε δὲ παραβολὴν αὐτοῖς· μή τι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται; οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ, κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς; ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου, ἀδελφέ· ἄφες ἐκβαλῶ τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; ὑπόκριτα, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου. δένδρον γάρ ἐστιν καλὸν, ποιοῦν καρπὸν σαπρόν· δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλόν. ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται. οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν. Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν. καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν. ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ. Τί δέ με καλεῖτε, Κύριε Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; Πᾶς ὁ ἐρχόμενος πρός με, καὶ ἀκούων μου τοὺς λόγους, καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος. ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν. πλημμύρας δὲ γενομένης, προσέρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσε σαλεῦσαι αὐτὴν, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. ὁ δὲ ἀκούσας, καὶ μὴ ποιήσας, ὁμοίος ἐστὶν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου, ᾗ προσέρηξεν ὁ ποταμὸς, καὶ εὐθέως ἔπεσε, καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.

ΚΕΦΑΛ. ζ.

Ἐπεὶ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ. ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων, ἤμελλε τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτὸν, ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες ὅτι ἄξιός ἐστιν ᾧ παρέξει τοῦτο· ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους, λέγων αὐτῷ· Κύριε, μὴ σκύλλου· οὐ γὰρ ἱκανός εἰμι ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλθῃς. διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν, ἀλλὰ εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου· ποίησον τοῦτο, καὶ ποιεῖ. ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν. καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε· λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον, εὗρον τὸν δοῦλον ὑγιαίνοντα. Καὶ ἐγένετο ἐν τῷ ἑξῆς ἐπορεύετο εἰς πόλιν καλουμένην Ναΐν, καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς. ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὐτὴ ἦν χήρα, καὶ ὄχλος τῆς πόλεως ἱκανὸς σὺν αὐτῇ. καὶ ἰδὼν αὐτὴν ὁ Κύριος, ἐσπλαγχνίσθη ἐπ' αὐτῇ, καὶ εἶπεν αὐτῇ· μὴ κλαῖε. καὶ προσελθὼν ἥψατο τῆς σοροῦ· οἱ δὲ βαστάζοντες ἔστησαν, καὶ εἶπε· νεανίσκε, σοὶ λέγω ἐγέρθητι. καὶ ἀνεκάθισεν ὁ νεκρὸς, καὶ ἤρξατο λαλεῖν, καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. ἔλαβε δὲ φόβος πάντας, καὶ ἐδόξαζον τὸν θεὸν, λέγοντες, ὅτι προφήτης μέγας ἠγέρθη ἐν ἡμῖν, καὶ ὅτι ἐπεσκέψατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ. καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ. καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. Καὶ προσκαλεσάμενός τινας τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπεμψε πρὸς τ̃ Ιησοῦν, λέγων· Σὺ εἶ ὁ ὀρχόμενος, ἢ ἄλλον προσδοκῶμεν; Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες, εἶπον· Ἰωάννης ὁ Βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρός σε, λέγων· σὺ εἶ ὁ ὀρχόμενος, ἢ ἄλλον προσδοκῶμεν; Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων, καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. καὶ ἀποκριθεὶς ὁ Ιησοῦς, εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ εἴδετε καὶ ἠκούσατε, ὅτι τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται, καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου· Τί ἐξήλθατε εἰς τὴν ἔρημον θεάσασθαι; μὴ κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδοὺ οἱ ἐν ἱματισμῷ ἐνδόξῳ, καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις εἰσίν. ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; προφήτην; Ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. οὗτός ἐστι περὶ οὗ γέγραπται· ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. λέγω γὰρ ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τ̃ βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, μείζων αὐτοῦ ἐστι. καὶ πᾶς ὁ λαὸς ἀκούσας, καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου. Οἱ δὲ φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ θεοῦ ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ. εἶπε δὲ ὁ κύριος· Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης, καὶ τίνι εἰσὶν ὅμοιοι; ὅμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις, καὶ προσφωνοῦσιν ἀλλήλοις, καὶ λέγουσιν· ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκλαύσατε. ἐλήλυθε γὰρ Ἰωάννης ὁ Βαπτιστής, μήτε ἄρτον ἐσθίων, μή τε οἶνον πίνων, καὶ λέγετε· δαιμόνιον ἔχει. ἐλήλυθεν ὁ υἱὸς τ̃ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε· ἴδε ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων. Ἠρώτα δέ τις αὐτὸν τῶν φαρισαίων, ἵνα φάγῃ μετ' αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ φαρισαίου ἀνεκλίθη. Καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός, ὡς ἐγνωκυῖα ὅτι κατάκειται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τοῖς μύρῳ. ἰδὼν δὲ ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, λέγων· οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἄν, τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. Καὶ ἀποκριθεὶς ὁ Ιησοῦς, εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δέ φησι· διδάσκαλε, εἰπέ. Δύο χρεοφειλέται ἦσαν δανειστῇ τινί, ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν εἰπέ, πλεῖον αὐτὸν ἀγαπήσει; Ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπεν· ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. Ὁ δὲ εἶπεν αὐτῷ· ὀρθῶς ἔκρινας. καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· Βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ μοι ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας, αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. Φίλημά μοι οὐκ ἔδωκας, αὕτη δὲ ἀφ' ἧς εἰσῆλθον, οὐ διέλειπε καταφιλοῦσά μου τοὺς πόδας. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας, αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ. ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. Εἶπε δὲ αὐτῇ, ἀφέωνταί σοι αἱ ἁμαρτίαι. καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· τίς οὗτός ἐστιν, ὃς καὶ ἁμαρτίας ἀφίησιν; εἶπε δὲ πρὸς τὴν γυναῖκα· ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

ΚΕΦΑΛ. η.

Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην κηρύσσων, καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ θεοῦ, καὶ οἱ δώδεκα σὺν αὐτῷ. καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν, Μαρία ἡ καλουμένη Μαγδαλωνὴ, ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει, καὶ Ἰωάννα γυνὴ Χουζᾶ, ἐπιτρόπου Ἡρῴδου, καὶ Σουσάννα, καὶ ἕτεραι πολλαί, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς. Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν, εἶπε διὰ παραβολῆς· Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ, καὶ ἐν τῷ σπείρειν αὐτὸν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό. καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα. Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα. ταῦτα λέγων ἐφώνει· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· τίς εἴη ἡ παραβολὴ αὕτη. Ὁ δὲ εἶπεν· ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν. ἔστι δὲ αὕτη ἡ παραβολή. Ὁ σπόρος ἐστὶν ὁ λόγος τ̃ θεοῦ.

τοῦ θεοῦ. Οἱ δὲ παρὰ τὴν ὁδὸν, εἰσὶν οἱ ἀκούοντες, εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν. Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἵτινες ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον, καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἵτινες πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν, οἵτινες ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου, καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι. Τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν, οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ. Οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς. Οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται, οὐδὲ ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ. Βλέπετε οὖν πῶς ἀκούετε. Ὃς γὰρ ἐὰν ἔχῃ, δοθήσεται αὐτῷ. καὶ ὃς ἐὰν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ. Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. καὶ ἀπηγγέλθη αὐτῷ λεγόντων· ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες. Ὁ δὲ ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον, καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ εἶπε πρὸς αὐτούς· Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης, καὶ ἀνήχθησαν. Πλεόντων δὲ αὐτῶν ἀφύπνωσε, καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην, καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον. Προσελθόντες δὲ διήγειραν αὐτὸν, λέγοντες· Ἐπιστάτα, ἀπολλύμεθα. Ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη. Εἶπε δὲ αὐτοῖς· Ποῦ ἐστιν ἡ πίστις ὑμῶν; Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν; ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει, καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ; Καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἥ ἐστιν ἀντίπορα τῆς Γαλιλαίας. Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ' ἐν τοῖς μνήμασι. Ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ ἀνακράξας προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε· Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου; Δέομαί σου μή με βασανίσῃς. Παρήγγειλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου. πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτὸν, καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος, καὶ διαῤῥήσσων τὰ δεσμὰ, ἠλαύνετο ὑπὸ τοῦ δαιμονίου εἰς τὰς ἐρήμους. Ἐπηρώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων· Τί σοί ἐστιν ὄνομα; Ὁ δὲ εἶπε· Λεγεών, ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν. καὶ παρεκάλουν αὐτὸν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει. καὶ παρεκάλουν αὐτὸν, ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν, καὶ ἐπέτρεψεν αὐτοῖς. Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθεν εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην, καὶ ἀπεπνίγη. Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγονὸς ἔφυγον, καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν, καὶ εἰς τοὺς ἀγρούς. Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός. καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦντα, παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐφοβήθησαν. ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ ἰδόντες, πῶς ἐσώθη ὁ δαιμονισθείς. καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν, ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο. Αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον, ὑπέστρεψεν. ἐδεῖτο δὲ αὐτοῦ ὁ ἀνὴρ, ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐτῷ. ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς λέγων· Ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ θεός. Καὶ ἀπῆλθε καθ' ὅλην τὴν πόλιν κηρύσσων, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς. Ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος· ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν. Καὶ ἰδοὺ ἦλθεν ἀνὴρ, ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων ἦν συναγωγῆς ὑπῆρχε. καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ. ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὐτὴ ἀπέθνῃσκεν. ἐν δὲ τῷ ὑπάγειν αὐτὸν, οἱ ὄχλοι συνέπνιγον αὐτόν. Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις εἰς ἰατροὺς προσαναλώσασα ὅλον τὸν βίον, οὐκ ἴσχυσέν ὑπ' οὐδενός θεραπευθῆναι, προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου; ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος, καὶ οἱ μετ' αὐτοῦ· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε, καὶ ἀποθλίβουσι, καὶ λέγεις· Τίς ὁ ἁψάμενός μου; Ὁ δὲ Ἰησοῦς εἶπεν· ἥψατό μου τις. ἐγὼ γὰρ ἔγνων, δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ. Ἰδοῦσα δὲ ἡ γυνὴ, ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε, καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ, ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα. Ὁ δὲ εἶπεν αὐτῇ· Θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην. Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ, ὅτι τέθνηκεν ἡ θυγάτηρ σου, μὴ σκύλλε τὸν διδάσκαλον. Ὁ δὲ Ἰησοῦς ἀκούσας,

ἀπεκρίθη αὐτῷ, λέγων· μὴ φοβοῦ, μόνον πίστευε, καὶ σωθήσεται. ἐλθὼν δὲ εἰς τὴν οἰκίαν οὐ
ἀφῆκεν εἰσελθεῖν οὐδένα, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τοῦ παιδὸς
καὶ τὴν μητέρα. ἔκλαιον δὲ πάντες, καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· μὴ κλαίετε· οὐκ ἀπέ
θανεν, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάν
τας, καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε λέγων· Ἡ παῖς, ἐγείρου. καὶ ἀπέστρεψε τὸ πνεῦμα
αὐτῆς, καὶ ἀνέστη παραχρῆμα, καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν, καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς.
Ὁ δὲ παρήγγειλεν αὐτοῖς, μηδενὶ εἰπεῖν τὸ γεγονός.

ΚΕΦΑΛ. θ.

Συγκαλεσάμενος δὲ τοὺς δώδεκα, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ
δαιμόνια, καὶ νόσους θεραπεύειν. καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν Βασιλείαν τοῦ
θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀδυνατοῦντας. καὶ εἶπε πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν ὁδόν, μήτε ῥάβ
δον, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν. καὶ εἰς ἣν ἂν οἰ
κίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθε. Καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμε
νοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον
ἐπ' αὐτούς. Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες
πανταχοῦ. Ἤκουσε δὲ Ἡρῴδης ὁ τετράρχης τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα, καὶ διηπόρει, διὰ τὸ
λέγεσθαι ὑπό τινων· ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν. ὑπό τινων δέ, ὅτι Ἠλίας ἐφάνη. ἄλλων
δέ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων ἀνέστη. Καὶ εἶπεν Ἡρῴδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα, τίς
δέ ἐστιν οὗτος, περὶ οὗ ἐγὼ τοιαῦτα; καὶ ἐζήτει ἰδεῖν αὐτόν. Καὶ ὑποστρέψαντες οἱ ἀπό
στολοι διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν. καὶ παραλαβὼν αὐτοὺς, ὑπεχώρησε κατ' ἰδίαν εἰς τό
πον ὀρήμου πόλεως, καλουμένης Βηθσαϊδά. Οἱ δὲ ὄχλοι γνόντες, ἠκολούθησαν αὐτῷ· καὶ ἀπο
δεξάμενος αὐτοὺς, ἐλάλει αὐτοῖς περὶ τῆς Βασιλείας τοῦ θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας
ἰᾶτο. Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν, προσελθόντες δὲ οἱ δώδεκα, εἶπον αὐτῷ· ἀπόλυσον τὸν ὄχ
λον, ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς, καταλύσωσι καὶ εὕρωσιν ἐπισιτι
σμόν, ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν. Εἶπε δὲ πρὸς αὐτούς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ εἶ
πον· οὐκ εἰσὶν ἡμῖν πλεῖω ἢ πέντε ἄρτοι, καὶ δύο ἰχθύες, εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσω
μεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα. ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι. Εἶπε δὲ
πρὸς τοὺς μαθητὰς αὐτοῦ· κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα. καὶ ἐποίησαν ὕτως,
καὶ κατέκλιναν ἅπαντας. Λαβὼν δὲ τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας
εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτοὺς, καὶ κατέκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς παραθεῖναι τῷ
ὄχλῳ, καὶ ἔφαγον, καὶ ἐχορτάσθησαν πάντες. καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων
κόφινοι δώδεκα. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας, συνῆσαν αὐτῷ οἱ
μαθηταί, καὶ ἐπηρώτησεν αὐτοὺς λέγων· Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι; Οἱ δὲ ἀποκριθέντες εἶ
πον· Ἰωάννην τὸν Βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δέ, ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη. Εἶ
πε δὲ αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ Πέτρος, εἶπε· τὸν χριστὸν τοῦ θεοῦ. Ὁ δὲ
ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε, μηδενὶ εἰπεῖν τοῦτο, εἰπὼν ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολ
λὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ
ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. ἔλεγε δὲ πρὸς πάντας· εἴ τις θέλει ὀπίσω μου
ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν, καὶ ἀκολουθείτω μοι.
ὃς γὰρ ἐὰν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐ
τοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅ
λον, ἑαυτὸν δὲ ἀπολέσας, ἢ ζημιωθείς; ὃς γὰρ ἂν ἐπαισχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον
ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, καὶ τοῦ πατρός, καὶ τῶν
ἁγίων ἀγγέλων. Λέγω δὲ ὑμῖν, ἀληθῶς εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἳ οὐ μὴ γεύσωνται θανά
του, ἕως ἂν ἴδωσι τὴν Βασιλείαν τοῦ θεοῦ. Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι
ὀκτὼ, καὶ παραλαβὼν τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι.
Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς
αὐτοῦ λευκὸς ἐξαστράπτων. καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωϋ
σῆς καὶ Ἠλίας. οἳ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἤμελλε πληροῦν ἐν Ἰερουσα
λήμ. Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ. διαγρηγορήσαντες δὲ εἶδον
τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ διαχωρίζε
σθαι αὐτοὺς ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· διδάσκαλε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ
ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοί, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. ταῦτα δὲ
αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίαζεν αὐτούς. ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν αὐτοὺς
εἰς τὴν νεφέλην. καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός,
αὐτοῦ ἀκούετε. Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος. καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ
ἀπήγγειλαν

ἀπήγγειλαν γὼ ἐκείναις ταῖς ἡμέραις οὐδέν, ὧν ἑωράκασιν. Ἐγένετο δὲ γὼ τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνῆλθεν αὐτῷ ὄχλος πολύς. Καὶ ἰδοὺ ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, λέγων· διδάσκαλε, δέομαί σε, ἐπίβλεψαι ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ὄνομά μοι, καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτόν. καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ συντρίβον αὐτόν. καὶ ἐδεήθην τῶν μαθητῶν σου, ἵνα ἐκβάλωσιν αὐτό, καὶ οὐκ ἠδυνήθησαν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι ὑμῶν; προσάγαγε ὧδε τὸν υἱόν σου. ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον, καὶ συνεσπάραξε. ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα, καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ. ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ θεοῦ. Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν, εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ· Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους. ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό. καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου.

Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν εἴη μείζων αὐτῶν. ὁ δὲ Ἰησοῦς εἰδὼς τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, λαβόμενος παιδίου, ἔστησεν αὐτὸ παρ' ἑαυτῷ, καὶ εἶπεν αὐτοῖς· ὃς ἐὰν δέξηται τοῦτο παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με. Ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτος ἔσται μέγας. Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης, εἶπεν· ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα τὰ δαιμόνια, καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν. καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· μὴ κωλύετε. ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν. Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήρισε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ, καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ. καὶ πορευθέντες, εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὡς τε ἑτοιμάσαι αὐτῷ, καὶ οὐκ ἐδέξαντο αὐτόν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ. ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, Ἰάκωβος καὶ Ἰωάννης, εἶπον· Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτούς, ὡς καὶ Ἠλίας ἐποίησε; Στραφεὶς δὲ ὁ Ἰησοῦς ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν· οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς. Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. Ἐγένετο δὲ, πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ, εἶπε τις πρὸς αὐτόν· ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ. καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. εἶπε δὲ πρὸς ἕτερον, ἀκολούθει μοι. Ὁ δὲ εἶπε, κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου. εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς, σὺ δὲ ἀπελθὼν διάγγελλε τὴν Βασιλείαν τοῦ θεοῦ. εἶπε δὲ καὶ ἕτερος· ἀκολουθήσω σοι κύριε, πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου. εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν Βασιλείαν τοῦ θεοῦ.

ΚΕΦΑΛ. ι.

Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι. ἔλεγεν οὖν πρὸς αὐτούς· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Ὑπάγετε, ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. Μὴ βαστάζετε βαλλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα, καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· εἰρήνη τῷ οἴκῳ τούτῳ, καὶ ἐὰν μὲν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαήσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν. εἰ δὲ μήγε, ἐφ' ὑμᾶς ἀνακάμψει. Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν. ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι. μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν. καὶ εἰς ἣν ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν, καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς· ἤγγικεν ἐφ' ὑμᾶς ἡ Βασιλεία τοῦ θεοῦ. εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε· καὶ τὸν κονιορτὸν, τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν. πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ Βασιλεία τοῦ θεοῦ. Λέγω ὑμῖν, ὅτι σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται ἢ τῇ πόλει ἐκείνῃ. Οὐαί σοι Χοραζείν, οὐαί σοι Βηθσαϊδά, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις, αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι, μετενόησαν. Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν. καὶ σὺ Καπερναούμ, μὴ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ἅδου καταβιβασθήσῃ. Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ. ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν

σταναῦ ὡς ἀσραπὴν ἐκ τοῦ ὀρανοῦ πεσόντα. ἰδὲ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δυνάμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται. χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· ἐξομολογοῦμαί σοι πάτερ, κύριε τοῦ ὀρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναὶ ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. Πάντα παρεδόθη μοι ὑπὸ τοῦ πατρός μου, καὶ οὐδεὶς γινώσκει, τίς ἐστιν ὁ υἱός, εἰμὴ ὁ πατήρ, καὶ τίς ἐστιν ὁ πατήρ, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, κατ' ἰδίαν εἶπε· μακάριοι οἱ βλέποντες, ἃ ὑμεῖς βλέπετε· λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. Καὶ ἰδοὺ νομικός τις ἀνέστη, ἐκπειράζων αὐτὸν, καὶ λέγων· διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; ὁ δὲ εἶπε πρὸς αὐτόν· ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. Εἶπε δὲ αὐτῷ· ὀρθῶς ἀπεκρίθης, τοῦτο ποίει καὶ ζήσῃ. ὁ δὲ θέλων δικαιῶσαι ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν· καὶ τίς ἐστί μου πλησίον; ὑπολαβὼν ὁ Ἰησοῦς, εἶπεν· ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχὼ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντα αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν. ὁμοίως δὲ καὶ Λευίτης γενόμενον κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθε. Σαμαρίτης δέ τις ὁδεύων ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον. ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδόχῃ, καὶ εἶπεν αὐτῷ· ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ, τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; ὁ δὲ εἶπεν· ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· πορεύου, καὶ σὺ ποίει ὁμοίως. Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτούς, κἀκεῖνος εἰσῆλθεν εἰς κώμην τινά. γυνὴ δέ τις ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. καὶ τῇδε ἦν ἀδελφὴ, καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα πρὸς τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ. ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν, ἐπιστᾶσα δὲ εἶπε· κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλειπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα Μάρθα, μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία. Μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

ΚΕΦΑΛ. ιι.

ΚΑΙ ἐγένετο, ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο εἶπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ. Εἶπε δὲ αὐτοῖς· ὅταν προσεύχησθε, λέγετε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέραν, καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Καὶ εἶπε πρὸς αὐτούς· τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, καὶ εἴπῃ αὐτῷ· φίλε, χρῆσόν μοι τρεῖς ἄρτους, ἐπειδὴ φίλος μου παρεγένετο ἐξ ὁδοῦ πρός με, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ. κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ· μή μοι κόπους πάρεχε, ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην εἰσίν, οὐ δύναμαι ἀναστὰς δοῦναί σοι. Λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς, διὰ τὸ εἶναι φίλον αὐτοῦ, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς, δώσει αὐτῷ ὅσων χρῄζει. κἀγὼ ὑμῖν λέγω, αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον δώσει αὐτῷ; εἰ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν δώσει αὐτῷ; ἢ καὶ ἐὰν αἰτήσῃ ᾠόν, μὴ δώσει αὐτῷ σκορπίον; εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες, οἴδατε ἀγαθὰ δόματα διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν; Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν. ἐγένετο δὲ, τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφὸς, καὶ ἐθαύμασαν οἱ ὄχλοι. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ. αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα, εἶπεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον πίπτει. Εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ; ὅτι λέγετε, ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια. εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ ὑμῶν κριταὶ ἔσονται. εἰ δὲ ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ. ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτόν, τὴν πανοπλίαν αὐτοῦ αἴρει, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν. ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστιν· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν. καὶ μὴ εὑρίσκον, λέγει· Ὑποστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον. καὶ ἐλθὸν, εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον. Τότε πορεύεται, καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε· μενοῦνγε, μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ, καὶ φυλάσσοντες αὐτόν. Τῶν δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο λέγειν· Ἡ γενεὰ αὕτη πονηρά ἐστι, σημεῖον ζητεῖ. καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευίταις, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ. Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος, καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε. Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ. καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. Οὐδεὶς λύχνον ἅψας εἰς κρυπτὸν τίθησιν, οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φῶς βλέπωσιν. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται. ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινὸν ἔσται. σκόπει οὖν, μὴ τὸ φῶς τὸ ἐν σοί, σκότος ἐστίν. εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινὸν, μὴ ἔχον τι μέρος σκοτεινόν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. Ἐν δὲ τῷ λαλῆσαι, ἐρωτᾷ αὐτὸν Φαρισαῖος τις, ὅπως ἀριστήσῃ παρ' αὐτῷ. εἰσελθὼν δὲ ἀνέπεσεν. Ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου. Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας. ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησε; Πλὴν τὰ ἐνόντα, δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν. ἀλλ' οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ πήγανον, καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν, καὶ τὴν ἀγάπην τοῦ θεοῦ. ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφεῖναι. Οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι περιπατοῦντες ἐπ' ἄνω οὐκ οἴδασιν. ἀποκριθεὶς δέ τις τῶν νομικῶν, λέγει αὐτῷ· Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις. Ὁ δὲ εἶπε· Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις. Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα. Διὰ τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν· ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ διώξουσιν, ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τῆς γενεᾶς ταύτης, ἀπὸ τοῦ αἵματος Ἄβελ ἕως τοῦ αἵματος Ζαχαρίου τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου. Ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτούς, ἤρξαντο οἱ νομικοὶ καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν καὶ ἀποστομίζειν αὐτὸν περὶ πλειόνων, ἐνεδρεύοντες αὐτὸν, ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.

ΚΕΦΑΛ. ιβ.

Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ, πρῶτον· Προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥ ἐστιν ὑπόκρισις. Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται. καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων. Λέγω δὲ ὑμῖν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς φίλοις μου· μὴ φοβηθῆτε ἀπὸ τοῦ ἀποκτεινόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων τι
περισσότερόν τι ποιῆσαι. ὑποδείξω δὲ ὑμῖν, τίνα φοβηθῆτε. Φοβηθῆτε τὸν μετὰ τὸ ἀποκτεῖναι, ἐξου-
σίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν. ναὶ λέγω ὑμῖν, τοῦτον φοβηθῆτε. Οὐχὶ πωλοῦνται στρουθία
πωλεῖτε ἀσσαρίων δύο, καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ. ἀλλὰ
καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠριθμημέναι εἰσί. μὴ οὖν φοβεῖσθε, πολλῶν στρουθίων δια-
φέρετε. λέγω δὲ ὑμῖν, πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ. ὁ δὲ ἀρνησάμενός με ἐνώπιον
τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ. καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν
υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ. τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι, οὐκ ἀφε-
θήσεται. ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας,
μὴ μεριμνᾶτε, πῶς ἢ τί ἀπολογηθήσεσθε, ἢ τί εἴπητε. Τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν
αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν. Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου· διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου
μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν. Ὁ δὲ εἶπεν αὐτῷ· ἄνθρωπε, τίς με κατέστησε δικα-
στὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς; εἶπε δὲ πρὸς αὐτούς· ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ πάσης πλεονεξίας, ὅτι
οὐκ ἐν τῷ περισσεύειν τινί ἐστιν ἡ ζωὴ αὐτοῦ ἐκ τῶν ὑπαρχόντων αὐτῷ. εἶπε δὲ παραβολὴν
πρὸς αὐτοὺς, λέγων· ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα, καὶ διελογίζετο ἐν ἑαυτῷ, λέ-
γων· τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου; καὶ εἶπε· τοῦτο ποιήσω. καθελῶ μου
τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. καὶ συνάξω ἐκεῖ πάντα τὰ γενήματά μου, καὶ τὰ ἀγα-
θά μου, καὶ ἐρῶ τῇ ψυχῇ μου· ψυχή ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά, ἀναπαύου, φάγε,
πίε, εὐφραίνου. εἶπε δὲ αὐτῷ ὁ θεός· ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσι
ἀπὸ σοῦ. ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς θεὸν πλουτῶν. Εἶ-
πε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ. Διὰ τοῦτο ὑμῖν λέγω· μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε,
μηδὲ τῷ σώματι, τί ἐνδύσησθε. Ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος.
κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθή-
κη, καὶ ὁ θεὸς τρέφει αὐτούς. πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν; Τίς δὲ ἐξ ὑμῶν με-
ριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Εἰ οὖν οὔτε ἐλάχιστον δύνα-
σθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε; Καταμάθετε τὰ κρίνα πῶς αὐξάνει, οὐ κοπιᾷ, οὐδὲ νήθει.
Λέγω δὲ ὑμῖν. οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. εἰ δὲ τὸν χόρ-
τον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ θεὸς οὕτως ἀμφιέννυσι,
πόσῳ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε, καὶ μὴ μετεωρί-
ζεσθε. Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. ὑμῶν δὲ ὁ πατὴρ οἶδεν, ὅτι χρῄζετε τού-
των. Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Μὴ φο-
βοῦ τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. Πωλήσα-
τε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμε-
να, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει. ὅπου
γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιε-
ζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι. καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυ-
τῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ.
Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας. ἀμὴν λέγω ὑμῖν, ὅτι πε-
ριζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέ-
ρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι. Τοῦ-
το δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν,
καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ. καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δο-
κεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Εἶπε δὲ αὐτῷ ὁ Πέτρος· Κύριε πρὸς ἡμᾶς τὴν παραβο-
λὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας; εἶπε δὲ ὁ κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος, ὁ
φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέ-
τριον; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ, εὑρήσει ποιοῦντα οὕτως· ἀλη-
θῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος
ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει μου ὁ κύριος ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας
καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου
ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐ-
τοῦ μετὰ τῶν ἀπίστων θήσει. ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑ-
τοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. Ὁ δὲ μὴ γνούς, ποιήσας δὲ
ἄξια πληγῶν, δαρήσεται ὀλίγας. παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ. καὶ
ᾧ παρέθεντο πολύ, περισσότερον αἰτήσουσιν αὐτόν. Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέ-
λω εἰ ἤδη ἀνήφθη; Βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ; Δοκεῖ-
τε, ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε, ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; Οὐχί λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν. ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο ἐπὶ τρισίν. διαμερισθήσεται πατὴρ ἐφ' υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί, μήτηρ ἐπὶ θυγατρί, καὶ θυγάτηρ ἐπὶ μητρί, πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς. ἔλεγε δὲ τοῖς ὄχλοις· ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε, ὄμβρος ἔρχεται, καὶ γίνεται οὕτως. καὶ ὅταν νότον πνέοντα, λέγετε, ὅτι καύσων ἔσται, καὶ γίνεται. ὑποκριτά, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε; τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, μήποτε κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βάλῃ εἰς φυλακήν· λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς.

ΚΕΦΑΛ. ιγ.

Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλᾶτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Δοκεῖτε, ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; Οὐχί λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε. ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἰερουσαλήμ; Οὐχί λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὁμοίως ἀπολεῖσθε. Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην, καὶ ἦλθε καρπὸν ζητῶν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· ἰδοὺ τρία ἔτη ἀφ' οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω. ἔκκοψον αὐτήν, ἵνα τί καὶ τὴν γῆν καταργεῖ; Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν, καὶ βάλω κοπρίαν. κἂν μὲν ποιήσῃ καρπόν, εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν. Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασι. Καὶ ἰδοὺ γυνὴ ἣν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτὼ, καὶ ἦν συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές. ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς, προσεφώνησε, καὶ εἶπεν αὐτῇ· γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου. καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας, καὶ παραχρῆμα ἀνωρθώθη, καὶ ἐδόξαζε τὸν θεόν. ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος ἀγανακτῶν, ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι, ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου. ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος, καὶ εἶπεν· ὑποκριτά, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ, ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν ποτίζει; Ταύτην δὲ θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου; καὶ ταῦτα λέγοντος αὐτοῦ, κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ. καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ. Ἔλεγε δὲ, τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ τίνι ὁμοιώσω αὐτήν; ὁμοία ἐστὶ κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ, καὶ ηὔξησε, καὶ ἐγένετο εἰς δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ. καὶ πάλιν εἶπε· τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ θεοῦ; Ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας, διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἰερουσαλήμ. Εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σῳζόμενοι; Ὁ δὲ εἶπε πρὸς αὐτούς· ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν. ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν θύραν, λέγοντες· Κύριε, κύριε, ἄνοιξον ἡμῖν. καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν· οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. Τότε ἄρξεσθε λέγειν· ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας. καὶ ἐρεῖ, λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. ἀπόστητε ἀπ' ἐμοῦ πάντες ἐργάται ἀδικίας, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ὅταν ὄψησθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω. καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ νότου, καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. καὶ ἰδοὺ εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι, καὶ εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι. Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες φαρισαῖοι, λέγοντες αὐτῷ· ἔξελθε καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρῴδης θέλει σε ἀποκτεῖναι. καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ· ἰδοὺ ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἀποτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι. πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἰερουσαλήμ. Ἰερουσαλὴμ, Ἰερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησε ἐπισυναξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. λέγω δὲ ὑμῖν, ὅτι οὐ μή με ἴδητε, ἕως ἥξει ὅτε εἴπητε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

ΚΕΦΑΛ. 14.

Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν φαρισαίων, σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν. Καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς νομικοὺς καὶ φαρισαίους, λέγων· εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεύειν; οἱ δὲ ἡσύχασαν. καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν, καὶ ἀπέλυσε. καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε· τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀναβήσεται αὐτὸν τῇ ἡμέρᾳ τοῦ σαββάτου; καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα. ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων, πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς· ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι· δὸς τούτῳ τόπον. καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν. ἀλλ' ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, ἐρεῖ σοι, φίλε, προσανάβηθι ἀνώτερον. τότε ἔσται σοι δόξα ἐνώπιον πάντων συνανακειμένων σοι. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτόν. ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα. ἀλλ' ὅταν ποιῇς δοχήν, κάλει πτωχούς, ἀναπείρους, χωλούς, τυφλούς. καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι. ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων. ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα, εἶπεν αὐτῷ· Μακάριος, ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. ὁ δὲ εἶπεν αὐτῷ· ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς, καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου, εἰπεῖν τοῖς κεκλημένοις· ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. καὶ ἤρξαντο ἀπὸ μιᾶς πάντες παραιτεῖσθαι πάντες. ὁ πρῶτος εἶπεν αὐτῷ· ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν αὐτόν, ἐρωτῶ σε, ἔχε με παρητημένον. καὶ ἕτερος εἶπε· ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά, ἐρωτῶ σε ἔχε με παρητημένον. καὶ ἕτερος εἶπε· γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. καὶ παραγενόμενος ὁ δοῦλος, ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης, εἶπε τῷ δούλῳ αὐτοῦ· ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπείρους καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε ὧδε. καὶ εἶπεν ὁ δοῦλος· κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου. λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων, γεύσεταί μου τοῦ δείπνου. Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί, καὶ στραφεὶς εἶπε πρὸς αὐτούς· εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφούς, καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής. καὶ ὃς οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθητής. Τίς γὰρ ἐξ ὑμῶν, θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν, ἵνα μήποτε θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύοντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται ἐμπαίζειν αὐτῷ, λέγοντες· ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι; ἢ τίς βασιλεὺς πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας πρῶτον βουλεύεται, εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν; Εἰ δὲ μήγε, ἔτι αὐτοῦ πόρρω ὄντος, πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην. Οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσι, οὐ δύναταί μου εἶναι μαθητής. Καλὸν τὸ ἅλας, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται; οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν, ἔξω βάλλουσιν αὐτό. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

ΚΕΦΑΛ. 15.

Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ, ἀκούειν αὐτοῦ. καὶ διεγόγγυζον οἵ τε φαρισαῖοι καὶ οἱ γραμματεῖς, λέγοντες· ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ συνεσθίει αὐτοῖς. εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων· τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐνενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως εὕρῃ αὐτό; καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων, καὶ ἐλθὼν εἰς τὸν οἶκον συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων αὐτοῖς· συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός. Λέγω ὑμῖν, ὅτι οὕτως χαρὰ ἔσται ἐν τῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔρανῳ ἐνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐνὶ δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας. ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως οὗ εὕρῃ, καὶ εὑροῦσα συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας λέγουσα· συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν, ἣν ἀπώλεσα. οὕτως λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Εἶπε δέ, ἄνθρωπός τις εἶχε δύο υἱούς, καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καὶ διεῖλεν αὐτοῖς τὸν βίον. καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μακρὰν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως. δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κεράτιων, ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδείς ἐδίδου αὐτῷ. εἰς ἑαυτὸν δὲ ἐλθὼν, εἶπε· πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύονται ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι. ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. καὶ ἀναστὰς, ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ. ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη, καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. εἶπε δὲ αὐτῷ ὁ υἱός· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτὸν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας, καὶ ἐξενέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν· ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. καὶ ἤρξαντο εὐφραίνεσθαι. ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ, καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν, καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων αὐτοῦ, ἐπυνθάνετο τί εἴη ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ, ὅτι ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν. Ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν, παρεκάλει αὐτόν. ὁ δὲ ἀποκριθεὶς, εἶπε τῷ πατρί· ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ. ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν. Ὁ δὲ εἶπεν αὐτῷ· τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν. εὐφρανθῆναι δὲ, καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

ΚΕΦΑΛ. 16.

Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ· ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ, ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ. καὶ φωνήσας αὐτὸν, εἶπεν αὐτῷ· τί τοῦτο ἀκούω περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου. οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν. εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι. ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν. καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ κυρίου αὐτοῦ, ἔλεγε τῷ πρώτῳ· πόσον ὀφείλεις τῷ κυρίῳ μου; ὁ δὲ εἶπεν· ἑκατὸν βάτους ἐλαίου. καὶ εἶπεν αὐτῷ· δέξαι σου τὸ γράμμα, καὶ καθίσας ταχέως γράψον πεντήκοντα. ἔπειτα ἑτέρῳ εἶπε· σὺ δὲ πόσον ὀφείλεις; ὁ δὲ εἶπεν· ἑκατὸν κόρους σίτου. καὶ λέγει αὐτῷ· δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα. καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν. ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς, εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσί. Κἀγὼ ὑμῖν λέγω· ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι. καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν. Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει; καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει; Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν. ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε θεῷ δουλεύειν, καὶ μαμμωνᾷ. Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ φαρισαῖοι φιλάργυροι ὑπάρχοντες, καὶ ἐξεμυκτήριζον αὐτόν. καὶ εἶπεν αὐτοῖς· ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν, ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ θεοῦ ἐστιν. Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, ἀπὸ τότε ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται. εὐκοπώτερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. Πᾶς ὁ ἀπολύων τὴν

γυναῖκα

γωναῖκα αὐτοῦ, καὶ γαμῶν ἕτερον, μοιχᾶται. καὶ ὃς ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν, μοιχᾶται. Ἄνθρωπός τις ἦν πλούσιος, ὃς ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, καθημέραν λαμπρῶς. πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου. ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχόν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ. Ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη. καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ, καὶ αὐτὸς φωνήσας, εἶπε· Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. εἶπε δὲ Ἀβραάμ· τέκνον, μνήσθητι, ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά. Νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς, μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. εἶπε δέ· ἐρωτῶ οὖν σε πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου. ἔχω γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. λέγει αὐτῷ Ἀβραάμ· ἔχουσι Μωσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν· οὐχί πάτερ Ἀβραάμ, ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτοὺς, μετανοήσουσιν. εἶπε δὲ αὐτῷ· εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται.

ΚΕΦΑΛ. ιζ.

Εἶπε δὲ πρὸς τοὺς μαθητάς· ἀνένδεκτόν ἐστι, τὸ μὴ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ δι' οὗ ἔρχεται. λυσιτελεῖ αὐτῷ, εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. προσέχετε ἑαυτοῖς. Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ, καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ. καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σέ, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ πρός σε, λέγων· μετανοῶ, ἀφήσεις αὐτῷ. καὶ εἶπον οἱ ἀπόστολοι τῷ κυρίῳ, Πρόσθες ἡμῖν πίστιν. Εἶπε δὲ ὁ κύριος· εἰ ἔχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ· ἐκριζώθητι καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν. Τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι αὐτῷ ἐκ τοῦ ἀγροῦ ἐρεῖ, εὐθέως παρελθὼν ἀνάπεσαι. ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι ἕως φάγω καὶ πίω, καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ; μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι ἐποίησε τὰ διαταχθέντα αὐτῷ; οὐ δοκῶ. οὕτως καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν, ὅτι ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν. Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γαλιλαίας. καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν. καὶ αὐτοὶ ἦραν φωνὴν, λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. καὶ ἰδὼν, εἶπεν αὐτοῖς· πορευθέντες δεῖξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς, ἐκαθαρίσθησαν. εἷς δὲ ἐξ αὐτῶν ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε, μετὰ φωνῆς μεγάλης δοξάζων τὸν θεόν· καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ. καὶ αὐτὸς ἦν Σαμαρίτης. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ; οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος; καὶ εἶπεν αὐτῷ· ἀναστὰς πορεύου, ἡ πίστις σου σέσωκέ σε. Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν φαρισαίων, πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ, ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν· οὐκ ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως. οὐδὲ ἐροῦσιν, ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ. ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν. Εἶπε δὲ πρὸς τοὺς μαθητάς· ἐλεύσονται ἡμέραι, ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε. καὶ ἐροῦσιν ὑμῖν, ἰδοὺ ὧδε, ἰδοὺ ἐκεῖ. μὴ ἀπέλθητε, μηδὲ διώξητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν, εἰς τὴν ὑπὸ τὸν οὐρανὸν λάμπει, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ. Πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης. καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ἤσθιον, ἔπινον, ἐγάμουν, ἐξεγαμίζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν, καὶ ἦλθεν ὁ κατακλυσμός, καὶ ἀπώλεσεν ἅπαντας. Ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ, ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν· ἧ δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξε πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ, καὶ ἀπώλεσεν ἅπαντας. κατὰ τὰ αὐτὰ ἔσται, ἧ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὃς ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά. καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. Μνημονεύετε τῆς γυναικὸς Λώτ. Ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν, καὶ ὃς ἐὰν ἀπολέσῃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέσῃ αὐτῷ, ζωογονήσει αὐτῷ λέγω ὑμῖν, ἐν ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς, ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται. δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό, ἡ μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται. καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ, ποῦ κύριε; ὁ δὲ εἶπεν αὐτοῖς· ὅπου τὸ σῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί.

ΚΕΦΑΛ. 18.

ΕΛεγε δὲ καὶ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν, λέγων· Κριτής τις ἦν ἔν τινι πόλει, τὸν θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. χήρα δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτὸν, λέγουσα· ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. καὶ οὐκ ἤθελησεν ἐπὶ χρόνον. μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ· εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διὰγε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτὴν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑποπιάζῃ με. εἶπε δὲ ὁ κύριος· ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. ὁ δὲ θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς; λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα, εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; εἶπε δὲ καὶ πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς, ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς, τὴν παραβολὴν ταύτην· Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης. ὁ φαρισαῖος σταθεὶς, πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· ὁ θεὸς εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. νηστεύω δὶς τοῦ σαββάτου· ἀποδεκατεύω πάντα ὅσα κτῶμαι. καὶ ὁ τελώνης μακρόθεν ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων· ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται. ἰδόντες δὲ οἱ μαθηταὶ, ἐπετίμησαν αὐτοῖς. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ, εἶπεν· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς τὸ παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. καὶ ἐπηρώτησέ τις ἄρχων αὐτὸν, λέγων· Διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς. τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεός. τὰς ἐντολὰς οἶδας, μὴ μοιχεύσεις, μὴ φονεύσεις, μὴ κλέψεις, μὴ ψευδομαρτυρήσεις, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. ὁ δὲ εἶπε· Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· ἔτι ἓν σοι λείπει. πάντα ὅσα ἔχεις πώλησον, καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. ὁ δὲ ἀκούσας ταῦτα, περίλυπος ἐγένετο. ἦν γὰρ πλούσιος σφόδρα. ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον, εἶπε· πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ θεοῦ. εὐκοπώτερον γάρ ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. εἶπον δὲ οἱ ἀκούσαντες· καὶ τίς δύναται σωθῆναι; ὁ δὲ εἶπε, τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατὰ ἐστι παρὰ τῷ θεῷ. εἶπε δὲ ὁ Πέτρος· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. ὁ δὲ εἶπεν αὐτοῖς, ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ γονεῖς, ἢ ἀδελφοὺς, ἢ γυναῖκα, ἢ τέκνα ἕνεκεν τῆς βασιλείας τοῦ θεοῦ, ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. Παραλαβὼν δὲ τοὺς δώδεκα εἶπε πρὸς αὐτοὺς· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν, τῷ υἱῷ τοῦ ἀνθρώπου. παραδοθήσεται γὰρ τοῖς ἔθνεσι, καὶ ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ ἐμπτυσθήσεται, καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται. καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα. Ἐγγίζοντος δὲ αὐτοῦ εἰς Ἰεριχὼ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν, προσαιτῶν. ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο, τί εἴη τοῦτο. ἀπήγγειλαν δὲ αὐτῷ, ὅτι Ἰησοῦς ὁ Ναζαραῖος παρέρχεται. καὶ ἐβόησε, λέγων· Ἰησοῦ υἱὲ Δαβὶδ, ἐλέησόν με. καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ, ἵνα σιωπήσῃ. Αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν, υἱὲ Δαβὶδ ἐλέησόν με. Στὰς δὲ ὁ Ἰησοῦς, ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. Ἐγγίσαντος δὲ αὐτοῦ, ἐπηρώτησεν αὐτὸν, λέγων· Τί σοι θέλεις ποιήσω; ὁ δὲ εἶπε· Κύριε, ἵνα ἀναβλέψω. καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, ἀνάβλεψον· ἡ πίστις σου σέσωκέ σε. καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ, δοξάζων τὸν θεόν. καὶ πᾶς ὁ λαὸς ἰδὼν, ἔδωκεν αἶνον τῷ θεῷ.

ΚΕΦΑΛ. 19.

ΚΑὶ εἰσελθὼν διῆρχετο τὴν Ἰεριχώ. Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ ὅτος ἦν πλούσιος, καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστι, καὶ οὐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἠδυνάτο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. καὶ προσελθοῦσα ἔμπροσθεν, ἁψαμένη συνεμαρτύρησαν, ἵνα ἴδῃ αὐτὸν, ὅτι δι' ἐκείνης ἤμελλε διορθοῦσθαι. καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς, εἶδεν αὐτὸν, καὶ εἶπε πρὸς αὐτόν. Ζακχαῖε, σπεύσας κατάβηθι, σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. καὶ ἰδόντες, ἅπαντες διεγόγγυζον, λέγοντες ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. στὰς δὲ Ζακχαῖος, εἶπε πρὸς τὸν Κύριον· ἰδοὺ τὰ ἡμίσιά μου τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινός τι συκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθ' ὅτι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν. ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός. ἀκουόντων δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπε παραβολήν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἰερουσαλήμ, καὶ δοκεῖν αὐτοὺς, ὅτι παραχρῆμα μέλλει ἡ Βασιλεία τοῦ Θεοῦ ἀναφαίνεσθαι. εἶπεν οὖν· Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ Βασιλείαν, καὶ ὑποστρέψαι. Καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν τούτοις δέκα μνᾶς, καὶ εἶπε πρὸς αὐτούς· πραγματεύσασθε ἕως ἔρχομαι. Οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτὸν, καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ, λέγοντες· Οὐ θέλομεν τοῦτον Βασιλεῦσαι ἐφ' ἡμᾶς. καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν, λαβόντα τὴν Βασιλείαν, καὶ εἶπε φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους, οἷς ἔδωκε τὸ ἀργύριον, ἵνα γνῷ, τίς τί διεπραγματεύσατο. Παρεγένετο δὲ ὁ πρῶτος λέγων· Κύριε, ἡ μνᾶ σου προσειργάσατο δέκα μνᾶς. καὶ εἶπεν αὐτῷ· Εὖγε ἀγαθὲ δοῦλε, ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων. καὶ ἦλθεν ὁ δεύτερος, λέγων· Κύριε, ἡ μνᾶ σου ἐποίησε πέντε μνᾶς. εἶπε καὶ τούτῳ· καὶ σὺ γίνου ἐπάνω πέντε πόλεων. καὶ ἕτερος ἦλθε, λέγων· Κύριε, ἰδοὺ ἡ μνᾶ σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ· ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρός ἐστι, αἴρεις ὃ οὐκ ἔθηκας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. Λέγει αὐτῷ· Ἐκ τοῦ στόματός σου κρινῶ σε πονηρὲ δοῦλε. ἤδεις, ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων ὃ οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσπειρα, καὶ διὰ τί οὐκ ἔδωκάς μου τὸ ἀργύριον ἐπὶ τράπεζαν, καὶ ἐγὼ ἐλθὼν σὺν τόκῳ αὐτὸ ἔπραξα ἄν; καὶ τοῖς παρεστῶσιν εἶπεν· ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι. καὶ εἶπον αὐτῷ· Κύριε, ἔχει δέκα μνᾶς. Λέγω γὰρ ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτοὺς, ἀγάγετε ὧδε, καὶ κατασφάξατε ἔμπροσθέν μου. καὶ εἰπὼν ταῦτα, ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων εἰς Ἱεροσόλυμα. καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν, ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ, εἰπών· Ὑπάγετε εἰς τὴν κατέναντι κώμην, ἐν ᾗ εἰσπορευόμενοι, εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθισε, λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ· διὰ τί λύετε, οὕτως ἐρεῖτε αὐτῷ, ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει. ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι, εὗρον καθὼς εἶπεν αὐτοῖς. Λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς· τί λύετε τὸν πῶλον; οἱ δὲ εἶπον, ὁ κύριος αὐτοῦ χρείαν ἔχει. καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν, καὶ ἐπιῤῥίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν. Πορευομένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ. Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν, ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν Θεὸν φωνῇ μεγάλῃ, περὶ πασῶν ὧν εἶδον δυνάμεων, λέγοντες· Εὐλογημένος ὁ ἐρχόμενος Βασιλεὺς ἐν ὀνόματι Κυρίου, εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις. καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτὸν· Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου. καὶ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ, λέγων, ὅτι εἰ ἔγνως καὶ σὺ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ, τὰ πρὸς εἰρήνην σου. νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου, ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ, καὶ παρεμβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι, καὶ περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν, καὶ ἐδαφιοῦσί σε καὶ τὰ τέκνα σου ἐν σοὶ, καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου. καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ, καὶ ἀγοράζοντας, λέγων αὐτοῖς· Γέγραπται, ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν, ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ, καὶ οὐχ εὕρισκον, τὸ τί ποιήσωσιν. Ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο, αὐτοῦ ἀκούων.

ΚΕΦΑΛ. 20.

Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ, καὶ εὐαγγελιζομένου, ἐπέστησαν οἱ ἀρχιερεῖς καὶ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις, καὶ εἶπον πρὸς αὐτὸν, λέγοντες· εἶπε ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην; Ἀποκριθεὶς δὲ, εἶπε πρὸς αὐτούς· ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, καὶ εἴπατέ μοι, Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς, λέγον-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγοντδν, ὅτι ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ· διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, πᾶς ὁ λαὸς καταλιθάσει ἡμᾶς. πεπεισμένοι γὰρ εἰσὶν, ἰωάνην προφήτην εἶναι. καὶ ἀποκριθέντες, μὴ εἰδέναι πόθεν. καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδετο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε χρόνους ἱκανούς, καὶ ἐν καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δώσιν αὐτῷ. οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν, ἐξαπέστειλαν κενόν. καὶ προσέθετο ἕτερον πέμψαι ἕτερον δοῦλον. οἱ δὲ κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες, ἐξαπέστειλαν κενόν. καὶ προσέθετο τρίτον πέμψαι. οἱ δὲ καὶ τοῦτον τραυματίσαντες, ἐξέβαλον. Εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος· τί ποιήσω; πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν. ἴσως τοῦτον ἐντραπήσονται. ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ, διελογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες· οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτὸν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία. καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. Τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος; ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. ἀκούσαντες δὲ, εἶπον, μὴ γένοιτο. Ὁ δὲ ἐμβλέψας αὐτοῖς, εἶπε· Τί οὖν ἐστι τὸ γεγραμμένον τοῦτο; λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον, συνθλασθήσεται, ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν. ἔγνωσαν γὰρ, ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην εἶπε, καὶ παρατηρήσαντες, ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου, εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος. καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις. Ἔξεστιν ἡμῖν κῆνσον φόρου δοῦναι, ἢ οὔ; Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς αὐτούς· τί με πειράζετε; ἐπιδείξατέ μοι δηνάριον, τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; Ἀποκριθέντες εἶπον, Καίσαρος. Ὁ δὲ εἶπεν αὐτοῖς· ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ. καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐνώπιον τοῦ λαοῦ. καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν. Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες ἀνάστασιν μὴ εἶναι, ἐπηρώτησαν αὐτὸν, λέγοντες· διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν, ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, ἔχων γυναῖκα, καὶ οὗτος ἄτεκνος ἀποθάνῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν, καὶ ὁ πρῶτος λαβὼν γυναῖκα, ἀπέθανεν ἄτεκνος· καὶ ἔλαβεν ὁ δεύτερος τὴν γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος. καὶ ὁ τρίτος ἔλαβεν αὐτήν. ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ, καὶ οὐ κατέλιπον τέκνα, καὶ ἀπέθανον. ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. τῇ οὖν ἀναστάσει τίνος αὐτῶν γίνεται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. καὶ ἀποκριθεὶς, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίσκονται. οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν, καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίσκονται. οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται. ἰσάγγελοι γάρ εἰσι, καὶ οἱ υἱοί εἰσι τοῦ θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες. ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, καὶ Μωσῆς ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει Κύριον τὸν θεὸν Ἀβραὰμ καὶ τὸν θεὸν Ἰσαὰκ καὶ τὸν θεὸν Ἰακώβ. Θεὸς δὲ οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων. πάντες γὰρ αὐτῷ ζῶσιν. ἀποκριθέντες δέ τινες τῶν γραμματέων, εἶπον· διδάσκαλε, καλῶς εἶπας. Οὐκέτι δὲ ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν. εἶπε δὲ πρὸς αὐτούς· πῶς λέγουσι, τὸν Χριστὸν υἱὸν Δαβὶδ εἶναι, καὶ αὐτὸς Δαβὶδ λέγει ἐν Βίβλῳ Ψαλμῶν· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Δαβὶδ οὖν Κύριον αὐτὸν καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστι; ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς αὐτοῦ· προσέχετε ἀπὸ τῶν γραμματέων, τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις. οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσεύχονται, οὗτοι λήψονται περισσότερον κρίμα.

ΚΕΦΑΛ. κα.

Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους. εἶδε δέ τινα καὶ χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτά. καὶ εἶπεν· ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν. ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλε. καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι κεκόσμηται, εἶπε· ταῦτα ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ ὃς οὐ καταλυθήσεται. ἐπηρώτησαν δὲ αὐτὸν, λέγοντες· διδάσκαλε, πότε οὖν ταῦτα ἔσαι; καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα γίνεσθαι; Ὁ δὲ εἶπε· Βλέπετε μὴ πλανηθῆτε. Πολλοὶ γὰρ ἐλεύσονται

ὐδὶ ζῳ̃ ὀνόματί μου, λέγοντες, ὅτι ἐγώ εἰμι. καὶ ὁ καιρὸς ἤγγικε. μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε. δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον· ἀλλ' οὐκ εὐθέως τὸ τέλος. Τότε ἔλεγεν αὐτοῖς· ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν, σεισμοί τε μεγάλοι κατὰ τόπους, καὶ λιμοί, καὶ λοιμοὶ ἔσονται, φόβητρά τε, καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται. Πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογεῖσθαι. ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ἣν οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν, καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλήμ, τότε γνῶτε, ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν, καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν, ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι, τοῦ πλησθῆναι πάντα τὰ γεγραμμένα. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ τῷ λαῷ τούτῳ, καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη. καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν. καὶ ἔσται σημεῖα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν. καὶ εἶπε παραβολὴν αὐτοῖς· ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα, ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε, ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν. οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε, ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα γένηται. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ὥσπερ ἡ ἡμέρα ἐκείνη. ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ προσώπου πάσης τῆς γῆς. ἀγρυπνεῖτε δὲν ἐν παντὶ καιρῷ, δεόμενοι, ἵνα κατισχύσητε ἐκφυγεῖν ταῦτα πάντα τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν· καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

ΚΕΦΑΛ. κβ.

Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη πάσχα. καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, τὸ, πῶς αὐτὸν ἀνέλωσιν αὐτόν. ἐφοβοῦντο γὰρ τὸν λαόν. Εἰσῆλθε δὲ σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ στρατηγοῖς, τὸ, πῶς αὐτὸν παραδῷ αὐτοῖς. καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου. Ἦλθε δὲ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα, καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην, εἰπών· Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν. Οἱ δὲ εἶπον αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμεν; Ὁ δὲ εἶπεν αὐτοῖς· ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ εἰσπορεύεται, καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· Λέγει σοι ὁ διδάσκαλος, ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Κἀκεῖνος ὑμῖν δείξει ἀνάγαιον μέγα ἐστρωμένον, ἐκεῖ ἑτοιμάσατε. Ἀπελθόντες δὲ, εὗρον καθὼς εἴρηκεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ. καὶ εἶπε πρὸς αὐτούς· Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν. λέγω γὰρ ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. καὶ δεξάμενος ποτήριον εὐχαριστήσας εἶπε· λάβετε τοῦτο, καὶ διαμερίσατε εἰς ἑαυτούς. λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γενήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ. καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς, λέγων· Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. Πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ'

ἐμοῦ

ἐμοῦ ὧδε ϕ πραπέζης. καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον. πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται. καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτούς, τὸ, τίς ἄρα εἴη ἐξ αὐτῶν, ὁ τοῦτο μέλλων πράσσειν; Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν δοκεῖ εἶναι μείζων; Ὁ δὲ εἶπεν αὐτοῖς· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν, εὐεργέται καλοῦνται. ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γινέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; Οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δὲ ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου. Κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσησθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Εἶπε δὲ ὁ Κύριος· Σίμων σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον. ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. Ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. Ὁ δὲ εἶπε· Λέγω σοι, Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναί με. καὶ εἶπεν αὐτοῖς, ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον, οὐθενός. Εἶπεν οὖν αὐτοῖς· ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. Λέγω γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τό, καὶ μετὰ ἀνόμων ἐλογίσθη. καὶ γὰρ τὰ περὶ ἐμοῦ, τέλος ἔχει. Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς· ἱκανόν ἐστι. καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν ἐλαιῶν. ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί. Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς· Προσεύχεσθε, μὴ εἰσελθεῖν εἰς πειρασμόν. καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ θεὶς τὰ γόνατα προσηύχετο, λέγων· Πάτερ, εἰ βούλει, παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γινέσθω. Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ, ἐνισχύων αὐτόν. καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον προσηύχετο. ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντος ἐπὶ τὴν γῆν. καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης. καὶ εἶπεν αὐτοῖς· Τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα προήρχετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ; καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· ἐᾶτε ἕως τούτου. καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν. εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγεγονότας ἐπ' αὐτὸν, ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ, καὶ πρεσβυτέρους, ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων, καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ. ἀλλ' αὕτη ὑμῶν ἐστιν ἡ ὥρα, καὶ ἡ ἐξουσία τοῦ σκότους. Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ συγκαθισάντων αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν. ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ εἶπε· καὶ οὗτος σὺν αὐτῷ ἦν. ὁ δὲ ἠρνήσατο αὐτόν, λέγων· γύναι, οὐκ οἶδα αὐτόν. καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν, ἔφη· καὶ σὺ ἐξ αὐτῶν εἶ. ὁ δὲ Πέτρος εἶπεν· ἄνθρωπε, οὐκ εἰμί. καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις διϊσχυρίζετο, λέγων· ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ ἦν, καὶ γὰρ Γαλιλαῖός ἐστιν. εἶπε δὲ ὁ Πέτρος· ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ἀλέκτωρ. καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ. καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, ἀπαρνήσῃ με τρίς. καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος, ἔκλαυσε πικρῶς. καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες, καὶ περικαλύψαντες αὐτὸν, ἐπυνθάνοντο αὐτοῦ τὸ πρόσωπον, καὶ ἐπηρώτων αὐτὸν, λέγοντες· Προφήτευσον τίς ἐστιν ὁ παίσας σε; καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν. καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς καὶ γραμματεῖς, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν, λέγοντες· εἰ σὺ εἶ ὁ χριστός, εἰπὲ ἡμῖν. εἶπε δὲ αὐτοῖς· ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε. ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀπολύσητε. Ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν ϕ δυνάμεως τοῦ θεοῦ. Εἶπον δὲ πάντες· σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· ὑμεῖς λέγετε, ὅτι ἐγώ εἰμι. οἱ δὲ εἶπον· Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; Αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 23.

Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλᾶτον. ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ, λέγοντες· τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα, ἑαυτὸν χριστὸν βασιλέα εἶναι. Ὁ δὲ Πιλᾶτος ἐπηρώτησεν αὐτὸν, λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς αὐτῷ, ἔφη· Σὺ λέγεις. Ὁ δὲ Πιλᾶτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς, καὶ τοὺς ὄχλους· Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. Οἱ δὲ ἐπίσχυον, λέγοντες· ὅτι ἀνασείει τὸν λαόν, διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε. Πιλᾶτος δὲ ἀκούσας Γαλιλαίας, ἐπηρώτησεν, εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι, καὶ ἐπιγνοὺς, ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστὶν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. Ὁ δὲ Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν, ἐχάρη λίαν. ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ, καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον. Ἐπηρώτησε δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς. Αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ. Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. ἐγένοντο δὲ φίλοι ὅ, τε Πιλᾶτος καὶ ὁ Ἡρῴδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων. προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς. Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν, εἶπε πρὸς αὐτούς. Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαὸν, καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ, ἀλλ' οὐδὲ Ἡρῴδης. ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτὸν, καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ. Παιδεύσας οὖν αὐτὸν ἀπολύσω. ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτήν. ἀνεκραξαν δὲ παμπληθεί, λέγοντες· Αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν Βαραββᾶν. ὅς τις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φόνον, βεβλημένος εἰς φυλακήν. Πάλιν οὖν ὁ Πιλᾶτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. Οἱ δὲ ἐφώνουν, λέγοντες· Σταύρωσον, σταύρωσον αὐτόν. Ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς· Τί γὰρ κακὸν ἐποίησεν οὗτος; Οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ, παιδεύσας οὖν αὐτὸν ἀπολύσω. Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι. καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων. Ὁ δὲ Πιλᾶτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν. ἀπέλυσε δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακὴν, ὃν ᾐτοῦντο, τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν. καὶ ὡς ἀπήγαγον αὐτὸν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὀπίσω τοῦ Ἰησοῦ. Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, καὶ γυναικῶν, αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς, εἶπε· Θυγατέρες Ἰερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμὲ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν· ὅτι ἰδοὺ ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσι· Μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἐθήλασαν. Τότε ἄρξονται λέγειν τοῖς ὄρεσι, Πέσετε ἐφ' ἡμᾶς· καὶ τοῖς βουνοῖς, Καλύψατε ἡμᾶς. ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσι, ἐν τῷ ξηρῷ τί γένηται. Ἦγον δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν, καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλλον κλῆρον. καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες· Ἄλλους ἔσωσε, σωσάτω ἑαυτὸν, εἰ οὗτός ἐστιν ὁ χριστὸς, ὁ τοῦ θεοῦ ἐκλεκτός. ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι, καὶ ὄξος προσφέροντες αὐτῷ, καὶ λέγοντες· εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτοῦ γράμμασιν Ἑλληνικοῖς καὶ ῥωμαϊκοῖς καὶ ἑβραϊκοῖς· οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων. εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν, λέγων· εἰ σὺ εἶ ὁ χριστὸς, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος, ἐπετίμα αὐτῷ, λέγων· οὐδὲ φοβῇ σὺ τὸν θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως, ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης. καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου. καὶ τοῦτο εἰπὼν, ἐξέπνευσεν. Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξασε τὸν θεὸν, λέγων· ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη, ὑπέστρεφον. εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτῷ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα. Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ἰωσὴφ, βουλευτὴς, ὑπάρχων ἀνὴρ ἀγαθὸς καὶ

καὶ δίκαιος· οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν, ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων, ὃς καὶ προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ θεοῦ. Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ καθελὼν αὐτὸ, ἐνετύλιξεν αὐτὸ σίνδονι, καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ, ὃ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος. καὶ ἡμέρα ἦν παρασκευὴ, καὶ σάββατον ἐπέφωσκε. Κατακολουθήσασαι δὲ καὶ γυναῖκες, αἵ τινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ. ὑποστρέψασαι δὲ, ἡτοίμασαν ἀρώματα καὶ μύρα, καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

ΚΕΦΑΛ. 24.

Τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέως, ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, καὶ εἰσελθοῦσαι, οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ. καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ δύο ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθῆσι ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· Τί ζητεῖτε, τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων· ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἱ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας, βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν, θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην, ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἰερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς, καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς. Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο, τοῦ μὴ αὐτὸν γνῶναι αὐτούς. Εἶπε δὲ πρὸς αὐτούς· τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· τὰ περὶ Ἰησοῦ τοῦ Ναζαρηνοῦ, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ θεοῦ, καὶ παντὸς τοῦ λαοῦ, ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. ἀλλά γε σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον, λέγουσαι, καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτως, καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν, ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται. Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν, διερμήνευσεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ. καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. καὶ παρεβιάσαντο αὐτὸν, λέγοντες· μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶν, καὶ κέκλικεν ἡ ἡμέρα. καὶ εἰσῆλθε, τοῦ μεῖναι σὺν αὐτοῖς. καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. αὐτῶν δὲ διανοιχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτὸν, καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας· ὅτι ἠγέρθη ὁ κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου. Ταῦτα δὲ αὐτῶν λαλούντων, αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν. καὶ εἶπεν αὐτοῖς· τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν τῇ καρδίᾳ ὑμῶν; ἴδετε τὰς χεῖράς μου, καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι. Ψηλαφήσατε με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· ἔχετέ τι βρώσιμον ἐνθάδε;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ δὲ ἐπέλωκαν αὐ τοῦ ἰχθύ ὀπτοῦ μέρ, καὶ ἀπὸ μελισσίου λιπίς. Καὶ λαβὼν φώπον αὐ τῶν ἔφαγεν. εἶπε δὲ αὐτοῖς· οὗτοι οἱ λόγοι, οὓς ἐλάλησα πρὸς ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν. ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τοῦ νόμῳ μωσέως, καὶ προφήταις, καὶ ψαλμοῖς περὶ ἐμοῦ. Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς γραφάς. καὶ εἶπεν αὐτοῖς· ὅτι οὕτως γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν χριστόν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τοῦ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ ἱερουσαλήμ. ὑμεῖς δὲ ἐστε μάρτυρες τούτων. καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς. ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει ἱερουσαλήμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς βηθανίαν. καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τοῦ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτῷ, ὑπέστρεψαν εἰς ἱερουσαλήμ μετὰ χαρᾶς μεγάλης, καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν θεόν. Ἀμήν.

Εὐαγγελίον κατὰ λουκᾶν τέλος.

ΒΙΟΣ ΤΟΥ ΙΩΑΝΝΟΥ ΕΚ ΤΟΥ ΣΩΦΡΟΝΙΟΥ.

Ἰωάννης, ὃν Ἰησοῦς ἠγάπησεν, υἱὸς ζεβεδαίου, ἀδελφὸς ἰακώβου, τοῦ υἱοῦ βροντῆς μετὰ τὸ πάθος τοῦ κυρίου ἀπεκεφαλιθέντος, ἑκάστου πάντων ἐγράψαν εὐαγγέλιον, παρακληθεὶς πρὸς τῶν ἐν ἀσίᾳ ἐπισκόπων, ἐπὶ κήρινθου καὶ ἄλλων αἱρετικῶν, καὶ μάλιστα τολμηκότα τὴν τῶν ἐβιωνιτῶν λόγματος ἀνακύψαντος, τὸν φασκόντων τὸν χριστὸν πρὸ μαρίας μὴ γεγονέναι. ὅθεν ἠναγκάσθη τῇ θείᾳ γράφειν αὐτοῦ εἰπεῖν. Καὶ ἄλλην δὲ αἰτίαν τούτου τοῦ συγγράμματος φέρουσιν. ἀναγνοὺς γὰρ ματθαίου, μάρκου, καὶ λουκᾶ τὰ τυχόντα, ἐδοκίμασε μὲν τὸ ὕφος τῆς ἱστορίας, καὶ ἀληθῆ αὐτοὺς εἰρηκέναι ἐβεβαίωσεν· ἑνὸς δὲ γνησίου μόνου, ᾧ καὶ ἔπαθε, μετὰ τῆς φυλακῆς ἰωάννου τῆς ἱστορίαν σωτάξαι, ἐσθίων τὸν γνήσιον μὴ οὐ τὰ πεπραγμένα παρὰ τῶν τριῶν ἐξετέθη, τοῦ αὐτοπτοῦ χρόνου, πρίν ἢ τὸν ἰωάννην ἐμβληθῆναι εἰς τὴν εἱρκτήν, τὰς πράξεις ἐξέθετο, καθ' ἃ σαφηνισθῆναι δυνήσεται τοῖς ἀδηλοῦσι τοῖς ἑτέροις εὐαγγελίοις γνυγχάνουσιν. ὅπερ καὶ τὴν ἀσαφωνίαν τὴν δοκοῦσαν εἶναι ἰωάννου, μετὰ τῶν λοιπῶν ἔργει. ἔγραψε δὲ μίαν ἐπιστολήν, ἧς ἡ ἀρχή ἐστι· ὃ ἦν ἀπ' ἀρχῆς. ἥτις παρὰ πάντων τῶν ἐκκλησιαστικῶν καὶ πεπαιδευμένων ἀδόλως ἐγκρίνεται. Αἱ δὲ λοιπαὶ δύο, ὧν ἡ ἀρχή ἐστι, πρώτης μὲν· ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ. δευτέρας δὲ· ὁ πρεσβύτερος γαΐῳ τῷ ἀγαπητῷ. ἰωάννου πρεσβυτέρου λέγονται, οὗ ἔτι καὶ νῦν, ἕτερον μνῆμα ἐν τῇ ἐφέσῳ τυγχάνει. καί πινες νομίζουσι, τὰς δύο μνημεῖα ἰωάννου εἶναι τοῦ εὐαγγελιστοῦ, περὶ οὗ ἡνίκα καὶ τάξιν εἰς πατρίαν τούτῳ ἀκροατὴν ἐλθωμεν, ἐξηγησόμεθα. Τοιγαροῦν τεσσαρεσκαιδεκάτῳ ἔτει, δεύτερον μετὰ νέρωνα διωγμὸν κινοῦντος δομετιανοῦ, εἰς πάτμον νῆσον πορευόμενος, συνέταξεν ἀποκάλυψιν, ἣν μετέφρασεν ἰουστῖνος μάρτυς, καὶ ἑρμιανός. σφαγέντος δὲ δομετιανοῦ, καὶ τῶν πραξέων αὐτοῦ διὰ τὸν πολλὸν ὠμότητα παρὰ συγκλήτου ἀκυρωθεισῶν, ἐπὶ νέρβα εἰς ἔφεσον ἀναζεύξας, ἕως τραϊανοῦ τοῦ βασιλέως ἐκεῖσε διατελέσας, πάσας τὰς τῆς ἀσίας ἐθεμελίωσε καὶ ᾠκοδόμησεν ἐκκλησίας, καὶ λίαν γηράσας ἐξήκοσιν ὀγδόῳ ἐνιαυτῷ, μετὰ τὸν παθόν κυρίου τελευτήσας, πλησίον τῆς πεφημένης πόλεως ἐξιόθη τῆς κοιμήσεως.

ΕΥΑΓΓΕ·

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

ΕΝ ΑΡΧΗ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. Καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε, λέγων· Οὗτος ἦν ὃν εἶπον· ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Θεὸν οὐδεὶς ἑώρακε πώποτε. Ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας, ἵνα ἐρωτήσωσιν αὐτὸν· σὺ τίς εἶ; Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο. καὶ ὡμολόγησεν, ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ χριστός. καὶ ἠρώτησαν αὐτὸν, τί οὖν; Ἠλίας εἶ σύ; καὶ λέγει, οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη, Οὔ. Εἶπον οὖν αὐτῷ· τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; τί λέγεις περὶ σεαυτοῦ; Ἔφη, ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης. καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων, καὶ ἠρώτησαν αὐτὸν, καὶ εἶπον αὐτῷ· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ χριστὸς, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης, λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι, μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. Ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων. Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει· Ἰδοὺ ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὗτός ἐστιν ὑπὲρ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Κἀγὼ οὐκ ἤδειν αὐτὸν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων. καὶ ἐμαρτύρησεν Ἰωάννης, λέγων· ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν. Κἀγὼ οὐκ ἤδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ. καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββεί, ὃ λέγεται ἑρμηνευόμενον, διδάσκαλε, ποῦ μένεις; Λέγει αὐτοῖς· ἔρχεσθε καὶ ἴδετε. ἦλθον καὶ εἶδον ποῦ μένει, καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην. ὥρα δὲ ἦν ὡς δεκάτη. ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ. εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, χριστός. Καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, εἶπε· σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. ἦν δὲ Φίλιππος ἀπὸ Βηθσαϊδὰ ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ· ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν

τὸν

τ ὑὸν τ̃ ἰωσὴφ ὸν ἀπ̃ ναζαρὲθ. Καὶ εἶπ̃ν αὐτ̃ῷ ναθαναὴλ, ἐκ ναζαρὲθ δύ̃ατόν τι ἀγαθὸν εἶν̃; Λέγει αὐτ̃ῷ Φίλιππ̃ος· ὄρχ̃ου καὶ ἴδε. εἶδεν ὁ Ἰησ̃ς ὸν ναθαναὴλ ὀρχόμενον πρ̃ὸς αὐτὸν, καὶ λέγει περὶ αὐτ̃οῦ· ἴδε ἀληθ̃ῶς ἰσραηλίτης, ἐν ᾧ δόλ̃ος οὐκ ἔστι. Λέγει αὐτ̃ῷ ναθαναὴλ· πόθ̃ν με γινώσκεις; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπ̃ν αὐτ̃ῷ· πρὸ τ̃οῦ σε Φίλιππον φων̃ῆσαι ὄντα ὑπὸ τ̃ὴν συκ̃ῆν, εἶδόν σε· ἀπεκρίθη ναθαναὴλ, καὶ λέγει αὐτ̃ῷ· Ῥαββεὶ, σὺ εἶ ὁ ὑὸς τ̃οῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τ̃οῦ ἰσραὴλ. ἀπεκρίθη ὁ Ἰησ̃ς, καὶ εἶπεν αὐτ̃ῷ· ὅτι εἶπόν σοι, εἶδόν σε ὑπὸ κάτω τ̃ὴν συκ̃ῆν, πιστεύεις, μείζω τ̃ούτων ὄψει. καὶ λέγει αὐτ̃ῷ· Ἀμὴν ἀμὴν λέγω ὑμ̃ῖν, ἀπ̃ ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τ̃οῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τ̃οῦ ἀνθρώπου.

ΚΕΦΑΛ. β.

Καὶ τ̃ῇ ἡμέρᾳ τ̃ῇ τρίτῃ γάμ̃ος ἐγέν̃ετο ἐν κανᾶ τ̃ῆς γαλιλαίας. καὶ ἦν ἡ μήτηρ τ̃οῦ Ἰησοῦ ἐκεῖ. ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτ̃οῦ εἰς τὸν γάμον. καὶ ὑσ̃ερήσαντ̃ος οἴνου, λέγει ἡ μήτηρ τ̃οῦ Ἰησοῦ πρ̃ὸς αὐτ̃όν· Οἶνον οὐκ ἔχουσι. λέγει αὐτ̃ῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ κὴ σοὶ γύναι; οὔπω ἥκει ἡ ὥρα μου. λέγει ἡ μήτηρ αὐτ̃οῦ τοῖς διακόνοις, ὅ, τι ἂν λέγῃ ὑμ̃ῖν, ποιήσατε. ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κειμεναι κ̃ατὰ τὸν καθαρισμὸν τ̃ῶν ἰουδαίων, χωρ̃οῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. λέγει αὐτ̃οῖς ὁ Ἰησοῦς· γεμίσατε τὰς ὑδρίας ὕδατ̃ος. καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. καὶ λέγει αὐτ̃οῖς· ἀντλήσατε νῦν, καὶ φέρετε τ̃ῷ ἀρχιτρικλίνῳ, καὶ ἤν̃εγκαν. Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλιν̃ος τὸ ὕδωρ οἶνον γεγεννημένον, καὶ οὐκ ᾔδει πόθ̃ν ἐστὶν, οἱ δὲ διάκονοι ἤδεισαν οἱ ἠντληκ̃ότες τὸ ὕδωρ, φων̃εῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλιν̃ος, καὶ λέγει αὐτ̃ῷ· Πᾶς ἄνθρωπ̃ος πρ̃ῶτον τ̃ὸν καλὸν οἶνον τίθησι, καὶ ὅτ̃αν μεθυσθ̃ῶσι, τότε τ̃ὸν ἐλάσσω. σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. Ταύτ̃ην ἐποίησε τὴν ἀρχὴν τ̃ῶν σημείων ὁ Ἰησοῦς ἐν κανᾷ τ̃ῆς γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτ̃οῦ, καὶ ἐπίσ̃ευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτ̃οῦ. Μετὰ τ̃οῦτο κατέβη εἰς καπ̃ναούμ αὐτὸς καὶ ἡ μήτηρ αὐτ̃οῦ, καὶ οἱ ἀδελφοὶ αὐτ̃οῦ, καὶ οἱ μαθηταὶ αὐτ̃οῦ, καὶ ἐκεῖ ἔμειναν ὐ πολλὰς ἡμέρας. Καὶ ἐγγὺς ἦν τὸ πάσχα τ̃ῶν ἰουδαίων, καὶ ἀνέβη εἰς ἱ̃εροσόλυμα ὁ Ἰησοῦς. Καὶ εὗρεν ἐν τ̃ῷ ἱ̃ερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ πε̃ριστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους. καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τ̃οῦ ἱ̃εροῦ, τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τ̃ῶν κολλυβιστ̃ῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέστρεψε. καὶ τοῖς τὰς πε̃ριστερὰς πωλοῦσιν, εἶπεν· ἄρατε τα̃ῦτα ἐνθάδε, καὶ μὴ ποιεῖτε τὸν οἶκον τ̃οῦ πατρός μ̃ου οἶκον ἐμπορείου. Ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτ̃οῦ, ὅτι γεγραμμένον ἐστὶν· ὁ ζῆλ̃ος τ̃οῦ οἴκου σ̃ου κατέφαγέ μ̃ε. Ἀπεκρίθησαν οὖν οἱ ἰουδαῖοι, καὶ εἶπον αὐτ̃ῷ· τί σημεῖον δείκνυες ἡμ̃ῖν, ὅτι ταῦτα ποιεῖς; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· λύσατε τ̃ὸν ναὸν τ̃οῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτ̃όν. εἶπον οὖν οἱ ἰουδαῖοι· τεσσαρακ̃ονταεξ καὶ ἓξ ἐτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτ̃ος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτ̃όν; Ἐκεῖν̃ος δὲ ἔλεγε περὶ τ̃οῦ ναοῦ τ̃οῦ σώματ̃ος αὐτ̃οῦ. ὅτε οὖν ἠγέρθη ἐκ νεκρ̃ῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτ̃οῦ, ὅτι τ̃οῦτο ἔλεγε αὐτοῖς, καὶ ἐπίσ̃ευσαν τ̃ῇ γραφ̃ῇ, καὶ τ̃ῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς. ὡς δὲ ἦν ἐν ἱ̃εροσολύμοις ἐν τ̃ῷ πάσχα ἐν τ̃ῇ ἑορτ̃ῇ, πολλοὶ ἐπίσ̃ευσαν εἰς τὸ ὄνομα αὐτ̃οῦ, θεωροῦντες αὐτ̃οῦ τὰ σημεῖα ἃ ἐποίει. αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίσ̃ευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας· καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ τ̃οῦ ἀνθρώπου. αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τ̃ῷ ἀνθρώπῳ.

ΚΕΦΑΛ. γ.

Ἦν δὲ ἄνθρωπ̃ος ἐκ τ̃ῶν φαρισαίων, νικόδημ̃ος ὄνομα, ἄρχων τ̃ῶν ἰουδαίων. οὗτ̃ος ἦλθε πρ̃ὸς τὸν Ἰησοῦν νυκτὸς, καὶ εἶπεν αὐτ̃ῷ· ῥαββεῖ, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλ̃ος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύ̃ατται ποιεῖν, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτ̃οῦ. ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτ̃ῷ· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθ̃ῇ ἄνωθεν, οὐ δύ̃ατται ἰδεῖν τὴν βασιλείαν τ̃οῦ θεοῦ. λέγει πρ̃ὸς αὐτὸν ὁ νικόδημ̃ος· πῶς δύ̃ατται ἄνθρωπ̃ος γεννηθ̃ῆναι γέρ̃ων ὤν; μὴ δύ̃ατται εἰς τὴν κοιλίαν τ̃ῆς μητρὸς αὐτ̃οῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθ̃ῆναι; ἀπεκρίθη ὁ Ἰησοῦς, ἀμὴν ἀμὴν λέγω σοι. ἐὰν μ̃ή τις γεννηθ̃ῇ ἐξ ὕδατ̃ος καὶ πνεύματ̃ος, οὐ δύ̃ατται εἰσελθεῖν εἰς τὴν βασιλείαν τ̃οῦ θεοῦ. Τὸ γεγεννημένον ἐκ τ̃ῆς σαρκὸς, σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τ̃οῦ πνεύματ̃ος, πνεῦμά ἐστι. Μὴ θαυμάσ̃ῃς, ὅτι εἶπόν σοι, ὅτι δεῖ ὑμᾶς γεννηθ̃ῆναι ἄνωθεν. Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φων̃ὴν αὐτ̃οῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθ̃ν ἔρχεται, καὶ ποῦ ὑπάγει. Οὕτ̃ως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τ̃οῦ πνεύματ̃ος. ἀπεκρίθη νικόδημ̃ος, καὶ εἶπεν αὐτ̃ῷ· Πῶς δύ̃ατται ταῦτα γενέσθαι; Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτ̃ῷ· Σὺ εἶ ὁ διδάσκαλος ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; ἀμὴν ἀμὴν λέγω σοι, ὅτι ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμ̃ῶν οὐ λαμβάνετε. εἰ τὰ ἐπίγεια εἶπον ὑμ̃ῖν, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω τὰ ἐπουράνια πιστεύσητε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τ̃οῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τ̃οῦ ἀνθρώπου, ὁ ὢν ἐν τ̃ῷ οὐρανῷ. καὶ καθὼς μωσ̃ῆς ὕψωσε τὸν ὄφιν ἐν τ̃ῇ ἐρήμῳ, οὕτως ὑψωθ̃ῆναι δεῖ τὸν υἱὸν τ̃οῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτ̃όν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τ̃ὸν κόσμον,

ὥστε

ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται. ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς. ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ αὐτοῦ τὰ ἔργα. ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα. Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζεν. Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ. καὶ παρεγίνοντο, καὶ ἐβαπτίζοντο. οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ καθαρισμοῦ, καὶ ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον αὐτῷ· ῥαββεί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. ἀπεκρίθη Ἰωάννης, καὶ εἶπεν· οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε, ὅτι εἶπον· οὐκ εἰμὶ ἐγὼ ὁ χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν. ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ. ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστὶ, καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν, ὅτι ὁ θεὸς ἀληθής ἐστιν. ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ. οὐ γὰρ ἐκ μέτρου δίδωσι τὸ πνεῦμα. ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει ζωὴν αἰώνιον. Ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν.

ΚΕΦΑΛ. 4.

Ὡς οὖν ἔγνω ὁ Κύριος, ὅτι ἤκουσαν οἱ Φαρισαῖοι, ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ, καὶ βαπτίζει, ἢ Ἰωάννης, καίτοι γε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ· ἀφῆκε τὴν Ἰουδαίαν, καὶ ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν. ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ Σαμαρείας. ἔρχεται οὖν εἰς πόλιν Σαμαρείας λεγομένην Συχάρ, πλησίον τοῦ χωρίου, ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. Ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη. Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. Λέγει αὐτῇ ὁ Ἰησοῦς, δός μοι πεῖν. οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. Λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις· πῶς σὺ Ἰουδαῖος ὢν, παρ' ἐμοῦ πεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; Οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· εἰ ἤδεις τὴν δωρεὰν τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι· δός μοι πεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. Λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ, πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν. ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. Λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. Λέγει αὐτῇ ὁ Ἰησοῦς· ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. ἀπεκρίθη ἡ γυνὴ, καὶ εἶπεν αὐτῷ· οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς· καλῶς εἶπας, ὅτι ἄνδρα οὐκ ἔχω. πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ὁ ἀνήρ. τοῦτο ἀληθὲς εἴρηκας. Λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Λέγει αὐτῷ ἡ γυνή· οἶδα ὅτι μεσσίας ἔρχεται, ὁ λεγόμενος χριστός. ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν ἅπαντα. Λέγει αὐτῇ, Ἰησοῦς· ἐγώ εἰμὶ ὁ λαλῶν σοι. καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν ὅτι μετὰ γυναικὸς ἐλάλει. οὐδεὶς μέντοι εἶπε· τί ζητεῖς, ἢ τί λαλεῖς μετ' αὐτῆς; ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ, καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις·

Δεῦτε

δοῦτε ἴδητε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα, μήτι οὗτός ἐστιν ὁ χριστός; ἐξῆλθον οὖν ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν. ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταί, λέγοντες· ῥαββεί, φάγε. Ὁ δὲ εἶπεν αὐτοῖς· ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; Λέγει αὐτοῖς ὁ Ιησοῦς· ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. οὐχ ὑμεῖς λέγετε, ὅτι ἔτι τετράμηνόν ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν· ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων. ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν, ὃ οὐχ ὑμεῖς κεκοπιάκατε. ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικός, μαρτυρούσης, ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς, καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ. Τῇ τε γυναικὶ ἔλεγον· ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν, αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ χριστός. Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν εἰς τὴν γαλιλαίαν. Αὐτὸς γὰρ Ιησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. Ὅτε οὖν ἦλθεν εἰς τὴν γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ γαλιλαῖοι, πάντα ἑωρακότες, ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ. καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. ἦλθεν οὖν ὁ Ιησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς γαλιλαίας, ὅπου ἐποίησεν τὸ ὕδωρ οἶνον. Καὶ ἦν τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ. οὗτος ἀκούσας, ὅτι Ιησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτὸν, καὶ ἤρωτα αὐτὸν, ἵνα καταβῇ, καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν. ἤμελλε γὰρ ἀποθνήσκειν. εἶπεν οὖν ὁ Ιησοῦς πρὸς αὐτὸν, ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. Λέγει πρὸς αὐτὸν ὁ βασιλικός· Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. Λέγει αὐτῷ ὁ Ιησοῦς· πορεύου, ὁ υἱός σου ζῇ. καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ, ᾧ εἶπεν αὐτῷ ὁ Ιησοῦς, καὶ ἐπορεύετο. ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ, καὶ ἀπήγγελλαν λέγοντες, ὅτι ὁ παῖς σου ζῇ. ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν, ἐν ᾗ κομψότερον ἔσχεν. καὶ εἶπον αὐτῷ· ὅτι χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. ἔγνω οὖν ὁ πατὴρ, ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ιησοῦς, ὅτι ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ιησοῦς, ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν γαλιλαίαν.

ΚΕΦΑΛ. ε.

Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ιησοῦς εἰς Ἱεροσόλυμα. ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις, ἐπὶ τῇ προβατικῇ κολυμβήθρα, ἡ ἐπιλεγομένη ἑβραϊστὶ Βηθζαθά, πέντε στοὰς ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ. ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι. Ἦν δέ τις ἄνθρωπος ἐκεῖ, τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ. Τοῦτον ἰδὼν ὁ Ιησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· Θέλεις ὑγιὴς γενέσθαι; Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· κύριε, ἄνθρωπον οὐκ ἔχω ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν. ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. Λέγει αὐτῷ ὁ Ιησοῦς· ἔγειραι, ἆρον τὸν κράβαττόν σου, καὶ περιπάτει. καὶ εὐθέως ἐγίνετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράβαττον αὐτοῦ, καὶ περιεπάτει. ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· σάββατόν ἐστιν, οὐκ ἔξεστί σοι ἆραι τὸν κράβαττον. Ἀπεκρίθη αὐτοῖς· ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· ἆρον τὸν κράβαττόν σου, καὶ περιπάτει. ἠρώτησαν οὖν αὐτὸν, τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ἆρον τὸν κράβαττόν σου, καὶ περιπάτει; ὁ δὲ ἰαθεὶς οὐκ ἤδει τίς ἐστιν. ὁ γὰρ Ιησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ. μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ιησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ· ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀπήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ιησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ. καὶ διὰ τοῦτο ἐδίωκον οἱ Ἰουδαῖοι τὸν Ιησοῦν, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. Ὁ δὲ Ιησοῦς ἀπεκρίνατο αὐτοῖς· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ. Ἀπεκρίνατο οὖν ὁ Ιησοῦς, καὶ εἶπεν αὐτοῖς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. ἃ γὰρ ἂν ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. Ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ. καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωοποιεῖ

οὕτως

οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. Ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ, καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. Μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. Καθὼς ἀκούω, κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν. ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ. καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία, ἣν μαρτυρεῖ περὶ ἐμοῦ. ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ. ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω, ἵνα ὑμεῖς σωθῆτε. ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου. Τὰ γὰρ ἔργα ἃ ἔδωκέ μοι ὁ πατήρ, ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ με ἀπέσταλκε. καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ, οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε. καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. ἐρευνᾶτε τὰς γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε. δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω, ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε; Μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. εἰ γὰρ ἐπιστεύετε Μωσῆ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν· εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε;

ΚΕΦΑΛ. ϛ.

Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβεριάδος, καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. Ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, κἀκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ τῶν Ἰουδαίων. ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς, καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν, λέγει πρὸς τὸν Φίλιππον· πόθεν ἀγοράσωμεν ἄρτους, ἵνα φάγωσιν οὗτοι; Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν. αὐτὸς γὰρ ἤδει τί ἔμελλε ποιεῖν. Ἀπεκρίθη αὐτῷ Φίλιππος· Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ. Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου· Ἔστι παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια, ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; Εἶπε δὲ ὁ Ἰησοῦς· Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις, ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ· συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν. Οἱ οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον· ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον. Ἰησοῦς οὖν γνοὺς, ὅτι μέλλουσιν ἔρχεσθαι, καὶ ἁρπάζειν αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος. ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν. καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ. καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς. ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο. Ἐληλακότες οὖν ὡς σταδίους εἴκοσι τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον, καὶ ἐφοβήθησαν. Ὁ δὲ λέγει αὐτοῖς· ἐγώ εἰμι, μὴ φοβεῖσθε. ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον. Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ιησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον. ἀλλὰ ἦλθε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ κυρίου. ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι Ιησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν καὶ αὐτοὶ εἰς τὰ πλοιάρια, καὶ ἦλθον εἰς Καπερναούμ, ζητοῦντες τὸν Ιησοῦν. Καὶ εὑρόντες αὐτὸν εἰς πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ· ῥαββεί, πότε ὧδε γέγονας; Ἀπεκρίθη αὐτοῖς ὁ Ιησοῦς, καὶ εἶπεν· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε. Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει. τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. εἶπον οὖν πρὸς αὐτόν· τί ποιοῦμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; Ἀπεκρίθη ὁ Ιησοῦς, καὶ εἶπεν αὐτοῖς· τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. εἶπον οὖν αὐτῷ· τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ; οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. εἶπεν οὖν αὐτοῖς ὁ Ιησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν δίδους τῷ κόσμῳ. εἶπον οὖν πρὸς αὐτόν· κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. εἶπε δὲ αὐτοῖς ὁ Ιησοῦς· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε. ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε. Πᾶν ὃ δίδωσί μοι ὁ πατήρ, πρός με ἥξει, καὶ τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. Τοῦτο δέ ἐστι θέλημα τοῦ πέμψαντός με πατρός, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ ἡμέρᾳ. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν· ὅτι ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ. καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ Ιησοῦς, ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει οὗτος, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα. Ἀπεκρίθη οὖν ὁ Ιησοῦς, καὶ εἶπεν αὐτοῖς· Μὴ γογγύζετε μετ' ἀλλήλων. οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν, κἀγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἔστι γεγραμμένον ἐν τοῖς προφήταις· καὶ ἔσονται πάντες διδακτοὶ τοῦ θεοῦ. Πᾶς οὖν ὁ ἀκούσας παρὰ τοῦ πατρὸς, καὶ μαθὼν, ἔρχεται πρός με. Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰμὴ ὁ ὢν παρὰ τοῦ θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; εἶπεν οὖν αὐτοῖς ὁ Ιησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον. ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσει εἰς τὸν αἰῶνα. ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπερναούμ. πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον· σκληρός ἐστιν οὗτος ὁ λόγος, τίς δύναται αὐτοῦ ἀκούειν; εἰδὼς δὲ ὁ Ιησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· τοῦτο ὑμᾶς σκανδαλίζει; ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι, καὶ ζωή ἐστιν. ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινες, οἳ οὐ πιστεύουσιν. Ἤδει γὰρ ἐξ ἀρχῆς ὁ Ιησοῦς, τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν. Καὶ ἔλεγεν· Διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ἦ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός. ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. Εἶπεν οὖν ὁ Ιησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; Ἀπεκρίθη οὖν αὐτῷ Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις· καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. Ἀπεκρίθη αὐτοῖς ὁ Ιησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην, καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν; ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτου. οὗτος γὰρ ἤμελλεν αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα.

Κεφαλ.

Καὶ περιεπάτει ὁ Ιησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ. ὁ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία. Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα σου ἃ ποιεῖς. οὐδεὶς γάρ ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι. Εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ. Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. Λέγει οὖν αὐτοῖς ὁ Ιησοῦς· Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς. ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην, ἐγὼ οὐπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται. Ταῦτα δὲ εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ. Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ. Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ, καὶ ἔλεγον· Ποῦ ἐστιν ἐκεῖνος; καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις. οἱ μὲν ἔλεγον· ὅτι ἀγαθός ἐστιν. ἄλλοι δὲ ἔλεγον· οὔ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. οὐδεὶς μέντοι παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων. Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ιησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε. καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι, λέγοντες· πῶς οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς; Ἀπεκρίθη αὐτοῖς ὁ Ιησοῦς, καὶ εἶπεν· Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με. ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ. Ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν. Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; Τί με ζητεῖτε ἀποκτεῖναι; Ἀπεκρίθη ὁ ὄχλος, καὶ εἶπε· Δαιμόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι; Ἀπεκρίθη ὁ Ιησοῦς, καὶ εἶπεν αὐτοῖς· ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε. Διὰ τοῦτο Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν, οὐχ ὅτι ἐκ τοῦ Μωσέως ἐστὶν, ἀλλ' ἐκ τῶν πατέρων, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ. μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν, οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; Καὶ ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι· μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ χριστός; ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ χριστὸς ὅτε ἔρχεται, οὐδεὶς γινώσκει πόθεν ἐστίν. Ἔκραξεν οὖν ὁ Ιησοῦς ἐν τῷ ἱερῷ διδάσκων, καὶ λέγων· κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί. καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. ἐγὼ δὲ οἶδα αὐτὸν ὅτι παρ' αὐτοῦ εἰμί, κἀκεῖνός με ἀπέστειλεν. ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. Πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτὸν, καὶ ἔλεγον· ὅτι ὁ χριστὸς ὅτε ἔλθῃ, μή τι πλείονα σημεῖα ποιήσει ὧν οὗτος ἐποίησεν; Ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα, καὶ ἀπέστειλαν οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Ιησοῦς· ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμί, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Ζητήσετέ με καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· ποῦ οὗτος μέλλει πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; Μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι, καὶ διδάσκειν τοὺς Ἕλληνας; Τίς ἐστιν οὗτος ὁ λόγος ὃν εἶπε· ζητήσετέ με καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς, εἱστήκει ὁ Ιησοῦς καὶ ἔκραξε, λέγων· ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι ὁ Ιησοῦς οὐδέπω ἐδοξάσθη. Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, ἔλεγον· οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης. ἄλλοι ἔλεγον· οὗτός ἐστιν ὁ χριστός. ἄλλοι δὲ ἔλεγον· μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ χριστὸς ἔρχεται; οὐχὶ ἡ γραφὴ εἶπεν· ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ, καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαβὶδ, ὁ χριστὸς ἔρχεται; Σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν. Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτὸν, ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας. Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· διατί οὐκ ἠγάγετε αὐτόν; Ἀπεκρίθησαν οἱ ὑπηρέται· οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· μὴ καὶ ὑμεῖς πεπλανήσθε; Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἢ ἐκ τῶν Φαρισαίων; Ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον, ἐπίκατάρατοί εἰσι. Λέγει Νικόδημος πρὸς αὐτούς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν· μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ τί ποιεῖ;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιεῖ; Απεκρίθησαν, καὶ εἶπον αὐτῷ· μὴ καὶ σὺ ἐκ τῆς γαλιλαίας εἶ; ἐρεύνησον, καὶ ἴδε, ὅτι προ
φήτης ἐκ τῆς γαλιλαίας οὐκ ἐγήγερται. καὶ ἐπορεύθη ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

ΚΕΦΑΛ. η.

Ιησοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν. ὄρθρου δὲ πάλιν παρεγένετο εἰς τὸ ἱερόν, καὶ πᾶς
ὁ λαὸς ἤρχετο πρὸς αὐτόν, καὶ καθίσας ἐδίδασκεν αὐτούς. φέρουσι δὲ οἱ γραμματεῖς καὶ οἱ
φαρισαῖοι πρὸς αὐτὸν γυναῖκα ἐπὶ μοιχείᾳ κατειλημμένην, καὶ στήσαντες αὐτὴν ἐν μέσῳ, λέ
γουσιν αὐτῷ· Διδάσκαλε, αὕτη ἡ γυνὴ κατείληπται ἐπ' αὐτοφώρῳ μοιχευομένη, ἐν δὲ τῷ νό
μῳ ἡμῖν ἐνετείλατο τὰς τοιαύτας λιθοβολεῖσθαι. σὺ οὖν τί λέγεις; Τοῦτο δὲ ἔλεγον πει
ράζοντες αὐτόν, ἵνα ἔχωσι κατηγορεῖν αὐτοῦ. Ο δὲ Ιησοῦς κατακύψας, τῷ δακτύλῳ κατέγρα
φεν εἰς τὴν γῆν, ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτόν, καὶ ἀνακύψας, εἶπε πρὸς αὐτούς· Ο ανα
μάρτητος ὑμῶν πρῶτος τὸν λίθον ἐπ' αὐτῇ βαλέτω. καὶ πάλιν κατακύψας ἔγραφεν
εἰς τὴν γῆν. Οἱ δὲ ἀκούσαντες ἐξήρχοντο εἷς, καθ' εἷς ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων, καὶ κατε
λείφθη μόνος ὁ Ιησοῦς καὶ ἡ γυνὴ ἐν μέσῳ ἑστῶσα. Ανακύψας δὲ ὁ Ιησοῦς, καὶ μηδένα θεασά
μενος πλὴν τῆς γυναικός, εἶπεν αὐτῇ· γύναι, ποῦ εἰσὶν ἐκεῖνοι οἱ κατήγοροί σου; οὐδείς σε κα
τέκρινεν; Η δὲ εἶπεν· οὐδείς κύριε. εἶπε δὲ ὁ Ιησοῦς· οὐδὲ ἐγώ σε κατακρίνω. Πορεύου, καὶ μηκέτι
ἁμάρτανε. Πάλιν οὖν ὁ Ιησοῦς αὐτοῖς ἐλάλησε, λέγων· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. ὁ ἀκολουθῶν
ἐμοί, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. εἶπον οὖν αὐτῷ οἱ φαρισαῖοι·
σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. Απεκρίθη Ιησοῦς, καὶ εἶπεν αὐτοῖς·
κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον, καὶ ποῦ
ὑπάγω. ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι, ἢ ποῦ ὑπάγω. ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ
οὐ κρίνω οὐδένα. καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν· ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ
καὶ ὁ πέμψας με πατήρ. καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται· ὅτι δύο ἀνθρώπων ἡ
μαρτυρία ἀληθής ἐστιν. ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας
με πατήρ. ἔλεγον οὖν αὐτῷ· ποῦ ἐστιν ὁ πατήρ σου. Απεκρίθη Ιησοῦς· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν
πατέρα μου. Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε ἄν. Ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ Ιη
σοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐλή
λυθει ἡ ὥρα αὐτοῦ. εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ιησοῦς· ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με, καὶ ἐν τῇ
ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε. ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. ἔλεγον οὖν οἱ Ιουδαῖ
οι· μήτι ἀποκτενεῖ ἑαυτόν, ὅτι λέγει, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; Καὶ ἔλεγεν
αὐτοῖς· ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί. ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμὶ
ἐκ τοῦ κόσμου τούτου. εἶπον οὖν ὑμῖν, ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἐὰν γὰρ μὴ πι
στεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἔλεγον οὖν αὐτῷ· σὺ τίς εἶ; Καὶ
εἶπεν αὐτοῖς ὁ Ιησοῦς· τὴν ἀρχὴν, ὅτι καὶ λαλῶ ὑμῖν. πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν,
ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι. κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον.
οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν. εἶπεν οὖν αὐτοῖς ὁ Ιησοῦς· ὅταν ὑψώσητε τὸν υἱὸν
τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδα
ξέ με ὁ πατήρ μου, ταῦτα λαλῶ, καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστιν. Οὐκ ἀφῆκέ με μόνον ὁ πα
τήρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε. ταῦτα αὐτοῦ λαλοῦντος, πολλοὶ ἐπίστευσαν
εἰς αὐτόν. ἔλεγεν οὖν ὁ Ιησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ
λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώ
σει ὑμᾶς. ἀπεκρίθησαν αὐτῷ· σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε.
πῶς σὺ λέγεις, ὅτι ἐλεύθεροι γενήσεσθε; ἀπεκρίθη αὐτοῖς ὁ Ιησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν,
ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. Ο δὲ δοῦλος, οὐ μένει ἐν τῇ οἰκίᾳ
εἰς τὸν αἰῶνα. Ο υἱὸς μένει εἰς τὸν αἰῶνα. Ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσε.
Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε, ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν
ὑμῖν. ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ, καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ
ὑμῶν, ποιεῖτε. ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ· ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι. λέγει αὐτοῖς ὁ Ιη
σοῦς. Εἰ τέκνα τοῦ Ἀβραάμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε. Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι
ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ. τοῦτο Ἀβραὰμ οὐκ ἐποί
ησεν. ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. εἶπον οὖν αὐτῷ· ἡμεῖς ἐκ πορνείας οὐ γεγεννη
μεθα, ἕνα πατέρα ἔχομεν τὸν θεόν. εἶπεν αὐτοῖς ὁ Ιησοῦς· εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε
ἂν ἐμέ. ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον, καὶ ἥκω. Οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός
με ἀπέστειλε. διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν
ἐμόν. ὑμεῖς ἐκ πατρὸς τοῦ διαβόλου ἐστέ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν.
ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐκ ἔστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐ
τῷ. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ, καὶ ὁ πατὴρ αὐτοῦ, ἐγώ δὲ
ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι τῷ ἀληθειαν λέγω, οὐ πιστεύετέ μοι. τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει. Διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ. Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ· οὐ καλῶς λέγομεν ἡμεῖς, ὅτι σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις; Ἀπεκρίθη Ἰησοῦς· ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου, ἔστιν ὁ ζητῶν καὶ κρίνων. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Νῦν ἐγνώκαμεν, ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανε, καὶ οἱ προφῆται, καὶ σὺ λέγεις· ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσεται θανάτου εἰς τὸν αἰῶνα. Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅς τις ἀπέθανε; καὶ οἱ προφῆται ἀπέθανον. τίνα σεαυτὸν σὺ ποιεῖς; Ἀπεκρίθη Ἰησοῦς· ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν. ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε, ὅτι θεὸς ὑμῶν ἐστι, καὶ οὐκ ἐγνώκατε αὐτόν, ἐγὼ δὲ οἶδα αὐτόν. κἂν εἴπω ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν ψεύστης. ἀλλ' οἶδα αὐτόν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ. Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε καὶ ἐχάρη. εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν· πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. ἦραν οὖν λίθους, ἵνα βάλωσιν ἐπ' αὐτόν. Ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ.

ΚΕΦΑΛ. 9.

ΚΑΙ παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς, καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· ῥαββεί, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; Ἀπεκρίθη ὁ Ἰησοῦς, ὅτε οὗτος ἥμαρτεν, ὅτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ. ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν. ἔρχεται νύξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμὶ τοῦ κόσμου. ταῦτα εἰπὼν, ἔπτυσε χαμαὶ, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, καὶ εἶπεν αὐτῷ· ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων. Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον, ὅτι προσάββατόν ἐστιν, ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαίτης; ἄλλοι ἔλεγον, ὅτι οὗτός ἐστιν. ἄλλοι δέ, ὅτι ὅμοιος αὐτῷ ἐστιν. ἐκεῖνος ἔλεγεν· ὅτι ἐγώ εἰμι. ἔλεγον οὖν αὐτῷ· πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπεν· ἄνθρωπος λεγόμενος Ἰησοῦς, πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ εἶπέ μοι· ὕπαγε εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ, καὶ νίψαι. ἀπελθὼν δὲ καὶ νιψάμενος ἀνέβλεψα. εἶπον οὖν αὐτῷ· ποῦ ἐστιν ἐκεῖνος; λέγει· οὐκ οἶδα. Ἄγουσιν αὐτὸν πρὸς τοὺς φαρισαίους, τὸν ποτε τυφλόν. ἦν δὲ σάββατον, ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. Πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ φαρισαῖοι, πῶς ἀνέβλεψεν; ὁ δὲ εἶπεν αὐτοῖς· πηλὸν ἐπέθηκέ μου ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην, καὶ βλέπω. ἔλεγον οὖν ἐκ τῶν φαρισαίων τινὲς· οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. ἄλλοι δὲ ἔλεγον· πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; καὶ σχίσμα ἦν ἐν αὐτοῖς. λέγουσι τῷ τυφλῷ πάλιν· σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὁ δὲ εἶπεν, ὅτι προφήτης ἐστίν. Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος, καὶ ἠρώτησαν αὐτοὺς, λέγοντες· οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν ἄρτι βλέπει; Ἀπεκρίθησαν οἱ γονεῖς αὐτοῦ, καὶ εἶπον· οἴδαμεν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει, οὐκ οἴδαμεν· ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμούς, ἡμεῖς οὐκ οἴδαμεν. αὐτὸν ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε, αὐτὸς περὶ αὐτοῦ λαλήσει. Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους. ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται. Διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον, ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε. ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον, ὃς ἦν τυφλὸς, καὶ εἶπον αὐτῷ· δὸς δόξαν τῷ θεῷ. ἡμεῖς οἴδαμεν, ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. Ἀπεκρίθη οὖν ἐκεῖνος, καὶ εἶπεν· εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα. ἓν οἶδα, ὅτι τυφλὸς ὢν, ἄρτι βλέπω. εἶπον οὖν αὐτῷ πάλιν· Τί ἐποίησέ σοι, πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; Ἀπεκρίθη αὐτοῖς, εἶπεν ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε, τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; ἐλοιδόρησαν οὖν αὐτὸν, καὶ εἶπον· σὺ εἶ μαθητὴς ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί. ἡμεῖς οἴδαμεν, ὅτι Μωσεῖ ἐλάλησεν ὁ θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. ἀπεκρίθη ὁ ἄνθρωπος, καὶ εἶπεν αὐτοῖς· ἐν γὰρ τούτῳ τὸ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστὶ, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς. Οἴδαμεν δὲ, ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει. ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τοῦτου ἀκούει. ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου, εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ, οὐκ ἠδύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναπο ποιεῖν ὀλόγ. Απεκρίθησαν, καὶ εἶπον αὐτῷ· σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; καὶ ἐξέβαλον αὐτὸν ἔξω. Ἤκουσεν ὁ Ιησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; Απεκρίθη ἐκεῖνος, καὶ εἶπε· καὶ τίς ἐστι κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; εἶπε δὲ αὐτῷ ὁ Ιησοῦς· καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετά σου, ἐκεῖνός ἐστιν. Ὁ δὲ ἔφη· πιστεύω κύριε, καὶ προσεκύνησεν αὐτῷ· καὶ εἶπεν ὁ Ιησοῦς, εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. καὶ ἤκουσαν ἐκ τῶν φαρισαίων ταῦτα, οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ· Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; Εἶπεν αὐτοῖς ὁ Ιησοῦς· εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν. νῦν δὲ λέγετε· ὅτι βλέπομεν, ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

ΚΕΦΑΛ. ι.

Αμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ, καὶ λῃστής. Ο δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ιησοῦς, ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ιησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί, ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Εγώ εἰμι ἡ θύρα. δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ο κλέπτης οὐκ ἔρχεται, εἰμὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ. ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ο ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνα δεῖ με ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. Διὰ τοῦτό με ὁ πατὴρ ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους. ἔλεγον δὴ πολλοὶ ἐξ αὐτῶν· Δαιμόνιον ἔχει, καὶ μαίνεται. τί αὐτοῦ ἀκούετε; ἄλλοι ἔλεγον· Ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου. Μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν; Εγένετο δὲ τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις, καὶ χειμὼν ἦν. καὶ περιεπάτει ὁ Ιησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ Σολομῶντος. ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; Εἰ σὺ εἶ ὁ χριστός, εἰπὲ ἡμῖν παῤῥησίᾳ. Απεκρίθη αὐτοῖς ὁ Ιησοῦς· εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ, ἀλλ' ὑμεῖς οὐ πιστεύετε, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον ὑμῖν. Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου. Ο πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάσειν ἐκ τῆς χειρὸς τοῦ πατρός μου. Εγὼ καὶ ὁ πατὴρ ἓν ἐσμεν. ἐβάστασαν οὖν πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν αὐτόν. Απεκρίθη αὐτοῖς ὁ Ιησοῦς· πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου, διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με; Απεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, λέγοντες· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν θεόν. Απεκρίθη αὐτοῖς ὁ Ιησοῦς· οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν· ἐγὼ εἶπα, θεοί ἐστε; Εἰ ἐκείνους εἶπε θεούς, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή, ὃν ὁ πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε· ὅτι βλασφημεῖς; ὅτι εἶπον, υἱός τοῦ θεοῦ εἰμί. Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. Εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε, ἵνα γνῶτε, καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ. Εζήτουν πάλιν αὐτὸν πιάσαι. καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν, καὶ ἀπῆλθε πάλιν πέραν τοῦ Ἰορδάνου εἰς τὸν τόπον, ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων, καὶ ἔμεινεν ἐκεῖ. καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν, καὶ ἔλεγον· ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν, πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν, καὶ ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν.

ΚΕΦΑΛ. ια.

Ην δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. Ην δὲ Μαρία ἡ ἀλείψασα τὸν κύριον μύρῳ, καὶ ἐκμάξασα τοὺς πόδας

πόλλας αὐτῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς λάζαρος ἠδφώει. ἀπέσειλαν οὖν αἱ ἀδελφαὶ αὐτῦ πρὸς αὐτὸν, λέγουσαι· κύριε, ἴδε ὃν φιλεῖς, ἀδφωῖ. ἀκούσας δὲ ὁ Ιησοῦς, εἶπεν· αὕτη ἡ ἀδφώεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆ δόξης τῦ θεοῦ, ἵνα δοξασθῆ ὁ υἱὸς τῦ θεοῦ δι' αὐτῆς. ἠγάπα δὲ ὁ Ιησοῦς τὴν μάρθαν, καὶ τὴν ἀδελφὴν αὐτῆς, καὶ τὸν λάζαρον. ὡς οὖν ἤκουσεν ὅτι ἀδφωεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. ἔπειτα μετὰ τῦτο λέγει τοῖς μαθηταῖς· ἄγωμεν εἰς τὴν ἰουδαίαν πάλιν. λέγουσιν αὐτῷ οἱ μαθηταί· ῥαββεί, νῦν ἐζήτουν σε λιθάσαι οἱ ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; ἀπεκρίθη ὁ Ιησοῦς· οὐχὶ δώδεκα εἰσὶν ὧραι τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τῦ κόσμου τῦτου βλέπει. ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. ταῦτα εἶπε, καὶ μετὰ τῦτο λέγει αὐτοῖς· λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι, ἵνα ἐξυπνήσω αὐτόν. εἶπον οὖν οἱ μαθηταὶ αὐτῦ· κύριε, εἰ κεκοίμηται, σωθήσεται. εἰρήκει δὲ ὁ Ιησοῦς περὶ τῦ θανάτου αὐτῦ. ἐκεῖνοι δὲ ἔδοξαν, ὅτι περὶ τῆς κοιμήσεως τῦ ὕπνου λέγει. τότε οὖν εἶπεν αὐτοῖς ὁ Ιησοῦς παρρησίᾳ· λάζαρος ἀπέθανε, καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ, ἀλλ' ἄγωμεν πρὸς αὐτόν. εἶπεν οὖν θωμᾶς ὁ λεγόμενος δίδυμος, τοῖς μαθηταῖς· ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ. ἐλθὼν οὖν ὁ Ιησοῦς, εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. ἦν δὲ ἡ βηθανία ἐγγὺς τῶν ἱεροσολύμων, ὡς ἀπὸ σταδίων δεκαπέντε. καὶ πολλοὶ ἐκ τῶν ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ μάρθαν καὶ μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τῦ ἀδελφοῦ αὐτῶν. Η οὖν μάρθα, ὡς ἤκουσεν ὅτι ὁ Ιησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ. Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. εἶπεν οὖν ἡ μάρθα πρὸς τὸν Ιησοῦν· κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μᾶ οὐκ ἂν ἐτεθνήκει. ἀλλὰ καὶ νῦν οἶδα, ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεὸν, δώσει σοι ὁ θεός. λέγει αὐτῇ ὁ Ιησοῦς· ἀναστήσεται ὁ ἀδελφός σου. λέγει αὐτῷ μάρθα· οἶδα ὅτι ἀναστήσεται, ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. εἶπεν αὐτῇ ὁ Ιησοῦς· ἐγώ εἰμι ἡ ἀνάστασις, καὶ ἡ ζωή. Ο πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται. καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τῦτο; λέγει αὐτῷ· Ναὶ κύριε. ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. καὶ τοῦτο εἰποῦσα, ἀπῆλθε, καὶ ἐφώνησε μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα· Ο διδάσκαλος πάρεστι, καὶ φωνεῖ σε. ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχὺ, καὶ ἔρχεται πρὸς αὐτόν. οὔπω δὲ ἐληλύθει ὁ Ιησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν ἐν τῷ τόπῳ, ὅπου ὑπήντησεν αὐτῷ ἡ μάρθα. οἱ οὖν ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ, καὶ παραμυθούμενοι αὐτὴν, ἰδόντες τὴν μαρίαν, ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, λέγοντες· ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ. Η οὖν μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ιησοῦς, ἰδοῦσα αὐτὸν, ἔπεσεν αὐτοῦ πρὸς τοὺς πόδας, λέγουσα αὐτῷ· κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. Ιησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας αὐτῇ ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν, καὶ εἶπε· Ποῦ τεθήκατε αὐτόν; λέγουσιν αὐτῷ· κύριε, ἔρχου καὶ ἴδε. ἐδάκρυσεν ὁ Ιησοῦς. ἔλεγον οὖν ἰουδαῖοι· ἴδε πῶς ἐφίλει αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τῦ τυφλοῦ τοὺς ὀφθαλμοὺς ποιῆσαι, ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; Ιησοῦς δὲν πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον. Ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ' αὐτῷ. λέγει ὁ Ιησοῦς, ἄρατε τὸν λίθον. λέγει αὐτῷ ἡ ἀδελφὴ τῦ τεθνηκότος μάρθα· κύριε, ἤδη ὄζει, τεταρταῖος γάρ ἐστι. λέγει αὐτῇ ὁ Ιησοῦς· οὐκ εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τῦ θεοῦ; ἦραν δὲν τὸν λίθον οὗ ἦν ὁ τεθνηκὼς κείμενος. Ο δὲ Ιησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε· Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς με. ἐγὼ δὲ ἤδειν, ὅτι πάντοτέ με ἀκούεις. ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας. καὶ ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ ἐκραύγασε· Λάζαρε, δεῦρο ἔξω. καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτῦ σουδαρίῳ περιεδέδετο. λέγει αὐτοῖς ὁ Ιησοῦς· λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν. Πολλοὶ δὲν ἐκ τῶν ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν μαρίαν, καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ιησοῦς, ἐπίστευσαν εἰς αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς φαρισαίους, καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ιησοῦς. Συνήγαγον δὲν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι συνέδριον, καὶ ἔλεγον· τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ; Εαὐ ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτὸν, καὶ ἐλεύσονται οἱ ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος. εἷς δέ τις ἐξ αὐτῶν καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς· ὑμεῖς οὐκ οἴδατε οὐδέν, οὐδὲ διαλογίζεσθε, ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρωπος ἀπόληται ὑπὲρ τῦ λαῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. Τῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευσεν, ὅτι ἔμελλεν ὁ Ιησοῦς ἀποθνήσκειν ὑπὲρ τῦ ἔθνους, καὶ οὐχ ὑπὲρ τῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τῦ θεοῦ τὰ διεσκορπισμένα, συναγάγῃ εἰς ἕν. Απ' ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο, ἵνα ἀποκτείνωσιν αὐτόν. Ιησοῦς οὖν οὐκέτι παρρησίᾳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλεις πάσας γῆ τοῖς Ἰσραηλίταις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην πόλιν, κἀκεῖ διέτριβε μετὰ τῶν μαθητῶν αὐτοῦ. Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ' ἀλλήλων τῆς ἱεροῖς ἑστηκότες· τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; ἔδεδώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι ἐντολήν, ἵνα ἐάν τις γνῶ ποῦ ἐστι, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.

ΚΕΦΑΛ. 12.

Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει. ὁ δὲ Λάζαρος εἷς ἦν τῶν ἀνακειμένων σὺν αὐτῷ. Ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ, ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. Λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι· Διὰ τί οὗτον τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς; εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζεν. εἶπεν οὖν ὁ Ἰησοῦς· ἄφες αὐτήν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων, ὅτι ἐκεῖ ἐστι. καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ὑπαντησιν αὐτῷ, καὶ ἔκραζον· ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ Βασιλεὺς τοῦ Ἰσραήλ. Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ' αὐτό, καθώς ἐστι γεγραμμένον· Μὴ φοβοῦ θύγατερ Σιών, ἰδοὺ ὁ Βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου. Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν, ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν φαρισαῖοι εἶπον πρὸς ἑαυτούς· Θεωρεῖτε, ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν. Ἦσαν δέ τινες Ἕλληνες ἐκ τῶν ἀναβαινόντων, ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ. οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν, λέγοντες· Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. ἔρχεται, Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ, καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων· ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ἐὰν ἐμοί τις διακονῇ, ἐμοὶ ἀκολουθείτω· καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ. νῦν ἡ ψυχή μου τετάρακται. καὶ τί εἴπω; πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης, ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. πάτερ δόξασόν σου τὸ ὄνομα. ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι. ἄλλοι ἔλεγον, ἄγγελος αὐτῷ λελάληκεν. ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι. περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει. ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν. Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἐνώπιον αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν, ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας· Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι, καὶ ἰάσωμαι αὐτούς. Ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ, ὅμως μέντοι ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ διὰ τοὺς φαρι-

σαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ. Ἰησοῦς δὲ ἔκραξε, καὶ εἶπεν· ὁ πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με. καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ, ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. καὶ ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων, καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν. Οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Ὁ ἀθετῶν ἐμὲ, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν. Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα. ἀλλ' ὁ πέμψας με πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω, καὶ τί λαλήσω. καὶ οἶδα, ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν λαλῶ ἐγὼ, καθὼς εἴρηκέ μοι ὁ πατὴρ, οὕτως λαλῶ.

ΚΕΦΑΛ. 13.

Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς. καὶ δείπνου γινομένου, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα αὐτὸν παραδῷ, εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμάτια, καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν. εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ, ᾧ ἦν διεζωσμένος. ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας; Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. Λέγει αὐτῷ Πέτρος· Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ' ἐστὶ καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες. ᾔδει γὰρ τὸν παραδιδόντα αὐτὸν, διὰ τοῦτο εἶπεν· οὐχὶ πάντες καθαροί ἐστε. Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσών, πάλιν εἶπεν αὐτοῖς· γινώσκετε τί πεποίηκα ὑμῖν; Ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος καὶ ὁ κύριος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. Οὐ περὶ πάντων ὑμῶν λέγω, ἐγὼ οἶδα οὓς ἐξελεξάμην. ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται, πιστεύσητε, ὅτι ἐγώ εἰμι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει. Ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν ἀποστείλαντά με. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐταράχθη τῷ πνεύματι, καὶ ἐμαρτύρησε, καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. ἔβλεπον εἰς ἀλλήλους οἱ μαθηταὶ, ἀπορούμενοι περὶ τίνος λέγει. Ἦν δὲ ἀνακείμενος εἷς τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς. Νεύει οὖν τούτῳ Σίμων Πέτρος, πυθέσθαι, τίς ἂν εἴη περὶ οὗ λέγει. ἀναπεσὼν δὲ ἐκεῖνος οὕτω τῷ στήθει τοῦ Ἰησοῦ, λέγει αὐτῷ· Κύριε τίς ἐστιν; Ἀποκρίνεται ὁ Ἰησοῦς· ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψας τὸ ψωμίον δώσω. καὶ ἐμβάψας τὸ ψωμίον, δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ. καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. Λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς· ὃ ποιεῖς, ποίησον τάχιον. τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων, πρὸς τί εἶπεν αὐτῷ. τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς, ἀγόρασον, ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν, ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ. Λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, οὐθέως ἐξῆλθεν. ἦν δὲ νύξ. ὅτε οὖν ἐξῆλθε, λέγει ὁ Ἰησοῦς· Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ. εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. Τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμί. Ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις, ὅτι που ὑπάγω ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι. Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· ὅπου ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ὕστερον δὲ ἀκολουθήσεις μοι. Λέγει αὐτῷ ὁ Πέτρος· Κύριε, διὰ τί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. ἀπεκρίθη ὁ Ἰησοῦς· τὴν ψυχήν μου ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει, ἕως οὗ ἀπαρνήσῃ με τρίς.

Κεφαλ.

ΚΕΦΑΛ. 14.

Καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Μὴ ταραστέσθω ὑμῶν ἡ καρδία. Πιστεύετε εἰς τὸν θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν. εἰ δὲ μή, εἶπον ἂν ὑμῖν, πορεύομαι ἑτοιμάσαι ὑμῖν τόπον. καὶ ἐὰν πορευθῶ ἑτοιμάσαι ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε. καὶ ὅπου ἐγὼ ὑπάγω, οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν, καὶ ἑωράκατε αὐτόν. Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμί, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε, ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα· καὶ πῶς σὺ λέγεις· δεῖξον ἡμῖν τὸν πατέρα; Οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ. ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι. καὶ ὅ, τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ. ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς, ἔρχομαι πρὸς ὑμᾶς. ἔτι μικρόν, καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ. ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς, ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. Ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης· Κύριε, τί γέγονεν, ὅτι ὑμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν, καὶ οὐχὶ τῷ κόσμῳ; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ. καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με πατρός. ταῦτα λελάληκα ὑμῖν, παρ' ὑμῖν μένων. ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ὅσα εἶπον ὑμῖν. εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω, ἠκούσατε, ὅτι ἐγὼ εἶπον ὑμῖν, ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι εἶπον, πορεύομαι πρὸς τὸν πατέρα, ὅτι ὁ πατήρ μείζων μού ἐστι. καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γένηται, πιστεύσητε. οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν. ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων. καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ πατήρ, οὕτως ποιῶ. ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

ΚΕΦΑΛ. 15.

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτὸ· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ. ἤδη ὑμεῖς καθαροί ἐστε, διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μένῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς ἐὰν μὴ ἐν ἐμοὶ μένητε. ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. ἐάν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται. ἐὰν μείνητε ἐν ἐμοὶ, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε, καὶ γένησθε ἐμοὶ μαθηταί. Καθὼς ἠγάπησέ με ὁ πατὴρ, κἀγὼ ἠγάπησα ὑμᾶς. Μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρά ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος. ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν. Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε, καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ. ἵνα ὅ, τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν. ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει. ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν. νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἴχοσαν. νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου. ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστέ.

ΚΕΦΑΛ. 16.

ΤΑῦτα λελάλημα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα, οὐδὲ ἐμέ. ἀλλὰ ταῦτα λελάλημα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν. Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· ποῦ ὑπάγεις; ἀλλ' ὅτι ταῦτα λελάλημα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς, καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας, καὶ περὶ δικαιοσύνης, καὶ περὶ κρίσεως. Περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ. Περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πατέρα ὑπάγω, καὶ οὐκέτι θεωρεῖτέ με. Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστι. διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα. Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· τί ἐστι τοῦτο, ὃ λέγει ἡμῖν· μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα; ἔλεγον οὖν, τοῦτο τί ἐστιν, ὃ λέγει, τὸ μικρόν; Οὐκ οἴδαμεν τί λαλεῖ. ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτῆσαι, καὶ εἶπεν αὐτοῖς. Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων, ὅτι εἶπον, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται. ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλὰ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς. ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε. πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδέν ἐν τῷ ὀνόματί μου. αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. ταῦτα ἐν παροιμίαις λελάλημα ὑμῖν. ἔρχεται ὥρα, ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε. καὶ οὐ λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν, αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ θεοῦ ἐξῆλθον. ἐξῆλθον παρὰ τοῦ πατρός, καὶ ἐλήλυθα εἰς τὸν κόσμον. πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν πατέρα. λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ἴδε νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. νῦν οἴδαμεν, ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ. ἐν τούτῳ πιστεύομεν, ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· ἄρτι πιστεύετε, ἰδοὺ ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, κἀμὲ μόνον ἀφῆτε. καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστι. ταῦτα λελάλημα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε, ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

Κεφαλ.

ΚΕΦΑΛ. 17.

ΤΑῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς, ἵνα πᾶν ὃ ἔδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι, ἵνα ποιήσω, καὶ νῦν δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρά σοι. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου. Σοὶ ἦσαν, κἀμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι. Νῦν ἔγνωκαν, ὅτι πάντα ὅσα δέδωκάς μοι, παρά σου εἰσὶν. ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς, καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρά σου ἐξῆλθον. καὶ ἐπίστευσαν, ὅτι σύ με ἀπέστειλας. ἐγὼ περὶ αὐτῶν ἐρωτῶ. οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι. καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί, κἀγὼ πρός σε ἔρχομαι. πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου. οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. Νῦν δὲ πρός σε ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτοὺς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. οὐκ ἐρωτῶ, ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί. ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου. Ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι. καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον, καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ. Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμὲ, ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ πάτερ ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα ὁ κόσμος πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας. καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἓν ἐσμεν, ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν. καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας, καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας. Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων. καὶ οὗτοι ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας. καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

ΚΕΦΑΛ. 18.

ΤΑῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τοῦ Κέδρου, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. ᾔδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξελθὼν, εἶπεν αὐτοῖς· τίνα ζητεῖτε; Ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐγώ εἰμι· εἱστήκει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, μετ' αὐτῶν. ὡς οὖν εἶπεν αὐτοῖς· ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί. πάλιν οὖν αὐτοὺς ἐπηρώτησε· τίνα ζητεῖτε; Οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον. ἀπεκρίθη ὁ Ἰησοῦς· εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι. εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν, ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν· ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν. ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιράν σου εἰς τὴν θήκην. τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ πατὴρ, οὐ μὴ πίω αὐτό; Ἡ οὖν σπεῖρα, καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτὸν, καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον, ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ. Ἠκολούθει δὲ τῷ Ἰησοῦ σίμων Πέτρος, καὶ ἄλλος μαθητής. Ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τοῦ ἀρχιερέως, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. Ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τοῦ ἀρχιερέως, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον. Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος, οὐκ εἰμί. εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται, ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο. Ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς, καὶ θερμαινόμενος. ὁ οὖν ἀρ-

χιερεὺς

χιδρεῦς ἠρώτησε τὸν Ιησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδασκαλίας αὐτοῦ. Ἀπεκρίθη αὐτῷ ὁ Ιησοῦς· ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ, καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντων οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. Τί με ἐπερωτᾷς; ἐπερώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ. ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς ἔδωκε ῥάπισμα τῷ Ιησοῦ, εἰπών· οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; Ἀπεκρίθη αὐτῷ ὁ Ιησοῦς· εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; Ἀπέστειλεν οὖν αὐτὸν ὁ Ἅννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος. εἶπον οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; Ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν· οὐκ εἰμί. Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; Πάλιν οὖν ἠρνήσατο Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. ἄγουσιν οὖν τὸν Ιησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον. ἦν δὲ πρωΐα. καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. Ἐξῆλθον οὖν ὁ Πιλᾶτος πρὸς αὐτοὺς ἔξω, καὶ εἶπε· τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; Ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ· εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἂν σοι παρεδώκαμεν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Πιλᾶτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνετε αὐτόν. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα· ἵνα ὁ λόγος τοῦ Ιησοῦ πληρωθῇ, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλᾶτος, καὶ ἐφώνησε τὸν Ιησοῦν, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ἀπεκρίθη ὁ Ιησοῦς· ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοί εἶπον περὶ ἐμοῦ; Ἀπεκρίθη ὁ Πιλᾶτος· Μή τι ἐγὼ Ἰουδαῖός εἰμι; Τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί, τί ἐποίησας; Ἀπεκρίθη ὁ Ιησοῦς· Ἡ Βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ Βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις. Νῦν δὲ ἡ Βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. εἶπεν οὖν αὐτῷ ὁ Πιλᾶτος· οὐκοῦν Βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ιησοῦς· Σὺ λέγεις, ὅτι Βασιλεύς εἰμι ἐγώ. ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς. Λέγει αὐτῷ ὁ Πιλᾶτος· Τί ἐστιν ἀλήθεια; καὶ τοῦτο εἰπών, πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχα. Βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν Βασιλέα τῶν Ἰουδαίων; Ἐκραύγασαν οὖν πάλιν πάντες λέγοντες· μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν. Ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

ΚΕΦΑΛ. 19.

Τότε οὖν ἔλαβεν ὁ Πιλᾶτος τὸν Ιησοῦν, καὶ ἐμαστίγωσε. καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν, καὶ ἔλεγον· Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰουδαίων. καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα. Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλᾶτος, καὶ λέγει αὐτοῖς· ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε, ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω. Ἐξῆλθεν οὖν ὁ Ιησοῦς ἔξω φορῶν τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐτοῖς· ἰδοὺ ὁ ἄνθρωπος. ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες· Σταύρωσον, σταύρωσον. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε. ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν τὸν Υἱὸν Θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλᾶτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη. καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ιησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ιησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος· ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ιησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν. διὰ τοῦτο ὁ παραδιδούς με σοὶ, μείζονα ἁμαρτίαν ἔχει. Ἐκ τούτου ἐζήτει ὁ Πιλᾶτος ἀπολῦσαι αὐτόν. οἱ δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες· ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. πᾶς ὁ βασιλέα αὐτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι. Ὁ οὖν Πιλᾶτος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ιησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον λιθόστρωτον, ἑβραϊστὶ δὲ Γαββαθᾶ. Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη, καὶ λέγει τοῖς Ἰουδαίοις· ἴδε ὁ Βασιλεὺς ὑμῶν. οἱ δὲ ἐκραύγαζαν· ἆρον, ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· τὸν Βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· οὐκ ἔχομεν Βασιλέα, εἰ μὴ Καίσαρα. Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ιησοῦν, καὶ ἀπήγαγον, καὶ βαστάσας τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται ἑβραϊστὶ Γολγοθᾶ, ὅπου αὐτὸν ἐσταύρωσαν. Καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ιησοῦν. ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλᾶτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ. ἦν δὲ γεγραμμένον· Ιησοῦς ὁ Ναζωραῖος ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος, ὅπου ἐσταυρώθη ὁ Ιησοῦς, καὶ ἦν γεγραμμένον ἑβραϊστὶ, ἑλληνιστὶ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρωμαϊσί. ἔλεγον οὖν τῷ πιλάτῳ οἱ ἀρχιερεῖς τῶν ἰουδαίων· μὴ γράφε, ὁ βασιλεὺς τῶν ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπε· βασιλεύς εἰμι τῶν ἰουδαίων. ἀπεκρίθη ὁ πιλᾶτος· ὃ γέγραφα, γέγραφα. Οἱ οὖν στρατιῶται ὅτε ἐσταύρωσαν τὸν ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄραφος ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. εἶπον οὖν πρὸς ἀλλήλους· μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται. ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. εἰστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ μαρία ἡ τοῦ κλωπᾶ, καὶ μαρία ἡ μαγδαληνή. ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα, ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· γύναι, ἴδε ὁ υἱός σου. εἶτα λέγει τῷ μαθητῇ· ἴδε ἡ μήτηρ σου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ ἰησοῦς, ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει· διψῶ. σκεῦος οὖν ἔκειτο ὄξους μεστόν. οἱ δὲ πλήσαντες σπόγγον ὄξους καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ ἰησοῦς, εἶπε· τετέλεσται. καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα. Οἱ οὖν ἰουδαῖοι, ἐπεὶ παρασκευὴ ἦν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ. ἦν γὰρ μεγάλη ἡμέρα ἐκείνη τοῦ σαββάτου, ἠρώτησαν τὸν πιλᾶτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ. ἐπὶ δὲ τὸν ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστὶν ἡ μαρτυρία. Κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ· ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ. καὶ πάλιν ἑτέρα γραφὴ λέγει· ὄψονται εἰς ὃν ἐξεκέντησαν. Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν πιλᾶτον ὁ ἰωσὴφ ἀπὸ ἀριμαθαίας, ὢν μαθητὴς τοῦ ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ ἰησοῦ, καὶ ἐπέτρεψεν ὁ πιλᾶτος. ἦλθε δὲ καὶ νικόδημος ὁ ἐλθὼν πρὸς τὸν ἰησοῦν νυκτὸς τὸ πρῶτον, φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν. ἔλαβον οὖν τὸ σῶμα τοῦ ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς ἰουδαίοις ἐνταφιάζειν. ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη, κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη. ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν ἰησοῦν.

ΚΕΦΑΛ. κ.

Τῇ δὲ μιᾷ τῶν σαββάτων μαρία ἡ μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν, καὶ ἔρχεται πρὸς σίμωνα πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν, ὃν ἐφίλει ὁ ἰησοῦς, καὶ λέγει αὐτοῖς· ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. ἐξῆλθεν οὖν ὁ πέτρος, καὶ ὁ ἄλλος μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον, καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μὴν τοι εἰσῆλθεν. ἔρχεται οὖν σίμων πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς, ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπίστευσεν. οὐδέπω γὰρ ἤδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί. Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω. ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ ἰησοῦ. καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· γύναι, τί κλαίεις; λέγει αὐτοῖς· ὅτι ἦραν τὸν κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι ὁ ἰησοῦς ἐστί. λέγει αὐτῇ ὁ ἰησοῦς· γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ αὐτὸν ἔθηκας, κἀγὼ αὐτὸν ἀρῶ. λέγει αὐτῇ ὁ ἰησοῦς· μαρία. στραφεῖσα ἐκείνη, λέγει αὐτῷ· ῥαββουνί, ὃ λέγεται, διδάσκαλε. λέγει αὐτῇ ὁ ἰησοῦς· μή μου ἅπτου. οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου. πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν. ἔρχεται μαρία ἡ μαγδαληνὴ, ἀναγγέλλουσα τοῖς μαθηταῖς, ὅτι ἑώρακε τὸν κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ. Οὔσης δὲ ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν ἰουδαίων, ἦλθεν ὁ ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν δὲ οἱ μαθηταὶ, ἰδόντες τὸν κύριον. εἶπεν δὲ αὐτοῖς ὁ ἰησοῦς πάλιν· εἰρήνη ὑμῖν, καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. καὶ τοῦτο εἰπὼν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰπῶμ, γνεφύσησε, καὶ λέγει αὐτοῖς· λαβετε πνεῦμα ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίωνται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· ἑωράκαμεν τὸν κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν. ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· εἰρήνη ὑμῖν. εἶτα λέγει τῷ Θωμᾷ· φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· ὁ κύριός μου καὶ ὁ θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με Θωμᾶ, πεπίστευκας. μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

ΚΕΦΑΛ. 21.

Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος. ἐφανέρωσε δὲ οὕτως· ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Λέγει αὐτοῖς Σίμων Πέτρος· ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης, ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν. οὐ μέντοι ἤδεισαν οἱ μαθηταί, ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ, οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· ὁ κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας, ὅτι ὁ κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, ἦν γὰρ γυμνός, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον. Οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον εἰς τὴν γῆν, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν. καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε, ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν· σὺ τίς εἶ; εἰδότες, ὅτι ὁ κύριός ἐστιν. ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν. ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωάννου, ἀγαπᾷς με πλέον τούτων; Λέγει αὐτῷ· Ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωάννου, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωάννου, φιλεῖς με; ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με, καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου ἤθελες. ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν θεόν. καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος, βλέπει τὸν μαθητήν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε, Κύριε τίς ἐστιν ὁ παραδιδούς σε; Τοῦτον ἰδὼν ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; σὺ ἀκολούθει μοι. ἐξῆλθον οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει. καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; Οὗτός ἐστιν ὁ μαθητὴς, ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα. καὶ οἴδαμεν, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία.

Εὐαγγελίον κατὰ Ἰωάννην, τέλος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΕΦΑΛ. 1.

Τον μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις, διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη, οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα, μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσεράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ, καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός, ἣν ἠκούσατέ μου, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστὶ γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἰερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. Καὶ τοῦτο εἰπὼν, βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ εἶπον· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. Τότε ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἰερουσαλὴμ σαββάτου ἔχον ὁδόν. Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον οὗ ἦσαν καταμένοντες, ὅ, τε Πέτρος καὶ Ἰάκωβος, καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἁλφαίου καὶ Σίμων ὁ Ζηλωτὴς, καὶ Ἰούδας Ἰακώβου. Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν, εἶπεν. Ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡσεὶ ἑκατὸν εἴκοσιν· Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν, ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ τοῦ μισθοῦ τῆς ἀδικίας, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ. Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμὰχ, τοῦτ' ἔστι χωρίον αἵματος. Γέγραπται γὰρ ἐν βίβλῳ Ψαλμῶν· Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Δεῖ οὖν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων. Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν. Καὶ προσευξάμενοι, εἶπον· Σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων δύο, ἕνα λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἀφ' ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. Καὶ ἔδωκαν κλήρους αὐτοῖς, καὶ ἔπεσον ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

ΚΕΦΑΛ. 2.

Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτὸ, καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Ἦσαν δὲ ἐν Ἰερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ πάντες, καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους· Ἰδοὺ πάντες οὗτοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὗτοί εἰσιν οἱ λελαλημένοι γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν, ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν; πάρθοι καὶ μῆδοι καὶ ἐλαμῖται καὶ οἱ κατοικοῦντες τὴν μεσοποταμίαν, ἰουδαίαν τε καὶ καππαδοκίαν, πόντον καὶ τὴν ἀσίαν, φρυγίαν τε καὶ παμφυλίαν, αἴγυπτον, καὶ τὰ μέρη τῆς λιβύης τῆς κατὰ κυρήνην, καὶ οἱ ἐπιδημοῦντες ῥωμαῖοι, ἰουδαῖοί τε καὶ προσήλυτοι, κρῆτες καὶ ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ θεοῦ. ἐξίσαντο δὲ πάντες, καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· τί ἂν θέλοι τοῦτο εἶναι; ἕτεροι δὲ χλευάζοντες, ἔλεγον· ὅτι γλεύκους μεμεστωμένοι εἰσί. σταθεὶς δὲ πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς· ἄνδρες ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας· ἀλλὰ τοῦτό ἐστι, τὸ εἰρημένον διὰ τοῦ προφήτου ἰωήλ· καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. καὶ γε ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι. καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. καὶ ἔσται, πᾶς ὃς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται. ἄνδρες ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε, τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ θεοῦ ἔκδοτον, λαβόντες διὰ χειρῶν ἀνόμων, προσπήξαντες ἀνείλετε. ὃν ὁ θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. Δαβὶδ γὰρ λέγει εἰς αὐτόν· προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι, ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου. ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου δαβίδ, ὅτι καὶ ἐτελεύτησε, καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἔστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ χριστοῦ, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ θεός, οὗ πάντες ἡμεῖς ἐσμὲν μάρτυρες. τῇ δεξιᾷ οὖν τοῦ θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν τοῦ ἁγίου πνεύματος λαβὼν παρὰ τοῦ πατρός, ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. οὐ γὰρ δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος ἰσραὴλ, ὅτι κύριον καὶ χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· τί ποιήσωμεν ἄνδρες ἀδελφοί; πέτρος ἔφη πρὸς αὐτούς· μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους ἂν προσκαλέσηται κύριος ὁ θεὸς ἡμῶν. ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρατο καὶ παρεκάλει, λέγων· σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν, καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων, καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ ταῖς προσευχαῖς. ἐγίνετο δὲ πάσῃ ψυχῇ φόβος, πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινὰ, καὶ τὰ κτήματα, καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχε. καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς, ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας αἰνοῦντες τὸν θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. ὁ δὲ κύριος προσετίθει τοὺς σῳζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ.

ΚΕΦΑΛ. 3.

Ἐπὶ τὸ αὐτὸ δὲ πέτρος καὶ ἰωάννης ἀνέβαινον εἰς τὸν ἱερὸν, τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν κατ' ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸν ἱερόν. ὃς ἰδὼν πέτρον καὶ ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸν ἱερὸν ἠρώτα

ἠρώτα ἐλεημοσύνην λαβεῖν. ἀτενίσας δὲ πέτρος εἰς αὐτὸν σὺν τῷ ἰωάννῃ, εἶπε· βλέψον εἰς ἡμᾶς. ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν. εἶπε δὲ πέτρος· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ χριστοῦ τοῦ ναζωραίου ἔγειραι, καὶ περιπάτει. καὶ κρατήσας αὐτὸν τῆς δεξιᾶς χειρὸς, ἤγειρε. παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις, καὶ τὰ σφυρά· καὶ ἐξαλλόμενος ἔστη, καὶ περιεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν περιπατῶν καὶ ἁλλόμενος, καὶ αἰνῶν τὸν θεόν. καὶ ἐπέγνωσαν πάντες αὐτὸν, ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ· καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ. κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν πέτρον καὶ ἰωάννην, συνέδραμε πᾶς ὁ λαὸς πρὸς αὐτοὺς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος, ἔκθαμβοι. ἰδὼν δὲ πέτρος, ἀπεκρίνατο πρὸς τὸν λαόν· ἄνδρες ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ὁ θεὸς ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ, ὁ θεὸς τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς παρεδώκατε καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν. ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν, καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν. καὶ νῦν ἀδελφοί οἶδα, ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. ὁ δὲ θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ, παθεῖν τὸν χριστὸν, ἐπλήρωσεν οὕτως. μετανοήσατε οὖν, καὶ ἐπιστρέψατε εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ κυρίου, καὶ ἀποστείλῃ τὸν προκεκηρυγμένον ὑμῖν Ἰησοῦν χριστόν, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος πάντων ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος. Μωσῆς μὲν γὰρ πρὸς τοὺς πατέρας εἶπεν, ὅτι προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. ἔσται δὲ, πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ σαμουὴλ, καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης ἧς διέθετο ὁ θεὸς πρὸς τοὺς πατέρας ὑμῶν, λέγων πρὸς ἀβραάμ· καὶ τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς. ὑμῖν πρῶτον ὁ θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

ΚΕΦΑΛ. 4.

Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς, καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, καὶ οἱ σαδδουκαῖοι διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν, καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον. ἦν γὰρ ἑσπέρα ἤδη. πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον, ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε. ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς εἰς ἱερουσαλήμ, καὶ ἄννα τὸν ἀρχιερέα, καὶ καϊάφαν, καὶ ἰωάννην, καὶ ἀλέξανδρον, καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ, ἐπυνθάνοντο, ἐν ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; τότε πέτρος πλησθεὶς πνεύματος ἁγίου, εἶπε πρὸς αὐτούς· ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ, εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ λαῷ Ἰσραήλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ χριστοῦ τοῦ ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας, καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία. οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον τὸ δοθὲν ἐν τῷ οὐρανῷ, τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. θεωροῦντες δὲ τὴν τοῦ πέτρου παῤῥησίαν καὶ ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. τὸν δὲ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν. κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλον πρὸς ἀλλήλους, λέγοντες· τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε διὰ αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν ἱερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνεῖσθαι. ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν, ἀπειλῇ ἀπειλήσωμεθα αὐτοῖς, μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων. καὶ καλέσαντες αὐτοὺς, παρήγγειλαν αὐτοῖς, τὸ καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. ὁ δὲ πέτρος καὶ ἰωάννης ἀποκριθέντες, πρὸς αὐτοὺς εἶπον· εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ, ὑμῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ, κρίνατε. Οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν. Οἱ δὲ προσαπειλησάμενοι, ἀπέλυσαν αὐτοὺς μηδὲν εὑρίσκοντες, τὸ πῶς κολασωνται αὐτοὺς διὰ τὸν λαόν, ὅτι πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ γεγονότι. ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος, ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως. ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν, ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον. Οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν θεόν, καὶ εἶπον· Δέσποτα, σὺ ὁ θεός, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ διὰ στόματος Δαβὶδ παιδός σου εἰπών· ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ. Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρῴδης τε καὶ Πόντιος Πιλᾶτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ, ποιῆσαι ὅσα ἡ χείρ σου, καὶ ἡ βουλή σου προώρισε γενέσθαι. καὶ τὰ νῦν κύριε ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας πάσης λαλεῖν τὸν λόγον σου, ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε, εἰς ἴασιν καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ. Καὶ δεηθέντων αὐτῶν, ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου. καὶ ἐλάλουν τὸν λόγον τοῦ θεοῦ μετὰ παῤῥησίας. Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν καρδία καὶ ἡ ψυχὴ μία. καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ, ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. καὶ μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ κυρίου Ἰησοῦ, χάρις τε μεγάλη ἦν πᾶσιν αὐτοῖς. Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. Διεδίδοτο δὲ ἑκάστῳ καθ' ὅτι ἄν τις χρείαν εἶχεν. Ἰωσὴς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστιν υἱὸς παρακλήσεως, Λευίτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

ΚΕΦΑΛ. ε.

ΑΝήρ δέ τις ὀνόματι, σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ, ἐπώλησε κτῆμα, καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίης καὶ τῆς γυναικὸς αὐτοῦ, καὶ ἐνέγκας μέρός τι παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν. Εἶπε δὲ Πέτρος· Ἀνανία, διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαί σε ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐχὶ μένον σοι ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ. ἀκούων δὲ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξε. καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτόν, καὶ ἐξενέγκαντες ἔθαψαν. Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονός, εἰσῆλθεν. ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; Ἡ δὲ εἶπε· Ναὶ, τοσούτου. Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· τί ὅτι συνεφωνήθη ὑμῖν πειρᾶσαι τὸ πνεῦμα κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου, ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε. ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν. εἰσελθόντες δὲ οἱ νεανίσκοι, εὗρον αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά. καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶνος. Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες. Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, ἥ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. Ἄγγελος δὲ κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε· πορεύεσθε καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον. Παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς. Οἱ δὲ ὑπηρέται παραγενόμενοι, οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ. ἀναστρέψαντες δὲ ἀπήγγειλαν λέγοντες, ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν. ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν. ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ, τε ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο. παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς, ὅτι ἰδοὺ οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

εἰσὶν γὰρ ἔμπροσθεν τοῦ θεοῦ ἕως τῆς σήμερον ἡμέρας. Τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας. ἐφοβοῦντο γὰρ τὸν λαόν, ἵνα μὴ λιθασθῶσιν. ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ. καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεύς, λέγων· Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἰερουσαλὴμ τῇ διδαχῇ ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. ἀποκριθεὶς δὲ Πέτρος καὶ οἱ ἀπόστολοι, εἶπον· Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον, ἢ ἀνθρώποις. ὁ θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου. τοῦτον ὁ θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν. καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων, καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. Οἱ δὲ ἀκούσαντες διεπρίοντο, καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς. ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ φαρισαῖος ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσε ἔξω βραχύ τι τοὺς ἀποστόλους ποιῆσαι, εἶπέ τε πρὸς αὐτούς· ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν. πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων, ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν. Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ἱκανὸν ὀπίσω αὐτοῦ. κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν. καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐτούς. ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ, ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται. εἰ δὲ ἐκ θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτὸ, μήποτε καὶ θεομάχοι εὑρεθῆτε. ἐπείσθησαν δὲ αὐτῷ, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους δείραντες παρήγγειλαν, μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς. Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ἀτιμασθῆναι. πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ, καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες, καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν χριστόν.

ΚΕΦΑΛ. 6.

ΕΝ δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ, διακονεῖν τραπέζαις. ἐπισκέψασθε οὖν ἀδελφοὶ ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης. ἡμεῖς δὲ τῇ προσευχῇ, καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους, καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων, καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. καὶ ὁ λόγος τοῦ θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει. Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως, ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς, τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ, καὶ τῷ πνεύματι ᾧ ἐλάλει. Τότε ὑπέβαλον ἄνδρας, λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν θεόν. Συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον, ἔστησάν τε μάρτυρας ψευδεῖς, λέγοντας· Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου, καὶ τοῦ νόμου. ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι ὁ Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ὑμῖν Μωϋσῆς. καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

ΚΕΦΑΛ. 7.

ΕΙπεν δὲ ὁ ἀρχιερεύς· εἰ ἄρα ταῦτα οὕτως ἔχει; Ὁ δὲ ἔφη· ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. Ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ, ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν, καὶ εἶπε πρὸς αὐτόν· ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω. Τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαρράν. Κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκησεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε, καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός. καὶ ἐπηγγείλατο αὐτῷ δοῦναι εἰς κατάσχεσιν αὐτὴν, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, οὐκ ὄντος αὐτῷ τέκνου, ἐλάλησε δὲ οὕτως ὁ θεός, ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δουλώσουσιν αὐτο, καὶ κακώσουσιν ἔτη τετρακόσια. καὶ τὸ ἔθνος ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ θεός. καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ. καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς. καὶ οὕτως ἐγέννησε τὸν Ἰσαάκ, καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ. καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας. Οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ, ἀπέδοντο εἰς Αἴγυπτον. καὶ ἦν ὁ θεὸς μετ' αὐτοῦ, καὶ ἐξεῖλετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου, καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον, καὶ ὅλον τὸν οἶκον αὐτοῦ. ἦλθε δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χαναάν, καὶ θλῖψις μεγάλη, καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν. ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον, καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ. ἀποστείλας δὲ Ἰωσὴφ, μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακὼβ, καὶ πᾶσαν τὴν συγγένειαν ἐν ψυχαῖς ἑβδομήκοντα πέντε. Κατέβη δὲ Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς, καὶ οἱ πατέρες ἡμῶν. καὶ μετετέθησαν εἰς Συχέμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ᾧ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ. καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμοσεν ὁ θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη Βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν, τοῦ ποιεῖν ἐκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ ζωογονεῖσθαι. ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ θεῷ, ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τοῦ οἴκου τοῦ πατρός. ἐκτεθέντα δὲ αὐτὸν ἀνείλετο αὐτὸν ἡ θυγάτηρ Φαραώ. καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν. καὶ ἐπαιδεύθη Μωσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων, ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις. Ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ, ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ. καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο, καὶ ἐποίησεν ἔκδικησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον. ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ, ὅτι ὁ θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν. οἱ δὲ οὐ συνῆκαν. τῇ τε ὑστεραίᾳ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην, εἰπών· ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς, ἵνα τί ἀδικεῖτε ἀλλήλους; Ὁ δὲ ἀδικῶν τὸν πλησίον, ἀπώσατο αὐτὸν, εἰπών· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ὑμᾶς; μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; ἔφυγε δὲ Μωϋσῆς ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο. καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ὄρει τοῦ ὄρους Σινᾶ ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς βάτου. ὁ δὲ Μωϋσῆς ἰδὼν ἐθαύμασε τὸ ὅραμα. Προσερχομένου δὲ αὐτῷ κατανοῆσαι, ἐγένετο φωνὴ Κυρίου πρὸς αὐτόν· Ἐγὼ ὁ θεὸς τῶν πατέρων σου, ὁ θεὸς Ἀβραὰμ, καὶ ὁ θεὸς Ἰσαάκ, καὶ ὁ θεὸς Ἰακώβ. ἔντρομος δὲ γενόμενος Μωϋσῆς, οὐκ ἐτόλμα κατανοῆσαι. εἶπε δὲ αὐτῷ ὁ Κύριος· λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου. ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν. ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐτούς, καὶ νῦν δεῦρο, καὶ ἀποστελῶ σε εἰς Αἴγυπτον. τοῦτον τὸν Μωϋσῆν, ὃν ἠρνήσαντο εἰπόντες· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν; τοῦτον ὁ θεὸς ἄρχοντα καὶ λυτρωτὴν ἀπέσταλκεν ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. οὗτος ἐξήγαγεν αὐτοὺς, ποιήσας τέρατα καὶ σημεῖα ἐν τῇ Αἰγύπτῳ, καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα. οὗτός ἐστιν ὁ Μωϋσῆς, ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ· προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε. οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ, μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγους ζῶντα δοῦναι ἡμῖν, ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο καὶ ἐστράφησαν ταῖς καρδίαις αὐτῶν εἰς Αἴγυπτον, εἰπόντες τῷ Ἀαρών· ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν. ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. ἔστρεψε δὲ ὁ θεὸς, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκον Ἰσραήλ; καὶ ἀνελάβετε τὸ σκήνωμα τοῦ Μολόχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον, ὃν ἑωράκει. ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἐξῶσεν ὁ θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαβίδ, ὃς εὗρε χάριν ἐνώπιον τοῦ θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ θεῷ Ἰακώβ. Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. ἀλλ' οὐχ ὁ Ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης λέγει· Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος, ἢ τίς τόπος

τῆς

τῆ καταπαύσεώς μου; οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα; Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῆ καρδίᾳ καὶ τοῖς ὠσὶν, ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς. Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε, οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε. ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας αὐτῶν ἐπ' αὐτόν. ὑπάρχων δὲ πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ. καὶ εἶπεν· Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ. Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτὸν, καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως ἐλιθοβόλουν. Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου. καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον, καὶ λέγοντα· Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς ταύτην τὴν ἁμαρτίαν ταύτην. καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη.

ΚΕΦΑΛ. η.

Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις, πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας πλὴν τῶν ἀποστόλων. Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ. Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν. Οἱ μὲν οὖν διασπαρέντες διῆλθον, εὐαγγελιζόμενοι τὸν λόγον. Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου, ὁμοθυμαδὸν ἐν τῷ ἀκούειν αὐτοὺς, καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει. Πολλῶν γὰρ ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ, ἐξήρχετο. πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. ἐγένετο δὲ χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ. ἀνήρ δέ τις ὀνόματι Σίμων, προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων, καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν, ᾧ προσεῖχον ἀπὸ μικροῦ ἕως μεγάλου, λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ θεοῦ ἡ μεγάλη. προσεῖχον δὲ αὐτῷ, διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς. ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ, εὐαγγελιζομένῳ τὰ περὶ τῆς Βασιλείας τοῦ θεοῦ, καὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ χριστοῦ, ἐβαπτίζοντο ἄνδρές τε καὶ γυναῖκες. Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ. Θεωρῶν τε δυνάμεις καὶ σημεῖα γινόμενα, ἐξίστατο. ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην, οἵτινες καταβάντες, προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον. οὔπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκὸς, μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτοὺς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον. Θεασάμενος δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων· Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. Οὐκ ἔστι σοι μερὶς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. Ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ. Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπε· Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε. οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ κυρίου, ὑπέστρεφον εἰς Ἱερουσαλὴμ, πολλάς τε κώμας τῶν Σαμαρειτῶν εὐηγγελίζοντο. Ἄγγελος δὲ κυρίου ἐλάλησε πρὸς Φίλιππον, λέγων· Ἀνάστηθι, καὶ πορεύου κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν, τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν. αὕτη ἔστιν ἔρημος. καὶ ἀναστὰς ἐπορεύθη. Καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ, εὐνοῦχος, δυνάστης Κανδάκης τῆς Βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἱερουσαλὴμ, ἦν τε ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν. εἶπε δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε, καὶ κολλήθητι τῷ ἅρματι τούτῳ. προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν προφήτην Ἡσαΐαν, καὶ εἶπεν· ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; Ὁ δὲ εἶπε· πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; Παρεκάλεσέ τε τὸν Φίλιππον, ἀναβὰς καθίσαι σὺν αὐτῷ. Ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν, ἦν αὕτη· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ, εἶπε· δέομαί σου, περὶ τίνος ὁ προφήτης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φήτης λέγει τοῦτο; περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός; ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕδωρ. καὶ φησίν ὁ εὐνοῦχος· ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; εἶπε δὲ ὁ Φίλιππος· εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν. ἀποκριθεὶς δὲ εἶπε· πιστεύω τὸν υἱὸν τοῦ θεοῦ εἶναι τὸν Ἰησοῦν χριστόν. καὶ ἐκέλευσε στῆναι τὸ ἅρμα. καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ, τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν. ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, πνεῦμα κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος. ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον. καὶ διερχόμενος, εὐηγγελίζετο πάσας τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

ΚΕΦΑΛ. θ.

Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγὰς, ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ. γίνεται δὲ πορευέσθαι, ἐγγίζειν αὐτὸν τῇ Δαμασκῷ, καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἐκ τοῦ οὐρανοῦ, καὶ πεσὼν ἐπὶ τὸν γῆν ἤκουσε φωνὴν, λέγουσαν αὐτῷ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; εἶπε δὲ· τίς εἶ κύριε; ὁ δὲ κύριος εἶπεν· ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. σκληρόν σοι πρὸς κέντρα λακτίζειν. τρέμων τε καὶ θαμβῶν εἶπε· κύριε, τί με θέλεις ποιῆσαι; καὶ ὁ κύριος· πρὸς αὐτὸν· ἀνάστηθι, καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι, τί σε δεῖ ποιεῖν. οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ εἱστήκεισαν γνεοί, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες. ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων τε τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε. χειραγωγοῦντες δὲ αὐτὸν, εἰσήγαγον εἰς Δαμασκόν. καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιεν. ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ, ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ κύριος ἐν ὁράματι· Ἀνανία. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγὼ κύριε. ὁ δὲ κύριος πρὸς αὐτόν· ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα, Σαῦλον ὀνόματι Ταρσέα. ἰδοὺ γὰρ προσεύχεται. καὶ εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν εἰσελθόντα, καὶ ἐπιθέντα αὐτῷ χεῖρα ὅπως ἀναβλέψῃ. Ἀπεκρίθη δὲ Ἀνανίας· κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ. καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων, δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. εἶπε δὲ πρὸς αὐτὸν ὁ κύριος· πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ. ἐγὼ γὰρ ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. ἀπῆλθε δὲ Ἀνανίας, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας, εἶπε· Σαοὺλ ἀδελφὲ, ὁ κύριος ἀπέσταλκέ με, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς, καὶ πλησθῇς πνεύματος ἁγίου. καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε, καὶ ἀναστὰς ἐβαπτίσθη. καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς. καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν χριστόν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. ἐξίσαντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς τοῦτο ἐληλύθει, ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς; Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο, καὶ συνέχυνε τοὺς Ἰουδαίους, τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ χριστός. ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναὶ, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν. ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτὸς, ὅπως αὐτὸν ἀνέλωσι. λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς, καθῆκαν διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι. παραγενόμενος δὲ ὁ Σαῦλος ἐν Ἱερουσαλὴμ, ἐπείρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς. καὶ πάντες ἐφοβοῦντο αὐτὸν, μὴ πιστεύοντες, ὅτι ἐστὶ μαθητής. βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν, ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι Ἰησοῦ. καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐν Ἱερουσαλήμ, καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ. ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. οἱ δὲ ἐπεχείρουν αὐτὸν ἀνελεῖν. γνόντες δὲ οἱ ἀδελφοὶ, κατήγαγον αὐτὸν εἰς Καισάρειαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν. Αἱ μὲν οὖν ἐκκλησίαι καθόλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο. ἐγένετο δέ, πάντων διερχόμενον διὰ πάντων, κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. εὗρε δέ τινα ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττου, ὃς ἦν παραλελυμένος. καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε ὁ Ἰησοῦς χριστός. ἀνάστηθι, καὶ στρῶσον σεαυτῷ. καὶ εὐθέως ἀνέστη. καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σαρῶνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν κύριον. ἐν Ἰόππῃ δέ τις

λῶ μαθήτρια ὀνόματι ταβιθά, ἣ διερμηνευομένη λέγεται ἡ δορκάς. αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. λούσαντες δὲ αὐτὴν, ἔθηκαν ἐν ὑπερῴῳ. ἐγγὺς δὲ οὔσης λύδδης τῇ ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες, ὅτι πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν πρὸς αὐτὸν, παρακαλοῦντες, μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. ἀναστὰς δὲ πέτρος, συνῆλθεν αὐτοῖς. ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια, ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ δορκάς. ἐκβαλὼν δὲ ἔξω πάντας ὁ πέτρος, θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· ταβιθά, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν πέτρον, ἀνεκάθισε. δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν. φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν. γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν κύριον. ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν ἰόππῃ παρά τινι σίμωνι βυρσεῖ.

ΚΕΦΑΛ. ι.

ΑΝὴρ δέ τις ἦν ἐν καισαρείᾳ, ὀνόματι κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης τῆς καλουμένης ἰταλικῆς, εὐσεβὴς, καὶ φοβούμενος τὸν θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ θεοῦ διὰ παντός. εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ περὶ ὥραν ἐνάτην τῆς ἡμέρας, ἄγγελον τοῦ θεοῦ εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ· κορνήλιε. ὁ δὲ ἀτενίσας αὐτῷ, καὶ ἔμφοβος γενόμενος, εἶπε· τί ἐστι κύριε; εἶπε δὲ αὐτῷ· αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ θεοῦ. καὶ νῦν πέμψον εἰς ἰόππην ἄνδρας, καὶ μετάπεμψαι σίμωνα τὸν ἐπικαλούμενον πέτρον. οὗτος ξενίζεται παρά τινι σίμωνι βυρσεῖ, ᾧ ἐστὶν οἰκία παρὰ θάλασσαν. οὗτος λαλήσει σοι, τί σε δεῖ ποιεῖν. ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ, καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν ἰόππην. τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων, καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι, περὶ ὥραν ἕκτην. ἐγένετο δὲ προσπεινῶν, καὶ ἤθελε γεύσασθαι. παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις, καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον ἐπὶ τῆς γῆς, ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· ἀναστὰς πέτρε, θῦσον καὶ φάγε. ὁ δὲ πέτρος εἶπε· μηδαμῶς κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν. ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ πέτρος, τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ κορνηλίου, διερωτήσαντες τὴν οἰκίαν σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, καὶ φωνήσαντες ἐπυνθάνοντο, εἰ σίμων ὁ ἐπικαλούμενος πέτρος ἐνθάδε ξενίζεται. τοῦ δὲ πέτρου ἐνθυμουμένου περὶ τοῦ ὁράματος εἶπεν αὐτῷ τὸ πνεῦμα· ἰδοὺ ἄνδρες ζητοῦσί σε, ἀλλὰ ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος, ὅτι ἐγὼ ἀπέσταλκα αὐτούς. καταβὰς δὲ πέτρος πρὸς τοὺς ἄνδρας, οἳ ἀπεσταλμένοι ἦσαν ἀπὸ τοῦ κορνηλίου πρὸς αὐτὸν, εἶπεν· ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε. τίς ἡ αἰτία δι' ἣν πάρεστε; οἱ δὲ εἶπον· κορνήλιος ἑκατοντάρχης ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν θεὸν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. εἰσκαλεσάμενος οὖν αὐτοὺς, ἐξένισε. τῇ δὲ ἐπαύριον ὁ πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ ἰόππης συνῆλθον αὐτῷ. τῇ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν καισάρειαν. ὁ δὲ κορνήλιος ἦν προσδοκῶν αὐτοὺς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους. ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν πέτρον, συναντήσας αὐτῷ ὁ κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας, προσεκύνησεν. ὁ δὲ πέτρος αὐτὸν ἤγειρε, λέγων· ἀνάστηθι, καὶ γὼ αὐτὸς ἄνθρωπός εἰμι. καὶ συνομιλῶν αὐτῷ εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς, ἔφη τε πρὸς αὐτούς. ὑμεῖς ἐπίστασθε, ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. κἀμοὶ ὁ θεὸς ἔδειξε, μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον, διὸ καὶ ἀναντιῤῥήτως ἦλθον μεταπεμφθείς. πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με; καὶ ὁ κορνήλιος ἔφη· ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐνάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου, καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ, καὶ φησί· κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ, καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ θεοῦ. πέμψον οὖν εἰς ἰόππην, καὶ μετακάλεσαι σίμωνα, ὃς ἐπικαλεῖται πέτρος. οὗτος ξενίζεται ἐν οἰκίᾳ σίμωνος βυρσέως παρὰ θάλασσαν, ὃς παραγενόμενος λαλήσει σοι. ἐξ αὐτῆς οὖν ἔπεμψα πρός σε, σύ τε καλῶς ἐποίησας παραγενόμενος. νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ θεοῦ πάρεσμεν, ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ θεοῦ. ἀνοίξας δὲ πέτρος τὸ στόμα εἶπεν· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θὺκ ἔστι πρόσωπολήπτης ὁ θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστι· τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ χριστοῦ, οὗτός ἐστι πάντων κύριος, ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ, ὡς ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ θεὸς ἦν μετ' αὐτοῦ. καὶ ἡμεῖς μάρτυρες πάντων ὧν ἐποίησεν, ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἱερουσαλήμ, ὃν καὶ ἀνεῖλαν κρεμάσαντες ἐπὶ ξύλου. τοῦτον ὁ θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ θεοῦ ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ, μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν. καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν. ἔτι λαλοῦντος τοῦ πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον. καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοί, ὅσοι συνῆλθον τῷ πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται. ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν θεόν. τότε ἀπεκρίθη ὁ πέτρος· μήτι τὸ ὕδωρ κωλῦσαί τις δύναται, τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον, καθὼς καὶ ἡμεῖς; προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ κυρίου. τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

ΚΕΦΑΛ. ιι.

ΗΚουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ θεοῦ. καὶ ὅτε ἀνέβη πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς, λέγοντες· ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς. ἀρξάμενος δὲ ὁ πέτρος, ἐξετίθετο αὐτοῖς καθεξῆς, λέγων· ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ. εἰς ὃ ἀτενίσας, κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. ἤκουσα δὲ φωνῆς λεγούσης μοι· ἀναστὰς πέτρε, θῦσον καὶ φάγε. εἶπον δὲ· μηδαμῶς κύριε, ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. ἀπεκρίθη δέ μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ· ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν. καὶ ἰδοὺ ἄνδρες τρεῖς ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με. εἶπε δέ μοι τὸ πνεῦμα, συνελθεῖν αὐτοῖς, μηδὲν διακρινόμενον. ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἐξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός. ἀπήγγειλέ τε ἡμῖν, πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ, σταθέντα καὶ εἰπόντα αὐτῷ· ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα τὸν καλούμενον Πέτρον, ὃς λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ σὺ, καὶ πᾶς ὁ οἶκός σου. ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ. ἐμνήσθην δὲ τοῦ ῥήματος τοῦ κυρίου ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ. εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ θεὸς, ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν κύριον Ἰησοῦν χριστὸν, ἐγὼ δὲ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν θεόν; ἀκούσαντες δὲ ταῦτα, ἡσύχασαν, καὶ ἐδόξαζον τὸν θεὸν, λέγοντες· ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν. Καὶ οἱ μὲν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ στεφάνῳ, διῆλθεν ἕως φοινίκης καὶ κύπρου καὶ ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις. ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες κύπριοι καὶ κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς ἑλληνιστὰς εὐαγγελιζόμενοι τὸν κύριον Ἰησοῦν. καὶ ἦν χεὶρ κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν κύριον. ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας, τῆς οὔσης ἐν ἱεροσολύμοις, περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν βαρνάβαν διελθεῖν ἕως ἀντιοχείας. ὃς παραγενόμενος, καὶ ἰδὼν τὴν χάριν τοῦ θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας, τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθὸς, καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως. καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ κυρίῳ. ἐξῆλθε δὲ εἰς ταρσὸν ὁ βαρνάβας, ἀναζητῆσαι σαῦλον. καὶ εὑρὼν αὐτὸν, ἤγαγεν αὐτὸν εἰς ἀντιόχειαν. Ἐγένετο δὲ αὐτοῖς ἐνιαυτὸν ὅλον συναχθῆναι τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν ἀντιοχείᾳ τοὺς μαθητὰς χριστιανούς. Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ ἱεροσολύμων προφῆται εἰς ἀντιόχειαν. ἀναστὰς δέ εἷς ἐξ αὐτῶν ὀνόματι ἌΓΑΒΟΣ, ἐσήμαινε διὰ τοῦ πνεύματος, λιμόν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην, ὅστις καὶ ἐγένετο ἐπὶ κλαυδίου καίσαρος. τῶν δὲ μαθητῶν καθὼς εὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ ἰουδαίᾳ ἀδελφοῖς, ὃ καὶ ἐποίησαν,

ἀποσέλαντος πρὸς τοὺς προσευτόρους, ἀπὸ χειρὸς Βαρναβᾶ καὶ σαύλου.

ΚΕΦΑΛ. 12.

ΚΑΤ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας, κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. ἀνεῖλε δὲ ἰακώβον τὸν ἀδελφὸν ἰωάννου μαχαίρᾳ. καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ πέτρον. ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων. οὓς καὶ πιάσας, ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν, βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. ὁ μὲν οὖν πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ, προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν θεὸν ὑπὲρ αὐτοῦ. ὅτε δὲ ἤμελλεν αὐτὸν προάγειν ὁ ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσί, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι. πατάξας δὲ τὴν πλευρὰν τοῦ πέτρου, ἤγειρεν αὐτὸν, λέγων· ἀνάστα ἐν τάχει. καὶ ἐξέπεσον αὐτοῦ αἱ ἅλυσες ἐκ τῶν χειρῶν. εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· περίζωσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου. ἐποίησε δὲ οὕτως, καὶ λέγει αὐτῷ· περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι. καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου. ἐδόκει δὲ ὅραμα βλέπειν. διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς. καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ. καὶ ὁ πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· νῦν οἶδα ἀληθῶς, ὅτι ἐξαπέστειλε κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν ἰουδαίων. συνιδών τε ἦλθον ἐπὶ τὴν οἰκίαν μαρίας, τῆς μητρὸς ἰωάννου τοῦ ἐπικαλουμένου μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. κρούσαντος δὲ τοῦ πέτρου τὴν θύραν τοῦ πυλῶνος, προῆλθε παιδίσκη ὑπακοῦσαι, ὀνόματι ῥόδη. καὶ ὡς ἐγνώρισε τὴν φωνὴν τοῦ πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλε, ἑστάναι τὸν πέτρον πρὸ τοῦ πυλῶνος. οἱ δὲ πρὸς αὐτὴν εἶπον· μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν. οἱ δὲ ἔλεγον· ὁ ἄγγελος αὐτοῦ ἐστίν. ὁ δὲ πέτρος ἐπέμενε κρούων. ἀνοίξαντες δὲ εἶδον αὐτὸν, καὶ ἐξέστησαν. κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν, διηγήσατο αὐτοῖς, πῶς ὁ κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς. εἶπε δὲ· ἀπαγγείλατε ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον. γενομένης δὲ ἡμέρας, ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ πέτρος ἐγένετο. ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι. καὶ κατελθὼν ἀπὸ τῆς ἰουδαίας εἰς τὴν καισάρειαν διέτριβεν. ἦν δὲ ὁ ἡρώδης θυμομαχῶν τυρίοις καὶ σιδονίοις. ὁμοθυμαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην, διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς. τακτῇ δὲ ἡμέρᾳ ὁ ἡρώδης ἐνδεδυμένος ἐσθῆτα βασιλικὴν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς αὐτούς. οἱ δὲ ἐπεφώνει· θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου. παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος κυρίου, ἀνθ' ὧν οὐκ ἔδωκε δόξαν τῷ θεῷ, καὶ γενόμενος σκωληκόβρωτος, ἐξέψυξεν. ὁ δὲ λόγος τοῦ θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο. Βαρναβᾶς δὲ καὶ σαῦλος ὑπέστρεψαν εἰς ἱερουσαλήμ, πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ ἰωάννην τὸν ἐπικληθέντα μάρκον.

ΚΕΦΑΛ. 13.

ΗΣαν δέ τινες ἐν ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ, τε Βαρνάβας, καὶ σίμων ὁ καλούμενος νίγερ, καὶ λούκιος ὁ κυρηναῖος, μαναήν τε ἡρώδου τοῦ τετράρχου σύντροφος, καὶ σαῦλος. λειτουργούντων δὲ αὐτῶν τῷ κυρίῳ, καὶ νηστευόντων, εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀφορίσατε δή μοι τὸν βαρναβᾶν καὶ σαῦλον, εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. τότε νηστεύσαντες καὶ προσευξάμενοι, καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς, ἀπέλυσαν. οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς τὴν σελεύκειαν, κἀκεῖθεν ᾤχοντο ἐπὶ κύπρον. καὶ γενόμενοι ἐν σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν ἰουδαίων. εἶχον δὲ καὶ ἰωάννην ὑπηρέτην. διελθόντες δὲ τὴν νῆσον ἄχρι πάφου, εὗρόν τινα μάγον ψευδοπροφήτην ἰουδαῖον, ᾧ ὄνομα βαριησοῦ, ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ σεργίῳ παύλῳ συνετῷ. οὗτος προσκαλεσάμενος βαρνάβαν καὶ σαῦλον, ἐπεζήτησε ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ. ἀνθίστατο δὲ αὐτοῖς ἐλύμας ὁ μάγος, οὕτως γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ, ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως. σαῦλος δέ, ὁ καὶ παῦλος, πλησθεὶς πνεύματος ἁγίου, καὶ ἀτενίσας εἰς αὐτὸν, εἶπεν· ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥαδιουργίας υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς κυρίου τὰς εὐθείας. καὶ νῦν ἰδοὺ χεὶρ τοῦ κυρίου ἐπὶ σε, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. παραχρῆμα δὲ ἐπέπεσον ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς. τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς, ἐπίστευσεν, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ

διδαχῆ τοῦ κυρίου. καὶ ἀναβλέψαντες δὲ οἱ περὶ τὸν παῦλον, ἦλθον εἰς Πέργην τῆς Παμφυλίας. Ἰωάννης δὲ ἀναχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων, ἐκάθισαν. μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν, ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγοντες· ἄνδρες ἀδελφοί, εἴ τις λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε. ἀνασὰς δὲ παῦλος, καὶ κατασείσας τῇ χειρὶ, εἶπεν· ἄνδρες Ἰσραηλῖται, καὶ οἱ φοβούμενοι τὸν θεόν, ἀκούσατε· ὁ θεὸς τοῦ λαοῦ τούτου ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτῳ. καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς, καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν, κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν. καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα, καὶ ἔδωκε κριτὰς, ἕως σαμουὴλ τοῦ προφήτου. κἀκεῖθεν ἠτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ θεὸς τὸν σαοὺλ υἱὸν κὶς, ἄνδρα ἐκ φυλῆς βενιαμὶν, ἔτη τεσσαράκοντα. καὶ μετασήσας αὐτὸν, ἤγειρεν αὐτοῖς τὸν δαβὶδ εἰς βασιλέα, ᾧ καὶ εἶπε μαρτυρήσας· εὗρον δαβὶδ τὸν τοῦ ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. τούτου ὁ θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγαγε τῷ ἰσραὴλ σωτῆρα ἰησοῦν, πρηκηρύξαντος ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βαπτίσματι μετανοίας παντὶ ἰσραήλ. ὡς δὲ ἐπλήρου ὁ ἰωάννης τὸν δρόμον, ἔλεγε· τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγὼ, ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λύσαι. ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. οἱ γὰρ κατοικοῦντες ἐν ἱερουσαλὴμ, καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν, τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν, καὶ μηδὲ μίαν αἰτίαν θανάτου εὑρόντες, ἠτήσαντο πιλᾶτον ἀναιρεθῆναι αὐτόν. ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. ὁ δὲ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς γαλιλαίας εἰς ἱερουσαλήμ. οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας ἰησοῦν, ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ πρώτῳ γέγραπται· υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν, οὕτως εἴρηκεν· ὅτι δώσω ὑμῖν τὰ ὅσια δαβὶδ τὰ πιστά. διὸ καὶ ἐν ἑτέρῳ λέγει· οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας, τῇ τοῦ θεοῦ βουλῇ ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν. οὗ δὲ ὁ θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν. γνωστὸν οὖν ἔστω ὑμῖν ἀνδρες ἀδελφοὶ, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται, καὶ ἀπὸ πάντων, ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ μωσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται. βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ' ὑμᾶς, τὸ εἰρημένον ἐν τοῖς προφήταις· ἴδετε οἱ καταφρονηταὶ, καὶ θαυμάσατε, καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ᾧ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. ἐξιόντων δὲ ἐκ τῆς συναγωγῆς τῶν ἰουδαίων, παρεκάλουν τὰ ἔθνη, εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα. λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολουθήσαν πολλοὶ τῶν ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ παύλῳ καὶ τῷ βαρναβᾷ. οἵτινες προσλαλοῦντες ἔπειθον αὐτοὺς ἐπιμένειν τῇ χάριτι τοῦ θεοῦ. τῇ τε ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη, ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ. ἰδόντες δὲ οἱ ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον, τοῖς ὑπὸ τοῦ παύλου λεγομένοις ἀντιλέγοντες, καὶ βλασφημοῦντες. παῤῥησιασάμενοί τε ὁ παῦλος καὶ ὁ βαρναβᾶς, εἶπον· ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ θεοῦ. ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. οὕτως γὰρ ἐντέταλται ἡμῖν ὁ κύριος· τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. ἀκούοντα δὲ τὰ ἔθνη, ἔχαιρε, καὶ ἐδόξαζον τὸν λόγον τοῦ κυρίου· καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. διεφέρετο δὲ ὁ λόγος τοῦ κυρίου διὰ ὅλης τῆς χώρας. οἱ δὲ ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας, καὶ τὰς εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως. καὶ ἐπήγειραν διωγμὸν κατὰ τοῦ παύλου καὶ τοῦ βαρναβᾶ, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν. οἱ δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπ' αὐτοὺς, ἦλθον εἰς ἰκόνιον. οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου.

ΚΕΦΑΛ. 14.

Ἐγένετο δὲ ἐν ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν ἰουδαίων, καὶ λαλῆσαι οὕτως, ὥστε πιστεῦσαι ἰουδαίων τε καὶ ἑλλήνων πολὺ πλῆθος. οἱ δὲ ἀπειθοῦντες ἰουδαῖοι, ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν. ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παῤῥησιαζόμενοι ἐπὶ τῷ κυρίῳ, τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. ἐσχίσθη δὲ τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλῆθος τῆς πόλεως, καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν τοῖς ἀποστόλοις. ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν, ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς, συνιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον· κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι. Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὃς οὐδέποτε περιεπατήκει. οὗτος ἤκουε τοῦ Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι, εἶπε μεγάλῃ τῇ φωνῇ· ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός. καὶ ἥλατο, καὶ περιεπάτει. Οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησεν ὁ Παῦλος, ἐπῆραν τὴν φωνὴν αὐτῶν Λυκαονιστί, λέγοντες· Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς. ἐκάλουν τε τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν, ἐπεὶ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου. Ὁ δὲ ἱερεὺς τοῦ Διὸς, τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας φέρων, σὺν τοῖς ὄχλοις ἤθελε θύειν. ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαῤῥήξαντες τὰ ἱμάτια αὐτῶν, ἐξεπήδησαν εἰς τὸν ὄχλον, κράζοντες καὶ λέγοντες· ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς, ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. ὃς ἐν ταῖς παρωχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. Καίτοι γε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθοποιῶν, οὐρανόθεν ὑμῖν ὑετοὺς διδοὺς, καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν. καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς. Ἐπῆλθον δὲ ἀπὸ αὐτιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνάναι. Κυκλωσάντων δὲ αὐτὸν μαθητῶν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν. καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην. εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανούς, ὑπέστρεψαν εἰς τὴν Λύστραν καὶ Ἰκόνιον καὶ Αὐτιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, καὶ παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν Βασιλείαν τοῦ θεοῦ. Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ κυρίῳ εἰς ὃν πεπιστεύκεισαν. καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν. καὶ λαλήσαντες ἐν Περγῇ τὸν λόγον, κατέβησαν εἰς Ἀτταλείαν. κἀκεῖθεν ἀπέπλευσαν εἰς Αὐτιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν. Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγελλον ὅσα ἐποίησεν ὁ θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως. Διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς. Καὶ τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελφούς, ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι. Γενομένης οὖν στάσεως καὶ συζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτοὺς, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν, καί τινας ἄλλους ἐξ αὐτῶν, πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ, περὶ τοῦ ζητήματος τούτου. Οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν. καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς. Παραγενόμενοι δὲ εἰς Ἱερουσαλὴμ, ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ θεὸς ἐποίησε μετ' αὐτῶν. ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων τῶν πεπιστευκότων, λέγοντες· ὅτι δεῖ περιτέμνειν αὐτοὺς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως. Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. πολλῆς δὲ συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· ἄνδρες ἀδελφοὶ ὑμεῖς ἐπίστασθε, ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ θεὸς ἐν ὑμῖν ἐξελέξατο, διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου, καὶ πιστεῦσαι. καὶ ὁ καρδιογνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς, δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν, καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν. Νῦν οὖν τί πειράζετε τὸν θεὸν, τοῦ θεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι. ἐσίγησε δὲ πᾶν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ Παύλου, ἐξηγουμένων ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσι διὰ αὐτῶν. Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, ἀπεκρίθη Ἰάκωβος, λέγων· ἄνδρες ἀδελφοὶ ἀκούσατέ μου. συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ, καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπται· Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν τὴν Δαβὶδ, τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτὴν ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον καὶ πάντα τὰ ἔθνη ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει Κύριος, ὁ ποιῶν

κβ. 15.

τοῦτα

τωῦτα πάντα. γνωστὰ ἀπ' αἰῶνός ὅτι ζῳ̃ θεῷ πάντα τὰ ὄργα αὐτοῦ. Διὸ ἐγὼ κρίνω, μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν θεόν, ἀλλὰ ἐπιστεῖλαι αὐτοῖς, τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆ πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. Τότε ἔδοξε τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν καλούμενον Βαρσαβᾶν, καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε· οἱ ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ ἀδελφοί, τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν, χαίρειν. ἐπειδὴ ἠκούσαμεν, ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες, ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι, καὶ τηρεῖν τὸν νόμον οἷς οὐ διεστειλάμεθα· ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν τῶν ἐπάναγκες τούτων· ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. ἔρρωσθε. Οἱ μὲν οὖν ἀπολυθέντες, ἦλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν. ἀναγνόντες δὲ, ἐχάρησαν τῇ παρακλήσει. Ἰούδας τε καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφούς, καὶ ἐπεστήριξαν. ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους. Ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ. Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ κυρίου. Μετὰ δέ τινας ἡμέρας εἶπε Παῦλος πρὸς Βαρνάβαν· ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ κυρίου, πῶς ἔχουσι. Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν καὶ Ἰωάννην, τὸν καλούμενον Μάρκον. Παῦλος δὲ ἠξίου τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. ἐγένετο οὖν παροξυσμὸς, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μάρκον ἐκπλεῦσαι εἰς Κύπρον. Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ θεοῦ ὑπὸ τῶν ἀδελφῶν. Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν ἐπιστηρίζων τὰς ἐκκλησίας.

ΚΕΦΑΛ. ιϛ.

Κατήντησε δὲ εἰς Δέρβην, καὶ Λύστραν, καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ, ὀνόματι Τιμόθεος, υἱὸς γυναικός τινος Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος. ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. Τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους, τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις. ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην ὑπῆρχεν. ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων, καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἰερουσαλήμ. αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ, ἐλθόντες κατὰ τὴν Μυσίαν, ἐπείραζον κατὰ τὴν Βιθυνίαν πορεύεσθαι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα. Παρελθόντες δὲ τὴν Μυσίαν κατέβησαν εἰς Τρωάδα, καὶ ὅραμα διὰ νυκτὸς ὤφθη τῷ Παύλῳ. Ἀνήρ τις ἦν Μακεδὼν ἑστὼς, παρακαλῶν αὐτὸν, καὶ λέγων· διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν. ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες, ὅτι προσκέκληται ἡμᾶς ὁ κύριος εὐαγγελίσασθαι αὐτούς. ἀναχθέντες οὖν ἀπὸ τῆς Τρωάδος, εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ τε ἐπιούσῃ εἰς Νεάπολιν, ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτης μερίδος τῆς Μακεδονίας πόλις, κολωνία. ἦμεν δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας τινὰς, τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξῆλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμόν, οὗ ἐνομίζομεν προσευχὴν εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. Καί τις γυνὴ ὀνόματι Λυδία πορφυρόπωλις πόλεως Θυατείρων σεβομένη τὸν θεὸν, ἤκουεν, ἧς ὁ κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. ὡς δὲ ἐβαπτίσθη καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα· Εἰ κεκρίκατέ με πιστὴν τῷ κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε, καὶ παρεβιάσατο ἡμᾶς. Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς προσευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνα ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη. αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες κατ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. Τὸν δὲ ἐποίει ὧδε πολλὰς ἡμέρας. Διαπονηθεὶς δὲ ὁ παῦλος τῷ πνεύματι, διεμαρτύρατο τοῖς Ἰουδαίοις τοῖς οὖσιν ἐν τῇ συναγωγῇ αὐτῶν, παρακαλῶν αὐτοὺς πείθεσθαι τῷ κυρίῳ Ἰησοῦ, ἐν τῇ ἐπιστολῇ αὐτοῦ, ἣν ἔγραψε πρὸς τοὺς ἐν τῇ Ἰουδαίᾳ ἀδελφούς. Καὶ ἐν τῇ ἐπιστολῇ ἔγραφε τὰ ἐν τῷ νόμῳ τοῦ κυρίου Ἰησοῦ, καὶ τὰ ἐν τοῖς προφήταις, καὶ τὰ ἐν τοῖς ψαλμοῖς, καὶ τὰ ἐν τοῖς ἁγίοις βιβλίοις, ἃ ἔγραψε Μωσῆς καὶ Δαβὶδ καὶ Σολομὼν καὶ Ἡσαΐας καὶ Ἰερεμίας καὶ Ἰεζεκιὴλ καὶ Δανιὴλ καὶ Ἀμβακοὺμ καὶ Ἀγγαῖος καὶ Ζαχαρίας καὶ Μαλαχίας καὶ Ἰωνᾶς καὶ Ἰωὴλ καὶ Ἀμὼς καὶ Ἀβδιοὺ καὶ Ναοὺμ καὶ Ἰησοῦς καὶ Ἰώβ

πλωλον οὖσαν τὴν πόλιν. Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ τὴν πᾶσαν ἡμέραν πρὸς οὓς παρετύγχανον. Τινὲς δὲ τῶν Ἐπικουρείων καὶ Στωϊκῶν Φιλοσόφων, συνέβαλλον αὐτῷ, καί τινες ἔλεγον· Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δέ, Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι, ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο. Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγοντες· Δυνάμεθα γνῶναι, τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. Βουλόμεθα οὖν γνῶναι, τί ἂν θέλοι ταῦτα εἶναι. Ἀθηναῖοι δὲ πάντες, καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου, ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν, ἐν ᾧ ἐπεγέγραπτο, Ἀγνώστῳ θεῷ. Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. Ὁ θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα. Ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν ἐπὶ παν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, ζητεῖν τὸν κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν, καὶ εὕροιεν, καίγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· Τοῦ γὰρ καὶ γένος ἐσμέν. Γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργύρῳ, ἢ λίθῳ χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεὸς, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν, διότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παράσχων πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Ἀκούσαντες δὲ ἀναστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· Ἀκουσόμεθά σου πάλιν περὶ τούτου. Καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν. Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

ΚΕΦΑΛ. ιη.

Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν, ἦλθεν εἰς Κόρινθον, καὶ εὑρών τινα Ἰουδαῖον, ὀνόματι Ἀκύλαν, ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον, χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης, προσῆλθεν αὐτοῖς. καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ' αὐτοῖς, καὶ ἠργάζετο, ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην. Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας. Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας, ὅ, τε Σίλας καὶ ὁ Τιμόθεος, συνεῖχετο τῷ λόγῳ, διεμαρτύρετο τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν. Ἀντιτασσομένων δὲ αὐτῶν, καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς· Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν, καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς, ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεὸν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν Κορινθίων ἀκούσαντες ἐπίστευον καὶ ἐβαπτίζοντο. Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· Μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς, διότι ἐγώ εἰμι μετά σοῦ. καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἓξ, διδάσκων αὐτοῖς τὸν λόγον τοῦ θεοῦ. Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ Βῆμα, λέγοντες· Ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν θεόν. Μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· Εἰ μὲν οὖν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἀνεσχόμην ὑμῶν. εἰ δὲ ζητήματά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί. Κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ Βήματος. Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ Βήματος, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν. ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανὰς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἀπῄει εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς. Εἶχε γὰρ εὐχήν. Κατῆντησε δὲ εἰς Ἔφεσον, καὶ ἐκείνους κατέλιπεν αὐτοῦ. αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν, διελέχθη τοῖς Ἰουδαίοις. Ἐρωτώντων δὲ αὐτὸν πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν, ἀλλὰ ἀποταξάμενος αὐτοῖς, εἶπεν· Δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα, πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ θεοῦ θελοντος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ αὐήχθη ἀφ' ἑαυτοῦ εἰς Ἔφεσον. καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν. Καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθε, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, στηρίζων πάντας τοὺς μαθητάς. Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ κυρίου. καὶ ζέων τῷ πνεύματι ἐλάλει, καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου, οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτὸν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ θεοῦ ὁδόν. Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν. ὃς παραγενόμενος, συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος. Εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο, δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν γραφῶν, εἶναι τὸν χριστὸν Ἰησοῦν.

ΚΕΦΑΛ. 19.

ΕΓΕΝΕΤΟ δὲ τοῦ Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον, καὶ εὑρών τινας μαθητὰς, εἶπε πρὸς αὐτούς· Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ' οὐδὲ εἰ πνεῦμα ἅγιον ἔστιν, ἠκούσαμεν. Εἶπέ τε πρὸς αὐτούς· Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου βάπτισμα. Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν, εἰς τὸν χριστὸν Ἰησοῦν. Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον. ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν, ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ. Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ τυράννου τινός. Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν, ἀκοῦσαι τὸν λόγον τοῦ κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας. Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ θεὸς διὰ τῶν χειρῶν Παύλου, ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια, ἢ σημικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν. ἐπεχείρησάν τινες καὶ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν, ὀνομάζειν ἐπὶ τοῖς ἔχουσι τὰ πνεύματα τὰ πονηρὰ, τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ, λέγοντες· ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν, ὃν ὁ Παῦλος κηρύσσει. ἦσαν δέ τινες υἱοὶ σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ, οἱ τοῦτο ποιοῦντες. Ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπε· τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι, ὑμεῖς δέ τινες ἐστέ; καὶ ἐφαλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον, καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι, καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων, συνενέγκαντες τὰς βίβλους κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πεντε, οὕτως κατὰ κράτος ὁ λόγος τοῦ κυρίου ηὔξανε καὶ ἴσχυεν. ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱερουσαλήμ, εἰπών· ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν. ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν. Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ. Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρεῖχε τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην, οὓς συναθροίσας καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· ἄνδρες ἐπίστασθε, ὅτι ἐκ τῆς ταύτης ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι. καὶ θεωρεῖτε καὶ ἀκούετε, ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας, μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ, οἱ διὰ χειρῶν γινόμενοι. οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐδὲν λογισθῆναι, μέλλειν τε καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται. ἀκούσαντες δὲ, καὶ γενόμενοι πλήρεις θυμοῦ, ἔκραζον λέγοντες· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. καὶ ἐπλήσθη ἡ πόλις ὅλη τῆς συγχύσεως, ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον, συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους τοῦ Παύλου. Τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί. Τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν, μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον, ἄλλοι μὲν οὖν ἄλλο τι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ πίκραζον, ἵνα γὰρ ἡ ἐκκλησία συγκεχυμένη. καὶ οἱ πλείους οὐκ ἤδεισαν τίνα ἕνεκεν συνεληλύθεσαν. ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων. ὁ δὲ Ἀλέξανδρος κατασείσας τῇ χειρὶ, ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ. ὡς δὲ ἐπέγνωσαν δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. Κατασείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν· ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν, νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος, καὶ τοῦ διοπετοῦς; ἀναντιῤῥήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράσσειν. ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν. Εἰ μὲν οὖν Δημήτριος, καὶ οἱ σὺν αὐτῷ τεχνῖται πρός τινα λόγον ἔχουσιν, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν, ἐγκαλείτωσαν ἀλλήλοις. Εἰ δέ τι περὶ ἑτέρων ζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος, περὶ οὗ δυνησόμεθα δοῦναι λόγον τῆς συστροφῆς ταύτης. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν.

ΚΕΦΑΛ. 20.

Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον, προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς, καὶ ἀσπασάμενος ἐξῆλθε πορευθῆναι εἰς τὴν Μακεδονίαν. Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα. Ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμης τοῦ ὑποστρέφειν διὰ Μακεδονίας. συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βερροιαῖος, Θεσσαλονικέων δὲ Ἀρίσταρχος καὶ Σεκοῦνδος καὶ Γάϊος Δέρβαῖος, καὶ Τιμόθεος, Ἀσιανοὶ δὲ Τυχικὸς καὶ Τρόφιμος. οὗτοι προελθόντες, ἔμενον ἡμᾶς ἐν Τρῳάδι, ἡμεῖς δὲ ἐξεπλύναμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρῳάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά. ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων συνηγμένων τῶν μαθητῶν κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον, παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οὗ ἦσαν συνηγμένοι. Καθήμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, κατεφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ὑπὸ τοῦ ὕπνου, ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω, καὶ ἤρθη νεκρός. καταβὰς δὲ ὁ Παῦλος, ἐπέπεσεν αὐτῷ, καὶ συμπεριλαβών, εἶπε· μὴ θορυβεῖσθε, ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. ἀναβὰς δὲ, καὶ κλάσας ἄρτον, καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρι αὐγῆς, οὕτως ἐξῆλθεν. ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως. Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον. οὕτως γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν. ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν, ἤλθομεν εἰς Μιτυλήνην. κἀκεῖθεν ἀποπλύσαντες, τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντίπερα Χίου. Τῇ δ' ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρωγυλλίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον. ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. ἔσπευδε γὰρ εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα. ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς· ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας, ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης, καὶ πολλῶν δακρύων, καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων, ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους, διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι, τὴν εἰς τὸν θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν. καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ πνεύματι, πορεύομαι εἰς Ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς· πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι, λέγον· ὅτι δεσμά με καὶ θλίψεις μένουσιν. ἀλλ' οὐδενὸς λόγου ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ. Καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν Βασιλείαν τοῦ θεοῦ. διὸ μαρτύρομαι ὑμῖν, ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων. οὐ γὰρ ὑπεστειλάμην ὑμῖν τοῦ μὴ ἀναγγεῖλαι πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ. Προσέχετε οὖν ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ

καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς ἀδελφοὶ τῷ θεῷ, καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν. ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα. αὐτοὶ δὲ γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε· Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν. καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσιν αὐτοῖς προσηύξατο. Ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, κατεφίλουν αὐτὸν, ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ, ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.

ΚΕΦΑΛ. κα'.

Ὡς δὲ ἐγένετο, ἀναχθῆναι ἡμᾶς ἀπορραδήσαντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν, τῇ δὲ ἐξῆς εἰς τὴν Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα. καὶ εὑρόντες πλοῖον διαπορῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν. ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον. ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον. καὶ ἀνευρόντες μαθητὰς, ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά. οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος, μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ. ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις, ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσηυξάμεθα. καὶ ἀσπασάμενοι ἀλλήλους, ἐπέβημεν εἰς τὸ πλοῖον, ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου, κατηντήσαμεν εἰς Πτολεμαΐδα. καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς, ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς. τῇ δὲ ἐπαύριον ἐξελθόντες οἱ περὶ τὸν Παῦλον, ἦλθον εἰς Καισάρειαν. καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ ὄντος ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ. Τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες, προφητεύουσαι. ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, κατῆλθέ τις ἀπὸ τῆς Ἰουδαίας προφήτης, ὀνόματι Ἄγαβος. οὗ ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας εἶπε· τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα οὗ ἐστὶν ἡ ζώνη αὕτη, οὕτως δήσουσιν ἐν Ἱερουσαλὴμ Ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν. ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ. Ἀπεκρίθη τε ὁ Παῦλος· τί ποιεῖτε, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ. Μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν, εἰπόντες· τὸ θέλημα τοῦ Κυρίου γινέσθω. Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀποσκευασάμενοι, ἀνεβαίνομεν εἰς Ἱερουσαλήμ. Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν Μνάσωνί τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ. Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί. Τῇ δὲ ἐπιούσῃ εἰσῆει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. καὶ ἀσπασάμενος αὐτοὺς ἐξηγεῖτο καθ' ἕκαστον ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνεσι, διὰ τῆς διακονίας αὐτοῦ. οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Κύριον, εἶπόν τε αὐτῷ· θεωρεῖς ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων, καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι; Κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωσέως, τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. τί οὖν ἐστι; πάντως δεῖ πλῆθος συνελθεῖν. ἀκούσονται γάρ, ὅτι ἐλήλυθας. Τοῦτο οὖν ποίησον, ὃ, σοὶ λέγομεν· εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν. τούτους παραλαβὼν, ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ' αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλήν. καὶ γνῶσι πάντες, ὅτι ὧν κατηχήθησαν περὶ σοῦ οὐδέν ἐστι, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον φυλάσσων. περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες, μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τό, τε εἰδωλόθυτον, καὶ τὸ αἷμα, καὶ πνικτὸν, καὶ πορνείαν. Τότε ὁ Παῦλος παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς, εἰσῆει εἰς τὸ ἱερὸν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά, ὡς ἂν ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον τὰς χεῖρας ἐπ' αὐτὸν, κραυγάζοντες· ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε. οὗτός ἐστιν ὁ ἄνθρωπος, ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχῇ διδάσκων, ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν, καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον. ἦσαν γὰρ ἑωρακότες προόμιλον αὐτῷ ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον, ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος. ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ. καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, ἕλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι. Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ

τῆς

ζι σπείρας, ὅτι ὅλη συγκέχυται ἰερουσαλήμ. ὃς ἀχαυτῆς παραλαβὼν στρατιώτας ⸂καὶ ἑκατοντάρ
χας, καὶ ἐφαμιλ ἐπ' αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύ-
πτοντες τὸν παῦλον. ἐγγίσας δὲ ὁ χιλίαρχ⸂ ἐπελάβ⸂ αὐτοῦ, καὶ ἐκέλευσε δεθῆναι ἁλύσε-
σι δυσί, καὶ ἐπυνθάν⸂ τίς αὖ εἴη, καὶ τί ὄ⸂ πεποιηκώς. ἄλλοι δὲ ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ.
μὴ δυνάμεν⸂ δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν πα-
ρεμβολήν. ὅτε ἦ ἐγγύ⸂ τῶν σὺν αὐαβαθμοὺς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν
διὰ τὴν βίαν τοῦ ὄχλου. ἠκολούθει γὰρ τὸ πλῆθ⸂ τοῦ λαοῦ, κράζον· αἶρε αὐτόν. μέλλων τε εἰσά-
γεσθαι εἰς τὴν παρεμβολὴν ὁ παῦλ⸂, λέγει τῷ χιλιάρχῳ· εἰ ἔξεστί μοι εἰπεῖν πρός σε; ὁ ἦ ἔφη·
ἑλληνιστὶ γινώσκεις; οὐκ ἄρα σὺ εἶ ὁ αἰγύπτι⸂, ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας, καὶ ἀγα-
γὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων; εἶπε δὲ ὁ παῦλος· ἐγὼ μὲν ἀν-
θρωπ⸂ μέν εἰμι ἰουδαῖ⸂, ταρσεύς, τῆς κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης. δέομαι δέ σου,
ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. ὁ δὲ ἐπιτρέψαντ⸂ δὲ αὐτοῦ, ὁ παῦλος ἑστὼς ἐπὶ τῶν ἀνα-
βαθμῶν, κατέσεισε τῇ χειρὶ τῷ λαῷ. πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνει τῇ ἑβραΐ-
δι διαλέκτῳ, λέγων·

ΚΕΦΑΛ. 22.

ΑΝδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου, τῆς πρὸς ὑμᾶς νυνὶ ἀπologίας. ἀκούσαντες
δὲ ὅτι ἑβραΐδι διαλέκτῳ προσφωνεῖ αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν. καί φησιν· ἐγὼ
μέν εἰμι ἀνὴρ ἰουδαῖ⸂, γεγεννημένος μὲν ἐν ταρσῷ τῆς κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει
ταύτῃ παρὰ τοὺς πόδας γαμαλιὴλ, πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλω-
τὴς ὑπάρχων τοῦ θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον, ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θα-
νάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας. ὡς καὶ ὁ ἀρχιερεύς μαρ-
τυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον, παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς, εἰς
δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς ἰερουσαλήμ, ἵνα τιμωρηθῶ-
σιν. ἐγένε⸂ δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ δαμασκῷ περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ
οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ, ἔπεσόν τε εἰς τὸ ἔδαφ⸂, καὶ ἤκουσα φωνῆς λεγού-
σης μοι· σαοὺλ σαοὺλ, τί με διώκεις; ἐγὼ ἦ ἀπεκρίθην· τίς εἶ κύριε; εἶπέ τε πρός με· ἐγώ εἰμι
ἰησοῦς ὁ ναζωραῖ⸂, ὃν σὺ διώκεις. οἱ ἦ σὺν ἐμοὶ ὄντες, τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἐμφοβοι ἐγέ-
νοντο, τοῦ δὲ φωνοῦντός με οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. εἶπον δὲ· τί ποιήσω κύριε; ὁ ἦ κύριός
μοι· ἀναστὰς πορεύου εἰς δαμασκόν, κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆ-
σαι. ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συόντων μοι,
ἦλθον εἰς δαμασκόν. ἀνανίας δέ τις ἀνὴρ εὐσεβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάν-
των τῶν κατοικούντων ἰουδαίων, ἐλθὼν πρός με, καὶ στὰς ἐπί μοι· σαοὺλ ἀδελφὲ, ἀνάβλεψον.
κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. ὁ δὲ εἶπεν· ὁ θεὸς τῶν πατέρων ἡμῶν προεχείρισατό
σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ,
ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας ⸂ ἤκουσας. καὶ νῦν τί μέλλεις; ἀνα-
στὰς βάπτισαι, καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ κυρίου. ἐγένε⸂
δέ μοι ὑποστρέψαντι εἰς ἰερουσαλήμ, ⸂ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει,
καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι· σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ ἰερουσαλήμ, διότι οὐ παραδέξον-
ταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. κἀγὼ εἶπον· κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακί-
ζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σε. καὶ ὅτε ἐξεχέετο τὸ αἷμα στεφάνου
τοῦ μάρτυρός σε, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάσσων τὰ
ἱμάτια τῶν ἀναιρούντων αὐτόν. καὶ εἶπε πρός με· πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ
σε. ἤκουον ἦ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου. καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, λέγοντες· αἶρε ἀπὸ τῆς
γῆς τὸν τοιοῦτον. οὐ γὰρ ἐκαθῆκον αὐτὸν ζῆν. κραζόντων ἦ αὐτῶν, καὶ ῥιπτούντων τὰ ἱμάτια, καὶ κο-
νιορτὸν βαλλόντων εἰς τὸν ἀέρα, ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος ἄγεσθαι εἰς τὴν παρεμβολήν,
εἰπών, μαστιγοῦν αὐτὸν ἀνετάζεσθαι αὐτῷ, ἵνα ἐπιγνῶ δι' ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ. ὡς δὲ προ-
ετείνεν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ παῦλος· εἰ ἄνθρωπον ῥωμαῖον καὶ
ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; ἀκούσας δὲ ὁ ἑκατόνταρχος, προσελθὼν ἀπήγγειλε τῷ χι-
λιάρχῳ, λέγων· ὅρα, τί μέλλεις ποιεῖν; ὁ γὰρ ἄνθρωπος οὗτ⸂ ῥωμαῖός ἐστι. προσελθὼν ἦ ὁ χι-
λίαρχος, εἶπεν αὐτῷ· λέγει μοι, εἰ σὺ ῥωμαῖος εἶ; ὁ ἦ ἔφη, ναί. ἀπεκρίθη τε ὁ χιλίαρχος· ἐγὼ πολ
λοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. ὁ ἦ παῦλος ἔφη· ἐγὼ ἦ καὶ γεγέννημαι.
εὐθέως οὖν ἀπέστησαν ἀπ' αὐτοῦ, οἱ μέλλοντες αὐτὸν ἀνετάζειν. καὶ ὁ χιλίαρχος ἦ ἐφοβήθη,
συνιγνὺς ὅτι ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδεκώς. τῇ ἦ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφα
λὲς, τό, τί κατηγορεῖται παρὰ τῶν ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν. ⸂ ἐκέλευσεν ἐλθεῖν
τοὺς ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον αὐτῶν, ⸂ καταγαγὼν τὸν παῦλον, ἔστησεν εἰς αὐτούς.

ΚΕΦΑΛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 23.

Ατενίσας δὲ ὁ παῦλος τῷ συνεδρίῳ εἶπεν· ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ θεῷ, ἄχρι ταύτης τῆς ἡμέρας. ὁ δὲ ἀρχιερεὺς ἀνανίας ἐπέταξε τοῖς παρεστῶσιν αὐτῷ, τύπτειν αὐτοῦ τὸ στόμα. τότε ὁ παῦλος πρὸς αὐτὸν εἶπε· τύπτειν σε μέλλει ὁ θεός, τοῖχε κεκονιαμένε. καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι; οἱ δὲ παρεστῶτες εἶπον· τὸν ἀρχιερέα τοῦ θεοῦ λοιδορεῖς; ἔφη τε ὁ παῦλος· οὐκ ἤδειν ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. γνοὺς δὲ ὁ παῦλος, ὅτι τὸ ἓν μέρος ἐστὶ σαδδουκαίων, τὸ δὲ ἕτερον φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· ἄνδρες ἀδελφοί, ἐγὼ φαρισαῖός εἰμι, υἱὸς φαρισαίου, περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. τοῦτο δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν φαρισαίων καὶ τῶν σαδδουκαίων, καὶ ἐσχίσθη τὸ πλῆθος. σαδδουκαῖοι μὲν γὰρ λέγουσι, μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα. φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα. ἐγένετο δὲ κραυγὴ μεγάλη, καὶ ἀναστάντες γραμματεῖς τοῦ μέρους τῶν φαρισαίων, διεμάχοντο, λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ, ἢ ἄγγελος, μὴ θεομαχῶμεν; πολλῆς δὲ γενομένης στάσεως, εὐλαβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβῆναι, καὶ ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν. τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ κύριος, εἶπε· θάρσει παῦλε. ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς ἹΕΡΟΣΟΛΥΜΑ, οὕτως σε δεῖ καὶ εἰς ῥώμην μαρτυρῆσαι. γενομένης δὲ ἡμέρας, ποιήσαντές τινες τῶν ἰουδαίων συστροφὴν, ἀνεθεμάτισαν ἑαυτούς, λέγοντες· μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν παῦλον. ἦσαν δὲ πλείους τεσσαράκοντα, οἱ τὴν τοιαύτην συνωμοσίαν πεποιηκότες. οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς, μηδενὸς γεύσασθαι, ἕως οὗ ἀποκτείνωμεν τὸν παῦλον. νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ καὶ τῷ συνεδρίῳ, ὅπως αὔριον αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ. ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν, ἕτοιμοί ἐσμεν ἀνελεῖν αὐτόν. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς παύλου τὸ ἐνέδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν, ἀπήγγειλε τῷ παύλῳ. προσκαλεσάμενος δὲ ὁ παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον. ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ. ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγε πρὸς τὸν χιλίαρχον, καὶ φησίν· ὁ δέσμιος παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρός σε, ἔχοντά τι λαλῆσαί σοι. ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος, καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο· τί ἐστὶν ὃ ἔχεις ἀπαγγεῖλαί μοι; εἶπε δὲ ὅτι οἱ ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε, ὅπως αὔριον εἰς τὸ συνέδριον καταγάγῃς τὸν παῦλον, ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ. σὺ οὖν μὴ πεισθῇς αὐτοῖς. ἐνεδρεύουσιν γὰρ αὐτὸν ἐξ αὐτῶν ἀνδρῶν πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν, ἕως οὗ ἀνέλωσιν αὐτόν. καὶ νῦν ἕτοιμοί εἰσι προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν. ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας, μηδενὶ ἐκλαλῆσαι, ὅτι ταῦτα ἐνεφάνισας πρός με. καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων, εἶπεν· ἑτοιμάσατε στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν ἕως καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτὸς, ἕτοιμόν τε παρασκευάσαι ἵνα ἐπιβιβάσαντες τὸν παῦλον διασώσωσι πρὸς φήλικα τὸν ἡγεμόνα, γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον· Κλαύδιος λυσίας τῷ κρατίστῳ ἡγεμόνι φήλικι χαίρειν. τὸν ἄνδρα τοῦτον συλληφθέντα ὑπὸ τῶν ἰουδαίων, καὶ μέλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ὡς στὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτὸν, μαθὼν ὅτι ῥωμαῖός ἐστι. βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν, δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς συνέδριον αὐτῶν, ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα. μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν ἔσεσθαι ἀπὸ τῶν ἰουδαίων, ἐξαυτῆς ἐπεμψα πρός σε, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. ἔρρωσο. οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς, ἀναλαβόντες τὸν παῦλον, ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν ἀντιπατρίδα. τῇ δὲ ἐπαύριον ἐάσαντες σὺν ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν. οἵτινες εἰσελθόντες εἰς τὴν καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν παῦλον αὐτῷ. ἀναγνοὺς δὲ ὁ ἡγεμὼν, καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστὶ, καὶ πυθόμενος ὅτι ἀπὸ κιλικίας, διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται. ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ ἡρώδου φυλάσσεσθαι.

ΚΕΦΑΛ. 24.

Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς ἀνανίας μετὰ τῶν πρεσβυτέρων καί τινος ῥήτορος τερτύλλου τινός, οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ παύλου. κληθέντος δὲ αὐτοῦ, ἤρξατο

ἤρξατο κατηγορεῖν ὁ τέρτυλλος, λέγων· Πολλῆς εἰρήνης τυγχάνοντες διά σου, καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντη τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε φῆλιξ, μετὰ πάσης εὐχαριστίας. ἵνα δὲ μὴ ὑπὲρ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκούσαι σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. εὑρόντες γάρ τὸν ἄνδρα τοῦτον λοιμόν, καὶ κινοῦντα πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην Ἰουδαίοις στάσεις τε τῆς τῶν Ναζωραίων αἱρέσεως, ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίνειν. παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν, κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἐπὶ σὲ ἔρχεσθαι· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ. συνέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν. Ἀπεκρίθη δὲ ὁ παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι, δυναμένου σου γνῶναι, ὅτι οὐ πλείους εἰσίν μοι ἡμέραι ἢ δεκαδύο, ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσαλήμ. καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ πόλιν. οὔτε παραστῆσαί με δύνανται, περὶ ὧν νῦν κατηγοροῦσί μου. ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδόν, ἣν λέγουσιν αἵρεσιν, οὕτως λατρεύω τῷ πατρώῳ θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ τοῖς προφήταις γεγραμμένοις, ἐλπίδα ἔχων εἰς τὸν θεόν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν δικαίων τε καὶ ἀδίκων. ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ πρὸς ἀνθρώπους διαπαντός. Δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην, ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφορὰς, ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ· οὐ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου. τινὲς δὲ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, οὓς δεῖ ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν πρός με, ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, εἰ τινὰ εὗρον ἐν ἐμοὶ ἀδίκημα, σταθέντος μου ἐπὶ τοῦ συνεδρίου, ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς ἐκέκραξα ἑστὼς ἐν αὐτοῖς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ' ὑμῶν. ἀκούσας δὲ ταῦτα ὁ φῆλιξ, ἀνέβαλε αὐτούς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών· ὅταν λυσίας ὁ χιλίαρχος κατέβῃ, διαγνώσομαι τὰ καθ' ὑμᾶς· διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν, ἢ προσέρχεσθαι αὐτῷ. Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ φῆλιξ σὺν δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ, ὄσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν παῦλον, καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς χριστὸν πίστεως. Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας, καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ φῆλιξ, ἀπεκρίθη· τὸ νῦν ἔχον πορεύου, καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε. ἅμα δὲ καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ παύλου, ὅπως λύσῃ αὐτόν. διὸ καὶ πυκνότερον αὐτὸν μετεπεμπόμενος, ὡμίλει αὐτῷ. Διετίας δὲ πληρωθείσης ἔλαβε διάδοχον ὁ φῆλιξ πόρκιον φῆστον. Θέλων τε χάριτας καταθέσθαι τοῖς Ἰουδαίοις ὁ φῆλιξ, κατέλιπε τὸν παῦλον δεδεμένον.

ΚΕΦΑΛ. κε.

Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας. ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ παύλου, καὶ παρεκάλουν αὐτὸν, αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ, ἐνέδραν ποιοῦντες ἀναλεῖν αὐτὸν κατὰ τὴν ὁδόν. ὁ μὲν οὖν φῆστος ἀπεκρίθη, τηρεῖσθαι μὲν τὸν παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι. οἱ οὖν δυνατοί, φησί, συνκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ. Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν παῦλον ἀχθῆναι. Παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, ἀπολογουμένου αὐτοῦ, ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν, οὔτε εἰς Καίσαρά τι ἥμαρτον. Ὁ φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ παύλῳ, εἶπε· Θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ; Εἶπε δὲ ὁ παῦλος· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίοις οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ καλλιον ἐπιγινώσκεις. εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιόν τινος θανάτου πεπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν. Εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι. Τότε ὁ φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι; ἐπὶ Καίσαρα πορεύσῃ. Ἡμερῶν δὲ διαγενομένων τινῶν, ἀγρίππας ὁ βασιλεὺς καὶ βερνίκη κατήντησαν εἰς Καισάρειαν, ἀσπασόμενοι τὸν φῆστον. Ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ περὶ τοῦ παύλου, λέγων· ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ φήλικος δέσμιος, περὶ οὗ γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην. πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζε-

δυά τινα ἄνθρωπον εἰς ἀπόλφαν, πρὶν ἢ ὁ κατηγορούμενος πρόσωπον ἔχοι τοῦ κατηγόρου, τόπου τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. Συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε ἀχθῆναι τὸν ἄνδρα. περὶ δὲ τοῦ κατηγόροι, τάδε μίαν αἰτίαν ἐπέφερον ὧν ὑπώνουν ἐγώ. ζητήματα δέ τινα περὶ τῆς ἰδίας θεοσεβείας εἶχον πρὸς αὐτόν, καὶ περὶ τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν. Ἀπορούμενος δὲ ἐγὼ τὸν περὶ τούτου ζήτησιν, ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱεροσόλυμα, κἀκεῖ κρίνεσθαι περὶ τούτων. Τὸ δὲ Παύλου ὦνα καλεσαμένου, τηρεῖσθαι αὐτὸν εἰς τὸν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτόν, ἕως οὗ πέμψω αὐτὸν πρὸς Καίσαρα. Ἀγρίππας δὲ πρὸς τὸν φῆστον ἔφη· ἐβουλόμην καὶ αὐτὸς τ' ἀνθρώπου ἀκοῦσαι. Ὁ δέ, Αὔριον, φησίν, ἀκούσῃ αὐτοῦ. Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν ὅσοι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ φήστου, ἤχθη ὁ Παῦλος. καὶ φησὶν ὁ Φῆστος· Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον, περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις ἠμῦ ἐνθάδε, βοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι. Ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου τοῦ καλεσαμένου τὸν σεβαστόν, ἔκρινα πέμπειν αὐτόν. περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. διὸ προήγαγον αὐτὸν ἐφ' ὑμᾶς, καὶ μάλιστα ὦ σοῦ Βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι. ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι.

ΚΕΦΑΛ. κϛ.

Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη· ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα· περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων βασιλεῦ Ἀγρίππα, ἡγοῦμαι ἐμαυτὸν μακάριον, μέλλων ἀπολογεῖσθαι ἐνώπιον σοῦ σήμερον, μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων. Διὸ δέομαί σου, μακροθύμως ἀκοῦσαί μου. τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομένην τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας, ἔζησα φαρισαῖος. καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τῶν πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ θεοῦ, ἕστηκα κρινόμενος, εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον, ἐλπίζει καταντῆσαι. περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι Βασιλεῦ Ἀγρίππα ὑπὸ τῶν Ἰουδαίων. τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι, ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις. καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών, ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον. καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς, ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων, μέσης ἡμέρας βασιλεῦ, κατὰ τὴν ὁδὸν εἶδον οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς, καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; Σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Ἐγὼ δὲ εἶπον· τίς εἶ κύριε; ὁ δὲ εἶπεν· ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις. ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου. εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν εἰς οὓς νῦν σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. ὅθεν Βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ, ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν ἀπαγγέλλων μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίζασθαι. Ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα, μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι, καὶ Μωϋσῆς· εἰ παθητὸς ὁ χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι. Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· μαίνῃ Παῦλε. τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. Ὁ δὲ· οὐ μαίνομαί φησι, κράτιστε Φῆστε, ἀλλὰ ἀλήθειας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. ἐπίσταται γὰρ περὶ τούτων ὁ Βασιλεύς, πρὸς ὃν καὶ παῤῥησιάζομαι λαλῶ. λανθάνειν γάρ αὐτὸν τι τούτων, οὐ πείθομαι οὐδέν. οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο. Πιστεύεις Βασιλεῦ Ἀγρίππα τοῖς προφήταις; Οἶδα ὅτι πιστεύεις. Ὁ δὲ Ἀγρίππας πρὸς

πῶς γὰρ παῦλον ἔφη· γὼ ὀλίγω με πάθεις χριστιανὸν γενέσθαι. ὁ δὲ παῦλος εἶπεν· εὐξαίμην ἂν τῷ θεῷ, καὶ γὼ ὀλίγῳ καὶ γὼ πολλῷ, οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους, οἵους καὶ ἐγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων. καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν, καὶ ἡ βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς. καὶ ἀναχωρήσαντες, ἐλάλουν πρὸς ἀλλήλους λέγοντες, ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος. ἀγρίππας δὲ τῷ φήστῳ ἔφη· ἀπολέλυσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο καίσαρα.

ΚΕΦΑΛ. 27.

Ως δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν ἰταλίαν, παρεδίδουν τόν τε παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ, ὀνόματι ἰουλίῳ, σπείρης σεβαστῆς. ἐπιβάντες δὲ πλοίῳ ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν ἀριστάρχου μακεδόνος θεσσαλονικέως. τῇ δὲ ἑτέρᾳ κατήχθημεν εἰς σιδῶνα, φιλανθρώπως τε ὁ ἰούλιος τῷ παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν. κἀκεῖθεν ἀναχθέντες, ὑπεπλεύσαμεν τὴν κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. τό τε πέλαγος τὸ κατὰ τὴν κιλικίαν καὶ παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς μύρα τῆς λυκίας. κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον ἀλεξανδρινὸν, πλέον εἰς τὴν ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν κρήτην κατὰ σαλμώνην. μόλις τε παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον τινὰ καλούμενον καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις λασαία. ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοός, διότι καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ παῦλος, λέγων αὐτοῖς· ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ παύλου λεγομένοις. ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθηντο βουλὴν ἀναχθῆναι καὶ ἐκεῖθεν, εἴπως δύναιντο καταντήσαντες εἰς φοίνικα παραχειμάσαι, λιμένα τῆς κρήτης, βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον. ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον, παρελέγοντο τὴν κρήτην. μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνικός, ὁ καλούμενος εὐροκλύδων. συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα. νησίον δέ τι ὑποδραμόντες, καλούμενον κλαῦδην, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης. ἣν αἴροντες, βοηθείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον. φοβούμενοί τε μὴ εἰς τὴν σύρτιν ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος, οὕτως ἐφέροντο. σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο, καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. μήτε δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς. πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν· ἔδει μὲν ὦ ἄνδρες πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην, καὶ τὴν ζημίαν. καὶ τὰ νῦν παραινῶ ὑμᾶς, εὐθυμεῖν. ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. παρέστη γάρ μοι τῇ νυκτὶ ταύτῃ ἄγγελος τοῦ θεοῦ οὗ εἰμὶ, ᾧ καὶ λατρεύω, λέγων· μὴ φοβοῦ παῦλε. καίσαρί σε δεῖ παρασταθῆναι. καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετά σου. διὸ εὐθυμεῖτε ἄνδρες. πιστεύω γὰρ τῷ θεῷ, ὅτι οὕτως ἔσται, κατὰ τὸν τρόπον λελάληταί μοι. εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ ἀδρίᾳ κατὰ μέσον τὰς νύκτας, ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν, καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι. βραχὺ δὲ διαστήσαντες, καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε. φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους ἐκπέσωσιν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι. τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν, εἶπεν ὁ παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε, μηδὲν προσλαβόμενοι, διὸ παρακαλῶ ὑμᾶς προσλαβεῖν τροφῆς. τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει. οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς ἀπολεῖται. εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλάσας, ἤρξατο ἐσθίειν. εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς. ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ, διακόσιαι ἑβδομήκοντα ἕξ. κορεσθέντες δὲ τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον, κόλπον δέ τινα κατανόουν ἔχοντα αἰγιαλὸν, εἰς ὃν ἐβουλεύσαντο εἰ δύναιντο, ἐξῶσαι τὸ πλοῖον. καὶ

τὰς ἀγκύρας περιελόντες, ἔπλεον εἰς τὴν θάλασσαν, ἅμα αὐγάζοντες τὰς ζυκτηρίας τῶν πλοίων, καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν. περιπίπτοντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν τὴν ναῦν. καὶ ἡ μὲν πρώρα ὀρείσασα, ἐμεινεν ἀσάλευτος. Ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμβήσας διαφύγοι. ὁ δὲ ἑκατόνταρχος βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσε τὴν βουλήν. καὶ κελεύσας τοὺς δυναμένους κολυμβᾶν, ἀπορρίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, καὶ τοὺς λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ ὅτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

ΚΕΦΑΛ. 28.

Καὶ διασωθέντες, τότε ἐπέγνωσαν, ὅτι Μελίτη ἡ νῆσος καλεῖται. Οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψῦχος. Συσπείραντος δὲ τοῦ Παύλου φρυγανα πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα, καθῆψε τῆς χειρὸς αὐτοῦ. ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμαμένην τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν. Ὁ μὲν οὖν ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν. Οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. Ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων, καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον θεὸν αὐτὸν εἶναι. ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον, ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον ἰατρικεῖσθαι. πρὸς ὃν ὁ Παῦλος εἰσελθών, καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. Τότε δὲ γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ, προσήρχοντο καὶ ἐθεραπεύοντο, οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν. Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρείνῳ, παρασήμῳ Διοσκόροις. καὶ κατοχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς. ὁθεν περιελθόντες κατέπλεομεν εἰς Ῥήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, ὅ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά, καὶ ὅτως εἰς τὴν Ῥώμην ἤλθομεν. Κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν, ἄχρις Ἀππίου φόρου καὶ τριῶν ταβερνῶν. ὃς ἰδὼν ὁ Παῦλος, εὐχαριστήσας τῷ Θεῷ ἔλαβε θάρσος. ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ὁ ἑκατόνταρχος παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ. τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτὸν, σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς, συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους. συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, ἐγὼ τοῦ λαοῦ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ, ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων, οἵτινες ἀνακρίναντές με, ἐβούλοντο ἀπολύσαι, διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί. ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων ἀναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τί κατηγορῆσαι. Διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι. οὐκ ἐν γὰρ τῇ ἐλπίδι τοῦ Ἰσραὴλ τὴν ἄλυσιν ταύτην περίκειμαι. οἱ δὲ πρὸς αὐτὸν εἶπον· ἡμεῖς οὔτε γράμματα περί σου ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περί σου πονηρόν. ἀξιοῦμεν δὲ παρά σου ἀκοῦσαι ἃ φρονεῖς. περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης, γνωστὸν ἔστιν ἡμῖν, ὅτι πανταχοῦ αὐτῇ λέγεται. παραμείναντες δὲ αὐτῷ ἡμέραν, ἦκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν Βασιλείαν τοῦ Θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας. καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν. ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους, ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἓν· ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν λέγον· πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπὲ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου. καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι. καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτὸν, κηρύσσων τὴν Βασιλείαν τοῦ Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ μετὰ πάσης παῤῥησίας ἀκωλύτως.

Τῶν πράξεων τέλος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΒΙΟΣ ΤΟΥ ΠΑΥΛΟΥ ΕΚ ΤΩΝ ΣΩΦΡΟΝΙΟΥ.

ΠΑΥΛΟΣ ὁ ἀποστολος ἔξω τοῦ ἀειθμοῦ τῶν δώδεκα ἀποστόλων τυγχάνων, ἐκ φυλῆς Βενιαμίν, καὶ δώμης γιγαντων τῆς ἱσραλίας, ὁρμώμενος πορθηθείσης πυρὶ τῶν ῥωμαίων τὴν αὐτῆς δώμης, μετὰ τῶν οἰκείων γονέων εἰς ταρσὸν τῆς κιλικίας κατῴκησεν. ὑφ' ὧν παιδεύσεως τοῦ νόμου εἰς ἱεροσόλυμα, παρὰ γαμαλιὴλ αὐθεντικωτάτῳ, ὃς καὶ λουκᾶς μέμνηται, ἐφοίτησεν. ἀλλ' ἡνίκα πρῶτον τὴν σφαγὴν ἐφάνη τοῦ μαρτυρος, λαβὼν παρ' ἐκείνου τὴν ἐξουσίαν τοῦ ἱερέως εἰς τὸν διωγμὸν τῶν τοῦ χριστοῦ πιστευσάντων, ὡς ἐκεῖθεν ἀπὸ δαμασκοῦ δι' ἀποκαλύψεως εἰς τὸν πίστιν τὸν τῶν πράξεσι τῶν ἀποστόλων ἐγγεγραμμένων, εἰς σκότος ἐκλογῆς ἀπὸ διώκτου μετωνόμασθη. πιστεύσαντος δὲ πρῶτον εἰς τὸν τότε κύριον σεργίου παύλου ἀνθυπάτου τῆς κυπρίων, δι' αὐτοῦ, ὅτι αὐτὸν τῇ πίστει τοῦ χριστοῦ κατέταξεν, ἐκληρώθη τὸ ὄνομα τοῦ παύλου. καὶ συζεύξας ἑαυτῷ βαρνάβαν, πολλάς τε πόλεις ὡς ἐκεῖθεν, ἀναζεύξας εἰς ἱεροσόλυμα, πρὸ τετραετοῦς ἱακώβου τοῦ ἐνθῶν ἀποστόλου διαβίσαντα. ἐπεὶ τοίνυν τῶν τῆς πράξεσι τῶν ἀποστόλων περὶ τοῦ τότου διαγωγῆς πολλὰ εἴρηται, τοῦτο μόνον λέξω, ὅτι πορ μετὰ τὸ πάθος τοῦ κυρίου εἰκοσιν πεμπτον ἔτει, τουτέστι διδυτόρου νέρωνος, ἡνίκα φῆστος ὁ τῆς ἱσραλίας ἐπίτροπος διεδέξατο φήλικα, εἰς ῥώμην πέμπεται, ἐν ᾗ δύο ὁλοκλήρους τὸν εἱλουθέρα μένων πρόφυλακῆς, ἧς τῶν ἱσραλίων πόλις τὴν ἐλεύσεως ἰησοῦ χριστοῦ ἑκάστοτε διηγήσατο. διὰ δὲ εἰσήγαγε, ὅτι τὴν πρώτην ἀπολογίαν, μήπω τὸ νέρωνος βασιλέως σορευθείσης, μήτε εἰς τοσαύτας αὐτοῦ πράξεις, ὅσας ἀπεργάσατο, παῦλος πρὸς νέρωνος ἀπελύθη ὡς τὸ δυαγγέλιον τοῦ ἰησοῦ χριστοῦ, καὶ τὸν τοῖς ἑαυτερίοις μέρεσιν κηρύξας, καθὼς γράφει τὴν δεύτερα πρὸς τιμόθεον ἐπιστολὴν τὸν τότε καιρὸν, τὸν ᾧ καὶ ἔπαθεν, ὅταν τὸν τοῖς δεύτεροις ὧν, ὡδὶ εἶπε, λέγων· τὸν πρώτην μου ἀπολογίαν οὐδείς μοι συνεπεγένετο, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος. σαφῶς δηλῶν τὸν νερωνα λέγων. ἀνδρόμου γὰρ δικονόμου ὠνόμασθαι αὐτῷ τὸ μαρτύριον, τὸν τῇ αὐτῇ ἐπιστολῇ πρόειπε, λέγων· ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν. ὁμοίως τοίνυν καὶ αὐτὸς πετροβρόκαιδεκάτῳ νέρωνος γενομένῳ, τῇ αὐτῇ ἡμέρᾳ, ᾗ καὶ πέτρος τὸν ῥώμῃ, κατὰ ἰησοῦ χριστοῦ ἀκροκεφαλιδεὶς, ἀπετέθη τὸν τῇ ὁδῷ τῇ λεγομένῃ ὁστιανσίᾳ, ἔτους μετὰ τὸ πάθος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, τριακοστὸ ἑβδόμου. ἔγραψε δὲ ἐπιστολὰς ἐννέα, πρὸς ἐπτὰ ἐκκλησίας ὅτως· πρὸς ῥωμαίους μίαν, πρὸς κορινθίους δύο, πρὸς γαλάτας μίαν, πρὸς ἐφεσίους μίαν, πρὸς φιλιππησίους μίαν, πρὸς κολασσεῖς μίαν, πρὸς θεσσαλονικεῖς δύο, καὶ πρὸς οὓς οἰκείους μαθητὰς, τιμόθεον δύο, τίτον μίαν, φιλήμονι μίαν. τὸν δὲ πρὸς ἑβραίους ἐπιστολὴν τινὲς νομίζουσι μὴ εἶναι αὐτοῦ, διάτε τὸν χαρακτῆρα, καὶ τὸν τοῦ λόγου διαφωνίαν, ἀλλὰ βαρνάβα ἢ τὸν τορτυλλιανοῦ, ἢ τοῦ λουκᾶ τοῦ δυαγγελιστοῦ, καθάπερ δοκεῖ, ἢ κλήμεντος τοῦ τῆς ἐκκλησίας ῥώμης ὕστερον ἐπισκόπου, ὃν φασι τὰ ἀρχαῖα ματα παύλου οἰκείῳ σωτάξαι καὶ κοσμῆσαι λόγῳ. ἢ τό γε μᾶλλον παῦλος γράφων πρὸς ἑβραίους, διὰ τὸν φθόνον τὸν πρὸς αὐτὸν, τὴν τοῦ ἀρχὴν τῶν γραφῶν τῆς πρωτογενείας γραφῶναι, οὐκ ἐδυνήμασεν. ἐγεγράφει γὰρ ὡς ἑβραῖος ἑβραίοις, τουτέστιν οἰκείᾳ φράσει ἑλληνιμῷ, καὶ ἅπερ δύφραδῶς σωτέτακεν τῇ ἑβραΐδι διαλέκτῳ, δύφραδέστερον εἰς ἑλληνικὴν μεταφράσθη. καὶ τοῦτο ἔστιν τοῦ αἴτιον, τοῦ οἴεσθαι διαφωνεῖν τοὺς ἄλλους παύλου ἐπιστολάς. τινὲς δὲ, καὶ τοῦ πρὸς λαοδικεῖς ἀναγινώσκουσιν. ἀλλὰ πρὸ πάντων ἐκβάλλεται.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛ. 1.

ΑΥΛΟΣ δοῦλος Ιησοῦ χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις, περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν Ιησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν, δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολήν, εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν οἷς ἐστὲ καὶ ὑμεῖς, κλητοὶ Ιησοῦ χριστοῦ. Πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀγαπητοῖς θεοῦ, κλητοῖς ἁγίοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ιησοῦ χριστοῦ. Πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μου, διὰ Ιησοῦ χριστοῦ, ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. Μάρτυς γάρ μού ἐστιν ὁ θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῶν προσευχῶν μου, δεόμενος εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν, εἰς τὸ στηριχθῆναι ὑμᾶς, τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν, διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις, ὀφειλέτης εἰμί. Οὕτως τὸ κατ' ἐμὲ, πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι. οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ χριστοῦ· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται, ἐκ πίστεως εἰς πίστιν. καθὼς γέγραπται· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ, ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων, τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. Διότι τὸ γνωστὸν τοῦ θεοῦ, φανερόν ἐστιν ἐν αὐτοῖς. ὁ γὰρ θεὸς αὐτοῖς ἐφανέρωσε. τὰ γὰρ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα, καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. διότι γνόντες τὸν θεόν, οὐχ ὡς θεὸν ἐδοξάσαν, ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν, εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς. οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν αὐτοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει, παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας. αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν, εἰς τὴν παρὰ φύσιν. ὁμοίως τε καὶ οἱ ἄρσενες, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης αὐτῶν, ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ, μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας, ψιθυριστὰς, καταλάλους, θεοστυγεῖς, ὑβριστὰς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀνελεήμονας. Οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, ἄξιοι θανάτου εἰσὶν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

ΚΕΦΑΛ. 2.

Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων. ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. Οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστὶ κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. λογίζῃ δὲ τοῦτο ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρῖμα τοῦ θεοῦ; ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον· τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς, καὶ ὀργὴ, θλῖψις, καὶ στενοχωρία, ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν,

Ἰουδαίου τε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰουδαίῳ τε πρῶτον καὶ ἕλλησι. Δόξα δὲ, καὶ τιμὴ, καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, ἰουδαίῳ τε πρῶτον, καὶ ἕλλησι. Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ θεῷ. ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῶ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ χριστοῦ. ἰδὲ σὺ ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν θεῷ, καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου, πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως, καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις. Ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις. Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις. Ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς. ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις. Τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καθὼς γέγραπται. Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς. ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν. ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται; καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία, τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου; Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ ἰουδαῖος, καὶ περιτομὴ καρδίας, ἐν πνεύματι, οὐ γράμματι. οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ θεοῦ.

ΚΕΦΑΛ. 3.

Τί οὖν τὸ πλεονέκτημα τοῦ ἰουδαίου; ἢ τίς ἡ ὠφελεία τῆς περιτομῆς; Πολὺ κατὰ πάντα τρόπον. πρῶτον μὲν γάρ, ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ. Τί γάρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; μὴ γένοιτο. γινέσθω δὲ ὁ θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης, καθὼς γέγραπται· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Εἰ δὲ ἡ ἀδικία ἡμῶν, θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ θεὸς, ὁ ἐπιφέρων τὴν ὀργήν; κατὰ ἄνθρωπον λέγω· μὴ γένοιτο. ἐπεὶ πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον; Εἰ γὰρ ἡ ἀλήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι; καὶ μὴ καθὼς βλασφημούμεθα, καὶ καθὼς φασί τινες ἡμᾶς λέγειν· ὅτι ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά. ὧν τὸ κρίμα ἔνδικόν ἐστι. Τί οὖν, προεχόμεθα; οὐ πάντως. προῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι, καθὼς γέγραπται· ὅτι οὐκ ἔστι δίκαιος, οὐδὲ εἷς, οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα. σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. Οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. Οἴδαμεν δὲ, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ. Διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν. Δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ χριστοῦ εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας. Οὐ γάρ ἐστι διαστολή. πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ. Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ θεὸς ἱλαστήριον, διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων, ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ. Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη. διὰ ποίου νόμου; τῶν ἔργων; οὐχί, ἀλλὰ διὰ νόμου πίστεως. Λογιζόμεθα οὖν, πίστει δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου. ἢ Ἰουδαίων ὁ θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν. ἐπείπερ εἷς ὁ θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν.

ΚΕΦΑΛ. 4.

Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν θεόν. Τί γὰρ ἡ γραφὴ λέγει; ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ιβ΄ τὸ ὀφείλημα. Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην. Καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων· Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν. Ὁ μακαρισμὸς οὖν οὗτος, ἐπὶ τὴν περιτομήν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; Λέγομεν γάρ, ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην. πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ. καὶ σημεῖον ἔλαβε περιτομὴν, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως, τῆς ἐν τῇ ἀκροβυστίᾳ, εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας, εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην, καὶ πατέρα περιτομῆς τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς πίστεως, τῆς ἐν ἀκροβυστίᾳ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ. Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ, ἢ τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως. Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, ἐκκενώται ἡ πίστις, καὶ κατήργηται ἡ ἐπαγγελία. Ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται. οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις. Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν, καθὼς γέγραπται· ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε, κατέναντι οὗ ἐπίστευσε θεοῦ τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ καλοῦντος τὰ μὴ ὄντα, ὡς ὄντα. ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον· οὕτως ἔσται τὸ σπέρμα σου. καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας. εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ θεῷ. καὶ πληροφορηθεὶς, ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν, ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

ΚΕΦΑΛ. ε΄.

Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν. Ἔτι γὰρ Χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν, ὑπὲρ ἀσεβῶν ἀπέθανε. μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται. ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. εἰ γὰρ ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν. Διὰ τοῦτο, ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον. ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ, ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου. Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος. Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτως καὶ τὸ χάρισμα. εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ, καὶ ἡ δωρεὰ ἐν χάριτι, τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς ἐπερίσσευσε. καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα. Τὸ μὲν γὰρ κρῖμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνὸς, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. ἄρα οὖν, ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου, ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτως καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτως καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ.

Κεφαλ

ΚΕΦΑΛ. 6.

ΤΙ οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; μὴ γένοιτο. οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν, διὰ τῆς δόξης τοῦ πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. ὁ γὰρ ἀποθανὼν, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν, ὅτι καὶ συζήσομεν αὐτῷ. εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνῄσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ. ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. οὕτως καὶ ὑμεῖς λογίζεσθε, ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ. μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ, ὡσεὶ ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ. ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει. οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν. τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; μὴ γένοιτο. οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε, ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην; Χάρις δὲ τῷ θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας, εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. ὥσπερ γὰρ παριστάνετε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ, εἰς τὴν ἀνομίαν, οὕτω καὶ νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ, εἰς ἁγιασμόν. ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων θάνατος. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον. Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος. Τὸ δὲ χάρισμα τοῦ θεοῦ, ζωὴ αἰώνιος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ΚΕΦΑΛ. 7.

Ἢ ἀγνοεῖτε ἀδελφοί, γινώσκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον χρόνον ζῇ; Ἡ γὰρ ὕπανδρος γυνὴ, τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ. ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ. Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ. ὥστε ἀδελφοί μου καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ θεῷ. ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν, τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ. Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο. ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου. Τήν τε γὰρ ἐπιθυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν· οὐκ ἐπιθυμήσεις. Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν. Χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά. Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ. ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον. Καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον. Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινεν. Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. Τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος; Μὴ γένοιτο. Ἀλλὰ ἡ ἁμαρτία. ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. Οἴδαμεν γὰρ, ὅτι ὁ νόμος πνευματικός ἐστιν. ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω. Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ, ὅτι καλός. Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. Οἶδα γὰρ, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν. Τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὐχ εὑρίσκω. Οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθὸν, ἀλλ' ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ θέλω ἐγὼ, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν,

ὅτι

ὅτι ἐμοὶ τὸ ζῆν Χριστὸς καὶ ἀποθανεῖν κέρδος. Συνέχομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον· Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου. Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; εὐχαριστῶ τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοΐ δουλεύω νόμῳ θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας.

ΚΕΦΑΛ. η.

Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας, καὶ τοῦ θανάτου. τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνατος. Τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη. Διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν. Τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται. οἱ δὲ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν. Ἄρα οὖν ἀδελφοὶ ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ζῆν. Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν. εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ θεοῦ. οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· ἀββᾶ ὁ πατήρ. αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα θεοῦ. εἰ δὲ τέκνα, καὶ κληρονόμοι. Κληρονόμοι μὲν θεοῦ, συγκληρονόμοι δὲ χριστοῦ, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. Λογίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως, τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ. Οἴδαμεν γὰρ, ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. Τῇ γὰρ ἐλπίδι ἐσώθημεν. ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα. Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται τῇ ἀσθενείᾳ ἡμῶν. Τὸ γὰρ τί προσευξόμεθα καθὼ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν, στεναγμοῖς ἀλαλήτοις. ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. οἴδαμεν δὲ, ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. ὅτι οὓς προέγνω, καὶ προώρισε, συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν. οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε. τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; ὃς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ; Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καί ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ; θλῖψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; Καθὼς γέγραπται· ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν, διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

ΚΕΦΑΛ. θ.

Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου, ἐν πνεύματι ἁγίῳ, ὅτι λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου

μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. Οὐχ οἷον δὲ, ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ. Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ. Οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς σπέρμα. ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος· Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν. Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ φαῦλον, ἵνα ἡ κατ' ἐκλογὴν τοῦ θεοῦ πρόθεσις μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος, ἐρρήθη αὐτῇ· ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. καθὼς γέγραπται· τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα. τί οὖν ἐροῦμεν; Μὴ ἀδικία παρὰ τῷ θεῷ; Μὴ γένοιτο. Τῷ γὰρ Μωϋσῇ λέγει· Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. ἄρα οὖν, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ. Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραώ· ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. Ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. Ἐρεῖς οὖν μοι· τί ἔτι μέμφεται; Τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε; μενοῦνγε ὦ ἄνθρωπε, σὺ τίς εἶ, ὁ ἀνταποκρινόμενος τῷ θεῷ; Μὴ ῥῆμα τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; Εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς, κατηρτισμένα εἰς ἀπώλειαν, καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν, οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν. Ὡς καὶ ἐν Ὡσηὲ λέγει· Καλέσω τὸν οὐ λαόν μου λαόν μου, καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην. καὶ ἔσται ἐν τόπῳ, οὗ ἐρρήθη αὐτοῖς· οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος. Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ· ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει κύριος ἐπὶ τῆς γῆς. καὶ καθὼς προείρηκεν Ἡσαΐας· εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως; Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. Διὰ τί; ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου. Προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος. καθὼς γέγραπται· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου. Καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.

ΚΕΦΑΛ. ι.

Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις πρὸς τὸν θεὸν, ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν. μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν. Τέλος γὰρ νόμου χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. Μωσῆς γὰρ γράφει, τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη, οὕτως λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι χριστὸν καταγαγεῖν. ἢ, τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου. τουτέστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν, ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Λέγει γὰρ ἡ γραφή· πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται. Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος. ὁ γὰρ αὐτὸς κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται. Πῶς οὖν ἐπικαλέσωνται, εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν, οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται· ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει· κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; ἄρα ἡ πίστις ἐξ ἀκοῆς. ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ. ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος Μωσῆς λέγει· ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει· Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμφανὴς ἐγκρύπτω τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα.

ΚΕΦΑΛ. ια.

ΛΕγω δὴν, μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο. καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν. Οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω. ἢ οὐκ οἴδατε, ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ Ἰσραὴλ, λέγων· κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ, λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν. Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκ ἔτι γίνεται χάρις. Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις. Ἐπεὶ τὸ ἔργον, οὐκέτι ἐστὶν ἔργον. Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχεν. ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν, καθὼς γέγραπται· ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας. καὶ Δαβὶδ λέγει· γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταπόδομα αὐτοῖς. σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν, τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰπαντὸς σύγκαμψον. Λέγω δὴν, μὴ ἔπταισαν, ἵνα πέσωσι; Μὴ γένοιτο. ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν; Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ' ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, εἴ πως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν. εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν; εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα. καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι. εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὤν, ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου, μὴ κατακαυχῶ τῶν κλάδων. Εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ. ἐρεῖς δὴν· ἐξεκλάσθησαν κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ. καλῶς. τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ πίστει ἕστηκας. μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσηται. ἴδε δὴν χρηστότητα καὶ ἀποτομίαν θεοῦ, τὴν μὲν τοὺς πεσόντας ἀποτομίαν, τὴν δὲ σὲ χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι. ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται. Δυνατὸς γὰρ ἐστὶν ὁ θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς. εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ; Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοί, τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι, ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ οὕτως πᾶς Ἰσραὴλ σωθήσεται. καθὼς γέγραπται· ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ. καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. Κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' ὑμᾶς, κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ θεοῦ. ὥσπερ γὰρ καὶ ὑμεῖς ποτε ἠπειθήσατε τῷ θεῷ, νυνὶ δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, οὕτως καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι. Συνέκλεισε γὰρ ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ. Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. τίς γὰρ ἔγνω νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; ὅτι ἐξ αὐτοῦ, καὶ διὰ αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΚΕΦΑΛ. ιβ.

ΠΑρακαλῶ δὴν ὑμᾶς ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον καὶ τέλειον. Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν, εἰς τὸ σωφρονεῖν ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως. Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, πάντα δὲ τὰ μέλη οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ. ὁ δὲ καθ' εἷς, ἀλλήλων μέλη, ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι. ἡ ἀγάπη ἀνυπόκριτος, ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ, τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι, τῇ σπουδῇ μὴ ὀκνηροὶ, τῷ πνεύματι ζέοντες, τῷ καιρῷ δουλεύοντες, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ προσευχῇ προσκαρτεροῦντες, ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες, τὴν φιλοξενίαν διώκοντες. εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε. Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων, τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες, μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς, μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων. εἰ δυνατὸν, τὸ ἀφ' ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. Γέγραπται γάρ· ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος. ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμισον αὐτόν. ἐὰν διψᾷ, πότιζε αὐτόν. τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

ΚΕΦΑΛ. 13.

Πασα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ἀπὸ θεοῦ. αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ θεοῦ τεταγμέναι εἰσίν. ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν. οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρῖμα λήψονται. οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῷ ἀγαθῷ ἔργῳ, ἀλλὰ τῷ κακῷ. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; Τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Θεοῦ γάρ διάκονός ἐστι, σοὶ εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ. Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. Θεοῦ γάρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. διὸ ἀνάγκη ὑποτάσσεσθαι οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὸ συνείδησιν. διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε. λειτουργοὶ γάρ θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς. τῷ τὸν φόρον, τὸν φόρον. τῷ τὸ τέλος, τὸ τέλος. τῷ τὸν φόβον, τὸν φόβον. τῷ τὴν τιμὴν, τὴν τιμήν. μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους. Ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκεν. Τὸ γάρ, οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. πλήρωμα οὖν νόμου, ἡ ἀγάπη. καὶ τοῦτο, εἰδότες τὸν καιρὸν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι. νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν. ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ, ἀλλ' ἐνδύσασθε τὸν κύριον Ἰησοῦν χριστόν. Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

ΚΕΦΑΛ. 14.

Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λαχανα ἐσθίει. ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω. καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω. Ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο. σὺ τίς εἶ, ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει· σταθήσεται δέ. Δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν. ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. Ἕκαστος ἐν τῷ ἰδίῳ νοὶ πληροφορείσθω. ὁ φρονῶν τὴν ἡμέραν, κυρίῳ φρονεῖ. καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, κυρίῳ οὐ φρονεῖ. ὁ ἐσθίων, κυρίῳ ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ θεῷ. καὶ ὁ μὴ ἐσθίων, κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ θεῷ. οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. ἐάν τε γὰρ ζῶμεν, τῷ κυρίῳ ζῶμεν. ἐάν τε ἀποθνήσκωμεν, τῷ κυρίῳ ἀποθνήσκομεν. ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ κυρίου ἐσμέν. εἰς τοῦτο γὰρ χριστὸς καὶ ἀπέθανε, καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σύ, τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ χριστοῦ. Γέγραπται γάρ· ζῶ ἐγὼ λέγει κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ θεῷ. ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ. μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ, μὴ πρόσκομμα προσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον. Οἶδα, καὶ πέπεισμαι ἐν κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν διἑαυτοῦ, εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν. εἰ γὰρ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε. Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν. οὐ γὰρ ἔστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ. Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ χριστῷ, εὐάρεστος τῷ θεῷ, καὶ δόκιμος τοῖς ἀνθρώποις. ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς, τὰ εἰς ἀλλήλους. Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ. Πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ, τῷ διὰ προσκόμματος ἐσθίοντι. Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. Σὺ πίστιν ἔχεις, κατὰ σαυτὸν ἔχε ἐνώπιον τοῦ θεοῦ. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν, ἐν ᾧ δοκιμάζει. ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως. πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. ιε.

Ο φείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ, τὰ ἀδυνήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. ἕκαστος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. καὶ γὰρ ὁ χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται· Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, ἐπέπεσον ἐπ' ἐμέ. Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν. ὁ δὲ θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ χριστὸν Ἰησοῦν, ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν θεὸν, καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ χριστὸς προσελάβετο ἡμᾶς εἰς δόξαν θεοῦ. λέγω δὲ Ἰησοῦν χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεόν. καθὼς γέγραπται· Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ. καὶ πάλιν λέγει· εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ πάλιν· Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. καὶ πάλιν Ἡσαΐας λέγει· ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. Ὁ δὲ θεὸς τῆς ἐλπίδος, πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης, ἐν τῷ πιστεύειν εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου. Πέπεισμαι δὲ ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν. Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ. Ἔχω οὖν καύχησιν ἐν χριστῷ Ἰησοῦ τὰ πρὸς θεόν. Οὐ γὰρ τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος θεοῦ, ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ, πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ χριστοῦ. οὕτως δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ, ἀλλὰ καθὼς γέγραπται· οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ οἱ οὐκ ἀκηκόασι συνήσουσι. διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς. Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν, ὡς ἂν πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς ὑμᾶς. ἐλπίζω γὰρ διαπορευόμενος, θεάσασθαι ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ. Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. Εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσίν. εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. τοῦτο οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον, ἀπελεύσομαι δι' ὑμῶν εἰς Σπανίαν. οἶδα δὲ, ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ χριστοῦ ἐλεύσομαι. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος, συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ, πρὸς τὸν θεόν, ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις, ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς, διὰ θελήματος θεοῦ, καὶ συναναπαύσωμαι ὑμῖν. ὁ δὲ θεὸς τῆς εἰρήνης, μετὰ πάντων ὑμῶν, ἀμήν.

ΚΕΦΑΛ. ιϛ.

Συνίστημι δὲ ὑμῖν Φοίβην, τὴν ἀδελφὴν ἡμῶν, οὖσαν διάκονον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς, ἵνα αὐτὴν προσδέξησθε ἐν κυρίῳ, ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ πράγματι. καὶ γὰρ αὐτὴ προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ. Ἀσπάσασθε Πρίσκαν καὶ Ἀκύλαν, τοὺς συνεργούς μου ἐν χριστῷ Ἰησοῦ, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν. οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν, καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. Ἀσπάσασθε ἐπαινετὸν τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας ἐν χριστῷ. ἀσπάσασθε Μαρίαμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς. ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν, τοὺς συγγενεῖς μου, καὶ συναιχμαλώτους μου, οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν χριστῷ. ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν κυρίῳ. ἀσπάσασθε Ὀρβανόν, τὸν συνεργὸν ἡμῶν ἐν χριστῷ, καὶ Στάχυν τὸν ἀγαπητόν μου. ἀσπάσασθε Ἀπελλῆν, τὸν δόκιμον ἐν χριστῷ. ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου. ἀσπάσασθε Ἡρῳδίωνα τὸν συγγενῆ μου. ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου τοὺς ὄντας ἐν κυρίῳ. ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν, τὰς κοπιώσας ἐν κυρίῳ. ἀσπάσασθε Περσίδα τὴν ἀγαπητὴν, ἥτις πολλὰ ἐκοπίασεν ἐν κυρίῳ. ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. ἀσπάσασθε Ἀσύγκριτον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιεῖτε, φλέγοντα, ἔρημῶ, παροῦσαν, ἐρμῶ, καὶ οὐ σὺν αὐτοῖς ἀδελφούς. ἀσπάζεται Φιλόλογον, καὶ Ἰουλίαν, Νηρέα, καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν, καὶ οὐς σὺν αὐτοῖς πάντας ἁγίους. ἀσπάζεται Ἑρμῆς καὶ Φιλόλογος καὶ Ἰουλίαν, καὶ Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν, καὶ οὐς σὺν αὐτοῖς πάντας ἁγίους. ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ Χριστοῦ. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας, καὶ τὰ σκάνδαλα, παρὰ τὴν διδαχὴν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας, καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. Οἱ γὰρ τοιοῦτοι, τῷ Κυρίῳ Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο. Χαίρω οὖν ἐφ' ὑμῖν. Θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθόν, ἀκεραίους δὲ εἰς τὸ κακόν. ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀσπάζονται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου, καὶ Λούκιος, καὶ Ἰάσων, καὶ Σωσίπατρος, οἱ συγγενεῖς μου. Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος, ὁ γράψας τὴν ἐπιστολὴν ἐν Κυρίῳ. ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης. ἀσπάζεται ὑμᾶς Ἔραστος, ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ὑμῶν. ἀμήν. Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου, χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν, διά τε γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, μόνῳ σοφῷ θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Πρὸς Ῥωμαίους.

Ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης τῆς διακόνου τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛ. 1.

ΠΑῦλος κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφὸς, τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ θεοῦ, τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ, καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους, ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Πιστὸς ὁ θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ, καὶ ἐν τῇ αὐτῇ γνώμῃ. Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. μεμέρισται ὁ Χριστός; Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; Εὐχαριστῶ τῷ θεῷ, ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον, ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβαπτίσθητε. ἐβαπτίσθη δὲ καὶ τὸν Στεφανᾶ οἶκον. λοιπὸν οὐκ οἶδα, εἴ τινα ἄλλον ἐβάπτισα. Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σῳζομένοις ἡμῖν δύναμις θεοῦ ἐστι. Γέγραπται γάρ· ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν συνεσιν τῶν συνετῶν ἀθετήσω. ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν, εὐδόκησεν ὁ θεὸς, διὰ τῆς μωρίας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ λυτρώματος σῶσαι τοὺς πεποιθότας. ἐπειδὴ καὶ Ἰουδαίοις σημεῖον αἰτοῦσι, καὶ Ἕλλησι Σο-
φίαν ζητοῦσιν. Ἡμεῖς δὲ κηρύσσομεν χριστὸν ἐσταυρωμένον. Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ
μωρίαν. Αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι, χριστὸν θεοῦ δύναμιν, καὶ θεοῦ σοφίαν.
Ὅτι τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρότερον τῶν ἀν-
θρώπων ἐστί. Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολ-
λοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεός, ἵνα τοὺς σοφοὺς κα-
ταισχύνῃ. καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεός, ἵνα καταισχύνῃ τὰ ἰσχυρά. καὶ τὰ ἀγεν-
ῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ,
ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν χριστῷ Ἰησοῦ, ὃς ἐγεν-
νήθη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. ἵνα καθὼς γέγραπται,
ὁ καυχώμενος, ἐν κυρίῳ καυχάσθω.

ΚΕΦΑΛ. 2.

Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλ-
λων ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. Οὐ γὰρ ἔκρινά τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν χρι-
στὸν, καὶ τοῦτον ἐσταυρωμένον. κἀγὼ ἐν ἀσθενείᾳ, καὶ ἐν φόβῳ, καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην
πρὸς ὑμᾶς. καὶ ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν
ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυ-
νάμει θεοῦ. Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις. σοφίαν δὲ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρ-
χόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων, ἀλλὰ λαλοῦμεν σοφίαν θεοῦ ἐν μυστηρίῳ, τὴν
ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων, εἰς δόξαν ἡμῶν, ἣν οὐδεὶς τῶν ἀρχόντων
τοῦ αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ἀλλὰ κα-
θὼς γέγραπται· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέ-
βη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος
αὐτοῦ. Τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ
τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν,
εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ. Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ
ἐκ τοῦ θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν, ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς
τοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου, πνευματικοῖς πνεύ-
ματα συγκρίνοντες. Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ. μωρία
γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται. Ὁ δὲ πνευματικὸς ἀνα-
κρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. Τίς γὰρ ἔγνω νοῦν κυρίου, ὃς συμβιβάσει
αὐτόν; Ἡμεῖς δὲ νοῦν χριστοῦ ἔχομεν.

ΚΕΦΑΛ. 3.

Κἀγὼ ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν, ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς
νηπίοις ἐν χριστῷ. Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα. οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδὲ ἔτι
νῦν δύνασθε. ἔτι γὰρ σαρκικοί ἐστε. ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις, οὐχὶ σαρκικοί
ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; ὅταν γὰρ λέγῃ τις· ἐγὼ μέν εἰμι Παύλου, ἕτερος δὲ ἐγώ
Ἀπολλῶ, οὐχὶ σαρκικοί ἐστε; Τίς οὖν ἐστι Παῦλος; τίς δὲ Ἀπολλῶς; ἀλλ' ἢ διάκονοι, διὰ ὧν ἐπιστεύσατε,
καὶ ἑκάστῳ ὡς ὁ κύριος ἔδωκεν. ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ θεὸς ηὔξανεν. ὥς τε
οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων θεός. Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἓν εἰσι,
ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. Θεοῦ γάρ ἐσμεν συνεργοί. θεοῦ γεώργιον,
θεοῦ οἰκοδομή ἐστε. κατὰ τὴν χάριν τοῦ θεοῦ, τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων, θεμέλιον τέθει
κα, ἄλλος δὲ ἐποικοδομεῖ. ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς
δύναται θεῖναι, παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς χριστός. εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον
χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται.
Ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται. καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκι-
μάσει. εἴ τινος τὸ ἔργον μενεῖ, ὃ ἐποικοδόμησε, μισθὸν λήψεται. εἴ τινος τὸ ἔργον κατακαή-
σεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός. Οὐκ οἴδατε, ὅτι ναὸς θεοῦ
ἐστε, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός. ὁ γὰρ
ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς. Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. εἴ τις δοκεῖ σοφὸς εἶναι
ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γινέσθω, ἵνα γένηται σοφός. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου,
μωρία παρὰ τῷ θεῷ ἐστι. Γέγραπται γάρ· ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν.
καὶ πάλιν· κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι. Ὥστε μηδεὶς
καυχάσθω ἐν ἀνθρώποις. πάντα γὰρ ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλῶς, εἴτε Κηφᾶς, εἴ-
τε κόσμος, εἴτε ζωὴ, εἴτε θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα, πάντα ὑμῶν ἐστιν, ὑμεῖς
δὲ χριστοῦ, χριστὸς δὲ θεοῦ.

Κεφαλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 4.

Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας χριστοῦ, καὶ οἰκονόμους μυστηρίων θεοῦ. ὧδε λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ. ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας, ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. ὁ δὲ ἀνακρίνων με, κύριός ἐστιν. Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ. Ταῦτα δὲ ἀδελφοί μετεσχημάτισα εἰς ἐμαυτὸν, καὶ ἀπολλῶ, δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε, τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς μὴ φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. Τίς γάρ σε διακρίνει; Τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς μὴ λαβών; ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. Δοκῶ γάρ, ὅτι ὁ θεὸς ἡμᾶς, τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις. ἡμεῖς μωροὶ διὰ χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν χριστῷ. ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί. ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί. λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν. ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. ἐν γὰρ χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε. διὰ τοῦτο ἐπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου, τὰς ἐν χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω. ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ κύριος θελήσῃ, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν. οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ, ἀλλ' ἐν δυνάμει. τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πραότητος;

ΚΕΦΑΛ. 5.

Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν, ὁ τὸ ἔργον τοῦτο ποιήσας. ἐγὼ μὲν γὰρ, ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρὼν τὸν οὕτως τοῦτο κατεργασάμενον, ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ. Οὐ καλὸν τὸ καύχημα ὑμῶν. οὐκ οἴδατε, ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθὼς ἐστε ἄζυμοι. καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη χριστός. ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ τοῖς πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νυνὶ δὲ ἔγραψα ὑμῖν, μὴ συναναμίγνυσθαι. ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; τοὺς δὲ ἔξω ὁ θεὸς κρίνει. καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

ΚΕΦΑΛ. 6.

Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; Οὐκ οἴδατε, ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων; οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά; Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε. πρὸς ἐντροπὴν ὑμῖν λέγω· οὕτως οὐκ ἔστιν ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς, ὃς διακρινεῖ ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ; ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων; Ἤδη μὲν οὖν ὅλως ἥττημα ἐν ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλὰ ὑμεῖς ἀδικεῖτε, καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. Ἢ οὐκ οἴδατε, ὅτι ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσι; μὴ πλανᾶσθε. οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. καί ταῦτά τινες ἦτε, ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλὰ ἐδικαιώθητε

γὼ ϑεῷ ὀνόματι τῷ Κυρίῳ Ιησοῦ, καὶ γὼ ϑεῷ πνεύματι τῷ θεοῦ ἡμῶν. Παύτα μοι ἔξεσιν, ἀλλ' οὐ πάντα συμφέρῃ. Παύτα μοι ἔξεσιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. Ο δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. Τὸ δὲ σῶμα, οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι. ὁ δὲ θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ γένοιτο. ἢ οὐκ οἴδατε, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. Ο δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμα ἐστι. Φεύγετε τὴν πορνείαν. πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν. ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν, ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, ὃ ἔχετε ἀπὸ θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς. Δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅ τινά ἐστι τοῦ θεοῦ.

ΚΕΦΑΛ. 7.

Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. διὰ δὲ τὰς πορνείας, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην ὀύνοιαν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. Η γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ. ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάσητε τῇ νηστείᾳ, καὶ τῇ προσευχῇ. καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν. Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. Θέλω γὰρ πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν. ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως. Λέγω δὲ τοῖς ἀγάμοις, καὶ ταῖς χήραις· καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ. εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν. Κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγώ, ἀλλὰ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι. ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω. καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος. Εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὕτη συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. καὶ γυνή, ἥτις ἔχει ἄνδρα ἄπιστον, καὶ οὗτος συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω ἄνδρα. Ηγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀδελφῷ. ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι, νυνὶ δὲ ἅγιά ἐστιν. εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις, ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός. Τί γὰρ οἶδας γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; εἰ μή, ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεός, ἕκαστον ὡς κέκληκεν ὁ Κύριος, οὕτως περιπατείτω, καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι. Περιτετμημένῳ τις ἐκλήθη; μὴ ἐπισπάσθω. ἐν ἀκροβυστίᾳ τις ἐκλήθη; μὴ περιτεμνέσθω. ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν θεοῦ. ἕκαστος ἐν τῇ κλήσει, ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. δοῦλος ἐκλήθης; μή σοι μελέτω, ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος Κυρίου ἐστίν. ὁμοίως καὶ ὁ ἐλεύθερος κληθεὶς δοῦλός ἐστι Χριστοῦ. Τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ θεῷ. Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι. Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε. θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι. τοῦτο δέ φημι ἀδελφοί, ὁ καιρὸς συνεσταλμένός. τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι. καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες. καὶ οἱ χαίροντες, ὡς μὴ χαίροντες. καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες. καὶ οἱ χρώμενοι τὸν κόσμον τοῦτον, ὡς μὴ καταχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. Ο ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ. Ο δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. Μεμέρισται καὶ γυνὴ καὶ ἡ παρθένος. ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί. Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον, καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως. εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω. οὐχ ἁμαρτάνει, γαμείτωσαν. ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ, τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ. ὥστε ὁ ἐκγαμίζων καλῶς ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ. Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς. ἐὰν δὲ καὶ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ.

μακαριω-

μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην. δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν.

ΚΕΦΑΛ. 8.

Περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν, ὅτι πάντες γνῶσιν ἔχομεν. ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. εἴ δέ τις δοκεῖ ἐγνωκέναι τι, οὐδέπω οὐδὲν ἔγνωκεν, καθὼς δεῖ γνῶναι. εἰ δέ τις ἀγαπᾷ τὸν θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων οἴδαμεν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς θεὸς εἰ μὴ εἷς. καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοί, ἀλλ' ἡμῖν εἷς θεὸς, ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις. τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα, μολύνεται. βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ. οὔτε γὰρ ἐὰν φάγωμεν περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα. βλέπετε δὲ, μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν. ἐὰν γάρ τις ἴδῃ σὲ τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπολεῖται ὁ ἀσθενὴς ἀδελφός, ὑπὲρ τῆς σῆς γνώσεως, δι' ὃν Χριστὸς ἀπέθανεν. οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. διὸ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίζω.

ΚΕΦΑΛ. 9.

Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν τὸν κύριον ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστὲ ἐν κυρίῳ; εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί. ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς, ὑμεῖς ἐστὲ ἐν κυρίῳ. ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστίν. μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν; ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου, καὶ Κηφᾶς; ἢ μόνος ἐγὼ κἀ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· Οὐ φιμώσεις βοῦν ἀλοῶντα. μὴ τῶν βοῶν μέλει τῷ θεῷ, ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη. ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν, ἐπ' ἐλπίδι τοῦ μετέχειν ἐπ' ἐλπίδι. εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ. οὐκ οἴδατε, ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ ἐσθίουσι; οἱ τῷ θυσιαστηρίῳ παρεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται; οὕτως καὶ ὁ κύριος διέταξε, τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν. ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων. οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτως γένηται ἐν ἐμοί. καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα, ἀνάγκη γάρ μοι ἐπίκειται. οὐαὶ γάρ μοί ἐστιν ἐὰν μὴ εὐαγγελίζωμαι. εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω. εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. τίς οὖν μού ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος, ἀδιάπαυστον θήσω τὸ εὐαγγέλιον τοῦ χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ. Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω. τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω. τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεοῦ, ἀλλ' ἔννομος χριστοῦ, ἵνα κερδήσω ἀνόμους. ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. οὐκ οἴδατε, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτως τρέχετε, ἵνα καταλάβητε. πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. Ἐγὼ τοίνυν οὕτως τρέχω, ὡς οὐκ ἀδήλως. οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. ἀλλ' ὑποπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

ΚΕΦΑΛ. 10.

Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν μωσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. ἡ δὲ πέτρα ἦν ὁ χριστός. ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός· κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. ταῦτα δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τύποι ἡμῶν ἐγράφησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν. μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν, ὡς γέγραπται· ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες. μηδὲ ἐκπειράζωμεν τὸν χριστὸν, καθὼς καί τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. μηδὲ γογγύζετε, καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. Ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς ὃς τὰ τέλη τῶν αἰώνων κατήντησεν. ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. Πειρασμὸς ὑμᾶς οὐκ εἰληφεν, εἰ μὴ ἀνθρώπινος. Πιστὸς δὲ ὁ θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι, ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν. Διόπερ ἀγαπητοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλολατρίας. ὡς φρονίμοις λέγω, κρίνατε ὑμεῖς ὃ φημι. Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ χριστοῦ ἐστι; Τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ χριστοῦ ἐστιν; ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν. οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα. οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοί τοῦ θυσιαστηρίου εἰσί; τί οὖν φημι, ὅτι εἰδωλόθυτόν τί ἐστιν, ἢ ὅτι εἰδωλόθυτόν τί ἐστιν; ἀλλ' ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ θεῷ. οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμόνων γίνεσθαι. οὐ δύνασθε ποτήριον κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων. οὐ δύνασθε τραπέζης κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. ἢ παραζηλοῦμεν τὸν κύριον; μή ἰσχυρότεροι αὐτοῦ ἐσμέν. πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. Πᾶν τὸ ἐν μακέλλῃ πωλούμενον, ἐσθίετε, μηδὲν ἀνακρίνοντες, διὰ τὴν συνείδησιν. τοῦ γὰρ κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. εἴ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. Ἐὰν δέ τις ὑμῖν εἴπῃ, τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε, δι' ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν. τοῦ γὰρ κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου. ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; εἰ δὲ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι, ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ χριστοῦ.

ΚΕΦΑΛ. ια.

Ἐπαινῶ δὲ ὑμᾶς ἀδελφοί, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε. θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ χριστός ἐστι, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ χριστοῦ ὁ θεός. πᾶς ἀνὴρ προσευχόμενος, ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων, κατασχύνει τὴν κεφαλὴν αὐτοῦ. πᾶσα δὲ γυνὴ, προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, κατασχύνει τὴν κεφαλὴν ἑαυτῆς. ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ. εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ, καὶ κειράσθω. εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω. ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων. γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός. καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους. πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρός ἐν κυρίῳ. ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτως καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός, τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. ἐν ὑμῖν αὐτοῖς κρίνατε. πρέπον ἐστὶ, γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ προσεύχεσθαι; ἢ οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται. εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ. τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε. πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω. δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν. συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν. ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς; ἐν τούτῳ οὐκ ἐπαινῶ. ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ τὸ διαπνῆσαι, λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν τῷ ἐμῷ αἵματι. τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. κρινόμενοι δὲ ὑπὸ τοῦ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Ωστε ἀδελφοί μου συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. εἴ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα συνέρχησθε. τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω, διατάξομαι.

ΚΕΦΑΛ. 12.

Περὶ δὲ τῶν πνευματικῶν ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. οἴδατε ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε ἀπαγόμενοι. διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ιησοῦ. καὶ οὐδεὶς δύναται εἰπεῖν κύριον Ιησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα. καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς κύριος. καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς ἐστι θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ἑκάστῳ δέ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος, πρὸς τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ ἑρμηνεία γλωσσῶν. πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. καθάπερ γὰρ τὸ σῶμα ἓν ἐστι, καὶ μέλη ἔχει πολλὰ, πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς, πολλὰ ὄντα, ἓν ἐστι σῶμα, οὕτω καὶ ὁ χριστός. καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι. καὶ πάντες εἰς ἓν πνεῦμα ἐποτίσθημεν. καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά. ἐὰν εἴπῃ ὁ πούς, ὅτι οὐκ εἰμὶ χεὶρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; καὶ ἐὰν εἴπῃ τὸ οὖς, ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις; νυνὶ δὲ ὁ θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν. εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; νυνὶ δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα. οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί· χρείαν σου οὐκ ἔχω; ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω; ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι. καὶ ἃ δοκοῦμεν ἀτιμοτέρα εἶναι τοῦ σώματος, τούτοις πλείω τιμὴν περιτίθεμεν. καὶ τὰ ἀσχήμονα ἡμῶν, εὐσχημοσύνην περισσοτέραν ἔχει. τὰ δὲ εὐσχήμονα ἡμῶν, οὐ χρείαν ἔχει. ἀλλ' ὁ θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστερουμένῳ περισσοτέραν δοὺς τιμὴν, ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη. καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. εἴτε δοξάζεται ἓν μέλος, συνχαίρει πάντα μέλη. Ὑμεῖς δὲ ἐστὲ σῶμα χριστοῦ, καὶ μέλη ἐκ μέρους. καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ μείζονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

ΚΕΦΑΛ. 13.

Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ, καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται. ἡ ἀγάπη οὐ ζηλοῖ. ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ, πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. εἴτε δὲ προφητεῖαι καταργηθήσονται, εἴτε γλῶσσαι παύσονται, εἴτε γνῶσις καταργηθήσεται. ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς

νήπιος

νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην. ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου. Βλέπομεν γὰρ ἄρτι διὰ ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. Νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα, μείζων δὲ τούτων ἡ ἀγάπη.

ΚΕΦΑΛ. 14.

Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικὰ, μᾶλλον δὲ ἵνα προφητεύητε. Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ Θεῷ. οὐδεὶς γὰρ ἀκούει. πνεύματι δὲ λαλεῖ μυστήρια. Ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν, καὶ παράκλησιν, καὶ παραμυθίαν. Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ. Ὁ δὲ προφητεύων, ἐκκλησίαν οἰκοδομεῖ. Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε. μείζων γὰρ ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύῃ, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ. Νυνὶ δὲ ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω; ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ; ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον, ἢ τὸ κιθαριζόμενον; καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον; οὕτως καὶ ὑμεῖς διὰ τῆς γλώσσης, ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες. τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον. ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος, καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος. ὅτως καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε, ἵνα περισσεύητε. Διόπερ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω, ἵνα διερμηνεύῃ. ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. Τί οὖν ἐστι; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ. ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ, τί λέγεις, οὐκ οἶδε. Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται. εὐχαριστῶ τῷ Θεῷ μου, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ. ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε. ἐν τῷ νόμῳ γέγραπται· ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος. ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις. ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε; ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτως τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτως πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστι. Τί οὖν ἐστιν ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει. πάντα πρὸς οἰκοδομὴν γενέσθω. εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο, ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω. ἐὰν δὲ μὴ ᾖ διερμηνευτὴς, σιγάτω ἐν ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ. Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν. ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται. Καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται. οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλλ' εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων. αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν. οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. εἰ δέ τι μαθεῖν θέλουσι, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. αἰσχρὸν γάρ ἐστι γυναικὶ, ἐν ἐκκλησίᾳ λαλεῖν. ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν; εἴ τις δοκεῖ προφήτης εἶναι, ἢ πνευματικὸς, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι κυρίου εἰσὶν ἐντολαί. εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. ὥστε ἀδελφοί, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε. πάντα εὐσχημόνως, καὶ κατὰ τάξιν γινέσθω.

ΚΕΦΑΛ. 15.

Γνωρίζω δὲ ὑμῖν ἀδελφοὶ τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε. παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς γραφὰς, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφὰς, καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα, ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πακοσίοις ἀδελφοῖς ἐφάπαξ. ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν. ἔπειτα τοῖς ἀποστόλοις πᾶσιν. ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ. χάριτι δὲ θεοῦ εἰμι, ὅ εἰμι. καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα. οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ, ἡ σὺν ἐμοί. εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτως κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε. εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ καὶ ἡ πίστις ὑμῶν. εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ, ὅτι ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται. εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν, ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ, ἀπώλοντο. εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι, ἀπαρχὴ Χριστὸς, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν, καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. ὅταν δὲ εἴπῃ, ὅτι πάντα ὑποτέτακται, δηλονότι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται, τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν. ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται; τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. μὴ πλανᾶσθε. φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε. ἀγνωσίαν γὰρ θεοῦ τινες ἔχουσι. πρὸς ἐντροπὴν ὑμῖν λέγω. ἀλλ' ἐρεῖ τις· πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; ἄφρον· σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ. καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου, ἢ τινος τῶν λοιπῶν. ὁ δὲ θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σὰρξ, ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν. καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων, ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ. σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει. σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. οὕτως καὶ γέγραπται· ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος, ὁ κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί. καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. τοῦτο δέ φημι ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. ἰδοὺ μυστήριον ὑμῖν λέγω. Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι. σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· κατεπόθη ὁ θάνατος εἰς νῖκος. ποῦ σου θάνατε τὸ κέντρον; ᾅδη σου ἄδηλον τὸ νῖκος; τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος. τῷ δὲ θεῷ χάρις, τῷ δόντι ἡμῖν τὸ νῖκος, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὥστε ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν κυρίῳ.

Κεφαλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 16.

Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς γαλατίας, οὕτως καὶ ὑμεῖς ποιήσατε. κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων, ὅ, τι ἂν εὐοδῶται, ἵνα μὴ ὅταν ἔλθω, τότε λογίαι γίνωνται. ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάζητε διὰ ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ. ἐὰν δὲ ἡ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται. ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω. Μακεδονίαν γὰρ διέρχομαι. πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε, ὅ ἐὰν πορεύωμαι. οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν, ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ κύριος ἐπιτρέπῃ. ἐπιμενῶ δὲ ἐν ἐφέσῳ, ἕως τῆς πεντηκοστῆς. θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί. ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς. τὸ γὰρ ἔργον κυρίου ἐργάζεται, ὡς κἀγὼ. μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με. ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν. περὶ δὲ Ἀπολλῶ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν. καὶ πάντως οὐκ ἦν θέλημα, ἵνα νῦν ἔλθῃ. ἐλεύσεται δέ, ὅταν εὐκαιρήσῃ. γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, οἰδατε τὴν οἰκίαν στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς, ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ στεφανᾶ, καὶ φορτουνάτου, καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν. ἀνέπαυσαν γὰρ τὸ ἐμὸν καὶ ὑμῶν πνεῦμα, καὶ τὸ ὑμῶν. ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. ἀσπάζονται ὑμᾶς ἐν κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ. ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. εἴ τις οὐ φιλεῖ τὸν κύριον Ἰησοῦν χριστόν, ἤτω ἀνάθεμα, μαραναθά. ἡ χάρις τοῦ κυρίου Ἰησοῦ χριστοῦ μετ' ὑμῶν. ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν χριστῷ Ἰησοῦ. ἀμήν.

Πρὸς κορινθίους πρώτη.

Ἐγράφη ἀπὸ Φιλίππων διὰ στεφανᾶ καὶ φορτουνάτου, καὶ ἀχαϊκοῦ, καὶ τιμοθέου.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ Β'.

ΚΕΦΑΛ. 1.

Παῦλος ἀπόστολος Ἰησοῦ χριστοῦ διὰ θελήματος θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν κορίνθῳ, σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ ἀχαΐᾳ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ χριστοῦ. εὐλογητὸς ὁ θεὸς, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως, ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ὑμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν, τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ. ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ χριστοῦ εἰς ἡμᾶς, οὕτως διὰ χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. εἴτε δὲ θλιβόμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως, καὶ σωτηρίας, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων, ὧν καὶ ἡμεῖς πάσχομεν, εἴτε παρακαλούμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν, εἰδότες ὅτι ὡσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτως καὶ τῆς παρακλήσεως. οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν, τῆς γενομένης ἡμῖν ἐν τῇ ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς, ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ἔτι ῥύσεται, συνυπουργούντων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δ' εὐσει, ἵνα ἐκ πολλῶν πρωσώπων, τὸ εἰς ἡμᾶς χάρισμα, διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆ συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς. οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. ἐλπίζω δὲ, ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε. καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ. καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρὸς ὑμᾶς ἐλθεῖν πρότερον, ἵνα δευτέραν χάριν ἔχητε, καὶ δι' ὑμῶν διελθεῖν εἰς μακεδονίαν, καὶ πάλιν ἀπὸ μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι εἰς τὴν ἰουδαίαν. τοῦτο οὖν βουλευόμενος, μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι; ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ. πιστὸς δὲ ὁ θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ. ὁ γὰρ τοῦ θεοῦ υἱὸς Ἰησοῦς χριστὸς, ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθεὶς, δι' ἐμοῦ καὶ σιλουανοῦ καὶ τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν. ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ τὸ ναί, καὶ ἐν αὐτῷ τὸ ἀμήν, τῷ θεῷ πρὸς δόξαν δι' ἡμῶν. ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς χριστὸν, καὶ χρίσας ἡμᾶς θεὸς, ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. ἐγὼ δὲ μάρτυρα τὸν θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς κόρινθον, οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν. τῇ γὰρ πίστει ἑστήκατε.

ΚΕΦΑΛ. 2.

ΕΚρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς. εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτὸ, ἵνα μὴ ἐλθὼν, λύπην σχῶ, ἀφ' ὧν ἔδει με χαίρειν. πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν. ἐκ γὰρ πολλῆς θλίψεως, καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν, διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς. ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη, ἡ ὑπὸ τῶν πλειόνων, ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. διὸ παρακαλῶ ὑμᾶς, κυρῶσαι εἰς αὐτὸν ἀγάπην. εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. ᾧ δέ τι χαρίζεσθε, κἀγὼ. καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι, ᾧ κεχάρισμαι, δι' ὑμᾶς ἐν προσώπῳ χριστοῦ, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. ἐλθὼν δὲ εἰς τὴν τρωάδα, εἰς τὸ εὐαγγέλιον τοῦ χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με τίτον τὸν ἀδελφόν μου, ἀλλὰ ἀποταξάμενος αὐτοῖς, ἐξῆλθον εἰς μακεδονίαν. τῷ δὲ θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ. ὅτι χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ, ἐν τοῖς σῳζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις. οἷς μὲν ὀσμὴ θανάτου, εἰς θάνατον. οἷς δὲ ὀσμὴ ζωῆς, εἰς ζωήν. καὶ πρὸς ταῦτα τίς ἱκανός; οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ θεοῦ, κατ' ἐνώπιον τοῦ θεοῦ, ἐν χριστῷ λαλοῦμεν.

ΚΕΦΑΛ. 3.

ΑΡχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν. εἰ μὴ χρῄζομεν ὡς τινες συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν; ἡ ἐπιστολὴ ἡμῶν, ὑμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων, φανερούμενοι, ὅτι ἐστὲ ἐπιστολὴ χριστοῦ, διακονηθεῖσα, ὑφ' ἡμῶν ἐγγεγραμμένη, οὐ μέλανι, ἀλλὰ πνεύματι θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίαις σαρκίναις. πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ χριστοῦ πρὸς τὸν θεόν, οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ. ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος. τὸ γὰρ γράμμα ἀποκτέινει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύασθαι ἀτενίσαι τοὺς υἱοὺς ἰσραὴλ εἰς τὸ πρόσωπον μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ. καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. εἰ γὰρ τὸ καταργούμενον, διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ. ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ χρώμεθα, καὶ οὐ καθάπερ μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου. ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν. ἄχρι γὰρ τῆ σήμερον, τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀνα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ, τι ἐν χριστῷ καταργεῖται. ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα. ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν. οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία. ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος.

ΚΕΦΑΛ. 4.

Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν, οὐκ ἐκκακοῦμεν, ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες τὸν λόγον τοῦ θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων, ἐνώπιον τοῦ θεοῦ. Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ. οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ χριστὸν Ἰησοῦν κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦ, ὅτι ὁ θεός, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ ἐν προσώπῳ Ἰησοῦ χριστοῦ. ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ, καὶ μὴ ἐξ ἡμῶν, ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι. ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι. διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι. καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. πάντοτε τὴν νέκρωσιν τοῦ κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν. ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, ἐπίστευσα, διὸ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν, εἰδότες, ὅτι ὁ ἐγείρας τὸν κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ, καὶ παραστήσει σὺν ὑμῖν. τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα, διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν, περισσεύσῃ εἰς τὴν δόξαν τοῦ θεοῦ. διὸ οὐκ ἐκκακοῦμεν, ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρα καὶ ἡμέρα. τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν, εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.

ΚΕΦΑΛ. 5.

Οἴδαμεν γὰρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες. εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει, στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο, θεός, ὁ καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος. θαῤῥοῦντες οὖν πάντοτε, καὶ εἰδότες, ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου. διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους. θαῤῥοῦμεν δὲ καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον. διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι. τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον. εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου, ἀνθρώπους πείθομεν, θεῷ δὲ πεφανερώμεθα. ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι. οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν, ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους, καὶ οὐ καρδίᾳ. εἴτε γὰρ ἐξέστημεν, θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν. ἡ γὰρ ἀγάπη τοῦ χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα. εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. ὥστε εἴ τις ἐν χριστῷ, καινὴ κτίσις. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα. τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ, τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς. ὡς ὅτι θεὸς ἦν ἐν χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. ὑπὲρ χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν. δεόμεθα ὑπὲρ χριστοῦ, καταλλάγητε τῷ θεῷ. τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γινώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.

Κεφαλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 6.

Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ θεοῦ δέξασθαι ὑμᾶς. λέγει γάρ· καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας, μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας. ὡς πλάνοι, καὶ ἀληθεῖς. ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι. ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν. ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι. ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες. ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες. ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς κορίνθιοι. ἡ καρδία ἡμῶν πεπλάτυνται. οὐ στενοχωρεῖσθε ἐν ὑμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. τὴν δὲ αὐτὴν ἀντιμισθίαν ὡς τέκνοις λέγω. πλατύνθητε καὶ ὑμεῖς, μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις χριστοῦ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων; ὑμεῖς γὰρ ναὸς θεοῦ ἐστε ζῶντος, καθὼς εἶπεν ὁ θεός· ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεός, καὶ αὐτοί ἔσονταί μοι λαός. διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει κύριος. καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει κύριος παντοκράτωρ.

ΚΕΦΑΛ. 7.

Ταύτας οὖν ἐχοντες τὰς ἐπαγγελίας ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ. χωρήσατε ἡμᾶς, οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν. οὐ πρὸς κατάκρισιν λέγω. προείρηκα γάρ, ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν. πολλή μοι παῤῥησία πρὸς ὑμᾶς, πολλή μοι καύχησις ὑπὲρ ὑμῶν. πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν. καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς μακεδονίαν, οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν, ἀλλ' ἐν παντὶ θλιβόμενοι, ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς, παρεκάλεσεν ἡμᾶς ὁ θεὸς ἐν τῇ παρουσίᾳ τίτου. οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει, ᾗ παρεκλήθη ἐφ' ὑμῖν, ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμόν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ, ὥστε με μᾶλλον χαρῆναι. ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην. βλέπω γὰρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς. νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. ἐλυπήθητε γὰρ κατὰ θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν. ἡ γὰρ κατὰ θεὸν λύπη, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται. ἰδοὺ γὰρ αὐτὸ τοῦτο, τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ὑμῖν σπουδὴν, ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ' ἐκδίκησιν. ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι. ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος, ἀλλ' εἵνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ὑμῶν τὴν ὑπὲρ ἡμῶν πρὸς ὑμᾶς ἐνώπιον τοῦ θεοῦ. διὰ τοῦτο παρακεκλήμεθα ἐπὶ τῇ παρακλήσει ὑμῶν. περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν. ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην, ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν ἡ ἐπὶ τίτου, ἀλήθεια ἐγενήθη. καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστιν, ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοὴν, ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν. Χαίρω ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν.

ΚΕΦΑΛ. 8.

Γνωρίζομεν δὲ ὑμῖν ἀδελφοί, τὴν χάριν τοῦ θεοῦ, τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς μακεδονίας, ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. ὅτι κατὰ δύναμιν μαρτυρῶ, καὶ ὑπὲρ δύναμιν αὐθαίρετοι, μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους, δέξασθαι ἡμᾶς. καὶ οὐ καθὼς ἠλπίσαμεν, ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ κυρίῳ, καὶ ἡμῖν διὰ θελήματος θεοῦ, εἰς τὸ παρακαλέσαι ἡμᾶς τίτον, ἵνα καθὼς προενήρξατο, οὕτως καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην. Ἀλλ' ὡσπερ ἐν παντὶ περισσεύετε πίστει, καὶ λόγῳ, καὶ γνώσει, καὶ πάσῃ σπουδῇ, καὶ τῇ ἐξ

Δημοσια Κεντρικη Βιβλιοθηκη Βερροιας

ὑμῶν γὰρ ἡμῖν ἀγάπην, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε. οὐ κατ' ἐπιταγὴν λέγω, ἀλλὰ διὰ ἑτέρων σπουδῆς, καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων. γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. καὶ γνώμην ἐν τούτῳ δίδωμι. τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι. νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε, ὅπως καθάπερ ἡ προθυμία τοῦ θέλειν, οὕτως καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν. εἰ γὰρ ἡ προθυμία πρόκειται, εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει. οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις, ἀλλ' ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης, καθὼς γέγραπται· ὁ τὸ πολύ, οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησεν. χάρις δὲ τῷ θεῷ, τῷ δόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου, ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο. σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος ἐξῆλθε πρὸς ὑμᾶς. συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφόν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν, οὐ μόνον δέ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν, συνέκδημος ἡμῶν σὺν τῇ χάριτι ταύτῃ, τῇ διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ κυρίου δόξαν, καὶ προθυμίαν ὑμῶν, στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ, τῇ διακονουμένῃ ὑφ' ἡμῶν, προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα. νυνὶ δὲ πολὺ σπουδαιότερον, πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς, εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς, καὶ εἰς ὑμᾶς συνεργός, εἴτε ἀδελφοὶ ἡμῶν ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ. τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε καὶ εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

ΚΕΦΑΛ. 9.

Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοί ἐστι τὸ γράφειν ὑμῖν. οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι, καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. ἔπεμψα δὲ τοὺς ἀδελφούς, ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν, κενωθῇ ἐν τῷ μέρει τούτῳ, ἵνα καθὼς ἔλεγον, παρεσκευασμένοι ἦτε. μή πως ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες, καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγω ἡμεῖς, ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως. ἀναγκαῖον οὖν ἡγησάμην, παρακαλέσαι τοὺς ἀδελφούς, ἵνα προέλθωσιν εἰς ὑμᾶς, καὶ προκαταρτίσωσι τὴν προκατηγγελμένην εὐλογίαν ὑμῶν, ταύτην ἑτοίμην εἶναι οὕτως ὡς εὐλογίαν, καὶ μὴ ὡσπερ πλεονεξίαν. τοῦτο δέ, ὁ σπείρων φεισομένως, φεισομένως καὶ θερίσει. καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. ἕκαστος καθὼς προῄρηται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός. δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν, καθὼς γέγραπται· ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν, χορηγήσαι καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γενήματα τῆς δικαιοσύνης ὑμῶν, ἐν παντὶ πλουτιζόμενοι, εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ θεῷ. ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης, οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστίᾳ τῷ θεῷ, διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης, δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς, διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ ἐφ' ὑμῖν. χάρις δὲ τῷ θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

ΚΕΦΑΛ. 10.

Αὐτὸς ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς. δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς, ὡς κατὰ σάρκα περιπατοῦντας. ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα. τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ, καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοὴν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. τὰ κατὰ πρόσωπον βλέπετε; εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτως καὶ ἡμεῖς Χριστοῦ. ἐάν τε γὰρ καὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς ἔδωκεν ὁ κύριος ἡμῖν εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, οὐ καταισχυνθήσομαι, ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φοβεῖν ὑμᾶς διὰ τῶν ὑποληφθέντων ὅτι ἀπὼν μὲν θαρρεῖ καὶ ἐπιτείνει, παρὼν δὲ ταπεινοῦται τῇ παρουσίᾳ τοῦ σώματος ἀσθενείᾳ, καὶ ὁ λόγος ἐξουθενημένος· τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ. οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων, ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες, καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς, οὐ συνιοῦσι. ἡμεῖς δὲ οὐκ εἰς τὰ ἄμετρα καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος, οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς μέτρου ἐφικέσθαι ἄχρι καὶ ὑμῶν. οὐ γὰρ ὡς μὴ ἐφικνούμενοι εἰς ὑμᾶς, ὑπερεκτείνομεν ἑαυτούς. ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ, οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα ἔχοντες, αὐξανομένης τῆς πίστεως ὑμῶν ἐν ὑμῖν, μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν, εἰς περισσείαν, εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι. ὁ δὲ καυχώμενος, ἐν κυρίῳ καυχάσθω. οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ κύριος συνίστησιν.

ΚΕΦΑΛ. ια.

Ὄφελον ἀνείχεσθέ μου μικρόν τι ἀφροσύνης, ἀλλὰ καὶ ἀνέχεσθέ μου. ζηλῶ γὰρ ὑμᾶς θεοῦ ζήλῳ. ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ χριστῷ. φοβοῦμαι δέ, μή πως ὡς ὁ ὄφις Εὕαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτως φθαρῇ τὰ νοήματα ὑμῶν, ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν χριστόν. εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ εὖ ἐδέξασθε, καλῶς ἠνείχεσθε. λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν ἀποστόλων. εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς. ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν, ἵνα ὑμεῖς ὑψωθῆτε; ὅτι δωρεὰν τὸ τοῦ θεοῦ εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν; ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν. καὶ παρὼν πρὸς ὑμᾶς, καὶ ὑστερηθείς, οὐ κατενάρκησα οὐδενός. τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν οἱ ἀδελφοὶ, ἐλθόντες ἀπὸ Μακεδονίας. καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα, καὶ τηρήσω. ἔστιν ἀλήθεια χριστοῦ ἐν ἐμοί, ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; ὁ θεὸς οἶδεν. ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσι, καθὼς καὶ ἡμεῖς. οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους χριστοῦ. καὶ οὐ θαυμαστόν. αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. οὐ μέγα οὖν, εἰ καὶ διάκονοι αὐτοῦ μετασχηματίζονται, ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα μικρόν τι κἀγὼ καυχήσωμαι. ὃ λαλῶ, οὐ λαλῶ κατὰ κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως, ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχήσομαι. ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες. ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει, κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν. ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. ἑβραῖοί εἰσι, κἀγώ. ἰσραηλῖταί εἰσι, κἀγώ. σπέρμα Ἀβραάμ εἰσι, κἀγώ. διάκονοι χριστοῦ εἰσι, παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις. ὑπὸ Ἰουδαίων τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐρραβδίσθην. ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα. νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις, ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστός οἶδεν, ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. ἐν Δαμασκῷ ὁ ἐθνάρχης ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων, καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

ΚΕΦΑΛ. ιβ.

Καυχᾶσθαι δεῖ οὐ συμφέρει μοί, ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις κυρίου. οἶδα ἄνθρωπον ἐν χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα, ὁ θεὸς οἶδεν, ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ὑπὲρ τοιούτου καυχήσομαι, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. ἐὰν γὰρ θελήσω

σω ἵνα μὴ παρών μου ἀποτόμως χρήσωμαι τῇ ἐξουσίᾳ, ἣν ὁ κύριος ἔδωκέ μοι εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν. λοιπὸν ἀδελφοί, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε, καὶ ὁ θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν. ἀσπάζεσθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι. ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες. ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, μετὰ πάντων ὑμῶν. ἀμήν.

Πρὸς κορινθίους ἀ τροπάρια.

Ἐγράφη ἀπὸ φιλίππων τῆς μακεδονίας, διὰ τίτου καὶ λουκᾶ.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛ. α.

ΠΑΥΛΟΣ ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ θεοῦ πατρὸς, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς ἐκκλησίαις τῆς Γαλατίας. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς, καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, κατὰ τὸ θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Θαυμάζω, ὅτι οὕτως ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο, εἰμή τινές εἰσιν, οἱ ταράσσοντές ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω, ὡς προειρήκαμεν. καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς εὐαγγελίζεται, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον. Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὔτε ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἐπόρθουν αὐτὴν, καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. ὅτε δὲ εὐδόκησεν ὁ θεὸς, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους, ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν. ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Κηφᾶν, καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰμὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου. ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ θεοῦ, ὅτι οὐ ψεύδομαι. ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας. ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας, ταῖς ἐν Χριστῷ. μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἣν ποτε ἐπόρθει, καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν.

ΚΕΦΑΛ. β.

ΕΠΕΙΤΑ διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον. ἀνέβην δὲ κατὰ ἀποκάλυψιν, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον. ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοὶ, Ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι, διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσωνται· οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς. ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν οὐδέν μοι διαφέρει· πρόσωπον ἄνθρωπος θεὸς οὐ λαμβάνει· ἐμοὶ γὰρ οἱ δοκοῦντες, οὐδὲν προσανέθεντο, ἀλλὰ τοὐναντίον, ἰδόντες, ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς· ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν· μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι. ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. πρὸ τοῦ γὰρ ἐλθεῖν τινὰς ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς, καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων· Εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν; ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί, εἰδότες,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιος

ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ χριστοῦ. καὶ ἡμεῖς εἰς χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου. διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σὰρξ. εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα χριστὸς ἁμαρτίας διάκονος; μὴ γένοιτο. εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι. Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα θεῷ ζήσω, χριστῷ συνεσταύρωμαι. Ζῶ δὲ, οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ χριστός. ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ. εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα χριστὸς δωρεὰν ἀπέθανεν.

ΚΕΦΑΛ. 3.

Ω ἀνόητοι γαλάται, τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι; οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς χριστὸς προεγράφη, ἐν ὑμῖν ἐσταυρωμένος. τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; οὕτως ἀνόητοί ἐστε, ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε; Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ. Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως; καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ. Προϊδοῦσα δὲ ἡ γραφὴ, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεὸς, προευηγγελίσατο τῷ Ἀβραάμ· ὅτι ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη. ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ. ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσίν. Γέγραπται γάρ· ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ, δῆλον, ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται. ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ' ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Γέγραπται γάρ· ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου, ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως. Ἀδελφοί, κατ' ἄνθρωπον λέγω· ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην, οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται. τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. οὐ λέγει καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, καὶ τῷ σπέρματί σου ὅς ἐστι χριστός. τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θεοῦ εἰς χριστόν, ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα γεγονὼς νόμος, οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας. τῷ δὲ Ἀβραὰμ διὰ ἐπαγγελίας κεχάρισται ὁ θεός. τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται, διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου. Ὁ δὲ μεσίτης, ἑνὸς οὐκ ἔστιν, ὁ δὲ θεὸς εἷς ἐστιν. ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ; μὴ γένοιτο. εἰ γὰρ ἐδόθη νόμος, ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη. ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ χριστοῦ δοθῇ τοῖς πιστεύουσι. Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν, ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ θεοῦ ἐστε, διὰ τῆς πίστεως ἐν χριστῷ Ἰησοῦ. ὅσοι γὰρ εἰς χριστὸν ἐβαπτίσθητε, χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην. οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος. οὐκ ἔνι ἄρσεν, καὶ θῆλυ. Πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν χριστῷ Ἰησοῦ. εἰ δὲ ὑμεῖς χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, κατ' ἐπαγγελίαν κληρονόμοι.

ΚΕΦΑΛ. 4.

Λέγω δὲ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κράζον Ἀββᾶ, ὁ πατήρ. ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ' υἱός. εἰ δὲ υἱός, καὶ κληρονόμος θεοῦ διὰ χριστοῦ. Ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς. νυνὶ δὲ γνόντες θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. Φοβοῦμαι ὑμᾶς, μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. γίνεσθε ὡς ἐγὼ, ὅτι καὶ ἐγὼ ὡς ὑμεῖς, ἀδελφοί, δέομαι ὑμῶν. οὐδέν με ἠδικήσατε. οἴδατε δὲ, ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον. καὶ τὸν πειρασμόν μου, τὸν ἐν τῇ σαρκί μου, οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε, ἀλλ' ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με, ὡς χριστὸν Ἰησοῦν. Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν, ὅτι εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι, ὥς τε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν; ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλὰ

ἐκκλεῖσαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε. καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς. τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ χριστὸς ἐν ὑμῖν. ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου, ὅτι ἀπορροῦμαι ἐν ὑμῖν. λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε; γέγραπται γὰρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας, ἅτινά ἐστιν ἀλληγορούμενα. αὗται γάρ εἰσι δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἁγὰρ. τὸ γὰρ Ἁγὰρ, Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ. συνοικεῖ δὲ τῇ νῦν Ἰερουσαλήμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς. ἡ δὲ ἄνω Ἰερουσαλὴμ, ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. γέγραπται γάρ· εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ἡμεῖς δὲ ἀδελφοί κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς, ἐδίωκε τὸν κατὰ πνεῦμα, οὕτως καὶ νῦν. ἀλλὰ τί λέγει ἡ γραφή; ἔκβαλε τὴν παιδίσκην, καὶ τὸν υἱὸν αὐτῆς, οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. ἄρα ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

ΚΕΦΑΛ. ε.

Τῇ ἐλευθερίᾳ οὖν ᾗ χριστὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν· ὅτι ἐὰν περιτέμνησθε, χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. κατηργήθητε ἀπὸ τοῦ χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε. ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. ἐν γὰρ χριστῷ Ἰησοῦ, οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. ἐτρέχετε καλῶς. τίς ὑμᾶς ἀνέκοψε τῇ ἀληθείᾳ μὴ πείθεσθαι; ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. ὁ δὲ ταράσσων ὑμᾶς, βαστάσει τὸ κρῖμα, ὅστις ἐὰν ᾖ. ἐγὼ δὲ ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ. ὄφελον καὶ ἀποκόπτονται οἱ ἀναστατοῦντες ὑμᾶς. ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε ἀδελφοί, μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πεπλήρωται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε. λέγω δέ, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρία, φαρμακεία, ἔχθραι, ἔρις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια. κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. οἱ δὲ τοῦ χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις. εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

ΚΕΦΑΛ. ς.

Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἐν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ χριστοῦ. εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ. τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει. κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς. μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται. ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει. ὅτι ὁ σπείρων εἰς τὴν σάρκα αὐτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθοράν. ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν. καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς οἰκείους τῆς πίστεως. ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ χριστοῦ διώκωνται. οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. ἐν γὰρ χριστῷ

Ἰησοῦ

Ιησᾶ οὔτε πρωτεύειν τι ἰσχύει, οὔτε ἀπροβυσία, ἀλλὰ καινὴ κτίσις. καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς, καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ. τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω. ἐγὼ γὰρ τὰ στίγματα τοῦ κυρίου Ιησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν ἀδελφοί. ἀμήν.

Πρὸς γαλάτας ἐγράφη ἀπὸ ῥώμης.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛ. 1.

ΠΑΥΛΟΣ ἀπόστολος Ιησοῦ χριστοῦ διὰ θελήματος θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν ἐφέσῳ, καὶ πιστοῖς ἐν χριστῷ Ιησοῦ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ιησοῦ χριστοῦ. εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις χριστῷ, καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατ' ἐνώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ιησοῦ χριστοῦ εἰς αὐτὸν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς, ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει, γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ χριστῷ, τά τε ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς ἐν αὐτῷ, ἐν ᾧ καὶ ἐκληρώθημεν, προορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος, κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ, εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ χριστῷ· ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅς ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ. διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ κυρίῳ Ιησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ, ὁ πατὴρ τῆς δόξης, δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς, τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ πάντα ἐν πᾶσι πληρουμένου.

ΚΕΦΑΛ. 2.

ΚΑΙ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις, ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε, ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς, καὶ τῶν διανοιῶν, καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί. ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ χριστῷ. χάριτί ἐστε σεσωσμένοι, καὶ συνήγειρε, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν χριστῷ Ιησοῦ, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς

χάριτος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαρετ⊙ αὐτ⊙ γ̀ χριστ⊙ιλ⊙ὲφ᾽ ἡμᾶς γ̀ χριστῷ Ιησοῦ. τῇ γὰρ χαρειτ ἐστὲ σεσωσμένοι δ⊙ὰ τ̀ πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν. θεοῦ τὸ δ᾽ῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. αὐτ⊙ γάρ ἐσμεν ποίημα, κτισθέντ⊙ γ̀ χριστῷ Ιησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεὸς, ἵνα γ̀ αὐτοῖς περιπατήσωμεν. Διὸ μνημονεύετε, ὅτι ὑμεῖς ποτὲ τὰ ἔθνη γ̀ σαρκὶ, οἱ λεγόμενοι ἀκροβυσία, ὑπὸ τ̀ λεγομένης περιτομῆς γ̀ σαρκὶ χειροποιήτου, ὅτι ἦτε γ̀ τ⊙ῷ καιρῷ ἐκείνῳ χωρὶς χριστοῦ, ἀπηλλοτριωμένοι τ̀ πολιτείας τ⊙ῦ ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τ̀ ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι γ̀ τ⊙ῷ κόσμῳ. νυνὶ δὲ γ̀ χριστῷ Ιησοῦ ὑμεῖς, οἵ ποτε ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε γ̀ τ⊙ῷ αἵματι τ⊙ῦ χριστοῦ. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα γ̀, καὶ τὸ μεσότοιχον τ⊙ῦ φραγμοῦ λύσας, τὴν ἔχθραν γ̀ τῇ σαρκὶ αὐτ⊙, τὸν νόμον τ̀ ἐντολῶν γ̀ δόγμασι καταργήσας, ἵνα τὸν δύο κτίσῃ γ̀ ἑαυτ⊙ῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους γ̀ ἑνὶ σώματι τ⊙ῷ θεῷ δ⊙ὰ τ⊙ῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν γ̀ αὐτ⊙ῷ, καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν, τοῖς μακρὰν καὶ τοῖς ἐγγύς. ὅτι δι᾽ αὐτ⊙ῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι, γ̀ ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τ⊙ῦ θεοῦ, ἐποικοδομηθέντ⊙ι ἐπ᾽ τ⊙ῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντ⊙ ἀκρογωνιαίου αὐτ⊙ Ιησοῦ χριστοῦ, γ̀ ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη, αὔξει εἰς ναὸν ἅγιον γ̀ κυρίῳ, γ̀ ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τ⊙ῦ θεοῦ γ̀ πνεύματι.

ΚΕΦΑΛ. 3.

Τούτου χάριν ἐγὼ παῦλ⊙ ὁ δέσμι⊙ τ⊙ῦ χριστοῦ Ιησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν. εἴγε ἠκούσατε τὴν οἰκονομίαν τ̀ χάριτ⊙ τοῦ θεοῦ, τ̀ δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρισέ μοι τὸ μυστήριον, καθὼς προέγραψα γ̀ ὀλίγῳ, πρὸς ὃ δύνασθε, ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου γ̀ τ⊙ῷ μυστηρίῳ τ⊙ῦ χριστοῦ, ὃ γ̀ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτ⊙ῦ καὶ προφήταις γ̀ πνεύματι, εἶναι τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτ⊙ῦ γ̀ τ⊙ῷ χριστῷ, δ⊙ὰ τ⊙ῦ εὐαγγελίου, οὗ ἐγενόμην διάκον⊙ κατὰ τὴν δωρεὰν τῆς χάριτ⊙ τ⊙ῦ θεοῦ, τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν τ̀ δυνάμεως αὐτοῦ. ἐμοὶ τ⊙ῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, γ̀ τοῖς ἔθνεσιν εὐαγγελίζεσθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τ⊙ῦ μυστηρίου, τοῦ ἀπεκεκρυμμένου ἀπὸ τῶν αἰώνων γ̀ τ⊙ῷ θεῷ, τ⊙ῷ τὰ πάντα κτίσαντι δ⊙ὰ Ιησοῦ χριστοῦ, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ἐξουσίαις γ̀ τοῖς ἐπουρανίοις δι᾽ τ⊙ῆς ἐκκλησίας, ἡ πολυποίκιλ⊙ σοφία τ⊙ῦ θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν γ̀ χριστῷ Ιησοῦ τ⊙ῷ κυρίῳ ἡμῶν, γ̀ ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν γ̀ πεποιθήσει, τὴν δι᾽ τ⊙ῆς πίστεως αὐτ⊙ῦ. διὰ αὐτ⊙ο, μὴ ἐκκακεῖν γ̀ ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥ τις ὑμῶν δόξα. Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τ⊙ῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ γ̀ οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τ̀ δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι, δι᾽ τ⊙ῦ πνεύματ⊙ αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν χριστὸν διὰ τ⊙ῆς πίστεως γ̀ ταῖς καρδίαις ὑμῶν, γ̀ ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτ⊙, καὶ μῆκ⊙, καὶ βάθ⊙ καὶ ὕψ⊙, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τ⊙ῦ θεοῦ. τ⊙ῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ, ὧν αἰτούμεθα, ἢ νοοῦμεν κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην γ̀ ἡμῖν, αὐτ⊙ῷ ἡ δόξα γ̀ τ⊙ῇ ἐκκλησίᾳ γ̀ χριστῷ Ιησοῦ, εἰς πάσας τὰς γενεὰς τ⊙ῦ αἰῶν⊙ τῶν αἰώνων. ἀμήν.

ΚΕΦΑΛ. 4.

Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμι⊙ γ̀ κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητ⊙, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων γ̀ ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τ⊙ῦ πνεύματ⊙ ἐν τ⊙ῷ συνδέσμῳ τῆς εἰρήνης. γ̀ σῶμα καὶ γ̀ πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν. εἷς κύρι⊙, μία πίστις, γ̀ βάπτισμα, εἷς θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ὑμῖν. ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ χριστοῦ. διὸ λέγει· ἀναβὰς εἰς ὕψ⊙ ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. τὸ δὲ ἀνέβη, τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; ὁ καταβὰς αὐτός ἐστι, καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. καὶ αὐτὸς ἔδωκε, τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν, τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματ⊙

τ⊙ῦ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης. ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλή, ὁ χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον, καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους, τὴν αὔξησιν τοῦ σώματος ποιεῖται, εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ. τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν χριστόν, εἴ γε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀπορθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ, καὶ ὁσιότητι τῆς ἀληθείας. διὸ ἀπόθεμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν χριστῷ ἐχαρίσατο ὑμῖν.

ΚΕΦΑΛ. ε.

Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητά. καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ χριστὸς ἠγάπησεν ὑμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας. πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, καὶ αἰσχρότης, καὶ μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἀλλὰ μᾶλλον εὐχαριστία. τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ χριστοῦ καὶ θεοῦ. μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις. διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. ἦτε γάρ ποτε σκότος, νυνὶ δὲ φῶς ἐν κυρίῳ. ὡς τέκνα φωτὸς περιπατεῖτε. ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ. δοκιμάζοντες, τί ἐστιν εὐάρεστον τῷ κυρίῳ, καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται. πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι. διὸ λέγει· ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ χριστός. βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλὰ ὡς σοφοὶ, ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ κυρίου. καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ, εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ τῷ θεῷ καὶ πατρί, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ θεοῦ. αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ κυρίῳ, ὅτι ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός, ὡς καὶ ὁ χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. ἀλλ' ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ χριστῷ, οὕτως καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον, τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἢ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία, καὶ ἄμωμος. οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα. ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ. οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ κύριος τὴν ἐκκλησίαν. ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς χριστὸν, καὶ εἰς τὴν ἐκκλησίαν. πλὴν

καὶ

πλιὼ καὶ ὑμεῖς οἱ καθ' ἕνα, ἕκας⊙ τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω, ὡς ἑαυτὸν· ἡ δὲ γυνὴ, ἵνα φοβῆται τὸν ἄνδρα.

ΚΕΦΑΛ. 6.

Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον. τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ· ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. Οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. οἱ δοῦλοι, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ, μὴ κατ' ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας, δουλεύοντες τῷ κυρίῳ, καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι ὃ ἐάν τις ἕκας⊙ ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ κυρίου, εἴτε δοῦλ⊙, εἴτε ἐλεύθερ⊙. καὶ οἱ κύριοι τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς, ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες, ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωπολημψία οὐκ ἔστι παρ' αὐτῷ. Τὸ λοιπὸν ἀδελφοί μου, ἐνδυναμοῦσθε ἐν κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. ὅτι οὐκ ἔστιν ὑμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι. στῆτε οὖν, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐν πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ, διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει, καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθείη λόγ⊙ ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παῤῥησίᾳ, γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου, ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι, ὡς δεῖ με λαλῆσαι. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ χριστοῦ. Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἐν ἀφθαρσίᾳ. ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης πρὸς ἐφεσίους διὰ τυχικοῦ.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛ. 1.

Παῦλ⊙ καὶ τιμόθε⊙ δοῦλοι Ἰησοῦ χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν χριστῷ Ἰησοῦ, τοῖς οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ διακόνοις. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ χριστοῦ. Εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν, πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν, μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος, ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν. πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ χριστοῦ, καθώς ἐστι δίκαιον ἐμοὶ, τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ τῇ ἀπολογίᾳ, καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας. μάρτυς γάρ μου ἐστὶν ὁ θεὸς, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ χριστοῦ. καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πάσῃ αἰδήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς, καὶ ἀπρόσκοποι εἰς ἡμέραν χριστοῦ, πεπληρωμένοι καρπῷ δικαιοσύνης, τῷ διὰ Ιησοῦ χριστοῦ εἰς δόξαν καὶ ἔπαινον θεοῦ. Γινώσκειν δὲ ὑμᾶς βούλομαι ἀδελφοί, ὅτι τὰ κατ' ἐμὲ, μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσι, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν χριστὸν κηρύσσουσιν. οἱ μὲν ἐξ ἐριθείας τὸν χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐγείρειν τοῖς δεσμοῖς μου. οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, χριστὸς καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι. οἶδα γάρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ιησοῦ χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ, ὡς πάντοτε καὶ νῦν μεγαλυνθήσεται χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου. ἐμοὶ γὰρ τὸ ζῆν χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος. εἰ δὲ τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρποῦ ἔργου. καὶ τί αἱρήσομαι, οὐ γνωρίζω. συνέχομαι γὰρ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον. τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως, ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν χριστῷ Ιησοῦ ἐν ἐμοί, διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς. μόνον ἀξίως τοῦ εὐαγγελίου πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ, συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου, καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ τοὺς ἀντικειμένους, ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ θεοῦ, ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ καὶ νῦν ἀκούετε ἐν ἐμοί.

ΚΕΦΑΛ. β.

Εἴ τις οὖν παράκλησις ἐν χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαρὰν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. μὴ τὰ ἑαυτῶν ἕκαστοι σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστοι. τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν χριστῷ Ιησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ιησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι κύριος Ιησοῦς χριστὸς εἰς δόξαν θεοῦ πατρός. Ὡς τε ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. πάντα ποιεῖτε χωρὶς γογγυσμῶν, καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν χριστοῦ, ὅτι οὐκ εἰς κενὸν ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα. ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ, καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. Τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε, καὶ συγχαίρετέ μοι. Ελπίζω δὲ ἐν κυρίῳ Ιησοῦ Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ χριστοῦ Ιησοῦ. Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. Τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμὲ ἐξαυτῆς. Πέποιθα δὲ ἐν κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι. ἀναγκαῖον δὲ ἡγησάμην, ἐπαφρόδιτον τὸν ἀδελφὸν, καὶ συνεργὸν, καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου, πέμψαι πρὸς ὑμᾶς. Επειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν, διότι ἠκούσατε, ὅτι ἠσθένησε. καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ. ἀλλὰ ὁ θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ. σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν, ἵνα ἰδόντες αὐτὸν, πάλιν χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ. προσδέχεσθε οὖν αὐτὸν ἐν κυρίῳ, μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε, ὅτι διὰ τὸ ἔργον τοῦ χριστοῦ μέχρι θανάτου ἤγγισεν, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα πληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

Κεφαλ.

ΚΕΦΑΛ. 3.

Τὸ λοιπὸν ἀδελφοί μου, χαίρετε ἐν κυρίῳ. τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ πνεύματι θεῷ λατρεύοντες, καὶ καυχώμενοι ἐν χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες, καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί. εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον, περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλος διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. ἀλλ' ἅτινά μοι κέρδη, ταῦτα ἡγημαι διὰ τὸν χριστὸν ζημίαν. ἀλλὰ μὲν οὖν γε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυρίου μου. δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τὴν νεκρῶν, οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι, διώκω δέ, εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ χριστοῦ Ἰησοῦ. Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι. ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω, εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν χριστῷ Ἰησοῦ. ὅσοι οὖν τέλειοι τοῦτο φρονῶμεν, καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑμῖν ἀποκαλύψει. πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν. Συμμιμηταί μου γίνεσθε ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτως περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς. πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νυνὶ δὲ καὶ λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες. Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα, κύριον Ἰησοῦν χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τοῦ σώματος τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν, τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

ΚΕΦΑΛ. 4.

Ὥστε ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτως στήκετε ἐν κυρίῳ ἀγαπητοί. Εὐοδίαν παρακαλῶ, καὶ συντύχην παρακαλῶ, τὸ αὐτὸ φρονεῖν ἐν κυρίῳ. ναὶ ἐρωτῶ καί σε σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. Χαίρετε ἐν κυρίῳ πάντοτε, καὶ πάλιν ἐρῶ χαίρετε. τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ κύριος ἐγγύς. μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ, καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν, καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν ἐν χριστῷ Ἰησοῦ. τὸ λοιπὸν ἀδελφοί, ὅσα ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε, καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. Ἐχάρην δὲ ἐν κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ. οὐχ ὅτι καθ' ὑστέρησιν λέγω. ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι αὐτάρκης εἶναι. οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν. ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, καὶ χορτάζεσθαι, καὶ πεινᾶν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με χριστῷ. πλὴν καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μου τῇ θλίψει. οἴδατε δὲ καὶ ὑμεῖς Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. ὅτι καὶ ἐν Θεσσαλονίκῃ, ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε, οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. ἀπέχω δὲ πάντα, καὶ περισσεύω. πεπλήρωμαι, δεξάμενος παρὰ Ἐπαφροδίτου, τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτὴν εὐάρεστον τῷ θεῷ. ὁ δὲ θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν, κατὰ τὸ πλοῦτος αὐτοῦ ἐν δόξῃ, ἐν χριστῷ Ἰησοῦ. τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Ἀσπάσασθε πάντα ἅγιον ἐν χριστῷ Ἰησοῦ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. ἀσπάζονται ὑμᾶς πάντες ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν.

Ἐγράφη ἀπὸ Ῥώμης, διὰ Ἐπαφροδίτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛ. 1.

ΠΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ χριστοῦ διὰ θελήματος θεοῦ, καὶ τιμόθεος ὁ ἀδελφὸς, τοῖς ἐν κολοσσαῖς ἁγίοις, καὶ πιστοῖς ἀδελφοῖς ἐν χριστῷ. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ χριστοῦ. Εὐχαριστοῦμεν τῷ θεῷ καὶ πατρὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, πάντοτε περὶ ὑμῶν προσευχόμενοι, ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, διὰ τὴν ἐλπίδα τὴν ἀπκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἔστι καρποφορούμενον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε, καὶ ἐγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν ἀληθείᾳ. καθὼς καὶ ἐμάθετε ἀπὸ ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ χριστοῦ, ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. διὰ τοῦτο καὶ ἡμεῖς ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι καὶ αἰτούμενοι, ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ, περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ κυρίου, εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ θεοῦ, ἐν πάσῃ δυνάμει δυναμούμενοι, κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς, εὐχαριστοῦντες τῷ πατρὶ, τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι. τὰ πάντα διὰ αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος, τῆς ἐκκλησίας ὅς ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. καὶ ὑμᾶς ποτὲ ὄντας ἀπηλλοτριωμένους, καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου παραστῆσαι ὑμᾶς ἁγίους, καὶ ἀμώμους, καὶ ἀνεγκλήτους κατ' ὀφθαλμοῦ αὐτοῦ. εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου, οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Νυνὶ χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ, τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον τοῦ θεοῦ, τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν. Νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ θεὸς γνωρίσαι, τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι χριστὸς ἐν ὑμῖν ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν χριστῷ Ἰησοῦ, εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ, ἐν δυναμει.

ΚΕΦΑΛ. 2.

ΘΕΛΩ γὰρ ὑμᾶς εἰδέναι, πλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν, καὶ τῶν ἐν λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκὶ, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ θεοῦ, καὶ πατρός, καὶ τοῦ χριστοῦ, ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ. Εἰ γὰρ καὶ

καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τοῖς πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στερέωμα τῆς εἰς χριστὸν πίστεως ὑμῶν. ὡς οὖν παρελάβετε τὸν χριστὸν Ἰησοῦν τὸν κύριον, ἐν αὐτῷ περιπατεῖτε, ἐῤῥιζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι τῇ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. Βλέπετε, μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ χριστόν. ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστε ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ θεοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν. καὶ ὑμᾶς νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησεν σὺν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον, τοῖς δόγμασιν ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων, ἃ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ χριστοῦ. μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον, καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ θεοῦ. Εἰ οὖν ἀπεθάνετε σὺν τῷ χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς, ἃ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων, ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ, καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι, πρὸς πλησμονὴν τῆς σαρκός.

ΚΕΦΑΛ. 3.

Εἰ δὲ συνηγέρθητε τῷ χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος, τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ χριστῷ ἐν τῷ θεῷ, ὅταν ὁ χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία. δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς. Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν. Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι χριστός. Ἐνδύσασθε οὖν ὡς ἐκλεκτοὶ τοῦ θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν. ἀνεχόμενοι ἀλλήλων καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν, καθὼς καὶ ὁ χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτως καὶ ὑμεῖς. ἐπὶ πᾶσι δὲ τούτοις, τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος, καὶ ἡ εἰρήνη τοῦ θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε. ὁ λόγος τοῦ χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ. Διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ. καὶ πᾶν ὅ τι ἂν ποιῆτε ἐν λόγῳ, ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ θεῷ καὶ πατρὶ δι' αὐτοῦ. αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν ἐν κυρίῳ. οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα. τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ κυρίῳ. οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλίαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν θεόν. Καὶ πᾶν ὅ, τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ κυρίῳ, καὶ οὐκ ἀνθρώποις, εἰδότες, ὅτι ἀπὸ κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας. τῷ γὰρ κυρίῳ χριστῷ δουλεύετε, ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωπολημψία.

ΚΕΦΑΛ. 4.

Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες, ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανοῖς. τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ χριστοῦ, δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτὸ, ὡς δεῖ με λαλῆσαι. Ἐν σοφίᾳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολιπατεῖτε πῶς οὐκ ἔξω, τὴν ἰουδαϊκὴν ἐξαγοραζόμενοι. ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν τυχικὸς ὁ ἀγαπητὸς ἀδελφός, καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν σὺν ὀνησίμῳ τοῦ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν, πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε. ἀσπάζεται ὑμᾶς ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ μάρκος ὁ ἀνεψιὸς βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς, ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν, καὶ ἰησοῦς ὁ λεγόμενος ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς, οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. ἀσπάζεται ὑμᾶς ἐπαφρᾶς ὁ ἐξ ὑμῶν δοῦλος χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ θεοῦ. μαρτυρῶ γὰρ αὐτῷ, ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν λαοδικείᾳ, καὶ τῶν ἐν ἱεραπόλει. ἀσπάζεται ὑμᾶς λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός, καὶ δημᾶς. ἀσπάσασθε τοὺς ἐν λαοδικείᾳ ἀδελφούς, καὶ νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν. καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ λαοδικείας, ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. καὶ εἴπατε ἀρχίππῳ· βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν κυρίῳ, ἵνα αὐτὴν πληροῖς. ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ παύλου. μνημονεύετέ μου τῶν δεσμῶν. ἡ χάρις μεθ' ὑμῶν. ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης διὰ τυχικοῦ καὶ ὀνησίμου.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ Α.

ΚΕΦΑΛ. α.

ΠΑΥΛΟΣ καὶ σιλουανὸς καὶ τιμόθεος, τῇ ἐκκλησίᾳ θεσσαλονικέων, ἐν θεῷ πατρὶ καὶ κυρίῳ ἰησοῦ χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου ἰησοῦ χριστοῦ. εὐχαριστοῦμεν τῷ θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, εἰδότες ἀδελφοὶ ἠγαπημένοι ὑπὸ θεοῦ τὴν ἐκλογὴν ὑμῶν, ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε, οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς, καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε, καὶ τοῦ κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς πνεύματος ἁγίου· ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ μακεδονίᾳ καὶ ἀχαΐᾳ. ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ κυρίου, οὐ μόνον ἐν τῇ μακεδονίᾳ καὶ ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ, ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. αὐτοὶ γὰρ περὶ ὑμῶν ἀπαγγέλλουσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ νεκρῶν, ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

ΚΕΦΑΛ. β.

ΑΥΤΟΙ γὰρ οἴδατε ἀδελφοὶ τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν, ἀλλὰ καὶ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν φιλίπποις ἐπαρρησιασάμεθα ἐν τῷ θεῷ ἡμῶν, λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ἐν πολλῷ ἀγῶνι. ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ, ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτως λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ θεῷ, τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας, θεὸς μάρτυς, οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν,

οὔτε

ὅτε ἀπ' ἄλλων, δμωμένοι γὼ βάρει εἶν, ὡς χριστοῦ ἀπόστολοι, ἀλλ' ἐγμήθημεν ἤπιοι γὼ μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, ὕτως ἱμειρόμενοι ὑμῶν, δύδοκοῦμεν μεταδοῦναι ὑμῖν, δ μόνον τὸ δὺαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, δότι ἀγαπητοὶ ἡμῖν γεγένησθε. μνημονδύετε γὰρ ἀδελφοὶ τὸν κόπον ἡμῶν, καὶ τὸν μόχθον. νυκτὸς γὰρ καὶ ἡμέρας ὀργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ δὺαγγέλιον τοῦ θεοῦ. ὑμεῖς μάρτυρδε, καὶ δ θεὸς, ὡς ὁσίως, καὶ δικαίως, καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστδύσιν ἐγμήθημεν, καθάπερ οἶδατε, ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντδε ὑμᾶς καὶ παραμυθδύμενοι καὶ μαρτυρδύμενοι, εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ θεοῦ, τοῦ καλδντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δδξαν. διὰ τδτο καὶ ἡμεῖς δὺχαριστδμεν τῷ θεῷ ἀδιαλείπτως, δτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ θεοῦ, ἐδέξασθε δ λόγον ἀνθρώπων, ἀλλὰ καθώς δστιν ἀληθῶς λόγον θεοῦ, δς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστδύσιν. ὑμεῖς γὰρ μιμηταὶ ἐγμήθητε ἀδελφοὶ τῶν ἐκκλησιῶν τοῦ θεοῦ, τῶν δυσῶν ἐν τῇ ἰδδαίᾳ, ἐν χριστῷ Ιησοῦ, δτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν ἰουδαίων, τῶν καὶ τὸν κύριον ἀπεκτεναντων Ιησουν, καὶ δὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ θεῷ μὴ ἀρδδντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, κωλδντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ' αὐτδὺς ἡ ὀργὴ εἰς τέλος. ἡμεῖς δὲ ἀδελφοὶ ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπδδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ. διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς. ἐγὼ μὲν παῦλος, καὶ ἅπαξ, καὶ δὶς, καὶ ἐνεκόψεν ἡμᾶς ὁ σατανᾶς. τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς, ἔμπροσθεν τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ; ὑμεῖς γάρ ἐστε ἡ δδξα ἡμῶν, καὶ ἡ χαρά.

ΚΕΦΑΛ. 3.

Διὸ μηκέτι στέγοντες δὺδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν τιμόθεον τὸν ἀδελφὸν ἡμῶν, καὶ διάκονον τοῦ θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ δὺαγγελίῳ τοῦ χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς, καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ἡμῶν, τοῦ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδατε, δτι εἰς τδτο κείμεθα. καὶ γὰρ δτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν, δτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο, καὶ οἴδατε. διὰ τδτο κἀγὼ μηκέτι στέγων ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. ἄρτι δὲ ἐλθόντος τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ δὺαγγελισαμένου ἡμῖν τὴν πίστιν, καὶ τὴν ἀγάπην ὑμῶν, καὶ δτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς. διὰ τδτο παρεκλήθημεν ἀδελφοὶ ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως. δτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκετε ἐν κυρίῳ. τίνα γὰρ δὺχαριστίαν δυνάμεθα τῷ θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ, ᾗ χαίρομεν διὰ ὑμᾶς ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν, νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι, εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν. αὐτὸς δὲ ὁ θεὸς καὶ πατὴρ ἡμῶν καὶ ὁ κύριος ἡμῶν Ιησοῦς χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς. ὑμᾶς δὲ ὁ κύριος πλεονάσαι καὶ περισσδσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους, καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ, μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

ΚΕΦΑΛ. 4.

Τὸ λοιπὸν οὖν ἀδελφοὶ, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν κυρίῳ Ιησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν, τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν, καὶ ἀρέσκειν θεῷ, ἵνα περισσδύητε μᾶλλον. οἴδατε γὰρ, τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ κυρίου Ιησοῦ. τοῦτο γάρ ἐστι θέλημα τοῦ θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν θεὸν, τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπαμεν ὑμῖν, καὶ διεμαρτυράμεθα. οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ. τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν θεὸν, τὸν καὶ δόντα τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ εἰς ὑμᾶς. περὶ δὲ τῆς φιλαδελφίας, οὐ χρείαν ἔχετε γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε, εἰς τὸ ἀγαπᾶν ἀλλήλους. καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς, τοὺς ἐν ὅλῃ τῇ μακεδονίᾳ. παρακαλοῦμεν δὲ ὑμᾶς ἀδελφοὶ, περισσεύειν μᾶλλον καὶ φιλοτιμεῖσθαι, ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν, ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε. οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα. εἰ γὰρ πιστδύομεν, δτι Ιησοῦς ἀπέθανεν καὶ ἀνέστη,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὄντως καὶ ὁ θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἄξει σὺν αὐτῷ. τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

ΚΕΦΑΛ. ε.

Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι. αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡμέρα κυρίου, ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται. ὅταν γὰρ λέγωσιν· εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος. ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν. ὑμεῖς δὲ ἀδελφοί οὐκ ἔστε ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε, καὶ υἱοὶ ἡμέρας, οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους. ἄρα οὖν μὴ καθεύδωμεν, ὡς καὶ οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν. οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι, καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν. ἡμεῖς δὲ ἡμέρας ὄντες, νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας, ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ θεὸς εἰς ὀργὴν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ ζήσωμεν. διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. ἐρωτῶμεν δὲ ὑμᾶς ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν, εἰρηνεύετε ἐν αὐτοῖς. παρακαλοῦμεν δὲ ὑμᾶς ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. ὁρᾶτε, μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας. πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. τοῦτο γὰρ θέλημα θεοῦ ἐν χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. τὸ πνεῦμα μὴ σβέννυτε. προφητείας μὴ ἐξουθενεῖτε. πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς. καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ τηρηθείη. πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει. ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν. ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ. ὁρκίζω ὑμᾶς τὸν κύριον, ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μεθ' ὑμῶν, ἀμήν.

Πρὸς Θεσσαλονικεῖς πρώτη, ἐγράφη ἀπὸ Ἀθηνῶν.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ Β.

ΚΕΦΑΛ. α.

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος, τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ Ἰησοῦ χριστῷ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ. εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδελφοὶ, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους, ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ, ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως, ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν, καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε, ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε. εἴπερ δίκαιον παρὰ θεῷ, ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ, μετ' ἀγγέλων δυνάμεως αὐτοῦ, ἐν πυρὶ φλογός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεόν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον, ἀπὸ προσώπου τοῦ κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσιν,

ὅτι

ὅτι ὡς ἐβέβη ὁ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἰς ὃ καὶ πάσοτε προσεύχόμεθα περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει, ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν χάριν τοῦ θεοῦ ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ.

ΚΕΦΑΛ. 2.

Ερωτῶμεν δὲ ὑμᾶς ἀδελφοὶ ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτὸν, εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς, μήτε θροεῖσθαι, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ χριστοῦ, μήτις ὑμᾶς ἐξαπατήσῃ κατά μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν, ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ ὡς θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἔστι θεός. οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν; καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται. καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ, οὗ ἐστὶν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις, καὶ τέρασι ψεύδους, καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο, εἰς τὸ σωθῆναι αὐτούς. καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ. ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδελφοὶ ἠγαπημένοι ὑπὸ κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ θεὸς ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος, καὶ πίστει ἀληθείας, εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. ἄρα οὖν ἀδελφοί, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. αὐτὸς δὲ ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς καὶ ὁ θεὸς καὶ πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰωνίαν, καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

ΚΕΦΑΛ. 3.

Τὸ λοιπὸν, προσεύχεσθε ἀδελφοὶ περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς, καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων. οὐ γὰρ πάντων ἡ πίστις, πιστὸς δέ ἐστιν ὁ κύριος, ὃς στηρίξει ὑμᾶς, καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. πεποίθαμεν δὲ ἐν κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσετε. ὁ δὲ κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ χριστοῦ. παραγγέλλομεν δὲ ὑμῖν ἀδελφοὶ, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβεν παρ' ἡμῶν. αὐτοὶ γὰρ οἴδατε, πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μή τινα ἐπιβαρῆσαί τινα ὑμῶν. οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. τοῖς δὲ τοιούτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. ὑμεῖς δὲ ἀδελφοὶ, μὴ ἐγκακήσητε καλοποιοῦντες. εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ· καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης δώῃ ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ. ὁ κύριος μετὰ πάντων ὑμῶν. ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτως γράφω. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν, ἀμήν.

Ἐγράφη ἀπὸ Ἀθηνῶν.

Παύλ

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ Α.

ΚΕΦΑΛ. 1.

ΠΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ χριστοῦ κατ' ἐπιταγὴν θεοῦ σωτῆρος ἡμῶν, καὶ κυρίου Ἰησοῦ χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν. καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν ἐφέσῳ, πορευόμενος εἰς μακεδονίαν, ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι μᾶλλον ἢ οἰκονομίαν θεοῦ τὴν ἐν πίστει. τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν, ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου. ὧν τινες ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίαν, θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. οἴδαμεν δὲ, ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται, εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατρολῴαις καὶ μητραλῴαις, ἀνδροφόνοις, πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου θεοῦ, ὃ ἐπιστεύθην ἐγώ. καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν. ἀλλὰ καὶ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ θεῷ τιμὴ, δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπί σε προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἣν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν, ὧν ἐστὶν ὑμέναιος καὶ Ἀλέξανδρος. οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.

ΚΕΦΑΛ. 2.

ΠΑρακαλῶ οὖν, πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. εἷς γὰρ θεὸς, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις, εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος. ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ. βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. ὡσαύτως καὶ τὰς γυναῖκας, ἐν καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν, ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν. γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω, ἐν πάσῃ ὑποταγῇ. γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα εὕα. καὶ ἀδὰμ οὐκ ἠπατήθη· ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε, σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

ΚΕΦΑΛ. 3.

ΠΙστὸς ὁ λόγος. εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικὸν, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊσταμένον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. εἰ δέ τις τοῦ ἰδίου

δῆς οἶκα πρεσβῦναι ἐκ οἶδε, πῶς ἐκκλησίας θεῦ ὧν μελήσεται; μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τῦ διαβόλε. δεῖ δὲ αὐτὸν & μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ, καὶ παγίδα τῦ διαβόλε. διακόνες ὡσαύτως σεμνὰς, μὴ διλόγες, μὴ οἴνῳ πολλῷ πρεσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. καὶ δόκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες. γυναῖκας ὡσαύτως σεμνὰς, μὴ διαβόλες, νηφαλίες, πιστὰς ἐν πᾶσι. διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊσάμενοι, καὶ τῶν ἰδίων οἴκων. οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιῦνται, καὶ πολλὴν παῤῥησίαν ἐν πίστει τῇ ἐν χριστῷ Ιησῦ. Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός σε τάχιον. ἐὰν δὲ βραδύνω, ἵνα εἰδῆς πῶς δεῖ ἐν οἴκῳ θεῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία θεῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας. καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.

ΚΕΦΑΛ. 4.

Το δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων ἐγκαυστηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάλημψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς, καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν, ὅτι πᾶν κτίσμα θεῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον. ἁγιάζεται γὰρ διὰ λόγου θεῦ καὶ ἐντεύξεως. Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ιησῦ χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως, καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρηκολούθηκας. τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ, γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν. ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίας ἔχουσα ζωῆς τῆς νῦν, καὶ τῆς μελλούσης. πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος. εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν & ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. παράγγελλε ταῦτα, καὶ δίδασκε. μηδείς σε τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ. ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν. ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ. ἐπίμενε αὐτοῖς. τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου.

ΚΕΦΑΛ. 5.

Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς, πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ. χήρας τίμα, τὰς ὄντως χήρας. εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· τοῦτο γάρ ἐστι καλὸν, καὶ ἀπόδεκτον ἐνώπιον τῦ θεῦ. ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη, ἤλπικεν ἐπὶ τὸν θεὸν, & προσμένει ταῖς δεήσεσι, καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν. καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίλημπτοι ὦσιν. εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. χήρα καταλεγέσθω, μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνὴ, ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν. νεωτέρας δὲ χήρας παραιτοῦ. ὅταν γὰρ καταστρηνιάσωσι τοῦ χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσα κρῖμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιέρχεσθαι τὰς οἰκίας. οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. Βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδὲ μίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν. ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ σατανᾶ. εἴ τις πιστὸς, ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτωσαν αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ. οἱ καλῶς προεστῶτες πρεσβύτεροι, διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. λέγει γὰρ ἡ γραφή· Βοῦν ἀλοῶντα οὐ φιμώσεις. καὶ, ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δυσὶν ἢ τρισὶ μαρτύρων. τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι. διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ κυρίου Ιησῦ χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν. χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. σεαυτὸν ἁγνὸν τήρει. μηκέτι ὑδροποτεῖ, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σε, καὶ τὰς πυκνάς σε ἀσθενείας. τινῶν οἱ ἄνθρωποι αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν. ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλα ὄντα, καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ δύναται.

Κεφαλ.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

ΚΕΦΑΛ. ϛ.

Οσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. ταῦτα δίδασκε, καὶ παρακάλει. εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραὶ, παδιαστριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἀφίστασο ἀπὸ τῶν τοιούτων. ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας. οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον, καὶ ἀπώλειαν. ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι, ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς. Σὺ δὲ ὦ ἄνθρωπε τοῦ θεοῦ, ταῦτα φεῦγε. δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα, ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων. παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ χριστοῦ Ιησοῦ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον, μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ, ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, ᾧ τιμὴ καὶ κράτος αἰώνιον, ἀμήν. τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε, μὴ ὑψηλοφρονεῖν, μὴ δὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ θεῷ τῷ παρέχοντι ἡμῖν πλουσίως πάντα εἰς ἀπόλαυσιν, ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς, ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. ὦ τιμόθεε, τὴν παραθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας, καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, ἣν τινες ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν ἠστόχησαν. ἡ χάρις μετὰ σοῦ, ἀμήν.

Ἐγράφη ἀπὸ λαοδικείας, ἥτις ἐστὶ μητρόπολις φρυγίας τῆς πακατιανῆς.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ Β'.

ΚΕΦΑΛ. ι.

ΠΑΥΛΟΣ ἀπόστολος Ιησοῦ χριστοῦ, διὰ θελήματος θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν χριστῷ Ιησοῦ, τιμοθέῳ ἀγαπητῷ τέκνῳ. χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς, καὶ χριστοῦ Ιησοῦ τοῦ κυρίου ἡμῶν. χάριν ἔχω τῷ θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περί σου μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας, ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ, ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου λωΐδι, καὶ τῇ μητρί σου εὐνίκῃ· πέπεισμαι δὲ, ὅτι καὶ ἐν σοί. δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε, ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ θεοῦ, ὃ ἔστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως, καὶ ἀγάπης, καὶ σωφρονισμοῦ. μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου ἡμῶν, μηδὲ ἐμὲ, τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συνκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν θεοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν

χριστῷ

χριστῷ Ιησοῦ πᾶς χρόνων αἰωνίων, φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ιησοῦ χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου, εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος, καὶ διδάσκαλος ἐθνῶν. δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι. οἶδα γὰρ, ᾧ πεπίστευκα, καὶ πέπεισμαι ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ, τῇ ἐν χριστῷ Ιησοῦ. τὴν καλὴν παραθήκην φύλαξον διὰ πνεύματος ἁγίου, τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ ἀσίᾳ, ὧν ἐστι φύγελος καὶ ἑρμογένης. δῴη ἔλεος ὁ κύριος τῷ ὀνησιφόρου οἴκου, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη, ἀλλὰ σπουδαιότερον ἐζήτησέ με, καὶ εὗρε. δῴη αὐτῷ ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

ΚΕΦΑΛ. 2.

Σὺ οὖν τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι, τῇ ἐν χριστῷ Ιησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. σὺ οὖν κακοπάθησον, ὡς καλὸς στρατιώτης Ιησοῦ χριστοῦ. οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. νόει ἃ λέγω. δῴη γάρ σοι ὁ κύριος σύνεσιν ἐν πᾶσι. μνημόνευε, Ιησοῦν χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος. ἀλλ' ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται. διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι, τῆς ἐν χριστῷ Ιησοῦ, μετὰ δόξης αἰωνίου. πιστὸς ὁ λόγος. εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν. εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς. εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει, ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. τοῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον τοῦ κυρίου, μὴ λογομαχεῖν, εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο. ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει. ὧν ἐστιν Ὑμέναιος καὶ Φίλητος, οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λεγόντων τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τινῶν πίστιν. ὁ μέντοι σὸς θεμέλιος τοῦ θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην, ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ, καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα χριστοῦ. ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα, καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ὄργον ἀγαθὸν ἡτοιμασμένον. τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε. δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην, μετὰ τῶν καλούντων τὸν κύριον ἐκ καθαρᾶς καρδίας. τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς, ὅτι γεννῶσι μάχας. δοῦλον δὲ κυρίου οὐ δεῖ μαχέσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον ἐν πραΰτητι, παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μή ποτε δῴη αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

ΚΕΦΑΛ. 3.

Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρωποι Φίλαυτοι, Φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἀσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. καὶ τούτους ἀποτρέπου. ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδυνόντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτεύοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσῇ, οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν, ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον. ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο. σὺ δὲ παρηκολούθησάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις, οἵους διωγμοὺς ὑπήνεγκα. καὶ ἐκ πάντων με ἐρρύσατο ὁ κύριος. καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν χριστῷ Ιησοῦ, διωχθήσονται. πονηροὶ δὲ ἄνθρωποι, καὶ γόητες προκόψουσι ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. σὺ δὲ μένε ἐν οἷς ἐμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἐμαθες. καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως, τῆς ἐν χριστῷ Ιησοῦ.

πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

ΚΕΦΑΛ. 4.

Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ θεοῦ, καὶ τοῦ κυρίου Ἰησοῦ χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὴν βασιλείαν αὐτοῦ. κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως, ἀκαίρως. ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. ἔσται γὰρ καιρὸς, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν, καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσι, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. Σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον. ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτὴς, οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. σπούδασον ἐλθεῖν πρός με ταχέως. δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς θεσσαλονίκην. κρήσκης εἰς γαλατίαν, τίτος εἰς δαλματίαν, λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ, ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν. τυχικὸν δὲ ἀπέστειλα εἰς ἔφεσον. τὸν φαιλόνην, ὃν ἀπέλιπον ἐν τρωάδι παρὰ κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο, ἀποδώσει αὐτῷ ὁ κύριος κατὰ τὰ ἔργα αὐτοῦ, ὃν καὶ σὺ φυλάσσου. λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις. ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον. μὴ αὐτοῖς λογισθείη. ὁ δὲ κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με, ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ, καὶ ἀκούσῃ πάντα τὰ ἔθνη, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος, καὶ ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἄσπασαι πρίσκαν καὶ ἀκύλαν, καὶ τὸν ὀνησιφόρου οἶκον. ἔραστος ἔμεινεν ἐν κορίνθῳ, τρόφιμον δὲ ἀπέλιπον ἐν μιλήτῳ ἀσθενοῦντα. σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. ἀσπάζεταί σε εὔβουλος, καὶ πούδης, καὶ λῖνος, καὶ κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες. ὁ κύριος Ἰησοῦς χριστὸς μετὰ τοῦ πνεύματός σου. ἡ χάρις μεθ' ὑμῶν, ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης πρὸς τιμόθεον β', ὅτε πρῶτον παῦλος ἐστήθη κατὰ νέρωνα ἐκ δευτέρου πάλιν.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛ. 1.

Παῦλος δοῦλος θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας, τὴν κατ' εὐσέβειαν ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ, τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν. χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς, καὶ κυρίου Ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν. Τούτου χάριν ἀπέλιπόν σε ἐν κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην. εἴ τις ἔστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς θεοῦ οἰκονόμον, μὴ αὐθαδῆ, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλέγοντας ἐλέγχειν. εἰσὶ γὰρ πολλοὶ ἀνυπότακτοι, καὶ ματαιολόγοι, καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς, οὓς δεῖ ἐπιστομίζειν, οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν. εἶπέ τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. δι' ἣν αἰτίαν ἔλεγχε αὐστηρῶς αὐτούς, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, μὴ προσέχοντες ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων, ἀποστρεφομένων τὴν ἀλήθειαν. πάντα μὲν καθαρὰ τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

ΚΕΦΑΛ. 2.

Σὺ δὲ λάλει, ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. πρεσβύτας, νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. πρεσβύτιδας ὡσαύτως, ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται. τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων· ἐν τῇ διδασκαλίᾳ, ἀδιαφθορίαν, σεμνότητα, λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον. δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν. ἐπεφάνη γὰρ ἡ χάρις τοῦ θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. μηδείς σου περιφρονείτω.

ΚΕΦΑΛ. 3.

Ὑπομίμνησκε αὐτούς, ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πραΰτητα πρὸς πάντας ἀνθρώπους. ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις, καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους. ὅτε δὲ ἡ χρηστότης, καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα, κατ' ἐλπίδα ζωῆς αἰωνίου. πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες θεῷ. ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔριδας, καὶ μάχας νομικὰς παραιτοῦ. εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος. ὅταν πέμψω Ἀρτεμᾶν πρός σε, ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν, ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν, καὶ Ἀπολλῶ, σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι, καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. ἡ χάρις μετὰ πάντων ὑμῶν, ἀμήν.

Ἐγράφη ἀπὸ Νικοπόλεως Μακεδονίας.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ.

ΠΑΥΛΟΣ δέσμιος χριστοῦ Ιησοῦ, καὶ τιμόθεος ὁ ἀδελφὸς, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν, καὶ ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ιησοῦ χριστοῦ. εὐχαριστῶ τῷ θεῷ μου, πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου τὴν ἀγάπην, καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν κύριον Ιησοῦν, καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ, τοῦ ἐν ὑμῖν εἰς χριστὸν Ιησοῦν. χάριν γὰρ ἔσχομεν πολλὴν, καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ ἀδελφέ. διὸ πολλὴν ἐν χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον, διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος ὤν, ὡς παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ιησοῦ χριστοῦ. παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, ὀνήσιμον, τὸν ποτέ σοι ἄχρηστον, νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα. σὺ δὲ αὐτὸν, τοῦτ' ἔστι τὰ ἐμὰ σπλάγχνα προσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπέρ σου διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου, χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον. τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ, καὶ ἐν κυρίῳ; εἰ οὖν ἐμὲ ἔχεις κοινωνὸν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγα. ἐγὼ παῦλος ἔγραψα τῇ ἐμῇ χειρὶ. ἐγὼ ἀποτίσω. ἵνα μὴ λέγω σοι, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. ναὶ ἀδελφὲ. ἐγώ σου ὀναίμην ἐν κυρίῳ. ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν κυρίῳ. πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς, ὅτι καὶ ὑπὲρ ὃ λέγω, ποιήσεις. ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν. ἐλπίζω γὰρ, ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν. ἀσπάζονταί σε ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν χριστῷ Ιησοῦ, μᾶρκος, ἀρίσταρχος, δημᾶς, λουκᾶς, οἱ συνεργοί μου. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης διὰ ὀνησίμου οἰκέτου.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΠΡΟΣ ΤΟΥΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛ. Ι.

ΠΟλυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, διὰ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. τίνι γὰρ εἶπέν ποτε τῶν ἀγγέλων· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν· ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. ὅτ' ἂν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. καὶ πρὸς μὲν τοὺς

ἀγγέλους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. πρὸς δὲ τὸν υἱόν, ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καὶ σὺ κατ' ἀρχὰς κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς. καὶ ἀλλαγήσονται, σὺ δὲ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

ΚΕΦΑΛ. β.

Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραῤῥυῶμεν. εἰ γὰρ ὁ διὰ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἓν δικαίαν μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν. οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν περὶ ἧς λαλοῦμεν. διεμαρτύρατο δέ πού τις, λέγων· τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκει αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα, τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, διὰ παθημάτων τελειῶσαι. ὅτε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες. δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. καὶ πάλιν· ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. καὶ πάλιν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ θεός. ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

ΚΕΦΑΛ. γ.

Ὅθεν ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος. ὁ δὲ τὰ πάντα κατασκευάσας θεός. καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων. χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐὰν τὴν παῤῥησίαν, καὶ τὸ καύχημα τῆς ἐλπίδος, μέχρι τέλους βεβαίαν κατάσχωμεν. διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. βλέπετε ἀδελφοί, μή ποτε ἔσται ἐν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος, ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. μέτοχοι γὰρ γεγόναμεν τοῦ χριστοῦ, ἐὰν τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν. ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ. τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως. τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε, μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν διὰ ἀπιστίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 4.

Φοβηθῶμεν οὖν, μή ποτε καταλειπομένης ἐπαγγελίας, εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. καὶ γὰρ ἐσμὲν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι. ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος ἐκείνους, μὴ συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν. εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου, καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων. εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτως· καὶ κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ. καὶ ἐν τούτῳ πάλιν· εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. ἐπεὶ οὖν ἀπολείπεται τινὰς εἰσελθεῖν εἰς αὐτὴν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν, πάλιν τινὰ ὁρίζει ἡμέραν σήμερον ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον καθὼς εἴρηται· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ θεοῦ. ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θεός. σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα, καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

ΚΕΦΑΛ. 5.

Πας γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν. καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτως καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ θεοῦ, καθάπερ καὶ Ἀαρών. οὕτως καὶ ὁ χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. καθὼς καὶ ἐν ἑτέρῳ λέγει· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν, καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ. περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τινα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ, καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης, νήπιος γάρ ἐστι. τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

ΚΕΦΑΛ. 6.

Διὸ ἀφέντες ἐν τῇ ἀρχῇ τοῦ χριστοῦ λόγου, ἐπὶ τὴν τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ θεόν, βαπτισμῶν, διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου. καὶ τοῦτο ποιήσομεν, ἐὰν περ ἐπιτρέπῃ ὁ θεός. ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου, καλόν γευσαμένους θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ, καὶ παραδειγματίζοντας. γῆ γὰρ, ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὐθέτον ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ. ἐκφέρουσα δὲ ἀκάνθας, καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν. πεπείσμεθα δὲ περὶ ὑμῶν ἀγαπητοί, τὰ κρείσσονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν. οὐ γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦντες. ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, ἵνα μὴ νωθροί γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεός,

ἐπεὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπεὶ κατ' ὀλίγον ἔχει μείζονος ὁμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων· ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. καὶ οὕτως μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας. ἄνθρωποι μὲν γὰρ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας ἐς βεβαίωσιν ὁ ὅρκος. ἐν ᾧ περισσότερον βουλόμενος ὁ θεὸς ἐπιδείξασθαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν, οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς, ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς κατὰ τὴν τάξιν Μελχισεδέκ, ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

ΚΕΦΑΛ. 7.

Οὗτος γὰρ ὁ Μελχισεδὲκ Βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν, ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ, πρῶτον μὲν ἑρμηνευόμενος Βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ Βασιλεὺς Σαλήμ, ὅ ἐστι Βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. Θεωρεῖτε δὲ, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης; Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ. Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλογηκεν. Χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ μαρτυρούμενος, ὅτι ζῇ, καὶ ὡς ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται. ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ Μελχισεδέκ. εἰ μὲν οὖν τελείωσις διὰ τῆς λευιτικῆς ἱερωσύνης ἦν, ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. πρόδηλον γάρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωϋσῆς ἐλάλησε. καὶ περισσότερόν ἐστι κατάδηλον, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. μαρτυρεῖ γάρ· ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀδυνατὸν καὶ ἀνωφελές. οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ θεῷ, καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας. οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες. ὁ δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτόν· ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν. ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν ἱερωσύνην, ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται, τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν. ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

ΚΕΦΑΛ. 8.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρα καὶ θυσίας καθίσταται, ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ οὗτον, ὃ προσενέγκῃ. εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα, οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν· ὅρα γάρ φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. Νυνὶ δὲ διαφορωτέρας τέτυχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίας νενομοθέτηται. Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δεύτερας ἐζητεῖτο τόπος. Μεμφόμενος γὰρ αὐτοῖς λέγει· ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν

ἐποίησε τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος. ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. καὶ οὐ μὴ διδάξουσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. ἐν τῷ λέγειν· καινὴν, πεπαλαίωκε τὴν πρώτην. τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.

ΚΕΦΑΛ. 9.

Εἶχε μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν. σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἁγία. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ, ἡ λεγομένη ἁγία ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης, πανταχόθεν κεκαλυμμένην παντόθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον, περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. τούτων δὲ ὄντως κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς, τὰς λατρείας ἐπιτελοῦντες. εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν, ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, μόνον ἐπὶ βρώμασι καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑρόμενος. εἰ γὰρ τὸ αἷμα ταύρων, καὶ τράγων, καὶ σποδὸς δαμάλεως, ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν θεῷ ζῶντι; Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστὶν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι, τῆς αἰωνίου κληρονομίας. ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου. διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεί μή ποτε ἰσχύει, ὅτε ζῇ ὁ διαθέμενος. ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται. λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐράντισε, λέγων· τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ θεός. καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισε. καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις. ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι. αὐτὰ δὲ τὰ ἐπουράνια, κρείττοσι θυσίαις παρὰ ταύτας. Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν. οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ, ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου. νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις, οὕτως καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν,

ΚΕΦΑΛ. 10.

Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν τὰς αὐτὰς θυσίας ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι, ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι; διὰ τὸ μηδὲ μίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους. ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν. ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. σῶμα δὲ κατηρτίσω μοι, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. τότε εἶπον· ἰδοὺ ἥκω, ἐν κεφα

ϕν λιφαλίδι βιβλίσ γέγραπται περὶ ἐμοῦ, τ̃ ποιῆσαι ὁ θεὸς τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ, ϕ ὠ θελήματι ἡγιασμένοι ἐσμὲν, οἱ διὰ τ̃ προσφορᾶς τ̃ σώματ⊙ τ̃ Ιησ̃ χρισ̃ ἐφάπαξ. καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵ τινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας. αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τ̃ θεοῦ, τὸ λοιπὸν ἐκδεχόμεν⊙, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτ̃ ὑποπόδιον τῶν ποδῶν αὐτ̃. Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. μαρτυρεῖ δὲ ὑμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον. μετὰ γὰρ τὸ προειρηκέναι, αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι πρὸς αὐτοὺς, μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτοῦ, καὶ τῶν ἁμαρτιῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας. ἔχοντες οὖν ἀδελφοὶ παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τ̃ αἵματι Ιησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματ⊙, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουσμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τ̃ ἐλπίδ⊙, ἀκλινῆ. πιστὸς γὰρ ὁ ἐπαγγειλάμεν⊙. καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων, μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθ⊙ τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν. ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τ̃ ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλ⊙ ἐσθίειν μέλοντ⊙ τοὺς ὑπεναντίους. ἀθετήσας τις νόμον μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει, πόσῳ δοκεῖτε χείρον⊙ ἀξιωθήσεται τιμωρείας, ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τ̃ διαθήκης κοινὸν ἡγησάμεν⊙, ἐν ᾧ ἁγιάσθη, καὶ τὸ πνεῦμα τ̃ χάριτ⊙ ἐνυβρίσας; οἴδαμεν γὰρ τὸν εἰπόντα, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος. καὶ πάλιν, κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ. φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντ⊙. Ἀναμιμνήσκεσθε δὲ τὰς πρώτερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γεγονότες. καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν. Μὴ ἀπορρίψητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τ̃ θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν. ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμεν⊙ ἥξει, καὶ οὐ χρονιεῖ. Ο δὲ δίκαι⊙ ἐκ πίστεως ζήσεται, καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

ΚΕΦΑΛ. ια.

ΕΣτι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχ⊙ οὐ βλεπομένων. ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. πίστει πλείονα θυσίαν Ἄβελ προσήνεγκε Καΐν παρὰ θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαι⊙, μαρτυροῦντ⊙ ἐπὶ τοῖς δώροις αὐτ̃ τοῦ θεοῦ, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. Πίστει ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο διότι μετέθηκεν αὐτὸν ὁ θεός. πρὸ γὰρ τ̃ μεταθέσεως αὐτ̃ μεμαρτύρηται εὐηρεστηκέναι τῷ θεῷ. χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. Πίστει χρηματισθεὶς νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς, κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τ̃ οἴκου αὐτ̃, δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τ̃ κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμ⊙. Πίστει καλούμεν⊙ Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον, ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε, μὴ ἐπιστάμεν⊙ ποῦ ἔρχεται. πίστει παῴκησεν εἰς γῆν τ̃ ἐπαγγελίας, ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τ̃ ἐπαγγελίας τ̃ αὐτ̃. ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. Πίστει καὶ αὐτὴ Σαῤῥα δύναμιν εἰς καταβολὴν σπέρματ⊙ ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον. διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμ⊙ ἡ παρὰ τὸ χεῖλ⊙ τ̃ θαλάσσης ἡ ἀναρίθμητος. Κατὰ πίστιν ἀπέθανον ὅντι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ

ἀλλὰ πρέσβεις ἀυτὰς ἰσλίοντες, καὶ παιδεύοντες, καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. Οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν, ὅτι πατρίδα ἐπιζητοῦσι. καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι. νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς, θεὸς ἐπικαλεῖσθαι αὐτῶν. ἡτοίμασε γὰρ αὐτοῖς πόλιν. Πίστει προσφέρων Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν, ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη· ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ θεὸς, ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. Πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ. Πίστει, Ἰακὼβ ἀποθνήσκων, ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. Πίστει, Ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο. Πίστει, μωϋσῆς γεννηθεὶς, ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως. Πίστει, μωϋσῆς μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς φαραὼ, μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ χριστοῦ. ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως. τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε. πίστει πεποίηκε τὸ πάσχα, καὶ τὴν πρόχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλεθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν. πίστει δὲ διέβησαν τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς, ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν. Πίστει τὰ τείχη Ἰεριχὼ κατέπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. Πίστει ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης. Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεὼν, Βαρὰκ τε, καὶ Σαμψὼν, καὶ Ἰεφθαὲ, Δαβὶδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν, οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀδυνασίας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων. ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν, ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μάστιγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς, ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

ΚΕΦΑΛ. 12.

Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, διὰ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν, καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ ἐκάθισεν. ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· υἱέ μου μὴ ὀλιγώρει παιδείας κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει. μαστιγοῖ δὲ παντα υἱὸν, ὃν παραδέχεται. εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός. Τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ; εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστε, καὶ οὐχ υἱοί. εἶτα οὖν μὲν οἱ σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα, οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον, ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ θεοῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί, μή τις πόρνος ἢ βέβηλος ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. ἴστε γάρ, ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη. Μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν. οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ,

καὶ

καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρητήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον. οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον, καὶ θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται, καὶ οὕτως φοβερὸν ἦν τὸ φανταζόμενον. Μωϋσῆς εἶπεν· ἔκφοβός εἰμι, καὶ ἔντρομος· ἀλλὰ προσεληλύθατε σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, ἐπουρανίῳ Ἱερουσαλὴμ καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττονα λαλοῦντι παρὰ τὸν Ἄβελ. Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον, τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς, οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται, λέγων· ἔτι ἅπαξ ἐγὼ σείω, οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δὲ ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας.

ΚΕΦΑΛ. ιγ.

ΚΑὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον. ἡ φιλαδελφία μενέτω. τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι, τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός. ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν. αὐτὸς γὰρ εἴρηκεν· οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω, ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. ὧν γάρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας, εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ θεῷ, τουτέστι καρπὸν χειλέων, ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ θεός. Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν. πειθόμεθα γὰρ, ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς. ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

Ἡ χάρις μετὰ πάντων ὑμῶν. ἀμήν.

Ἐγράφη ἀπὸ Ἰταλίας διὰ Τιμοθέου.

ΒΙΟΣ

ΒΙΟΣ ΤΟΥ ΙΑΚΩΒΟΥ ΕΚ ΤΩΝ ΣΩΦΡΟΝΙΟΥ.

ΙΑΚΩΒΟΣ ὁ ἀδελφὸς τοῦ κυρίου, ἀπόστολος, καὶ ἐπίκλην δίκαιος, ὡς τινὲς ὑπολαμβάνουσι, τοῦ ἰωσὴφ, ἀπ' ἄλλης γυναικός. ὡς δὲ ἐμοὶ φαίνεται, μαρίας, ἀδελφῆς τῆς μητρὸς τοῦ κυρίου, ἧς ἰωάννης μέμνηται, παρὰ τὸ πάθος τοῦ κυρίου λέγων· ἦν δὲ ἐκεῖ μαρία ἡ ἰακώβου καὶ ἰωσῆ μήτηρ. ἐπίσκοπος καταστάθεις, μίαν μόνην συνεγράψατο ἐπιστολήν, ἣν τισὶ τῶν ἑπτὰ καθολικῶν συγχαίρει. καί τινες τῶν ἑτέρου τινὸς ἐπ' ὀνόματι αὐτοῦ ἐκδεδόσθαι ταύτην φασκουσι, καὶ μὴ βραχὺ τοῦ χρόνου πρὸς ὀντος, αὐθεντίας τινὸς ἐπελαβέσθην. ἠγήσατο δὲ γέτων τῆς ἀρχαιοτάτης χρόνων, ὧν ἕνεκεν τῷ ἐμπνεύσαντι λόγῳ τῶν ὑπομνημάτων πρὸ ἰακώβου διηγόρευον, ἔφη· ἐπείσθη τὴν ἐκκλησίαν ἱεροσολύμων μετὰ τοῦ ἀδελφοῦ τοῦ κυρίου ἰάκωβον, ὁ ὠνομασμένος δίκαιος, σχεδὸν τοῖς πολλοῖς καλεῖσθαι ἰάκωβος. ὅτι ἐν γυναικὶ ἁγίᾳ ἦν, οἶνον καὶ σίκερα οὐκ ἔπιε, ἔμψυχον δέ, ὀστοῦ δὲ ἔτρατο θυσιαστήριον οὐδέποτε, οὐδὲ ἐπείρατο, οὐδὲ ἀλείμματι ἢ λουτροῖς ἐχρήσατο. ἐθὸς δὲ ἦν αὐτῷ μόνῳ εἰσελθεῖν εἰς τὰ ἅγια τῶν ἁγίων, ἐδαπεροῦν μὴ ἐριοῦν, ἀλλὰ λινᾶ. μόνῳ τε αὐτῷ ἐξῆν εἰς τὸν ναὸν εἰσιέναι. καὶ γόνατα κλίνων, ὑπὲρ τοῦ λαοῦ πολυχρόνιος ἐτύγχανε, ὥς τε τὰ γόνατα αὐτοῦ ὑποβαίνειν νομίζεσθαι οὐχ ἧττον καμήλου τύλας. λέγει καὶ ἕτερά τινα, ἃ μακρὸν ἂν εἴη διαπλέκεσθαι. καὶ γὰρ καὶ ἰώσηπος ἐν τοῖς ἑπτὰ τῆς ἀρχαιολογίας λόγῳ, καὶ κλήμης ἐν τοῖς ἑβδόμῳ τῶν ὑποτυπώσεων εἰρήκασι, μετὰ τὴν τελευτὴν φήσας τοῦ τὴν ἐπισκοπὴν διέποντος, πεμφθῆναι πρὸς νόρων διωγμὸν αὐτοῦ ἄλειτον. καὶ πείσαντες ἡγεμόνα ἐπὶ χριστὸν ἰωσῆναι, ἄναν φησὶν ἱερέως υἱόν, ἀναιρεθῆναι ὑπὸ ἰουδαίων βιαίως, ἐλεφθὲς ἀφορμὴν ἀναχωρήσεως, σωτηρίαν γνομένην ἀναλυκασὶν τὸν ἰακώβου διηκοσίαν, ἵνα τὸν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ ἀρνήσηται, ἀπολέγοντα δὲ λιθοβολῆσαι πρὸς ἐπαξίων. ὃς ἐκ τοῦ πτερυγίου τοῦ ναοῦ κρημνισθείς, καταγόντων αὐτὸν τῶν σκελῶν, ἡμιθανὴς ἐπάρας εἰς ἑαυτὸν τὰς χεῖρας, λέγει· Κύριε σύγγνωθι αὐτοῖς, οὐ γὰρ ποιοῦσιν ἀγνοοῦσι. τότε ἵνα ζῶντα μοχλῷ ᾧ τὰ ἱμάτια ἐκπίεσαν ἐώθασι, τὸν τὸν ἐγκέφαλον κρούσθεις, ἀπαύστατο. πρόσθησιν ὁ αὐτὸς ἰώσηπος, τοσαύτης αὐτὸν γεγονέναι ἁγιοσύνης γνῶσιν καὶ θρησκείας πρὸς τοῦ λαοῦ, ὡς δίκαιον τὸν αὐτὸν θαύματος πεπεῖσθαι πάντας, τὰ ἱεροσόλυμα πορθηθῆναι. πρὸ τούτου καὶ ὁ ἀπόστολος παῦλος πρὸς αὐτὸν γαλάτας λέγει· ἕτερον δὲ ἐκ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου. καὶ τῶν ἀποστόλων πρὸ τούτου μαρτυρῆσαι αἱ πράξεις. ἡ δὲ ὀνομαζομένη δὲ τὸ ὠδηγράφον καθ' ἑβραίους, ὅπερ ἐστὶν ἐμοὶ νεῖν εἰς τὴν ἑλληνικὴν καὶ ῥωμαϊκὴν γλῶτταν μεταβληθὲν, ᾧ καὶ ὠνομάσθη πολλαχοῦ μέχρι τοῦ, μετὰ τὴν ἀνάστασιν τοῦ σωτῆρος, λέγει· ὁ δὲ κύριος διελθὼν σινδόνα τοῦ δούλου τοῦ ἱερέως, ἀπελθὼν πρὸς ἰάκωβον, ὤμοσεν αὐτῷ. ὠμωμόκει γὰρ ἰάκωβος, μὴ γεύσασθαι ἄρτου, ἀφ' ἐκείνης τῆς ὥρας ἀφ' ἧς ποτήριον ὁ κύριος, ἕως οὗ ἴδῃ αὐτὸν ἀνεστῶτα ἐκ νεκρῶν. αὖθις ἦ μικρὸν ὕστερον· δότε, φησὶν ὁ κύριος, τράπεζαν καὶ ἄρτον. εὐθὺς δὲ προσέθετο· λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε, καὶ διελὼν ἰακώβῳ τῷ δικαίῳ, λέγει αὐτῷ· ἀδελφέ μου, ἔσθιε τὸν ἄρτον τὸν σου, ἠγέρθη γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν. προάκουστα τοι γαρ ὧν ἰακώβου τῶν ἱεροσολύμων ἐπισκοπὴν διαδεξάμενος ἐκκλησίαν, τοῦτ' ἔστιν ἕως ἑβδόμου χρόνου, πλησίον τοῦ ναοῦ ἀπετέθη, ἐν ᾧ καὶ ἐτρίφθη. τίτλον ἄχρι τοῦ τότε πολιορκίας, καὶ τῆς τελευτῆς ἀδριανὸς ἐπίσημον ἔσχεν. ὃν τινὲς μὲν ἐν τοῖς ὄρεσι τοῦ ἐλαιῶνος τεθάφθαι νομίζουσι, φυσιοῦσι δὲ τούτῳ ὑπονοίας.

Επιστολή

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΙΑΚΩΒΟΥ.

ΚΕΦΑΛ. 1.

ΙΑκωβ☉ θεῦ καὶ κυρίε Ιησοῦ χρισοῦ δ' οὖλ☉, ταῖς δώδεκα φυλαῖς, ταῖς ἐν τῇ δ[ι]ασπορᾷ, χαίρειν. πᾶσαν χαρὰν ἡγήσασθε ἀδελφοί με, ὅτ' ἂν πειρασμοῖς πολυποίκιλοις, γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆ πίστεως κατεργάζεται ὑπομονήν. Η δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ δι[δ]όντ☉ θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντ☉, καὶ δοθήσεται αὐτῷ. αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενο☉. ὁ γὰρ διακρινόμεν☉ ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. μὴ γὰρ οἰέσθω ἄνθρωπ☉ ἐκεῖν☉, ὅτι λήψεταί τι παρὰ τοῦ κυρίε. ἀνὴρ δίψυχ☉, ἀκατάστατ☉ ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινός, ἐν τῷ ὕψει αὐτοῦ. ὁ δὲ πλούσι☉, ἐν τῇ ταπεινώσει αὐτοῦ· ὅτι ὡς ἄνθο☉ χόρτε παρελεύσεται. ἀνέτειλε γὰρ ὁ ἥλι☉ σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθο☉ αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο. οὕτως καὶ ὁ πλούσι☉ ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται. μακάρι☉ ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμ☉ γενόμενο☉ λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ κύριο☉ τοῖς ἀγαπῶσιν αὐτόν. Μηδεὶς πειραζόμε☉ λεγέτω, ὅτι ἀπὸ θεοῦ πειράζομαι. ὁ γὰρ θεὸς ἀπείρασός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα. ἕκασ☉ δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμεν☉, καὶ δελεαζόμε☉. εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον. μὴ πλανᾶσθε ἀδελφοί με ἀγαπητοί. πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα. Βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναί ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων. ὥστε ἀδελφοί με ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπ☉ ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν. ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐ κατεργάζεται. διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταί, παραλογιζόμενοι ἑαυτούς. ὅτι εἴτις ἀκροατὴς λόγου ἐστὶ, καὶ οὐ ποιητὴς, οὗτ☉ ἔοικεν ἀνδρὶ, κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ. κατενόησε γὰρ ἑαυτὸν, καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖ☉ ἦν. ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας, καὶ παραμείνας, οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενο☉, ἀλλὰ ποιητὴς ἔργου, οὗτ☉ μακάριο☉ ἐν τῇ ποιήσει αὐτοῦ ἔσται. Εἴ τις δοκεῖ θρησκ☉ εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλὰ ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιο☉ ἡ θρησκεία. Θρησκεία καθαρὰ καὶ ἀμίαντ☉ παρὰ τῷ θεῷ καὶ πατρί, αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

ΚΕΦΑΛ. 2.

ΑΔελφοί με, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ κυρίε ἡμῶν Ιησοῦ χρισοῦ τῆς δόξης. ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιο☉, ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπράν, καὶ εἴπητε αὐτῷ, σὺ κάθου ὧδε καλῶς· καὶ τῷ πτωχῷ εἴπητε, σὺ στῆθι ἐκεῖ, ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν με· καὶ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν. ἀκούσατε ἀδελφοί με ἀγαπητοί· οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμε τούτε, πλουσίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας, ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν; ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια; οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς; εἰ μέν τοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν γραφὴν, ἀγαπήσεις τὸν πλησίον σε ὡς σεαυτόν, καλῶς ποιεῖτε. εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου, ὡς παραβάται. ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχ☉. ὁ γὰρ εἰπὼν, μὴ μοιχεύσῃς, εἶπε καὶ μὴ φονεύσῃς. εἰ δὲ οὐ μοιχεύσῃς, φονεύσῃς δέ, γέγονας παραβάτης νόμου. οὕτως λαλεῖτε, καὶ οὕτως ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι. Η γὰρ κρίσις ἀνέλεως τῷ μὴ ποιήσαντι ἔλεο☉. καὶ κατακαυχᾶται ἔλεο☉ κρίσεως. τί τὸ ὄφελο☉ ἀδελφοί με, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ λειπόμενοι ὦσι τῆς ἐφημέρε τροφῆς, εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σώματος, τί γὰρ ὄφελος; οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν. ἀλλ' ἐρεῖ τις· σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω. δείξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγώ σοι δείξω ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. σὺ πιστεύεις, ὅτι ὁ θεός εἷς ἐστι; καλῶς ποιεῖς. καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι. θέλεις δὲ γνῶναι ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι; Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; Βλέπεις, ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη; καὶ ἐπληρώθη ἡ γραφή, ἡ λέγουσα· ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος θεοῦ ἐκλήθη. ὁρᾶτε τοίνυν, ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον; ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη, οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑποδεξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα; ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτως καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

ΚΕΦΑΛ. 3.

Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε ἀδελφοί μου, εἰδότες, ὅτι μεῖζον κρῖμα λημψόμεθα. πολλὰ γὰρ πταίομεν ἅπαντες. εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. ἰδοὺ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν, πρὸς τὸ πειθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν. ἰδοὺ καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα, καὶ ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου, ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται. οὕτως καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστί, καὶ μεγαλαυχεῖ. ἰδοὺ ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει. καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας, οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης. πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ. τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι, ἀκατάσχετον κακόν, μεστὴ ἰοῦ θανατηφόρου. ἐν αὐτῇ εὐλογοῦμεν τὸν θεὸν καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους, τοὺς καθ' ὁμοίωσιν θεοῦ γεγονότας. ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. οὐ χρή ἀδελφοί μου ταῦτα οὕτως γίνεσθαι. μή τι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; μὴ δύναται ἀδελφοί μου συκῆ ἐλαίας ποιῆσαι; ἢ ἄμπελος σῦκα; οὕτως οὐδὲ μία πηγὴ ἁλυκὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ. τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. εἰ δὲ ζῆλον πικρὸν ἔχετε, καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε, καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχική, δαιμονιώδης. ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία, καὶ πᾶν φαῦλον πρᾶγμα. ἡ δὲ ἄνωθεν σοφία, πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιακρίτος καὶ ἀνυπόκριτος. καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

ΚΕΦΑΛ. 4.

Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν, τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε. φθονεῖτε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν. μάχεσθε, καὶ πολεμεῖτε. οὐκ ἔχετε, διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς. αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε, ὅτι ἡ φιλία τοῦ κόσμου, ἔχθρα τοῦ θεοῦ ἐστι; ὃς ἂν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ θεοῦ καθίσταται. ἢ δοκεῖτε, ὅτι κενῶς ἡ γραφὴ λέγει· πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα, ὃ κατῴκισεν ἐν ἡμῖν, μείζονα δὲ δίδωσι χάριν. διὸ ὑποτάγητε οὖν τῷ θεῷ, ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν. ἐγγίσατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. καθαρίσατε χεῖρας ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας δίψυχοι, ταλαιπωρήσατε, καὶ πενθήσατε, καὶ κλαύσατε. ὁ γέλως ὑμῶν εἰς πένθος μετασταφήτω. καὶ ἡ χαρὰ εἰς κατήφειαν. ταπεινώθητε ἐνώπιον τοῦ κυρίου, καὶ ὑψώσει ὑμᾶς. μὴ καταλαλεῖτε ἀλλήλων ἀδελφοί. ὁ καταλαλῶν ἀδελφοῦ, καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον. εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής. εἷς ἐστιν ὁ νομοθέτης, ὁ δυνάμενος καὶ σῶσαι καὶ ἀπολέσαι. σὺ τίς εἶ, ὃς κρίνεις τὸν ἕτερον; ἄγε νῦν οἱ λέγοντες, σήμερον καὶ αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυτὸν ἕνα, καὶ ἐμπορευσώμεθα, καὶ κερδήσωμεν, οἵτινες οὐκ ἐπίστασθε τὸ αὔριον. ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γάρ ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη, ἀντὶ τοῦ λέγειν ὑμᾶς· ἐὰν ὁ κύριος θελήσῃ, καὶ ζήσωμεν, καὶ ποιήσωμεν τοῦτο, ἢ ἐκεῖνο. νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν. εἰδότι οὖν καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

Κεφαλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛ. 5.

Αγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. ὁ πλοῦτος ὑμῶν σέσηπε, τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν. ὁ χρυσὸς ὑμῶν, καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν, ὡς πῦρ. ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις. ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν κράζει. καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα κυρίου σαβαὼθ εἰσεληλύθασιν. ἐτρυφήσατε ἐπὶ τῆς γῆς, καὶ ἐσπαταλήσατε. ἐθρέψατε τὰς καρδίας ὑμῶν, ὡς ἐν ἡμέρᾳ σφαγῆς. κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαιον, οὐκ ἀντιτάσσεται ὑμῖν. μακροθυμήσατε οὖν ἀδελφοί ἕως τῆς παρουσίας τοῦ κυρίου. ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ, ἕως λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον. μακροθυμήσατε καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ κυρίου ἤγγικε. μὴ στενάζετε κατ' ἀλλήλων ἀδελφοί, ἵνα μὴ κατακριθῆτε. ἰδοὺ ὁ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. ὑπόδειγμα λάβετε τῆς κακοπαθείας ἀδελφοί μου, καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι κυρίου. ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας. τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστιν ὁ κύριος, καὶ οἰκτίρμων. πρὸ πάντων δὲ ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον. ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ, ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω. εὐθυμεῖ τις; ψαλλέτω. ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ κυρίου. καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος, κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. Ηλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ. καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. ἀδελφοί, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτὸν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

Τῆς τοῦ ἁγίου Ἰακώβου ἐπιστολῆς τέλος.

ΒΙΟΣ ΤΟΥ ΠΕΤΡΟΥ ΕΚ ΤΩΝ ΣΩΦΡΟΝΙΟΥ.

ΣΙΜΩΝ Πέτρος ἀπόστολος υἱὸς Ἰωνᾶ, ἐπιχίας Γαλιλαίας, κώμης Βηθσαϊδᾶ, ἀδελφὸς Ἀνδρέου ἀποστόλου, καὶ ἀρχηγὸς τῆς ἀποστόλων, μετὰ τὴν ἀνάστασιν τοῦ κυρίου, μετὰ τῶν ἁγίων ἀποστόλων ἐκκλησίας, καὶ τὸ κήρυγμα τοῦ σταυροῦ πρῶτος, καὶ ἐκ τῆς περιτομῆς πεπιστευκώς, ἐν πόντῳ, Γαλατίᾳ, Καππαδοκίᾳ, Ἀσίᾳ καὶ Βιθυνίᾳ, τοῖς διασπορᾷ Ἕλλησι, εἰς τὸ ἐκπολεμῆσαι Σίμωνα τὸν μάγον, πῦρ ῥώμῃ ἐξίσασαν. ἐν Ἄνδρῳ ἔκτισε τὴν ἐκκλησίαν, τὸν θρόνον τῆς ἱερωσύνης κατέχων, ἕως τοῦ τελευταίου ἐνιαυτοῦ νόρων, τοῦτέστι τοῦ τεσσαρεσκαιδεκάτου, ἐφ' ὃ καὶ σταυρωθεὶς ἐμαρτύρησε, τὴν κεφαλὴν μὲν ἐν γῇ ἔχων, τοὺς πόδας δὲ ἐν μετεώρῳ, φάσκων ἀνάξιον ἑαυτὸν εἶναι, τὸ ὅμοιον τρόπον σταυρωθῆναι τῷ κυρίῳ. ἔγραψε δύο ἐπιστολὰς τὰς ὀνομαζομένας καθολικάς. ἀφ' ὧν τὴν μὲν πλείστοις οὐκ ἐγκεκλίκασιν αὐτοῦ τυγχάνειν, σφόδρα τε χαρακτῆρα, καὶ τὴν σαφηνείαν τῆς πρώτης ἐπιστολῆς. ἀλλὰ καὶ τὸ ἐν τῷ μαρκοῦ δυαγγέλιον, τοῦτο λέγεται εἶναι. τὰ δὲ συγγράμματα, τουτέστι πρῶτον ὁ ἐπιγέγραπται πράξεις αὐτοῦ, δεύτερον δυαγγέλιον, τρίτον κήρυγμα, τέταρτον ἀποκάλυψις, πέμπτον κρίσις, ὡς ἀπόκρυφα ὄντα ἀποδοκιμάζει. ἐκπλεύσας γὰρ ἐκ τῆς Βαλκανῶν, πλησίον τῆς ὁδοῦ τῆς ἐπὶ Δελφοὺς τρισμφαλίας, μετὰ φανερᾶς τῆς σεβάσμιος πρὸς τὴν ῥωμαίων θρησκείαν.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΕΤΡΟΥ Α.

ΚΕΦΑΛ. 1.

ΠΕΤΡΟΣ ἀπόστολος Ἰησοῦ χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βιθυνίας, κατὰ πρόγνωσιν θεοῦ πατρὸς ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ χριστοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη. Εὐλογητὸς ὁ θεὸς, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν διὰ ἀναστάσεως Ἰησοῦ χριστοῦ ἐκ νεκρῶν εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον, καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς τοὺς ἐν δυνάμει θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ, ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστὶν, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως, πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν καὶ τιμὴν, ἐν ἀποκαλύψει Ἰησοῦ χριστοῦ, ὃν οὐκ ἰδόντες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν, περὶ ἧς σωτηρίας ἐξεζήτησαν, καὶ ἐξηραύνησαν προφῆται, οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, ἐραυνῶντες εἰς τίνα, ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα χριστοῦ, προμαρτυρόμενον τὰ εἰς χριστὸν παθήματα, καὶ τὰς μετὰ ταῦτα δόξας, οἷς ἀπεκαλύφθη, ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν δὲ διηκόνουν αὐτὰ, ἃ νῦν ἀνηγγέλη ὑμῖν, διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ χριστοῦ, ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γένησθε, διότι γέγραπται· ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. Καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε. εἰδότες, ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου χριστοῦ, προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτου τῶν χρόνων δι' ὑμᾶς, τοὺς διὰ αὐτοῦ πιστεύοντας εἰς θεὸν, τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν, καὶ ἐλπίδα εἶναι εἰς θεόν, τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ πνεύματος, εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου ζῶντος θεοῦ, καὶ μένοντος εἰς τὸν αἰῶνα. διότι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε, τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα. τοῦτο δέ ἐστι τὸ ῥῆμα, τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

ΚΕΦΑΛ. 2.

ΑΠΟθέμενοι οὖν πᾶσαν κακίαν, καὶ πάντα δόλον, καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας καταλαλιὰς, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε. εἰ ἐγεύσασθε, ὅτι χρηστὸς ὁ κύριος· πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ θεῷ ἐκλεκτὸν, ἔντιμον, καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε, οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους θεῷ διὰ Ἰησοῦ χριστοῦ. διὸ καὶ περιέχει ἐν τῇ γραφῇ· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον. καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ. ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσι, ἀπειθοῦσι δὲ λίθος ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, καὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου, οἳ προσκόπτουσι τῷ λόγῳ, ἀπειθοῦντες εἰς ὃ καὶ ἐτέθησαν. ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. οἱ ποτὲ οὐ λαὸς, νῦν δὲ λαὸς θεοῦ. οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες. ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθε τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, τὴν ἀναστροφὴν ὑμῶν ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν, ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύοντες, δοξάσωσι τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς. ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν ὡς δι' αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν. ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ θεοῦ, ἀγαθοποιοῦντας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν, ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι θεοῦ. πάντας τιμήσατε, τὴν ἀδελφότητα ἀγαπᾶτε, τὸν θεὸν φοβεῖσθε, τὸν βασιλέα τιμᾶτε. οἱ οἰκέται ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν θεοῦ ὑποφέρει τις λύπας πάσχων ἀδίκως. ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες, καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο γὰρ χάρις παρὰ θεῷ. εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει. παρεδίδου δὲ τῷ κρίνοντι δικαίως, ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν, οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε. ἦτε γὰρ ὡς πρόβατα πλανώμενα, ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα, καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

ΚΕΦΑΛ. 3.

Ομοίως αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ οἵτινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσονται, ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν, ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τρίχων, καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων κόσμος, ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέως καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές. οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι εἰς τὸν θεόν, ἐκόσμουν ἑαυτὰς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν. ὡς Σάῤῥα ὑπήκουσε τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν. Οἱ ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν. Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες, μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες, εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. ὁ γὰρ θέλων ζωὴν ἀγαπᾶν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον· ἐκκλινάτω δὲ κακοῦ, καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν. ὅτι οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά. καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε; ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι. τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε, κύριον δὲ τὸν θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν. ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος μετὰ πραΰτητος καὶ φόβου, συνείδησιν ἔχοντες ἀγαθὴν, ἵνα ἐν ᾧ καταλαλεῖσθε ὑμῶν, ὡς κακοποιῶν καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν χριστῷ ἀναστροφήν. κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα τοῦ θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας. ὅτι καὶ χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτιῶν ἔπαθεν, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι, ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς, ἐκήρυξεν, ἀπειθήσασί ποτε. ὅτε ἅπαξ ἐξεδέχετο ἡ τοῦ θεοῦ μακροθυμία, ἐν ἡμέραις Νῶε κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγοι, τοῦτέστιν ὀκτὼ ψυχαὶ διεσώθησαν διὰ ὕδατος, ὃ καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς θεὸν, διὰ ἀναστάσεως Ἰησοῦ χριστοῦ, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, πορευθεὶς εἰς οὐρανὸν, ὑποτεταγμένων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

ΚΕΦΑΛ. 4.

Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε· ὅτι ὁ παθὼν ἐν σαρκὶ, πέπαυται ἁμαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι θεοῦ, τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. ἀρκετὸς γὰρ ἡμῖν ὁ παρελήλυθὼς χρόνος τοῦ βίου, τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρίαις. ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες, οἱ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς. εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ θεὸν πνεύματι. πάντων δὲ τὸ τέλος ἤγγικε. σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς προσευχάς. πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες. ὅτι ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν. φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν. ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος θεοῦ. εἴ τις λαλεῖ, ὡς λόγια θεοῦ, εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἧς χορηγεῖ ὁ θεός, ἵνα ἐν πᾶσι

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

δοξάζηται ὁ θεὸς διὰ Ἰησοῦ χριστοῦ, ᾧ ἐστιν ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Ἀγαπητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει, πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος, ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι. εἰ ὀνειδίζεσθε ἐν ὀνόματι χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται. Κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται. Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεύς, ἢ κλέπτης, ἢ κακοποιός, ἢ ὡς ἀλλοτριοεπίσκοπος. εἰ δὲ ὡς χριστιανός, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν θεὸν ἐν τῷ μέρει τούτῳ. ὅτι καὶ ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ. εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ θεοῦ εὐαγγελίῳ; καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; ὥς τε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ θεοῦ, ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν ἐν ἀγαθοποιΐᾳ.

ΚΕΦΑΛ. ε.

Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ, ὁ συμπρεσβύτερος, καὶ μάρτυς τῶν τοῦ χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνός, ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ χριστοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, μηδὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως, μηδὲ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου. καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον. ὁμοίως νεώτεροι ὑποτάγητε πρεσβυτέροις, πάντες ἀλλήλοις ὑποτασσόμενοι. τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε, ὅτι ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ, πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ' αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ. ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι. ὁ δὲ θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν χριστῷ Ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι. αὐτῷ ἡ δόξα, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Διὰ Σιλουανοῦ ὑμῖν τοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ θεοῦ, εἰς ἣν ἕστηκατε. Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρκος ὁ υἱός μου. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. εἰρήνη ὑμῖν, πᾶσι τοῖς ἐν χριστῷ Ἰησοῦ. ἀμήν.

ΠΕΤΡΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΕΠΙΣΤΟΛΗ Β.

ΚΕΦΑΛ. α.

Συμεὼν πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν, καὶ σωτῆρος Ἰησοῦ χριστοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει τοῦ θεοῦ, καὶ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ, τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς. καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ ἐπίγνωσιν. ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. Διὸ μᾶλλον ἀδελφοὶ σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι. ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ χριστοῦ. διὸ οὐκ ἀμελήσω, ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει, εἰδὼς, ὅτι ταχινὴ ἔστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ κύριός μου Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνήμην ποιεῖσθαι. οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες, ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος. λαβὼν γὰρ παρὰ θεοῦ πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα. καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν, ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν· τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται. οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ πνεύματος ἁγίου φερόμενοι, ἐλάλησαν οἱ ἅγιοι θεοῦ ἄνθρωποι.

ΚΕΦΑΛ. 2.

Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν, καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀπωλείαις, δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημισθήσεται, καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται, οἷς τὸ κρῖμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει. εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, παρέδωκεν εἰς κρίσιν τετηρημένους, καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλὰ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας, καὶ πόλεις Σοδόμων καὶ Γομόρρας τεφρώσας κατέστρεψε, ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς. καὶ δίκαιον Λὼτ καταπονούμενον ὑπὸ τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς, ἐρρύσατο. βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν. οἶδε κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν, μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας, τολμητάς, αὐθαδεῖς, δόξας οὐ τρέμουσι βλασφημοῦντες. ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ κυρίῳ βλάσφημον κρίσιν. οὗτοι δὲ ὡς ἄλογα ζῷα φυσικὰ γεγεννημένα εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς ἀγνοοῦσι βλασφημοῦντες ἐν τῇ φθορᾷ αὐτῶν καταφθαρήσονται, κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν, σπίλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν, συνευωχούμενοι ὑμῖν, ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος, καὶ ἀκατάπαυστους ἁμαρτίας, δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν γεγυμνασμένην πλεονεξίας ἔχοντες, κατάρας τέκνα, καταλιπόντες τὴν εὐθεῖαν ὁδὸν, ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσόρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν, ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας. ὑποζύγιον ἄφωνον, ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν. οὗτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. ὑπέρογκα γὰρ ματαιότητος φθεγξάμενοι, δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς ἀσελγείαις, τοὺς ὀλίγως ἀποφυγόντας, τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς. ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. κρεῖττον γὰρ ἦν αὐτοῖς, μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν, ὑποστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας· Κύων ὑποστρέψας ἐπὶ τὸ ἴδιον ἐξεράμα, καὶ Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

ΚΕΦΑΛ. 3.

Ταύτην ἤδη ἀγαπητοί δευτέραν ὑμῖν γράφω ἐπιστολήν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς, τοῦ κυρίου καὶ σωτῆρος· τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμπαῖκται, κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι, καὶ λέγοντες· ποῦ ἐστιν ἐπαγγελία ἢ παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτως διαμένει ἀπ' ἀρχῆς κτίσεως. λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι καὶ γῆ, ἐξ ὕδατος καὶ διὰ ὕδατος συνεστῶσα τῷ τοῦ θεοῦ λόγῳ, διὸ ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο. οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ αὐτῷ λόγῳ τεθησαυρισμένοι εἰσί, πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας

λείας τῶν ἀσεβῶν ἀνθρώπων. ὧ δὲ οὐδὲν μὴ λανθανέτω ὑμᾶς ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία. ὁ βραδύνει ὁ κύριος τῆς ἐπαγγελίας, ὡς τινὲς βραδύτητα ἡγοῦνται. ἀλλὰ μακροθυμεῖ εἰς ὑμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι. ἥξει δὲ ἡμέρα κυρίου, ὡς κλέπτης ὧ νυκτὶ, ὧ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ὧ αὐτῇ ἔργα κατακαήσεται. τούτων οὖν πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ὧ ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆ τοῦ θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται. καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ὧ οἷς δικαιοσύνη κατοικεῖ. διὸ ἀγαπητοὶ ταῦτα προσδοκῶντες, σπουδάσατε ἄσπιλοι, καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι ὧ εἰρήνῃ. καὶ τὴν τοῦ κυρίου ἡμῶν μακροθυμίαν, σωτηρίαν ἡγεῖσθε. καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς παῦλος, κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ὧ πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ὧ αὐταῖς, περὶ τούτων, ὧ οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. ὑμεῖς οὖν ἀγαπητοὶ προγινώσκοντες, φυλάσσεσθε, ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ, αὐξάνετε δὲ ὧ χάριτι καὶ γνώσει τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ χριστοῦ. αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος, ἀμήν.

ΙΩΑΝΝΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΕΠΙΣΤΟΛΗ Α.

ΚΕΦΑΛ. α.

Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν. ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν. καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ χριστοῦ. καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. καὶ ἔστιν αὕτη ἡ ἐπαγγελία, ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. ἐὰν εἴπωμεν, ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν. ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. ἐὰν εἴπωμεν, ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. ἐὰν εἴπωμεν, ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

ΚΕΦΑΛ. β.

Τεκνία μου ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε. καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν χριστὸν δίκαιον. καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν. οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων, ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν. ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ ἐσμέν. ὁ λέγων ἐν αὐτῷ μένειν, ὀφείλει, καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτως περιπατεῖν. ἀδελφοὶ οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλὰ ἐντολὴν παλαιὰν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παλαιαν, ἣν εἴχετε ἀπ' ἀρχῆς. ἡ ἐντολὴ ἡ παλαιὰ ἐστὶν ὁ λόγος, ὃν ἠκούσατε ἀπ' ἀρχῆς. πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν. ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. γράφω ὑμῖν τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. γράφω ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. γράφω ὑμῖν νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν. γράφω ὑμῖν παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα. ἔγραψα ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. ἔγραψα ὑμῖν νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν. μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ. ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί. καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ. ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ, μένει εἰς τὸν αἰῶνα. παιδία ἐσχάτη ὥρα ἐστί, καὶ καθὼς ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν. ὅθεν γινώσκομεν, ὅτι ἐσχάτη ὥρα ἐστίν. ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν. ἀλλ' ἵνα φανερωθῶσιν, ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν. καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε πάντα. οὐκ ἔγραψα ὑμῖν, ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτὴν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστι. τίς ἐστιν ὁ ψεύστης, εἰμὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ χριστός; οὗτός ἐστιν ὁ ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν. πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει. ὑμεῖς ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω. ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ, καὶ ἐν τῷ πατρὶ μενεῖτε. καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία, ἣν αὐτὸς ἐπηγγείλατο ὑμῖν, τὴν ζωὴν τὴν αἰώνιον. ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ ἐν ὑμῖν μένει. καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς. ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστι, καὶ οὐκ ἔστι ψεῦδος. καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ. καὶ νῦν τεκνία μένετε ἐν αὐτῷ, ἵνα ὅταν φανερωθῇ, ἔχωμεν παῤῥησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστι, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐτοῦ γεγέννηται.

ΚΕΦΑΛ. γ.

ΙΔΕΤΕ ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ, ἵνα τέκνα θεοῦ κληθῶμεν. διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ὑμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν. ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμὲν, καὶ οὔπω ἐφανερώθη, ὅτι ἐσόμεθα. οἴδαμεν δὲ, ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι. καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ, ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἁγνός ἐστι. πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. καὶ οἴδατε, ὅτι ἐκεῖνος ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ, καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει. πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν, οὐδὲ ἔγνωκεν αὐτόν. τεκνία μηδεὶς πλανάτω ὑμᾶς. ὁ ποιῶν τὴν δικαιοσύνην, δίκαιός ἐστι, καθὼς ἐκεῖνος δίκαιός ἐστιν. ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστὶν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται. ἐν τούτῳ φανερά ἐστι τὰ τέκνα τοῦ θεοῦ, καὶ τὰ τέκνα τοῦ διαβόλου. πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην, οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία, ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ. καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια. μὴ θαυμάζετε ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. ἡμεῖς οἴδαμεν, ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς. ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν, μένει ἐν τῷ θανάτῳ. πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί. καὶ οἴδατε, ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν. ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος τὴν ψυχὴν αὐτοῦ ἔθηκε, καὶ ἡμεῖς ὀφείλομεν τὰς ψυχὰς τιθέναι. ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ; τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ. καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐκ τῆς ἀληθείας ἐσμὲν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν. ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα. ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν θεὸν, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὁ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους καθὼς ἔδωκεν ἐντολὴν. καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

ΚΕΦΑΛ. 4.

Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ θεοῦ. πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ θεοῦ ἐστι. καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ θεοῦ οὐκ ἔστι. καὶ τοῦτο ἐστὶ τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε, ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. ὑμεῖς ἐκ τοῦ θεοῦ ἐστε τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν, ἢ ὁ ἐν τῷ κόσμῳ. αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί, διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμέν· ὁ γινώσκων τὸν θεὸν, ἀκούει ἡμῶν. ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης. ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστι. καὶ πᾶς ὁ ἀγαπῶν, ἐκ τοῦ θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν θεόν. ὁ μὴ ἀγαπῶν, οὐκ ἔγνω τὸν θεόν, ὅτι ὁ θεὸς ἀγάπη ἐστίν. ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ μονογενῆ ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν διʼ αὐτοῦ. ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. ἀγαπητοί, εἰ οὕτως ἠγάπησεν ἡμᾶς ὁ θεὸς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. θεὸν οὐδεὶς πώποτε τεθέαται. ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ θεῷ. καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν. ὁ θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ θεῷ μένει, καὶ ὁ θεὸς ἐν αὐτῷ. ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθʼ ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ. φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει. ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. ἡμεῖς ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν. ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν θεὸν ὃν οὐχ ἑώρακε πῶς δύναται ἀγαπᾶν; καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπʼ αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

ΚΕΦΑΛ. 5.

Πᾶς ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ χριστὸς, ἐκ τοῦ θεοῦ γεγέννηται. καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν. αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν. ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ νικᾷ τὸν κόσμον. καὶ αὕτη ἐστὶν ἡ νίκη, ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ; οὗτός ἐστιν ὁ ἐλθὼν διʼ ὕδατος καὶ αἵματος Ἰησοῦς χριστός, οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι. καὶ τὸ πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ πατὴρ, ὁ λόγος, καὶ τὸ πνεῦμα ἅγιον. καὶ οὗτοι οἱ τρεῖς ἓν εἰσι. καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, πνεῦμα, καὶ ὕδωρ, καὶ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἓν εἰσιν. εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστὶν, ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ, ἣν μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ. ὁ μὴ πιστεύων τῷ θεῷ, ψεύστην πεποίηκεν αὐτὸν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεὸς, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν. ὁ ἔχων τὸν υἱὸν, ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ, τὴν ζωὴν οὐκ ἔχει. ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ, ἵνα εἰδῆτε, ὅτι ζωὴν αἰώνιον ἔχετε, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ. καὶ αὕτη ἐστὶν ἡ παῤῥησία, ἣν ἔχομεν πρὸς αὐτὸν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν. καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν, ὃ ἂν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν παρʼ αὐτοῦ. ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν, τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν. ἔστιν ἁμαρτία πρὸς θάνατον, οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ. πᾶσα ἀδικία ἁμαρτία ἐστίν, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. οἴδαμεν, ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται. οἴδαμεν δὲ, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινόν. καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ἡ ζωὴ αἰώνιος. τεκνία, φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων, ἀμήν.

ΙΩΑΝΝΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΕΠΙΣΤΟΛΗ Β.

Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν, διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα. ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος, εἰρήνη, παρὰ θεοῦ πατρὸς, καὶ παρὰ κυρίου Ἰησοῦ χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ. ἐχάρην λίαν, ὅτι εὗρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός. καὶ νῦν ἐρωτῶ σε κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλὰ ἣν εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἐστὶν ἡ ἐντολὴ, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε, ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν χριστὸν ἐρχόμενον ἐν σαρκί. οὗτός ἐστιν ὁ πλάνος, καὶ ὁ ἀντίχριστος. βλέπετε ἑαυτοὺς, μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. πᾶς ὁ προάγων, καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ, θεὸν οὐκ ἔχει. ὁ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε. ὁ γὰρ λέγων χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς. πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος. ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη. ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς, ἀμήν.

ΙΩΑΝΝΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΕΠΙΣΤΟΛΗ Γ.

Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. ἀγαπητὲ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι, καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν, καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα. ἀγαπητὲ πιστὸν ποιεῖς, ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους, οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας, οὓς καλῶς ποιήσεις, προπέμψας ἀξίως τοῦ θεοῦ. ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν. ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ. ἔγραψα τῇ ἐκκλησίᾳ, ἀλλ' ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς. διὰ τοῦτο ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς, καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐ-

τὸς

ὁρμωμένης ποιεῖσθαι τὴν γραφὴν περὶ τῆς κοινῆς ἡμῶν σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην θεὸν, καὶ κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἀρνούμενοι. Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ κύριος λαὸν ἐκ γῆς αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν. ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· ἐπιτιμήσαί σοι κύριος. οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦσιν. ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῶα ἐπίστανται, ἐν τούτοις φθείρονται. οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν, συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων περιφερόμεναι, δένδρα φθινοπωρινὰ, ἄκαρπα, δὶς ἀποθανόντα, καὶ ἐκριζωθέντα, κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων· ἰδοὺ ἦλθε κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν, περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν, ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. οὗτοί εἰσι γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπερόγκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν. ὑμεῖς δὲ ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ψυχικοί, πνεῦμα μὴ ἔχοντες. ὑμεῖς δὲ ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν πνεύματι ἁγίῳ προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε, προσδεχόμενοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΒΙΟΣ ΤΟΥ ΙΟΥΔΑ ΕΚ ΤΩΝ ΣΩΦΡΟΝΙΟΥ.

Ἰούδας ἀδελφὸς Ἰακώβου, ἐλαχίστων, τοῖς ἐν θεῷ πατρὶ ἡγιασμένοις, ἐν Ἰησοῦ χριστῷ τετηρημένοις, κλητοῖς. ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη. ἀγαπητοί, πᾶσαν ἀσπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀναγκὴν ἔσχον γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην θεὸν, καὶ κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἀρνούμενοι. Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ κύριος λαὸν ἐκ γῆς αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν. ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· ἐπιτιμήσαί σοι κύριος. οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦσιν. ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῶα ἐπίστανται, ἐν τούτοις φθείρονται. οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν, συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων περιφερόμεναι, δένδρα φθινοπωρινὰ, ἄκαρπα, δὶς ἀποθανόντα, καὶ ἐκριζωθέντα, κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων· ἰδοὺ ἦλθε κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν, περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν, ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. οὗτοί εἰσι γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπερόγκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν. ὑμεῖς δὲ ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ψυχικοί, πνεῦμα μὴ ἔχοντες. ὑμεῖς δὲ ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν πνεύματι ἁγίῳ προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε, προσδεχόμενοι

ἐρχόμενος· ὁ ἔλεος τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, εἰς ζωὴν αἰώνιον. καὶ οὓς μὲν ἐλεᾶτε διακρινόμενοι, οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα. τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους, καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, μόνῳ σοφῷ θεῷ σωτῆρι ἡμῶν, δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία, νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας, ἀμήν.

ΑΠΟΚΑΛΥΨΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

ΚΕΦΑΛ. ι.

ΑΠοκάλυψις Ἰησοῦ χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ θεός, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει, καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ, τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ χριστοῦ, ὅσα τε εἶδε. μακάριος ὁ ἀναγινώσκων, καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα. ὁ γὰρ καιρὸς ἐγγύς. Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἃ ἐνώπιον τοῦ θρόνου αὐτοῦ, καὶ ἀπὸ Ἰησοῦ χριστοῦ, ὁ μάρτυς ὁ πιστός, ὁ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς. τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἐκ τῶν ἁμαρτιῶν ἐν τῷ αἵματι αὐτοῦ, καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς καὶ ἱερεῖς τῷ θεῷ καὶ πατρὶ αὐτοῦ, αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν. καὶ κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ναὶ, ἀμήν. ἐγώ εἰμι τὸ α καὶ τὸ ω, ἀρχὴ καὶ τέλος, λέγει ὁ κύριος, ὁ ὤν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ. ἐγὼ Ἰωάννης, ὁ καὶ ἀδελφὸς ὑμῶν, καὶ συγκοινωνὸς ἐν τῇ θλίψει, καὶ ἐν τῇ βασιλείᾳ καὶ ὑπομονῇ Ἰησοῦ χριστοῦ, ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ, διὰ τὸν λόγον τοῦ θεοῦ καὶ διὰ τὴν μαρτυρίαν Ἰησοῦ χριστοῦ. ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ, καὶ ἤκουσα ὀπίσω μου φωνὴν μεγάλην ὡς σάλπιγγος, λεγούσης· ἐγώ εἰμι τὸ α καὶ τὸ ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος· καὶ ὃ βλέπεις γράψον εἰς βιβλίον, καὶ πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις, ταῖς ἐν Ἀσίᾳ, εἰς Ἔφεσον, καὶ εἰς Σμύρναν, καὶ εἰς Πέργαμον, καὶ εἰς Θυάτειρα, καὶ εἰς Σάρδεις, καὶ εἰς Φιλαδελφίαν, καὶ εἰς Λαοδικείαν. καὶ ἐπέστρεψα βλέπειν τὴν φωνὴν, ἥτις ἐλάλησε μετ' ἐμοῦ. καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς· καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱὸν ἀνθρώπου, ἐνδεδυμένον ποδήρη, καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν. ἡ δὲ κεφαλὴ αὐτοῦ, καὶ αἱ τρίχες λευκαὶ, ὡσεὶ ἔριον λευκὸν, ὡς χιών, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός. καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμίνῳ πεπυρωμένοι. καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν. καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἀστέρας ἑπτὰ, καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη. καὶ ἡ ὄψις αὐτοῦ, ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ. καὶ ὅτε εἶδον αὐτὸν, ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός. καὶ ἐπέθηκεν τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπ' ἐμὲ, λέγων μοι· μὴ φοβοῦ, ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος, καὶ ὁ ζῶν, καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ ζῶν εἰμὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. καὶ ἔχω τὰς κλεῖς τοῦ ᾅδου, καὶ τοῦ θανάτου. γράψον ἃ εἶδες, καὶ ἃ εἰσὶ, καὶ ἃ μέλλει γίνεσθαι μετὰ ταῦτα. τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων, οὓς εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς. οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσι. καὶ αἱ ἑπτὰ λυχνίαι ἃς εἶδες, ἑπτὰ ἐκκλησίαι εἰσί.

ΚΕΦΑΛ. β.

ΤΩ ἀγγέλῳ τῆς ἐφεσίνης ἐκκλησίας γράψον· τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν· οἶδα τὰ ἔργα σου, καὶ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν κόπον σου, καὶ τὴν ὑπομονήν σε, καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακούς, καὶ ἐπειρασω τοὺς φάσκοντας εἶναι ἀποστόλους, καὶ οὐκ εἰσί. καὶ εὗρες αὐτοὺς ψευδεῖς, καὶ ἐβάστασας, καὶ ὑπομονὴν ἔχεις, καὶ διὰ τὸ ὄνομά μου κεκοπίακας καὶ οὐ κέκμηκας. ἀλλ' ἔχω κατά σου, ὅτι τὴν ἀγάπην σου τὴν πρώτην ἀφῆκας. μνημόνευε οὖν πόθεν ἐκπέπτωκας, καὶ μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον. εἰ δὲ μή, ἔρχομαί σοι τάχυ, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς. ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν νικολαϊτῶν, ἃ κἀγὼ μισῶ. ὁ ἔχων οὖς, ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου τοῦ θεοῦ. καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας σμυρναίων γράψον. τάδε λέγει ὁ πρῶτος, καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρός, καὶ ἔζησεν· οἶδά σου τὰ ἔργα καὶ τὴν θλῖψιν καὶ τὴν πτωχείαν, πλουτεῖς δέ, καὶ τὴν βλασφημίαν τῶν λεγόντων ἰουδαίους εἶναι ἑαυτούς, καὶ οὐκ εἰσίν, ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ. μηδὲν φοβοῦ ἃ μέλλεις πάσχειν. ἰδοὺ μέλλει βαλεῖν ὁ διάβολος ἐξ ὑμῶν εἰς φυλακήν, ἵνα πειρασθῆτε, καὶ ἕξετε θλῖψιν ἡμερῶν δέκα. γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς. ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου. καὶ τῷ ἀγγέλῳ τῆς ἐν πέργαμῳ ἐκκλησίας γράψον· τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν· οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ σατανᾶ. καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις, ἀντίπας ὁ μάρτυς μου ὁ πιστός, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου κατοικεῖ ὁ σατανᾶς. ἀλλ' ἔχω κατά σου ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαάμ, ὃς ἐδίδασκεν ἐνώπιον τοῦ Βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, φαγεῖν εἰδωλόθυτα, καὶ πορνεῦσαι. οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν νικολαϊτῶν, ὃ μισῶ. μετανόησον. εἰ δὲ μή, ἔρχομαί σοι τάχυ, καὶ πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου. ὁ ἔχων οὖς, ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα τοῦ κεκρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκήν, καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς ἔγνω εἰ μὴ ὁ λαμβάνων. καὶ τῷ ἀγγέλῳ τῆς ἐν θυατείροις ἐκκλησίας γράψον· τάδε λέγει ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρός, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ· οἶδά σου τὰ ἔργα καὶ τὴν ἀγάπην, καὶ τὴν διακονίαν, καὶ τὴν πίστιν, καὶ τὴν ὑπομονήν σου, καὶ τὰ ἔργα σου, καὶ τὰ ἔσχατα πλείονα τῶν πρώτων. ἀλλ' ἔχω κατά σου ὀλίγα, ὅτι ἀφεῖς τὴν γυναῖκα Ἰεζάβελ, λέγουσαν ἑαυτὴν προφῆτιν, διδάσκειν, καὶ πλανᾶσθαι ἐμοὺς δούλους, πορνεῦσαι καὶ εἰδωλόθυτα φαγεῖν. καὶ ἔδωκα αὐτῇ χρόνον, ἵνα μετανοήσῃ ἐκ τῆς πορνείας αὐτῆς, καὶ οὐ μετενόησεν. ἰδοὺ ἐγὼ βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας μετ' αὐτῆς εἰς θλῖψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ. καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι, ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας, καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν. ὑμῖν δὲ λέγω καὶ τοῖς λοιποῖς τοῖς ἐν θυατείροις, ὅσοι οὐκ ἔχουσι τὴν διδαχὴν ταύτην, καὶ οἵτινες οὐκ ἔγνωσαν τὰ βάθη τοῦ σατανᾶ, ὡς λέγουσι, οὐ βάλλω ἐφ' ὑμᾶς ἄλλο βάρος, πλὴν ὃ ἔχετε, κρατήσατε ἄχρις οὗ ἂν ἥξω. καὶ ὁ νικῶν καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν, καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ κεραμικὰ συντρίβεται. ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου, καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν. ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

ΚΕΦΑΛ. 3.

ΚΑΙ τῷ ἀγγέλῳ τῆς ἐν σάρδεσιν ἐκκλησίας γράψον. τάδε λέγει ὁ ἔχων τὰ πνεύματα τοῦ θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας· οἶδά σου τὰ ἔργα, ὅτι ὄνομα ἔχεις, ὅτι ζῇς, καὶ νεκρὸς εἶ. γίνου γρηγορῶν, καὶ στήριξον τὰ λοιπά, ἃ μέλλει ἀποθανεῖν. οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ θεοῦ. μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας, καὶ τήρει, καὶ μετανόησον. ἐὰν οὖν μὴ γρηγορήσῃς, ἥξω ὡς κλέπτης, καὶ οὐ μὴ γνῶς ποίαν ὥραν ἥξω ἐπί σε. ἔχεις ὀλίγα ὀνόματα καὶ ἐν Σάρδεσιν, ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσι μετ' ἐμοῦ ἐν λευκοῖς, ὅτι ἄξιοί εἰσιν. ὁ νικῶν, οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς, καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ βίβλου τῆς ζωῆς, καὶ ὁμολογήσω τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου, καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ. ὁ ἔχων οὖς, ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφίᾳ ἐκκλησίας γράψον. τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινός, ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαβίδ, ὁ ἀνοίγων καὶ οὐδεὶς κλείει, καὶ κλείων καὶ οὐδεὶς ἀνοίγει· οἶδά σου τὰ ἔργα. ἰδοὺ δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην, καὶ οὐδεὶς δύναται κλεῖσαι αὐτήν, ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς μου τὸν λόγον, καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου. ἰδοὺ δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ σατανᾶ τῶν λεγόντων ἑαυτοὺς ἰουδαίους εἶναι, καὶ οὐκ εἰσίν, ἀλλὰ ψεύδονται. ἰδοὺ ποιήσω αὐτοὺς, ἵνα ἥξωσι καὶ προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ γνῶσιν ὅτι ἐγὼ ἠγάπησά σε, ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι

ὅλῃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας